2737

EPITOME

BASILICON

3100

2-B-3 20

BIBLIOTECA
DEL
Rey N. Señor

VII D 3

3200

~~36~~
·37·

Oviedo 11

N. 11.

D. Epi Segobiensis.          C. 321.



A. A.

·N·

Jacobus Cuiacius. lib. 6. observat: cap. 10.
existimat, hunc librum esse illum, cuius non se-
mel testimonio utitur Constantinus Harmenopulus,
sub nomine. μικρὸν κατὰ στοιχεῖον, et
addit ipse Cuiacius, huiusmodi manualia mul-
ta fuisse in Oriente, omnibus fere Patro-
nis Caesarum, sive Rhetoribus suum
sibi codicillum, et quasi vitae comi-
tem conficientibus: quod Pauli
Æginetae autoritate in Prae-
fatione confirmat:

στοιχεῖον α΄:-

## ὁ πίναξ τῶν νομίμων κατὰ στοιχεῖον:-

Περὶ ἀπαρχῶν καὶ προαπαρχῶν· καὶ τίνες καὶ πότε ἀπαρχοῦνται ἢ οὐκ ἀπαρχοῦνται:- α΄

Περὶ ἀγνοίας νόμου ἢ φάκτου· καὶ τίνες βοηθοῦνται ἐξ αὐτοῦ· καὶ τίνες οὐ βοηθοῦνται:- β΄

Περὶ ἀγοραστοῦ καὶ πράσεως· καὶ τῶν περὶ αὐτῆς συναλλαγμάτων τε καὶ συμφώνων καὶ ποῖα πράγματα οὐ δύναται πιπράσκεσθαι ἤτοι ἐκποληθῆναι· καὶ περὶ διαφορᾶς πράσεως καὶ μισθώσεως· καὶ τίνες κωλύονται πωλεῖν ἢ ἀγοράζειν:- γ΄

Περὶ ἀγοραστοῦ καὶ πράσεως ἐπὶ ὅρῳ γινομένης ὡς ἵνα γινομένου τοῦ θεματεσμοῦ ἤτοι ὑπαυξήσεως τοῦ τιμήματος ἢ τοῦ συνδόξαντος ἐν τῷ συμφώνῳ τῆς πράσεως ὅρου, διαλυθῇ ἡ πρᾶσις:- δ΄

Περὶ ἀγοραστοῦ καὶ πράσεως ἐπὶ ὅρῳ γινομένης· ἵνα εἰ μὴ ἐντὸς τῆς ὡρισμένης προθεσμίας καταβληθῇ τὸ τίμημα, ἀναλύηται:- ε΄

Περὶ ἀγωγῆς ἢ κληρονομίας ἢ γραμματείου ἀγορασθέντος:- ς΄

Περὶ ἀναγομένης ἀγοραστοῦ καὶ πράσεως:-

Περὶ κινδύνου καὶ ὠφελείας τοῦ ἀγοραστοῦ· καὶ περὶ καταβολῆς τοῦ τιμήματος· καὶ πότε δύναται ὁ πράτης προκατέχειν τὸ τίμημα:-

Περὶ τῶν ἐπὶ συμφώνῳ ἀγορασθέντων δούλων, τοῦ μὴ διατάττειν τυχὸν ἐν τινι τόπῳ ἢ ἐπὶ τὸ ἐλευθερωθῆναι ἢ μὴ ἐλευθερωθῆναι· καὶ περὶ χρέους ἐπιβολῆς:- ς΄ ζ΄ η΄

Περὶ τῆς κινουμένης ἀγωγῆς ἐπὶ ἀγοραστοῦ καὶ πράσεως· ἐάν τε πρὸς τὰ συμφωνηθέντα γίνηται· καὶ ἐὰν τὸ πραθὲν ἀνδράποδον ἢ ἕτερον ζῶον ἢ ξύλον ὑπαίτιον ἐστίν· ἢ ἐὰν ψεύσωνται περὶ τὸ μέτρον ἢ τὴν ποιότητα τοῦ πραθέντος· καὶ τίνα τῷ οἴκῳ ἢ τῷ ἀγρῷ ἕπονται:- θ΄

Περὶ ἀγοραστοῦ καὶ πράσεως ὑποδιαλέξεως γινομένης:- ι΄

Περὶ ἀναγωγῆς πράσεως καὶ ἐκ ποίων παθῶν καὶ αἰτιῶν ἀναστρέφεται τὸ πραθὲν ἀνδράποδον ἢ ἕτερον ζῶον· ἢ μειοῦται ἡ τούτου τιμή· καὶ ὅτε ἡ μετὰ τὸ πραθὲν ἀναστρέφουσα ἀγωγή, ἢ ἡ ἐξ ἐμμήνου κινεῖται· ἢ ἡ ια΄

μηδὲ λαβεῖν τὸ τίμημα ἐντὸς ἐνιαυτοῦ. καὶ ὅτι δι' ὑπερθεματισμοῦ ἀναλύεται
ἡ πρᾶσις. καὶ ὅτι περὶ νόθου προφανοῦς ὁ πράτης οὐκ εὐθύνεται :
ιβ Περὶ ἀγορασθέντος πράγματος καὶ ἐκνικηθέντος· εἴτε ἀγροῦ εἴτε δούλου· εἴ-
τε ἀνδραπόδου· εἴτε ὑπεξουσίου· καὶ πότε εἰς τὸ διπλοῦν ὁ πράτης ἐνέχεται :
ιγ Περὶ ἀγορασθέντων πραγμάτων καὶ πραθέντων ἐφ' ἀγορασίᾳ· καὶ πε-
ρὶ τῆς τούτων προτιμήσεως· καὶ περὶ ἐνδοθέντων πραθῆναι :
ιδ Περὶ τῶν ἀπὸ τοῦ δημοσίου πραθέντων διὰ δημόσιον χρέος· ὅτι οὐκ ἀ-
νατρέπεται ἡ τοιαύτη πρᾶσις :
ιε Περὶ τῶν ἀλλοτρίῳ ὀνόματι ἀγορασθέντων ἢ ἀλλοτρίοις χρήμασιν· εἰς
ὅταν ἀγορασθῇ τι ὀνόματι γυναικὸς τοῦ ἀνδρὸς τὸ τίμημα δεδωκότος :
ιϛ Περὶ ἀγορασίας καὶ πράσεως οἴνου :
ιζ Περὶ ἀγορασίας καὶ πράσεως εἰκονικῆς :
ιη Περὶ πραθέντος εἰς δύο πρόσωπα ἀγροῦ :
ιθ Περὶ ἀγορασθέντων πρᾶγμα μὴ δεσπότου· αὐτοῦ τοῦ δεσπότου προκατειληφό-
τος μὴ ἀγοράσαι· καὶ περὶ λοιπῶν ἀγοραστῶν :
κ Περὶ ἀγρῶν τῶν ἀναληφθέντων ἀπὸ πολεμίων :
κα Περὶ ἀγρῶν λιμνιαίων· καὶ περὶ λιμνοστρόφων· καὶ ἐμφυτευτικαρίων :
κβ Περὶ ἀγωγῶν ἐκ διαφόρων αἰτιῶν συνισταμένων :
κγ Περὶ ἀγωγῆς ἀφαιρέσεως πραγμάτων :
κδ Περὶ ἀγωγῆς τῆς τὰ ἴδια ἐκδικούσης :
κε Περὶ ἀγωγῆς δημοσίου :
κϛ Περὶ ἀδελφοποιΐας :
κζ Περὶ ἀδιαθέτων :
κη Περὶ τῶν ἀθεμίτως συναπτομένων ἐπὶ μοιχείᾳ ἢ πορνείᾳ :
κθ Περὶ ἀθωώσεως ἤτοι ἐλευθερίας χρεῶν· καὶ ἀποχῆς δι' ἀμοιβαίας ἐπε-
ρωτήσεως γινομένης· καὶ τί διαφέρει ἀθώωσις ἀποχῆς· καὶ τίνες δύναν-
ται ποιεῖν ἀθώωσιν ἢ ἀποχήν :
λ Περὶ αἱμομιξιῶν· καὶ περὶ ἀρσενοκοιτῶν καὶ ποινῶν αὐτῶν :
λα Περὶ αἱρετικῶν :
λβ Περὶ αἰτήσεων βασιλεῖ προσφερομένων· καὶ περὶ τῶν αἰτούντων ἀρχὴν ἐν
τῇ ἰδίᾳ ἐπαρχίᾳ :
λγ Περὶ αἰχμαλώτων δούλων τε καὶ ἐλευθέρων· καὶ περὶ ὑποστροφῆς αὐ-

ἴσου καὶ δικαίου :–

Περὶ ἀγρίων καὶ ἄγρας :– λδ

Περὶ ἀγχιστοκληρονομίας :– λε

Περὶ ἀμφιβόλων καὶ ἀσαφῶν ῥημάτων τε καὶ συμφώνων· καὶ περὶ ἐπερωτήσεων :– λϛ

Περὶ ἀναργυρίας :– λζ

Περὶ ἀναρχίας :– λη

Περὶ ἀναφαινομένων τῆς ἐλευθερίας· εἴτε τῆς εὐγενείας :– λθ

Περὶ τῶν ἀναγκαζομένων μαρτυρεῖν ἢ προσφέρειν ἐν δικαστηρίῳ δικαιώματα· ἢ καὶ ἐκδιδόναι· εἴτε καθ' ἑαυτῶν· εἴτε κατὰ ἄλλων· καὶ τίνες οὐκ ἀναγκάζονται μαρτυρεῖν ἢ προσφέρειν δικαιώματα· ἢ ἐκδιδόναι τοὺς λογισμούς· καὶ ὅτι οὐδεὶς ἀναγκάζεται χρηματικὴν ἢ ἐγκληματικὴν κινεῖν :– μ

Περὶ ἀναγραφέων ἤτοι χαρτοθετῶν τῶν ἐν τοῖς θέμασιν ἀποστελλομένων· καὶ τὰ τῷ δημοσίῳ ἀνήκοντα ἀπὸ παντοίας ὑποθέσεως ἀπαργυριζόντων καὶ ἀναψηλαφώντων καὶ τῆς πραττομένων· καὶ ὅτι ἐν ἑκάστῃ λίτρᾳ τῶν ἀπαιτουμένων παρ' αὐτῶν· οὐ ἓξ λαμβάνουσιν :– μα

Περὶ ἀνδραποδιστῶν :– μβ

Περὶ ἀνήβων καὶ πῶς ἀνάγεσθαι καὶ διαιτᾶσθαι ὀφείλουσι· καὶ περὶ δαπανημάτων :– μγ

Περὶ ἀνθρώπων ἐλευθέρων τε καὶ δούλων· καὶ εὐγενῶν καὶ ἀπελευθέρων· καὶ περὶ καταστάσεως καὶ ποιότητος καὶ διαιρέσεως αὐτῶν καὶ ἐναλλαγῆς τῆς τούτων καταστάσεως :– μδ

Περὶ ἀννώνων διδομένων ἤτοι ἐκ θησαυρικοῦ πό· καὶ τοῖς σχολαστικοῖς :– με

Περὶ ἀνταλλαγῆς καὶ τί διαφέρει ἀνταλλαγὴ πράσεως :– μϛ

Περὶ ἀνταποσασμοῦ :– μζ

Περὶ ἀντιφωνητῶν :– μη

Περὶ ἀναργυρισμοῦ :– μθ

Περὶ ἀπελατῶν :– ν

Περὶ ἀπαιτήσεως τῶν ἀπὸ καταδίκης ἤτοι ἀποφάσεως καὶ ψήφου δικαστικῆς· καὶ περὶ τῶν μὴ χρεωστουμένων μὲν ἀπαιτουμένων δὲ καταβληθέντων ἢ δι' ἄγνοιαν ὡς δῆθεν κεχρεωστημένων· καὶ διὰ τοῦτο ἀπαιτουμένων :– να

Περὶ ἀπογραφῆς τῶν πραγμάτων τοῦ τελευτήσαντος :– νβ

νγ Περὶ ἀποκαταστάσεως :
νδ Περὶ ἀποδείξεων. καὶ τίς καὶ πῶς ὀφείλει ἀποδεικνύειν :
νε Περὶ ἀπολειπόντων τὸ δοθὲν αὐτοῖς :
νϛ Περὶ τῶν ἀπολλυμένων ὡς ἀναξίων ἢ ἀφαιρέσεων τῶν ἐασθέντων αὐτοῖς κλήρων ἢ ληγάτων ἢ δωρεῶν :
νζ Περὶ ἀπόντων καὶ ἀναζητουμένων ὡς ἐπὶ ἐγκλήματος κατηγορουμένων :
νη Περὶ ἀποσπώντων βίᾳ ἢ δόλῳ τὸν καλούμενον εἰς δικαστήριον ἢ καὶ ἐμποδιζόντων :
νθ Περὶ ἀποστατῶν τῶν ἀρνησαμένων τῆς ὀρθοδόξου πίστεως :
ξ Περὶ τῶν ἀρνουμένων τὰ ἴδια χειρόγραφα. ἀνάγνωθι τὸ περὶ ἀποδείξεων :
ξα Περὶ ἀρτυσεπιπλαίων καὶ τῶν περὶ αὐτοὺς συναλλαγμάτων :
Περὶ ἁρπαγῆς παρθένων τε καὶ χηρῶν καθιερωμένων καὶ μεμνηστευμένων. εὐγενῶν τε καὶ ἀπελευθέρων καὶ δούλων. εἴτε μεθ' ὅπλων ἡ ἁρπαγὴ γένηται εἴτε χωρὶς ὅπλων. καὶ περὶ τῶν συναγωνιζομένων αὐτοῖς κατὰ οἱονδήποτε τρόπον ἐν τῇ τοιαύτῃ ἁρπαγῇ :
ξβ Περὶ τῶν ἁρπαγὰς ἐξ ἐφόδου ποιούντων. εἴτε ἀπὸ ἀγροῦ. εἴτε ἐξ ἐμπρησμοῦ ἢ καταπτώσεως :
ξγ Περὶ ἀρραβώνων :
ξδ Περὶ ἀρχόντων συγκλητικῶν τε καὶ ἀξιωματικῶν καὶ παντοίων ὀφφικιαλίων. καὶ περὶ τάξεων καὶ προνομιῶν αὐτῶν καὶ καθέδρων, καὶ περὶ παίδων αὐτῶν καὶ γαμετῶν. καὶ περὶ συνέδρων αὐτῶν. καὶ ὅτι οἱ ἄσημοι καὶ αἰσχροὶ οὐ γίνονται συγκλητικοί. καὶ ὅπως ὀφείλει ἕκαστος αὐτῶν διαπρέπειν ἐν αἷς ἄρχουσιν ἐπαρχίαις :
ξε Περὶ ἀνθυπάτων καὶ ὑπάτων καὶ λεγάτων :
ξϛ Περὶ ἐπάρχου πόλεως καὶ τάξεως καὶ προνομίων αὐτοῦ καὶ ἐπάρχου πραιτωρίων :
ξζ Περὶ νυκτεπάρχου. ἤτοι πραίτωρος δήμων
ξη Περὶ κοιαίστωρος καὶ τάξεως καὶ προνομίων αὐτοῦ. καὶ περὶ κοιαισίτωρ. τουτέστιν ἐρευνητοῦ :
ξθ Περὶ ἀλήτας :
ο Περὶ ἀκυρουμένων καὶ ἐξ ὧν αἰτιῶν ἀκυροῦνται. καὶ δι' ὧν ἀκύρωσις προσγίνεται :

## στοιχεῖον α'


Περὶ ἀφηλίκων :- οα'.

Περὶ ἀχαρίστων παίδων τε καὶ γονέων αὐτῶν τῆς ἀχαριστίας αἰτιῶν δι' ὧν δύνανται ἑκάτεροι ἀποκλήρους ποιεῖν :- οβ'.

(περὶ ἀφαιρέσεως πραγμάτων ἔρημα ἐν τῷ περὶ ἀπωλείας :-)

Περὶ ἀχαρίστων ἀδελφῶν. καὶ τῶν αἰτιῶν τῆς ἀχαριστίας αὐτῶν :- ογ'.


## στοιχεῖον β' :-


Περὶ βαθμῶν συγγενείας :- α'.

Περὶ βαλανείου :- β'.

Περὶ βασιλέως καὶ βασιλίσσης ἤτοι αὐγούστης :- γ'.

Περὶ βασιλικῶν ἀντιγραφῶν καὶ διατάξεων καὶ κελεύσεων τύπων :- δ'.

Περὶ βεβαιώσεως τῶν προκομιζομένων ἐγγράφων δικαιωμάτων :- ε'.

Περὶ βίας :- ς'.

Περὶ βουλευτῶν :- ζ'.


## στοιχεῖον γ' :-


Περὶ γάμων νομίμων καὶ πότε ἀναγκάζονται οἱ γονεῖς ἐκγαμίζειν τοὺς ἰδίους παῖδας :- α'.

Περὶ γάμων κεκωλυμένων :- β'. (ἐν ᾧ καὶ τὰ ἔστι ἀζησία :-)

Περὶ γάμων ἀθεμίτων :- γ'.

Περὶ γάμου λύσεως καὶ τῶν τῆς λύσεως αἰτιῶν :- δ'.

Περὶ γαμικῶν προικῶν καὶ περὶ τῶν γαμικῶν δωρεῶν :- ε'.

Περὶ γεωργῶν ἐναπογράφων τε καὶ τῶν οἰκείων καὶ μισθωτῶν. καὶ περὶ τῶν ἐξ αὐτῶν τικτομένων. καὶ περὶ πατριμονιαλίων γεωργῶν ἤτοι ἰδιοκτήτων τοῦ βασιλέως :- ς'.

Περὶ γοήτων :- ζ'.

Περὶ γονέων καὶ τῆς εἰς αὐτοὺς ὑποταγῆς καὶ προνοίας τῶν παίδων. καὶ τῆς πρὸς τοὺς παῖδας παρὰ τῶν γονέων ὀφειλομένης ὑπὲρ τῆς ἀναγωγῆς αὐτῶν προνοίας. καὶ ὅτι ἁμαρτάνοντες εἰς τοὺς γονεῖς οἱ παῖδες κολάζονται :- η'.

Περὶ γυναικῶν καὶ προνομίων αὐτῶν καὶ πότε βοηθοῦνται καὶ πότε οὐ βοηθοῦνται. καὶ περὶ τοῦ μὴ ἐγγυᾶσθαι αὐτάς :- θ'.

## στοιχεῖον Δ΄:


α΄ Περὶ δαπανημάτων ἐν πράγμασιν ἀλλοτρίοις γινομένων:

β΄ Περὶ δαπανημάτων μὴ ἀπαιτουμένων ὡς δι' εὐσέβειαν λογιζομένων δαπανᾶσθαι:

περὶ δαπανημάτων ἐν πράγμασι προικῴοις γινομένων· εὑρήσεις ἐν τῷ π̄ στοιχείῳ περὶ προικός:

γ΄ Περὶ δένδρων καὶ δενδρωμάτων:

δ΄ Περὶ δεσποτείας ἐκ διαφόρων τρόπων διὰ χρονίας νομῆς συνισταμένης. καὶ πότε ἀρκεῖται ἡ τοῦ μακροῦ χρόνου παραγραφὴ καὶ πότε οὐκ ἀρκεῖται. καὶ τίνα μὲν διὰ τριετίας ἢ τετραετίας. τινὰ δὲ διὰ δεκαετίας. ἢ εἰκοσαετίας. ἢ τριακονταετίας. ἢ μ΄ετίας δεσπόζονται:

ε΄ Περὶ δεσποτῶν ὑπαιτίως καὶ οὐ προσηκόντως κεχρημένων τοῖς ἑαυτῶν δούλοις:

ϛ΄ Περὶ δευτερογαμούντων. ἢ μὴ δευτερογαμούντων. καὶ περὶ διαδοχῆς τῶν παίδων αὐτῶν. καὶ περὶ τῶν πρὸ τοῦ τῶν πενθίμων χρόνου ληξάντων εἰς δεύτερον γάμον ἐρχομένων. ~~δημευομένων~~:

ζ΄ Περὶ δημευομένων:

η΄ Περὶ τοῦ δημοσίου δρόμου καὶ τῶν τοῖς κουρσώρεσι χρωμένων:

θ΄ Περὶ δημοσίων ἵππων καὶ ἀγωγῶν καὶ ἡνιόχων καὶ δρομικῶν:

ι΄ Περὶ δημοσίων οἰκοδομημάτων καὶ τῆς εἰς αὐτὰ γινομένης συνεισφορᾶς καὶ ὑπηρεσίας ἢ λειτουργίας:

ια΄ Περὶ τοῦ δημοσίου καὶ τῶν προνομίων καὶ ἀγωγῶν αὐτοῦ:

ιβ΄ Περὶ τῶν δημόσια χρήματα ὑφαιρουμένων. ἢ εἰς τὰς ἰδίας χρείας τρεψάντων. ἢ ὅλως νοσφισαμένων. ἢ δόλον ἐν αὐτοῖς ποιησάντων ἢ ἐν τῇ ἀρχῇ κλοπήν τινα πεποιηκότων:

ιγ΄ Περὶ διαθηκῶν καὶ διατιθεμένων. καὶ τίνες οὐ δύνανται διατίθεσθαι ἢ κωλύονται μαρτυρεῖν ἐν διαθήκῃ:

ιδ΄ Περὶ στρατιωτικῆς διαθήκης:

ιε΄ Περὶ δευτέρας διαθήκης:

ιϛ΄ Περὶ τῶν κωλυόντων διαθήκην γίνεσθαι:

ιζ΄ Περὶ διαθηκῶν ποίῳ τρόπῳ ἀνοίγονται καὶ μεταγράφονται:

ιη΄ Περὶ τῶν ἐν διαθήκῃ χαραξάντων. ἢ περικλεισάντων διαθήκας ἢ ἀποκρυψάντων:

Περὶ διαθήκης ῥηγνυμένης ἀπὸ ἀμνημονευθέντων παίδων: ιθʹ
Περὶ διαθήκης παρανόμου καὶ ἀκύρου καὶ ῥηγνυμένης: κʹ
Περὶ ἀκαθηκούσης διαθήκης. καὶ παρὰ τίνι ὀφείλει ἡ διαθήκη παρατίθεσθαι: καʹ
Περὶ τῶν διαθήκην ἀνοιγόντων ἢ μεταγραφόντων ἢ ἀναγινωσκόντων παρὰ
τὸν νόμον. ἢ ἀπαλειφόντων. ἢ κρυψάντων. ἢ κλεψάντων. ἢ γραψάντων
ἐν αὐτῇ λεγάτον. εἴτε ἑαυτοῖς. εἴτε ἑτέρῳ. ἢ ἄλλο τι περὶ αὐτὴν ἁμαρτανόντων: κβʹ
Περὶ διατιθεμένων τῶν ἐν εὐσεβέσιν αἰτίαις καταλιμπανόντων τι τυχὸν
ἐπὶ τῷ κτισθῆναι ἐκκλησίαν. ἢ καλλωπισθῆναι. εἴτε ἐπὶ αἰχμαλώτων ἀ-
ναρρύσει. εἴτε ἐπὶ ἀποτροφῇ πενήτων. ἢ ἐπὶ τῷ γενέσθαι ξενῶνα ἢ ὀρφανο-
τροφεῖον ἢ πτωχεῖον: κγʹ
Περὶ τῆς κατὰ διαθήκης μεταμέλεως. καὶ πότε παρὰ τίνων δύναται κινεῖσθαι
ἢ μὴ δύναται. καὶ περὶ προσδιορισμοῦ διαθήκης: κδʹ
Περὶ τῆς κατὰ τὴν διαθήκην ἐναντιώσεως. καὶ περὶ διακατοχῆς: κεʹ
Περὶ διατυπώσεως καὶ τάξεως: κϛʹ
Περὶ διατυπουμένων: κζʹ
Περὶ δικαζομένων ἤτοι ἐναγόντων καὶ ἐναγομένων αὐτεξουσίων καὶ ὑπε-
ξουσίων. καὶ τίνες δύνανται ἐνάγειν καὶ τίνες οὐ δύνανται. καὶ πότε καὶ πα-
ρὰ τίνι καὶ ἐν ποίῳ φόρῳ τις ἐνάγειν ὀφείλει. καὶ περὶ λανθανόντων
ἢ ἀποκρυπτομένων: κηʹ
Περὶ διαλύσεων καὶ πότε ἔξεστι διαλύεσθαι καὶ πότε οὐκ ἔξεστι. καὶ
ποῖαι τῶν διαλύσεων οὐ κρατοῦσι: κθʹ
Περὶ διασυστατικῶν: λʹ
Περὶ τῶν διαφθειρόντων ὃ προσετέθη ἢ μέλλον τίθεσθαι ἐπὶ δίκῃ τὰ αἰ-
τιάματα πράγματα: λαʹ
Περὶ τῶν διδομένων ἢ δεχομένων ἐπί τινι αἰσχρᾷ αἰτίᾳ ἢ ἐπὶ ἄλλῃ τι-
νὶ οἱᾳδήποτε ὑποθέσει. καὶ περὶ τῶν ταῦτα διδόντων καὶ τῶν δεχομέ-
νων. καὶ πότε ἀπαιτοῦνται τὰ δοθέντα. καὶ πότε οὐκ ἀπαιτοῦνται: λβʹ
Περὶ ἐκδικητῶν καὶ συνδίκων ὁμάδος ἢ πόλεως. ἐκδικηταί εἰσι
τοῦ πάντων οἱ ἐκδικοῦντες καὶ φροντίζοντες. εἴτε οἰκηταί εἴτε ἐπὶ
τόποις εἴτε κοινοτήτων εἴτε προκοινοτήτων εἴτε πόλεως εἰσι. ἐκδι-
κηταὶ γάρ εἰσι. ὁ τὰ αὐτὰ ποιῶν ἀπὸ καὶ ὁ προστάτης ἐν οἷς καὶ δίδω-
σιν ὁ βιοῦντες. καὶ ταῦτα ἐπὶ τῇ ἱκανοδοσίᾳ ἀσφάλειαν. οὐδεὶς γὰρ ἄλλο λγʹ

στοιχεῖον Ε :

τέλαν δίκην αὐτὸν ἱκανοδοτεῖ ὁ ἐκκαλούμενος. εἰ καὶ ἔστιν ὑπαίτιος. οὔτε δὲ τιμὴ οὔτε στρατεία τῆς ἀξιώσεως ἐστὶ ἐκκλήτου. οὔτε ὁ κατήγορος τῆς ἐπὶ ἐγκλήματι περὶ ἀθωώσεως :

λδ Περὶ δικαιοσύνης :

λε Περὶ δικαστῶν καὶ δικαιοδοσίας αὐτῶν καὶ τάξεως. καὶ προέδρων αὐτῶν καὶ περὶ αἱρετῶν δικαστῶν :

λς Περὶ δικαστηρίων δημοσίων τε καὶ ἐγκληματικῶν. καὶ ποῖα μὲν εἰσὶ κεφαλικά ποῖα δ᾽ οὐ κεφαλικά. καὶ ποῖα ἀτιμοποιά :

λζ Περὶ διαιτητῶν δικαζόντων. καὶ περὶ τῶν διδομένων αὐτοῖς ζημιωθῆναι τοῖς παραβαίνουσι τὰ ῥηθέντα δίκαια :

λη Περὶ διοικητῶν. καὶ ὅτι ὁ διοικητὴς τῶν ὄντων περὶ αὐτῶν χρημάτων τόκους δίδωσιν ἀπὸ τῆς ἀφαιρέσεως. καὶ οὓς ἔλαβε δανείσας. κἂν μὴ ἐνέτυχε δανείσαι. ἔστι δὲ διοικητὴς ὁ ἐντολῇ τῆς διοικῶν τὰ τοῦ ἀπόντος πράγματα ἤτοι διοίκησιν ποιούμενος. λέγεται δὲ ὁ τοιοῦτος καὶ διεκδικητής. καὶ ἐντολεὺς καὶ συνήγορος :

λθ Περὶ δόλου :

μ Περὶ δούλων διαφορᾶς καὶ φθορᾶς :

μα Περὶ δουλοζαφίου :

μβ Περὶ δουλειῶν :

μγ Περὶ δωρεῶν :

μδ Περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς καὶ κηδεστῶν καὶ τῶν ὑπεξουσίων :

στοιχεῖον Ε :

## στοιχεῖον Ε :

α Περὶ ἐγγυητῶν :

β Περὶ ἐγκαταλιμπανομένων :

γ Περὶ ἐγκληματικῶν :

δ Περὶ ἐγκυμονούσης καὶ ἐγκυμονουμένου. καὶ περὶ φυλακῆς αὐτῶν. καὶ πότε καὶ ὅπως εἰς νομὴν πέμπονται. καὶ περὶ τῆς εἰς νομὴν πεμφθείσης. ἢ ταύτην δόλῳ πρὸς ἄλλον μεταγαγούσης. καὶ περὶ τῆς ἐκ συκοφαντίας εἰς νομὴν πεμφθείσης ὡς ἢ ἀληθῶς ἢ μὴ ἐγκυμονούσης. φθειρούσης δ᾽ ἔμβ

ωνεῖν :—

Περὶ ἐκβιβαστῶν καὶ τῶν ἀποστελλομένων ἐπὶ τὸ ἀπαιτεῖν δημόσιον πρᾶγμα· καὶ περὶ τῶν διδομένων αὐτοῖς ζωνοθετῶν :— ε

Περὶ ἐκνικουμένων πραγμάτων καὶ τῶν ταῦτα διεκνικησάντων, καὶ περὶ τῶν πιπρασκόντων αὐτά· καὶ πότε μὲν αὐτὰ τὰ ἔθη ἐκνικῶνται· καὶ πότε αἱ τιμαὶ αὐτῶν δίδονται· καὶ πότε μὲν τῶν καρπῶν ἐκνικῶνται· καὶ πότε οὐχ αἱ τιμαὶ δίδονται :— ϛ

Περὶ ἐκκλήτου· καὶ τίνες δύνανται ἐκκαλεῖσθαι καὶ τίνες οὐ δύνανται· καὶ ποῖαι τῶν προφάσεων οὐχ ὑπόκεινται ἐκκλήτῳ καὶ περὶ διαφόρων προθεσμιῶν τῆς ἐκκλήτου· καὶ ὅτι τίνες οὐκ ἐκκαλοῦνται :— ζ

Περὶ ἐκκλησιῶν καὶ προνομιῶν αὐτῶν καὶ κανόνων· καὶ περὶ ἀριθμοῦ τῶν κληρικῶν αὐτῶν· καὶ μάλιστα τῆς μεγάλης ἐκκλησίας· ἔτι περὶ τῆς τε λειτουργίας ὅπως ὀφείλει γίνεσθαι· καὶ περὶ τῶν κτιζόντων εὐκτήριον ἢ ἕτερον σεβάσμιον οἶκον :— η

Περὶ ἐκλήψεων καὶ περὶ ἐκποιήσεων τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ ἐμφύτευσιν ἢ ἐκμίσθωσιν· ἢ καθ' ἕτερον τρόπον γινομένων· ἀπό τε ἐκκλησιῶν καὶ μοναστηρίων· καὶ λοιπῶν εὐαγῶν οἴκων :— θ

Περὶ ἐκλήψεων καὶ περὶ ἐκποιήσεων τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ ἐμφύτευσιν ἢ ἐκμίσθωσιν· ἢ καθ' ἕτερον τρόπον γινομένων· ἀπό τε τοῦ δημοσίου καὶ τῆς πόλεως καὶ τῶν πατριμωνιακῶν· ἤτοι ἰδιοκτήτων τοῦ βασιλέως καὶ ταμιακοῦ :— ι

Περὶ ἐκβαλούσης ἐπίδοσις· ἤτοι ἐπιζημίωσιν· ἤτοι διαλύσεως τοῦ ἀνδρ :— ια

Περὶ ἐλευθερίας· καὶ ὅτι κατὰ ἐλευθερίας οὐκ ἔστιν ἀποκατάστασις· εἰ μὴ κελεύσει βασιλέως ἀπὸ μεγάλης αἰτίας ἁρμόζει· ἢ περὶ δολουάτου :— ιβ

Περὶ ἐλευθερούντων καὶ ἐλευθερουμένων· καὶ τίνες δύνανται ἐλευθεροῦν ἢ ἐλευθεροῦσθαι· καὶ τίνες κωλύονται· καὶ περὶ ἐλευθεριῶν φιδεικομμισσαρίων τε καὶ ὀρθῶν· καὶ ὑπὸ αἵρεσιν καὶ αἰτίαν καὶ ἡμέραν :— ιγ

Περὶ τῶν ἐλευθερουμένων ἐξ αἰτίας εὐλόγου· καὶ τῶν λαμβανόντων τὴν ἐλευθερίαν ὡς αὐτοματίαν καὶ ἔπαθλον :— ιδ

Περὶ ἐλευθέρων πραθέντων ἢ δουλαγωγουμένων ἢ βίᾳ κατεχομένων :— ιε

Περὶ ἐλευθερουμένων εἰς βλάβην τῶν δανειστῶν :— ιϛ

Περὶ ἐλλιμένων :— ιζ

ιη΄ Περὶ ἐμπρησμοῦ καὶ τῶν ποιούντων αὐτόν :

ιθ΄ Περὶ ἐμφυλευσάντων :

κ΄ Περὶ ἐνοχῆς παιδίων ἀπό τε συναλλαγμάτων καὶ ἀμαρτημάτων τῶν [illegible]μένων· καὶ τίνες ἐνέχονται· καὶ τίνες οὐκ ἐνέχονται :

κα΄ Περὶ ἐνεχυραζόντων :

κβ΄ Περὶ ἐνεχύρου καὶ ὑποθήκης καὶ περὶ διαπράσεως· καὶ πότε καὶ αἱ στρατεῖαι ὑπόκεινται· καὶ ποῖα σιωπηρῶς ὑπόκειται· καὶ τίνα ἐν αὐτοῖς προτιμῶνται :

κγ΄ Περὶ ἐνοικίου :

κδ΄ Περὶ ἐντολῆς :

κε΄ Περὶ ἐντολέων :

κϛ΄ Περὶ ἐξορίστων :

κζ΄ Περὶ ἐξορκιστῶν :

κη΄ Περὶ ἐξοπλισμοῦ ἀγροῦ τε καὶ οἴκου καὶ ἐργαστηρίου :

κθ΄ Περὶ ἐπαγγελλομένων ἔργον τι ποιεῖν ἐν πόλει ἢ χρήματα διδόναι :

λ΄ Περὶ ἐπερωτήσεων καὶ ἐπερωτώντων καὶ ἐπερωτωμένων :

λα΄ Περὶ ἐπιβουλευόντων τῶν καθ' οἱονδήποτε τρόπον εἴτε κατὰ τῆς βασιλείας εἴτε κατὰ τῆς πολιτείας ἢ τοῦ στρατοῦ ἢ τῶν ἀρχόντων αὐτῶν μελετησάντων ἢ προδοσίαν ποιησάντων· ἢ πρὸς τοὺς πολεμίους αὐτομολησάντων· ἢ γράμματα στειλάντων· ἢ ἐρεθισάντων στρατιώτας πρὸς στάσιν ἢ θόρυβον· ἢ προδόντων κάστρα· ἢ [illegible]· ἢ βλαψάντων τεῖχος, ἢ δι' αὐτοῦ· καὶ μετὰ τῆς πορείας [illegible]· καὶ τίνες αὐτῶν ὑπόκεινται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι· καὶ τίνες τῷ τῶν φονευτῶν :

λβ΄ Περὶ ἐπιβολῶν, ἔστι δὲ ἐπιβολὴ ἐπίδοσις ἀπόρου κτήσεως πρὸς κληρονόμους ἢ συντελεστάς· καὶ ὁμοχώρους καὶ ὁμοσκήνους :

λγ΄ Περὶ ἐπιδίκων τουτέστιν ὧν ἡ δεσποτεία φιλονεικεῖται :

λδ΄ Περὶ ἐπιόρκων :

λε΄ Περὶ ἐπισκόπων καὶ χειροτονίας αὐτῶν καὶ περὶ νοσούντων :

λϛ΄ Περὶ ἐπιτρόπων καὶ τίνες δύνανται ἐπιτροπεύειν καὶ τίνες οὐ δύνανται· καὶ πότε εὐθύνονται εἰς τόκους καὶ πότε οὐκ εὐθύνονται :

λζ΄ Περὶ ἐπιτροπευούσης μητρὸς καὶ διοικούσης τὰ τῆς θυγατρὸς πράγματα :

λη΄ Περὶ ἐποπτῶν ἤτοι ἐξισωτῶν κηνσουάλων :

στοιχεῖον ε:

Περὶ ἐργολάβων· ἔστι δ' ἐργολάβος ὁ χρήματα δεδωκὼς ἐπὶ τῷ ἐκτε- λθ'
λεσθῆναι ἀλαζών:
Περὶ ἐρημοδικιῶν, τουτέστι τῶν ἐγκαλουμένων ὁποτέρως καταδι- μ'
κασθέντων:
Περὶ εὐνούχων· καὶ περὶ τοῦ μὴ εὐνουχίζεσθαι ῥωμαῖον: μα'

## στοιχεῖον ζ:

Περὶ ζημιουμένων ἀνθρώπων τε καὶ ἀλόγων ζώων· οἷον ἵππου λακτίζοντος ἢ α'
βοὸς κερατίζοντος ἢ κυνὸς δάκνοντος· καὶ λοιπῶν:
Περὶ ζητητῶν ἤτοι ἐξεταστῶν· καὶ πότε καὶ τίνας δεῖ ἐμβασάνως ἐξετά- β'
ζεσθαι:

## στοιχεῖον η:

στοιχεῖον η:

Περὶ ἡμερῶν ἀπράκτων ἤτοι σχολαζουσῶν· καὶ τίνες ἐν αὐταῖς τιμω- α'
ροῦνται ἢ τῆς φυλακῆς οὐκ ἐκβάλλονται· καὶ τίνες οὐ τιμωροῦνται ἢ τῆς
φυλακῆς ἐκβάλλονται· καὶ ὅτι ἡ ἡμέρα ἀπὸ ς' ὥρας ἄρχεται τῆς νυκτός:

## στοιχεῖον θ:

στοιχεῖον θ:

Περὶ θεάτρων καὶ θυμελικῶν· καὶ περὶ θεωρέτου· ἤγουν τὸ περὶ δεσμο- α'
στασιωτῶν:
Περὶ θησαυρῶν εὑρισκομένων: β'
Περὶ θυσιῶν: γ'

## στοιχεῖον ι:

στοιχεῖον ι:

Περὶ ἱερέων: α'
Περὶ ἱεροσυλίας: β'
Περὶ ἱκανοδοσίας διδομένης ἐπὶ ἐκπληρώσει τῶν κριθέντων ἢ- γ'
κριθησομένων· καὶ τίνες ταύτην διδόασιν ἢ λαμβάνουσιν· καὶ περὶ
τῶν πρὸ αὐτῶν διδομένων ἐγγυητῶν τε καὶ ἐντελέων· καὶ πότε καὶ ἐν

ιδʹ τόσιν εὐθυνόντων :
Περὶ ἰουδαίων :

## στοιχεῖον Κ :

αʹ Περὶ κακοτέχνων ἤτοι πανούργων καὶ δολίων· ὧν τὸ ἔργον ὑποκείμενον ἢ πραθὲν ὡς ἴδιον καὶ ἀνεύθυνον· πρὸς ἑτέρους μεταφερόντων· οἵτινες καὶ τῷ στελλιονάτους ὑπόκεινται ἐγκλήματι ὡς ἀντεβαδίσαι :

περὶ κακοτεχνίας ζήτει ἐν τῷ περὶ ἐπιβουλῆς :+

βʹ Περὶ κανόνων διαφόρων νομίμων :

γʹ Περὶ καρπῶν καὶ τῶν κακῇ πίστει καρπωσαμένων :

περὶ τῶν κακῇ πίστει εἴρηται ἐν τῷ περὶ ἐκδικουμένων :+

δʹ Περὶ καταμηνυόντων ἤτοι προσαγγελλόντων θησαυρούς τε καὶ λοιπὰ τὰ τῷ δημοσίῳ ἀνήκοντα· καὶ τίνες κωλύονται καταμηνύειν :

εʹ Περὶ καταδικασθέντων καὶ περὶ ἐκκειμένου πράγματος :

ςʹ Περὶ καταδίκων δημευομένων ἢ συγχωρουμένων :

ζʹ Περὶ καταπιπτόντων οἴκων :

ηʹ Περὶ τῶν κατηγορούντων τε καὶ κατηγορουμένων ἐγκληματικῶς, καὶ τίνες δύνανται κατηγορεῖν ἐγκληματικῶς καὶ τίνες οὐ δύνανται κατηγορεῖν. καὶ ὅτι ἐκ τῶν δεκίας ὀφείλει πληροῦν ὁ κατήγορος τὴν ἰδίαν κατηγορίαν, καὶ ὅτι ὁ κατήγορος χωρὶς συγχωρήσεως ἀποστὰς ὑποπίπτει τῷ περὶ συκοφαντίας ἐγκλήματι. καὶ περὶ τῶν προδιδόντων τὴν ἰδίαν ὑπόθεσιν κατηγόρων. καὶ περὶ τῶν κατηγορούντων ἐπὶ τοσοῦτον χρονιζομένων. καὶ πότε δεῖ τοὺς κατηγορουμένους φυλακῇ ἐμβάλλεσθαι ἢ στρατιώταις παραδίδοσθαι ἢ ἐγγυηταῖς ἢ ἑαυτοῖς καταπιστεύεσθαι :

θʹ Περὶ καινοτομίας ἤτοι καινοῦ ἔργου γινομένου ἐν οἰῳδήποτε τόπῳ. εἴτε δημοσίῳ εἴτε ἰδιωτικῷ· ὅτι καινοτομία τινός· καὶ πότε καὶ πῶς ὁ καινοτομηθεὶς προσαγγέλλεται :

ιʹ Περὶ κεκωλυμένων ὁδῶν :

ιαʹ Περὶ κηπουρῶν :

ιβʹ Περὶ κιχρώντων καὶ κιχρωμένων· καὶ τίνες οὐκ ἀνέχονται τῇ ἀπαιτήσει τῶν ἐν χρήσει διδομένων, καὶ τίνι οἱ ἐνθυμούμενοι ἐνέχονται :

ιγʹ Περὶ κλεπτοτιμήματος :

ιδʹ Περὶ κληρονομίας καὶ ἐνστάσεως καὶ αἰτιόντων καὶ καλούντων. ἔτι περὶ

κυοφορουμένων καὶ ἀποκλήρων. ἢ ἀμνημονεύτων ἐασθέντων. ἤτοι ὡς
ἀχαρίστων ἢ ἄλλως πως. καὶ περὶ τῶν τῆς ἀχαριστίας αἰτιῶν. καὶ περὶ
ζωῆς φορᾶς :—

Περὶ κληρονομίας παίδων γνησίων τε καὶ νόθων. καὶ ἐκ νόθων γινομένων ιε
γνησίων. καὶ παλλακῶν τῶν γνησίων γινομένων τῇ τῶν προικῴων συμ-
βολαίων ποιήσει :—

Περὶ κληρονομίας ἀνιόντων καὶ κατιόντων καὶ λοιπῶν συγγενῶν τῶν ἐξ ἀ- ιϛ
διαθέτου κληρονομεῖν δυναμένων. καὶ τίνες καλοῦνται πρῶτοι καὶ τίνες
δεύτεροι καὶ καθεξῆς. καὶ τίνες ἐκπίπτουσι τῆς κληρονομίας καὶ πότε. καὶ
περὶ τῆς παρ' αὐτῶν αἰτουμένης διακατοχῆς. καὶ περὶ τῶν ἀξιωθέντων ἀ-
ποκαταστῆσαι τινὶ κληρονομίαν. ἢ μέρος αὐτῆς ἢ φιδεικόμμισσον. καὶ
περὶ γυναικὸς καὶ ἀνδρὸς ἀλλήλους κληρονομούντων :—

Περὶ κληρονόμων ἐνεχομένων ἐκ τῶν πλημμελημάτων τῶν τελευτησάν- ιζ
των καὶ ἐναγόντων καὶ ἐναγομένων ὑπὲρ τῶν κληρονομιαίων πραγμάτων.
καὶ περὶ τῆς τούτων ἐκδικήσεως καὶ ἀπαιτήσεως καὶ ἀποκαταστάσεως ἀπὸ
τῶν ταῦτα νεμομένων. εἴτε καλῇ πίστει εἴτε κακῇ :—

Περὶ κληρικῶν ἱερέων τε καὶ λοιπῶν τῶν ἐν ἐκκλησιαστικῷ βαθμῷ κα- ιη
ταλεγομένων :—

Περὶ κλοπῆς γενομένης ὑπὸ ἐλευθέρων τε καὶ δούλων καὶ περὶ κλοπιμαί- ιθ
ων. καὶ περὶ τῆς παρὰ φαμιλίας γενομένης κλοπῆς. καὶ περὶ τῆς ἐν καταπ-
λάγῳ γινομένης. καὶ περὶ τῆς τῶν κληρονομιαίων κλοπῆς. καὶ τῆς γινομέ-
νης εἰς σάκκους ἢ ἐσθῆτας. τουτέστι τῶν τοὺς ἀνθρώπους ἐκδυόντων κλεπτῶν :—

Περὶ κογχυλευτῶν :— κ

Περὶ κοινωνίας καὶ λύσεως αὐτῆς καὶ περὶ κοινοπραξίας, καὶ περὶ δα- κα
πανημάτων γινομένων παρὰ κοινωνῶν :—

περὶ τῶν κοινοτύρων εἴρηται ἐν τῷ περὶ δημοσίου δρόμου :—

Περὶ κοινῶν πραγμάτων καὶ διαιρέσεως αὐτῶν καὶ διαπράσεως. καὶ κβ
παρὰ τίνι εἶναι ὀφείλει τὸ κοινὸν δικαίωμα :—

Περὶ κολάκων :— κγ

Περὶ κομερκίου :— κδ

Περὶ κοττιζόντων ἤτοι κυβευόντων :— κε

Περὶ κουρατώρων καὶ τίνες εἰσὶ προκουρατόρων καὶ τίνες κωλύονται κου- κϛ
ρατωρεύειν :—

κζ' Περὶ κληνοθαλῶν:
κη' Περὶ κωδικίλλου:

## στοιχεῖον λ':

α' περὶ λύπης τοῦ μὴ γίνεσθαι ἐπὶ λαϊκῶν· ἀλλ' ἐν ρκα' κε(φ.) μη': Περὶ τῶν λάθρα εἴρηται ἐν τῷ περὶ βίας:
β' Περὶ λεγάτων:
γ' Περὶ λειτουργιῶν καὶ τίνες λειτουργεῖν οὐκ ἀναγκάζονται· καὶ πότε οὐκ ἀναγκάζονται· ἀλλ' ἔχουσιν ἀλειτουργησίαν:
δ' Περὶ λειψάνων ἁγίων· καὶ περὶ λειψάνων τῶν τιμωρηθέντων κατὰ δίκας:
ε' Περὶ λῃστῶν:

## στοιχεῖον μ':

α' Περὶ μαθηματικῶν:
β' Περὶ μανδατόρων:
γ' Περὶ μανιχαίων:
δ' Περὶ μαντέων:
ε' Περὶ μαινομένων:
ς' Περὶ μαρτύρων συμπολιτῶν καὶ ἄλλων καὶ περὶ μαρτυριῶν:
ζ' περὶ τῶν μὴ ἐξεωσουμένων εὑρήσεις ἐν τῷ περὶ ἀπαιτήσεως: Περὶ μεσιτευτῶν:
η' Περὶ μεταθέσεως ἐνοχῆς:
θ' Περὶ μετοίκων:
ι' Περὶ μετρητῶν ψευσαμένων περὶ τὸ μέτρον:
ια' Περὶ μεταλλιζομένων:
ιβ' Περὶ μιτάτων ἤτοι ἀπληκτῶν· καὶ τίνες οὐχ ὑπόκεινται αὐτοῖς:
ιγ' Περὶ μισθωσάντων καὶ ἐκμισθωσάντων· καὶ μισθωμάτων καὶ μισθουμένων· καὶ ὅτε ἐπὶ τῶν πολιτικῶν οἰκημάτων σιωπηρῶς ὑπόκεινται τῷ μισθωτῇ τὰ εἰσαχθέντα:
ιδ' Περὶ μισθοῦ παιδευτῶν ἤτοι διδασκάλων· φιλοσόφων καὶ ἰατρῶν ἐ

λοιπῶν :–
περὶ μνηστείας καὶ συστάσεως καὶ λύσεως αὐτῆς· καὶ περὶ τῶν ὀνόματι αὐ-
τῆς γινομένων ἀρραβώνων καὶ δωρεῶν :– ιε
περὶ μοιχείας καὶ πάσης τῆς κατ' αὐτὴν ἐνοχῆς καὶ ἀτιμίας :– ιϛ
περὶ μοναστηρίων οἰκοδομῆς· καὶ περὶ μοναζόντων καὶ τῆς διαγωγῆς
αὐτῶν καὶ τῶν περιουσιῶν αὐτῶν :– ιζ
περὶ μονιτρείων ἤτοι χαμαιτυπείων :– ιη
περὶ μυσαλογαμίας· τοῦ μὴ γίνεσθαι ἐν ἰδιωτικῷ οἴκῳ· ἀλλ' ἐν ναῷ :– ιθ

στοιχεῖον ν̅ :–
περὶ ναυτικῶν ἐνοχῶν καὶ παντοίων ἀποτελουμένων, περὶ πλοίων τε
καὶ πάντων τῶν ἐν αὐτοῖς πλεόντων· ναυκλήρων· πιστικῶν· ναυτῶν· ἐμπό-
ρων τε καὶ λοιπῶν ἐπιβατῶν, καὶ περὶ ναυαγίου :– α
περὶ νεμομένων τὸ ἀλλότριον· ἤτε καὶ περὶ ἐπεισόδους :– β
περὶ νηπίων ἐκτεθειμένων ἤτοι ἐκριπτομένων· ἐλευθέρων τε καὶ δούλων :– γ
περὶ τῶν ἐς νομὴν ἤτοι διακατοχὴν πεμπομένων· καὶ ἐκ ποίων αἰτιῶν πέ-
μπονται· καὶ πότε τὰ ἐς νομὴν δοθέντα περιπεσόντας· καὶ περὶ παραγραφῆς
τῶν ἐς νομὴν πεμφθέντων· βίᾳ ἢ δόλῳ ἐκβληθέντων :– δ
περὶ νομέων ἤτοι βοσκῶν :– ε
περὶ νόμου καὶ μακρᾶς συνηθείας :– ϛ
περὶ ὑδάτων πηγαίων :– ζ

στοιχεῖον ξ̅ :– στοιχεῖον ξ :–
περὶ τοῦ ξενῶνος τοῦ ὁσίου Σαμψών :– α

στοιχεῖον ο̅ :– στοιχεῖον ο :–
περὶ ὁδοῦ δημοσίας τε καὶ ἀγροικικῆς· καὶ ἰδιωτικῆς καὶ πλατείας :– α
περὶ ὅρκου ἐπακτοῦ· καὶ ἀνταποδιδομένου καὶ δικαστικοῦ· καὶ τοῦ περὶ β
συκοφαντίας· καὶ τίνες οὐ δύνανται ὅρκον ἐπάξαι ἢ ἀντεπάξαι· καὶ πότε
οὐκ ἔχει παραγραφὴν ὁ ὀμνύς· καὶ οἱ ἔνδοξοι καὶ ἀσθενεῖς· οἴκοι ὀμνύ-

ουσιν :

γ Περὶ ὅρκου ἐνδίκου· καὶ τίνες οὐκ ἀναγκάζονται ἐπέχειν αὐτόν· ἐπὶ πότε· καὶ δοθέντος αὐτοῦ κουφίζεται ὁ ἐναγόμενος :

δ Περὶ ὅρκου δοθέντος παρὰ τοῦ ληγατεύοντος· ἕνεκεν τοῦ μέρους τῆς αὐτοῦ περιουσίας :

ε Περὶ ὅρκου διδομένου παρὰ τῶν χρεωστουμένων ἐπὶ προικός :

ς Περὶ ὁμολογητῶν· καὶ πότε εὐθύνονται καὶ πότε οὐκ εὐθύνονται :

ζ Περὶ ὅπλων καὶ ὁπλοποιῶν· καὶ τοῦ μηδένα τῶν ἰδιωτῶν ἐργάζεσθαι ἢ ἀγοράζειν ἢ ἐπιφέρεσθαι, ἢ ἔχειν ὅπλα :

η Περὶ ὅρων ἀποκινηθέντων, καὶ περὶ ζημίας αὐτῶν :

θ Περὶ ὀρφανοτρόφου :

## στοιχεῖον π :

α Περὶ παίδων φυσικῶν ἤτοι νόθων· καὶ τῶν ἐκ νόθων γνησίων γινομένων. καὶ περὶ παλλακῶν τῶν καὶ γνησίων γινομένων τῇ τῶν προικώων συμβολαίων ποιήσει :

β Περὶ παιδευομένων συγγενῶν :

γ Περὶ παραγραφῶν καὶ ἀντιπαραγραφῶν :

δ Περὶ παραστηκιοῦ :

ε Περὶ παρακαταθήκης

ς Περὶ παραστάσεως ἤτοι ἐπιδείξεως πραγμάτων καὶ ἀποκαταστάσεως αὐτῶν ἀγωγῆς :

ζ Περὶ παροίκων :

η Περὶ χαρακίων καὶ παραχαρακίων :

θ Περὶ παρακλήσεως συγχωρουμένων ποιεῖν τι ἢ νέμεσθαι :

ι Περὶ πατριάρχου :

ια Περὶ πατρώνων καὶ ἀπελευθέρων :

ιβ Περὶ πεκουλίου :

ιγ Περὶ πενθίμου καὶ τίνες οὐ πενθοῦνται :

ιδ Περὶ περιοριζομένων :

ιε Περὶ τῶν πειρατοπρακτούντων· τουτέστι περὶ τῶν ἀπατεώντων :

ις Περὶ πλάνης· οἷον ὅτε ὁ διαθέμενος εἶπε περὶ οἰκογενοῦς δούλου τὸν δεῖνα

ἀγοραστοῦ :—

Περὶ πλαστῶν καὶ τῶν εὑρισκομένων ἐν βιβλίοις ἐγκλημάτων :— ιζ'

Περὶ ποινῶν :— ιη'

Περὶ πόλεων καὶ προνομίων αὐτῶν· καὶ τῶν ἀπόντος πολιτικῆς διοική-
σεως ἢ φάκτου εὑρισκομένου αὐτῆς :— ιθ'

Περὶ πολιτῶν καὶ προνομίων αὐτῶν καὶ λειτουργιῶν :— κ'

Περὶ πορνοβούλων καὶ μάλιστα τῶν τὰς ἰδίας δούλας· εἴτε γυναῖκας ἔχουσιν.
εἴτε μή· καὶ περὶ τῶν πειρωμένων δύο γυναῖκας ἔχειν :— κα'

ἐν ᾧ καὶ περὶ τῶν τὰς ἀλλοτρίας δούλας πορνοβούλων :—

Περὶ πορνοβοσκοῦ :— κβ'

Περὶ πολέμου καὶ τῆς ὄχθης αὐτοῦ· καὶ περὶ τῆς ἐν αὐτῷ φυομένης νίκης :— κγ'

Περὶ πραγματευτῶν τῶν τῇ εὐθηνίᾳ ἐπιβουλευόντων· ἐκ τοῦ προαγορά-
ζειν καὶ ἀποτίθεσθαι· καὶ περὶ τοῦ μὴ ἐξεῖναι αὐτοῖς συμφωνεῖν πρὸς ἀλ-
λήλους περὶ τῶν εἰδῶν· ἐφ᾽ ᾧ μὴ ἧττον οὗ πρὸς ἀλλήλους διέταξαν
πραθῆναι· καὶ τοῦ μὴ ἔχειν μονοπώλιον :— κδ'

Περὶ πραγμάτων ποιότητος· καὶ τῆς διαιρέσεως αὐτῶν :— κε'

Περὶ προσδούλων ἀλλότρια δικαιώματα :— κς'

Περὶ προδότου καὶ αὐτομόλου :— κζ'

Περὶ προθεσμιῶν τῶν διδομένων τοῖς δικαζομένοις παρὰ τῶν δικαστῶν :— κη'

Περὶ προικὸς καὶ προνομίου αὐτῆς καὶ δικαίου καὶ περὶ αὐτῆς πάκτων ἤ-
τοι συμφώνων· καὶ ποῖα αὐτῶν ἔρρωται καὶ ποῖα οὐκ ἔρρωται· ἔτι περὶ
ἀπαιτήσεως καὶ ἐκδικήσεως αὐτῆς· καὶ περὶ τῶν εἰς αὐτὴν γενομένων
δαπανημάτων· καὶ ποῖα τῶν δαπανημάτων μειοῦσιν αὐτήν· καὶ ποῖα
οὐ μειοῦσι· καὶ περὶ ἀπαιτήσεως πρώτης καὶ δευτέρας προικός· ἔτι περὶ
τῆς ὑποσχεθείσης καὶ μὴ ἐπιδοθείσης· ἔνθα καὶ περὶ τῆς προγαμιαίας
δωρεᾶς φησίν· καὶ ὅτι ὁ ἀνὴρ οὔτε ἐγγυητὴν οὔτε μανδάτωρα ἐπὶ τῷ φυ-
λάξαι τὴν προῖκα δίδωσι :— κθ'

Περὶ προικὸς καὶ προγάμου δωρεᾶς ὅτι οὐχ ὑπόκειται κληρονομί-
αις ἀποκαταστάσεσι· καὶ ὅτι μετὰ τὸν γάμον δύναται ἐπαυξάνεσθαι· καὶ
περὶ τοῦ μὴ ἐκποιεῖσθαι τὰ ἀκίνητα αὐτῶν· καὶ περὶ προνομίου προικός.
καὶ ὅτι οὐ συμψηφίζεται εἰς τὴν τοῦ ἀνδρὸς ὑπόστασιν ἡ προὶξ· ἐπιφερο-
μένης αὐτῷ λειτουργίας :— λ'

Περὶ προξενητῶν καὶ προξενητικῶν :— λα'

## στοιχεῖον π :

λβ' Περὶ προστίμων ἤτοι ποινῶν τῶν ἐξ ὑπερθέσεως καὶ ἀπὸ καταδίκης ἀρχόντων :

λγ' Περὶ τῶν προσφευγόντων τῇ ἁγίᾳ ἐκκλησίᾳ δούλων τε καὶ ἐλευθέρων· καὶ τίνες αὐτῶν οὐκ ἔχουσιν ἀθώωσιν :

λδ' Περὶ τῶν προσφευγόντων εἰς προστασίαν τινῶν δυνατῶν :

λε' Περὶ προτιμήσεως τῶν πιπρασκομένων παρὰ τῶν μισθωσαμένων καὶ περὶ τῶν ἐξ ἀνακοινώσεως ἐχόντων πρᾶγμα :

λϛ' Περὶ τῶν προσπαιζομένων ἵππων :

λζ' Περὶ προχρονισμοῦ :

## στοιχεῖον ρ :

α' Περὶ ῥιμμάτων ζημίας :

β' Περὶ ῥωμαίων :

## στοιχεῖον σ :

στοιχεῖον σ :

α' Περὶ σεπτεμίου :

β' Περὶ στασιωτῶν· ἤτοι τῶν στάσεις καὶ θορύβους καὶ ὀχλαγωγίας ποιούντων· καὶ τῶν διεγειρόντων αὐτοὺς ἢ ὑποδεχομένων :

γ' Περὶ στρατηγῶν :

δ' Περὶ στρατιωτῶν καὶ προνομίων αὐτῶν καὶ πεκουλίων καὶ ἐρημῶν καὶ ἀννόνων· καὶ ἐπιδημιῶν καὶ περιόδων· καὶ περὶ τῶν παρ' αὐτῶν ἁμαρτανομένων· καὶ περὶ τιμωρίας ἑκάστου αὐτῶν ἁμαρτήματος· καὶ περὶ ἀποκαταστάσεως αὐτῶν· καὶ τίνες κωλύονται στρατεύεσθαι :

ε' Περὶ συγχαρείων :

ϛ' Περὶ συκοφαντῶν :

ζ' Περὶ συμβολαιογράφων καὶ συμβολαίων :

η' Περὶ συμφώνων καὶ συναινέσεων καὶ συναλλαγμάτων :

θ' Περὶ συνηθειῶν τῶν διδομένων παρὰ τῶν ἀρχόντων τοῖς διακομίζουσι καὶ ἐμφανίζουσι τὰς ἐκ βασιλέως ἀποστελλομένας σακέας ἤτοι ὑπαναγνωστικά· καὶ περὶ τῶν διδομένων συνηθειῶν τοῖς διακομίζουσι τὰ διατάγματα τῶν μελλόντων ἄρχειν πολιτικῆς ἢ στρατιωτικῆς ἀρχῆς :

ι' Περὶ συνηγόρων· καὶ τίνες κωλύονται συνηγορεῖν :

στοιχεῖον σ' :–

Περὶ συνωνῆς τῆς ἐν ὡρείοις ἀποκειμένης· καὶ τῆς ἐπιτίθεσθαι κελεύουσι χορηγουμένης παρὰ τῶν κτητόρων :– ια'

Περὶ συστημάτων καὶ σωματείων τεχνιτῶν· ἤτοι χαρακτῶν, χαλκέων, μαγκίπων· χοιρεμπόρων· καὶ λοιπῶν· καὶ περὶ συστημάτων ἀθεμίτων :– ιβ'

στοιχεῖον τ' :–

Περὶ ταβουλαρίων :– α'

Περὶ ταβλιζόντων ἐν κλωσταῖς καὶ ἑτέροις τόποις :– β'

Περὶ τακίου· ἤτοι τοῦ μὴ γινωσκομένου λεγάτου· ἀπὸ ἀναγνώσεως τῆς διαθήκης :– γ'

Περὶ ταξεωτῶν :– δ'

Περὶ τάφου· καὶ τί διαφέρουσιν οἱ τάφοι τῶν μνημάτων· καὶ περὶ τῆς γινομένης δαπάνης εἰς ταφὴν καὶ κηδείαν τῶν τεθνεώτων :– ε'

Περὶ τεχνῶν :– ς'

Περὶ τέλους δημοσίου· καὶ τελεσμάτων καὶ τελωνῶν :– ζ'

Περὶ τεχνιτῶν ἐργολάβων :– η'

Περὶ τοῦ μὴ ἐξεῖναι αὖθις σύμφωνα ποιεῖν· ἵνα τυχὸν μή τις ὅπερ ἄλλῳ ἐπεφάπη ἔργον πληρώσῃ :– θ'

Περὶ τῶν τικτομένων ἀπὸ δούλης καὶ ἐλευθέρας· ἢ τοὐναντίον· καὶ ἀπὸ ἐναπογράφων καὶ ἐλευθέρων :– ι'

Περὶ τιμῆς πολιτικῆς :– ια'

Περὶ τόκων ἀπαιτουμένων καὶ μὴ ἀπαιτουμένων· καὶ ἀργυροπρατικοῦ καὶ τῶν μὴ ἐπὶ ὑποθέσει ἀπαιτουμένων :– ιβ'

Περὶ τυμβωρύχων :– ιγ'

Περὶ τοιχωρύχων :– ιδ'

στοιχεῖον υ' :– στοιχεῖον υ' :–

Περὶ ὕβρεων :– α'

Περὶ ὕδατος αὐλλάξεως :– β'

Περὶ ὑποθεμάτων καὶ ὑποθεμένων· καὶ τίνες δύνανται ὑποτιθέναι ἢ ὑπο γ'

θελήσωσι καὶ τίνες οὐ δύνανται:

δ Περὶ ὑπεξουσίων δούλων τε καὶ ὑιῶν· καὶ τῶν κατὰ πίστιν δουλευόντων ἢ μή· καὶ πότε καὶ πῶς ὑπὲρ αὐτῶν ἐνάγονται καὶ εὐθύνονται οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους ἀπό τε συναλλαγμάτων καὶ χρεῶν ὅτε αὐτοὶ προστάσσουσι αὐτοὺς πραγματεύεσθαι· ἢ καὶ ὡς παραχωρήσαντες αὐτοῖς τὴν τοῦ πεκουλίου διοίκησιν. ἢ καὶ ὡς δανείσαντες αὐτοῖς εἰς τὰ τοῦ δεσπότου ἢ τὰ τοῦ πατρὸς πράγματα:

ε Περὶ ὑπεξουσίων καὶ λύσεως ὑπεξουσιότητος. καὶ ὅτι ἐὰν ἀχάριστοι φανῶσιν οἱ λυθέντες τῆς ὑπεξουσιότητος· γίνονται αὖθις ὑπεξούσιοι:

ϛ Περὶ ὑποθηκῶν:

ζ Περὶ ὑποθηκαρίου:

η Περὶ ὑπευθύνων εἰς φυλακὴν βαλλομένων· ἢ ἐπὶ τὰς δημοσίας:

θ Περὶ ὑπηρεσιῶν ἤτοι καρπῶν δούλων ἀπαιτουμένων:

ι Περὶ ὑποδεκτῶν:

ια Περὶ ὑποδεκτῶν τῶν ὑποδεχομένων λῃστὰς ἢ ἑτέρους ὑπευθύνους, καὶ μὴ παραδιδόντων αὐτοὺς τῷ δικαστηρίῳ:

ιβ Περὶ ὑποβολιμαίου τέκνου:

ιγ Περὶ ὑπονομιαίων ἤτοι κανάλων:

ιδ Περὶ ὑποφθορᾶς καὶ ὑπονοθεύσεως δούλων τε καὶ σκευῶν γυναικῶν. καὶ περὶ τῶν ὑποδεχομένων φυγάδα δοῦλον:

Περὶ ὑποφθορᾶς ἀντιδίκου· καὶ τίνες δύνανται αὐτοὺς ὑποφθείρειν. καὶ τίνες οὐ δύνανται:

## στοιχεῖον Φ:

α Περὶ Φαλκιδίου: — περὶ φαρμακ(...) δωρεᾶς τῆς ἐν τῷ περὶ φαρμάκων ἐργασίας:

β Περὶ φαρμάκων καὶ τῶν πωλούντων ἢ διδόντων φάρμακα:

γ Περὶ φθορέων παρθένων καὶ περὶ συντέκνων:

δ Περὶ φλυαριῶν χαρτῶν τουτέστι τῶν ἐπιδημίων πιττακίων καὶ ἐχόντων κατηγορίας κατά τινων:

ε Περὶ φόβου ὅτι τὰ διὰ φόβου γινόμενα οὐκ ἔρρωνται:

ϛ Περὶ φόνου τῶν ἐξ οἰασοῦν προφάσεως γινομένης ἑκουσίου τε καὶ ἀκουσί-

ων· καὶ περὶ τῶν βασανιζομένων ἐν τῇ τούτων ἐξετάσει· καὶ τίνες τῶν φονέων
τιμωροῦνται· καὶ τίνι συγγινώσκονται :—
Περὶ φρουρῶν δημοσίων· τῶν ἐν ταῖς πόλεσι τῶν θείων πραγμάτων φρον- ζ
τιζόντων :—
Περὶ φυγάδων δούλων :— η
Περὶ φυλακιτῶν καὶ φυλάκων καὶ φυλακῆς· καὶ τίσιν ὑποβάλλονται τι- θ
μωρίαις οἱ ἀποδιδράσκοντες τῆς φυλακῆς καὶ οἱ φύλακες αὐτῶν· καὶ περὶ
τοῦ μὴ εἶναι φυλακὴν ἰδιωτικήν :—

## στοιχεῖον χ :—

Περὶ χηρῶν :— α
Περὶ χρέους ἀπαιτήσεως καὶ περὶ χρεωστούντων καὶ χρεωστουμένων· καὶ β
περὶ ἐκστάσεως καὶ χωρισμοῦ καὶ διαπράσεως τῶν ὑποκειμένων τῶν χρεω-
στῶν· καὶ τίνες προτιμῶνται εἰς τὴν ἐξ ὠνῆς αὐτῶν· καὶ περὶ τῶν ἐκποιου-
μένων παρὰ χρεωστῶν εἰς περιγραφὴν τῶν δανειστῶν· καὶ περὶ διαφορᾶς χρέ-
ους καὶ δανείου· καὶ περὶ τῶν ἀρνουμένων τὰ ἴδια χρεωστεῖσθαι· καὶ τοῦ μὴ
ἐνέχεσθαι γαμετὴν ὑπὲρ ἀνδρὸς εἰ καὶ συνήνεσεν ἐν ᾧ δανειακῷ γραμ-
ματείῳ· μήτε μητέρα ὑπὲρ τοῦ παιδὸς χρεῶν· εἰ καὶ μερικὴν ἐποιή-
σατο καταβολήν· μήτε πατέρα ὑπὲρ παίδων· μήτε παῖδας ὑπὲρ πατρός· καὶ τοῦ
μὴ κατέχεσθαι τὰ τῶν χρεωστῶν τέκνα παρὰ τῶν δανειστῶν εἰς ἐνέχυρον ἢ δου-
λικὴν ὑπηρεσίαν· μήτε συνωθεῖσθαι τὰ λείψανα τῶν χρεωστῶν· καὶ περὶ
ἀνακαινισμοῦ καὶ μεταθέσεως καὶ ἀνεγκλήτου χρέους :—
Περὶ χρέους δημοσίου καὶ προικιμαίου καὶ ἰδιωτικοῦ· καὶ περὶ πρακτό- γ
ρων αὐτῶν :—
Περὶ χρήσεως καρπῶν καὶ χρήσεως ψιλῆς· καὶ οἷς κέχρηνται περὶ νομοῖς δ
οἱ ταύτην κατέχοντες· καὶ περὶ τῶν ἐκλειπόντων χρήσεων· καὶ ποίοις δαπανή-
μασι καὶ βάρεσιν ὑπόκεινται· καὶ ὅτι δύνανται καὶ μισθῶσαι τὸ ἀγορασθὲν
ἐξουσίᾳ τοῦ μισθωτοῦ :—

## στοιχεῖον ψ :—

στοιχεῖον ψ :—

Περὶ ψευδομαρτύρων :— α

## στοιχεῖον ω':

β' περὶ ψιλῆς ἐπαγγελίας καὶ περὶ ψιλοῦ συμφώνου:

γ' περὶ ψήφων δικαστικῶν ἤτοι ἀποφάσεων· καὶ ποία ἐστὶν ἀπελλητικὴ ἀπόφασις:

## στοιχεῖον ω':

α' περὶ ὡρεασίων τῶν ὑποδοχείων καλουμένων· καὶ περὶ ὁρέων· καὶ τῶν ἐν αὐτοῖς ἀποκειμένων εἰδῶν:

## Αἱ νεαραὶ τοῦ κυροῦ Ῥωμανοῦ· καὶ τοῦ κυροῦ Κωνσταντίνου καὶ τοῦ υἱοῦ αὐτοῦ· καὶ τοῦ κυροῦ Νικηφόρου τῶν βασιλέων:

Λίβελλος λέγεται ἡ ἔγγραφος αἴτησις·

βρέβια βέβια τὰ χάρτια καὶ ἐγκύκλια ἤτοι σωμάτια δικαιώματα:

Τίτλος λέγεται ἡ συντετμημένη καὶ κεφαλαιώδης τῆς τοῦ πράγματος αἰτίας δήλωσις:

στοιχεῖον α΄:

πλὴν ἀρχούσαν νομικῶν πραγμάτων, ἐν ταύτῃ ἐφόδους, ἢ μελετήσεις συντόμως:

Ἐκλογὴ καὶ σύνοψις τῶν βασιλικῶν ξ΄ βιβλίων σὺν τοῖς ἐπιτομαῖς κατὰ στοιχεῖον. τοῦ περὶ πίστεως μόνου τίτλου προτεθέντος πάντων τῶν στοιχείων διὰ τὸ τίμιον:

Περὶ τῆς ὀρθοδόξου πίστεως τῶν χριστιανῶν. καὶ τοῦ μηδένα καταβάλλεσθαι περὶ αὐτῆς δημοσίᾳ ἀμφισβητεῖν:

βιβλ. α΄ τίτ. α΄. κεφ. α΄ καὶ δ΄. ἐν οἷς φησιν ὅτι:

Χριστιανός ἐστιν, ὁ πιστεύων μίαν εἶναι θεότητα ἐν ἴσῃ ἐξουσίᾳ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ὁ γὰρ παρὰ τὰ εἰρημένα δοξάζων, αἱρετικός ἐστι. δημοσίᾳ μηδεὶς ἢ κληρικὸς ἢ μοναχὸς ἢ στρατευόμενος, ἢ ἄλλος οἱοσδήποτε πλήθους συναγομένου δημοσίᾳ περὶ τῆς πίστεως διαλεγέσθω. ὑβρίζειν γὰρ δοκεῖ τὴν ἐν Χαλκηδόνι σύνοδον, τὴν δεόντως πάντα διατυπώσασαν. ἥτις καὶ τοῖς αἱρετικοῖς πᾶσι δίδωσι γινώσκειν τὰ ἡμέτερα. εἰ τοίνυν ἐμμὲν κληρικὸς ἐστὶν ὁ ταῦτα ποιῶν, τοῦ συλλόγου τῶν κληρικῶν ἐκπιπτέτω. εἰ δὲ στρατευόμενος τῆς στρατείας. οἱ δὲ λοιποὶ κατὰ τὴν οἰκείαν τύχην τιμωρείσθωσαν: ἀρχὴ τοῦ α΄ στοιχείου: α΄

Περὶ ἀγγαρειῶν καὶ παραγγαρειῶν. καὶ τίνες καὶ πότε ἀγγαρεύονται. ἢ οὐκ ἀγγαρεύονται. βιβλ. ν΄ τίτ. α΄ κεφ. ε΄ ἐν τῷ φθ:

Δεῖ τὰς ἐκκλησίας μὴ λειτουργεῖν. μάλιστα ῥυπαρὰς λειτουργίας. εἰ μή τις ἀνανέωσιν γεφύρας, καὶ ὁδοστρωσίαν. ἐκποιεῖσθαι δὲ ἀγγαρείαις ἢ παραγγαρείαις, ἐν καιρῷ στρατοπέδου. καὶ κεφ. ζ΄ ἐν τῷ φθ. μὴ δὲ ἡ ἐκκλησία, μήτε ἕτερος τῶν τοῦ στρατοπέδου ἐξκουσευέσθω βαρῶν. ἀγγαρείας λοιπὸν ἢ παραγγαρείας, ἢ τινος ἑτέρου τινός. βιβλ. καὶ ε΄ νς΄ τίτ. ιζ΄ κεφ. κα΄ ἐν τοῖς φθ. μήτε ἀξία μήτε ἐκκλησία μήτε δὲ οἶκος, ἐν καιρῷ στρατοπέδου ἀπαλλάττεσθαι ἀγγαρείας ἢ παραγγαρείας. ἔστι ἀγγαρεία μέν, ἡ πάροδος ἡ διὰ τῆς δημοσίας ὁδοῦ τῆς καὶ δρόμον ἐχούσης. ὥστε τοῦ χοῦ ἐντεῦθεν ἐπὶ Τύρον. παραγγαρεία δέ, ἡ διὰ τῆς πλαγίας ὁδοῦ. καὶ ὅτε τὸ παλαιὸν ἦν ὁ πλατὺς δρόμος, ὁ λεγόμενος διὰ ὀχημάτων. τοῦτον τινὲς ἀναιροῦσι ἢ δι

τί ἐστιν ἀγγαρεία καὶ τί παραγγαρεία:

ἀταξίας, λέγουσα εἶναι· ἡνίκα διὰ προερχομένων στρατιωτῶν, ἢ τι πρεσβυτέρων ἢ τι ὅπλων. τοῖς δὲ λειποτάκταις ἀνεξόδων προσεχέσθωσαν τὰ μισθώματα. ἀνάγνωθι καὶ τὸ ιε' τοῦ αὐτοῦ ις' β' κεφ. κτ' :—

β' Περὶ ἀγνοίας νόμου ἢ φάκτου. καὶ τίνες βοηθοῦνται ἐξ αὐτοῦ. ἀνάγνωθι β' β' τ' δ' ὅθεν ἐκ φ' α' κεφ. ϙ' :—

Ἡ ἄγνοια ἢ φάκτου ἢ νόμου ἐστίν. ἐὰν γάρ τις ἀγνοῇ ὅτι ἐτελεύτησε τὸν συγγενῆ αὐτοῦ, οὐ τρέχει ὁ χρόνος τῆς διακατοχῆς. εἰ δὲ γινώσκει μὲν αὐτὸν τελευτῆσαι ἢ καὶ τυχὸν διατεθεῖσθαι εἰς αὐτόν, ἀγνοεῖ δὲ ἐξ ἀδιαθέτου ἁρμόζειν αὐτῷ ἢ ἐκ διαθήκης διακατοχήν, τρέχει ὁ χρόνος. περὶ γὰρ τὸν νόμον πλανᾶται. τὸ αὐτὸ ἐστὶ κἂν ὁ ὁμοπάτριος ἀδελφὸς νομίζῃ προτιμᾶσθαι αὐτοῦ τὴν μητέρα. εὑρήσεις δὲ ἐν τῷ γ' κεφ. τὴν τοῦ φάκτου ἄγνοιαν τοῦ ἀπολλυμένου καὶ τοῦ λίαν ἀμελοῦς, οὐ προσδεχόμεθα. εὑρήσεις δὲ ἐν τῷ ζ' κεφ. ἡ τοῦ νόμου ἄγνοια τοὺς μὲν ἀπαιτοῦντας τὰ ἴδια οὐ βλάπτει. ἐπὶ δὲ κέρδει οὐ συμβάλλεται. εὑρήσεις δὲ ἐν τῷ η' κεφ. ἡ τοῦ φάκτου ἄγνοια καὶ ἀνδράσι καὶ γυναιξὶ βοηθεῖ ἐπὶ κέρδους καὶ ζημίᾳ. ἡ δὲ τοῦ νόμου ἄγνοια, ἐπὶ κέρδους οὐδὲ γυναιξὶ βοηθεῖ. ἐπὶ ζημίᾳ, οὐδένα βλάπτει, ἤγουν τὸ ἴδιον ἀπαιτῆσαι. εὑρήσεις δὲ ἐν τῷ θ' κεφ. κανονικῶς ἡ μὲν τοῦ φάκτου ἄγνοια οὐδένα βλάπτει. ἡ δὲ τοῦ νόμου πάντας βλάπτει· πλὴν τῶν ἀφηλίκων καὶ ἔστιν ὅτε τῶν γυναικῶν, ἔνθα μὴ ἐστὶ ἁμάρτημα· ἀλλὰ νόμου ἄγνοια. ὁ γὰρ ἀφῆλιξ δανείσας ὑπεξουσίῳ, βοηθεῖται. καὶ ὅτε ἡ τοῦ νόμου ἄγνοια τότε οὐ συμβάλλεται· ὅτ' ἂν τις εἶχε τοὺς ὀφείλοντας ἐρωτηθῆναι τὸν νόμον ἢ αὐτὸς διὰ τῆς οἰκείας φρονήσεως εἰδέναι. ὁ γὰρ εἰδέναι δυνάμενος, ἐκ τῆς ἀγνοίας τοῦ νόμου βλάπτεται. ὅπερ ἀναιδῶς λεγόμεθα. εὑρήσεις δὲ ἐν τῷ ις' κεφ. ἡ τοῦ φάκτου ἄγνοια, τοῖς λησθεῖσιν οὐ συμβάλλεται φάκτοις. εὑρήσεις δὲ ἐν τῷ κα' κεφ. μηδεὶς ἀγνοείτω, ἢ ἀποπροσποιείσθω διατάξεις βασιλικάς :—

γ' Περὶ ἀγορασίας καὶ πράσεως. καὶ ὧν περὶ τῶν συναλλαγμάτων ἐκ συμφώνων, καὶ ποῖα πράγματα οὐ δύνανται πιπράσκεσθαι ἢ τι κεκώλυνται. καὶ περὶ διαφορᾶς πράσεως καὶ μισθώσεως. καὶ τίνες κωλύονται πωλεῖν ἢ ἀγοράζειν. ἀνάγνωθι β' θ' τ' α' ὅθεν ἐκ φ' α' κεφ. φησίν :—

Πάλαι καταλλαγὴ ἦν πραγμάτων ἀντιδιδομένων. ὕστερον δὲ γέγονεν ἡ πρᾶσις ἀργυρίων ἐπινοηθέντων. χωρὶς γὰρ ἀργυρίων, οὐ συνίσταται ἡ πρᾶσις.

ἡ ἀγορασία τότε συναινέται συνίσταται :—

α'

Καὶ μεταξὺ ἀπόντων, καὶ διὰ μέσου καὶ διὰ γραμμάτων. Ἐν τῷ δ' β' κεφ. με-
ταξὺ πρς καὶ υἱοῦ. εἰ μὴ ἐπὶ ἰδιοκτήτου πράγματος· οὐ συνίσταται πρᾶσις. καὶ ὅτι
ἄνευ τιμήματος, οὐκ ἔστι πρᾶσις. Ἐν τῷ δ' ζ' κεφ. οἱ πωλοῦντες καὶ οἱ ἀγοράζοντες.
ἐὰν διχονοῶσι περὶ τὸ τίμημα ἢ τὸ πρᾶγμα ἢ τὴν ὕλην· οὐκ ἔρρωται ἡ πρᾶσις.
τυχὸν γὰρ ἐγὼ πιπράσκων νομίζων πωλεῖν· καὶ σὺ Παῦλον ἀγοράζειν· ἢ χαλκὸς ἀν-
τὶ χρυσοῦ ἐπωλήθη. ἡ γὰρ περὶ τὴν προσηγορίαν τοῦ πιπρασκομένου πλάνη· οὐ βλά-
πτει τὸ συνάλλαγμα. Εἰ δὲ ὄξος ἀπὸ οἴνου, οὐ μὴν σκευαστὸν ἀντὶ οἴνου πρα-
θῇ· ἔρρωται ἡ πρᾶσις. καὶ ἐὰν ἧττον δόκιμος ἐστὶν ὁ πραθεὶς χρυσὸς παρ' ὃ
ὁ ἀγοραστὴς ἤλπιζεν, ἔρρωται ἡ πρᾶσις. Ἐν τῷ δ' ιδ' κεφ. ἐὰν ἐλευθερωθεὶς ὁ
δοῦλος μετὰ τοὺς ὅρους ὑποδέξασθαι τοῦ πραθέντος ἀγροῦ· πλέον ὑποδέξηται· ἢ κατὰ
δόλον ἢ ἄγνοιαν οὐ προσκρίνεται. Ἐν τῷ δ' ιε' κεφ. ὃ προσεπώλησα οὐ γίνεται τῶν
λαβόντων. εἰ μὴ δοθῇ τὸ τίμημα, ἢ ἱκανοδοσία. ἢ χωρὶς ἱκανοδοσίας πιστευ-
θῇ τῷ ἀγοραστῇ. Ἐν τῷ δ' κβ' κεφ. ὁ ἐξ οἰκείου ὀνόματος ἀγοράζων, νομίζων ἀντὶ δε-
σπότην, κἂν ἐπιστῇ ἀγοράζει· οὐ μὴν ὁ ἀγοράζων παρὰ ἀνήβου χωρὶς αὐθεντείας
τοῦ ἐπιτρόπου, ἢ ἐν βουλῇ σὺν αὐθεντίᾳ τοῦ πλαστοῦ ἐπιτρόπου. Ἐν τῷ δ' κγ'
κεφ. οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ. ὅθεν ἐὰν δοῦλος κλέ-
ψῃ τι τοῦ πεκουλίου, καὶ πραθῇ εἰς τὸν ἀγοραστήν, χώρα τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ
τὸ κλαπὲν πρᾶγμα. καὶ τῇ περὶ ἀποκρυβῆς ἀγωγῇ καὶ τῇ ἐκδικούσῃ τὸ τοῦ
πραθέντος τίμημα. Ἐν τῷ δ' λ' κεφ. ὁ τίμημα μὴ ὀφείλας, καὶ δωρεὰν μέλλων
αὐτὸ μὴ ἀπαιτεῖν· οὐ δοκεῖ πεπρακέναι. Ἐν τῷ δ' λβ' κεφ. εἰ μὴ εἰς τὸ παντελὲς
γίνεται πρᾶσις δωρεᾶς αἰτίᾳ, οὐκ ἔρρωται. εἰ δὲ δωρεᾶς αὐθεντίᾳ πραθῇ τι-
νι ἥττονος τιμήματος, ἤγουν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐδὲ τοῦτο ἔρρωται·
ἀλλὰ ἄκυρος ἡ πρᾶσις. Ἐν τῷ δ' λδ' κεφ. ἐὰν πωλήσας ἀγρὸν παραχωρήσῃ τὸ
ὕδωρ, καὶ ὁδοῦ χρῆσιν. Ἐν τῷ δ' λε' κεφ. τὰ εἰς ἔπαινον τοῦ πιπρασκομένου
λεγόμενα παρὰ τοῦ πράτου. εἰ μὴ φαίνονται, οὐκ ἐνοχοποιοῦσιν αὐτόν. οἷον
ὅτι εὐσταθής ἐστιν ὁ δοῦλος· ἢ καλῶς ὁ οἶκος ἐκτίσθαι. εἰ δὲ εἴποι γεγραμμα-
τισμένον, ἢ τεχνίτην εἶναι, τοιοῦτον ἀποδώσει· ὡς κατὰ τοῦ πλέονος πωλήσας.
Ἐν τῷ δ' λθ' κεφ. οὐδεὶς ἐκ τοῦ παρ' αὐτοῦ χειριζομένου ὀφφικίου ἀγοράζειν τι
δύναται δι' ἑτέρου ἢ δι' ἑαυτοῦ. ἐπεὶ καὶ τοῦ πράγματος ἐκπίπτει, καὶ εἰς τὸ
τετραπλοῦν ἐνάγεται. ὑπεξαιροῦνται δὲ οἱ ῥητῶς ἐπιτετραμμένοι. Ἐν τῷ
δ' να' κεφ. ὁ πράττων ὀφφίκιον ἐν ἐπαρχίᾳ, ἢ στρατευόμενος, οὐ δύναται
ἀκίνητον ἀγοράζειν ἐν αὐτῇ εἰ μὴ πατρῷον παρὰ τοῦ δημοσίου. Ἐν τῷ δ' ξε' κεφ.

οὐ καταδικάζομεν.

Ζήτει περὶ ἀρχόντων ἀγοραζόντων· ἀνὰ βιβ. ζ' τίτ. α' κεφ. ιη'. ὁ περὶ ...ρίοις ἐν τῷ περὶ στρατιωτῶν πωλῶν :

περὶ κεκωλυμένων.

Σημείωσαι ὅτι ἡ τιμωρία τῆς δίκης οὐ κατὰ τοῦ βάψαντός ἐστιν ἀλλὰ κατὰ τοῦ πωλήσαντος. ὡς γὰρ ὁρᾷς, οὐκ εἶπεν ὁ βάψας ἀλλ' ὁ πωλήσας τῇ τοιαύτῃ ὑποκείσθω τιμωρίᾳ:

Ὁ ἀγοράσας τοῖς δικαίοις τοῦ πράτου κέχρηται· καὶ τὴν νομὴν αὐτοῦ πρὸς τὴν τοῦ μακροῦ χρόνου παραγραφήν. Ἐν τῷ θ̄ σα΄ κεφ. μηδεὶς βαπτέτω ἢ πιπρασκέτω πορφύραν· μήτε ἐν μετάξῃ μήτε ἐν ἐρίῳ. ὁ δὲ πωλήσας, καὶ δημευέσθω καὶ κεφαλικῶς τιμωρείσθω. ὁμοίως δὲ καὶ ὁ ἀγοράσας ταύτην ἐκ τοῦ δημοσίου κανόνος ἢ πωλήσας, κεφαλικῶς τιμωρείσθω. Ἐν τῷ θ̄ οτ΄ κεφ. μηδεὶς τοῖς βαρβαρικοῖς ἀπεμπολείτω οἶνον ἢ ἔλαιον ἢ γάρον· μήτε τοῦ γεύσασθαι ἕνεκεν· μηδὲ ἐπὶ τῇ χρείᾳ αὐτῶν τῶν ἐμπόρων· μήτε δὲ ὅπλα ἢ σίδηρον πιπρασκέτω. ὁ δὲ παρὰ ταῦτα ποιήσας τι, δημευέσθω καὶ κεφαλικῇ ὑποκείσθω τιμωρίᾳ.

περὶ υἱοῦ πραθέντος. ἀνάγνωθι καὶ τὸ ε΄ σοι κεφ. ις΄:

Ἐν τῷ θ̄ οε΄ κεφ. Εἴ τις διὰ τὴν πολλὴν πενίαν καὶ τὴν ἔνδειαν τῆς τροφῆς ἕνεκεν τὸν υἱὸν ἢ τὴν θυγατέρα πωλήσει, ἔρρωται ἡ πρᾶσις. ἐπὶ τούτῳ δὲ μόνον ἔρρωται· ἐφ' ᾧ τὸν ἀγοράσαντα μὴ ἄλλως ἀναγκάζεσθαι ἀποδοῦναι τοῦτον τὰ πραθέντα· ἐὰν μὴ ἢ τὸ τίμημα λάβῃ ὅπερ ἐστὶν ἄξιον νῦν· ἢ ἀνδράποδον αὐτοῖς ὅμοιον. ἔξεστι γὰρ αὐτῷ τῷ πεπρακότι ἢ τῷ πραθέντι ἢ ἑτέρῳ οἱῳδήποτε ἐξ ἑτέρου εἰς τὴν ἰδίαν ἐλευθερίαν αὐτὸν ἐπαναγαγεῖν. μόνον ἐὰν ἢ τὸ τίμημα προσφέρῃ ὅπερ ἰσχύει νῦν ὁ πραθείς, ἢ ἀνδράποδον ὑπὲρ τούτου παράσχῃ. εἰ γὰρ καὶ πένης ἦν, εἶχε δὲ τὸν τρέφοντα αὐτόν, ὡς διὰ τὸ δυσσεβές, οὐ καλῶς πιπράσκει. ἡ γὰρ διάταξις φησίν· ὡς εἰ μὴ πάντα δεδαπάνησεν, οὐκ ἔρρωται ἡ πρᾶσις.

περὶ διαφορᾶς πράσεως καὶ μισθώσεως:

Ἐν τῷ θ̄ υδ΄ κεφ. Συνεφώνησά τινι κεράμους ποιῆσαί μοι τοῦ νομίσματος. εἰ μὲν ἐκ τοῦ ἐμοῦ ἐστὶν ἡ ὕλη ἐκ τῆς γίνονται, πρᾶσίς ἐστιν. εἰ δὲ ἐγὼ δέδωκα αὐτήν, μίσθωσίς ἐστιν. ἐπὶ μὲν γὰρ τῆς πράσεως, ἡ δεσποτεία τῆς ὕλης ἀμείβεται· ἐπὶ δὲ τῆς μισθώσεως, τὸ αὐτὸ μένει. ἀνάγν. καὶ βιβ. ι΄ τ. β΄ κεφ. λτ΄ ἐν ὑφ.

περὶ ἀρχόντων κωλυομένων ἀγοράζειν:

Παλαιῶν νόμων κωλυόντων τοὺς ἄρχοντας ἀγοράζειν τι παρὰ τῶν ἰδίων ἐπαρχιωτῶν· καὶ διατάξεως τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν τούτων τῶν νόμων ἀνανεωσάσης τῆς ἀντιλεγομένης ἐν ὑφ. α΄ β΄ τούτου τοῦ κώδικος, ἡ προκειμένη διάταξις τελεώτερον νομοθετεῖ· ἵνα κἂν τεχνίτης, ἢ ἄλλως τις οἱοσδήποτε μεταχειρίζων ὀφφίκιον ἀγοράσῃ πρᾶγμα ἐν ᾗ ἐστὶν ἡ ἐπαρχία, ἢ ἐν τῷ τόπῳ ἐν ᾧ χρειάζεται τὸ ὀφφίκιον, τοῦ πεπρακότος βλαβέντος αὐτοῦ καὶ διὰ τοῦτο πωλήσαντος, ἵνα καὶ τὸ ἀγορασθὲν ἀναδίδοται πρᾶγμα καὶ τὸ τίμημα κερδαίνει ὁ πεπρακώς. ἀνάγν. ἐν τ. ι΄ κεφ. λς΄ ἐν ὑφ. Ὁ πράτης φησὶν οἷς λέγει πρὸς ἔπαινον τοῦ πιπρασκομένου, οὐκ ἐνέχεται· εἰ μὴ ἐπὶ ἀπάτῃ τοῦ ἀγοραστοῦ εἶπε. τὸ γὰρ περὶ δόλου ἁρμόζει. ἀνάγν. ἐν τ. δ΄ κεφ. ις΄ θέμ. δ΄ ἐν ὑφ. Ἐπὶ τῆς πράσεως καὶ τῆς ἀγορασίας, ἔξεστι κατὰ φύσιν ἀλλήλους

α΄

ἐν δὲ τιμήματι περιέγραφον, τοὺς συναλλάσσοντας. ἀνάγνωθι καὶ τὸ νϛ΄ τοῦ ε΄ κεφαλαίου τῆς
ἐν τῷ τίτλῳ. Ἐὰν ἄρχων ἐπαρχίας, ἢ ἄλλως διοικητὴς αὐτὴν ἀγοράσῃ τι ἐν αὐτῇ· — Θς περὶ ἄρχοντος :-
κἂν διὰ μέσου τῆς πράσεως ἀκουσομένης, ἀναιρεῖται τὸ πρᾶγμα. Καὶ τὸ τίμημα τῷ
δημοσίῳ εἰσκομίζεται. Ὁ δὲ διοικῶν τι, οὐδὲ πλοῖον ἔξεστιν ἐν αὐτῇ κατασκευ-
άζειν. ἀνάγνωθι τὸ ε΄ τοῦ ξ΄ τοῦ μη΄ κεφαλαίου α΄ ἐν τῷ τίτλῳ. Κωλύεται ὁ ἀπόντα δοῦλον πωλῶν ὁ δὲ — περὶ δούλου φυγάδος. καὶ περὶ ἀπόντος :-
ἀπόντος οὐ μὴν τὸν φυγάδα. κακοῦργος δὲ ἐλέγχεται ὁ ζητεῖσθαι τὸν φυγάδα. καὶ ἔχων
ἠγορασμένον καὶ ἑτέρῳ πωλῆσαι. οἱ γὰρ τὴν φυγὴν τῶν ἰδίων δούλων πωλοῦντες, — ἐπιεικῆ(?)
ὑπόκεινται τῷ νόμῳ. Καὶ ἐν τῷ ι΄ κεφαλαίῳ. ὅτι τὸν ἐν φυγῇ δοῦλον, οὔτε πωλεῖν
δυνατόν ἐστιν, οὔτε δωρεῖσθαι· οὔτε ἀγοράζειν· ἄλλο ἐν ἐκ τούτων ποιήσας. ὑπόκειται
τῷ νόμῳ τῷ περὶ ἀνδραποδισμοῦ ἐπεξηγημένου συγκλητικοῦ δόγματος. οὔτε γὰρ ἐν τῷ — ζ. ἀνάγ. τοῦ συγκλητικοῦ δόγματος :-
οὔτε γὰρ ἐν τῷ διαιρεῖσθαι τὰ ἐπίκοινα πράγματα. ἀνάγκην ἔχουσι καὶ περὶ τοῦ ὄν-
τος ἐν φυγῇ οἰκέτου συμφωνεῖν· ὥστε τοῦτο αὐτοῦ εἶναι. δυνατὸν δὲ οὕτως πρᾶσιν
συμφωνηθῆναι ὑπὸ αἵρεσιν τυχόν· ὅτι ἐὰν εὑρεθῇ πιπράσκεσθαι αὐτὸν τόσων
δὲ νομισμάτων. ἀνάγνωθι καὶ τὸ ιϛ΄ τοῦ θ΄ τοῦ ε΄ ἐν τῷ τίτλῳ. περὶ ἐπιτρόπων ἐκουσάτωρ(?) :- Θς

Περὶ ἀγορασίας καὶ πράσεως, ἐπὶ ὅρῳ γινομένης. ὡς ἵνα γενο-
μένου ὑπερθεματισμοῦ ἤτοι ἐπαυξήσεως τοῦ τιμήματος. ἐκ τοῦ — δ΄ Περὶ ἀναλυομένης πράσεως :-
συνδόξαντος ἐν τῷ συμφώνῳ τῆς πράσεως ὅρου, ἀναλύεται ἡ πρᾶσις.
ἀνάγνωθι ε΄ τοῦ θ΄ τοῦ β΄. ὁ Σέλευκος ἐν τῷ γ΄ κεφαλαίῳ φησίν :-

Κρείττων ἡ αἵρεσις γίνεται. καὶ ἐν πλείονι ποσῷ. καὶ ἐν ταχυτέρᾳ ἢ εὐχερεστέρᾳ κα-
ταβολῇ. καὶ ἐν τόπῳ ἐπιτηδειοτέρῳ. καὶ ἐν εὐπορωτέρῳ ἀγοραστῇ. καὶ ἐν τῷ ἀ-
γοράσαι ἐπὶ ἐλαφροτέρᾳ αἱρέσει. καὶ ἐν τῷ μὴ ἀπαιτεῖσθαι τὸν πράτην ἱκανοδοσίαν.
καὶ τὰ λοιπὰ ὅσα ἂν ἐν τῇ πρώτῃ πράσει βαρέα καὶ ἧττον τίμημα δίδωσι. τὰ
γὰρ λυσιτελοῦντα τῷ πράτῃ, κρείττονα ποιεῖ τὴν αἵρεσιν αὐτοῦ. Ἐν δὲ τῷ ι΄ κεφαλαίῳ. ὅτι
ὁ δεύτερος ἀγοραστής, μόνον τὸ πρᾶγμα καὶ οὐ τοὺς καρποὺς λαμβάνει. οὐ πρό-
τερον δὲ ἐὰν τὸ αὐτὸ τῷ πρώτῳ δίδωσι τίμημα δοκεῖ γίνεσθαι κρείττων ἡ αἵρεσις
τοῦ πράτου. ὡς αὐτοῦ μέλλοντος κερδαίνειν τοὺς καρπούς. ἀνάγνωθι τὸ ε΄ τοῦ ιε΄ τοῦ α΄ κεφαλαίου.
περὶ τούτων δὲ ἀκριβῶς σαφέστερον ἐν τῷ περὶ ὑπερθεματισμοῦ τίτλῳ :-

Περὶ ἀγορασίας καὶ πράσεως, ἐπὶ ὅρῳ γινομένης. ὡς ἵνα εἰ μὴ ἐν — ε΄
τῇ τῆς ὁρισθείσης προθεσμίας καταβληθῇ τὸ τίμημα ἀναλύηται. ἀνάγνωθι
ε΄ τοῦ θ΄ τοῦ γ΄. ὁ Σέλευκος ἐν τῷ α΄ κεφαλαίῳ φησί :-

Τὸ ἔπος. ἐὰν ἐντὸς τῆς ὁρισθείσης προθεσμίας μὴ καταβάλῃς τὸ τίμημα. ἀνάγοραστος
ἔστιν ὁ ἀγρὸς ὑπὸ τοῦ πράτου ἐστί. καὶ δύναται αὐτὸν μὴ ζητεῖσθαι μήτε

ιβ

πρᾶσιν ἀνάγουσιν· οὐ γὰρ ἄλλων κέκληται τὸ πολιτικὸν ὅρον (?). ἐν δὲ τῷ μεταξὺ τοῦ ἀγο-
ραστοῦ κινδυνεύεται τὸ πρᾶγμα:

ϛ´ περὶ ἀγωγῆς ἢ κληρονομίας ἢ πραγματείας ἀγορασθέντων. ἀνάγνωθι βι(βλίον)
ιθ´ τί(τλον) δ´. θέματα ἐν τῷ ια´ κεφ(αλαίῳ) φη(σί):

Ἔνθα μὴ συνεφωνήθη ἵνα τὸ δίκαιον ὅπερ ὁ πράτης ἔχει αὐτῷ ἐπιπεπραμένον (?). ἀ-
ναγκάζεται δεῖξαι κληρονόμον ἑαυτόν. ἐν δὲ τῷ κ´ κεφ. ὁ πεπρακὼς ἀγωγήν, καὶ
τὰς ὑπὲρ τοῦ ἐναγομένου, καὶ τὰς ἀντιφωνητὰς (?) ἀγωγὰς ἐκχωρεῖ. εἰ μὴ ἕτερον ἔδο-
ξεν. ἐν δὲ τῷ κε´ κεφ. ἐκ τοῦ πραγματείου πράσεις. καὶ ἀγνοοῦντος ἐμοῦ βουλομένου
ἐκείνου καὶ οὐ ἐκχωρουμένων αἱ ἀγωγαὶ δύνανται συνίστασθαι:

ϛ´ περὶ ἀναγκαζομένης ἀγοραστίας. ἀνάγνωθι βι(βλίον) ιθ´ τί(τλον) ε´. θέματος ἐν τῷ ιε´ κε(φαλαίῳ)
θεματίῳ (?) φησίν:

Ἡ κατὰ δωρεὰν πρᾶσις, ἀνυπόστατός ἐστιν. ἐὰν δέ τις πωλήσας ἀγρὸν συνεφώνη-
σεν ἀντὶ τοῦ τιμήματος ἵνα ἀποστέρηται ἀπὸ τοῦ λαβόντος τὸν ἀγρόν, καὶ τοῦτο ἀναγ-
κάσει αὐτὸν πληρῶσαι τὰ συμφωνηθέντα. ἐν δὲ τῷ ις´ κεφ. ἡ πρᾶσις ἐν τῷ μὴ κα-
ταβληθῆναι τὸ τίμημα, οὐκ ἀνατρέπεται. εἰ μὴ ἄρα ἐξ ἀρχῆς, ἡ δωρεὰ ἐγένετο· καὶ
ὅτι ἡ τῆς ἀγοραστῆς πίστις, ἐπὶ τῆς πράσεως χωρεῖς (?) ..., οὐδεμία ἐστίν. ἐν
δὲ τῷ ἀρέσαντος τιμήματος, μὴ ἀριθμηθέντος. ἀλλὰ μόνης τῆς νομῆς αὐτῷ παρα-
δοθείσης. τὸ τοιοῦτον συνάλλαγμα, οὐκ ἔστιν ἄκυρον. οὐδὲ διὰ τὸ ὁ ἀγοράσας κα-
κῶς νέμεται. ὅτι μὴ καταβληθῇ ἡ ποσότης, ἣν δοθῆναι συνεφωνήθη. ἀλλὰ καὶ ἐπὶ
δωρεᾶς πράσεως κτήματος γινομένου. ἐὰν παράδοσις παρακολουθήσῃ ἀγωγῆς
τοῦ τιμήματος μηδεμιᾶς ἁρμοζούσης, περιποιεῖται ἡ δωρεά. καὶ ὅτι τὸ ἴδιον οὐ-
δεὶς δύναται ἀγοράσαι. ἀλλὰ κἂν ἀγνοῶν (?) δόξῃ ἀγοράσαι, οὐδὲν ... (?)
πρᾶγμα. ἐν δὲ τῷ κβ´ κεφ. ὅτι εἰ ὡς ἀρραβῶνος ἕνεκεν χρυσίον ἐδόθη. δύνα-
ται τοῦτο μόνον κατὰ τὴν πίστιν τῶν συμφώνων ἀναλαβεῖν. εἰ δὲ μέρος τοῦ τιμήματος
κατεβλήθη (?), εἰς τὸ ὀφειλόμενα παρὰ τοῦ πράτου. διὰ τῆς ἀγωγῆς περὶ τὸ τίμημα ἀπαι-
τοῦντος προσχεθῆναι μᾶλλον ἔχεις ἀγωγήν, ἢ περὶ τῆς ἀπαιτήσεως τῆς ποσότητος
τοῦ τιμήματος, ὅπερ δεδωκέναι ἐμνήσθης (?). ἀνάγνωθι βι(βλίον) ιθ´ τί(τλον) α´ κεφ. κα´ θέματα ἐν τῷ
φη(σί)· ὅτι ἡ κατὰ δωρεὰν πρᾶσις ἄκυρός ἐστιν. εἰ μέντοι ἕνεκεν ὁ ἠγόρασεν ἡ τιμή-
ματα (?) συνεχώρησεν, ἔρρωται ἡ δωρεά. καὶ κεφ. ξε´ ἐν τῷ φη(σί). ἐὰν μὴ ὡς
ταῖς ἀληθείαις πέπρακεν ὁ ἀνήρ· ἀλλὰ ἐκουσίως (?) πέπρακεν ἐδωρήσατο τῇ
γυναικὶ τὸ πρᾶγμα. εἰ μὲν ἐπέμεινε τῇ αὐτοῦ βουλήσει, ἰσχύσει ἡ δωρεά. ἐὰν
δὲ ὁ ἀνὴρ εὑρεθῇ, ἀπὸ περιουσίου (?) χρυσὸν καὶ μὴ ἀρκεῖ πρὸς ἀπόδοσιν ἢ

ἐν δὲ τῷ κβ´ (?) κεφ. τοῦ αὐτοῦ τί(τλου) ... ὅτι οὐ παύεται εἶναι τὸ πρᾶγμα τοῦ πεπρακότος ἕως μὴ λάβῃ τὸ τίμημα. ἢ τὸ ἱκανὸν ἢ ἐγγύας: +

ἐν πόσοις (?) περιγράφεται τῆς γυναικὸς ὁ δημόσιος:

περὶ ἐκουσίας (?) πράσεως:

÷ δημοσ(ίου) (?)

α΄

λοιπὴ περιουσία, δύναται χρεωστεῖν· καὶ μετὰ τοῦτο τοῦ πράγματος. ἐὰν δ' ὁ πωλῶν
ἀνεκαλέσατο τὴν δωρεάν, τυχὸν οὐδὲ ἀπαιτήσατο τὴν δεσποτείαν τοῦ πράγματος· ἀλλ' ἔ-
χων αὐτὴν ἐτελεύτησε:—

Περὶ κινδύνου καὶ ὠφελείας τοῦ ἀγοραστοῦ· καὶ περὶ καταβολῆς τοῦ τι- ζ΄
μήματος· καὶ πότε δύναται ὁ πράτης παρακατέχειν τὸ τίμημα· ἀπὸ
τ(οῦ) ιθ΄ τ(ίτλου) ς΄· οὕτινος ἐκ τοῦ α΄ κε(φαλαίου) Φι(λ):—

Ὅτι μετὰ τὴν πρᾶσιν τὸ ἀπὸ τοῦ κέρδος καὶ ἡ ζημία, τὸν ἀγοραστὴν ὁρᾷ· τουτέστιν ὅτι διὰ
προσχώσεως ηὐξήθη ἡ μέρος αὐτοῦ ἢ καὶ ὅλον ποταμὸς κατέλαβε. ἐκ τοῦ δ΄ ζ΄ κε(φαλαίου).
ὅτι ἐὰν ἡ πραθεῖσα ὑλη κλαπῇ, εἰ μετὰ παράδοσιν ὁ πράτης ζημιοῦται· εἰ δὲ
μετὰ ταῦτα ὁ ἀγοραστής· δοκοῦσι δὲ παραδεδόσθαι αἱ δοκοὶ ἃς ὁ ἀγοραστὴς ἐσφρά-
γισε. ἐκ τοῦ δ΄ η΄ κε(φαλαίου). ἔνθα ὑπέρθεσιν ὁ ἀγοραστὴς ποιήσει· λοιπὸν οὐκ ἀπὸ αὐτοῦ, — περὶ ὑπερθέσεως:—
ἀλλ' ἀπὸ δόλου ὁ πράτης ἐνέχεται. ἐκ τοῦ οἱ δύο ὑπέρθεσιν ποιήσωσι, τῷ ὕστερον προ-
σέχομεν. ἐκὼς γὰρ ὑπέρθεσιν ποιήσας ὁ ἀγοραστὴς, ἠθέλησε μεταῦτα λαβεῖν. ἐὰν
νενίκηκος ὁ πράτης παραδοῦν, ὑπερτίθεται ἢ τὸ ἐναντίον. ἐκ τοῦ δ΄ ι΄ κε(φαλαίου). ἐὰν πρὸ τῆς
τοῦ τιμήματος καταβολῆς ἢ δεσποτείᾳ τοῦ πραθέντος σαλευθῇ, οὐ δίδωσιν ὁ ἀγορα-
στὴς τὴν τιμήν, ἐὰν μὴ λάβῃ περὶ ἐκνικήσεως ἀξιοπίστους ἐγγυητάς. ἐκ τοῦ δ΄ ια΄ κε(φαλαίου). ὁ — πότε οὐ δύναται ... ὁ ἀγοραστὴς καταβαλεῖν τὸ τίμημα:—
ἀγοραστὴς ὑπέρθεσιν ποιήσας, εἰς τὴν τοῦ τιμήματος καταβολήν, μόνους τόκους δί-
δωσι· καὶ οὐχ ὅσα ὁ πράτης ἠδύνατο ἠδύνατο διὰ τῶν τιμημάτων ἀπὸ πραγμάτων
ὡς ἐκὼς κερδᾶναι. ἐκ τοῦ δ΄ ιβ΄ κε(φαλαίου). ὅτι μετὰ τὸ γενέσθαι τὴν πρᾶσιν, πᾶν κέρδος καὶ
πᾶσα βλάβη ἐπὶ τῷ πράγματι γινομένη, ὡς κέρδος καὶ ζημίαν ἀνήκει τῷ ἀγορα- — πότε κινδυνεύει ὁ πράτης ἐκνικηθέντος τοῦ πράγματος:—
στοῦ. ὁ γὰρ πράτης, ἐκνικηθέντος τοῦ πράγματος, τότε κινδυνεύει· ὅτε ἀπὸ αἰτίας ἀρχαι-
οτέρας τῆς πράσεως συνέβη τὰ τῆς ἐκνικήσεως. εἴτε καὶ παρήγγειλεν αὐτῷ ὁ ἀγορα-
στὴς ἐλθεῖν καταδικάσασθαι, καὶ μὴ ἀπόντος αὐτοῦ ἡ καταδίκη γέγονεν. ἐκ τοῦ δ΄ ιγ΄ — ὅτι γὰρ ἐξ οἰασδήποτε αἰτίας ... πωλῶν καὶ πίστει ἀγοράσει:—
κε(φαλαίου). ὅτι ὁ δόλος τοῦ πράτου, τὴν πίστει ἀγαθῇ ἀγοράσαντα, οὐδέποτε καταβλάπτει.
ἐκ τοῦ δ΄ ιδ΄ κε(φαλαίου). ὅτι τῆς πράσεως τελείας γενομένης, εἰ μὴ ὑπέρθεσιν ἐποίησεν ὁ πράτης
ἐν τῇ παραδόσει· ὁ ἀγοραστὴς κινδυνεύει ἐπὶ πάσης βλάβης, ἐν τῷ πράγματι γινομένης.
ἐκ τοῦ δ΄ ις΄ κε(φαλαίου). ὁ θάνατος τῆς πραθείσης θεραπαίνης μετὰ τὴν πρᾶσιν συμβάς, τῷ ἀ- — ὅτι περὶ τοῦ θανάτου τοῦ πραθέντος δούλου:—
γοραστῇ κινδυνεύεται. μόνον εἰ μὴ ἀπό τινος πάθους ἀρχαιοτέρου τῆς πράσεως ἐτε-
λεύτησε:—

Περὶ τῶν ἐπὶ συμφώνῳ ἀγορασθέντων δούλων· τοῦ μὴ διατάττειν η΄
χοῦ ἐνοικεῖν τόπῳ· ἢ ἐπὶ τῷ ἐλευθερωθῆναι ἢ μὴ ἐλευθερωθῆναι· ἢ
περὶ χειρὸς ἐπιβολῆς· ἀπὸ ιθ΄ τ(ίτλου) ζ΄ οὕτινος ἐκ τοῦ α΄ κε(φαλαίου) Φι(λ):—

Περὶ ἀφήλικος πράσεως:-

Ὁ ἐκ τῶν ἰδίων κερμάτων ἀνηθεὶς ἐπὶ τῷ ἐλευθερωθῆναι πωλεῖ δοῦλον κἂν συμφω-
νήσῃ τὴν ἐλευθερίαν παρασχεθῆναι, ἕως οὗ πληρώσῃ τὰ κέρματα. Ἐν τῷ δ' ε' κεφ. Ἐὰν
ὁ πραθεὶς δοῦλος κωλυθῇ τοῦ πράτου, καὶ τῆς πόλεως κελεύεται· ἵνα μὴ τῶν μειζό-
νων ἀπολαύῃ, ὁ τῶν ἐλαττόνων κωλυθείς. Ἐν τῷ δ' ζ' κεφ. Ὅτι ἐὰν χωρὶς ἐπερωτή-
σεως συμφωνήσῃ ποινὴν λαβεῖν ὁ πράτης· ὅτε ὁ πραθεὶς ἐν ἰδίᾳ εὑρεθῇ, οὐκ
ἔχει ἀπαίτησιν. Εἰ μὴ μέχρι τῆς ποσότητος ἣν ὡς ἴδιος αὐτοῦ ἑτέρῳ παρέσχεν ἀ-
ναγκάζεται. μὴ φυλαττομένου τοῦ συμφώνου, κατὰ δὲ σύμφωνον μὴ πραθῆ(ναι)
ἐπεξαγωγῇ, καὶ γίνεται διαπράσεως λόγος διὰ τὸ κακόηθες. Ἐν τῷ δ' ια' κεφ.
Ἐάν τις πωλήσῃ κόρην, ἐπὶ τῷ ἐλευθερωθῆναι ἐν προθεσμίᾳ. Εἰ δὲ μὴ ἐλευθερω-
θῇ, πρὸ [illegible] ἐπερωτήσει τῆς προθεσμίας ἐνισταμένης· ἡ κόρη ἐλευθέρα γίνε(ται).
Ὅτε δὲ πρὸ [illegible], ἀπαίτησιν οὐκ ἔχει. Ἐπειδὴ ἡ τοῦ συμφώνου δύναμις, τὸ ὀφεί-
λουσαν παρὰ τοῦ πράτου δοθῆναι ἐλευθερίαν ἐπιτίθησι:-

※ Ἐπὶ καλλονῆς διὰ τῆς τινος τόπου:-

θ'

Περὶ τῆς κινουμένης αἰτίας ἐπὶ ἀγοραστίας καὶ πράσεως. Ἐάν τι
πραχθῇ τὰ συμφωνηθέντα γένηται· καὶ ψεύσηται περὶ τὸ μέτρον ἢ τὴν ποι-
ότητα τοῦ πραθέντος. καὶ τίνα τῷ οἰκείῳ ἢ τῷ ἀγοραστῇ ἐπιφέρει. ἀνὰ [illegible] ἢ
οὐδενός ἐν τῷ α' κεφ. φησίν:-

※ ἐὰν τὸ πραθὲν ἀνδράποδον ἢ ἕτερον ζῶον ἢ ξύλον, ὑπαίτιον ἐστίν. ἢ ἐὰν ἢ

Ὁ πράτης μὴ παραδιδοὺς τὸ πρᾶγμα, κατέχεται εἰς τὸ διαφέρον τῷ ἀγοραστῇ· καὶ
εἰ συμβαίνει τὸ διαφέρον ὑπερβαίνειν τὸ τίμημα. Ἐν τῷ δ' β' κεφ. Εἰ μὴ παραδί-
δωσι τὸ μέτρον ὃ ὑπέσχετο ὁ πράτης, κατέχεται. Ἐν τῷ δ' δ' κεφ. Ἐὰν ἐλλείπῃ τὸ μέ-
τρον τοῦ πραθέντος ἀγροῦ, πρὸς τὸ ποσὸν τῆς ἐργασίας τῶν ζωτικῶν ὁ πράτης ἐνέχεται.
καὶ πρὸς τὸ μέτρον τὸ τίμημα μειοῦται. Εἰ δὲ μὴ τῷ παντὶ ἀγρῷ, ἀλλὰ μέρει ἐλ-
λείπῃ, οἷον τῷ ἀμπελῶνι. Τότε καὶ τῆς καλλονῆς γίνεται λόγος. Ἐν τῷ δ' ς' κεφ. Ὁ

Περὶ ὑπεξουσίων πωλούντων:-

τὸ ὑπεξούσιος πωλῶν ἐνέχεται κἂν συμφωνήσῃ μηδὲν ἐκ τούτου παρέχειν.
Ἐν τῷ δ' ια' κεφ. Ὅτι καὶ ἀλλότριον δοῦλον πωλῶν, ὁμολογῶν ὀφείλει μὴ ὑπο-
κεῖσθαι αὐτὸν κλοπῇ ἢ ἐνοχῇ. κινεῖται δὲ ἡ αἰτία, εἰς τὸ παραδοθῆναι τὸ πραθὲν, ἐ-
ασφαλισθῆναι τὸν ἀγοραστὴν. εἰς τὸ ἐξεῖναι αὐτὸ ἔχειν. Καὶ ὅτι ὁ ἀγοραστὴς τῇ ἐνο-
χῇ τοῦ πραθέντος οἰκέτου καταδικασθεὶς, οὐ λαμβάνει πλέον ἢ ὅσον παρέσχεν.
ὅτε γὰρ δικαστικῶς τὴν ἐνοχὴν ὅτε ἔλαβε μή. ἀλλὰ διὰ τὴν ἀπαίτησιν τῆς δίκης ἔχ(ει)
τὴν αἰτίαν τὴν τὸ πρᾶγμα ἀπαιτοῦντα. καὶ τὴν αἰτίαν τὴν περὶ μελλούσης ζημί-
ας ἐν ᾧ δῆλόν ἐστιν ἠλευθερῶσθαι τὸν δοῦλον. Καὶ ὅτι ἐν τῷ περὶ νομικῆς δικαστηρίῳ, δι-
δοὺς ὁ πράτης τὸ διπλοῦν, οὐδὲν ἀπαιτεῖται προφάσει τῶν ἄλλων τῶν ἐξόδους
ἐν τῇ πράσει συμφωνουμένων. καὶ ὅτι ἐὰν πωλήσωσι ἐφ' ᾧ μήτε ἐμὲ μήτε τὸν

ά

κληρονόμους μου. ἢ τὰ φερόμενα εἰς ἐμὲ πρόσωπα ἐμποδίζεσθαι ἔχειν. καὶ ἐὰν τέ-
λεως ἐκνικήσῃ τὸ πρᾶγμα, οὐκ ἐνέχομαι τῇ αἰτίᾳ τῆς πείρας μελλούσης ζημίας. οὔ-
τε τῇ αἰτίᾳ τῇ τὸ πρᾶγμα ἀπαιτούσῃ εἰς τὸ διαφέρον. ἀλλ' εἰς τὴν ἀνάδοσιν τοῦ τιμή-
ματος εἰμὶ ἄρα συνεφώνησα μηδὲν παρέχειν ἐκνικωμένου τοῦ πράγματος
ἐν ἀγνοίᾳ τοῦ πεπρακότος ἀλλότριον. ὁ γὰρ εἰδὼς καὶ τοῦ συμφώνου ὄντος ἐνέ-
χεται τῇ αἰτίᾳ τῇ ἀπαιτούσῃ τὸ πρᾶγμα· οὐ μὴν ὁ ἀγνοήσας. ἐνδέχεται γὰρ τὸν
πράτην κερδαίνειν τὸ τίμημα. καὶ τὸν ἀγοραστὴν μὴ ἔχειν τὸ πρᾶγμα ὡς ἐπὶ ἄγρας
καὶ θήρας. κἂν γὰρ μηδὲν κρατηθῇ, δίδωσιν ὁ ἀγοραστὴς τὸ τίμημα. εἰ δὲ τι-
κεν. ἐὰν πωλήσω ἀσθενῆ θρέμματα ἢ ξύλον σαθρόν. εἰ μὲν ἀγνοῶν, ἐν ταῖς τιμαῖς
ἀναδίδωσι ὅσον ἂν ἧττον ὁ ἀγοραστὴς τὸ τοιοῦτον εἰδὼς ἠγόρασεν. εἰ δὲ γινώ-
σκων, ἐνέχομαι ἐπὶ τῷ διαφέροντι· τυχὸν γὰρ οἶκος διὰ τὸ σαθρὸν τοῦ ξύλου κατέ-
πεσεν· ἢ τῆς νόσου τῶν θρεμμάτων ἕτερα διὰ τῆς ἁφῆς μετέσχον. καὶ ὅτε ὁ φυγάδα
πωλήσας ἢ κλέπτην. εἰ μὲν εἰδώς, ἐπὶ μὲν τοῦ φυγάδος δίδωσι τὸ διαφέρον. ἐπὶ
δὲ τοῦ κλέπτου δίδωσι διπλῆν τὴν τιμήν· καὶ τὴν ἐν ... ζημίαν ἣν ὁ ἀγοραστὴς ἐπίτα-
γεν. εἰ δὲ ἀγνοῶν, περὶ μὲν τοῦ φυγάδος ἐνέχεται εἰς τὸ τίμημα· περὶ δὲ τοῦ κλέπ-
του οὐκ ἐνέχεται· διαφέρειν δέδοκε. καὶ ἐὰν ὑπενόθευσε αὐτὸν καὶ ἄλλους
φυγεῖν ἢ ἔκλεψέ τινα. εἰ δὲ καὶ μὴ ἤδη μὲν κλοπὴν αὐτὸν εἶναι διεβεβαιώσατο
ἢ πιστὸν καὶ ... τοῦ πεπρακότος· ὁ μὲν γὰρ εἰδὼς ἐν τῷ μὴ ὑπομνῆσαι τὸν ἀγο-
ραστήν, ἐνέχεται. ὁ δὲ ἀγνοῶν ἐν τῷ περιττῶς τὰ μὴ ὄντα διαβεβαιώσασθαι.
Καὶ ὅτι ἐὰν ὁ πράτης εἰδὼς διαφόρεις ὑποκεῖσθαι ... τὸν ἀγρὸν ἐν τῇ ὠνῇ,
μόνον τὸ ἐν ἐκφωνήσει· καὶ ἐπαγάγῃ ... ἐστὶν ἐπικείμενον τῷ ἀγρῷ δημόσιον.
ἢ ἐμφύτευμα ἢ ... ἢ ὑδρόδοστρωσι. τοῦ διδόναι τῷ ἀγοραστῇ· ἐνέ-
χεται τῇ αἰτίᾳ διὰ τοῦ δόλου. καὶ ὅτι ἡ ... τοῦ ἀγοραστοῦ αἰτία ἁρμόζει τῷ πράτῃ,
μεταδιδοῦσα τὸ συμφωνηθὲν τίμημα. καὶ τοὺς μὲν τὴν παράδοσιν τόκους· καὶ ...
παράκλησιν παρεδόθη. μόνον γὰρ ... τοῦ ... οὐ ... ἔχειν ὁ ἀγοραστὴς λαβὼν
τοὺς καρποὺς οὓς λαμβάνει ὁ πράτης καὶ τὰ περὶ τὸ πρᾶγμα δαπανηθέντα τού-
του εἰς ἀνόρθωσιν οἴκου ἢ ἐπιμέλειαν οἰκετῶν νοσούντων ἢ ἐπιστήμην. ἀλλὰ ...
... βούλεσθαι τὸν ἀγοραστὴν δαπανηθῆναι· καὶ τὰ εἰς ταφὴν τοῦ τελευτή-
σαντος δούλου, ἄνευ ἐπιθυμίας τοῦ πράτου. καὶ ἐὰν συνεφώνησεν αὐτῷ ὁ πράτης
... ὑποθήκην δοθῆναι παρὰ τοῦ ἀγοραστοῦ ... ἢ συμφωνηθῇ
ὥστε τοῦ ἀγοραστοῦ πληρώσαντος τὸ πρᾶγμα πωλοῦντος παρέχειν τῷ πράτῃ τὸ
περὶ τοῦ μοῖραν. κἂν ὁ κληρονόμος τοῦ ἀγοραστοῦ πληρώσαντος πωλήσῃ. εἰ

α

.c.

ζ'

θ'

ἐν τῷ δὲ ιε κεφ. ἐὰν συνεφωνήθη δοῦναι τὸν ἀγοραστὴν τὸ διπλοῦν ἐὰν μὴ ἐν τῇ
προθεσμίᾳ καταβάλῃ τὸ τίμημα, τὸ ὑπὲρ τὸν νόμιμον τόκον οὐκ ἔρρωται. ἐν τῷ
δὲ ιε κεφ. ὁ δὲ πραθεὶς ἢ ληγατευθεὶς οἶκος ἐστίν. ἄχρι ἢ ὡς μέχρις αὐτοῦ
ἐστιν ἢ διὰ τοῦ τέγους ὡς τὸ φρέατος σκέπασμα. αἱ δεξαμεναί. καὶ οἱ λα-
τῆρες. καὶ οἱ ἑνωμένοι τοῖς ἀναβρυτοῖς σωλῆνες, εἰ καὶ πόρρω τοῦ οἴκου κεῖ-
νται. καὶ αἱ κάναλαι. οἱ δὲ ἐν ταῖς πισκίναις ἱδρυθέντες. οὐκ εἰσὶ τοῦ οἴκου ἢ τοῦ
ἀγροῦ. ὥσπερ οὐδὲ τὰ λοιπὰ ξύλα. καὶ ὅτι οὐδέν ἐστι τοῦ ἀγροῦ ὃ μὴ ἥνωται τῇ γῇ.
πολλὰ δέ ἐστι τοῦ οἴκου μὴ ἡνωμένα αὐτῷ. οἷον. κλεῖς. κλεῖθρα. ξύλινα κα-
τορυγμένα. καὶ ὅμως οὐκ εἰσὶ τοῦ ἀγροῦ ἢ τοῦ ἐποικίου. ὡς τὰ οἰνηρὰ
σκεύη. καὶ ὁ μόδιος. ταῦτα γὰρ τῆς ἐνοπλίας ἐστί. καὶ ὁ οἶνος. καὶ οἱ ληφθέν-
τες καρποί. οὐκ εἰσὶ τοῦ ἐποικίου. ἐν τῷ δὲ κ κεφ. εἰ καὶ μὴ περὶ τὸ μεῖζον ἀλλὰ
καὶ περὶ τὴν ποιότητα ψεύσεται ὁ πράτης ἐνέχεται. τυχὸν γὰρ ρ ζευγῶν ἐργασίας οὔ-
σης. εἶπεν ἐξ αὐτῶν ἀμπέλια εἶναι ν ζευγῶν ἐργασίας μὴ οὔσης τοιαύτης. ἐν
τῷ δὲ κα κεφ. ὅτι ἐὰν πωλήσας δοῦλον μετὰ τὸ πεκούλιον ἐλευθερώσω αὐτόν, ἐνέ-
χομαι καὶ ἐπὶ τοῖς ἐπικληθεῖσιν ὑπὸ τοῦ ἐλευθερωθέντος. εἴτε μὴ ἐλευθερωθέντος αὐτοῦ
προσεποριζόντων τῷ ἀγοραστῇ. ἀποφαίνομαι δέ. ὡς εἰ τελευτήσαντος τοῦ ἀπελευ-
θέρου κληρονομίαν ἀποκαθίστημι τῷ ἀγοραστῇ. ἐν τῷ δὲ κε κεφ. ἐὰν ἐν ἀ-
γνοίᾳ παρὰ τοῦ κληρονόμου ἀγοράσω τὸ ληγατευθέν μοι πεκούλιον κλέψῃ τι
παρ᾽ ἐμοῦ. ἰδίᾳ δίκῃ φ[illegible] τὸ πεκούλιον. εἰ δὲ καὶ δέδωκας ἐντυχοῦσα
τὸ πεκούλιον, ἀναλαμβάνω. εἰ δὲ μετὰ τὸ παραδοθῆναι τοῦ δούλου ἡ κλοπὴ γέγονεν,
οὐκ ἔχω κατὰ σοῦ. εἰ μὴ εἰς ὃ τὸ πεκούλιον ἐκ τῆς κλοπῆς ηὐξήθη. εἰ μέντοι τοὺς
νούμμους ἀγνοῶν κλοπιμαίους ἀφῆκας αὐτοὺς ὡς πεκουλιαρίους ἐδαπανήσατο
ἐνέχομαι. καὶ ὅτι ἐν ἐγκλήσει τῷ ἀγνοοῦντι πιπράσκων ἀλλότριον. ἐπεὶ ἐκ
νικήσεως ἐνάγεται τῇ περὶ τῆς πράσεως ἀγωγῇ. εἰς ὃ διαφέρει τῷ ἀγοραστῇ αὐτὸ
εἶναι τὸ πρᾶγμα. καὶ μάλιστα εἰ βούλεται ὁ ἀγοραστὴς ἐλευθερῶσαι ἢ ἐνεχυρά-
σαι τὸ ἀγορασθέν. ὁ δὲ μὴ ἐν ἐγκλήσει πωλῶν ἀλλότριον οὐκ ἐνέχεται ἐπὶ τῷ ποι-
ῆσαι δεσπότην τὸν ἀγοραστήν. ἀλλ᾽ ἐπὶ τῷ ἐκεῖνον αὐτὸ ἔχειν. ἐν τῷ δὲ λ κεφ. πω-
λοῦ δοῦλον εἶπον αὐτὸν ἔχειν πεκούλιον δέκα νομ. εἰ μὲν ἧττον ἐστιν, ἀναπλη-
ρῶ τὰ δέκα νομ. εἰ δὲ πλέον ἔχει. τὸ πᾶν ὁ ἀγοραστὴς λαμβάνει. εἰ μὴ ἔδοξε
μόνον τὰ δέκα λαβεῖν αὐτόν. ἐν τῷ δὲ λβ κεφ. εἰ ἐκ μὲν ὑποθέσεως καταβλη-
θῇ τὸ κεφάλαιον. οὐκ ἀπαιτεῖται τόκος. οὐ γάρ ἐστιν ὑπὸ ἐνοχήν. ἀλλ᾽ ὀφείλει
ὁ τοῦ δικαστοῦ δίδοσθαι. ἐν τῷ δὲ ν κεφ. ὁ πράτης μετὰ τοῦ ἀγοραστοῦ πῶ

θ' οἰκ.

εὑρήσεις περὶ τῶν λεπτῶν ἀναγινωσκομένων τοῦ ὅλου κτλ.:—

περὶ ληγατευθέντων πραγμάτων:—

α'

περὶ τοῦ τιμήματος ἀγωγὴν κινεῖ· τὴν γὰρ περὶ τοῦ πράγματος ἀγωγήν, μετὰ τὴν τοῦ πράγματος παράδοσιν ἔχειν οὐ δύναται. Ἐν τῷ δ' νδ' κεφ. ὁ ἀγοραστὴς ἀπὸ καιροῦ τῆς παραδόσεως τοῦ πράγματος, τόκους χρεωστεῖ τοῦ τιμήματος. Ἐν τῷ δ' νε' κεφ. ὁ πωλήσας δούλους καὶ λαβὼν τὸ τίμημα ἐκ τοῦ πεκουλίου αὐτῶν τῶν δούλων· οὐκ ἔδοξε τίμημα λαμβάνειν, ὡς τὰ ἴδια δεξάμενος· καὶ ἔχει ἀκέραιον τὴν τοῦ τιμήματος ἀγωγήν. Ἐν τῷ δ' νη' κεφ. ἐὰν ὁ πράτης ἥττονα εἴπῃ τὴν τοῦ ἀγροῦ συνθήκαν· εἴτε δόλῳ εἴτε ἀγνοῶν· ἐνάγεται παρὰ τοῦ ἀγοραστοῦ εἰς τοσοῦτον, ὅσον ἤμελλεν ἥττονος τὸ πρᾶγμα ἀγοράζειν. ἢ γὰρ ἠπίστατο τὸ μέτρον τῆς συνθήκας καὶ μὴ εἰπὼν ὁ ἀγοραστής· εἰ δὲ ἐπιστάμενος τὸ μέτρον ἠγόρασεν, οὐδεμίαν ἔχει ἀγωγήν. Ἐν τῷ δ' ξε' κεφ. ὁ ἀγοραστὴς ἀδίκως ἀποσπασθεὶς ἐξ αὐτοῦ τοῦ πραθέντος πράγματος· οὐδεμίαν ἀγωγὴν ἔχει κατὰ τοῦ πράτου. Ἐν τῷ δ' ξς'. ὁ ἐν εἰδήσει ἀλλοτρίου ἀγοράσας· οὐδέποτε αὐτοῦ γίνεται δεσπότης· ὁ δὲ ἐν ἀγνοίᾳ ἀγοράσας· αὐτὸς μετὰ διαχρονίας κυριεύει. λοιπὸν δὲ ὁ πεπρακὼς αὐτό, καλεῖται δὲ δεσπότης. Ἐν τῷ δ' ξη' κεφ. ἐὰν ὁ ἀνὴρ πωλήσῃ πρᾶγμα τῇ γυναικὶ διαφέρον, κἂν τὰ μάλιστα καὶ ἀπαιτῇ ἡ γυνὴ ἡ συναινέσασα σφραγίσῃ τὸ τῆς ἀγορασίας συμβόλαιον· οὐδὲν ἐντεῦθεν ὑπομένει πρόκριμα· ἀλλὰ λοιπὸν δέεται ὁ ἀγοραστὴς ἢ τῆς διὰ τῆς χρονίας κυριότητος ἢ χρονίας παραγραφῆς. Ἐν τῷ δ' ογ' κεφ. ὁ κοινωνὸς οὐ καλῶς πωλεῖ τὸ ὅλον τὸ πρᾶγμα· δύναται γὰρ ὁ ἕτερος κοινωνὸς μηδέπω γενομένου δεσπότου τοῦ ἀγοραστοῦ διὰ χρόνου ἢ χρονίας παραγραφῆς· κινῆσαι τὴν ἐπὶ τῷ πράγματι ἀγωγήν. Ἐν τῷ δ' οδ' κεφ. ὁ δημόσιος τὸ ἐπίκοινον πρᾶγμα πωλήσας· δεσπότην ἐξ ὁλοκλήρου ποιεῖ τὸν ἀγοραστήν· κἂν γὰρ τὸ παντὶ ἀλλότριον πωλήσῃ ὡς ἐν τοῖς ἰνστιτούτοις ἔγνως· δεσπότην μὲν ποιεῖ τὸν ἀγοραστήν· ἐνάγεται δὲ αὐτὸς παρὰ τῶν λεγόντων ἔχειν δίκαιον δεσποτείας ἢ ὑποθήκης ἐπὶ τῷ δὲ πράγματι. τέτακται ἐν τοῖς δηλονότι· ὁ δὲ προειρηθὲν εἰς τὸν δημόσιον τὸ τίμημα τοῦ πραθέντος ἀλλοτρίου πράγματος· οὐ βλάπτει τὴν πρᾶσιν. τότε γὰρ ἔχει τὸ προνόμιον ὁ δημόσιος· ὅτε ἰδικῶς αὐτὸ τὸ πρᾶγμα πωλήσῃ. Ἐν τῷ δ' ος' κεφ. ὁ κοινωνὸς χωρὶς τὸ πρᾶγμα οὐ δύναται ἐκποιεῖν· ἐὰν δὲ ἐκποιήσῃ ὁ ἕτερος κοινωνὸς τὸ ἴδιον μέρος· μόνον ἐκδικεῖ· οὐ μὴν ἐπὶ τὸ τοῦ πεπρακότος κἂν στρατιώτης εἴη:

ὁμοίως ἐν τῷ δ' ιγ' κεφ. δ' ι' φησίν:

περὶ κοινοῦ πράγματος:

περὶ πραθέντος ὑπὸ τοῦ δημοσίου:

ι Περὶ ἀγορασίας καὶ πράσεως ὑποδιαλύσεως γινομένης. ἀντὶ βιβλ. τὸ ι' τῶν ὀνόματος ἐν τῷ δ' α' κεφ. φησίν: ι

Ὅτε διὰ τὸ πωλῆσαι δοθῇ τινὶ ὑποδιαλύσεως πρᾶγμα· χωρεῖ ἡ περὶ τῆς διαλύ-

ους συμφωνία. ἤγουν ἁρμόζει ὅταν τις ἀπαιτῆς διδομένης ἀμφιβάλλεται τὸ ὄ-
νομα τοῦ συναλλάγματος. πολιτικοῦ γὰρ καὶ κατὰ φύσιν ὑπάρχει συναλλάγματα. διὸ
καὶ πάντα τὰ ἀδύνατα κατὰ φύσιν ἀγωγὴν ἐνταῦθα ἐνταξίζεται. ἡ δὲ διατίμησις ποιεῖ
τὸν κίνδυνον τοῦ λαμβάνοντος. καὶ χρεωστεῖ ἀποδοῦναι τὸ πρᾶγμα ἀκέραιον ἢ
τὸ συμφωνηθὲν τίμημα :–

ια' Ζήτει τὸ περὶ ὅλου τα ἀναλογικοῦ ὅτι :–

Περὶ δυσχεράσεως πράσεως καὶ ἐκ ποίων παθῶν καὶ αἰτιῶν ἀνα-
στρέφεται τὸ πραθὲν ἀνδράποδον ἢ ἕτερον ζῷον. ἢ μειοῦται ἢ τοῦ τι-
μή. καὶ ὅτι ἡ μετὰ τὸ πραθὲν ἀναστρέφουσα ἀγωγὴ ἐντὸς ἑξαμήνου κι-
νεῖται. ἡ δὲ μειοῦσα τὸ τίμημα ἐντὸς ἐνιαυτοῦ. καὶ ὅτι διὰ τὸ ὑφαρπάσθαι
τὸ ζῷον ἀνατρέπεται ἡ πρᾶσις. καὶ ὅτι περὶ νόσου προφανοῦς ὁ πράτης
οὐκ ἐνάγεται. ἀνάγνωθι βιβλίον ιθ' τίτλον ι' ἐν ᾧ ἄν κεφάλαια :–

Οἱ ἀγορανόμοι τὸ πλέον διαλαμβάνουσι περὶ τῶν πραθέντων κινητῶν καὶ ἀκινήτων. φησὶ
γὰρ ὀφείλειν τὸν πράτην προλέγειν τὰ πάθη καὶ τὰ αἴτια τοῦ δούλου. καὶ εἰ φυγάς ἐστιν.
ἢ ῥέμβος ἐστιν. ἢ ἐνοχῇ ὑπόκειται ἢ κεφαλικοῦ τιμωρίαν. ἢ πρὸς ἐπιβουλὴν ἑαυ-
τοῦ τι πέπραχεν. ἢ κατελθεῖν εἰς κυνηγέσιον ἐπὶ τὸ θηριομαχῆσαι. τοῦτο δὲ μὴ λέ-
γων ἢ περὶ τὰ λεγόμενα ψευδόμενος εἰς τὸ διαφέρον ὑπόκειται καὶ λαμβάνει τὸν δοῦ-
λον, καὶ εἰ μετὰ τὸ πραθῆναι ὁ ἀγοραστὴς τέθνηκεν. ἢ δοῦλος ἐκ σπουδῆς τοῦ ἀ-
γοραστοῦ καὶ τῆς φαμιλίας αὐτοῦ καὶ τοῦ φροντιστοῦ. καὶ τὰ μετὰ ταῦτα πρόσοδα ἐξ αὐτοῦ
γεννηθέντα. ἢ δι' αὐτοῦ προσπορισθέντα. καὶ ὁ προσληφθεὶς εἰς ἐκεῖνο αὐτῷ ἐπιπρασ-
χομένῳ. καὶ τοὺς ἐξ αὐτοῦ ληφθέντας καρπούς. ἀναλαμβάνει δὲ καὶ αὐτὸς τὰς
εἰς ἐκεῖνο παρ' αὐτοῦ δοθέντας προσθήκας. καὶ ὅτι τὸ ἡλιακὸν ἢ δυσουρία μὴ προ-
λέξον. πάθος ἢ αἴτιον. ἐπαγγελία ἀναστρέφουσαν τὸ πραθὲν ἀγωγήν. οὐ μὴν τὸ λυ-
χοῦτε καὶ ἐλαφροῦ. ὡς ἐλαφρὸς πυρετὸς ἢ παλαιὸς τεταρταῖος. ἢ τὸ μικροῦ τραύ-
μα. ταῦτα γὰρ οὔτε δεῖ προλέγειν ὡς εὐκαταφρόνητα. ἐν δὲ τῷ ε' κεφ. τὰ δειλὰ
καὶ λακτιστικὰ ὑποζύγια, οὐκ εἰσὶν ἐμπαθῆ. ψυχικὰ γάρ εἰσι τὰ αἴτια. ἐὰν
οὖν μόνον ψυχικόν ἐστι τὸ αἴτιον. οὐκ ἔχει χώραν ἡ ἀναστρέφουσα τὸ πραθὲν ἀ-
γωγή, εἰ μὴ προσέθετο ὁ πράτης ἀπεῖναι αὐτό. ἁρμόζει δὲ τὸ μειωθῆναι τὸ τίμημα. εἰ
δὲ σωματικόν ἐστιν ἢ κοινὸν ψυχῆς καὶ σώματος. χώρα τὸ ἀναστραφῆναι τὸ πρα-
θέν. οὐκ ἐπιζητοῦμεν ὀλέθριον εἶναι τὸ πάθος. ἀλλὰ τὸ οἱονδήποτε πρᾶγ-
μα ἐμποδίζον πάθος. οὐ διαφερόμεθα γὰρ ποίῳ πράγματι τὸ πάθος εἶναι
τὸ δεῖ. ἐν δὲ τῷ ς' κεφ. ὁ ἔγκυος καὶ ἡ λοχὸς ὑγιής ἐστιν εἰ μὴ τι συμβαίη ἔξω-
θεν, ἐνεποίησε νόσον. καὶ ἡ κατὰ φύσιν οὐ μὴν ἀπὸ πάθους στεῖρα. καὶ ὁ ἐν τῇ κοι-

Ἰστέον ὅτι ἡ μετὰ τὸ πραθὲν ἀναστρέφουσα ἀγωγὴ ἐντὸς μηνῶν ς' κινεῖται. ἡ δὲ μειοῦσα τὸ τίμημα, ἐντὸς ἐνιαυτοῦ :–

÷ ὁ πλανώμενος ἀναίτιος :–

α'

τὴν οὖρον, ἐκ τοῦ ἐνυπνιάζεσθαι ἢ ὀκνεῖν ἀπὸ οἴνου. ὁ μέντοι τὴν κύστιν ἐμπα-
θὴς ἀναστρέφεται. ἡ ἐστενωμένη γυνὴ ὥστε τὰ γυναικεῖα μὴ ὑπομένειν οὐκ ἔστιν ὑ-
γιής. ὁ ἔχων χοιράδας παλαιὰς ἀνιάτους ἐμπαθής ἐστιν. περὶ νόσου προφανοῦς
ὁ πράτης οὐκ ἐνάγεται. οἷον ἐὰν τυφλὸς πραθῇ· ἢ ἐπικίνδυνον ἔχων οὐλὴν ἐν
φανερῷ κατακεφαλῆς ἢ ἄλλου μέρους. ὁ γὰρ ἀδίλημα περὶ ἐκείνων διαλαμβάνει
τῶν παθῶν καὶ αἰτιῶν. ἅτινα τὲ ἠγνόησε, ἢ ἀγνοῆσαι ἐδύνατο. εἰς τὸ δ. ιβ κεφ.
ῥέμβος ἐστὶ μικρὸς φυγάς. καὶ ἐκ τοῦ ἐναντίου ὁ φυγὰς μέγας ῥέμβος ἐστί. κυ-
ρίως δὲ ῥέμβος ἐστιν ὁ συνεχῶς ἀναιτίως πλανώμενος. καὶ τοὺς καιροὺς εἰς ἀ-
νόητα δαπανῶν. βεβαίως δὲ τὸν οἶκον ἀναστρέφει. ἐν τῷ δ. ιγ κεφ. ἐὰν τι πε-
πρᾶσθαι τῷ δούλῳ λεγόμενον ὁ πράτης διαβεβαιώσηται. τυχὸν ὅτι σπουδαῖος ἢ πο-
ριστικός. οὐκ εἰς ἄκρον ἀπαιτεῖται αὐτὰ πεπρᾶσθαι. ἀλλὰ μέσως. εἰ μέντοι τἀναν-
τία τῶν διαβεβαιωθέντων ἔχων εὑρεθῇ. κινεῖ ὁ ἀγοραστὴς τὴν ἀναστρέφουσαν τὸ πρᾶ-
γμα ἢ τὴν μειοῦσαν τὸ τίμημα ἀγωγὴν ἔσω ἑξαμήνου ἢ ἐνιαυτοῦ. ὁ εἰπὼν ἄριστον
εἶναι μάγειρον. ἄριστον παρέχειν ὀφείλει. ὁ δὲ μάγειρον ἁπλῶς εἰπὼν. καὶ μέ-
σον δίδωσιν. καὶ ἐπὶ τῶν λοιπῶν τεχνιτῶν τὸ αὐτό. καὶ ἐὰν εἴπῃ τὸν δοῦλον ἁ-
πλοῦς ἔχειν πεκούλιον. ἀρκεῖ καὶ τὸ ἐλάχιστον ἔχειν. εἰς τὸ δ. κα κεφ. ἐὰν τις
ὡς νεώνητον πωλήσῃ τὸν ἤδη δουλεύσαντα, ὑπόκειται τῇ ἀναστροφῇ. πανουργοῦ-
σι γὰρ οἱ ἀγοραστοὶ τοὺς νεωνήτους λαμβάνειν. ὡς δυναμένους διδάσκεσθαι. καὶ
πρὸς τοὺς οἰκείους μεταποιεῖσθαι τρόπους. εἰς τὸ δ. κη κεφ. ὁ πιπράσκων ὑπο-
ζύγια. λεγέτω καὶ τὰ πάθη καὶ τὰ αἴτια αὐτῶν. καὶ διδότω τὸν ἐπικείμενον
αὐτοῖς διὰ τὸ πραθῆναι κόσμον. ὁ δὲ τοῦτο μὴ ποιῶν. εἰς τὸ διδόναι τὸν κόσμον
ἢ ἀναλαβεῖν τὰ ὑποζύγια διὰ τὸ μὴ δοθῆναι τὸν κόσμον ἔσω ἓξ μηνῶν. τῇ δὲ με-
ιώσει τοῦ τιμήματος ἔσω ἐνιαυτοῦ. καὶ ἴσων ὄντων τῶν πραθέντων. διὰ τὸ πά-
θος τοῦ ἑνὸς ἀποδίδονται πάντα. εἰς τὸ δ. λα. κερατίζων βοῦς ἐμπαθής ἐστι.
καὶ ἡ λακτίζουσα μούλα. καὶ τὰ ὑποζύγια τὰ ἀναιτίως θορυβούμενα καὶ φεύγον-
τα. εἰς τὸ δ. λγ κεφ. ὅτι ἐὰν μὴ ἀποδίδωσιν ὁ πράτης τὸ τίμημα καὶ τὰς προσθή-
κας. καὶ ἡ ἐλευθεροῖ τὸν δι' αὐτοῦ ἐνοχοποιηθέντα εἰς τὸ διπλοῦν τοῦ τιμήματος
καὶ τῆς προσθήκης καταδικάζεται. εἰς τὸ δ. λε κεφ. ὅτι ἡ παραγραφὴ τῶν ἓξ μη-
νῶν τῆς περὶ ἀναστροφῆς ἀγωγῆς ἐκβληθείς. δύναται τὴν μειοῦσαν τὸ τίμημα κινεῖν
ἔσω ἐνιαυτοῦ. ὁ δεδεμένον πιπράσκων. οὐχ ὑπόκειται τῇ περὶ φυγῆς ἀγωγῇ. μεῖ-
ζον γάρ ἐστι τοῦτο τοῦ εἰπεῖν. ὡς ἐδέθη. ἀντιτίθεται γὰρ τῷ ἀγοραστῇ παραγραφή τι-
νι ὡς συνειδὼς περὶ τῆς φυγῆς. ἢ τῶν δεσμῶν καὶ τῶν ὁμοίων. συνωθεῖ ἐστὶ μὴ ἁρμόζειν

περὶ ῥέμβου:-

πλὴν ἔσω μηνῶν ἕξ:-

ἐν ς ὅτι ἡ παραγραφὴ τῶν ἓξ μηνῶν ἐκβληθείς, δύναται κινεῖν ἐντὸς ἐνιαυτοῦ τὴν μειοῦσαν τὸ τίμημα ἀγωγήν:-

περὶ τοῦ μήτε ἐπαίνου μήτε ψόγου ἔχοντος λέ:-

τὴν περὶ ἀναστροφῆς ἀγωγήν· ἐπὶ τῶν ἁπλῶν πράσεων. Εὑρήσεις ἐν τῷ λθ' κεφ. Ἐὰν πρὸ ἐμοῦ κλέψῃ ὁ δοῦλός μου· οὐκέτι ἀναγκαῖον ἐν τῇ πράσει τοῦτο προλέγειν. οὔτε ἐκ τούτου ἁρμόζει ἡ ἀναστροφή. εἰ γὰρ εἶπον αὐτὸν μὴ εἶναι κλέπτην, ἐνέχομαι.

περὶ ἐμπαθοῦς:-

Εὑρήσεις ἐν τῷ μ' κεφ. ὁ τεβαΐζων ἢ τεβαρβαΐζων καὶ ὁ ποδαγρὸς καὶ ὁ δαιμονιζόμενος. οὔτε οἱ κατὰ καιρὸν ἐν τῷ φῷ σχολάζουσιν ὑγιαίνειν δοκοῦσιν. Εὑρήσεις ἐν τῷ μα' κεφ. ὁ κατὰ ἑτέρου πρατῆρος ἔφυγεν, οὐ ποιεῖ χώραν τῇ ἀναστροφῇ· εἰ μὴ καὶ πρὸ τούτου ἔφυγε.

περὶ φυγάδος:-

Εὑρήσεις ἐν τῷ νβ'. Ἐὰν πωλήσῃ φυγάδα δοῦλον μὴ ἀγνοήσας αὐτὸν φυγάδα εἶναι, κατέχεται καὶ εἰς τὴν διπλῆν καὶ εἰς τὴν ἔξωθεν γενομένην βλάβην. τὸν γὰρ ὅτε δοῦλον ἑτέρου ἐπιθυμήσαντα ἢ πρᾶγμα κλέψας ἔφυγεν οὗτος ὁ οἰκέτης. καὶ ὅτε ὁ πρότε δεσπότης τὸν δοῦλον οὐ πρὸ ἢ τέσσαρας μετὰ ἐνιαυσιαίου χρόνου παραδέδωκεν· ποίῳ λόγῳ τούτου ἕνεκεν τὸν πεπρακότα αὐτὸν κινῆσαι ἐπιζητεῖς· οὐ δύναμαι κατανοῆσαι. καὶ γὰρ τὴν ἀναστρέφουσαν τὸ πρᾶγμα ἀγωγήν, ἑξαμηνιαίοις χρόνοις ἢ τὴν ἐπαγγέλλουσαν τὸ τίμημα ἐνιαυτῷ συγκλείεσθαι φανερόν ἐστι. Εὑρήσεις ἐν τῷ να' κεφ. ἡ μετὰ τὴν πρᾶσιν τοῦ οἰκέτου φυγή. εἰ μὴ δείκνυται καὶ πρὸ τῆς πράσεως πεφευγέναι, οὐδὲν τὸν πράτην καταβλάπτει. Εὑρήσεις ἐν τῷ νς' κεφ. γενομένου ἅπαξ πράσεως κατὰ τοῦ συναλλάγματος καὶ τοῦ ἀνδραπόδου ληφθέντος. καὶ τοῦ τιμήματος καταβληθέντος. οὕτως τοῦ ἀγοραστοῦ τὸ τίμημα ἐκούσια ἐστὶ ἐν τῷ ἀνδραπόδου

ὅτε πείσαι ὀφείλει τὸν φυγάδα ὁ ἀγοραστής:-

ἡ ἀγορανομικὴ φιλοτιμία. ἐὰν ἐκεῖνο ὁ πράτης εἴπῃ περὶ φυγὰς ἀνδραπόδου· δύναται προστῆναι. τοῦτο γὰρ οὐ μόνον ἐπὶ τῶν βαρβάρων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀπὸ ῥωμαϊκῆς ἐπικρατείας δουλευσάντων οἰκετῶν προγεγραμμένον ἐστίν. Εὑρήσεις ἐν τῷ νζ' κεφ. ὁ κατὰ βίαν πρᾶγμα πεπρακώς· δύναται ἀναδιδοὺς ὅπερ ἔλαβε τίμημα τὴν κατὰ βίαν γενομένην πρᾶσιν ἀναστρέφειν. καὶ οὐ μόνος αὐτός, ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτοῦ.

περὶ τοῦ βίᾳ:-

Εὑρήσεις ἐν τῷ νη' κεφ. Ἐάν τις τὸ ἴδιον πρᾶγμα ἥττονος τιμήματος πωλήσῃ· δύναται τὸ τίμημα ἀναδιδοὺς λαμβάνειν τὸ ἴδιον πρᾶγμα. ἥττονος τίμημα ἐστὶ τὸ μηδὲ εἰς ἥμισυ διατιμήσεως ἀναφερόμενον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λεῖπον τῷ δικαίῳ τιμήματι δοῦναι· ἕξει αὐτὸν τὸ πεπραμένον πρᾶγμα. τὸ αὐτὸ δίκαιον καὶ ἐπὶ τοῖς παισὶ τοῦ πράτου προβαίνει.

περὶ ὑπερθεματισμοῦ:-

Εὑρήσεις ἐν τῷ ξβ' κεφ. οὐκ ἔστι δεδοκιμασμένη ἡ αἰτία δι' ἣν ἀνατρέπειναι τὴν κατὰ συναίνεσιν γενομένην πρᾶσιν ἐπιζητεῖς. εἰ καὶ τὰ μάλιστα γὰρ διπλάσιον προσφέρεις τίμημα τῷ ἀγοραστῇ· ὅμως ἄκοντος τὸ ἀνατρέψαι τὴν πρᾶσιν οὐ συγχωρεῖται. Εὑρήσεις ἐν τῷ ξδ' κεφ. ἐὰν υἱὸς κατὰ γνώμην πατρὸς πρᾶγμα πωλήσῃ· εἰ μὴ δείκνυσιν ὁ πατὴρ κατὰ φόβον θανάτου ἢ βασάνων τοῦ σώματος γε-

α'

νέναι τὸ συνάλλαγμα ἢ καὶ δόλου, οὐ δύναται αὐτὸ ἀνατρέπειν. οὐκ ἀρκεῖ δὲ ἡ ἐπὶ θ'
ἀποδείξει δόλου τὸ λέγειν πλέονος ἄξιον εἶναι τὸ πρᾶγμα. ἔξεστι γὰρ ἐν ταῖς πράσεσι
καὶ ταῖς ἀγορασίαις περιγράφειν ἀλλήλους, εἰ μὴ ἄρα κατ' ἔλαττον τοῦ ἡμίσεος μέρους τοῦ δικαίου-
τιμήματος δέδωκεν ὁ πράτης. τῆς ἐπιλοίπης δὲ ἤδη [illegible] παρὰ ἀγοραστοῦ φυ-
λαττομένης. Ἐν δὲ ξζ' κεφ. ὁ πράτης τὸν δοῦλον τοῦ ἀγοραστοῦ ἐπιλαμβάνε-
σθαι τότε δύναται ὅτε ἠγνόησε τὸν δοῦλον ἐν καιρῷ τοῦ συναλλάγματος. εἰ γὰρ εἰδὼς
συνήλλαξεν, οὐκέτι δύναται βοηθεῖσθαι. ἐὰν δὲ τὸ συναρέσαν τίμημα δύνηται
καταβληθῆναι ἢ καὶ ἐγγραφῆ. ἀντιλογία ἦν αὐτῷ εἰς ποσότητα χρέους καὶ τῶν πλά-
νων γενομένου. τοῦτο ἀποδίδοσθαι ὀρθῶς αἰτεῖ. Ἐν δὲ ξη' κεφ. οὐ δύναται ὁ πρά-
της ἀνατρέπειν τὴν πρᾶσιν ἐκ τοῦ λέγειν ὅτι χρεῶν ἢ λειτουργιῶν ἐπικειμένων
πέπρακε. Ἐν δὲ οβ' κεφ. ἐκείνας δὲ τῶν χρεῶν [illegible] συνεχομένους ἢ ἀνάγ-
κη τοῦ δημοσίου λόγου συνήλασεν τὰς ἰδίας οὐσίας πωλεῖν ἢ τοῦ πράγματος ποιό-
τητος καὶ ποσότητος τὴν πρόσθεσιν δοκιμαζέσθω. καὶ μὴ προφάσει τῆς πράσε-
ως τῆς δημοσίας χρεία ταῖς περιγραφαῖς περιλιμπανέσθω. καὶ τῶν κτημά-
των ἥττονος διαπραθέντων. πλέον ὁ ἀγοραστὴς ἐκ τῆς χρείας ἢ πρὸ ὁ χρεώστης ἐκ
τοῦ τιμήματος κερδανεῖ. ὅτε τινων διὰ χρέα δημόσια πρᾶσις γίνεται. τὸ ἀ-
ληθὲς τίμημα δὲ πρᾶγμα παρέχεσθαι ὀφείλει. ἀν(άγνωθι) βιβ. μ' τί. α' ἐν δὲ φη'. ὁ ἐν ἔθ-
νει φυλάδα ἀγοράζων. εἰ μὲν ὁ πωλήσας μὴ εἶναι αὐτοῦ φυλάδα, οὐκ ἐκβάλλε-
ται [illegible]. εἰ δὲ μὴ ἐπιπωλητα ἐκβάλλεται, ἐφ' ἑκατέρου δὲ τιμήματος. ἀρκεῖ
ἡ περὶ ἀφαιρέσεως πραγμάτων εἰς ἐκδίκησιν κινουμένη ἀγωγή:

Περὶ ἀγορασθέντος πράγματος καὶ ἐκνικηθέντος. ἤτε ἐξ ἀγροῦ. ιβ'
ἤτε δούλου. ἤτε ἀνελευθέρου. ἤτε ὑπεξουσίου. καὶ πότε εἰς τὸ διπλοῦν
ὁ πράτης ἐνέχεται. ἀν(άγνωθι) βιβ. ιθ' τί. α'. ὁ τίτλος ἐν δὲ α' κεφ. φη':

Εἴτε μέρος, εἴτε ὅλος ὁ πραθεὶς ἀγρὸς ἐκνικηθῇ, ἐνάγεται ὁ πράτης. καὶ εἰ μὲν ἐξ
ἀδιαιρέτου μέρος ἐκνικηθῇ, πρὸς τὸ ποσὸν τοῦ τιμήματος αὐτοῦ ἐνάγεται. εἰ
δὲ δηλουμένον μέρος ἐκνικηθῇ, πρὸς τὴν ποιότητα τοῦ ἐκνικηθέντος ἡ ἀποτίμησις
γίνεται. Ἐν δὲ ε' κεφ. χρεωστεῖ ὁ πράτης ἐν δὲ καιρῷ τῆς πράσεως προσαχθέντος δού-
λου μὴ ὑποκειμένου κλοπῇ ἢ ἐνδόσει. Ἐν δὲ η' κεφ. ὁ πράτης τοῦ δούλου
ἐκνικωμένου αὐτοῦ ἐνέχεται τῇ περὶ τῆς πράσεως ἀγωγῇ εἰς τὸ διάφορον δὲ ἀγο-
ραστοῦ [illegible] ἐπὶ τοῖς δι' αὐτοῦ προσπορισθεῖσι καὶ δὲ [illegible] τῆς δουλείας. καὶ ἐν-
τα κληρονόμως γραφεὶς [illegible] τοῦ ἀγοραστοῦ ἐκληρονόμησεν. Ἐν δὲ ια' κεφ.
φη'. ἐὰν οὖν πραθέντα [illegible] τινὶ ὁ βασιλεὺς ἢ κηδεύσῃ πρα-

Ἐν ἄλλῳ λέγει δύναται ἢ μὴ περιγράφειν ἀλλήλους τοσοῦτον πλὴν μὴ ἐς τὸ πλέον μέρος τοῦ ἡμίσεος τοῦ δικαίου τιμήματος:

Περὶ τοῦ ἐν ἔθνει φυλάδα ἀγοράζοντος:

Περὶ δούλου πραθέντος:

τὸ μετὰ πρᾶσιν δηλ.

τὰ ἐπιλημματικά.

ῆναι. οὐκ ἐνέχεται ἐπὶ τῆς λειμμάτων. αἱ γὰρ μετὰ τὴν πρᾶσιν συμβαίνουσαι τῆς ἐκ-
νικήσεως τυχηραὶ αἰτίαι, πρὸς τὸν πράτην οὐ φέρονται. ἐν τῷ δ´ ιβ κεφ. ὁ ὁ-
μολογήσας μὴ ὑποκεῖσθαι ἐνοχῇ τοῦ δούλου, οὐκ ἐνέχεται διὰ τὰ δημόσια ἁ-
μαρτήματα. ἐν τῷ δ´ λβ κεφ. θέμ. ε. οἴκου ἢ πλοίου πραθέντος, οὐ δοκεῖ τὰ κα-
θέκασα, οἷον λίθοι ἢ σανίδες πεπρᾶσθαι. διὸ οὔτε περὶ ἐκνικήσεως αὐ-
τῶν ὁ πράτης ἐνέχεται εἰς τὸ διπλάσιον, ὥσπερ μέρους ἐκνικηθέντος. ἐν τῷ δ´ λϛ
κεφ. ἐὰν ἔγκυος δούλη πραθῇ καὶ τὸ τεχθὲν ἐκνικηθῇ, οὐκ ἐνέχεται ὁ πράτης.
οὔτε γὰρ ὁ τοκετὸς ἐπράθη. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ μετὰ τὴν πρᾶσιν τεχθέντος μόσχου.
ἐν τῷ δ´ μβ κεφ. ἐὰν οἱ ταξεῶται τὰ ἐνέχυρα πωλήσωσι τοῖς ψηφισθεῖσιν
ἀκολουθοῦντες, οὐχ ὑπόκεινται τοῦ πράγματος ἐκνικουμένου. εἰ δὲ μετὰ δόλου ἤ τι-
νος ἐπιβουλῆς, ἔχει καὶ αὐτὸς ὁ δεσπότης τὴν περὶ δόλου ἀγωγήν. ἐν τῷ δ´ μγ
κεφ. ἐὰν διὰ πλάνην ἢ ἄγνοιαν ἢ εὐήθειαν τοῦ δικαστοῦ ἡττηθῇ ὁ ἀγοραστής,
οὐκ ἐνέχεται ὁ πράτης. ἐν τῷ δ´ να κεφ. εἰ μὴ λεχθῇ ἐν τῇ πράσει πόσον ὑπὲρ
ἐκνικήσεως ὀφείλει παρασχεῖν ὁ πράτης, δι´ ἁπλοῦ μόνον διὰ τὴν ἐκνίκησιν
ἐκδίδωσι. τὸ κατὰ φύσιν τῆς ἐπὶ τῇ πράσει ἀγωγῆς τὸ διαφέρον. ἐν τῷ δ´ νη
κεφ. ὁ πράτης μετὰ χρόνον τοῦ ἐκνικηθῆναι τὸ πρᾶγμα, προσφέρων αὐτὸ τῷ ἀ-
γοραστῇ, οὐκ ἐκκλίνει τὴν εἰς τὸ διαφέρον καταδίκην. ἐν τῷ δ´ ξβ κεφ. ἐὰν ὁ
πράτης εἰδὼς τὴν αἵρεσιν τῆς ἐλευθερίας κρύψῃ αὐτὴν ἀγνοοῦντα τὸν ἀγοραστήν,
καὶ ἁπλῶς εἴπῃ ὑπόδουλον ἢ ἐλεύθερον τὸ πιπρασκόμενον εἶναι τῆς αἱρέσεως ἐ-
ξιούσης, οὐ τῇ ἐκνικήσει ἀλλὰ τῇ ἐπὶ πράσει ἀγωγῇ ὑπόκειται. ὡς ὁ παρα-
διδοὺς ἀγρὸν καὶ τὰς δουλείας εἰδώς. ἐὰν εἴπῃ ἁπλῶς αἱ δουλεῖαι οἷαι εἰσὶν ἔσω-
θεν, τῇ ἐπὶ πράσει ἀγωγῇ ἐνέχεται, οὐ τῇ ἐκνικήσει. ἐὰν μὴ εἴπῃ δὲ μέχρι τοῦ
πραθέντος ἀγροῦ, ἀναλαμβάνει μέρος τοῦ τιμήματος. τοῦτο δὲ σημαίνεται ἀπὸ πα-
ντὸς τῶν λεγομένων τῶν ζῴων ἐργαστηρίου. ἐκνικουμένου τοῦ πράγματος οὐ μό-
νον εἰς ἀνάληψιν τῆς τιμῆς ἁρμόζει ἡ ἐπὶ τῇ πράσει ἀγωγή, ἀλλὰ καὶ εἰς τὸ δια-
φέρον. ὅθεν ἐὰν ἥττονος γέγονεν ὁ ἀγοραστὴς ζημιοῦται. αὐτὸς καὶ τὸ ἴσον τοῦ
αὐτοῦ ἴσον β. ἐν τῷ δ´ διαλαμβάνεται τίνες κατέχονται καὶ οὐ δίδονται ὑπὲρ τῶν ἐκνι-
κωμένων. οὐδενὸς ἐν τῷ δ´ ϛ κεφ. κἂν μηδὲν περὶ ἐκνικήσεως συμπεφωνηθῇ ἰδι-
κῶς, ὅμως ἐκνικηθέντος τὸ πρᾶγμα δύναται ἡ ἐπὶ τῇ πράσει ἀγωγὴ κινεῖσθαι
κατὰ τοῦ πράτου. ἐν τῷ δ´ ιθ κεφ. ἐὰν ὑποκείμενον πρᾶγμα ἐπώλησας, εἶτα
ὁ ἀγοραστὴς ἐκ τῆς μακροῦ χρόνου παραγραφήν, οὐδένα φόβον ἔχεις τοῦ
λοιποῦ περὶ ἐκνικήσεως. ἐν τῷ δ´ κ κεφ. ὁ πράτης γινομένης τῆς ἐκνικήσεως.

ᾱ

δύναται συμπρᾶναι· πεπρακότος δὲ αὐτῆς, οὐ δύναται ἀναπτηλαίειν καὶ ἐξε-
κινεῖσθαι· οὐκ ἄλλως δὲ οὐ δύναται ὑπὸ τοῦ ἀγοραστοῦ· εἰ μὴ ἀπαιτήσει αὐτὸν
πρὸ αὐτοῦ, ἐπὶ τὴν πρᾶσιν ἄγοντι· μακροῦ χρόνου παραγραφῇ οὐκ ἐκβάλλεται. εἰ
δὲ ὁ πραθεὶς οἰκέτης εἰς ἐλευθερίαν ἀναφωνεῖ· καὶ ὑπὲρ αὐτοῦ ψῆφος προβῇ,
δύναται ὁ ἀγοραστὴς εἰς τὸ διαφέρον κινῆσαι. εἰ μὴ ἀπὸ συμφώνου ἐκωλύθη.
αὐτ. β´ να´ τ. δ´ κε. β´ δ. ε´ ἐκ κε. ἐδ. ιε´ συν. φ. ᾱ. ἐὰν ἀλλότριον ἀγρὸν πω-
λήσῃς μοι καὶ παραδῷς· εὑρεθῶ δὲ κληρονόμος τοῦ δεσπότου τοῦ ἀγροῦ πωλή-
σας αὐτὸν ἄλλῳ καὶ παραδοὺς· ἐγὼ μᾶλλον εἰμὶ βεβαιότερος. αὐτ. καὶ δ. κ´ καὶ
κε. ιγ´ δ. β´ ἐ. τ. ϛ´ κε. ε´:

Περὶ ἀγορασθέντων πραγμάτων καὶ παραδοθέντων ἐξ ἀγοραστοῦ. ιγ´
καὶ περὶ τῆς τούτων παραγραφῆς· καὶ περὶ ἐκνικηθέντων πραθῆναι.
αὐτ. β´ ιθ´ τ. β´ θέματος συν. φ. ᾱ κε. φη´:

Ἐὰν ἐκ τίνος δεσπότου ἐντεταλμένου πραθῇ τὸ πρᾶγμα, οὐ δοκεῖ πεπρᾶσθαι.
καὶ οὐκ ἂν τεκνωθῇ μοι παραγραφὴ ἀπαιτοῦντι αὐτό. ἐν δὲ φ. γ´ κε. εἰ δὲ μὴ
παρεδόθη ἐξ ἀγοραστοῦ τὸ πρᾶγμα· δεξάσθαι δὲ ὁ νομεὺς αὐτοῦ ἄνευ αἰτίου.
ἔχει κατὰ τοῦ πράτου τὴν παραγραφήν, εἰ μὴ εὔλογον αἰτίαν ὁ πράτης ἔχει δι' ἣν οὐκ
ἐδίδου τὸ πρᾶγμα· εὐλόγου γὰρ οὔσης αἰτίας· καὶ μετὰ τὸ παραδοῦναι ἐκδι-
κεῖ· καὶ ἀντιτίθησι τὴν παραγραφὴν ἀντιπαραγραφήν:

Περὶ τῶν ὑπὸ τοῦ δημοσίου πραθέντων διὰ δημόσιον χρέος. ιδ´
ὅτι οὐκ ἀναστρέπεται ἡ τοιαύτη πρᾶσις. αὐτ. β´ ιθ´ τ. ιγ´. θέματος
συν. φ. ᾱ κε. φνστ´:

Ἐὰν ὁ δημόσιος διὰ δημόσια χρέα πωλήσῃ πράγματα τοῦ χρεώστου· οὐδὲ αὐ-
τὸς ὁ χρεώστης οὐδὲ ὁ δανειστὴς αὐτοῦ δύναται περισπᾶσαι τὸ χρέος καὶ ἐκδι-
κῆσαι τὰ πράγματα· πάντων γὰρ πρότερος ἐστὶν ὁ δημόσιος. ἐν δὲ φ. γ´
κε. τὰ ληφθέντα πράγματα τοῦ ἐπὶ δημοσίοις τελέσμασιν ἀγνωμονοῦν-
τος καὶ παρὰ ἄρχοντι ἐναχθέντος· τὰ εἰς δημόσια ὠνηθέντα βεβαίως ἔχει. αὐτ.
ἐ. β´ ι´ τ. ιθ´ κε. β´ συν. φ. ὁ πραθεὶς ὑπὸ τοῦ δημοσίου, κἂν ζητῇ τοῦ μέ-
χρι διάλαξιν καὶ κομμόδου ἕως ἐνιαυτοῦ μόνον, ὁ δεσπότης δύναται ἐκ-
δικεῖν. κἂν δὲ τὸ ζήνωνος διάταξιν, εὐθέως ἔχει τὸ ἀσφαλὲς ὁ ἀγοραστὴς. καὶ
οὐκέτι ἐνάγεται περὶ τοῦ πράγματος. εἰ μὴ κατὰ συμπαιγνίαν τινὶ ἀπάτην
πάνυ ἐλαχίστου τιμήματος πραθῇ τὸ πρᾶγμα. αὐτ. ἐ. β´ νϛ´ τ. ϛ´ θέματος ἐν
φ. ϛ´ κε. ὁ ἀγοράσας παρὰ τοῦ δημοσίου πράγματα ἐκ τοῦ τιμήματος καταβα-

ἐν δὲ φ. ε´ κε. ... τοῦ ιβ´ κεφαλαίου ... ὅτι περὶ ὅρους ἐν φ. περὶ ἀφιλίκων:

λων, οὐκέτι ἐνάγεται. ἐν τῷ δ' ι' κεφ. ἅπαξ πωλήσας ὁ δημόσιος πρᾶγμα, ἀ-
ναψηλαφᾶν τὴν πρᾶσιν οὐ δύναται. πάντα δὲ τὰ ἤδη πεπραμένα ἐν τοῖς διαλάξει
συνόψει. ὅτε καὶ δημοσιακὸς δοῦλος οὐκ ἀπεπράθη. αἱ γὰρ τῶν ἰδιωτῶν δούλων
πράσεις ἀναστρέπονται:

ιε' περὶ πράσεως ἀγροῦ. ἀν. ἐν τῷ ιθ' τίτ. ια' ἐν δ' φησίν:

Παντὸς ... τῶν ἀγρῶν ὧν νέμονται τὰ δημόσια τελέσματα ...
σκέπτεσθαι καὶ συμφώνοις ἐνάγεσθαι μὴ ὀφείλουσιν. ὅτε ὁ πράτης ὅτε ὁ ἀγο-
ραστὴς ... ἑαυτοῦ τῶν δημοσίων ... φορῶν βάρος διὰ ...
συμφώνων βούλεται ... περὶ τούτου ... πλατύτερον ἐν
τῷ περὶ τελῶν δημοσίων:

ιϛ' περὶ τῶν ἀλλοτρίῳ ὀνόματι ἀγοραζόντων. ἢ ἀλλοτρίοις χρή-
μασιν. ὡς ὅταν ἀγορασθῇ τι ὀνόματι γυναικός. τοῦ ἀνδρὸς τὸ
τίμημα δεδωκότος. ἀν. ἐν τῷ ιθ' τίτ. ιε'. ὁ αὐτὸς ἐν δ' ϛ' κεφ. φη.:

περὶ ἐλευθερικῆς πράσεως: Εἰ ... γυναικὸς ἀγοραζούσης καὶ αὐτῇ παραδιδομένου τοῦ πράγματος, ὁ ἀ-
νὴρ μόνος τὸ τίμημα δέδωκε, δέσποινα μέν ἐστι. δύναται δὲ κινεῖσθαι κατ' αὐτῆς
ἀπαιτῶν τὸ τίμημα ὅπερ δέδωκεν ὡς τὸ διαφέρον ἐκείνῃ συνάλλαγμα. εἰ
μέντοι ὁ ἀνὴρ ἠγόρασε καὶ αὐτῷ τὸ πρᾶγμα παρεδόθη. καὶ αὐτὸς τὸ τίμημα
δέδωκεν. ἐλευθερικῶς δὲ μόνον τὸ τῆς γυναικὸς ὄνομα ἐτέθη. οὐ προσέχει ...
τῇ ἀληθείᾳ, ὅτι αὐτός ἐστιν ὁ δεσπότης:

ιζ' περὶ ἀγορασίας καὶ πράσεως οἴνου. ἀν. ἐν τῷ νγ' τίτ. ιζ' ὁ αὐτὸς
ἐν δ' α' κεφ. φησίν:

Οἱ οἰνέμποροι ὡς ἂν συμφωνήσωσι περιπατοῦσιν. οὐδεὶς γὰρ ἀναγκάζεται
πωλεῖν ἀπαρεσκόμενος τῷ μέτρῳ ... καὶ μάλιστα ἐὰν μηδὲν τί ἐδόθη
παρὰ τὴν συνήθειαν τοῦ κλίματος. ἐν δὲ δ' γ' κεφ. ἐὰν ὁ ὡρισμένος χρόνος τῆς μετρή-
σεως καὶ ἐμποδίζῃ ὁ ἀγοραστής. ἔξεστι τῷ πράτῃ ἐκχέειν τὸν οἶνον. διαμαρτυρο-
μένῳ μέντοι τοὺς παρόντας τῷ ἀγοραστῇ. εἰ δὲ μὴ ἐκχέοι. λαμβάνει τὸν μι-
σθὸν τῶν πίθων ἐν οἷς διέφερεν αὐτῷ. ἴσως γὰρ αὐτοὺς ἐμίσθου ἢ ἄλλους
ἐμίσθωσε. κάλλιον δὲ ποιεῖ μισθούμενος καὶ μὴ ἀποδιδοὺς τὸν οἶνον ἕως
οὗ λάβῃ παρὰ τοῦ ἀγοραστοῦ τὸν μισθόν. ἢ πωλεῖν τὸν οἶνον ἀβλαβῶς ὅσον δύ-
ναται. ἵνα μὴ πολὺ ζημιωθῇ ὁ ἀγοραστής. ἐν δὲ δ' ε' κεφ. εἰ μὴ ὁ ὡρισμένος χρόνος πρό-
τε οἱ πίθοι ὀφείλουσι κλεισθῆναι. δι' αὐτοὺς περὶ τῆς ὀπώρας ... κλεισ-
θῆναι. εἰ δὲ οἰνέμπορος ἦν ὁ πράτης. οὐ περιμένει τὰς ... ἀλλὰ

α

ἰκοῦ αὐτῷ καιρὸς συμπέσῃ πρὸ τῆς μεθημέρας. τοῖς μέντοι ἰσχυροῖς ἢ ταῖς μεγά-
λαις ἀνάγκαις, ὁ πράτης οὐχ ὑπόκειται. ἐν τῷ α' θ' κεφ. ἐμποδίσας ὁ πράτης πε-
ρὶ τῆς παραδόσεως. δίδωσι τὸ διαφέρον τὸ ἐξ αὐτοῦ τοῦ πράγματος ὄν. οὐ μὴν δὲ
ὁ ἀγοραστὴς ἣν ἠδύνατο κερδᾶναι ἀπὸ πραγματείας τοῦ πραθέντος αὐτῷ οἴνου. ἐν
τῷ α' ι' κεφ. ἐὰν κόπτῳ πραθῇ οἶνος καὶ μὴ ὑπογεύσωσι. μόνην φυλακὴν ἀπαι- κόπτῳ. quod Jurisconsultus dixit: aversione: in l. 4. ff. de periculo et com. rei vend.
τεῖται ὁ πράτης χρεωστεῖ. ὁ δὲ κίνδυνος ἅπας καὶ τοῦ ὀξίζειν καὶ τοῦ ὑδαρὸν
εἶναι τὸν ἀγοραστὴν ὁρᾷ. καὶ εἰ μὴ ὁρισθῇ χρόνος τῆς αἱρέσεως αὐτοῦ. διαμαρτύ-
ρεται τὸν ἀγοραστὴν ὁ πράτης. διὰ μέντοι πρὸ τῆς ἐξόδου αὐτοῦ ὑπεξαιρεῖσθαι. δυνατὸν
δὲ τῆς ἀγορᾶς ἐπὶ τῷ μὴ γεύσασθαι. καὶ ἔνθα μὴ ὁρισθῇ τῆς γεύσεως χρόνος. ὁπό-
τε δήποτε δύναται ὁ ἀγοραστὴς γεύσασθαι. ἐν τῷ α' ια' κεφ. πρὸ τῆς μεθημέρας, ὁ κίν-
δυνος τὸν πράτην ὁρᾷ. εἰ δὲ ὁ ἀγοραστὴς ἐνεποδίσθη. ἐμπεσόντος λαβεῖν με-
τὰ ταῦτα ὁ πράτης. ἀπὸ μόνου δόλου ἐνέχεται :–

Περὶ ἀγορασίας καὶ πράσεως ἑκουσίου : – ἀν' β' ια' τ' θ' κεφ' ιη
κη. καὶ θ' ιστ' τ' α' κεφ' με ἐν τῷ φιλοσ. :–

Ὁ ἑκουσίως πράσεις οὐδὲν. οὔτε δοκεῖ ἐκποιεῖσθαι τὸ πρᾶγμα. ἀν' ε' β' ιβ' τ' περὶ πράσεως ἑκουσίου : –
α' κεφ' νγ' ὅπερ εὕρηται ἐν τῷ περὶ ἐνοχῶν : –

Περὶ ἀγροῦ πραθέντος εἰς δύο πρόσωπα. ἀν' θ' ιε' τ' α' κεφ' λε' ἐν ιθ
τῷ φιλοσ. :– περὶ ἀγροῦ πραθέντος δυσίν, ἢ δωρηθέντος : –

Ἐὰν δύο μὲν ἐν τῷ αὐτῷ ἀγρὸν ἀγοράσωσιν, ἐξ ὁλοκλήρου. ὁ πρῶτος αὐτὸν λαβὼν
ἔσται βέλτιον εἰ καὶ τὸ τίμημα οὐ κατεβάλετο. καὶ μάλιστα μὴ ἔλαβε τὰ δικαιώ-
ματα τοῦ ἀγροῦ. ὁμοίως καὶ ἐπὶ δωρεᾶς. ἀν' καὶ τ' β' κεφ' ... τ' ἐν τῷ φιλ.
ἐὰν δὲ δύο λεοντι τὸ αὐτὸ πρᾶγμα κεχωρισμένως πραθῇ καὶ ἐπιστευθῇ ἀπὸ
τοῦ αὐτοῦ. κρείττων ἐστὶν ὁ πρῶτος λαβών. εἰ δὲ παρὰ διαφόρων μὴ δεσποζόν-
των. κρείττων ἐστὶν ὁ νεμόμενος : –

Περὶ ἀγοράσαντος παρὰ μὴ δεσπότου. αὐτοῦ τοῦ δεσπότου παραγγέλλοντος θ κ
μὴ ἀγοράσαι. καὶ περὶ λοιπῶν ἀγοραστῶν. ἀν' β' ιε' τ' α' κεφ' μζ' ἐν
τῷ φιλοσ. : –

Ἐάν τις ἀγρὸν ἀγοράσῃ παρὰ μὴ δεσπότου πωλοῦντος. αὐτοῦ τοῦ δεσπότου παραγ-
γέλλοντος αὐτῷ μὴ ἀγοράσαι. μετὰ τῶν καρπῶν αὐτὸν ἀποκαθίστησι. ἀν' καὶ τ' δ'
αὐτ. τ' κεφ' η' ἐν τῷ φιλοσ. ὅθεν ὁ ἀγοραστὴς πρὸ παραδόσεως. οὐκ ἔχει τὴν ἐπ'
αὐτῷ τοῦ πράγματος ἀγωγήν. ὁ δὲ κληρονόμος ἔχει ἐπὶ τοῖς κληρονομιαίοις ἐ-
πειδὴ νενέμηται. ἀν' καὶ ν' ξε' ἐν τῷ φιλοσ. ὁ ἀγοράσας ἀλλότριον ἀγρόν. ὁ

ξ

διδῶσιν αὐτῷ τῷ δεσπότῃ. εἰ μὴ λάβῃ τὰ χρήματα ἅπερ δέδωκε τῷ ἐφηκότι
αὐτὸν εἰς ὑπέχυσιν. ἀνάγ. κεφ. οβ ἐν τῷ φη. ἐὰν τὸν ἀγρόν σου πωλήσῃς μοι
καὶ παραδῷς αὐτὸν ἑτέρῳ. ἔστω μοι ἐπικρατέστερος. ἐπειδὴ κἂν ἐγὼ νέμωμαι
καὶ ἐναγάγῃς μοι, παραγράφομαί σε. καὶ σὲ ἐὰν νέμῃ ἐκδιώκω σε αὐτόν. ἀνάγ.
κεφ. πδ ἐν τῷ φ. φλοσιν. ὁ παρὰ κακῇ πίστει νομέως ἀγοράσας καὶ κακῇ πίστει. δύ-
ναται τὸ πρᾶγμα διὰ χρόνου δεσπόζειν. ἀνάγ. κεφ. πς ἐν τῷ φη. ὁ ἀγοράσας
ἑαυτῷ κτήματα ἐκ τῶν παραδοθέντων αὐτῷ νομισμάτων παρά τινος οὐκ ἀναγ-
κάζεται αὐτὰ τὰ κτήματα διδόναι αὐτῷ τῷ παραθεμένῳ. ἀλλὰ τὰ ἃ ἀπῄτησεν
ἀποδιδῶσιν. καὶ κεφ. ςβ ἐν τῷ φη. ὁ δοῦλον πωλήσας καὶ παραδοὺς οὐκέτι
δύναται διεκδικεῖν αὐτὸν ἢ τοὺς τόκους αὐτοῦ. ἅπαξ δεσπότου τοῦ ἀγορα-
σοῦ γενομένου. ἀλλὰ μᾶλλον περὶ τοῦ τιμήματος ὀφείλει κινεῖν τὴν ἁρμόζουσαν
αὐτῷ ἀγωγήν. καὶ κεφ. ςδ ἐν τῷ φη. ἐάν τις παραγωγικῶς ἀγοράσῃ πρᾶγμα
διαφέρον τῷ ταύτης παιδί. κακῶς ἐνάγεται ἐπὶ αὐτῷ ἀγωγῇ. ἐὰν δὲ ὁ παῖς
κληρονομήσῃ τὴν μητέρα. εἰς ὅσον αὐτὴν ἐκληρονόμησεν ἀναγκάζεται ἐφησυχάζειν
ἐκβαλλόμενος διὰ δόλου παραγραφῆς. ἀνάγ. κεφ. ρς ἐν τῷ φη. ὁ ἀγοράσας δοῦ-
λον. οὐ δύναται πρὸ παραδόσεως ἐκδικεῖν τὴν τούτου δεσποτείαν. ὁμοίως παν-
ταχοῦ ὅτι οὐκ ἀπὸ συμφώνου. ἀλλ᾽ ἀπὸ τῆς παραδόσεως γίνεται δεσπότης ὁ ἀγο-
ράσας. ἀνάγ. τ β τοῦ αὐτοῦ ιε β ἀπὸ τοῦ ζ κεφ. ἕως τοῦ ιε κεφ. ἐν δὲ τῷ ζ κεφ. φη.
ὅτι ὁ ἀπὸ νεμομένου ἐν ἀγνοίᾳ ἀγοράζων. ἔχει τὴν πουβλικιανήν. διὰ χρόνου
γὰρ δεσπόζει. καὶ ὁ ἀγοράσας ἐν ἀγνοίᾳ παρὰ ἀνέου. καὶ ὁ λαβὼν κατὰ ἀντάλλα-
γὴν ἢ δωρεάν. ἡ γὰρ πουβλικιανὴ μιμεῖται ἔχει δεσπότου. καὶ ὅτι παντὶ ἀγο-
ραστῇ τῷ καλῇ πίστει ἁρμόζει. καὶ οὐ βλάπτει αὐτὸν ὁ δόλος τοῦ πράτου. περὶ οὗ
δὲ παραγραφεῖ τὸ πρᾶγμα. οὐκ ἔχει τὴν πουβλικιανὴν κἂν καλῇ πίστει ἀγορά-
σῃ. ἀνάγ. τ α κεφ. ε τίτ. ε:

κα περὶ ἀγρῶν τῶν ἀναληφθέντων ἀπὸ τῶν πολεμίων. ἀνάγ. β λδ τ α κεφ.
ιζ ἐν τῷ φ. φλοσιν:

Τοὺς ἀναληφθέντας παρὰ τῶν πολεμίων ἀγρούς. οἱ πρώην ἀναλαμβάνουσι δε-
σπόται. οὐ γὰρ ἐν τάξει πραίδας εἰσίν. οὔτε δημόσιοι γίνονται. οἱ γὰρ τῶν πολε-
μίων λαμβανόμενοι, γίνονται δημόσιοι:

περὶ ἀγρῶν λιμιτανέων καὶ λιμιτρόφων. καὶ ἐμφυτευτικαρί-
κβ ων. ἀνάγ. β νε τ ς ε ζ ε κ ε [illegible] ε ι. ἐν δὲ τῷ β κεφ. τοῦ ς τ φη:

Τοὺς ἀγροὺς τοὺς λιμιτανέους καὶ τὰς λίμνας καὶ παντοδίκαιον ἀφ[illegible]

α'

ἐξ ἀρχῆς τοῖς λιμιτανέοις στρατιώταις ἀλλαχῇ ἐξῆν· καὶ βεβαίως κατέχεσθαι παρ' αὐτῶν :—

**περὶ ἀγωγῶν ἐκ διαφόρων αἰτιῶν συνισταμένων· αὐτ. ε' ιβ' τ. α'· [illegible] ἐν τῷ κα' κεφ. φησίν :—** κϛ'

Ὅτι τῶν ἀγωγῶν αἱ μέν εἰσιν ἰνρέμ· καὶ καλοῦνται οὐινδικατίονες· ἢ προσωπικαί· καὶ καλοῦνται κονδικτίκιοι. ἐν πράγμασιν ἀγωγή ἐστιν ἡ ἀπαιτοῦσιν ἔχουσα πράγματος ἰδίου· τίς αὐτὴ κατὰ νομέως ἁρμόζει. προσωπικὴ δέ ἐστιν ἡ κινουμένη κατὰ τοῦ ἐνεχομένου εἰς τὸ ποιῆσαί τι ἢ δοῦναι. καὶ ὅτι τῶν ἀγωγῶν αἱ μὲν ἀπὸ συναλλάγματος τίκτονται· αἱ δὲ ἀπὸ φάκτου· αἱ δὲ ἰν φάκτουμ εἰσίν. ἀπὸ συναλλάγματος ἀγωγαί εἰσιν· ὡς ἐπὶ κέρδει οἰκείῳ ποιεῖταί τις ἀγοράζειν· ἢ πιπράσκειν· ἢ μισθοῦν, ἢ ἐπὶ τῶν ὁμοίων. ἀπὸ φάκτου· ὡς ἐνταῦθα ἁμαρτήσας κλέπτων· ὑβρίζων· ἢ ζημιῶν. ἐναπολήγουσαι ἀγωγαί εἰσιν· ἃς ἔχει ὁ πάτρων κατὰ τοῦ ἀπελευθέρου· κληθεὶς παρ' αὐτοῦ ἄνευ συγγνώμης εἰς δικαστήριον. πᾶσαι δὲ αἱ ἀγωγαὶ ἢ πολιτικαί εἰσιν, ἢ πραιτωρίαι· αἱ ποινάλιαι πάντως ἐντὸς καθ' ἕξιν κατὰ κληρονόμων παρατείνονται. εἰ δὲ ἐν τῷ κεφ. φη. ὅτι αἱ ἀπὸ συναλλάγματος ἀγωγαὶ διαβαίνουσι κατὰ κληρονόμων εἰς ἀκέραιον ἔχουσιν. ὡς ὅτε ἐπὶ τῷ πρὸς δόλον ἐν τῇ ἐπιτροπῇ ποιήσῃ· ἢ ὁ παρακαταθήκην δεξάμενος περὶ τὸ παρακαταθέν. εἰ δὲ καὶ ὑπεξούσιοι τὸ βιοδοῦν πλημμελήσωσιν· οὐ νοξαλία· ἀλλ' ἡ περὶ τοῦ πεκουλίου ἀγωγὴ ἁρμόζει. εἰ δὲ ν' κεφ. ἀγωγή ἐστι δίκαιον τοῦ ἀπαιτεῖν τινὰ δικαστηρίῳ ὅπερ κεχρεωστεῖται. αὐτ. β' ξ' τ. λβ' κεφ. γ' ἐν τῷ φη. ὅτι δημοσία ἀγωγή ἐστιν ἡ φυλάττουσα τὸ τοῦ δημοσίου δίκαιον. αὐτ. β' ιε' τ. β' ἐν τῷ φη. περὶ τῆς πουβλικιανῆς ἀγωγῆς. [illegible] ἐν τῷ α' κεφ. φη. ὁ καλῇ πίστει δεσπότου λαβὼν πρᾶγμα μὴ δεσπότου ἐξ εὐλόγου αἰτίας ἢ μὴ διὰ χρήσεως δεσπότης ἔχει τὴν πουβλικιανήν. ὁ γὰρ διὰ χρήσεως δεσπότης ἔχει τὴν πολιτικήν. καὶ κατὰ πολλοὺς δὲ νομίμους τρόπους κατὰ ταύτης δεσπόται. εἰ δὲ γ' κεφ. ὅτι τὸ καλῇ πίστει λόγῳ αἰτίαν λαβόντι πρᾶγμα καὶ ἐκπεσόντι δίδοται ἡ πουβλικιανή. εἰ δὲ ιγ' κεφ. ὅτι ἐξ οἵας δήποτε αἰτίας εὐλόγου προς τοποθεσίαν λαβόντι πρᾶγμα ἐκπεσόντι αὐτοῦ· χώρα τῇ πουβλικιανῇ. αὐτ. β' κα' τ. γ' [illegible] ἐν τῷ ιδ' κεφ. φη. ὅτι ἡ κατὰ τοῦ χρεώστου προσωπικὴ ἀγωγὴ οὐκ ἀναιρεῖται· κἂν ὁ δανειστὴς ἐπιλέξηται τὰ ἐνέχυρα· ἀλλὰ λογίζεται μόνον εἰς τὸ χρέος τὸ τίμημα τοῦ ἐνεχύρου. τὸ δὲ ὑπόλοιπον ἀπαιτεῖ διὰ τῆς προσωπικῆς ἀγωγῆς. αὐτ. β' θ' ξ' τ. ξβ' ἐν τῷ φη. περὶ ἀγωγῆς διπλῆς δυναμένης ἐγκληματικῶς καὶ ἐγκληματικῶς κινεῖσθαι

ἐναπολελεσμένα.

τί ἐστι προσωπικὴ ἀγωγή :—

τί ἐστιν ἀπὸ συναλλάγματος ἀγωγή. τί ἐστιν ἀπὸ φάκτου ἀγωγή. τί ἐστιν ἐναπολήγουσα :—

τί ἐστιν ἀγωγή.

περὶ πουβλικιανῆς ἀγωγῆς :—

περὶ διπλῆς ἀγωγῆς :—

σθαι. σύγκειται ἐν τῷ αʹ κεφ. ὁσάκις ἀπὸ ἰδικῆς ζημίας καὶ χρηματικὸν καὶ ἐγκληματικὸν ἁρμόζει· ἐπὶ κλοπῆς ἔχει τις εἴτε τὸ ἐγκληματικὸν πρᾶξαι, εἴτε τὸ χρηματικὸν κινῆσαι. ὁ γὰρ δυνάμενος κινῆσαι τὸ περὶ βίας δημόσιον δύναται πάλιν κινῆσαι κρυπτομένης διαθήκης τὸ διπλάσιον τὸ περὶ τῆς φανερώσεως τῆς διαθήκης. καὶ πάλιν δύναται κινῆσαι τὸν νόμον τὸν περὶ πλαστογραφίας:

κδʹ **Περὶ ἀγωγῆς ἀφαιρέσεως πραγμάτων. ἀνάγνωθι βιβλ. κηʹ τίτ. ιαʹ. σύγκειται ἐν τῷ δʹ κεφ. φησίν:**

ἀγωγὴ περὶ ἀφαιρέσεως πραγμάτων:

Ἡ γυνὴ κλέψασα τι ἐκ τοῦ ἀνδρὸς τῇ περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγῇ ἐνάγεται μετὰ διαζύγιον. οὐ μὴν τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον. ὥσπερ καὶ ἡ θυγάτηρ κλέψασα τὸν πατέρα. ἄτιμος γὰρ ἀγωγὴ κατὰ γαμετῆς οὐ δίδοται. εἰ δὲ μετὰ διαζύγιον ψηλαφᾷ τὰ πράγματα, τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἐνέχεται. ἐν δὲ τῷ γʹ κεφ. ὅτι τὰ εἰρημένα περὶ ἀποδιδοῦσα γυναικὸς λέγομεν, καὶ περὶ ἀποδιδόντος ἀνδρός. ἐν δὲ τῷ ζʹ κεφ. ὅτι ὁ κινῶν τὴν περὶ ἀφαιρέσεως πραγμάτων ἀγωγὴν ὅρκον ἐπάγειν δύναται ὁ ὀμνύει πρὸ τοῦ περὶ συκοφαντίας. ὁ δὲ λεγόμενος κλέψαι μόνος ὀμνύειν ἀναγκάζεται. οὐ μὴν ὁ πατὴρ ἢ ὁ κληρονόμος αὐτοῦ. ἄδικον γάρ ἐστιν ἄλλον ὀμνύναι περὶ τοῦ ἀλλοτρίου ἀποτελέσματος. διὸ οὔτε ἀντεπιφέρεται. οὔτε ὅτε τῇ περὶ κλοπῆς ἐναγόμενος ἐπιφέρει τῷ ἐνάγοντι. ἵνα ὁ μόνος ὅτι κλέπτης ἐστίν. ὅθεν οὐδὲ γυνὴ αὐτὸν ἐπιφέρει:

ἀποδήμησις αὐτοῦ

κεʹ **Περὶ ἀγωγῆς τῆς τὰ ἴδια ἐκδικούσης. ἀνάγνωθι βιβλ. ξʹ τίτ. εʹ. σύγκειται ἐν τῷ πρώτῳ κεφαλαίῳ φησίν:**

περὶ τῆς εἰς τὰ ἴδια ἐκδικούσης ἀγωγῆς:

Ὁ κατὰ τὰ ἴδια ἐκδικοῦσα ἀγωγὴ οὐ κινεῖται κατὰ τοῦ τὸ ἀλλότριον πεπρακότος. ἀλλὰ κατὰ τῷ ἀγοραστῷ νεμομένου τὸ πρᾶγμα. ἐναγόμενος δὲ ὁ ἀγοραστής. οὐ καλῶς ἀπαιτεῖ τὸν δεσπότην τοῦ πράγματος κινῆσαι κατὰ τοῦ πράτου τὴν τὰ ἴδια ἐκδικοῦσαν ἀγωγήν. αὐτὸς γάρ ἐστιν ὁ νεμόμενος οὐχ ὁ πράτης. ἐν δὲ τῷ πβʹ κεφ. ἐν ταῖς τὰ ἴδια ἐκδικούσαις ἀγωγαῖς καὶ ἐν ταῖς προσωπικαῖς. φυλάττεται ὁ κανὼν ὁ βουλόμενος τὸν ἐνάγοντα ἀκολουθεῖν τῷ φόρῳ τοῦ ἐναγομένου. ἡ μέντοι τὰ ἴδια ἐκδικοῦσα ἀγωγὴ καὶ ὅπου τὰ πράγματα διάκειται δύναται κινηθῆναι. ἐν δὲ τῷ πδʹ. πᾶς ἀπὸ διοικήσεως ἐναγόμενος ἐν οἷς διῴκησε τόποις ἐνάγεται:

κϛʹ **Περὶ ἀγωγῆς τοῦ δημοσίου. ἀνάγνωθι βιβλ. νηʹ τίτ. ιθʹ. σύγκειται ἐν τῷ αʹ κεφ. φησίν:**

Οἱ οἰκοδόμοι δι' ὧν περιέρχεται ὁ ἀγωγός. ἀτελεῖς ἔσονται ἔξω τῶν ἀνάρτησιν βαρῶν καὶ ἰδικῶν. καθαιρέσθωσαν τοίνυν τοῦ ἀγωγοῦ ἐπειδὴ δημεύουσιν ἀντεξόμενοι τοῦ χωρίου. καὶ ἀπὸ ιεʹ ποδῶν τὰ δένδρα ἐκκόπτωσαν. φυλαττέτωσαν

α

ταῦτα δὲ τὰ ἐξ ἀγωγῶν· καὶ ὅτι ἐάν τις ἀπὸ τοῦ ἀγωγοῦ Κωνσταντινουπόλεως ἑλκύσῃ ὕδωρ εἰς χωρίον ἴδιον χάριν τοῦ ὑδρευθῆναι αὐτό· ἀπόλλυσι αὐτό· τοῦ δημοσίου αὐτὸ ἀφαιρουμένου· καὶ ὅτι ὅστις δήποτε ἀνθρώπων ἐχολετεύει ἐν τέλει ὕδωρ ἀπὸ τοῦ δεκανοῦ ἀγωγοῦ, τοῦτο ἀπαρτῆται· καὶ μόνον ταῖς βασιλικαῖς ὑπουργείται ὑπηρεσίαις καὶ τοῖς ὑδρείοις· μηδεὶς δὲ πειράτω τοῦτο τοῦ ἀγωγοῦ· ὡς εἴ τι παραβαίνοι τις ταῦτα· εἴτε σὺν ἀνθρώποις βουληθῇ· ρ λίτρας χρυσοῦ ζημιοῦσθαι· μήτε δένδρα ἔσω ε ποδῶν· ἀλλὰ ἀπὸ δεκαπόδων ταῦτα νομοθετοῦμεν· καὶ περὶ τῶν μολιβδίνων σωλήνων τοῦ ἀγωγοῦ καὶ τῶν ὑδραγῶν τῶν ἐχόντων ἐξουσίαν· ὥστε ἄδειαν ἔχειν τὴν τάξιν τῶν ὑπάρχων ἀνερευνᾶν τοὺς οἴκους· καὶ τὰ βαλανεῖα τὰ ἰδιωτικά μήτε κλέπτηται ὑπ' αὐτῶν. εἰ δὲ τῶν ε κδ. μηδεὶς ἀξίᾳ πεποιθὼς κακουργείτω ἢ τὸν ἀγωγὸν ἢ πηγήν· ἢ λαθραίως ἀφελκυσάτω ἐξ αὐτοῦ· μήτε ἐγγὺς αὐτοῦ φυτευέσθω δένδρα ἵνα μὴ βλάπτωσιν αὐτόν. εἰ δὲ μήτε τὸ πέρας τοῦ ἀγωγοῦ, τὸ χωρίον ἢ ὑδρομύλιον ἢ κῆπος· δημευθήσεται καὶ ἐκεῖ ἀναβληθήσεται τιμωρούμενος:

περὶ ἀδελφοποιΐας. ἀνάγνωθι β λε τίτ π κεφ ιε συμφωνοῦσιν: κζ

Μὴ δὲ τὰ ξένοις τοῖς ἐξ ὠρῶν μὲν οἰκοῦσι διατεθέντως ἀδελφότης συνιστάσθω. κἄν τις ὡς ἀδελφὸς περιληφθεὶς κληρονόμος γραφῇ· ἀπὸ τελευτῆς κληρονομεῖ:

περὶ ἀδιαθέτων. ἀνάγνωθι β μ τίτ α κεφ ιδ συμφωνοῦσιν: κη

Κυρίως ἀδιάθετοι λέγονται οἱ διαθέσθαι δυνάμενοι, καὶ μὴ διαθέμενοι· ἢ ἀκύρως διαθέμενοι· καὶ ὅτε ἐρράγη ἢ ἄκυρος γένηται ἡ διαθήκη· οἱ δὲ μὴ δυνάμενοι διαθέσθαι· λέγονται μὲν ἀδιάθετοι· οὐ κυρίως δέ· ὡς ἐπὶ τοῦ ἀνήβου καὶ μαινομένου καὶ ἀσώτου· καὶ τοῦ παρὰ τοῖς πολεμίοις τελευτῶντος:

περὶ τῶν ἀθεμίτως συναπτομένων ἐπὶ μοιχείᾳ ἢ πορνείᾳ ἢ γάμῳ. ἀνάγνωθι β ξ τίτ λζ κεφ ιε θέ γ. καὶ κεφ λς συμφωνοῦσιν: ἀνάγνωθι ε ν τ.

Ἔνθα συνάπτεται ἀθέμιτος καὶ μοιχεία· ὡς ἐπὶ πενθερᾶς ἢ νύμφης ἢ μητρυιᾶς· καὶ ἡ γυνὴ ὁμοίως τιμωρεῖται τῷ ἀνδρί. τοῦτο γὰρ καὶ χωρὶς τῆς μοιχείας συμβαίνει· καὶ ὅτι ἔνθα δὲ καὶ φύσει καὶ νόμῳ ἐκκωλυομένου ἀγνοοῦσα· ὁμοίως ἡ γυνὴ τῷ ἀνδρὶ τιμωρεῖται. εἰ δὲ τῷ νόμῳ μόνῳ ἠκολούθει· συγγινώσκεται ἡ γυνή. ἔτι ὅτι ἐάν τε καὶ οἱ ἄνδρες ἀθεμίτως μιγνύμενοι παρὰ τὸν ὅρον οἱ μοιχοὶ τιμωροῦνται· οἷον. εἰ ὡς γαμετὴ συνῴκησεν τινὶ ἀθεμίτως καὶ οὐχ ὡς πόρνη. ἔτι ὁ ἀφῆλιξ δὲ ἐπὶ τοῦ ἀθεμίτου συγγινώσκεται· ἀφιστάμενος μέντοι τοῦ ἀθεμίτου. ἐπὶ δὲ μοιχείας οὔτε γυνὴ οὔτε ἀφῆλιξ ἔχουσι συγγνώμην· καὶ ὅτι ἀθέμιτος γάμος οὐ βεβαιοῦται. καὶ διὰ τοῦτο ἐὰν προικῷος λυθῇ· συγχωρεῖται τῷ

ἀνάγνωθι καὶ τὰ . . . . περὶ γάμων ἀθεμίτων:

ποινὴ αὐτοῦ. καὶ κεφ. λθ΄. ἔχων ἐξουσιαζομένην τὴν μοιχάδα ἀθέμιτον, οὐδὲ ἐν νόμῳ τῇ πεν-
θερᾷ. καὶ κεφ. μα΄. ὁ πρόγονος καὶ τῆς μητρυιᾶς ἀποθανούσης, καὶ τὴν θυγατέρα αὐ-
τῆς. ὥσπερ ὁ μοιχὸς ἀποθανούσης τῆς γυναικός :—

λ΄ Περὶ ἀθωώσεως ἤτοι ἐλευθερίας χρέους. καὶ ἀποχῆς διαλύσεως ἐπερω-
τήσεως γινομένης. καὶ τί διαφέρει ἀθώωσις ἀποχῆς. καὶ τίνες δύναν-
ται ποιεῖν ἀθώωσιν ἢ ἀποχήν. ἀνάγνωθι βιβλ. κς΄ τίτ. ϛ΄. τοῦ Ἐλένου ἐν φύλλῳ α΄ κεφ. ϛ΄ :—

Ἀθώωσις ἐνοχῆς ἐστιν ἐλευθερία διαλύσεως ἐπερωτήσεως. διαφέρει γὰρ ἀθώωσις
ἀποχῆς. ὅτι ἡ μὲν ἀθώωσις πάντως ἐλευθεροῖ. ἡ γὰρ ἀποχὴ οὐχ ἁπλῶς. εἰ μὴ κατα-
βληθῇ τὰ χρήματα. εἰ γὰρ φησὶ κεφ. ὁ δοῦλος. οὔτε κηδεμόνες τοῦ δεσπότου ποιεῖν
ἀθώωσιν δύναται :—

λα΄ Περὶ αἱμομικτῶν. ἀνάγνωθι βιβλ. ξ΄ τίτ. λζ΄ κεφ. ξθ΄ ἐν φύλλῳ φησίν :—

Οἱ αἱμομίκται ἤτοι γονεῖς πρὸς τέκνα. ἤτοι τέκνα πρὸς γονεῖς. ἢ ἀδελφοὶ πρὸς ἀδελ-
φάς. ξίφει τιμωρείσθωσαν. οἱ γὰρ ἄλλοι συγγενεῖς πρὸς ἀλλήλους συμφθειρόμενοι.
τουτέστι πατὴρ τῇ γυναικὶ υἱοῦ. ἢ υἱὸς τῇ γυναικὶ πατρὸς ἤτοι μητρυιᾷ. ἢ πρόγονος τῷ
προγόνῳ. ἢ ἀδελφὸς τῇ γυναικὶ ἀδελφοῦ. ἢ θεῖος τῇ ἀνεψιᾷ. ἢ ἀνεψιὸς τῇ θείᾳ. ἢ
τῇ δύο ἀδελφαῖς. ἢ τῇ μητρὶ ξένην καὶ τὴν αὐτῆς θυγατέρα ὁ αὐτὸς μιγνύμενοι. οὗτοι
οὖν τυπτόμενοι εἶναι κουρευθέντες. αὐτοί τε καὶ αἱ αὐταῖς συμφθαρεῖσαι. εἰ γὰρ φησὶν
ὁ κεφ. οἱ γὰρ πρὸς γάμον συναπτόμενοι. ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι ἐξά-
δελφοι. καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον. ἢ καὶ πατὴρ καὶ υἱὸς πρὸς μητέρα
καὶ θυγατέρα. ἢ δύο ἀδελφοὶ πρὸς δύο ἀδελφάς. ἢ δύο ἀδελφοὶ τῇ μητρὶ καὶ θυγα-
τέρα. ἢ ἀνεψιὸς τὴν γεγενημένην τοῦ θείου γυναῖκα. ἢ θεῖος τὴν γεγενημένην
τοῦ ἀνεψιοῦ γυναῖκα. πρὸς ἐξορισμὸν καὶ τυπτέσθωσαν :—

λβ΄ Περὶ αἱρετικῶν. ἀνάγνωθι βιβλ. α΄ τίτ. α΄ κεφ. β΄ ε΄ γ΄ ε΄ ιη΄. μετὰ τοῦ λη΄ κεφ. ἐν φύλλῳ φησίν.
περὶ δυσσεβούντων τὸν ὅσιον. καὶ κεφ. μη΄ ε΄ μ΄. ε΄ να΄ ε΄ νβ΄ καὶ βιβλ. ε΄ τίτ.
γ΄ κεφ. ια΄ ἐν φύλλῳ. καὶ περὶ Ἰουδαίων καὶ Σαμαρειτῶν καὶ Ἑλλήνων. ἀνάγνωθι
καὶ βιβλ. ξ΄ τίτ. νδ΄ κεφ. ιθ΄ ἐν φύλλῳ φησίν :—

ἀνάγνωθι ε΄ νε΄ μβ΄ ε΄ με΄
ε΄ ρλ΄. ε΄ ρλα΄ κεφ. ι΄.

Μηδενὶ ἐξέστω αἱρετικῷ δούλους ἀνεῖσθαι ἢ δούλους ἰδίους τῆς ὀρθοδόξου πίστεως ὄν-
τας καὶ τῶν ὀρθοδόξων μεταλαμβάνοντας μυστηρίων. εἰς τὴν οἰκείαν αἵρεσιν μεταβα-
πτίζειν. μὴ γὰρ οὓς ἂν ἀποστερήσωσιν. ἢ καθ' οἱονδήποτε τρόπον κτήσωνται μὴ πω-
λῆσαι αὐτῶν αἱρέσεως γινομένους. καὶ λυέσθωσαν τῇ καθολικῇ προσφεύγειν ἐκκλησίᾳ.
εἰ δὲ τοῦτο ποιήσει. ἢ πάντων ἀναλαβεῖν δουλεύσας αὐτῷ. καὶ μὴ τῷ γινομένῳ δε-
σπότῃ. ἐξουσία καὶ δεκαλίτρου χρυσίου πρὸς τιμωρίαν καταδικασθῆναι). οὐδὲ

α´

ἑτέρῳ δὲ αὐτὰ, ἢ διαλύεσθαι ἢ δωρεὰς ποιεῖν ἔξεστιν· ἀλλὰ διδόναι πάντα ἄρχοντι ἐξουσίαν ταῦτα φυλάττειν καὶ συγχωροῦντος αὐτοῖς ἢ ἡττωμένη παραχωρεῖν τὴν τοιαύτην κληρονομίαν. ἐὰν γὰρ ἡ ἡττωμένη ὦσιν ἢ παραχωρήσωσι τὴν ἐσομένην αὐτοῖς διαλάξεως κληρονομίαν, αὐτοὶ τὸ τὴν ὑπόστασιν· ἢ ἑτέροις διαλαβεῖν συμβουλευθῆναι:—

περὶ αἰτήσεων βασιλικῆς προσφερομένων· καὶ περὶ τῶν αἰτουμένων ἄρχειν ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ. βιβ. ϛ´ τιτ. κε´ κεφ. ... φησίν:— λϛ´

Μηδεὶς αἰτείτω τι τῶν δημοσίων ἢ τῶν δικαίων ἀλλοτρίων· καὶ κεφ. ... ἐάν τις ἐπαρχιώτης ἐν αἰτήσει πρὸς βασιλέα ἄρχειν ἐν τῇ ἰδίᾳ ἐπαρχίᾳ, ἱεροσυλίᾳ ὑπόκειται. εἰ μὴ ἄρα ἑκουσίως αὐτὸν ὁ βασιλεὺς ἄρχοντα ποιήσει:—

περὶ αἰχμαλώτων δούλων τε καὶ ἐλευθέρων καὶ περὶ ὑποστροφῆς αὐτῶν. καὶ περὶ παίδων αὐτῶν καὶ δικαίου. βιβ. ... κεφαλαίῳ φησίν:— λζ´

Οἱ ἐν πολέμῳ ληφθέντες ἔχουσι τὸ δίκαιον τῆς ὑποστροφῆς καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ. καὶ ὅτι ἐὰν ὑποστρέψῃ ὁ αἰχμάλωτος, οὐδέποτε δοκοῦσιν οἱ παῖδες αὐτοῦ αὐτεξούσιοι γενέσθαι. εἰ δὲ πρὸ αὐτοὺς ἀποθάνῃ ἀφ' οὗ ἥλω, καὶ αὐτοὶ ἔχουσιν ἰδία τὰ ἐν μέσῳ καταθέντα κληρονομίαν δὲ κλᾶσθαι κατὰ τὸν καιρὸν τῆς τοῦ πατρὸς αἰχμαλωσίας, οὐ δύνανται. οἱ δὲ δοῦλοι τῇ κληρονομίᾳ προσποιεῖσθαι. καὶ ὅτι ὁ τοῦ αἰχμαλώτου παῖς καὶ ὁ μετὰ καὶ ὁ πρὸ αὐτοῦ τικτόμενος ὑποστρέφοντι τῷ πατρὶ γίνεται ὑπεξούσιος. τὸν δὲ διὰ τὸ δημόσιον χρέος ... καὶ ὅτι ὁ ἀγοράσας δοῦλον καὶ ὅτε τὴν αὐτοῦ κατάστασιν γίνεται αὐτοῦ δεσπότης. διδοὺς δὲ ὁ πρώην αὐτοῦ δεσπότης τὸ ὑπὲρ αὐτοῦ δοθὲν, ἀναλαμβάνει αὐτόν. καὶ ἐνοχλεῖ αὐτὸν ὁ ἀγοράσας μὴ εἶναι ἀλλότριον. εἰ μὴ ἄρα παρῆλθεν ὁ τοῦ ... χρόνος. εἰ δὲ ὁ ἀγοράσας αὐτὸν ἐλεύθερον ... ἢ τις ἕτερος καὶ ἀπέστη τὸ ὑπὲρ αὐτοῦ ἀγορασίας. οὐκέτι δύναται ὁ πρώην δεσπότης ἀναλαβεῖν αὐτόν. κἂν ἐξέλθῃ τις τῶν πολεμίων ἐπιλέγειν ταῦτα ἐλευθερία, οὐκ ἐμποδίζει τὸν δεσπότην λαβεῖν αὐτὸν ἐρχόμενον ἐν τῇ πολιτείᾳ. δοκεῖ γὰρ ὑποστρέφειν διὰ τὸ δίκαιον τῆς ὑποστροφῆς. καὶ γνώμην ἔχειν ὑποστρέψαι πρὸς τοὺς πολεμίους. καὶ τὸ ἐπὶ τοῦ ὑποστρέφοντος ἐλευθέρου. ἱκανοῦσι μὴ ἔχειν αὐτὸν τὸ δίκαιον τῆς ὑποστροφῆς ἢ μὴ γνώμης ... τοῦ παραμεῖναι. ἐν δὲ τῷ ιγ´ κεφ. ὁ ὑποστρέφων, ἀνυπόδεκτος ἐν τῇ πολιτείᾳ εἶναι δοκεῖ. ἐν δὲ τῷ ιδ´ κεφ.

.D.

α´

ὁ ὑποστρέφων, ἄνωθεν ἐν τῇ πολιτείᾳ εἶναι δοκεῖ. οἱ μεθ' ὅπλων ἐπιτηδεύοντες καὶ τοῖς πολεμίοις ἑαυτοὺς ἐκδεδωκότες, οὐκ ἔχουσι δίκαιον ὑποστροφῆς. ἐν δὲ τῷ ιε' κεφαλαίῳ. ὁ μὴ ὑποστρέφων. δοκεῖ τότε τελευτᾶν ὅτε ἐλήφθη. ἐν δὲ τῷ ις' κεφαλαίῳ. ὁ μὴ ὑποστρέφων. ὑποστροφῆς δίκαιον ἐστίν. ὅταν ἀπέλθῃ τις ἐκ τῆς προτέρας καταστάσεως καὶ τῶν ἀφαιρεθέντων πραγμάτων αὐτοῦ. καὶ ὅτε ὁ αὐτόμολος ἐλεύθερος ἀνήρ τε καὶ γυνή, ὁ δίκαιον τῆς ὑποστροφῆς οὐκ ἔχει. τὸν δὲ αὐτόμολον δοῦλον καὶ τὸν ὑπὸ αἵρεσιν ἢ ἡμέραν ἐλευθερωθῆναι ὀφείλοντα ὑποστρέφοντα. ὁ δεσπότης ἀναλαμβάνει. εἰ δὲ ἐν ὅσῳ παρὰ τοῖς πολεμίοις ἐστὶν ὁ ὑπὸ αἵρεσιν ἐλευθερωθῆναι ὀφειλόμενος, ἐξέβη ἡ αἵρεσις. ὅτε αὐτὸς ἔχει τὸ δίκαιον τῆς ὑποστροφῆς. οὔτε ὁ κληρονόμος αὐτὸν ὑποστρέφοντα λαμβάνει. ἐν δὲ τῷ ιη' κεφαλαίῳ. ἐάν τις σὺν τῇ γυναικὶ παρὰ πολεμίων ἀγορασθῇ καὶ συναφθῇ αὐτῇ διὰ παιδοποιΐαν. παραχρῆμα τὸ ἐν αὐτῇ δίκαιον τοῦ ἐνεχύρου λύει καὶ εὐγενὴς τίκτει. ἐν δὲ τῷ κα' κεφαλαίῳ. ἐὰν ὁ αἰχμαλώτου κυοφορούμενος ἐν τῇ πολιτείᾳ τεχθῇ. ῥήγνυσι τὴν διαθήκην αὐτοῦ κατὰ τὸ τῆς ἐνστάσεως μέρος. τὰ δὲ λοιπὰ ἐν τῇ διαθήκῃ γεγραμμένα πληροῦται. ἐν δὲ τῷ κζ' κεφαλαίῳ. ὁ ἐν τῷ πολέμῳ λαμβανόμενος ἀνδράποδον, ἐν πραίδᾳ ἐστί. οὐ μὴν τῷ δικαίῳ τῆς ὑποστροφῆς ἐπανέρχεται. ἀνάγνωθι βιβλ. ε' τίτλ. β' οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησί. ὁ ἀπὸ τῶν πολεμίων ἀγορασθεὶς οὐκ ἔστι δοῦλος. ἀλλ' ἐνεχύρου λόγῳ κρατεῖται, ὡς εἴτε λυθῇ τὸ ἐπ' αὐτῇ ἐνέχυρον. ἀδεῶς τις ἄγεται αὐτὴν μακρὰν οὔσης ζητήσεως περὶ τῆς καταστάσεως αὐτῆς. ἢ τῶν ἐξ αὐτῆς τικτομένων παίδων. ἐν δὲ τῷ ς' κεφαλαίῳ. ἐὰν ἀγοράσῃ τις αἰχμαλώτους καὶ πράσῃ αὐτούς, οὐ μόνον τὰς τιμὰς οὐ λαμβάνει. ἀλλὰ καὶ δίκην ἐκδικεῖται ὑπὸ τῶν ἀρχόντων καὶ τοῖς ἰδίοις δίδοται. ἐν δὲ τῷ ια' κεφαλαίῳ. ἐάν τις ἀπὸ τῶν πολεμίων ἀπεσπάσθη, οὐ μὴν ἀπηγοράσθη, ἐλεύθερος ἔσται. εἰ δὲ δοῦλος ἦν, τῷ δεσπότῃ ἀποδοθήσεται παραχρῆμα. ἀνάγνωθι β' ε' ι' ζ' τ' α' κεφ. κ':

*τί ἐστιν ὑποστροφῆς δίκαιον:*

*περὶ αὐτομόλων:*

*περὶ συναπτομένου τῇ ἀγορασθείσῃ αἰχμαλώτῳ:*

*περὶ δούλου ληφθέντος ὑπὸ πολεμίων:*

*περὶ πιπρασκόντων τοὺς ἀγορασθέντας αἰχμαλώτους:*

*περὶ ἀποσπασθέντος ἀπὸ τῶν πολεμίων. ἐν δὲ τῷ ιη' κεφαλαίῳ φησί. ὅτι ὁ ἀπαγορασθεὶς ὀφείλει τὰς τιμὰς ἀποδοῦναι.*

λε' *ἢ ε' ἔτη μόνον δουλεῦσαι:*

Περὶ ἁλιέων καὶ ἄγρας. ἀνάγνωθι β' ν' τ' ς' ἐν ᾧ καὶ περὶ δικαίου θαλάσσης. οὗτινος ἐν τῷ ε' κεφαλαίῳ φησίν:

Ὅτι εἰ καὶ κοινωνοί εἰσι παρανόμως τινὰς κωλύει ἑτέρους ἁλιεύειν πρὸ τῶν ἰδίων οἴκων. ὅμως ὁ κωλυθεὶς ἐνάγεται τῇ περὶ ὕβρεως ἀγωγῇ. καλῶς δὲ κωλύω τινὰ ἐν τῇ διαφερούσῃ μοι λίμνῃ ἁλιεύειν:

λς' Περὶ ἀλληλοκληρονομίας. ἀνάγνωθι β' ια' τ' α' κεφ. ξη' καὶ β' μη' τ' ε' κεφ. λε' καὶ β' μ' τ' ς' κεφ. δ'. ἐν ᾧ φησιν:

α'

Ὅτι ἐὰν συμφωνήσωσι τινὲς ὥστε τὸν πεπληρωκότα τῷ ἑτέρῳ δεδωκέναι τὴν οὐσίαν
ἄλλου τοῦ τέλους κατὰ τὸν κοινὸν τόπον ὄν· οὔτε τὸ σύμφωνον οὔτε ἐπερώτησις
οὕτω γενομένη ἰσχύει :

περὶ ἀμφιβόλων καὶ ἀσαφῶν ῥημάτων ἐν ταῖς συμφώνοις καὶ ἐ- λζ
περωτήσεσι καὶ ἀγωγῶν· ἀνάγνωθι βιβλίον ια' τίτλον α' κεφάλαιον λδ'. ἐν συνόψει φησίν :

Τὸ ἀσαφὲς ἢ ἀμφίβολον σύμφωνον, κατὰ τὸν πράτου καὶ τὸν μισθωτὴν τοῦ ἐ-
στιν· ἀνάγνωθι βιβλίον ... κεφάλαιον λδ' ἐν συνόψει φησί. ὅτι ἐὰν ἀμφίβολος ἢ ἐρώτησις φράσις | ἐν συνόψει ἀμφίβολον τὴν
ἐν ἐπερωτήσει, ἐκεῖνο δεχόμεθα ὅπερ τὸ πρᾶγμα περὶ οὗ ἡ ζήτησις ἐστιν ἀσφα- | ἐπερώτησιν κατὰ τοῦ
λίζεται· καὶ κεφάλαιον ... ὁ συμβαλλόμενος τῇ συστάσει τῆς ἐνοχῆς ἐὰν μὴ φανερῶς | ἐπερωτῶντος ἑρ-
φωνήσῃ πεπληρῶσθαι πιστεύεται· τὴν γὰρ ἀσάφειαν εἰς ἐπὶ πολὺ κατὰ τοῦ ὁ- | μηνεύομεν ... κεφάλαιον π'
μολογοῦντος ἑρμηνεύομεν. ἐν ... κεφάλαιον ... ὅτι ἡνίκα ὁμολογία μεταξὺ | ἐν συνόψει φησίν :
[illegible] γράφεται· πιστεύεται ἠκολουθηκέναι ἡ ἐπερώτησις κἂν μὴ ἔγκειται· ὅτι
πολλοῖς συμφώνοις μία ἐπερώτησις καὶ ὁμολογία ὑποβάλλεται. δοκεῖ
περὶ ἑκάστου ... ἡ ἐπερώτησις, κατὰ τοῦ ἐπερωτῶντος ἐστί· καὶ κεφάλαιον λη' ἐν
συνόψει φησί. τὰ ἀσαφῶς γεγραμμένα εἰς μὲν νοεῖσθαι τὴν ἔννοιαν, αὐτὰ μὲν γεγραμμέ- | δηλονότι τὰ ἐν ... [illegible]
νον ἐστί· τὰ λοιπὰ ἰσχύει. ἀνάγνωθι καὶ βιβλίον ... κεφάλαιον ια' καὶ ... ἐν συνόψει φησί :

περὶ νομίμου ἀσαφοῦς ἑρμηνείας· ἀνάγνωθι βιβλίον ... κεφάλαιον ξε' ἐν συνόψει φησίν : λη

Ἡ ἀμφίβολος αἰτία καὶ ἀπαίτησις κατὰ τοῦ ποιοῦντος αὐτὴν ἑρμηνεύεται.
ἀνάγνωθι καὶ βιβλίον ... κεφάλαιον ι' ἐν συνόψει φησί. ἡ γραφὴ τῆς διαθήκης ἡ περιέχουσα ὅτι πάν-
τα διαιρεθῶσιν· οὐ κωλύει γενέσθαι διαίρεσιν τῶν μὴ διαιρεθέντων ἐν τῇ δι-
αθήκῃ πραγμάτων. ἀνάγνωθι καὶ βιβλίον ... κεφάλαιον ... ἀνάγνωθι ... κεφάλαιον ζ' ἐν συνόψει
φησί. τὸ παρὰ τοῦ πράτου λεγόμενον ἀσαφῶς αὐτὸν οὐ βλάπτει· καὶ κεφάλαιον λζ'. δό-
λον ὁ πράτης ποιεῖ οὐ μόνον ἀσαφῶς ἐπὶ τῇ παραγραφῇ λαλῶν· ἀλλὰ καὶ δόλον μαυ-
ρῶς εἰς βλάβην ἀποπεμπόμενος. ἀνάγνωθι ... κεφάλαιον ... ἐν συνόψει φησί. ὅτι
ἐν τοῖς ἀμφιβόλοις κατὰ τοῦ δημοσίου δεῖ ἀποκεῖσθαι :

περὶ ἀναργυρίας· ἀνάγνωθι βιβλίον κγ' τίτλον α' κεφάλαιον ... ἐν συνόψει φησίν : λθ

Ὁ πρὸς τὴν ἐρώτησιν ἐν συνόψει περιέχεται· καὶ κεφάλαιον ξ' οὐδενὸς ἐν συνόψει ... φησί. ὅτι οὐ μό-
νον ὁ μηδὲν λαβὼν ἐξ ὧν ἐγγράφως ἐστὶ ... ἀναργυρεῖ· ἀλλὰ ὁ
πλείονα ὧν ἔλαβε γεγραφηκώς. ἐν ... καὶ μετὰ τὸ δεδωκέναι τὴν ὑπο-
θήκην ἐὰν ὁ δανειστὴς μὴ δύναται ... τὴν ἀειθέτησιν, αὐτὴ ... σό-
λου ... τῆς τοῦ μὴ ἀποδειχθῆναι τὰ ἀργύρια, ἀπολύεται ὁ ἐναγό-
μενος. ἐν συνόψει ... ὁ ἐπιγνοὺς τὴν τοῦ γραμματείου πίστιν, καὶ ἅπαξ ἀρ-

ζάμενος καταβάλλειν· δυνατὸν ἐπιγινώσκειν τὴν ἀθέτησιν. ἐὰν οὐκ ἔχει τὴν τῆς
ἀναργυρίας παραγραφήν. ἐν τῷ γ΄ κεφ. ζ΄ κεφ. ε΄ θέμ. ὁ ἥττονα λαβὼν καὶ εἰς πλείονα
χειρογραφήσας· ἐπὶ τῷ πλείονι ποσότητι καλῶς ἀντιτίθησι τὴν ἀναργυρίαν.
ἐὰν ἐντὸς τοῦ χρόνου ἐνδιαφυλάττηται τῆς διετίας ἢ διεμαρτύρετο. ἐν τῷ δ΄ η-
θέμ. ὁ λέγων ὅτι οὐ γέγονεν ἀρίθμησις· εἰ μὴ ἐντὸς διετίας ἢ ἐνάγει ἢ δια-
μαρτύρηται περὶ τούτου, οὐδεμίαν ἔχει δίκαιον. ἐν τῷ δ΄ θέμ. ὁ ἀπὸ διαλύσεως
ἐπερωτηθεὶς παραδοῦναι· οὐκ ἀντιτίθησι τὴν τῆς ἀναργυρίας παραγραφήν. ἐν τῷ
δ΄ ια΄. ἡ διάταξις βούλεται τὸν φανερώσαντα ἐν τῇ ὁμολογίᾳ τὰς αἰτίας ἐξ
ὧν ἐχρεώστει, αὐτὸν βαρεῖσθαι ταῖς ἀποδείξεσιν ὅτι μὴ χρεωστεῖ ἃ ἔχει
γεγραμμένα. εἰ δὲ δ΄ ιβ΄. ἡ διάταξις κελεύει ἐν τοῖς συναλλάγμασιν ἐν οἷς
χρήματα ἢ ἄλλα πράγματα ἀριθμηθέντα συνεγράφησαν· ἐντὸς δύο ἐνιαυ-
τῶν συναπτῶν τὴν τῆς ἀναργυρίας ἀντιτίθεσθαι διαμαρτυρίαν. ὅτι δὲ πρότερον
ἐβοηθοῦντο διάφοραι αἰτίαι ἰδικῶς τοῖς νόμοις ἐκπεφωνημέναις τῆς
πενταετίας παραδραμούσης. τούτους καινῶς βούλεται βοηθεῖσθαι. κελεύει
δὲ καὶ ὁμολογίαν ἐν ᾗ τις κατέθετο παρακαταθήκην ἀληθεύειν. ἢ ἀποδείξεις
περὶ δημοσίου γενομένας. ἢ καὶ ὁμολογίαν ἀπολυτικὴν ἐπὶ προικὶ συνθηκευ-
θείσης, ἀναργυρίαν μὴ εἶναι. κατὰ δὲ πάσης ἄλλης ἀποδείξεως ἢ μερικῆς ἢ εἰς
ὁλόκληρον, ἐντὸς λ΄ ἡμερῶν μετὰ τὴν ἔκθεσιν τῆς ἀποδείξεως τὴν ἀναργυρίαν
ἀντιτίθεσθαι. ἐν οἷς δὲ οὐκ ἔξεστιν ἀναργυρίαν ἀντιτιθέναι ἢ ἐντὸς τῶν λ΄ ἡμε-
ρῶν μόνον ἀντιτιθέναι, μηδὲ ὅρκος ἐπιφερέσθω. ἐν τῷ δ΄ ιε΄ θέμ. ἡ τῆς ἀναρ-
γυρίας παραγραφὴ χώραν ἔχει· κἂν ἐνόρκως ἐστὶν ἡ ὁμολογία ὅρκον ἔχει-
τα περὶ τῆς τῶν κεχρεωστημένων ἀποδόσεως. αὐτ. ε΄ β΄ κ΄ α΄ τ΄ γ΄ κεφ. δ΄. ε΄ θέμ.
κεφ. τ΄ γ΄. διαλαμβάνει γὰρ περὶ ἀναργυρίας προικός. οὐ ἐν τῷ α΄ κεφ. θέμ. γ΄
δ΄. ὅτι ἐντὸς τῆς διετίας τοῦ γάμου διαλυθέντος ἢ τελευτῇ ἢ διαζυγίῳ.
καὶ αὐτὸς ὁ ἀνὴρ τὰ τῆς ἀναργυρίας ἔξεστι μέμφεσθαι· καὶ μετὰ τὸν αὐτοῦ κλη-
ρονόμον ἐντὸς ἐνιαυτοῦ. εἰ δὲ ὑπὲρ δεκαετίαν ἄχρι γ΄ ἐνιαυτῶν τὰ
μὴ ἐκλάθη. ὁ ἀνὴρ δίδοται τὴν μέμψιν. καὶ μετὰ τὸ αὐτοῦ κληρονόμους
μόνον ἐντὸς τριῶν. εἰ δὲ παραδράμοι ἡ δεκαετία, τότε οὐδὲ ὁ ἀνὴρ οὐ-
δὲ κληρονόμοις αὐτοῦ. τὰ τῆς μέμψεως ἔστι τοῦ χρόνου παρελθόντος ἅπαξ ἐ-
ξαρκοῦντος τῇ γυναικί. εἰ μὲν ὢν ἀφῆλιξ ἦν ὁ ἀνὴρ καὶ μὴ μέμψηται τὸ
τούτου εἰς ἀποκατάστασιν αὐτῷ δίδοσθαι χρόνου· ὥστε μὴ ὑπερβαίνειν τὸ-
τὸν τὴν δεκαετίαν ἐκ τοῦ καιροῦ τῶν γάμων. ἴσως γὰρ τοῦ σφόδρα τὰ

ὅτι ἐντὸς διετίας κινεῖται ἡ ἀναργυρία : -

περὶ ἀποδείξεως

τίνες δύνανται ἀντιτιθέναι τὴν τῆς ἀναργυρίας παραγραφήν. καὶ πότε τίνες οὐ δύνανται : -

περὶ ἀναργυρίας προικός. αὐτ. ε΄ ν΄ ε΄ : -

α'

χιστα συναλλάσσοντι γάμους. οὐκ ἤρκει τοῖς τῶν δεκαπέντε ἐνιαυτῶν οὖ-
τως οὖσι. ὥστε καὶ ἐπιτροπεύεσθαι τῷ ε' καὶ κ' ἐνιαυτῶν καὶ ἔσται δυνατὸς ὁ
ἐντὸς τοῦ κε' μεταμελήσασθαι τῇ πρακτικῶς ἀναρτυσίᾳ. Ἰουστινιανὸς δὲ ὁ αὐτὸς ὁ
τοῦ ῥηθέντος χρόνου τοῖς κληρονόμοις ἀλλὰ τοῦ ἐνιαυτοῦ εἰς τὴν μέμψιν. εἰ
δὲ ἀφήλικες εἰσὶν οἱ τοῦ μὴ μεμψαμένου κληρονόμοι. εἴτε ἰδίους εἴτε ἀλλοτρίους,
πενταετίαν ἐχέτωσαν μόνην εἰς τὴν κίνησιν τὴν διέξοδον. ἀπάντων δὲ ἤδη τ
τῶν χρόνων. ἐκείνου δηλαδὴ τὴν ἀναρτυσίαν ἀνυποστατοῦντος. ὃς ἂν τελευτα-
μένος ἐν τὴν πρᾶξιν ὑποδέχεσθαι καὶ κατὰ τοὺς οἰκείους χρόνους. εἴτε ἴδι-
ος εἴη εἴτε ἀλλότριος. τοῦ πράγματος κειμένου :—

περὶ ἀναρχίας. ἀνάγνωθι βιβλ. ξ' τίτλ. α' κεφ. να' ἐν ᾧ φησιν :— ἀνάγνωθι ὁ τῷ περὶ βίας :— με'

Ὅτι τοῦ μὴ κεχρεωστημένου τόπου ὑπεισελθὼν ἱεροσυλίᾳ ὑποκάτω. μὴ δυνά-
μενος ἄγνοιαν προβαλέσθαι. ἀνάγνωθι καὶ βιβλ. ξ' τίτλ. γ' κεφ. ς' ἐν ᾧ φησιν. ὁ κατ' αὐθεντίαν
πρᾶγμα τοῦ καταχειρίζοντος πεπραχώς. καὶ κλέπτης καὶ ἅρπαξ ἐστί :—

περὶ ἀναφωνούντων εἰς ἐλευθερίαν. εἴτε εἰς δουλείαν. ἀνάγνωθι καὶ βιβλ. κβ' τίτλ. α'
κεφ. η' ἐν ᾧ φησιν :— μς'

Ὅτι καὶ ὁ ἀναφωνῶν εἰς ἐλευθερίαν δικάζει. εἰ καὶ τὰ μάλιστα ὁ περιγραφόμε-
νος ὁ λέγει δείκνυσιν. ἀνάγνωθι καὶ κεφ. νβ'. καὶ βιβλ. μη' τίτλ. η'. οὗτινος ἐν ᾧ ξ' κεφ. φησιν.
ὁ εἰς ἐλευθερίαν ἀναβοῶν, ἐνάγων ἐστί. εἰ δὲ ἐκ ταύτης δουλαγωγεῖται ὁ λέγων
αὐτὸν εἶναι δοῦλον. εἰ δὲ ἄδηλόν ἐστι τοῦτο αὐτὸ πρῶτον δεῖ σκοπεῖσθαι. ὥστε
γνωσθῆναι τίς βαρεῖται ταῖς ἀποδείξεσιν. ἀνάγνωθι καὶ τίτλ. γ' βιβλ. κ'. καὶ κεφ. κα' ἐν ᾧ
φησι. ὁ ἀπὸ δουλείας ἀναφωνῶν εἰς ἐλευθερίαν. αὐτὸς βαρεῖται τῇ ἀποδείξει. ἐὰν
δὲ τις τὸν ἐλεύθερον εἰς δουλείαν ἕλκῃ, πάλιν αὐτὸς τοῦτο ἀποδείκνυσιν. ἀνάγνωθι βιβλ.
κα' βιβλ. κβ' βιβλ. τίτλ. ι'. ἐν ᾧ διαλαμβάνει. περὶ τῶν εἰς δουλείαν ἀναφωνούντων ἀπε-
λευθέρων. οὗτινος ἐν ᾧ β' κεφ. φησι. ἀπελεύθερος δουλεύειν εἶναι λέγων. ἐντὸς
ε' ἐτῶν ἀφ' οὗ ἠλευθερώθη ἀκούεται. εἰ δὲ μετὰ ταῦτα λέγει ὀρθῶν δικαιώμα-
των περὶ τῆς δουλείας. δεῖ αὐτὸν βασιλεῖ προσελθεῖν ἐφ' ᾧ διαγνωσθῆναι. ἀνάγνωθι βιβλ.
ζ' τίτλ. ε' κεφ. πς' βιβλ. πς' βιβλ. πη'. ἐφ' ᾧ ὅτι πᾶς ἀναφωνῶν εἰς ἐλευθερίαν ἀπὸ
δουλείας ἐν τῇ φορᾷ τοῦ λεγομένου δεσπότου δικάζεται :—

περὶ τῶν ἀναγκαζομένων μαρτυρεῖν ἢ προσφέρειν ἐν δικαστηρίῳ δικαι- μζ'
ώματα ἢ καὶ ἐκδιδόναι. εἴτε καθ' ἑαυτῶν. εἴτε κατ' ἄλλων. καὶ τίνες οὐκ
ἀναγκάζονται μαρτυρεῖν. ἢ προσφέρειν δικαιώματα. ἢ ἐκδιδόναι τοὺς χρε-
ώστας. καὶ ὅτι οὐδεὶς ἀναγκάζεται γραμματικὸν ἢ ἐγκληματικὸν δι-

κεφ. θ. αὐτ. β ζ τ ιη Ἰουλιανὸς ἐν τῷ ε κεφ.:—

Περὶ λογισμῶν:— Ὀμνύουσιν ὁ ἀντίδικος τοῦ ἀργυροπράτου μὴ κατὰ συκοφαντίαν ἐπιζητεῖν τὴν ἔκ-
δοσιν περὶ τοὺς λόγους ἢ ἔχων καὶ ὅτι λογισμοὺς ἴσασιν. οἱ δὲ βαλλιάμ ἔχοντες τῆς
ἑαυτοῦ πραγματείας. ὅταν δὲ μὴ οὕτω δέδωκεν ἢ ἐν ἐγγράφῳ ἔλαβεν ἢ μανδάτου
ἐπεδέξατο. οὐκ ἀναγκάζεται ἐκδοῦναι τὴν ἀντιφώνησιν ἢ τὴν ἐπιστολήν, εἰς μέ-
ρος οὐδὲ τῆς πραγματείας ἐκδίδωσιν. καὶ ὅτι ἀπὸ τοῦ πραίτωρος νόμου ἀ-
γωγὴ εἰς τὸ διαφέρον ἁρμόζει. ἐκδίδοται δὲ μόνον ἔκτοτε ὅτε συνήλλαξα αὐτῷ. ἔ-
Περὶ ἐκδόσεως:— στε ὁ πρεκουραίτωρ. ἐν τῷ ς κεφ. ἐκδοῦναι ἐστὶ τὸ κατηγορεῖσθαι ἐν
χάρτῃ δοῦναι. ἢ προκομίσαι τὴν πυκτίον. ἐν τῷ ς κεφ. τὸ αὐτὸ αἴτιον
ἐκλαβεῖν. ἔτι μὴ τῆς αἰτίας διαγινωσκομένης οὐ δίδοται. ἐν δὲ τῷ ἐκδοῦναι ἐπί-
ξενος ἐστὶν ἢ ἀληθῶς ἐξ ἴσχειν. ἢ κατὰ μεγάλην ἀπόλειαν πείσασιν. ἐν τῷ
η κεφ. ὁ μὴ ἐκδοὺς μὴ ἐνέχεται εἰς ὃ διαφέρει ὅτε δίκη εἴη περὶ τῆς
ἐκδόσεως. εἴτε μηδὲν οὐσῶν. ἢ πλέον ἢ ἧττον διαφέρει. ἐν τῷ ι κεφ. οὐ
μόνον δὲ αὐτὸς ὁ ἀργυροπράτης δικάζεται ἀναγκάζεται προκομίζειν. ἀλλ'
ἔτι καὶ πρὸς ἄλλον δοκιμάζομεν. διατοῦτο δὲ μόνοι οἱ ἀργυροπράται ἀναγκά-
ζονται ἐκδοῦναι. οὐ μὴν οἱ τούτοις ἀνόμοιοι. ὅτι τὸ τῶν ἀργυροπρατῶν ὀφφί-
κιον δημοσίαν αἰτίαν ἔχει. καὶ ἡ σπουδὴ αὐτῶν ἐστι τὸ ἐπιμελῶς συντιθέναι
τοὺς λόγους. ὀφείλει δὲ διδόναι εἰς μεταγραφήν. παντὸς τοῦ πρὸς τὸ ζητούμενον ἀ-
νήκον. οὐ μὴν ὅλον τὸν κώδικα. ἢ τοὺς λογισμοὺς ὅλους. ἐν τῷ ια κεφ. χρή-
ματα λέγων τις παραδεδωκέναι γυναικὶ λόγῳ παραθήκης καὶ μὴ ἀπορῶν ἑτέ-
ρως ἀποδεῖξαι τὴν παραθήκην. αἰτεῖ τὴν γυναῖκα τὰ ἴδια βρέβια λέγων ἐν αὐ-
τοῖς ἐμφέρεσθαι. ὅτι τὴν παρακαταθήκην ἔλαβεν ἡ γυνή. πρὸς τοῦτο ἀντιγρ-
άφει ὁ βασιλεύς, οὕτως. αὐτὸς διασκέπτου καὶ ποίου τρόπου τὰ χρή-
ματα ἃ παρακατατεθεικέναι λέγεις ἀποδείξεις χρεωστεῖσθαί σοι. καὶ γὰρ ὅπερ ἐπιζητεῖς.
ἵνα τοὺς λόγους τοὺς ἰδίους ὁ ἀντίδικος παράσχοι. τοῦτο καὶ διαγινώσκει. πρὸς τὸ
ὀφφίκιον τοῦ δικαστοῦ ἀνήκειν ἔοικε. τουτέστιν αὐτὸς ὁ ἄρχων διαγνώσεται.
καὶ εἰ δι' εὔλογον δικαίαν αἰτίαν δέον ἐξ αὐτοῦ προσενεχθῆναι τὰ τῆς διαθήκης
τὰ βρέβια. τοῦτο γενέσθαι παρασκευάσει. ἐν τῷ ιζ κεφ. οἱ κατηγορεῖν βουλό-
μενοι. τὰς ἀποδείξεις ἔχειν ὀφείλουσιν. ὁπότε οὔτε ὁ τοῦ νομίμου οὔτε
ὁ τῆς δημοσιεύσεως λογισμὸς ἐπιτρέπει ἵνα τῶν ἀλλοτρίων δικαιωμάτων ἐ-
πὶ πλουτέου ἐξουσία γίνεσθαι ὀφείλει. καὶ ὅτι πολλάκις τις ἐν τῷ ἐγκα-
λεῖν ὡς χρεωστούμενος παρ' αὐτοῦ. καὶ προσφέρει αὐτοῖς γράμματα.

α'

ὁ δὲ ἐναγόμενος ἢ λέγει πάλαι καταβεβληκέναι τὸ χρέος, ἢ ἀπαιτούμενος
δεῖξαι ὅτε κατεβλήθη, ἢ λέγει ἢ μὴ εἰληφέναι ἀπόδειξιν, ἢ ἀπολωλεκέναι ταύτην διὰ
τὴν αὐτὴν παρὰ τοῦ δανειστοῦ ἀκυρωσίαν. ζητεῖ δὲ προσενεχθῆναι τὰ βρέ-
βια τοῦ δανειστοῦ λέγων· ὅτε σὺ αὖθις ἐπιζητεῖς πέπεισμαι ἀπολαβὼν παρ' ἐμοῦ
τὸ δάνειον. ἀναδιδοῦντος οὖν τοῦ δανειστοῦ πρὸς τοῦτο· καὶ ἴσως κεχρημέ-
νου τῷ κανόνι τῆς προλαβούσης διατάξεως ὅτι οὐδεὶς ὀφείλει ἐξ ἀλλοτρί-
ων δικαιωμάτων ἀγωνίζεσθαι· μαθὼν ὁ βασιλεύς, ἐδέξατο τοῦ χρεώστου
τὴν αἴτησιν καὶ ἔγραψεν οὕτως· οὐκέτι καινοῦ κινδύνου ἀφ' οὗ τὰ χρήμα-
τα ἀπαιτεῖται ἐπιζητεῖσθαι τοὺς λόγους τοῦ δανειστοῦ προσκομισθῆναι ια'. ἤτοι
εἰς δικαστήριον ζητῆναι. ἐν δὲ τῷ ια' κεφ. τοῦ περὶ ταύτης τίτ. δηλούσης περὶ ἰδιω-
τῶν δανειστῶν διαλέγεσθαι· καὶ νομοθετούσης προσφέρεσθαι τοὺς λόγους
ἡνίκα τοῦτο ζητῶσιν οἱ ἐναγόμενοι. συνέβαινε πολλάκις πολιτικὸν ἢ δη-
μόσιον χρέος ἀπαιτεῖσθαί τινα· καὶ ἐπιζητεῖν προσενεχθῆναι τοὺς τῆς πό-
λεως λόγους καὶ ἐχρῆτο τῇ προλαβούσῃ διατάξει ὁ τοῦτο ἐπιζητῶν ἐ-
ναγόμενος· ἀντέλεγον δὲ οἱ τὰ δημόσια ἢ τὰ πολιτικὰ μεθοδεύοντες ἐπὶ
μόνων ἰδιωτικῶν λόγων χώραν ἔχειν τὴν προλαβοῦσαν διάταξιν. εἰκότως οὖν
καὶ κατὰ τάξιν ἡ παροῦσα διάταξις νομοθετεῖ δικαίαν εἶναι τὴν αἴτησιν τοῦ ἀπαι-
τουμένου τὰ δημόσια· ἵνα τῶν λόγων τῶν δημοσίων προσαγομένων ἀπο-
δειχθείη πότε ὀνόματι αὐτοῦ τοῦ ἐναγομένου καταβέβληται. ἐκ δὲ τούτων οὖν τού-
των διατάξεων, τοῦτο συνάγεται· ὅτε κἂν ἰδιώτης· κἂν πόλις· κἂν ὁ δημό-
σιος λόγος ἐνάγῃ τινί· δύναται ὁ ἐναγόμενος καλῶς ἐπιζητεῖν, καὶ τοῦ ἰδιωτι-
κοῦ δανειστοῦ τοὺς λόγους προσενεχθῆναι· καὶ τοὺς πολιτικοὺς ἢ δημοσί-
ους λόγους, ἵνα ἐκ τούτων ἀποδειχθῇ πότε καταβέβληται. ἐν δὲ τῷ ι'
κεφ. εὑρήσεις α' τοῦ τ' τίτ. πῶς ὁ καὶ ἀντωνῖνος ἐνομοθέτησεν ἄτοπον εἶναι
τὸν ἐνάγοντα ἐπιζητεῖν τὰ τοῦ ἐναγομένου προσκομισθῆναι συμβόλαια. ἐν
δὲ ε' τοῦ τ' τίτ. ἀλεξάνδρου οὕτως, εἰ π. ἐξεῖναι τῷ ἐναγομένῳ ἐπιζη-
τεῖν προσκομισθῆναι τοὺς τοῦ ἐνάγοντος λόγους πρὸς σύστασιν τῆς ἀληθ. ἐοί-
κασι τοίνυν ἐναντίαι ἀλλήλαις αἱ διατάξεις εἶναι. καὶ μᾶλλον εἶναι ἐπικρα-
τεστέρα ἡ ἀλεξάνδρου. τουτέστιν ἡ ε'. ὡς μεταγενεστέρα τῷ χρόνῳ. ζητήσεως
οὖν περὶ τούτου γενομένης. αὐτὸς ἀλέξανδρος ὁ βασιλεὺς ἀντέγραψε τοῦ-
τοις. καὶ ἄλλα παρὰ τοῦ θείου ἀντωνίνου τοῦ πρὸ ἐμοῦ. καὶ ἄλλα παρ' ἐμοῦ ἀν-
τεγράφη. τοῖς τοῦ δικαστοῦ καὶ τοῖς τοῦ νομίμου λογισμοῦ συνᾴδουσιν. οὐ δὲ

περὶ τούτου
ἀπορία

ἐξ ἀμφοτέρων οὖν διατάξεων συνάγεται ὅτι ὁ μὲν ἐνάγων οὐ δύναται ἐπιζητεῖν τὰ τοῦ ἐναγομένου συμβόλαια· ὁ δὲ ἐναγόμενος δύναται.

γὰρ ἐναντίαι εἰσὶν ἢ ἀπάδουσιν ἀλλήλων. ὁπότε πολλή ἐστιν ἡ διαφορά. ἐκ τοῦ μέρους ἐκείνου ὅς ποτε ἀπαιτεῖ. καὶ ὅς τὴν τοῦ ὅλου [illegible] ἀπαιτεῖσθαι δύναται ἐκ τῆς ἰδίας ἀπαιτήσεως. λόγοι προσενεχθῆναι ὀφείλουσι τούτῳ. δι' οὗ ὁ ἐναγόμενος ἐλεγχθῆναι δύναται ὀφείλειν τὴν ἀλήθειαν. ὅπερ δηλαδὴ καὶ γίνεσθαι αὐτὴ ἡ τοῦ πράγματος δικαιοσύνη συμβουλεύει. ἐὰν μή τι πρὸ ἐκείνου τοῦ ἀπαιτουμένου ποτὲ λόγοι προσενεχθῆναι ὀφείλουσι τουτέστι παρὰ τοῦ ἐναγομένου. ὁπότε ἐν τούτῳ τῷ θέματι οὐ χρὴ τὴν ἀρχαιογονίαν τῆς ἀπαιτήσεως ἐκ τῶν δικαιωμάτων τοῦ ἐναγομένου ἰσχυροποιεῖσθαι καὶ βεβαιοῦσθαι. ἀνάγνωθι ἐν τῷ ιθ' κεφ. ἐν τῷ θέματι. ὅτι οὐδεὶς οὔτε χρηματικὴν δίκην κινῶν οὔτε ἔγκλημα τινὸς κατηγορῶν ἀναγκάζεται μὴ βουλόμενος. ἀνάγνωθι βιβ. ιε' τί. α' κεφ. ιθ'. ἐν τῷ θέματι. ὁ ἑρμηνευτὴς δὲ πᾶς οὐδενὶ διαφέρει κινεῖ τὴν ἀποκατάστασιν. οὐ γὰρ τὰ ῥήματα τοῦ νόμου δεῖ νοεῖν. ἀλλὰ τὴν ἔννοιαν. οὔτε γὰρ ἐκ τούτου δύναται με ὁ αὐτοδικός μου ἀναγκάζειν προσφέρειν τὰ ὀφειλόμενα αὐτῷ δικαιώματα. οὔτε παιδεύτης τὰ βιβλία. ἐφ' ᾧ διὰ τῆς ἀναγνώσεως αὐτῶν ὠφεληθῇ. καὶ κεφ. κδ' ἐν τῷ θέματι. τῆς περισσῆς ἀγωγῆς περὶ συμβόλων κινουμένης χωρεῖ ἐν ᾧ συνδικῷ ὅρκος. καὶ κατὰ τοῦ ἐνεχομένου κινεῖται καὶ κατὰ τοῦ δόλου πεπαυμένου τῆς νομῆς. περὶ τούτου δὲ τὸ [illegible] καὶ ἐν τῷ περὶ προσάξεως πλατύτερον. ἀνάγνωθι βιβ. κβ' τί. α' κεφ. ος'. ἐν τῷ θέματι. ἐάν τις ἀπαιτούμενος ἐν δικαστηρίῳ παρέχειν δικαίωμα οὐ καθ' ἑαυτοῦ ἀλλὰ καθ' ἑτέρου τινός. συμβαλλόμενον δὲ ἑτέρῳ. παραιτεῖται τοῦτο παρέχειν ὡς ἐκ τούτου βλάβην ὑπολαμβανόμενος. ὅτε δὲ ἀπαιτεῖ τὸν χάρτην προσενεχθῆναι λέγει μηδὲν αὐτὸν ἀδικεῖσθαι. ἀλλ' ἢ χρήματα ὀφείλειν παρ' ἑτέρων μελλόντων ἐλέγχεσθαι ὑπὸ τοῦ προφερομένου δικαιώματος. ἢ ἑτέραν τινὰ προβάλλεσθαι πρόφασιν. ἑαυτὸν δὲ μετὰ βλάπτεσθαι μὴ προσφερομένου τοῦ δικαιώματος. βούλεται ἐξουσία ἡ [illegible] τὸν ἔχοντα τὸ δικαίωμα προφέρειν αὐτό. εἰ μηδὲν πρὸ τῆς ἐκκομιδῆς αὐτοῦ μέλλει καταβλάπτεσθαι. εἰ δὲ τῇ ἀληθείᾳ βλάβην αὐτῷ ποιεῖ προσφερομένου τὸ δικαίωμα. μὴ ἀναγκάζεσθαι αὐτὸν προσκομίζειν αὐτό. ὅπερ δὲ συμφέρει αὐτῷ μᾶλλον κρύπτειν ἢ δημοσιεύειν αὐτό. εἰ δὲ ὁ τοῦ συμβολαίου δεόμενος διαβεβαιοῦται μηδὲν αὐτὸν ἀδικεῖσθαι. ὅρκον διδότω μόνον ὡς νομίζων βλάβην περὶ τὴν ἰδίαν πίστιν ὑπομένειν ἐκ τῆς τοῦ συμβολαίου προκομιδῆς. διὰ τοῦτο παραιτεῖται προκομίζειν. ἵνα δὲ μὴ αὐτὸ τοῦτο τὸ μὴ κρατῆναι τὰ δίκαια [illegible] αὐτῷ πρὸς τὸ μὴ κομίσαι τὸν χάρτην βλάβην οἰκείαν νομίζῃ. περὶ ἑτέρου

περὶ ἀναγκαζόντων προσκομίζειν δικαίωμα οὐ καθ' ἑαυτοῦ ἀλλὰ καθ' ἑτέρου:-

α΄

προέχεται τοῦ ὅρκου λέγων· ὅτι οὐ διὰ τὸ λαβεῖν χρήματα ἢ ἕτερόν τι διὰ τὸ μὴ προκομίσαι τὸν χάρτην βλάβην οἰκείαν νομίζῃ· ἢ διὰ τὸ ἔχειν ἐπιτηδείαν δόλως· οὔτε διὰ φόβον ἐκείνου καθ' οὗ ζητεῖται τὸ δικαίωμα· οὔτε διὰ τὴν φιλίαν αὐτοῦ παραιτεῖται τὴν τοῦ χάρτου προκομιδήν· ἀλλ' ὡς ἐξ ὀρθοῦ περὶ τὴν ἰδίαν οὐσίαν μεγάλα βλαπτόμενος· ὥσπερ γὰρ ὁ νομιζόμενος εἰδέναι τὸ ἀληθὲς περί τινος ὑποθέσεως ἀναγκάζεται καὶ ἄκων προσμαρτυρεῖν· καὶ οὐδὲ εἰ ἐπιτηδείαν ἔχει χρήματος ὑπὲρ τοῦ μὴ μαρτυρῆσαι· οὐδὲ κατὰ φιλίαν ὀρέγεται μαρτυρῆσαι παραιτεῖται μαρτυρίαν· οὕτως οὐδὲ ὁ συμβόλαιον ἀπαιτούμενος προκομίζειν· οὔτε διὰ τὸ εἰληφέναι τι ἢ ἐλπίζειν λαμβάνειν· οὔτε διὰ φιλίαν τοῦ μέλλοντος ἐκ τοῦ συμβολαίου βλάπτεσθαι· δύναται τὴν προκομιδὴν αὐτοῦ παραιτεῖσθαι· ἀλλ' ἐὰν μέν τις ἐπιομόσῃ μὴ ἔχειν τὸ ζητούμενον δικαίωμα· μὴ δ' ὅλως ἀναγκάζεσθαι προφέρειν ὅπερ μὴ ἔχει· εἰ δὲ οὐκ ἀνέχεται τοῦ διδομένου ὅρκου ὑποσχεῖν· πάντως ἀναγκάζεσθαι προφέρειν τὸ ἐπιζητούμενον δικαίωμα. εἰ δὲ ἑαυτὸν ἀποκρύπτει ὡς μήτε ὀμόσαι μήτε προσαγαγεῖν τὸ δικαίωμα βουλόμενος· πᾶσαν τὴν ἐκ τούτου συμβαίνουσαν ζημίαν τῷ δεομένῳ τοῦ δικαιώματος· οἴκοθεν καταβαλλέτω. τῶν αὐτῶν κρατούντων καὶ εἰς τὰ ἀργυροπρατικὰ βρέβια ἢ τὰ παρ' ἑτέρου τινὸς συντιθέμενα· ἅπερ τις ἐπιζητεῖ προκομισθῆναι· οὐ κατὰ τῶν τὰς πινακίδας ταύτας συντεθεικότων· ἀλλὰ καθ' ἑτέρων τινῶν. ἐκεῖνοι δὲ ἀναγκάζεσθαι προφέρειν πινακίδας ἢ δικαιώματα· οἳ καὶ μαρτυρεῖν κατά τινος ἀναγκαζόμενοι· καθ' ὧν γὰρ προσώπων ἄκοντες οὐ μαρτυροῦσι· κατὰ τούτων οὔτε προκομίζειν πινακίδας ἢ δικαιώματα ἢ ἕτερόν τι βιβλίον ἀναγκάζεται· πρόδηλοι δὲ εἰσὶν ἐκ τῶν νόμων οἱ μὴ ἀναγκαζόμενοι κατά τινων μαρτυρεῖν· ἄκοντες καὶ ἐκεῖνοι καθ' οὓς οὐκ ἀναγκάζονται τινὲς μαρτυρεῖν· οὐδὲ ἔξεστιν ἄλλως ἀναγκάζειν προφέρεσθαι δικαιώματα, εἰ μὴ ἐν αὐτῷ τῷ δικαστηρίῳ· ἐν ᾧ κινεῖται ἡ ὑπόθεσις. ἐάν τε δὲ ἀνάγκη μετὰ τοῦ ζητοῦντος γίνεσθαι τὴν προκομιδὴν τῶν πινακίδων τῶν δικαιωμάτων· χρὴ δὲ γίνεσθαι καὶ τὴν ἐμφάνειαν αὐτῶν πρὸς ἅπαξ· μόνον δὲ ἅπαξ προκομισθέντος τοῦ συμβολαίου οὐκ ἐπιζητεῖ καὶ δεύτερον γενέσθαι τὴν προκομιδὴν αὐτοῦ ὁ τούτου δεόμενος εἰ μὴ εὔλογον φανῇ τῷ δικαστῇ καὶ δεύτερον προκομισθῆναι τὸν χάρτην. ὁ δὲ προκομίσας αὐτὸν ἤδη παραιτεῖσθαι ἀρνούμενος τὴν δευτέραν προκομιδὴν λέγων ἀπολωλεκέναι τὸν χάρτην· ἢ ἄλλως πως μὴ ἔχειν εὐχέρειαν τῆς τούτου προκομιδῆς· ὅρκῳ μόνῳ τοῦτο αὐτὸ πιστοῦσθαι. καὶ μηκέτι ἀναγκαζέσθω προφέρειν αὐτό. τούτων κρατούντων οὐ μόνον ἐπὶ

ἢ ὅτε ἀναγκάζεταί τις μαρτυρεῖν· τινὲς δὲ οὐκ ἀναγκάζονται· δηλοῖ ὁ περὶ μαρτύρων :

βασιλίδι πόλει· ἀλλὰ καὶ ἐν πάσῃ τῇ πολιτείᾳ. ἀν. βιβ. κ΄ τ. α΄ κεφ. λε΄ ἐν τῷ Πρ. ἀπαιτείσθω τοὺς οἰκείους λόγους προφέρειν ὁ δανειστὴς εἰς τὴν τῆς ἀληθείας ἀπόδειξιν. ἀν. βιβ. νϛ΄ τ. β΄ κεφ. β΄ ἐν τῷ Πρ. ὁ ἔχων δικαιώματα συμβαλλόμενα τῷ δημοσίῳ καὶ δυνάμενος προκομίσαι, εἰ μὴ προκομίσει, βλάπτεται περὶ αὐτὴν μόνην τὴν ὑπόθεσιν εἰς ἣν ἐπιζητοῦνται. ἐὰν τὸ ἀληθὲς ἐπράχθη, οὐ δύναται γυμνωθῆναι· δοκεῖ γὰρ αὐτὰ κλέπτειν, ἅτινα προφερόμενα βλάπτειν αὐτὸν ἔμελλον. τότε δὲ δικαιώματα τις καθ' ἑαυτοῦ προκομίζειν ἀναγκάζεται, ὅτε χρηματικὸν καὶ μὴ ἐγκληματικόν ἐστι τὸ κινούμενον:

μγ΄ περὶ ἀναγραφέων ἤτοι λογοθετῶν τῶν ἐν τοῖς θέμασιν ἀποστελλομένων, καὶ τὰ τῷ δημοσίῳ ἀνήκοντα ἀπὸ παντοίας ὑποθέσεως ἀπαιτούντων, γυμναζόντων καὶ ἀναψηλαφώντων καὶ ἐμπραττομένων. καὶ ὅτι ἐν ἑκάστῃ χιλιάδι τῶν ἀπαιτουμένων παρ' αὐτῶν νο. ἓξ λαμβάνουσιν. ἀν. βιβ. νϛ΄ τ. ι΄ οὐδένος ἐν τῷ ϛ΄ κεφ. φησίν:

*ἤτοι περὶ ἀναγραφέων:*

Ἐὰν ὁ λογοθέτης μὴ ἀποδείξῃ ὅτι μετὰ πίστεως καὶ ἀληθείας ἐλογοθέτησεν, αὐτὸς ὑποκείσθω τῷ τέλει εἰς ὃν ἕτερον ἐβάρησεν: ϛ

μδ΄ περὶ ἀνδραποδιστῶν. ἀν. βιβ. ξ΄ τ. μη΄ οὐδένος ἐν τῷ γ΄ κεφ. φησίν:

Ὁ τὸν ἀλλότριον δοῦλον ὑποδεξάμενος καὶ ἀποκρύψας, οὐκ ἐκφεύγει τὴν ποινὴν προφάσει τοῦ δικάζεσθαι περὶ τῆς αὐτοῦ δεσποτείας· ἀλλὰ δίδωσιν αὐτὸν μεθ' ἑτέρου ὁμοίου, εἴτε κ΄ νο. ὁσάκις δὲ αὐτὸν ὑποδέξεται, τοσαυτάκις αὔξεται ἡ ποινή. ἐν τῷ δ΄ κεφ. ἐὰν φυγάδες εὑρεθῶσι παρ' ἐμοί, μαθὼν δὲ τοὺς δεσπότας αὐτῶν ἐπιτρέψω κρύπτεσθαι, οὐκ εἰμὶ ἀνδραποδιστὴς μάλιστα εἰ καὶ παρ' ἑτέρους τοῦτο ἐποίησαν. ἐν τῷ ιβ΄ κεφ. ὁ τὸν ἀλλότριον δοῦλον κρύπτων, τῷ περὶ ἀνδραποδιστῶν νόμῳ κατέχεται. ἐν τῷ ιγ΄ κεφ. ὁ ἀγοράσας παρὰ τοῦ ἀνδραποδιστοῦ, μὴ κοινωνήσας τῷ πλάσματι, οὐδενὶ ἐγκλήματι κατέχεται, τῇ δὲ περὶ δούλου ἀγωγῇ ἐνέχεται. ἐν τῷ ιη΄ κεφ. ὁ τὸν ἐλεύθερον ἐν εἰδήσει μὴ βουλόμενον πεπρακώς, ἀνδραποδιστής ἐστι. καὶ εἰ μὲν δοῦλός ἐστιν ἢ ἀπελεύθερος, τυπτόμενος καὶ κουρευόμενος χρεοκοπείσθω. εἰ δὲ ἐλεύθερός ἐστι, χρεοκοπείσθω μόνον. ὁμοίως χρεοκοπείσθω καὶ ὁ τὸν ἐλεύθερον εἰδὼς ἀγοράσας ἢ δωρησάμενος ἢ εἰς προῖκα δοὺς ἢ καταλλάξας. ἀν. βιβ. ιζ΄ τ. ε΄ κεφ. ἐν τῷ Πρ. ὁ ἐν εἰδήσει πεπρακὼς τὸν ἐλεύθερον, τῷ τῶν ἀνδραποδιστῶν ὑποπίπτει ἐγκλήματι:

*περὶ ἀνδραποδιστῶν:*

με΄ περὶ ἀνήβων καὶ πότε ἀναγκάζεται καὶ διαιτᾶσθαι ὀφείλει. ἐπεὶ

*ἀν. τὸ περὶ ἐπιφθορᾶς τῶν ἐπιτρόπων:*

α´

δαπανημάτων αὐτῶν. ἀνάγ. β. ζ΄ τ. ε΄ κεφ. με΄ ἐ β. ιε΄ τ. ξ΄ κεφ. ζ΄ καὶ β. καὶ β. ια΄ τ. α΄ κεφ. λα΄ ἐν τῷ σχολ. :—

Ἐάν τις χρεώστης αὐθεντίᾳ τοῦ ἐπιτρόπου διοικήσῃ τὰ τοῦ ἀνήβου πράγματα, ἐνοχον ἑαυτῷ τὸν ἄνηβον ποιεῖ κατὰ τὸν καιρὸν τῆς προκαταρξεως· εἰς ὅσον γέγονεν ἐκ τούτου πλουσιώτερος. ἀνάγ. καὶ β. ιη΄ τ. ε΄ κεφ. γ΄ θε. ε΄ καὶ κεφ. ζ΄ καὶ τ. η΄ κεφ. λ΄ ἐν τῷ σχολ. ὁ ἄνηβος ἀκούσιος χρεώστης τῆς αὐθεντίας τοῦ ἐπιτρόπου οὐκ ἐνέχεται. ἀνάγ. β. κς΄ τ. λ΄ κεφ. ζ΄ καὶ τ. ε΄ κεφ. νς΄ ἐν τῷ σχολ. ἐὰν καταβληθῇ ἀνήβῳ χρεὼς αὐθεντίᾳ ἐπιτρόπου καὶ ἔστιν ἐν καιρῷ προκαταρξεως τὸ πρᾶγμα ὅπερ ἀναγκαίως ἠγόρασεν· καὶ ὑπεξούσιος γὰρ εἰς ἀναγκαίαν αἰτίαν δανειζόμενος ἐνέχεται, κἂν ἀπολέσῃ τὰ χρήματα. ἀνάγ. καὶ κεφ. ξβ΄ τ. ζ΄ κεφ. λθ΄ θε. δ΄ καὶ β. λβ΄ τ. η΄ κεφ. ιη΄ ἐν τῷ σχολ. ἐὰν ἄνηβοι τὴν πρᾶσιν δηλώσωνται κληρονομίαν συναινοῦντος τοῦ ἐπιτρόπου, ἔρρωται κἂν μὴ ὑπογράψῃ τὴν διανέμησιν. ἀνάγ. καὶ β. λη΄ τ. β΄ ὁ Θαλέλαιος ἐν τῷ α΄ κεφ. σχολ. ὁ πραίτωρ ἀπὸ τοῦ προσώπου καὶ τῆς αἱρέσεως καὶ τοῦ χρόνου ὀφείλει δεῖξαι ποῦ χρεὼς ὑπονοίας ἀνάγεσθαι διὰ τοῦ ὀρφανοῦ· καὶ οὐ πάντως ἐπὶ τούτῳ τῇ γνώμῃ τοῦ πατρὸς ἀκολουθεῖ. γίνεται δὲ ζήτησις περὶ τῶν συγγενῶν. ἀναγκάζονται γὰρ ἀνάγειν ἀπελεύθεροι καὶ γονεῖς καὶ ἀγχιστεῖς καὶ συγγενεῖς. εἰ δὲ κληρονόμος ἢ λεγατάριος ἀνάγειν ἐπιτραπέντες ἐν διαθήκῃ περιληφθῆναι, ἐκπίπτουσι τῶν ἐαθέντων αὐτοῖς καταλιμπάνοντες τὸν ἐπίτροπον. εἴτε διὰ τοῦτο καθηγεῖσθαι. οὐ μὴν καὶ ὑπα ἐκλεγομένους αὐτοὺς τὴν ἀγωγὴν ὅλως παραιτουμένους. ἐν τῷ θεμ. ε΄ κεφ. μέχρι ἀγῶνος δείξεται ποῦ ἀνάγεσθαι καὶ τρέφεσθαι διὰ τοῦ ἀνήβου. ὕποπτοι δὲ εἰσιν οἱ τῇ σωφροσύνῃ αὐτοῦ ἐπιβουλεύειν δυνάμενοι. ἐν τῷ θεμ. ζ΄ κεφ. οὐδὲ μὴν ἔστιν ἀσφαλέστερον τῇ ἀναγωγῇ τῶν ἀνήβων τῆς μητρός, εἰ μὴ ἐδευτερογάμησε. ἀνάγ. καὶ β. μ΄ τ. ε΄ ὁ Θαλέλαιος ἐν τῷ σχολ. ζ΄ κεφ. θεμ. οὐ μόνον τὰ πρὸς ἀποτροφὴν χορηγεῖται τῷ ἀνήβῳ, ἀλλὰ καὶ τὰ πρὸς παθήμασι καὶ λοιπὰ ἀναγκαῖα πρὸς τὴν οὐσίαν. ἐν τῷ θεμ. η΄ κεφ. ἐὰν ὁ ἀπόκληρος ἄνηβος λέγῃ μὴ ἐρρῶσθαι τὴν διαθήκην, ἀλλ' ἑαυτὸν ἐξ ἀδιαθέτου κληρονόμον εἶναι, καὶ ἀρνῆται τὰς αὐτοῦ ἔσω τῶν τελευτήσαντος, δίδοται αὐτῷ ἡ μέχρι τῆς ἥβης διακατοχή. ἀνάγ. καὶ β. να΄ τ. ια΄ κεφ. λ΄ θε. ε΄ ἐν τῷ σχολ. ἐὰν ἀνήβῳ χρεὼς αὐθεντίᾳ ἐπιτρόπου καταβληθῇ χρέος, ἁρμόζει κατ' αὐτοῦ περιαγωγὴ εἰς ὃ γέγονε πλουσιώτερος. τὸ αὐτὸ καὶ δανείσηται ἢ ἄλλως πως συναλλάξῃ, καὶ ἐπὶ πάντων γὰρ οἷς οὐκ ὀρθῶς καταβάλλεται τὸ αὐτὸ κρατεῖ. ἀνάγ. καὶ β. ξ΄ τ. μα΄ κεφ. κβ΄

ἀνάγ. καὶ β. μα΄ τ. ιδ΄ κεφ. ιδ΄ ἐν τῷ σχολ. ὁ κατὰ τὸ ἐπιτηδεῖα τοῦ τῶν διατροφῶν. ἐπὶ μὲν ἀρρένων ἡ ἥβη ἕως τοῦ ιη΄ ἔτους δείξεται· ἐπὶ δὲ θηλυκῶν ἕως τοῦ ιβ΄ :—

περὶ ἀναγωγῆς τῶν ἀνήβων :—

ἐν τῷ θέμ(ατι). οὔτε δὲ λιβωνιανῷ δόγματι οὔτε τῷ ἐγκλήματι τοῦ πλαστοῦ. ἀνθ(ρωπος) ὑποπίπτει:

ιϛ΄ Περὶ ἀνθρώπων ἐλευθέρων τε καὶ δούλων καὶ λιβερτίνων καὶ ἀπελευθέρων. καὶ περὶ καταστάσεως καὶ ποιότητος καὶ διαιρέσεως αὐτῶν καὶ ἐναλλαγῆς τῆς τούτων καταστάσεως. ἀν(άγνωθι) β(ιβλίον) μϛ΄ τ(ίτλον) α΄. οὗτινος ἐν τῷ β΄ κεφ(αλαίῳ) φησίν:

Ἐλευθερία ἐστὶ φυσικὴ ἐξουσία τοῦ ποιεῖν ὅπερ τις βούλεται, εἰ μὴ βίᾳ ἢ νόμῳ κωλύεται. δουλεία δέ ἐστι διάταξις τοῦ ἐθνικοῦ νόμου, καθ᾽ ἥν τις παρὰ τὴν φύσιν ἀλλοτρίᾳ δεσποτείᾳ καθυποβάλλεται. ἀπελεύθεροι δέ εἰσιν οἱ ἐξ ἐννόμου δουλείας ἐλευθερούμενοι. ἐν δὲ τῷ ιϛ΄ κεφ(αλαίῳ)· ὁ ἐξ ἐννόμου δουλείας γάμου τικτόμενος, ἕπεται τῷ πατρί. ὁ δὲ πορνογέννητος τῇ μητρί. ἀν(άγνωθι) ἐν τ(ίτλῳ) β΄. οὗτινος ἐν τῷ ζ΄ κεφ(αλαίῳ) φη(σί)· ὡς περὶ ὕβρεως αἰτία καὶ αἱ ἐξ ἁμαρτημάτων ἐνοχαὶ τῇ κεφαλῇ ἕπονται. ἐν δὲ τῷ ι΄ κεφ(αλαίῳ)· τρεῖς εἰσὶ καταστάσεως ἐναλλαγαί· μεγίστη· μέση· ἐλαχίστη. τρία γάρ ἐστιν ἅπερ ἔχομεν· ἐλευθερίαν· πολιτείαν· συγγένειαν. ἡ τοίνυν μεγίστη τὰ τρία φθείρει. ἡ δὲ μέση τὴν πολιτείαν οὐ μὴν τὴν ἐλευθερίαν. ἡ δὲ ἐλαχίστη μόνην τὴν συγγένειαν ἐναλλάττει. ἀν(άγνωθι) καὶ β(ιβλίον) ιϛ΄ τ(ίτλον) η΄ κεφ(άλαιον) λ΄ ἐν ᾧ φησιν. ἡ τῆς προτέρας καταστάσεως ἐλάττωσις τριττή ἐστι· μεγίστη· μέση· ἐλαχίστη. καὶ μεγίστη μέν ἐστιν ὅταν τις διὰ ἁμάρτημα εἰς δουλείαν περιστῇ. ἐλαχίστη δέ ἐστιν ὅταν τις αὐτεξούσιος ὤν, δέδωκεν ἑαυτὸν εἰς υἱοθεσίαν. γίνεται γὰρ τότε ὑπεξούσιος ὤν. γέγονεν αὐτεξούσιος. ἰδοὺ τοίνυν καὶ ἐνταῦθα τῆς προτέρας καταστάσεως ἐναλλαγὴ γέγονεν. ἀν(άγνωθι) καὶ β(ιβλίον) μη΄ τ(ίτλον) ια΄ ἐν ᾧ φη(σί)· ὅτι οὐδενὶ ἔξεστι περὶ τύχης ζητεῖν τοῦ πρὸ ε΄ ἐτῶν τελευτήσαντος. ἢ τοῦ ἐν τοῖς ε΄ ἔτεσιν· ἐφ᾽ ᾧ τελευτὴ πρὸ ε΄ προκειμένη γίνεται. εἰ δὲ συγγενής τις κινηθῇ· καὶ εὐθὺς ἀποθάνῃ καὶ ἀρξάμενος τῆς ἀναψηλαφήσεως, σβέννυται ἡ ζήτησις. ἡ δὲ τοιαύτη δίδοται περὶ ἐλευθερίας. ὅταν περὶ τῆς γένους τύχης ἐστὶ ζήτησις. ἀν(άγνωθι) ἐν τ(ίτλῳ) ιθ΄. ὁμοίως γάρ φησιν καὶ αὐτὸς περὶ τῆς πενταετίας:

ιζ΄ Περὶ ἀννόνων διδομένων τῇ τε κωνσταντινουπόλει καὶ τοῖς σχολαρίοις. ἀν(άγνωθι) β(ιβλίον) να΄ τ(ίτλον) κε΄ καὶ κζ΄ ἐν οἷς φησιν:

Μηδενὶ παντελῶς αὐτῶν τῶν ἀννόνων μετὰ δὲ θάνατον οἰκείοις τοῖς παρεχέσθω· ἀλλὰ τοῖς μακρὰ πτωχοῖς διδόσθω. ὅτι δὲ τοὺς οἰκείους ἄρτους ὡπλισμένους λαμβάνειν. ὅτι τοῖς συμβιοῦσιν ἕκαστον ἀγοράζειν ἄρτους, ἐξ ὧν ὠφελ(εῖσθαι) πολλούς. καὶ ὅτι ἡ ποσότης τοῦ ... ἀφωρισμένη εἰς προχείρισιν

α'

νῆς. μηδέποτε μισθούσθω· μήτε εἰς ἑτέρας χεῖρας ἀναγκαζέσθω· ἐπὶ ὑπο-
μνήματι δὲ γινέσθω τὸ δίδοσθαι τοῖς ἀρτοκόποις· καὶ τὸ παρ' αὐτὰ κατα-
βάλλεσθαι. ὁ δὲ παρὰ ταῦτα ποιῶν, τὸ διπλοῦν καταθήσει:

περὶ ἀνταλλαγῆς· καὶ τί διαφέρει ἀνταλλαγὴ πράσεως. ἀνάγνωθι βιβλίον κ' τίτλον γ' τοῦ τινος ἐν φ' γ' κεφαλαίῳ φησίν: μη'

Ἐάν τις πρᾶγμα λαβὼν ἕτερον πρᾶγμα ἀντ' αὐτοῦ παράσχῃ, ἢ τυχὸν λαβὼν ἑαυτῷ τὸ δεδωκὼς οἰκεῖον· οὐ πάντως ἀνταλλαγή ἐστιν· ἀλλὰ δεῖ ζητεῖν ἡμᾶς ἐκεῖνο· ἆρα μήτε ὁ τὴν ἑαυτοῦ ἔχων πωλῆσαι αὐτὴν ἐβούλετο· καὶ ὁ τὴν οἰκείαν ἔχων ἀγοράσαι ταύτην ἐπεζήτει. καὶ ἐν φ' συμφωνοῦσι τὰ περὶ τοῦ τιμήματος. συνέδοξεν ἀντὶ τοῦ τιμήματος δοθῆναι τὸ πρᾶγμα· ἢ μήτε αὐτὸ ἐξαρχῆς οὐδὲ εἰς ἔννοιαν πράσεως ἦλθον· ἀλλ' ἐναλλάξαι τὰ πράγματα ἠβουλήθησαν. ἐν δὲ φ' δ' κεφαλαίῳ. ἡ ἐναλλαγὴ καὶ ἡ πίστις, ἔοικε τῇ πράσει καὶ τῇ ἀγορασίᾳ:

περὶ ἀνταγορασμοῦ. ἀνάγνωθι βιβλίον ι' τίτλον δ' κεφάλαιον α' ἐν φ' φη(σίν): μθ'

Ὁ διδοὺς τὴν τῆς δίκης διατίμησιν, ἀντὶ τοῦ ἀγορασμοῦ νέμεται· καὶ ὁ δὲ ὡς ἀγοραστὴς νέμεται ὁ ἀγοράσας οὐχ ὁ ὑποφορῶν ἀγοράσαι:

περὶ ἀντιφωνητοῦ. ἀνάγνωθι βιβλίον κς' τίτλον β' κεφάλαιον γ' καὶ δ'. ἐν οἷς καὶ περὶ ἐντολῶν διαλαμβάνει. ἐν δὲ φ' γ' κεφαλαίῳ τοῦ β' τίτλου φησίν:

Θεματίζομεν, ὅτι πολλάκις ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἄλλου προσώπου ἀντιφωνητὰς λέγων τινὰ τυχὸν τὸ ἱκανὸν ποιεῖ· τοῦτον ἐπὶ τῇ προστάξει ἦν ὅποι ἦν [illegible] ὅποι τρόποις ἅπασιν ὑποκεῖσθαι· καὶ τὴν ἀντιφώνησιν τὴν ἰδίαν πληροῦν· καὶ τὸ χρέος ἀναγκάζεσθαι καταβαλεῖν. ὅτε μὴ δὲ ὅποι τὸ ἱκανὸν γενέσθαι (?) τοῦτον διὰ τοῦ τοιούτου λόγου ἀπεριστάτως ἑρμηνευομένου, ἑαυτὸν μηδὲν ὅπου τὰ ὅλως ἐκ ταύτης εἰς πράξεις ἑτέρου καὶ φυλάττεσθαι. εἰ δέ τις ὅποι γενήσεσθαι τὸ ἱκανὸν παρέχει· καὶ παρὰ τοῦδε· καὶ τοῦδε· ἐκείνοις μεθ' οἷς ἂν ὀνομάσοι εἰ μὴ συναινέσουσι· μηδὲν ἐκ τῆς τοιαύτης φωνῆς γίνεσθαι πρόκειμαι· ἀλλὰ μηδὲ αὐτὸν τὸν τούτου ὅπου τὰ ὑπὲρ ἐκείνων τῶν προσώπων ἅπερ ὀνομάσοι· ἀπαιτήσειν ἵνα ὑπομένειν ὑπὲρ ἑαυτοῦ. ὁ περὶ ἐκ τοῦ κατὰ τοὺς νόμους ἀποδεικνυμένου χρέους ἀντιφωνητὴς φανείη· καὶ τὸ ἐπιβάλλον αὐτῷ μέρος μόνον καταβάλλειν. ἐν δὲ φ' α' κεφαλαίῳ τοῦ γ' τίτλου φη(σίν). ἐὰν ὑπὲρ ἄλλου τι χρέους ἑαυτοῦ καταβαλεῖν ἀντιφωνήσας· ἢ ἐπὶ τῇ ἀντιφωνήσει ἀπαιτεῖται οὐ μόνον κατὰ τοῦ ... ἀλλὰ καὶ κατὰ τῶν κληρονόμων τῶν τούτου. δικαίως

θέμ. ζ'. αὐτ. καὶ τὸ α' τ. κεφ. λζ'. ἐν τῷ θέμ. ὅτι ὁ χρέος ἄλλου ἀναδε-
περὶ γυναικὸς ἀντιφωνούσης :+ ξάμενος. ἐὰν ὁμολογήσῃ μὴ ἀντιφωνῆσαι τὸ χρέος, κατ' αὐτὸ ἀπαιτεῖται.
αὐτ. καὶ τ. ζ' θέματος ἐν τῷ α' κεφ. θέμ. ἰντερκέσσιον ἐστί. τὸ ὑπὲρ ἄλλου προσ-
ελθεῖν ἐνέχυρον. οὐ μὴν τὸ ἀναδοῦναι τῷ χρεώστῃ, τὸ ἐνέχυρον αὐτοῦ. γυ-
ναῖκες ἀντιφωνοῦσαι ἐνέχονται ἐν ᾧ μὴ ἰντερκεδεύουσιν. ἐν δὲ τῷ νβ'
κεφ. ὁ ἀντιφωνῶν ἱκανοδοσίαν διδόναι. ἐνέχυρον ἢ ἐγγυητὴν διδῶσιν.
ἐν δὲ τῷ λγ' κεφ. αἱ ἀπαιτοῦσαι βοηθοῦνται ἐν πάσῃ ἐνοχῇ. καὶ ὅτε ἄλ-
λου διεκδικοῦσιν. οὔτε γὰρ ἐπιτέτραπται γυνὴ διεκδικεῖν οὔτε τὸν ἴδιον
π' ἄνδρα. οὔτε τὸν πατέρα. ἐν δὲ ἐκδικεῖ ἐκείνου ὅστις καταδικαζόμενος δύ-
καὶ αὐτῆς ναται χωρεῖν αὐτῆς. οὐ δοκεῖ ἀντιφωνεῖν. ἐν δὲ τῷ λθ' κεφ. θέμ. δ'. ἐὰν ὑπὲρ
τοῦ μὴ δυναμένου ἐνέχεσθαι ἀντιφωνήσῃ γυνὴ οἷον ἀνήβου τοῦ χωρὶς τοῦ
αὐθεντοῦ τοῦ ἐπιτρόπου, μὴ ἐχομένου. ἄρτι καὶ αὐτοῦ ἡ ἀποκατάστασις
ἁρμόζει. εἰ μὴ γένονται ἐκ τοῦ συναλλάγματος εὐποροῦντες. ἐν δὲ τῷ ξα' κεφ.
ἐὰν ἀπατᾶται γυνὴ ἡ γινώσκουσα μὴ ἐνέχεσθαι ἀντιφωνήσῃ, οὐ βοηθεῖ-
ται. καὶ ὁ μὴ μανθάνων τῆς γυναικὸς ἀντιφωνούσης βοηθεῖται. ἐν δὲ τῷ
ξη' κεφ. ἐὰν μὴ ἴσῃ ὁ πρὸς τὸν ἄνδρα συναλλάξας. ἡ δὲ γυνὴ ὀρέγεται τὸν
ἄνδρα τὰ ἴδια ὑποτιθέμενον ἐσιώπησεν ἐπιτηδές. ὡς ἀπαιτεῖται βου-
λομένη τὸν συναλλάσσοντα τῷ ἀνδρί. τὸ πλέον βοηθεῖται. ταῖς γὰρ ἀπατωμέ-
ναις γυναιξὶ βοηθεῖ τὸ δόγμα. ἐν δὲ τῷ οζ' κεφ. οὐ μόνον ἡ γυνὴ ἀντιφωνοῦ-
σα βοηθεῖται. ἀλλὰ καὶ ὁ ταύτην ἐγγυησάμενος. κἂν ὑπὲρ τοῦ ἰδίου ἀν-
δρὸς ἀντιφωνήσῃ γυνὴ βοηθεῖται. ἐν δὲ τῷ πε' κεφ. ἐὰν ἀντιφωνοῦ-
σα γυνή. μετὰ δύο ἔτη τῆς ἀντιφωνήσεως ἐκ δευτέρου ἐπι … τὴν
πρᾶξιν. ἐκπίπτει τῆς ἀπὸ τοῦ δόγματος … ας τῆς ἐγγύης,
ἐν τῷ … ποιητός. δοκεῖ ὡς ἀπὸ τῆς … ὑπαχθεῖσα ἐξανα-
φωνεῖν καὶ βοηθεῖται. ἐν δὲ τῷ πς' κεφ. ἡ διάταξις βούλεται τὴν γυναῖκα λαβοῦ-
σαν τινὰ καὶ ἀντιφωνήσασαν. μὴ ἔτι βοηθεῖσθαι ἀπὸ τοῦ δόγματος. εἴτε ἔγγρα-
φως εἴτε ἀγράφως ἀντεφώνησεν. ἀλλ' εἰ μὲν ἐν αὐτῷ τῷ συμβολαίῳ ὡμολόγησε
τὸ εἰληφέναι καὶ εὑρεθῇ. ἀξιόπιστον τὸ συμβόλαιον, ἢ τριῶν μαρτύρων ἔχων
ὑπογραφάς, ἀναμφιβόλως πιστεύεσθαι εἰληφέναι τὰ ἀργύρια ἢ τὰ πρά-
γματα τὰ διὰ δικαιώματι περιεχόμενα μὴ βοηθεῖσθαι. εἰ δὲ ἀγράφως ἀντε-
φώνησεν ἢ ἐγγράφως. οὐδὲν δὲ ὡμολόγησεν εἰληφέναι ἐν τῷ συμβολαίῳ εἰ
μὲν δύναται ὁ ἐνάγων ἀποδεῖξαι ὅτι ἔλαβεν ἐπὶ τῷ ἀντιφωνῆσαι. οὕτως

μὴ βοηθείτω. εἰ μέντοι γε ἄπορος οὗτος εἶναι καὶ οὐκ ἀντιφωνητὴν λάβοιτο. τότε γὰρ
αὐτὴ μετὰ τῆς ὠφελείας ἐκ τοῦ πόρου. ὁ δὲ δεδωκὼς αὐτὴν, ἐκ τοῦ λοιποῦ ἀπαιτείτω :—

Περὶ ἀνδραποδισμοῦ. ἀνάγνωθι βιβλίον ξ΄ τίτλον α΄ καὶ τίτλον ιζ΄ κεφάλαιον μ΄ ἐν ὑποφάσει :— ν΄

Ὁ ἐξανδραποδιστὴς τῶν ἐλευθέρων τῶν παρεχομένων τῷ πειρατικῷ κατὰ τὴν τῶν δού-
λων ἐλευθέρων πρᾶσιν γινέσθω. τουτέστι κατὰ τὴν τράπεζαν. ἢ μᾶλλον διὰ τοῦ ξίφους.
ὡς ἡ αὐτὸ ἐναπολείπεται :—

Περὶ ἀπελατῶν. ἀνάγνωθι βιβλίον ξ΄ τίτλον κε΄ τοῦ ἔνους ἐν ὑποφάσει α΄ κεφάλαιον φησίν :— να΄

Κυρίως ἀπελάτης λέγεται. ὅστις θρέμματα ἀπὸ βοσκῆς ἢ βουκολίων ὑπο-
σύρει. ἢ ἀπὸ τῶν ἀγελῶν ἵππους. ὁ γὰρ βοῦν ἢ ἵππον πλανώμενον λαβών.
οὐκ ἔστιν ἀπελάτης ἀλλὰ κλέπτης. εἰ γάρ τις χοῖρον ἢ αἶγα ἀπελάσει. οὐχ οὕ-
τως σφοδρῶς τιμωρεῖται ὡς ὁ μείζονα ζῶα ἀπελαύνων. εἰ δὲ ἐν τῷ ε΄ κεφαλαίῳ. περὶ τοῦ
ἀριθμοῦ τῶν ἀπελαυνομένων ἢ κλέπτης ἐστὶν ἢ ἀπελάτης. δέκα γὰρ πρόβα-
τα ποιοῦσιν ἀγέλην. καὶ χοῖροι ε΄. εἰ δὲ βοῦς καὶ ἵππος ἀπελαθείς, ἱκανὸν
τοῦτο τὸ ἔγκλημα. καὶ ὁ ἀπὸ ἀγέλης ἢ ὕλης δεδαμασμένον ζῷον ἀπελαύ-
νων. σφοδρότερον τιμωρεῖται. καὶ ὁ πολλάκις ἀπελάσας. εἰ καὶ ἓν ἢ καὶ δεύ-
τερον θρέμμα. ἀπελάτης ἐστί. καὶ ὅτε οἱ τοὺς ἀπελάτας ὑποδεχόμενοι. ἐ-
πὶ ἔτη τῆς ἐπαρχίας ἐξορίζονται. εἰ δὲ ἐν τῷ α΄ κεφαλαίῳ. οἱ ἀπελάται ἅπαξ μετὰ τοῦ
τὸ πλημμελοῦντες τυπτέσθωσαν. ἐκ δευτέρου δὲ διαπρατόμενοι. ἐξορι-
ζέσθωσαν. εἰ δὲ καὶ ξίφει φονεύσουσι τοὺς βιοῦντας καταβλεπόντων. χειροκοπείσθω- ἐκ μισθοῦ.
σαν. τῆς ἀπελαθείσης ἀγέλης δηλονότι τῇ ἰδίᾳ δεσποτείᾳ παρ’ αὐτῶν ἀποκαθι-
σταμένης. καὶ ὁ δεσπότης κινεῖται κατὰ τοῦ ἀπελάτου καὶ ἐπ’ ἀμφοτέρας ἔχω
εἰς ἀμφοτέρους :—

Περὶ ἀπαιτήσεως τῶν ἀπὸ καταδίκης ἤτοι ἀποφάσεως καὶ ψήφου δι- νβ΄
καστικῆς. καὶ περὶ τῶν μὴ χρεωστουμένων μὲν. καταβληθέντων δὲ κατὰ ἀ-
πάτην ἢ ἄγνοιαν, ὡς κεχρεωστημένων καὶ διαβεβαιωμένων ἀπαιτουμένων.
ἀνάγνωθι βιβλίον β΄ τίτλον γ΄ κεφάλαιον δ΄ ἐν ὑποφάσει :—

Ἡ ἀπαίτησις τῆς καταδίκης. κατὰ τοῦ δεσπότου δίδοται. οὐ μὴν κατὰ τοῦ ἐντολέ-
ως. εἰ μὴ προσήνεγκεν ἑαυτὸν τῇ δίκῃ. ἢ ἐν πράγματι ἰδίῳ ἐστί. καὶ κεφάλαιον ζ΄
ἐν ὑποφάσει. ὁ καταδικασθεὶς οὐκ ἀπαιτεῖται μετὰ τὴν ἐξαμηνιαίαν. εἰ δὲ βού-
λεται καὶ προθεσμίας ἀξιοῦται παρ’ αὐτοῦ γὰρ ἔστιν ὁ χρόνος. καὶ κεφάλαιον πα΄.
ἐὰν στρατιώτης καταδικασθῇ, οὐ χρὴ τὰς ἀννώνας αὐτοῦ δοθῆναι πρὸς ἀ-
τούτου. καὶ κεφάλαιον πβ΄. δύναται τις γραμματεὺς χρέους τοῦ ἐναχθέντος λαβεῖν.

εἰς ἐκβιβασμὸν τῆς καταδίκης. ἀνάγνωθι καὶ β. ια΄ τ. β΄ κεφ. νβ΄ ἐν ᾧ φησί. εἴ τις κατὰ πλάνην ψήφου πιστεύσας χρεωστεῖν ποσότητά τινα ἣν τῇ ἀληθείᾳ οὐκ ἐχρεώστει, ἐπερωτηθῇ τὴν ποσότητα ταύτην καταβαλεῖν, δύναται κινεῖν τὸν περὶ τῶν μὴ χρεωστουμένων δίκαιον λόγον, ἀπαιτεῖν γενέσθαι αὐτῷ ἐλευθερίαν τοῦ χρέους. ἀνάγνωθι καὶ β. κα΄ τ. α΄ ὅλενος ἐν ᾧ ιζ΄ κεφ. ὁ τὸ μὴ χρεωστούμενον κατὰ πλάνην, μὴ ὡς ἀπὸ καταδίκης καταβληθέντος, ἡ ἀνάληψις αὐτοῦ δικαίῳ τοῦ τῆς ἀπαιτήσεως λόγου οὐκ ἀμφιβάλλεται. ἐν δὲ τῷ κ΄ κεφ. τὰ ἐξ ἀρνήσεως διπλασιαζόμενα, κἂν μὴ χρεωστούμενα καταβληθῶσιν, οὐκ ἀναλαμβάνονται. εἰ δὲ καὶ χειρόγραφον γένηται ὑπὲρ τούτων, οὐκ ἀναζητεῖται. ἐν δὲ τῷ κα΄ κεφ. ὁ μὴ ὢν κληρονόμος, καταβαλὼν ὡς κληρονόμος, δύναται ἀναλαμβάνειν τὸ καταβληθὲν λεγάτον. ἀντιστρέφεται καὶ ἀναλαμβάνεται. ἐν δὲ τῷ κε΄ κεφ. ὁ ἐντολεὺς καταβαλὼν τὸ μὴ χρεωστούμενον, οὐκ ἀναλαμβάνει αὐτό. ἀνάγνωθι καὶ τ. ε΄ ὅλενος ἐν ᾧ α΄ κεφ. φησί. ὅτι ἐναντία οὐ μὴν ὁ ἐντολεὺς καταβαλὼν μὴ χρεωστούμενον ἀναλαμβάνει. ἐν δὲ τῷ κ΄ κεφ. ἐάν τις χρεωστῶν κεφάλαιον τόκους μὴ χρεωστουμένους καταβάλῃ, οὐκ ἀναλαμβάνει. ὁ δὲ τόκους ὑπὲρ τὸ νόμιμον καταβαλών, οὐκ ἀναλαμβάνει ἀλλὰ καταλογίζεται δὲ αὐτοὺς εἰς τὸ κεφ. εἰ δὲ καὶ τὸ κεφ. κατέβαλεν, ὡς τὸ μὴ χρεωστοῦν εἰ κατέβαλεν, ἀναλαμβάνει εἴτε πρὸ τοῦ κεφ. τοὺς τόκους κατέβαλεν εἴτε μετὰ ταῦτα, εἴτε ἀνὰ ἑκάτερον. ἐν δὲ τῷ λζ΄ κεφ. ποινὴ καταβληθεῖσα οὐκ ἀναλαμβάνεται. καὶ ὅτι ὁ ὀμόσας μὴ χρεωστεῖν εἰ καταβάλοι, ἀναλαμβάνει. ἀνάγνωθι καὶ β. να΄ τ. α΄ κεφ. ζ΄ ἐν ᾧ φησί. ἐὰν νομίζων σοι χρεωστεῖν καὶ ἐκ ταλάντου ὁμολογήσω δοῦναι ἐκείνῳ ᾧ τε ἐβούλου δωρήσασθαι, ἔχω κατ᾽ αὐτοῦ παραγραφήν. καὶ καταβαλὼν ἀπαιτήσεως ἔχω δίκαιον. καὶ ὅτι ἐὰν νομίζοντά με χρεωστεῖν σοι δῶς με ὑπὲρ σοῦ τῷ νομιζομένῳ δανειστῇ, ἔχω κατ᾽ αὐτοῦ παραγραφὴν καὶ καταβαλὼν ἀπαίτησιν :—

δηλονότι μὴ ὄντας ὑπὲρ τὸ νόμιμον.

νϛ΄

## περὶ ἀπογραφῆς τῶν πραγμάτων τοῦ τελευτήσαντος. ἀνάγνωθι β. μ΄ τ. ια΄ κεφ. ιε΄ ἐν ᾧ φησιν :—

ἀνάγνωθι καὶ νη΄ ρτε΄. ἀνάγνωθι ε΄ ἐν ᾧ φησιν· ὅτι ἀνάγκην ἔχουσιν οἱ κληρονόμοι ἅπερ ἂν ὁ διατιθέμενος διατάξηται πληροῦν, καὶ τὸ ποιεῖν [illegible] ἀπογραφὴν [illegible] δανεισταῖς καὶ λεγαταρίοις :—

Ὅτε κληρονομία πρός τινα εἴτε ἐκ διαθήκης εἴτε ἐξ ἀδιαθέτου κατενεχθῇ, εἴτε ἐξ ὁλοκλήρου εἴτε ἐκ μέρους, εἰ μὲν ὀρθῇ ὁδῷ καταδέξασθαι βούλεται τὴν κληρονομίαν, καὶ ἤπερ φανερωτάτη τοῦτο ποιήσει ἑαυτῷ συμμίξει ἵνα μὴ ὕστερον ταύτην ἀποπέμψηται, οὐδεμιᾶς χρῄζει ἀπογραφῆς. διὰ τὸ πᾶσι τοῖς δανεισταῖς καὶ λεγαταρίοις κατέχεσθαι ὡς τῆς κληρονομίας αὐτῷ ἐξ οἰκείας βουλήσεως

ἐμπαθείσης. καὶ τῷ αὐτῷ τρόπῳ δεῖ ἐπισκαζούσῃ διανοίᾳ ἀποπεσεῖν ἤτοι
παραιτεῖσθαι αὐτὸν τὴν κληρονομίαν εἶναι πιστεύοντος φανερῶς ἔχει τε αὐτοῦ μόνου
διαστήματος ἔξω τοῦ αὐτὸν γνῶναι γεγραμμένου αὐτῷ εἶναι. ἡ κληθεῖσα κλη-
ρονόμων ἀπαγορευέτω οὐδεμιᾶς ἀπογραφῆς γινομένης οὐ δ' ἄλλως περι-
όδου σκοπουμένης. καὶ εἰ ἀλλότριος τῆς τοιαύτης κληρονομίας. εἰ δὲ βαρής ἐ-
στιν ἢ οὐκέστιν ἀπὸ τελευτῆς τοῦ τῆς κληρονομίας. νομιζέτω ἑαυτὸν εἶναι χρεώστην
διάσκεψιν. ἀλλὰ καταδέξασθαι τὴν κληρονομίαν ἢ αὐτοῦ ἐμμίξασθαι. πάντε-
λῶς τέως ἀπογραφὴ παρ' αὐτοῦ γινέσθω ἵνα ἔχῃ λ΄ ἡμερῶν μετὰ τὸ ἀνοι-
γῆναι τὴν διαθήκην. ἢ μετὰ τὸ γνῶναι αὐτὸν ἢ ἄνοιξις τῆς διαθήκης. ἢ μετὰ τὸ γνῶ-
ναι ἐνεχθῆναι αὐτὸν ἐξ ἀδιαθέτου κληρονομίας ἀναθεματιζομένων. περαιτέρω
οὐ δέξηται ἡ ἀπογραφὴ περὶ τούτων τῶν πραγμάτων. ἀπὸ ὃ τελευτῆς ἐν και-
ρῷ τῆς τελευτῆς εἶχε. καὶ αὕτη ἡ ἀπογραφὴ ἔχει ξ΄ ἡμερῶν πᾶσι τρόποις πλη-
ρούσθω. ὑπὸ παρουσίᾳ ταβουλαρίων καὶ τῶν λοιπῶν οἵτινες εἰς τὴν τοιαύ-
την ποίησιν χρειώδεις εἰσίν. ὑπογραφὴν μέντοι τῶν κληρονόμων ὑποτάσ-
σειν ὀφείλουσι ἐστί. σημαίνουσαν καὶ τὴν ποσότητα τῶν πραγμάτων. καὶ ὅτι
οὐδεμιᾶς κακοηθείας περὶ αὐτὰ ἐξ αὐτοῦ γενομένης ἢ γενησομένης τὰ πράγ-
ματα παρ' αὐτῷ μένουσιν. ἢ ἐὰν ἀπείρως ἔχει γραμμάτων ἢ γράψαι ἐμποδί-
ζηται. ἰδικοῦ ταβουλαρίου εἰς τοῦτο μόνον προσλαμβανομένου. ἵνα ὑπὲρ αὐ-
τοῦ ὑπογράψῃ. τοῦ προσημειουμένου σημείου προτέρου χρείᾳ τοῦ κληρονό-
μου προτιθέντος. μαρτύρων δηλαδὴ προσλαμβανομένων οἵτινες τὸν κληρονό-
μον ἐπιγινώσκουσι. καὶ καλοῦντες αὐτὸν τὸν ταβουλάριον ὑπὲρ αὐτοῦ ὑ-
πογράψαι σημαίνωσιν. ἀνάγνωθι καὶ βι. λζ΄ τί. ζ΄ κεφ. ε΄. ἐν ᾧ φησιν. ὅτι ἐὰν χωρὶς
δόλου αἰτίας ὁ ἐπίτροπος μὴ ποιήσῃ ἰμβεντάριον ἤτοι καταγραφήν. ὡς δόλον
ἁμαρτάνων ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ εἰς τὸ διαφέρον. περὶ τῆς ποινῆς —
ὧν αὐτῆς, δηλονότι οὐδὲν ὀφείλει. εἰ μὴ τὰ μετὰ μετρίας ὑπερθέσεως ἀ-
νεχόμενα. ἀνάγνωθι βι. τί. ιβ΄ κεφ. α΄. ἐν ᾧ φη. ὅτι ἄλλα ἔστω ταῖς μητράσιν ἐπι-
τροπεύειν τῶν παίδων. συναπαιτεῖται δὲ καὶ αὐτὰς ποιεῖν ἀπογραφήν. περὶ οὗ-
τος καὶ τὸ ὑποκείμενον. εἰ ἢ περὶ τῶν υἱῶν φρουρεῖς ἐπιτελεῖσθαι. ἀνάγνωθι ε΄
βι. λη΄ τί. ε΄ κεφ. λς΄. ἐν ᾧ φη. μὴ ἀπαιτείσθω δὲ τῶν πραγμάτων ὁ ἐπίτροπος.
εἰ μὴ πρότερον ἀπογραφὴ γένηται. ἐμπίπτει ἄρα οἱ τὴν οὐσίαν περιπέμ-
ψαντες εἰς τοὺς ἀνήβους αὐτοῖς τὴν ἀπογραφὴν ἐκώλυσαν γενέσθαι. ὁ δὲ μὴ
ποιήσας ἀπογραφήν. καὶ ὡς ὕποπτος ἀποκινείσθω. καὶ ἀτιμούσθω. μὴ

[Margin, beside line 5:] εἰ βαρής

[Margin, beside line 22:] περὶ ἐπιτρόπ(ου) :-

[Margin, beside lines 26–27:] περὶ μητρ(ὸς) ἐπιτροπευούσης :-

[Margin, beside lines 30–32:] Ἰστέον ὅτι μὴ ποιοῦντες ἀπογραφὴν ἐμπεριστάτως κινδυνεύουσι καὶ εἰς τὴν ἀπαίτησιν τῆς προικὸς πράγματα μὴ δυνάμενοι τὰ αὐτῶν ἐπιζητεῖν :-

ἢ ἀπὸ βασιλικῆς ἀντιγραφῆς συγγνωσθῆναι δυνάμενος. ἀνάγνωθι καὶ τὸ ιε' κεφ. α'
ἐν τῷ φ' τίτ. ὁ ἐπίτροπος μὴ ποιήσας ἀπογραφήν, ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ.
ἀνάγνωθι καὶ τὸ μα' τ. δ' κεφ. τοῦ ε' τίτ. ὅτι ὁ μὴ ποιήσας καταγραφὴν ὁ κληρονό-
μος, οὐ παρακαθέξει φαλκίδιον, ἀλλὰ πληρώσει τοὺς λεγαταρίους. κἂν ἐκ
τῆς καθαρᾶς οὐσίας τοῦ τελευτήσαντος ὑπερβαίνει μᾶλλον ἢ τὰ λεγατευθέντα: δ

ιδ' ἀνάγνωθι περὶ ἀποκαταστάσεως τῆς τῆς προικὸς ἐπὶ προγάμου δωρεῶν τ. καὶ διορισθεῖσα τὰ ἁρμόζοντα αὐτῆς τ. ἀνάγνωθι καὶ περὶ κληρονομίας καὶ περὶ λεγάτου καὶ διορισθεὶς ἐν αὐτοῖς περὶ ἀποκαταστάσεως τοῖς αὐτοῖς τὰ ἁρμόζοντα:+

Περὶ ἀποκαταστάσεως. ἀνάγνωθι β' ι' θέμενος ἐν τῷ α' τ. κεφ. α' τίτ.: ς

Εἴτε διὰ τὴν ἡλικίαν, εἴτε διὰ φόβον, εἴτε διὰ πανουργίαν, εἴτε καὶ ἀπουσίαν
τραφέντες βοηθεῖται, εἴτε διὰ τὴν ἐναλλαγὴν τῆς καταστάσεως ἢ διὰ καιρίαν πλά-
νην. ἐν τῷ γ' τῷ ζ' κεφ. ὁ κληθεὶς καὶ μὴ ὑπακούσας, καὶ ἐκ τούτου καταδικα-
σθείς, ἐὰν προσωπικῶς περικαθημένῳ τῷ ἄρχοντι προσέλθῃ, ἀποκαθίσταται.
δοκεῖ γὰρ μὴ καὶ περιπέμπεται ἀπολειφθῆναι, ἀλλ' ὡς μὴ ἀκούσας τοῦ κήρυ-
κος. ἐν τῷ γ' τῷ ι' κεφ. ἐὰν κατὰ βίαν ἐλευθερώσω ἢ καταγράψω κτήματα, χω-
ρεῖ ἡ ἀποκατάστασις. ἐὰν καὶ βίαν ὁμολογήσω ἔχω παραγραφὴν καὶ ἐναντίωσιν
εἰς τὸ ἀναλαβεῖν τὴν ὁμολογίαν. εἰ δὲ καταβάλω μετὰ τὴν ὁμολογίαν ἢ ἀπο-
χὴν βεβαίαν ποιήσω, καὶ παραγραφὴν καὶ ἀγωγὴν ἔχω κατὰ τὴν ἐπὶ τῷ πρά-
γματι ἀγωγήν. εἴτε γὰρ τὸ πρᾶγμα ἐν τῇ οὐσίᾳ ἐστίν. ἐν τῷ γ' τῷ κ' κεφ. ἐάν τις
ἐρημωμένα ἐκβαλών παραχωρήσας τε πρᾶξαι, ἀνεύθυνός ἐστι. ἐν τῷ γ' τῷ κε'
κεφ. ἐάν τις κατὰ βίαν ἢ φόβον θανάτου ἢ τῶν καὶ τοῦ σώματος βασάνους δε-
λαβηθεὶς πωλήσῃ πράγματα, καὶ μὴ δὲ μετὰ ταῦτα τῇ συναινέσει βεβαιώσῃ
τὴν πρᾶσιν κατὰ τὴν δύναμιν τοῦ διηνεκοῦς διατάγματος. ὁ τοῦτο ποιῶν τοῦ
κινηθεὶς ἐὰν μὴ ἀποδοθῇ αὐτῷ τὸ πρᾶγμα, τὸ τετραπλάσιον ἀπολήψεται.
ἀναλόγους δηλονότι τὸ τίμημα ὅπερ ἔλαβεν. μετὰ δὲ τὸν ἐνιαυτόν, τὸ ἁπλοῦν
ἀποδοθήσεται αὐτῷ. ἐν τῷ γ' τῷ λβ' κεφ. ἐάν τις ἢ κατηγορηθέντος ἤδη ἢ ἀπειλεῖ κα-
τηγορήσειν, καὶ ἵνα μὴ κατηγορηθῇ παρ' αὐτοῦ ἢ ἵνα παύσηται τῆς ἀρξαμέ-
νης κατηγορίας ἢ ἐξ ἐποίησε αὐτῷ τι ποτε ἢ ὑπερώνησεν αὐτῷ, οὐ δύνα-
μαι ταῦτα ἀναιρεῖσθαι ὡς φόβῳ γενόμενα. ἀλλὰ δοκεῖ καὶ ἀναγκάσω τοῦτο ποι-
εῖν ὑπὲρ κέρδους ταῦτα ἀναιρεῖσθαι. ἐν τῷ γ' τῷ τ' κεφ. ζ' θέμ. περὶ τῶν διὰ δόλου τι
πραξάντων καὶ ἀποκαθισταμένων. ἐν τῷ γ' τῷ ιβ' κεφ. ὁ ἄνηβος ὡς κληρονό-
μος ἐνάγεται τῇ περὶ δόλου ἀγωγῇ, ἀπὸ δὲ οἰκείου φάκτου, ὅτε πλησιά-
ζει τῇ ἥβῃ, καὶ μάλιστα εἰ γέγονεν εὐπορώτερος. ἐν τῷ γ' τῷ λ' τ. κεφ. α'. ὁ ἀ-
ποκαθιστάμενος κατά τινος πράγματος ὡς παρ' ἐκείνου ζημιούμενος ἐξ αὐτοῦ οὐκ
ὀφείλει, οὕτως οὐδὲ κερδαίνει. καὶ διὰ τοῦτο εἰ καὶ δήποτε ἐὰν εἰς αὐτὸν περὶ

ᾳ'

ἤτοι ἢ ἐξ ἀγορασίας ἢ ἀπὸ πράσεως· ἢ ἐξ ἄλλου συναλλάγματος καὶ ἀπο κατέστη κατὰ τοῦτο τοῦ συναλλάγματος· ὀφείλει ἀποδιδόναι τὰ ἐξ αὐτοῦ κεφάλαια. εἰ δὲ καὶ προενέβαλεν ἑαυτὸν καὶ ἑτέρου τινὸς χρέος ἀναδεξάμενος ἀλλ' ἀποκατάστασιν τῆς τοῦ παλαιοῦ χρεώστου τοῦ ἐλευθερωθέντα τῆς μετατάξεως τοῦ χρέους· ὀφείλει ἀνανεοῦσθαι ἡ ἀγωγὴ κατὰ διάταξιν· καθ' οὗ τὴν ἀποκατάστασιν αἰτεῖ ὁ νεώτερος. εἰ δὲ κατὰ λγ' τ. καὶ λε' καὶ λ' διαλαμβάνει περὶ τῆς τῶν ἀπολιμπανομένων ἀποκαταστάσεως κατὰ διαφόρους αἰτίας· οἷον φόβου χάριν ἢ διὰ δημοσίου πρᾶγμα ἢ στρατείαν ἢ ἐν δεσμοῖς ἢ δουλεία. ἢ αἰχμαλωσίᾳ εἶναι. ἢ διὰ τὸ μὴ κληθῆναι ἄκυρα τοῦ δικαστηρίου τοῦ αὐτεδίκου αὐτῶν καὶ διὰ τῆς ἀχρηστίας ἐμπεσόντων τινός· ἢ διὰ τῆς ἑτέρου διατριβάδος κωλυθέντος καὶ ἐν τῷ περιελθεῖν τὸν χρόνον τῆς ἀγωγῆς. δίδοται ἀποκατάστασις ἔσω ἐνιαυτοῦ μεθ' ὅτε κινεῖται δυνατὴ καὶ ἐξ ἑτέρας εὐλόγου αἰτίας. ἑτέρας δὲ μὴ νόμος ἐναντιοῦται· σημείωσαι δὲ τοῖς ἰδίοις δίδοται ἀποκατάστασις, οὐ μὴν ὅτε ζητοῦσιν ἐκ τῆς ἑτέρων ποινῆς ἢ ζημίας κερδᾶναι. καθὼς ἐν τῷ κβ' κεφ. λε' τ. βι. εἰ δὲ τὸ κη' κεφ. τοῦ αὐτοῦ τ. βι.· πάντες γενικῶς οἱ ἐξ ἀνάγκης ἀπολιμπανόμενοι ἀποκαθίστανται· οὐ μόνον ἐφ' οἷς ζημιοῦνται ἀλλὰ καὶ ἐφ' οἷς κερδαίνουσιν. εἰ δὲ κατὰ λε' κεφ. ὁ ὑποστρατεύτης μὴ ἀπολογῶν τῷ ἐν ἰδίῳ οἴκῳ οὐκ ἀπέστειλεν τῷ πρᾶγμα δημοσίου, τοὺς μὴ κατὰ ἀνάγκην. ἀλλὰ κατὰ κέρδος ἴδιον ἀπόντας. εἰ δὲ κατὰ κεφ. τοῦ λς' τ. βι.· ὅτι κανονίζεσθαι μᾶλλον ἡ διάταξις αὕτη περὶ τὰ τοῦ λέγοντα ἐπὶ τῶν κατὰ πίστιν συναλλαγμάτων καὶ τοὺς μείζονας βοηθεῖσθαι· ἔχεσθαι ἐκ τῆς διατάξεως τὸν ἀμάχου κανόνα. ὅτι ἐπὶ πάντων τῶν κατὰ πίστιν καὶ οἱ μείζονες τῶν κε' ἐνιαυτῶν βοηθοῦνται. περίδηλον δὲ ὅτι οὐκ ἀποκατάστασιν αἰτοῦσιν. ἀλλ' ὅτι αὐτοῦ τὸ ὀφφίκιον τοῦ δικαστοῦ αὐτοὺς βοηθεῖ:

## περὶ ἀποδείξεων. καὶ τίς καὶ πῶς ὀφείλει ἀποδεικνύειν. αὐτ. βι. κβ' ψε.

τίτλος ἐν τῷ β' κεφαλαίῳ φησίν:

Ὁ μὲν λέγων· οὐ μὴν ὁ ἀρνούμενος δείκνυσι. ἐν δὲ τῷ α' ὅτι ὁ ἀγοραστὴς δείκνυσι τὸν δοῦλον πρὸ τῆς πράσεως πεφευγέναι. εἰ δὲ κατὰ ς' κεφ. ἐὰν μὴ δείκνυται ὅτι μετὰ τὴν πρᾶσιν φυγὰς ἦν ὁ δοῦλος. τὸ ἐν βεβαίῳ αὐτοῦ ζημιοῦσθαι πιστευόμενον. καὶ ἑαυτοῦ περιεργάζεσθαι δοκεῖ· οὐ μὴν ἑτέρου δεσπότου ἢ κατὰ δεσπότου. ἐ ὁ υἱὸς λέγων ἑαυτὸν αὐτεξούσιον δείκνυσι. εἰ δὲ κατὰ ια' κεφ. τοῦ β' ἐὰν ὅτε δεῖνα τέλειος δείκνυσιν ὡς ἐπὶ τοῦ συνομολογοῦντος ... δανείζεσθαι. λέγοντος δὲ

καταβεβληκέναι. ἐν τῷ δ' τῷ κγ' κεφ. ἰδίως περὶ τοῦ μὴ χρεωστουμένου γινομένης ἐρω-
ὅλως σώζεται λαβεῖν ὁ ἐναγόμενος. τότε ὁ λέγων μὴ χρεωστεῖν καταβαλεῖν δείκνυ-
σι καὶ δῆλον τοῦ δεξαμένου ἢ ἑτέραν εὔλογον αἰτίαν καταβαλεῖν· καὶ τότε ὁ μὴ
ποιῶν, καταδικάζεται. ἐν τῷ δ'· ἄνηβος ἢ νέος ἢ γυνὴ ἢ στρατιώτης ἢ ἄπειρος καὶ
ἄγροικος πολιτικῶν πραγμάτων ἢ ἄλλως ἁπλοῦς ἐστιν ὁ δεδωκώς, τότε ὁ λαβὼν
δείκνυσι χρέος εἰληφέναι. εἰ δὲ τὴν ἀρχὴν ὁ δεξάμενος ἀρνήσεται λαβεῖν (?)
[illegible] ἡ δόσις ὁ ἐνάγων· λοιπὸν οὐχ ὁ δεδωκὼς δείκνυσι μὴ χρεωστεῖν δεδω-
κέναι· ἀλλ' ὁ δεξάμενος χρέος λαβεῖν. εἰ μέντοι τις μὴ τὸ πᾶν λέγει καταβα-
λεῖν μὴ χρεωστούμενον· ἀλλὰ μέρος ἢ δεύτερον ἢ προγραφὴν ἐρρηκέναι· αὐ-
τὸς οἷος ἂν εἴη δείκνυσιν· ὁ φησὶ ἐν πᾶσι τούτοις· ἐπιτελεῖ(?) ὅρκον [illegible] καὶ
ὅλης συκοφαντίας δίδοται· καὶ αὐτὸ ἐπιφέρει ταῦτα περὶ καταβολῆς. εἰ γὰρ
λέγοιτο μὴ χρεωστεῖν ποιῆσαι γραμματεῖον καὶ ἔστιν ἀσαφές· ὁ λαβὼν αὐτὸ δεί-
κνυσι χρεωστούμενον. εἰ δὲ ῥητῶς ὁ τὸ γραμματεῖον ἐκτιθέμενος εἶπε τὰς αἰτί-
ας συνεγράψατο· [illegible] ἀναγκάζεται. εἰ μὴ προφανῶς δεῖ γράφειν δεῖ-
ξαι μὴ χρεωστεῖν ὁμολογήσαι. ἐν τῷ δ' τῷ κη' κεφ. τὸ ὄνομα τῶν δικαιωμάτων
δηλοῦνται· πάντα τὰ τὴν ὑπόθεσιν δεικνύντα διὸ καὶ τὰ ἐμμαρτύρια(?) καὶ
οἱ μάρτυρες. τάξιν δικαιωμάτων ἐπέχουσιν. ἐν τῷ δ' τῷ μα' κεφ. ὁ ἐναγόμε-
νος ἀποδείξεσιν οὐ βαρύνεται. ἐν τῷ δ' τῷ νβ' κεφ. περὶ τῶν εἰς εὐθεῖαν ἀναφε-
ρομένων. ἐν τῷ δ' τῷ νζ' κεφ. ἐάν τις προφέρῃ τινὰ γραφὴν· ὀφείλει αὐτὸς αὐτὴν
ἀποδεικνύειν ἀληθῆ. ἐπεὶ εἰ μὴ τοῦτο δείξει· πλαστογραφίας δίκην ὑφέξει.
ἐν τῷ δ' τῷ ξ' κεφ. ὁ ἐν ὑπομνήματι ὁμολογήσας μὴ κεχρῆσθαι συμβολαίῳ.
οὐκέτι αὐτῷ κέχρηται. ἐν τῷ δ' τῷ ξζ'. ἐὰν ὁ ἐναγόμενός τις ἀρνήσεται χεῖ-
ρα ἰδίαν προσφερομένην ἐν γραμματείῳ· ἐν προικὶ ἢ ἐν ἑτέρῳ χάρτῃ.
εἰ δὲ ἀπὸ συγκρίσεως ἐλέγχεται, τουτέστιν αὐτοῦ ἑτέρας προσφερομένης χειρὸς
καὶ αὐτῆς ἐξεταζομένης πρὸς τὴν ἐν τῷ γραμματείῳ κειμένην διδόναι αὐτὸν λό-
γῳ προστίμου, ὁ ἐναγόμενος ὑπὲρ αὐτοῦ τοῦ ψεύδους κδ' νν(?). ἐὰν δὲ ἡ
συμβολαιογράφος(?) πρὶν ἐνεχθῆ πρὸ τοῦ τὸ συμβόλαιον ἐγράφη· ἢ καὶ ἕτεροι τῶν
μαρτυρούντων τὰ ἀληθῆ, τότε αὐτὸν πρὸς τὸ διπλοῦν(?) [illegible] κδ' νν. οὐδὲ
παρρησίαν δύναται ἔχειν πρὸς τὸ αὐθεντεῖν(?) τὴν τῆς ἀναργυρίας παρα-
γραφήν· λέγοντα ὅτι καὶ τὸ συμβόλαιον ἐγένετο· οὐκ ἐδόθησαν τὰ ἐν αὐ-
τῷ γεγραμμένα· ἀλλὰ πάντως καταδικάζεται· καὶ [illegible] αὐτῷ τοῖς
[illegible] καταβληθῇ. ταῦτα δέ, ἐὰν ἐν [illegible] συναλλάγμα-

α

τος. εἰ δὲ ἐπίτροπός ἐστιν ἢ κουράτωρ ἑνὸς τῶν κουρατορευομένων προσώ-
πων· ἄρρην τε ἢ θήλεια κατὰ τὰς διατάξεις ἐπιτροπεύουσα τῶν ἰδίων παίδων. ἐ-
χρέα ἰδίαν προφερομένων ἐν τῷ συναλλάγματι τῶν ἐπιτροπευομένων ἢ κου-
ρατορευομένων ἀρνήσεται. τηνικαῦτα εἰ ἐξ ἀπὸ μόνης συνειδήσεως ἐλεγχθεῖ-
εν ψευδόμενοι. προσέχειν αὐτοὺς τὰ κατὰ νόμον. εἰ δὲ ἐκ προσώπου τῆς συμβολαιο-
γράφου ἢ μαρτύρων. τὴν ἐκ τῆς ἀναργυρίας παραγραφὴν μὴ ἀναιρεῖσθαι τοῖς
ἐπιτροπευομένοις προσώποις ἢ κουρατορευομένοις· οὐ γὰρ ἥμαρτον
ἐκεῖνοι. αὐτοὺς δὲ τοὺς ἐπιτρόπους ἢ κουράτορας. ἑτέρους κατελέγχουσι
λόγῳ προστίμου διδόναι τῷ ἐνάγοντι· ἐχόντων τῶν ἐπιτροπευομένων καὶ
κουρατορευομένων σωζομένην αὐτοῖς τὴν τῆς ἀναργυρίας παραγραφήν· οὐ δὲ
γὰρ δίκαιόν ἐστιν αὐτοὺς ἐξ ἀλλοτρίων ἁμαρτημάτων ζημιοῦσθαι. ταῦτα περὶ
τῶν ἐναγομένων ὑπόθεται ἡ διάταξις. ἔρχεται καὶ ἐπὶ τῶν ἐναγόντων προσώπων κε-
λεύουσα ἵνα ὁ ἐνάγων χρέα ἰδίας ἀρνήσηται. κειμένων ἐν χάρτῃ. καὶ αὐτοῦ
προφερομένου τυχὸν ἐν ἀποληπτικῇ ὁμολογίᾳ καὶ αὐτὸς ὁμοίως ἐλεγχθῇ ἐκ
μόνης συνειδήσεως ἐλεγχθῇ προσάγει τὰ κατὰ νόμον. εἰ δὲ ἐκ προσώπου τῆς συμβο-
λαιογράφου ἢ μαρτύρων. τηνικαῦτα πᾶσι τρόποις ὑπολογίζεσθαι αὐτῷ
τὰ ἐν ἐκείνῃ τῇ ἀποδείξει περιεχόμενα κἂν μὴ ταῖς ἀληθείαις κατεβλήθησαν
ἐπ' αὐτοῦ. ταῦτα ἐὰν οἰκείῳ ὀνόματι ἐνάγηται. ἐὰν δὲ ἐπίτροπός ἐστιν ἢ κου-
ράτωρ δίδωσι ἐκ διπλασίου τὸ ἐπιτίμιον τῶν κατὰ νόμον. ὁ δὲ ἐπιτροπευόμε-
νος ἢ κουρατορευόμενος δύναται ἀντιτιθέναι τῇ ἀποδείξει τὴν ἀναργυρί-
αν. νόει τοίνυν δὲ τὴν συνείδησιν πανταχοῦ γίνεσθαι κατὰ τὴν νεαρὰν διάταξιν τὴν κελεύου-
σαν μεθ' ὅρκου γίνεσθαι τὰς τῶν γραμμάτων συνειδήσεις. εἰ δὲ ὅ φησιν ὁ νόμος, ἐν
τοῖς συναλλάγμασιν ἡ τῶν πραγμάτων ἀλήθεια σκοπεῖσθαι. μᾶλλον ἤπερ τὸ ἔγγρα-
φον. ἀνάγνωθι καὶ τὸ τ΄ τίτλον αὐτοῦ κβ΄ β΄ καὶ τὸ δ΄ ἐν οἷς φησιν. περὶ τῶν προκομιζο-
μένων ἐγγράφων βεβαιώσεως διὰ τῆς τῶν γραμμάτων συνειδήσεως. καὶ διὰ
τῆς τῶν μαρτύρων ὑπογραφῆς καὶ ἑτέρων κοινῶν σημείων. περὶ ὧν πλατύτε-
ρον ἐν τοῖς περὶ βεβαιώσεως ὁρισμοῖς. ἀνάγνωθι β΄ κεφ. τ΄ ε΄ κεφ. ρκε΄ ἐν τῷ φ. ὁ
ὁ λέγων πεπληρωκέναι τὸ χρέος. αὐτὸς ὀφείλει δεικνύειν. λοιπὸν δὲ ἀπόδειξις
ἀναγγέλλεται κατὰ τοὺς νόμους τοῦ γραμματέως. ἀνάγνωθι καὶ β΄ ν΄ τ΄ ια΄ κεφ. ια΄ ἐν τῷ φ.
εἴ τις ἐγκαλοίη πράγματα κατέχειν ἑτέρου φάσκει δὲ οὐκ εἶναι τὰ πράγμα-
τα ἐκείνου περὶ οὗ φ. ὁ διώκων. ἀναγκασθῇ δὲ ὁ τὴν ἐναγωγὴν ποιούμε-
νος ἢ συμβολαίοις ἢ μάρτυσιν. ἢ ἑτέροις προσώποις χρῆσθαι πρὸς τὸ δεῖξαι

εἶναι τὰ πράγματα ἐκείνου καθεστάναι. εἶτα ἐὰν μέλλει παντὸς διαρνηθῆναι ἐκείνου ταῦτα μὴ γενέσθαι, χρὴ αὐτὰ βουληθῆναι τοῖς ἐξ ἐκείνου δικαίοις καὶ φάσκειν ὡς ἐξ ὑποθήκης ἢ ἑτέρων αἰτιῶν εἰς ἐκεῖνο τὸ πρόσωπον ἀναφερομένου. κινεῖσθαι πρὸς ἔστι τὴν δίκην κινοῦντος. αἱ γὰρ οὖν ἄλλαι πᾶσαι φολαζέτωσαν γνῶμαι αἱ τοῖς πρὸ ἡμῶν πραχθεῖσαι. μετρία δέ τις καὶ φιλάνθρωπος. καὶ αὐτὸς τοῦ πράγματος ἐσχηματισμένη ποινὴ τοῖς ἀρνηθεῖσιν ἐπαγέσθω. ὥσπερ γὰρ τῆς περὶ ταῦτα ἀρνήσεως καὶ τῶν τοῦ δικάζοντος πόνων. καὶ γενομένης ἐστὶ τῆς δίκης ἐπὶ τὸ διώκοντα μεταλαβέσθω τῶν πραγμάτων περὶ ὧν ἡ ζήτησις γέγονεν ἢ νομή. ἀλλὰ ἂν ἔχοντος τοῦ ταύτην ἀποδιδόντος. εἶναι δίκαια ἔχοι ἐξ ἐκείνου τοῦ προσώπου περὶ οὗ πρότερον τὴν ἄρνησιν ὑπέμεινε προσήκοντα αὐτὸ ταῦτα προσέχεσθαι. καὶ τοῦ νόμου καὶ τοῦ δικαίου τυγχάνειν. τῆς ποινῆς ἐν μόνῃ τῇ μεταστάσει τῆς νομῆς περιισταμένης. ἀν(άγνωθι) β(ιβλίον) ζ' τ(ίτλον) ια' ἐν φ(ινα)λ(ίῳ). οὐ πάντως ταῖς αἰτίαις. εἴτε διὰ γράμματα ἢ διὰ φιλονεικίαν εἴτε διὰ συμβόλαια εἴτε διὰ τὸ ἕτερον, ἐν ᾧ ἀνάγκη ἀποδείξεως ἔχεται. θεσπίζομεν μὴ ἄλλως τὰς αὐτὰς ἀποδείξεις παρέχειν ἀναγκάζεσθαι εἰ μὴ πρότερον ὅστις ταύτας ἀπαιτεῖ ὅρκον περὶ συκοφαντίας παράσχῃ ὁ βουλόμενος ὑποβάλλεσθαι τὴν δίκην τῆς τοιαύτας προσέθηκε δικαιολογίας. καὶ γὰρ τῷ φόβῳ τοῦ ὅρκου ἡ ἄμετρος φιλονεικία τῶν δικαζομένων ἐνστάσεις κατέχεται. ἵνα μὴ γὰρ προπετῶς εἰς βάσανον οἰκέτας τινὲς χρειζόμενοι τὴν τοῦ ἰδίου λογισμοῦ ὠμότητα ἐπιμενάζωσι. μὴ ἄλλως αὐτοῖς συγχωρεῖσθαι οἵτινες τὴν βάσανον αἰτοῦσι τοὺς οἰκέτας εἰς τοῦτο ἐλθεῖν ἢ ἐκ τοῦ δικαστοῦ αὐτοῖς ἀκοῦσαι εἶναι. εἰ μὴ πρότερον καταφανεῖεν ὑπὸ ἐναντίων γραφῶν καταδουλεῖται. ὅτι οὐ μόνον τῶν οἰκετῶν ἢ διὰ τὰ νακλῆσιν τῶν συγκληρονόμων εἰς τοῦτο ἦλθον. ἀλλ' ὅπου δὴ ἄλλως τῶν πραγμάτων τῶν κληρονομιαίων τὴν ἀλήθειαν ζητῆσαι ἢ ἀπόδειξιν μὴ δύναιντο. ἀν(άγνωθι) β(ιβλίον) να' τ(ίτλον) α' κεφ(άλαιον) κϛ'. ἀν(άγνωθι) καὶ τὸ περὶ ἀναγκαζομένων μαρτύρων τ(ίτλον):

ιϛ' Περὶ ἀπολέσαντος τὸ δοθὲν αὐτῷ. ἀν(άγνωθι) β(ιβλίον) κδ' τ(ίτλον) δ' κεφ(άλαιον) ιε' ἐν ᾧ φησιν:

Ἐὰν παρέχω σοι διατετιμημένον πρᾶγμα, ἐφ' ᾧ ἢ αὐτὸ ἀποκαταστῆσαι ἢ τὸ τίμημα. καὶ ἀπόληται παρ' ὑμῖν ἢ πραθῇ. ἔχω τὴν περὶ τῶν προγεγραμμένων συμφώνων ἀγωγήν. καὶ ἐὰν ἐγὼ σε παρεκάλεσα λαβεῖν, ἐμός ἐστιν ὁ κίνδυνος· εἰ δὲ σὺ παρεκάλεσας, σός. εἰ δὲ μηδέτερος, δόλον καὶ

ἀμελήσαντα ζητῆσαι. Καὶ κεφ. ιθ΄. Ἐὰν βουλομένου τινὸς ἀγοράσαι
ὁ τεχνίτης ἀπατῶν ἐάσῃ πρᾶσαι καὶ ἀπαρεσθεὶς πέμψῃ διὰ δούλου τὸ
καὶ ἀπὸ δούλου τε καὶ ἀμελείᾳ ὁ τεχνίτης ζημιοῦται· καὶ αὐτὸ γὰρ
χάριν ἐπέμφθη. εὑρέθη γὰρ καὶ ἀπὸ ἀμελείας τῶν λαβόντων αὐτὸ πρᾶγμα τὸ
διακομίζεσθαι. ἁρμόζει οὖν ἡ τῶν προγεγραμμένων συμφώ-
νων ἀπαίτησις. Καὶ κεφ. κβ΄ ἐν τῷ αὐτῷ. Τῶν δακτυλίων τὸ λαβὼν ἐπὶ τῷ ἰδεῖν·
καὶ ἐξέπεσεν ἐπὶ τοῦ ποταμοῦ, ἀνέχομαι τὴν ἀπαίτησιν:

περὶ τῶν ἀποκλειομένων ὡς ἀχαρίστων καὶ ἀναξίων τοῦ ἐαθέντα αὐ- νζ
τοῖς κλήρου ἢ λεγάτου· ἢ καὶ τὰ παρανόμως αὐτοῖς καταλειφθέντα
ἢ δωρηθέντα. αὐτ. β΄ ξ΄ τ΄ μβ΄. ὁ σελινος ἐν τῷ α΄ κεφ. φησίν:

Ὁ κατὰ τοῦ ἰδίου πάτρωνα τελευτήσαντα καταμηνύσας ὡς ἀθέμιτα πραγματευσά- περὶ ἐνεχύρου ἀπολείας ζήτησον ἐν τῷ περὶ ἐνε-
μενον, ἐκπίπτει τοῦ λεγατευθέντος αὐτῷ. εἰ καὶ ὑπαίτιον ἔλαβεν. Ἐν τῷ α΄ χύρου:
β΄ κεφ. δημοσιεύεται ἡ κληρονομία· ὅταν ἀμφισβητοῦντες παῖς αὐτῆς τὴν ἐναν-
τίωσιν τῆς διαθήκης. ὑπεισήχθη τὴν τοῦ ἀδελφοῦ κληρονομίαν ἀπὸ τῆς ὀρ-
φανικῆς αὐτοῦ ὑποκαταστάσεως· ἢ ὅτε χρεωστῶν τις ὀφφίκιον ἐν ἐπαρ-
χίᾳ παρανόμως ἐξ αὐτῆς ἀπαιτεῖται· ἢ ἐπὶ ἔπος τὴν ἐπικοπευθῆναι.
δημοσιεύεται τὸ ἐκ διαθήκης αὐτῆς αὐτῷ προσποριστέον. ἐκ τοῦ ἐναντίου.
αὐτοὶ παρ' αὐτῶν καταλειφθέντων αὐταῖς. οὐκ ἐκπίπτουσιν. Ἐν τῷ θ΄ κεφ.
Ἐὰν ἔχθρα κεφαλικὴ μεταξὺ τοῦ λεγαταρίου καὶ τοῦ διαθεμένου γέ-
νηται· ἢ φανερῶς αὐτὸν ὑβρίσῃ· ὡς δῆλον εἶναι τὸν διαθέμενον μὴ θέλοντα
τοῦτον αὐτὸ τὸ λεγάτον, οὐκ ἀπαιτεῖται. Καὶ ὁ περὶ καταστάσεως κινῶν· ἐκπίπ-
τει τῶν ἐν τῇ διαθήκῃ. ἐφ' οὗ χώρα τῷ δημοσίῳ. Ἐν τῷ ιγ΄ κεφ. Ἐὰν ἐπὶ
μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀπαιτῶμαι αὐτήν. εἰ καὶ μὴ αὐτὴ κατε-
δικάσθη, οὔτε ὅλως ἔρρωται· ἀλλὰ καὶ κληρονόμον αὐτὴν γράψω. ἢ αὐ-
τὴ ἐμέ. δημοσιεύεται ἡ κληρονομία. Ἐν τῷ κ΄ κεφ. Καὶ ὁ ἀνὴρ μὴ ἐκδι-
κῶν τὸν θάνατον τῆς γυναικὸς ἀφαιρεῖται τὴν προῖκα· καὶ ὁ πάτρων μὴ ἐκ-
δικῶν τὸν ἀπελεύθερον, ἐκπίπτει τοῦ ἁρμόζοντος αὐτῷ πατρωνικοῦ μέ-
ρους. ἐπειδὴ πάντας τοὺς κληρονόμους καὶ τοὺς ἀνάξιους κληρονομεῖν ἐκ-
δικήσαντας. Εἰσὶ δὲ περὶ τὴν ἐκδίκησιν τοῦ τελευτήσαντος. αὐτ. β΄ λε΄ τ΄ ιϛ΄
κεφ. ιε΄ ἐν τῷ αὐτῷ. Τοῦ μὴ ἐκδικοῦντος κληρονόμου τελευτήσαντος καὶ μὴ ἐκ-
δικήσαντος· καὶ ἡ κληρονομία καὶ τὸ λεγάτον ἀφαιρεῖται· κατὰ πάντων γὰρ τῶν
ὁπωσοῦν κληρονομούντων ἐστὶν ἡ ἀφαίρεσις· κἂν ὦσι πάτρωνες. Καὶ

κεφ. κη' καὶ κθ' ἐν τοῖς θεμ. ὅτι οἱ κληρονόμοι μὴ ἐκδικήσαντες τὸν φόνον
τοῦ βιαίως τελευτήσαντος κληροδότου, ἀποδιδόασι τὰ πράγματα καὶ τοὺς
καρπούς. οἱ γὰρ καὶ ἐπὶ στρ. νομεῖς, μόνοι τοὺς καρποὺς κερδαίνουσιν. οὗ-
τοι δὲ οὐκ εἰσίν· ἐπειδὴ ἐάσαντες προλήψασθαι τὸ πρέπον τῇ εὐσεβείᾳ πρᾶγ-
μα. αὐτ. καὶ κεφ. λ'. μετὰ τοῦ λη' κεφ. ἐν τῷ θ. κεφ. ὅτι ὁ τὸν μισθὸν κι-
νήσας καὶ ἐξ ἀποφάσεως ἡττηθεὶς ἀπόλλυσι θ. ἐν ἐ-
κείνῃ τῇ διαθήκῃ. ὁ δὲ ἀρξάμενος ἀπόλλυσιν. αὐτ.
καὶ β' ξ' τ' ε' κεφ. κβ' ἐν τῷ θ. Ἐὰν ὁ κληρονόμος
ὑποσχεθῇ τῇ κληρονομίᾳ περὶ ἧς στ. δημοσιεύεται ἡ κλη-
ρονομία. αὐτ. καὶ β' μα' τ' α' κεφ. ριε' ἐν τῷ θ. περὶ νόμου
ἀπαιτεῖται τὴν ἐπιτροπευθεῖσαν περιουσίαν. διαθήκης αὐτῆς,
οὐ δημεύεται. αὐτὴ δὲ ἐκ τῆς αὐτοῦ λαμβανέτω. αὐτ. καὶ τ' β' κεφ.
κδ'. ἐν τῷ θ. τοῦ ἀνδρὸς μὴ ἐκδικοῦντος τὸν φόνον τῆς γυναικὸς, ἡ προὶξ
καθ' ὃ τὸν αὐτῇ διαφέρει δημεύεται. αὐτ. καὶ β' ξ' τ' να' κεφ. ις' ἐν τῷ θ.
ἀντὶ μὴ γεγραμμένου ἐστὶ τὸ καταλιμπανόμενον ἐν διαθήκῃ τοῖς ὑπευ-
θύνοις τιμωρίας :—

τη' περὶ ἀπόντων καὶ ἀναζητουμένων ὡς ἐπὶ ἐγκλήματι κατηγορου-
μένων. αὐτ. β' ξ' τ' μθ' οὐδενὸς ἐν τῷ α' κεφ. φησίν :—

Ὁ ἀπὼν τις οὐ καταδικάζεται μεγάλῳ ἐγκλήματι. τυχὸν ἐπιτάσσοντι ποινὴν
κεφαλικὴν ἢ εἰς ἔργον μετάλλου. ἀλλὰ γίνεται ἀναζητούμενος περὶ γράμ-
ματος προτεθειμένου. ἵνα τοῦτο γνοὺς ἤδη καὶ ἑαυτὸν καθάρῃ. γίνονται δὲ
καὶ γράμματα παρὰ τῶν ἀρχόντων πρὸς τὸν ἄρχοντα τῆς ἐπαρχίας ἐν ᾗ δια-
τρίβει ὁ ἀναζητούμενος. καὶ διὰ τοῦτο ἐν ἐσχάτοις γίνεται. ἀφ' οὗ δὲ γνῷ τὸν ἐνιαυ-
τὸν ἔχει πρὸς τὸ ἑαυτὸν καθάραι. καὶ ἐὰν ἔσω τοῦ ἐνιαυτοῦ ἤδη καὶ ἀποθά-
λίσηται ἢ ἀποθάνῃ· οὐ δημεύεται ἡ οὐσία αὐτοῦ. ἀλλὰ τοῖς κληρονόμοις
ἁρμόζει. ἐν τῷ δ' θ. ε' κεφ. ὁ ἐπὶ βαρυτάτοις ἐγκλήμασιν ἐνεχόμενος ἢ
ἀπολιμπανόμενος· οὐ καταδικάζεται ἀπών. ἀλλὰ γίνεται ἀναζητούμε-
νος. καὶ ἐὰν ἐντὸς ἐνιαυτοῦ παραγένηται καὶ ἀποδείξῃ ἑαυτὸν ἀνεύθυνον,
παραλαμβάνει τὰ ἴδια πράγματα κείμενα τοῦ δικαστοῦ σφραγισθέντα. ὅτι
καὶ μεταβάντα ἐκ καὶ ... ἐκάθηρεν ἑαυτὸν τοῦ ἐπιφερομένου ἐγ-
κλήματος. ὅμως ἐὰν τελευτήσῃ, εἰς τοὺς κληρονόμους τοὺς ἰδίους παρα-
πέμπει τὴν ἰδίαν οὐσίαν. εἴτε ἐπὶ πολλοῖς ἐξ ἐκείνης τῆς ἡμέρας ἐξηκ-

α'

ὑπεύθυνος γίνεται ἐν δικαστηρίῳ ὡς ἡττηθείς. εἰ δὲ ἐν αὐτῷ διαστήμα-
τα μὴ βουληθῇ παραγενέσθαι ἐν τῷ δικαστηρίῳ καὶ τὰ πράγματα τῷ δη-
μοσίῳ διεκδικηθῶσι. καὶ μετὰ ταῦτα εὑρεθείς. ὑπεύθυνος δὴ κατα-
ληφθείς, αὐστηροτέρα ἀποφάσει ὑποβαλλέσθω. εἰ δὲ καὶ χείροσι φανεροῖς
καὶ ἀποδείξει διὰ τοῦ τὴν ἀθωότητα τὴν ἰδίαν καθαρὰν ἀπουσίας. μη-
δὲν ἧττον αἱ ὑποστάσεις αὐτοῦ παρὰ τῷ δημοσίῳ μενέτωσαν. ἀνάγνωθι ἑβ' δ'
τ' α' κεφ. ρμε' ἐν τῷ θέματι. ὁ αὐτὸς ὅτι ἐγκλήματι γενόμενος ἀνα-
ζητούμενος τελευτήσῃ, τὰ πράγματα αὐτοῦ τοῖς κληρονόμοις αὐτοῦ διαφέρουσιν:

Περὶ τοῦ ἀποσπῶντος βίᾳ ἢ δόλῳ τὸν καλούμενον εἰς δικαστή- νθ'
ριον ἢ καὶ ἐμποδίζοντα. ἀνάγνωθι β' ζ' τ' ιγ'. ὁ αὐτὸς ἐν τῷ ε' κε-
φαλαίῳ φησί:

Ὁ ἀποσπάσας οὔτε διαφέρον δίδωσιν. ἀλλὰ τὴν γενομένην παρὰ τοῦ ἐνά-
γοντος τῆς δίκης διατίμησιν διὰ τῆς ζημιούσης αἰτίας. κἂν κατὰ συκο-
φαντίαν ἐνάγεται. ὀφείλει δὲ δηλοῦναι ὁ ἐνάγων. ὡς διὰ τὸ ἀποσπασθῆ-
ναι οὐ πάρεστιν ὁ κληθείς. ὁ γὰρ πάρεστιν. ἀργεῖ ἡ ποινή. αὕτη ἡ ζημιωτικὴ ἀ-
γωγὴ καὶ πολλῶν πλημμελησάντων, καθ' ἑκάστου δίδοται. καὶ μόνος ὁ ἀπο-
σπασθεὶς ἐνεχόμενος, οὔτε κληρονόμοις δίδοται. οὔτε διαφέρει αὐτοῖς. οὔ-
τε δὲ κατ' [illegible] αὐτῶν. οὔτε μετ' ἐνιαυτὸν δίδοται. ἀνάγνωθι καὶ τ' ιε' κεφ. ε' ἐν
τῷ θέματι. ὅτι δι' ἑαυτοῦ ἢ δι' αὐτοῦ προσκόπτων ἢ δι' ἑτέρων ἀγνοούντων
ἢ γινωσκόντων. δολερῶς ἐμποδίσας τινὰ ἐλθεῖν εἰς τὸ δικαστήριον. ὑπό-
κειται τῷ νόμῳ. δόλου δὲ πολ. καὶ ὁ τῷ ἀπερχομένῳ εἰς δίκην ἀγγείλας τι-
σὶ γνοῦ καὶ οὕτως ἐμποδίσας:

Περὶ ἀποστατῶν τῶν ἀφισταμένων τῆς ὀρθοδόξου πίστεως. ἀνάγνωθι β' ξ'
ξ' τ' ια' κεφ. κ' ἐν τῷ θέματι φησίν:

Ὁ ἀπὸ χριστιανῶν ἰουδαῖος γενόμενος δημευέσθω. ἀνάγνωθι καὶ κεφ. κα' καὶ κβ'
ἐν τῷ θέματι. ὁ τὸ προσιόντας τὸ ἅγιον βάπτισμα οὐ μαρτυρεῖ οὔτε διατίθεται
οὔτε ἄλλου διαδέχεται. ἀποστάτης γὰρ νοεῖται. ἀνάγνωθι καὶ κεφ. κγ' ἐν τῷ θέματι.
ὁ τὴν ὀρθόδοξον πίστιν καταλείπων. μήτε διατίθεσθαι. μήτε δωρεῖσθαι. μή-
τε διὰ πράσεως ἢ κοινωνίας εἰς ἀπάτην τοῦ νόμου φερέτω. διαδεχέσθω-
σαν δὲ αὐτὸν ἐξ ἀδιαθέτου μόνοι χριστιανοὶ συγγενεῖς:

Περὶ ἀργυροπρατῶν καὶ τῶν περὶ αὐτοὺς συναλλαγμάτων. ξα'
ἀνάγνωθι β' κγ' τ' δ'. ὁ αὐτὸς ἐν τῷ δ' κεφ. φησίν:

ἀνάγνωθι καὶ νεαρὰν ρλς'
ἐν ᾗ καὶ περὶ τό-
κων φη. ἀνάγνωθι β' τ'
περὶ τόκων:

Ἐπειδὴ δὲ νόμον ἐθέμεθα μὴ περαιτέρω τοὺς ἀρξαμένους τῆς ἀπὸ ἐξῆς πεντάδας διμοιραίου τόκου δανείζειν, ἐδιδάχθημεν δὲ ὅτι καὶ ἀγράφως δανείζουσιν· ἀγνωμονοῦνται δὲ περὶ τὸν τόκον ὡς μὴ ἐγγράφου γενομένου τοῦ δανείσματος· μὴ δὲ ἐπερωτήσεως παρενεχθείσης. τοῦτο δὴ τὸ δημῶδες τὸ μὴ προσήκειν ἀνεπερώτητον τρέχειν τόκον· καίτοιγε πολλῶν ὄντων θεμάτων· ἐφ' ὧν ἐπ' ἀνεπερώτητοι τόκοι καὶ ἐκ συμφώνου μόνου κινοῦνται· ἔστι δὲ ὅτε ἐκ συμφώνου ἀλλ' αὐτομάτως ζητούμενοι· ὅμως ἀπαιτοῦνται· διὰ τοῦτο θεσπίζομεν μὴ μόνον τὸν ἐξ ἐπερωτήσεως αὐτοῖς δίδοσθαι τόκον· ἀλλὰ καὶ τὸν ἐξ ἀγράφων, τοιοῦτον· ὁποῖον ὁ νόμος αὐτοῖς δίδωσιν ἐπερωτῶν, τουτέστι τὸν ἐκ διμοιραίου τῆς ἑκατοστῆς. τοὺς γὰρ πᾶσι σχεδὸν τοῖς δεομένοις ἑτοίμως ὄντας βοηθεῖν· οὐκ ἂν εἴη δίκαιον ὑπὸ τοιαύτης ἀδικεῖσθαι λεπτότητος:

ξϛ'

Περὶ ἁρπαγῆς παρθένων τε καὶ χηρῶν· καὶ καθιερωμένων· καὶ μεμνηστευμένων· εὐγενῶν τε καὶ ἀπελευθέρων· εἴτε μεθ' ὅπλων ἡ ἁρπαγὴ γένοιτο· εἴτε χωρὶς ὅπλων· ἐπεὶ τῶν συνεργούντων αὐτοῖς καθ' οἱονδήποτε τρόπον· ἐν τῇ τοιαύτῃ ἁρπαγῇ· αὐθ' ἐξ τοῦ ῥητοῦ ὄντινος ἐν τῷ α κεφαλαίῳ φησίν:

Οἱ ἁρπάζοντες γυναῖκα ἢ μεμνηστευμένην ἢ ἀμνήστευτον ἢ χήραν· εἴτε εὐγενής ἐστιν εἴτε δούλη· εἴτε ἀπελευθέρα· καὶ μάλιστα ἐὰν ἀφιερωμέναι ὦσιν αἱ γυναῖκες καθιερωμέναι· νομίμως τιμωρείσθωσαν· τουτέστιν οἱ μὲν μεθ' ὅπλων ἢ τοι ξιφῶν ἢ ἐπαγωνίων τὴν ἁρπαγὴν ποιήσαντες· οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν· οἱ δὲ συνυπουργήσαντες αὐτοῖς ἢ συμπράξαντες· ἢ ἐκόντες ὑποδεξάμενοι· ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες· λυπούμενοι καὶ κουρευόμενοι· ἐξοριζέσθωσαν· εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ποιήσωσιν· οἱ τὴν ἁρπαγὴν ποιήσαντες ῥινοκοπείσθωσαν· οἱ δὲ βοηθήσαντες τοῖς τοιούτοις ἐν τῇ ἁρπαγῇ ἢ συμπράξαντες· ἢ συμπαρελθόντες· ἢ ἑκόντες ὑποδεξάμενοι· ἢ οἱανδήποτε σπουδὴν αὐτοῖς εἰσενεγκόντες· τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν. εἰ οὖν ἐν αὐτῇ τῇ ἁρπαγῇ εἷς ἐκ τούτων καταληφθῇ· ἢ παρὰ τῶν γονέων τῶν γυναικῶν· ἢ παρὰ τῶν ἀδελφῶν ἢ τῶν ἐπιτρόπων· ἢ κουρατόρων· ἢ πατρώνων ἢ δεσποτῶν, ἢ ἐλευθερωτῶν φονευέσθωσαν αὐτοχειρί· μάλιστα τὰς τεταγμένας γυναῖκας ἐπιχειρήσαντες ἁρπάζειν· ὅθεν αὐτοὶ λέγομεν ... σαντες ἰδίαν ἥρπασαν· εἰ δὲ οἰκειωθῶσιν οἱ τοιοῦτοι φυγῇ· καὶ οἱ ἐν κοινῷ γενόμενοι καὶ οἱ ἐν τάξει χώρας ἄρχοντες

αὐθεντίας καὶ νῦν μετ' ἐνεργείας ἐν ταῖς μέσαις περὶ τῶν ἁρπαζόντων ἢ ὑπονοθευόντων καὶ ὑποφθειρόντων ἀσκητρίαν· ἢ διακόνισσαν· ἢ ἄλλην γυναῖκα οἱ λαβόντες βίον ἢ σχῆμα ἐμονάζον: 

α′

καὶ στρατηλάται ἐκδικείτωσαν          νόμιμον καλέσουσιν αὐτοὺς καὶ μνηστευ-
μένοι· καὶ μὴ συγχωρούντων          καλεῖσθαι· καὶ ἐὰν δοῦλαι ὦσιν αἱ ἁρπα-
γεῖσαι ἢ ἀπελεύθεραι· οἱ ἁρπάσαντες ὑποκείσθωσαν τῇ τοῦ νόμου ποινῇ· οὐ
μόνον τε οἱ          ζημιούσθωσαν· εἰ δὲ καὶ εὐγενεῖς εἶεν. τὰ πράγματα τῶν
ἁρπασάντων καὶ βοηθησάντων αὐτοῖς τῆς δεσποτείας αὐτῶν γινέσθωσαν πεπονθυί-
ας τῶν ὑποδεχομένων καὶ τῶν γονέων εἰς προῖκα· ἢ ἐὰν μὴ βουληθῶσι γαμεῖσθαι· κα-
τεχέτωσαν τὰ πράγματα· μὴ ἐξέστω δὲ τῇ γυναικὶ αὐτὸν τὸν ἁρπάσαντα
ἄνδρα λαβεῖν· μηδὲ τοῖς γονεῦσιν αὐτῆς τοῦτο αὐτῇ κηδεύειν· αἱ δὲ τιμωρίαι
τῆς [illegible]· ἔστωσαν κατ' αὐτῶν ἁρπασάντων καὶ τῶν βοηθησάντων αὐτοῖς ἐν τῇ ἁρ-
παγῇ· οἱ μόνοι τε συνελθόντες καὶ οἱ ὑπαρελθόντες· καὶ οἱ ὑποδεξάμενοι οἱ-
ανδήποτε τρόπον αὐτοὺς ἀσυνειδήτως, τῇ εἰρημένῃ τιμωρίᾳ ὑποκείσθωσαν.
εἴτε βουλομένων τῶν γυναικῶν εἴτε μὴ βουλομένων ἡ ἁρπαγὴ γένηται. καὶ
οἱ γονεῖς δὲ τῆς γυναικὸς καὶ ἀνεξικακήσαντες τιμωρείσθωσαν. εἰ δὲ δοῦ-
λος εὑρεθῇ ἐν τῷ πράγματι καιέσθω. πασῶν τῶν ἄλλων τιμωριῶν χωρὶς ὄν-
των. ἐν δὲ [illegible]· ἐὰν ἡ ἁρπαγεῖσα ἀσπάσηται τὸν τοῦ ἁρπάσαντος αὐτὴν γά-
μον. καὶ οἵας δήποτε αἱρέσεως ἢ ἡλικίας εἴη μὴ συναινούντων τῶν γονέων αὐ-
τῆς. προῖκα οὐ λαμβάνει ἐκ τῶν τοῦ ἀνδρὸς πραγμάτων. ἀλλ' ὁ συναινέ-
σας γονεύς. κἂν μὴ εἴη λαμβάνει αὐτά. ἀθέμιτος γάρ ἐστιν ὁ τοιοῦτος γάμος.
εἰ δὲ οἱ γονεῖς αὐτῆς ἐλευθέρωσαν ἢ μεταβοῦλε συναίνεσιν. τότε ἐκδικεῖται ἡ οὐ-
σία τοῦ ἁρπάσαντος. οὐ μὴν ἀλλὰ καὶ τὰ αὐτῆς πράγματα. ἀν[illegible] καὶ [illegible]          ἀν[illegible] β′ κα τ ζ κε[illegible] ὑπὲρ εὑρέσεως λεγει ἐς τὸ περὶ γάμου λύσεως:
[illegible] ἐν [illegible]. ἡ ἁρπαγὴ μείζων ἐστὶ τῆς μοιχείας. καὶ ὁ ἁρπάσας τεταμιευμένην νο-
μίμως τιμωρεῖται. καὶ ἐξωτικοῦ καταφρονοῦντος. ἐὰν ὅλης κόρης παρθένου
κληθεὶς συνεχώρησε καὶ οὔτε αὐτὴν ἐκείνῃ ἡ τῆς πενταετίας παραγραφή. ἀν[illegible] καὶ
β′ [illegible] τ α κε[illegible] ις ἐν [illegible]. εἴτε ἁρπάσει ἢ ὑπονοθεύσει ἢ διαφθείρει ἀσκή-          εἰ ὅτε [illegible] ἁρπαγὴ οὐκ αὐτὴν ἐκείνῃ ἡ τῆς πενταετίας παραγραφή:
τριαν ἢ διακόνισσαν ἢ ἄλλην οἱανοῦν γυναῖκα διὰ [illegible] βίου ἢ σχῆμα ἔχουσαν.
τὰ τούτου πράγματα καὶ τῶν τοῦ τοιούτου μόνος αὐτοῖς μεταφορούντων ἐκ [illegible]
[illegible]          ἐν [illegible] ἡ τοιαύτη γυνὴ ᾤκει διὰ τῶν [illegible] τόπου ὁσιωτάτων
τῶν οἰκονόμων αὐτῶν. οὐ μὴν ἀλλὰ καὶ τῶν ἑκάστης ἐπαρχί-
ας αὐτῶν τάξεων ἐκδικείσθαι:

Περὶ τῶν ἁρπαγὰς ἐξ ἐφόδου ποιουμένων. εἴτε ἀπ' ἀγροῦ. εἴτε ἐξ ἐμ-          ξγ′
πρησμοῦ ἢ καταπλεύσεως. ἀν[illegible] β′ ξ τ ε κε[illegible] ἐν [illegible]:

Ἐάν τις ἀπὸ ἐμπρησμοῦ ἢ ναυαγίου ἀφαιρεῖται ἢ [illegible]. τῇ ποινῇ τοῦ διπλοῦ ὑποκεί-

νου δὲ τετραπλασίου κατέχεται· μετὰ δὲ τὸν ἐνιαυτόν. τῇ ἰδίᾳ
εἰς τὴν ἁπλῆν ποινήν. ἀνάγνωθι καὶ τὸ ιζ'. δὕτινος ἐν τῷ α' κεφ. τῶν. ἔστιν
ἀφανής. καὶ πρῶτα μὲν ἡ περὶ βιαίας πραγμάτων ἁρπαγῆς
ἀναιρεῖται τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγήν. ζητεῖται δὲ εἰ
ἐπὶ τῶν πειρατῶν. οὐ μόνος ὁ ἁρπάζων ἀλλὰ καὶ ὁ συνάγων ἀνθρώπους
ἐπὶ τῷ ζημιωθῆναι ἢ ἁρπαγῆναι δόλον ποιεῖ. καὶ ὁ λεγόμε-
νος τις ἐξ ἄλλου συναχθῆναι· εἴτε δὲ πολλοὺς συνάξει. εἴτε μόνος ποιήσει τὴν
βίαν. εἴτε εἴτε ἐλευθέρους· εἴτε ἀνόπλους εἴτε ἐνόπλους. χώρα γὰρ
διατάγματι. καὶ ὁ μὴ συναχθεὶς ἀλλ' εὑρεθεὶς μεταξὺ τῶν συναχθέντων. ζημι-
ώσας ἢ ἁρπάσας. ἐνέχεται. νου ἐὰν αὐτὸς ὁ ἐναγόμενος συναγαγὼν ἁρ-
πάσῃ. ἀλλὰ καὶ ἐὰν δόλον ποιήσῃ ἐφ' ᾧ ἄλλον ἁρπάσαι ἢ ζημιῶσαι. κἂν
ὑφ' ἑτέρου συνήχθησαν. περιέχονται δὲ καὶ οἱ συνάγοντες καὶ οἱ συναχθέντες. δὲ
ἐντὸς ἐνιαυτοῦ τὸ ἀληθὲς τοῦ πράγματος τίμημα τετραπλασιάζεται. οὐ μὴν τὸ
διαφέρον. ἐν δὲ τῷ ϛ' κεφ. καὶ ὀνομαστὶ φαμιλίας κινεῖται. καὶ οὐκ ἀναγκάζε-
ται δεῖξαι τίνες ἐκ τῆς φαμιλίας εἰσὶν οἱ ἁρπάσαντες ἢ ζημιώσαντες. ἐν δὲ τῷ ζ'
κεφ. ὁ ἅρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς πρὸ τῆς δίκης περιδοὺς τὸ πρᾶ-
γμα. ἀνάγνωθι καὶ τὸ ιη'. δὕτινος ἐν τῷ ϛ' καὶ ζ' κεφ. τῶν. καὶ ὁ ἁρπάζων ἐξ ἐμ-
πρησμοῦ πλὴν ὕλης. καὶ ὁ προφασιζόμενος ἔνοπλος εἰς ἐμπρησμὸν ἐπὶ τῷ ἁρ-
πάσαι ἢ κωλῦσαι τὸν δεσπότην σῶσαι τὰ ἴδια. καὶ ὁ μεθ' ὅπλων ἐκβαλὼν τὸν νο-
μέα ἐκ τοῦ οἴκου ἢ ἀγροῦ. τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται. ἔστι δὲ
καὶ ἡ καταδίκη αὐτῆς ἡ εἰς μέταλλον διηνεκὴς ἐξορία. ἐν δὲ τῷ ια' κεφ. ὅ-
μοιόν ἐστι τὸ ἁρπάσαι καὶ τὸ ὑποδέξασθαι τὰ ἁρπαγέντα εἰδότως. ἀνάγνωθι
τὸ κ'. δὕτινος ἐν τῷ α' κεφ. τῶν. ὅτε ἀπὸ ἐμπρησμοῦ ἢ καταποντώσεως ἁρπάζων.
ἢ κατὰ δόλον ὑποδεχόμενος ἢ ζημιῶν. ἐντὸς μὲν συναπτοῦ ἐνιαυτοῦ. εἰς τὸ τετρα-
πλοῦν. μετὰ δὲ τὸν ἐνιαυτὸν. εἰς τὸ ἁπλοῦν ἐνέχεται. ἁρμόζει δὲ ἡ ἀγωγὴ ἐκ
δόλου καὶ φαμιλ. ἁρμόζει δὲ ἐπὶ τῇ ληιματικῇ ὑπεξαιρέσει. καὶ ὅτε ἀπὸ
ἐμπρησμοῦ δοκεῖ λαμβάνειν. ὁ κατὰ πρόφασιν τοῦ ἐμπρησμοῦ λαμβάνων.
καὶ ἐκ τῶν πορθουμένων οἴκων. καὶ ἐν πολέμῳ γὰρ ἐμπολῆσθαι λέγομεν.
τὸ κατὰ πρόφασιν τοῦ πολέμου ἀπολλύμενον. ὁμοίως ἐπὶ καταποντώσεως.
ἐν δὲ τῷ ιγ' κεφ. ὅτε τὸ ἐκεῖθεν ἀπὸ ἐμπρησμοῦ καὶ καταποντώσεως. καὶ τὸ ἐν
ἄλλῳ τόπῳ κλέψας ἢ ἁρπάσας. καὶ κλέπτης καὶ ἅρπαξ ἐστί. μάλιστα . .
. . . σεπτο... ηται. ἀνάγνωθι τὸ να' κεφ. κη' ἐν τῷ τῶν. οἵτας ἐφόδους . .

ἃ τὸ πραιδεῦσαι· ἐοίκασι τοῖς λῃσταῖς. Καὶ ἐὰν τοῦτο ποιοῦ-
σι καὶ πολλάκις καὶ ἐν ταῖς ὁδοῖς, τῇ κεφαλικῇ κολάζον-
ται ἐξορίζονται ἢ περιορίζονται. ἀνάγνωθι καὶ βιβ. νϛ τίτ. ζ τοῦ μηνὸς ἐν φ' κεφ.
σχόλ. ἢ πλοίου πορθηθέντος ἁρπάζων. ἢ κατὰ δόλον ὑποδεχ-
όμενος· ἐντὸς μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν ἐνέχεται· μετὰ
τὸ ἁπλοῦν· ἁρμόζει ἡ ἀγωγὴ κατὰ δόλου καὶ φαμιλ.
τικὴ διεξήγευσις· χώρα γὰρ ὑπὸ νόμου ἐὰν κατὰ τὸν χρόνον ἐν φ' τὸ να-
ναγίου γένονεν, ἀφήνηται· κατέχεται δὲ δε ἀπὸ ναυαγίου. ἐν δὲ
δὲ μετὰ κεφ. ὁ ἁρπάζων τι ἀπὸ ναυαγίου· καὶ ὁ ἤλαβων ἀπὸ ναυα-
γίου καὶ κρύψας· εἰς τὸ τετραπλοῦν τῆς οὐσίας διανέλαι. συγκλητικὸς ἢ ἄρ-
χων γίνεται· ἢ ἄλλην μετέρχεται τιμήν· ἀπὸ τιμωρεῖται:

περὶ ἀρραβώνων· ἀνάγνωθι βιβ. κβ τίτ. α κεφ. οδ ἐν φ' σχ: ξδ

Τοὺς ἔχειν σιωπηρῶς τεταγμένην· ἵνα εἴτε ὁ δεδωκὼς μὴ πληροῖ πᾶσι τοῖς ὅροις ἐκπίπτῃ τῶν ἀρραβώνων. εἴτε ὁ λαβὼν σι τοῖς ὅροις διπλάσιον ἀποδίδωσι:

— περὶ ἀρραβώνων μνηστ. ἀνάγνωθι καὶ τὸ περὶ μνηστείας τίτ.:

— περὶ ἀρχόντων συγκλητικῶν τε καὶ ἀξιωματικῶν καὶ παντοίων ὀφφικίων· καὶ περὶ τάξεων καὶ προνομίων αὐτῶν καὶ καθέδρων, καὶ περὶ παίδων αὐτῶν καὶ γαμετῶν. ἔτι περὶ συνέδρων αὐτῶν· καὶ ὅτι οἱ ἄτιμοι καὶ αἰσχροὶ οὐ γίνονται συγκλητικοί· καὶ ὅπως ὀφείλει ἕκαστος αὐτῶν διαπρέπειν· ἐν αἷς ἄρχουσιν ἐπαρχίαις. ἀνάγνωθι βιβ. ϛ τίτ. α τοῦ μηνὸς ἐν φ' ζ κεφ. φησίν: ξε

Αἱ γαμεταὶ τῶν λαμπροτάτων· λαμπρόταταί εἰσιν· οὐ μὴν αἱ τῶν συγκλητικῶν θυγατέρες· καὶ ὅτι τῆς τῶν πρώτων ἀξίας κέχρηται ἡ θυγάτηρ. ἕως οὗ γαμηθῇ ἰδιώτῃ. καὶ ὅτι λαμπροτάτη ἐστὶν ἡ γυνὴ τοῦ λαμπροτάτου καὶ τοῦ ὑπάτου· καὶ αἱ δὶς ἀξιωθεῖσαι τούτων. εἰ μὴ γαμηθῶσιν ἑτέροις ἐλάττονος ἀξίας. ἐν δὲ φ' η κεφ. συναπτομένης θυγατρὸς ἀξιωματικοῦ ἀπελευθέρῳ· κἂν ὁ πατὴρ αὐτῆς ἀποκινηθῇ τῆς συγκλήτου. ὁ γάμος οὐ βεβαιοῦται· ἡ γὰρ τοῦ πατρὸς συμφορὰ τὴν περιποιηθεῖσαν τοῖς παισὶν ἀξίαν οὐκ ἀφαιρεῖται. πάντες οἱ τοῦ συγκλητικοῦ καλοῦντες συγκλητικοῦ λέγονται παῖδες. ἐν δὲ φ' ια κεφ. ὅτι οἱ ἀπὸ πριγκίπων ἕως ἰλλουστρίων εἰσὶν οἱ συγκλητικοί. καὶ οὐ τοι μόνοι βουλὴν ἐν τῇ συγκλήτῳ, δύνανται λέγειν· καὶ ὅτι ἐν τῇ ἱπποδρομίᾳ ὀφείλουσι συνάγεσθαι. ἐν δὲ φ' ιβ κεφ. οἱ

περὶ συγκλητικῶν:

ἐπάρχῳ προσκαθέζεσθαι ὀφείλουσιν ὅλων· καὶ μετ᾽ αὐτοὺς οἱ συγκλητικοί. ἐν δὲ τῷ κϛ´
κεφ. μηδεὶς ἔμπορος ἢ μονιτάριος· ἢ τελώνης· ἢ ἀπὸ δημοσίων ὀφφικίων· ἐπι-
χειρείτω γίνεσθαι ἀξιωματικός. εἰ δὲ καὶ γένηται· πάλιν ἀποδιδόσθω τῷ ἰδίῳ
ὀφφικίῳ. ἐν δὲ τῷ κα´ κεφ. ὁ δίκαιον τοῦ συγκλητικοῦ· καὶ τὴν αὐθεν-
τίαν τῆς τάξεως. ἐπεὶ καὶ ἡμεῖς συναριθμούμεθα· οὐδὲ ὑβρίζεσθαι· καθὼς
δὲ ἔφη ὁ βασιλεὺς συναριθμεῖσθαι τοῖς συγκλητικοῖς· ἐπειδὴ καὶ ὑπαλλάττειν
ἀνέχεται. ἐν δὲ τῷ κε´ κεφ. οἱ τῶν ἀπελευθέρων παῖδες δύνανται γενέσθαι συγ-
κλητικοί· αὐτοὶ γὰρ οἱ ἀπελεύθεροι μόνοι κωλύονται. ἐν δὲ τῷ λϛ´ κεφ. ἡ προσ-
κλησις τοῦ συγκλητικοῦ εἴτε ἐπὶ χρηματικῇ αἰτίᾳ εἴτε ἐπὶ ἐγκληματικῇ ἐναγο-
μένου. ἐγγύας μὴ ἀπαιτεῖσθαι· ἀλλὰ μόνον ἐξωμοσίᾳ καταπιστεύεσθαι. ἐν
δὲ τῷ κεφ. οἱ πάντες τὰς ἐπαρχίας διοικοῦντες δίκαιον ἔχουσι ξίφους. ἐν
ἐν δὲ τῷ μ´ κεφ. ὁ ἄρχων ἀναγκαζέτω τοὺς τῶν οἴκων δεσπότας
εἰ δὲ ἐπιτρέπωνται· ἁρμοδίως αὐτοὺς θεραπεύειν τὴν
αν τῆς πόλεως. ἐν δὲ τῷ να´ κεφ. εὐχερὴς ἔστω τοῖς προσιοῦσι κατὰ
καιροὺς μόνους· καὶ μὴ ἐξῆν συναναστρέφεσθαι τοῖς ἀρχομένοις· καὶ μὴ
δηλούτω τῇ ὄψει θεῶν ὁ ὁριζόμενος. ἐν δὲ τῷ ν´ κεφ. μὴ δεχέσθω ξένιον. ὁ δὲ
μὴ τὸ διπλοῦν ἀποδιδότω δαπανώμενον βρωσίμων ἢ ποσίμων. ἐν δὲ τῷ οα´ κεφ.
μηδεὶς ἅμα συμπορευέσθω· καὶ ἑτέροις συνεδρευέτω· ἢ καὶ διὰ τῶν αὐτῶν
ἀρχόντων καταπονείτω. ἐν δὲ τῷ π´. μηδεὶς ἄρχων ἐν τὴν Κωνσταντινούπολιν
ἄνω καταλαμβανέτω χωρὶς τὴν ἁρμοδίαν ποινὴν εὐλαβούμε-
νος. ἐν δὲ τῷ ιε´ κεφ. οἱ ἄρχοντες καὶ οἱ ὑπασπισταὶ καὶ οἱ τῆς τάξεως πρῶ-
τοι μετὰ οὗτος, ἀνὰ δέκα λίτρας προστιμάσθω χρυσοῦ. ἀξιωματικοὺς
κηδευέσθωσαν τοῖς ἄρχουσιν, βοηθεῖν. εἰ μὴ ἐν τιμῆς βοηθοῦντες
ἢ μὴ συγκαθεύδοντες τῷ ἄρχοντι. αὐτὸ καὶ τὸ τ´. διαλαμβάνει γὰρ περὶ τοῦ χω-
ρὶς τῆς οἰασοῦν δόσεως γίνεσθαι τοὺς ἄρχοντας. καὶ ὅπως διαλαμβάνειν ὀφείλου-
σι. καὶ τοῦ μήτε αὐτοὺς λαμβάνειν τι παρά τινος λόγῳ ξενίου. μήτε ἑτέρου
συγχωρεῖν τοῦτο πράττειν. καὶ ὅτι οἱ λαβόντες τιμωροῦνται. οὐ μόνον τὸ τετρα-
πλάσιον ἀποδιδόντες ὃ εἰλήφασιν. ἀλλὰ ζημίας καὶ ἐξορίας ἐκπεσοῦνται.
πρὸς δὲ καὶ τιμωρίαις ὑποβληθῆναι πρεπούσαις· καὶ περὶ τοῦ φυλάττειν
τοὺς ὑπηκόους ἀνεπηρεάστους· καὶ τοὺς μὲν ἐν ταῖς δίκαις· τοὺς δὲ ἐν ταῖς
δημοσίαις καταστάσεσιν αὐτῶν· καὶ τοὺς μὲν ἀνθρώπους πανταχόθεν φυλάτ-
τειν καθαρούς. τοῖς δὲ ὑπευθύνοις ἐπιτεθῆναι πρὸς τὸν νόμον τὴν ποινήν.

ἐπειδὰν δὲ καταθήσωσι τὴν ζώνην, πεντήκοντα ἡμέρας ἐν τῇ ἐπαρχίᾳ διατρίβουσι τὰς παρὰ πάντων δεχόμενοι αἰτιάσεις. μὴ προελθούσης δὲ τῆς δίκης ἐντὸς τῶν πεντήκοντα ἡμερῶν, χρηματικῆς μὲν οὔσης, δίδωσι προκουράτωρα· ἐγκληματικῆς δὲ μένει πρὸ τέλους μένειν τῆς ὑποθέσεως. ἐπεὶ τοὺς δημοσίους φόρους ἐπιτετάχθαι ἔχειν· καὶ ὅρκον δὲ ὑπέχειν, τοῦ παραφυλάττειν πάντα τὰ διατεταγμένα· καὶ τοῦ μὴ συγχωρεῖν εἰ καὶ οἷον τύπον τοῖς ἐξ ἐνεχύρων ἀδικεῖ γίνεσθαι· ἢ καὶ πρόσωπα ἀδίκους ἢ ὠνίας ἐπιτίθεσθαι χωρίοις ἢ ἐργαστηρίοις ἀλλοτρίοις παρά τινος· μήτε μὴν γεωργοὺς ἐὰν ἀλλοτρίους προσδέχεσθαί τινα· ἀναγκάζειν δὲ τοὺς τῶν δημοσίων ἀπαιτητὰς ἀποδείξεις ποιεῖν· καὶ τοὺς ἐπικειμένους ἀγροὺς ἢ χωρία ἀπογράφεσθαι τοῦ ζητεῖν· ἐὰν μὴ ἄλλοι μὲν εἰσὶν οἱ νεμόμενοι, ἕτεροι δὲ οἱ ζητοῦντες· καὶ περὶ τοῦ μὴ σκέπτεσθαι ἐν ταῖς κυριακαῖς τοὺς ἐν φυλακαῖς· καὶ μανθάνειν εἰ φιλανθρώπως αὐτοῖς οἱ φύλακες κέχρηνται· καὶ μὴ δὲ ἀγγαρείαις ἢ δαπανήμασι βαρύνειν τοὺς ὑποτελεῖς· καὶ τοῦ μὴ ἐπικτᾶσθαί τι τοὺς ἄρχοντας ἐν αἷς ἔχουσιν ἐπαρχίαις· μὴ δὲ τοὺς περὶ αὐτοὺς ... κινητὸν ἢ ἀκίνητον δι' ἀγοραστικῆς προφάσεως· μὴ δὲ δωρεὰς εἰς αὐτοὺς ἔρχεσθαι. ἐν δὲ τῷ λα' κεφ. τοῦ αὐτοῦ τίτλου διαλαμβάνεται ὁ ὅρκος, ὃν ὑπέχουσιν οἱ λαμβάνοντες ἀρχήν. ἀνάγνωθι καὶ τὸ κε' κεφ. ἐν ᾧ φησιν· οὐδεὶς ἕκαστος τῶν ἀρχόντων κατὰ τὴν ἰδίαν ἐπαρχίαν δικάζει τάς τε ἐγκληματικὰς καὶ χρηματικὰς δίκας· καὶ τὸ κζ' ἐν ᾧ φησι· περὶ ἀπὸ τὴν ἰδίαν δικαιοδοσίαν ἑτέρῳ ἐντελλομένων. ἀνάγνωθι καὶ βιβ. ιε' τίτ. α' κεφ. λγ' ἐν ᾧ φησιν· οἱ ἄρχοντες τῶν ἐπαρχιῶν καὶ οἱ περὶ αὐτοὺς ἀκόλουθοι παραιτοῦνται ἢ δανείζειν ἢ τοκίζειν. οἱ δὲ ταξεῶται καὶ δανείζουσι καὶ τοκίζουσι. καὶ ὁ ἄρχων ἐκ τοῦ κοινοῦ δανείζεται. καὶ κεφ. με' ἐν ᾧ φησιν· ὁ ἄρχων ἢ ὀφφίκιον ἐν ἐπαρχίαις πράττων οὔτε δι' ἑαυτοῦ οὔτε διὰ μέσου προσώπου ἐν τῷ καιρῷ τῆς οἰκείας ἀρχῆς δανείζειν δύναται. ἀνάγνωθι ἐν ε' ἐξ τίτ. λθ' κεφ. α' ἐν ᾧ φησιν· ὅτι ὁ ἄρχων χρήματα λαβὼν ἐπὶ τῷ καταδικάσαι τινά, κεφαλικαῖς τῷ τοῦ ἀνδροφόνου νόμῳ ὑπόκειται :—

Περὶ τοῦ ὑπομένειν ... τὸν ἄρχοντα :—

Περὶ τοῦ ὅρκου οὗ ὑπέχουσιν οἱ τὰς ἀρχὰς λαμβάνοντες :—

## Περὶ ἀνθυπάτων, καὶ ὑπάτων καὶ λεγάτων. ἀνάγνωθι βιβ. ς' τίτ. β' οὗτινος ἐν ᾧ ς' κεφ. φησί :— ξς'

Οὐκ ὀφείλει μετὰ τὴν ἐπαρχίαν βαρεῖν ὁ ἀνθύπατος. ἐν δὲ τῷ ζ' κεφ. οὐ μετὰ τὸ εἰσελθεῖν ἐν τῇ ἐπαρχίᾳ, ποιεῖν τοὺς λεγάτους· περὶ τούτου γὰρ βούλεται αὐτοῖς

δικαιοδοσίᾳ ἔχει· καὶ οὐ δύναται, ἀλλ' οὐκ ἔχει ἐντέλλεσθαι ἑτέρῳ. Εἰ δὲ φησὶ ἡ
κεφ. δέχεσθαι δὲ ξένια ἢ ἀπὸ ἐργασιῶν ὁ ἀνθύπατος· ἢ ὁ ἔτερον χρείων ἐφοδί-
κίου πλὴν τῆς ἐφημέρου τροφῆς, οὐκ ἐπιτέτραπται. Εἰ δὲ φησὶ ιγ κεφ. οἱ λε-
γάτοι οὐδὲν ἔχουσιν ἴδιον. Εἰ μὴ πρὸ τῶν ἀνθυπάτων αὐτοῖς ἡ δικαιοδοσία
ἐντελθῇ:

ξζ' Περὶ ἐπάρχου πόλεως καὶ τάξεως καὶ προνομίων αὐτοῦ καὶ ἐπάρ-
χου πραιτωρίων. βιβ. ϛ τίτ. δ. οὗ τινος ἐν φησὶ α κεφ. φησίν:

Πασῶν τῶν ἐν κωνσταντινουπόλει ἀρχῶν· ἡ ἐπαρχότης προέχει τῆς πόλεως. καὶ
μηδὲν δηλονότι τὰς λοιπὰς ἀδικοῦσα. Εἰ δὲ φησὶ ιβ κεφ. πάντα τὰ ἐν κων-
σταντινουπόλει ἐργαστήρια· καὶ οἱ πολῖται καὶ οἱ ἀπὸ τοῦ δήμου πάντες δὲ ἐπάρ-
χῳ τῆς πόλεως ὑποκείσθωσαν. βιβ. ϛ τίτ. ιζ κεφ. κε καὶ κς καὶ κζ καὶ κη. καὶ β
τίτ. β κεφ. κς ἐν φησὶ. δίκαιον σακελλικοῦ πεκουλίου ἔχουσι. καὶ οἱ σκρη-
νιάριοι καὶ οἱ ἐξσκέπτορες τοῦ ἐπάρχου τῶν πραιτωρίων. δοκοῦσι γὰρ τῆς
πρώτης χειροτονίας εἶναι τῆς φησὶ βασιλείας ἐνδοξότητος:

ξη' Περὶ νυκτεπάρχου. ἤτοι πραίτωρος δήμου. βιβ. ϛ τίτ. ε. οὗ τι-
νος ἐν φησὶ α κεφ. φησίν:

Διὰ τοὺς ἐμπρησμοὺς ἐπενοήθη ὁ νυκτέπαρχος ἤτοι ὁ πραίτωρ. διαγινώσκει
γὰρ περὶ τῶν ποιούντων ἐμπρησμοὺς καὶ τοιχωρυχίας· καὶ κλοπὰς καὶ ἁρ-
παγάς· καὶ περὶ τῶν ὑποδεχομένων. τοὺς δὲ σκληροὺς καὶ περιφανεῖς δια-
πέμπει τῷ ἐπάρχῳ:

ξθ' Περὶ κοιαίστωρος καὶ τάξεως καὶ προνομίου αὐτοῦ. καὶ περὶ κοι-
αισίτωρος. τουτέστιν ἐρευνητοῦ. βιβ. ϛ τίτ. ϛ. οὗ τινος ἐν φησὶ α κε-
φαλαίῳ φησίν:

Ἀδιάφορον εἴτε ἐξ ἰδιωτῶν· εἴτε ἀπὸ πραιτωρίων οἱ κοιαίστωρ γένοιτο. ἀναγι-
νώσκονται δὲ φησὶ καὶ βουλεύονται ἐν τῷ συγκλήτῳ. καὶ τὰς
βασιλικὰς ἀναγινώσκουσι κελεύσεις. καὶ σχεδὸν πασῶν τῶν ἀρχῶν τῶν ἄλ-
λων, αὐτὴ τις τιμιωτέρα ἐστί. καὶ τινες ἐξ αὐτῶν τοῦ ἐπάρχου ἐπιστολὴν πο-
ρευ πέμπουσι πρὸς τὸν φησὶ βασιλείας ἔσωθεν. Εἰ δὲ φησὶ ε κεφ.
τὴν τοῦ ἀρχὴν τοῦ κοιαισίτωρος ἤτοι ἐρευνητοῦ ἔχοντα ταύτην
α πρὸς τὸν καὶ τὸ ἡμέτερον δέος καὶ τῶν νόμων ἀναζητεῖσθαι
ἐπὶ τῆς μεγάλης ταύτης ἐπιδημούντας πόλεως. ἐξ οἵας δήποτε
χώρας εἶεν· εἴτε ἄνδρας εἴτε γυναῖκας· εἴτε κληρικούς· ἢ μοναχοὺς ἢ

ά

ἀσκητείας· εἴτε τῶν ἔξω πόλεων ξυντόρους· εἴτε καὶ ἄλλης τύχης
τε καὶ ἀξίας· εἴτε τῶν· καὶ περιεργάζεσθαι τίνες τε εἰσιν· καὶ πόθεν ε
ἐπὶ ποίᾳ προφάσει· καὶ εἰ μὲν γεωργοί, σκοπεῖν τοὺς οἷς τῶν χωρίων ἄρ-
χοντων αἰτίας αὐτοὺς προσήκουσιν ὑποθέσεις· καὶ τούτους ἐπι ζωτ-
μως τε αὐτοὺς ἀπαλλάττειν δυσκόλων· διαπερᾶν ἐνταῦ υσι· καὶ
ὅτι τάχιστα τούτους ὅθεν ἥκουσιν ἐκπέμπειν, τῶν πρ ἀπολαύοντ.
Εἰ δέ τινες εἰσὶν γεωργοὶ τῆς οἰκουμένης ὑπὸ δεσπότ δεόμενοι τούτων· εἰς
ταύτην παραγίνονται τὴν βασιλίδα πόλιν· καὶ καθαρὸν ἄστυ τοὺς ἐκκλημέ-
νους θᾶττον αὐτοὺς διακρινεῖν, τὰ εἰκότα παρέχοντα· καὶ ἐκπέ-
μπειν αὐτίκα· τυχόντας τῶν δι δεύτερος εἰς ἀναλίσκωσιν τῶν ἐκκλη-
μένων παρέχοντα. αὐτοὺς λέγουσιν δίκας· εἰ μὲν πλῆθος εἴη τοὺς μὲν πολ-
λοὺς ἀποπέμπειν παραχρῆμα εἰς τὴν χώραν· δύο ἢ τριῶν καταλιμπανομένων·
οἵπερ καὶ τὸ τῶν ξυνδίκων σχῆμα τὴν δίκην ἀγωνιοῦνται· καὶ οὕτως γὰρ αὐτὸν ἐ-
πικεῖσθαι τῇ τῆς δίκης ἀκροάσει καὶ παρασκευάζειν· ὅτι τάχιστα τέμνειν τὰς ὑπο-
θέσεις· ἵνα μὴ μῆκος αὐτοῖς ἐκτείνοιτο χρόνου· καὶ μάλιστα γεωργοῖς· ὧν ἥτε
ἐνταῦθα παρουσία περιττή ἥ τε ἐκ τῆς γεωργίας σχολή· βλάβος αὐτοῖς τε καὶ τοῖς
κεκτημένοις ποιεῖ. εἰ δ' οὔτε γεωργικὸν εἴη τὸ ἐπιδημοῦν πλῆθος· ἀλλ' ἑκάτε-
ροι ἕτεροι ἢ καὶ δικαζόμενοι πρὸς ἑτέρους· καὶ ἐνταῦθα χρονίζοιεν μὴ
ἐνδιδόναι· ἀλλὰ ξυντόμως τὰς δίκας ἐπάγειν μετὰ σπουδῆς αὐτοῖς τῶν ἀμ-
φισβητουμένων ἀπαλλάττειν τε· καὶ τῶν δικῶν ἐλευθερουμένους ἐκπέμ-
πειν· εἴς τε αὐτοῖς τὰς οἰκείας χώρας τε καὶ πόλεις οἴκαδε. εἰ δὲ πολλάκις ἐκ-
κλίνοντες τὴν ἀκρόασιν τῆς δίκης· ἢ τοὺς τῶν γεωργῶν κυρίους τοὺς παρ'
ἡμῶν καταστάντες ἄρχοντες· ἐφ' ᾧ τοὺς δικαζομένους ἢ προσεδρεύοντας ἐλευ-
θεροῦσθαι· αὐτοὶ πρὸς τοῦτο ἀναβάλλοιντο· καὶ μὴ θᾶττον αὐτοὺς ἢ τῆς δίκης
ἢ τοῦ προσεδρεύειν ἀπαλλάξουσι· τηνικαῦτα αὐτὸν τὸν παρ' ἡμῶν ἐπὶ ταύτης
τῆς ἀρχῆς προβληθέντα· ἄγειν εἰς ἑαυτὸν τοὺς δικαζομένους ἢ δεομένους τι-
νος τῶν δικαίων παρὰ τῶν ἐκκλημένων· εἶτα μὴ τυγχάνοντας καὶ ἐξετάζειν.
καὶ ἐνταῦθα διαλυθέντας ἐφ' οἷς ἐκεῖνοι ταύτῃ τῇ μεγάλῃ προσεδρεύουσι πό-
λει πρὸς τὰς οἰκείας ἐκπέμπειν πατρίδας· εἰ δὲ βίου πρ ἢ δίκης αἰτίαν οὐκ
ἔχοντες ἐπὶ ταύτης εἰσὶ τῆς ἡμετέρ διατελεῖν ἢ ἐν τῷ μεταιτεῖν ἢ τὸ
τὸν πρὸς τὰς αὐτῶν ἐπιθυμοῦντ τε ἤδη καὶ πλημμελεῖν, τὴν τῶν σω-
μάτων αὐτῶν κατάστασιν ἐστὶν ἐπιτηδεύειν· καὶ εἰ μὲν ἐρρωμένοι

τοῖς τὰ σώματα. δι — πρὸς πόνον ἐστίν. εἰ μὲν οἰκεῖα τυγχάνειεν
εν. μανθάνειν τίνων εἰσὶν — καὶ ἄκοντας τοῖς ἐγκλημένοις ἐκπέμ
πειν. εἰ δὲ ἐλεύθεροι — ἐκείνων ἐπαρχιῶν ἢ πόλεων ὁρμώμενοι. τού
τους ἐκπέμπειν — ὧν ἐστὶν ἐπαρχία. εἰ δὲ αὐτόχθονες εἰσί. καὶ τὸ σῶ
μασι μὲν ἐρρωμένοις — μα. βίου δὲ αὐτοῖς εὐπρεπὴς οὐκέτι πρόφασις. τού
τους μὴ μάταιον εἶναι τὸ τῆς γῆς ἄχθος συγχωρεῖν. ἀλλὰ παραδιδόναι θᾶττον
αὐτούς. τοῖς τε τῶν αὐτῶν δημοσίων τεχνίταις εἰς ὑπουργίαν. τοῖς τε προεστῶ
σιν ἀρτοποιητικῶν ἐργαστηρίων. καὶ τοῖς τοὺς κήπους ἐργαζομένους. καὶ
ἄλλοις διαφόροις ἢ καὶ ἐργασίαις ἐν αἷς ἰσχύουσιν. ἅμα μὲν κάμνειν. ἅμα
δὲ ἀποστρέφεσθαι. καὶ τὸν ἀργὸν οὕτως ἐπὶ τὸ κρεῖττον μεταβάλλειν βίον. εἰ
δὲ τινες μὴ βουληθῶσι προσεδρεύειν ταῖς ἐργασίαις αἷς παρεδόθησαν. τού
τους ἀπελαύνειν ταύτης τῆς βασιλίδος πόλεως. φθειρόμενοι παρ' αὐτῶν. τοῦ
το νουθετοῦντες. ὅπως ἂν αὐτοὺς μὴ τῆς ἀργίας εἰς ἀθέμιτους πράξεις ὠθουμένους
οἱ νόμοι τούτους ἁρπάζοιεν πρὸς ποινάς. τοῖς ἡμετέροις παραδιδόντες
ἄρχουσι. τοὺς δέ γε βεβλαμμένους ἢ βεβλαμμένας τὸ σῶμα ἢ τῇ πολιᾷ
βαρεῖς. τούτους ἀνενοχλήτους εἶναι κελεύομεν. ἐπὶ ταύτης τῆς ἀγαθῆς καὶ βασι
λίδος πόλεως παρὰ τῶν εὐσεβεῖν βουλομένων ἀποτρεφομένους. καὶ τῶν ἄλ
λων ἕκαστον ἐρωτᾶν. τίνος περιγένοιτο χάριν, καὶ πυνθανόμενον. τὰ ἐπιτήδεια
ἐπ' αὐτοῖς πράττειν. ὥστε μὴ ἀργοὺς ἐνταῦθα καθῆσθαι. ἀλλὰ τὰ προσή
κοντα πράξαντας. εἰς τὰς οἰκείας ἐπανήκειν χώρας. εἰ δέ τινες ἢ τῶν ἐπι
ταύτης οἰκούντων τῆς πόλεως ἢ καὶ τῶν ἔξωθεν παραγινομένων. μέμφοιντο
τισιν. ὡς παρ' αὐτῶν ζημιωθέντες κατὰ πρόφασιν τυχὸν ἐγκαλουμένου ζητήμα
τος ἢ καὶ τῶν ἐντεῦθεν ἀδικούντων. καὶ φάσκοιεν αὐτοὺς ἢ παραβῆναι τοὺς ὑ
πὲρ τούτων ἡμῶν νόμους. ἢ καὶ χωρὶς ἀρχικῆς προστάξεως. ὑπομιμνήσκομεν αὐ
τοὺς προσταγμάτων. ζητεῖν ἀκριβῶς τοὺς ταῦτα πλημμελήσαντας. ὁποίας εἰσὶν
ἀξίας τε καὶ στρατείας. καὶ ὑφ' οἱανοῦν τελοῦσιν ἀρχήν. καὶ τούτους ἅμα μὲν συλλα
μβάνειν. ἅμα δὲ μετ' ἐλέγχους τὰς ἐπηρτημένας κατὰ τοὺς ἡμετέρους νόμους
εἰσπράττειν ποινάς. οὐδενὸς τῶν προσφόρων ἀρχόντων ἀντιποιεῖσθαι δυνα
μένου. καὶ τοῦτο μὲν ἀξιωμένους φυλάττειν τοὺς ἠδικημένους, ἀπολαμβά-
νοντας, ἅπερ παρὰ τὸν νόμον ἀπῄτηνται. τοῦτο δὲ τὰς ποινὰς παρὰ τῶν ἡμε
τέρων ὁρισμένας. διατάξεων προστάττειν. καὶ εἰς ἡμᾶς τὰ περὶ αὐτῶν ἀ
ναφέρειν. ἔνθα δὲ ζητήσεις ἀπαιτούμενας. πρὸς τοῖς δὲ καὶ ὁ σκέμψιν

ᾱ

λαμβάνει περὶ ἀπαιτήσεως· ἤτοι τῆς καλουμένης πλαστογραφίας ἐν οἷς ὡς δῆθεν περὶ μαθήματα ἀναζητεῖν· καὶ τοὺς ἐπὶ τούτοις προσβαλλομένους συνέχειν· καὶ μετὰ γραφὴν καὶ ἐλέγχους τιμωρεῖσθαι τούτους· δίδοσθαι δὲ τὴν ἀρχὴν ἔχουσι παρρησίαν καὶ ἄρχουσιν ἐνοχλεῖν καὶ εἰς ἡμᾶς ἀναφέρειν· καὶ οἰκοδεσπόταις προσήκοντα· ἵνα μήτε ἀθετῶσιν· μήτε ἄλλο τι παντελῶς αἰτιώμενος· τῆς ἀμελείας ἐπὶ αὐτῷ κελεύσεως ἥττων φανείη· λαμβάνειν δὲ αὐτὸν λόγῳ δαπάνης χρυσοῦ λίτρας ι· ὅσοι τούτου παρέδοσαν νόμου ρ̄· αὐθ καὶ β' να τ κη κεφ ᾱ ἐν φ̄· περὶ σκευῶν·

περὶ τοῦ πραίτωρος πισιδίας· αὐθ β' ς̄ τ ζ.

περὶ τοῦ πραίτωρος λυκαονίας· αὐθ β' ς̄ τ η.

περὶ τοῦ πραίτωρος θρᾴκης· αὐθ β' ς̄ τ θ.

περὶ τοῦ κόμητος ἰσαυρίας· αὐθ β' ς̄ τ ι.

περὶ τοῦ μοδεράτορος τουτέστιν ἁρμοστοῦ ἑλενοπόντου· αὐθ β' ς̄ τ ια:

περὶ τοῦ πραίτωρος ἤτοι στρατηγοῦ παφλαγονίας· αὐθ β' ς̄ τ ιβ·

περὶ τοῦ πραίτωρος σικελίας· αὐθ β' ς̄ τ ιγ·

περὶ τῆς διαλύσεως τῶν δύο ἀρχόντων ἀρμενίας· αὐθ β' ς̄ τ ιδ.

περὶ τοῦ μοδεράτορος ἀραβίας· αὐθ β' ς̄ τ ιε.

περὶ τοῦ ἀνθυπάτου καππαδοκίας· αὐθ β' ς̄ τ ις.

περὶ τοῦ ἀνθυπάτου παλαιστίνης· αὐθ β' ς̄ τ ιζ.

περὶ ἐκδίκων· αὐθ β' ς̄ τ ιη.

περὶ τοῦ πολιτάρχου καὶ βιοκωλύτου· αὐθ β' ς̄ τ ιθ.

περὶ τοῦ δουκὸς ἤτοι βιοκωλύτου λυκαονίας καὶ λυδίας· αὐθ β' ς̄ τ κ.

περὶ τοῦ κουράτορος τοῦ βασιλέως· νῦν δὲ λογοθέτου· αὐθ β' ς̄ τ κα.

περὶ τοῦ πραιποσίτου καὶ κουβικουλαρίων· καὶ νοταρίων· αὐθ β' ς̄ τ κε· οὐδενὸς ἐν δ' ᾱ κεφ φησίν:

Ὅτι πρέποντα· τὴν αὐτὴν ἔχουσιν ἐξουσίαν τοῖς γενομένοις ὑπάρχοις πραιτωρίων ἢ πόλεως· ἢ στρατηλάταις· καὶ ἐν ταῖς προσκυνήσεσι ταῖς βασιλικαῖς γινομέναις· καὶ ἐν ταῖς ἰδιωτικαῖς ἑορταῖς· καὶ ἐν πάσαις ταῖς ἄλλαις τάξεσιν· ἵνα καθ' ἑαυτοὺς ὁ χρόνος δίδωσι προτιμᾶσθαι· αὐθ β' ς̄ τ κδ.

περὶ κομήτων καὶ τριβούνων καὶ ἰατρῶν τοῦ παλατίου· αὐθ β' ς̄ τ κζ.

περὶ ἀρχιάτρων καὶ παιδευτῶν καὶ σελευκείων· αὐθ β' ς̄ τ κη·

περὶ δομεστίκων καὶ πρωτικτόρων· αὐθ β' ς̄ τ κθ.

περὶ τῶν ἐν τοῖς σκρινίοις τῶν ὑπομνημάτων στρατευομένων· αὐθ β' ς̄ τ λ.

περὶ ἀσελγῶν ἤτοι ἀρσενοκοιτῶν· αὐθ β' ξ̄ τ λθ κεφ ς̄ ἐν φ. ἀκινδύνως τὸν φονεύσαντα τὸν βιαζόμενον αὐτὸν ἢ τοὺς αὐτοῦ πρὸς ἀσέλγειαν· αὐθ ε β' λ̄ τῶν ἰνστιτούτων τ ιζ τοῦ ς̄ φ̄ π(αρά)γρ(αφος) ὁ ἰούλιος δὲ ἀδουλτέριος· τοὺς δὲ μοιχοὺς ἀρσενοκοίτας ξίφει τιμωρεῖται· τοὺς δὲ χωρὶς βίας παρθένους ἢ χήρας αἰσχρουργοῦντας· εἰ μὲν εὔποροι εἶεν· τὸ ἥμισυ τῆς οὐσίας δημεύει· τοὺς δὲ πένητας δὲ σωματικῶς σωφρονίζει καὶ ἐξορίζει:

Περὶ πριγκίπων καὶ ματζικιανῶν καὶ ἑτέρων τινῶν στρατευομένων. βι. ς' τ. λα'.
Περὶ φρουμενταρίων τῶν δεσμίων. βι. ς' τ. λβ'.
Περὶ παλατίνων. βι. ς' τ. λγ'.
Περὶ στρατόρων καὶ ἑτέρων τινῶν στρατευομένων. βι. ς' τ. λδ'.
Περὶ δεκανῶν καὶ τῶν προτιμωμένων οἱ ἐν τῷ παλατίῳ στρατευόμενοι. τῶν ἐν ταῖς ἐπαρχίαις ἐξάρχων. βι. ς' τ. λε'.
Περὶ ἀξιωμάτων ἱππέως ἢ περὶ ἀποεπάρχων. βι. ς' τ. λς'.
Περὶ ταβουλαρίων καὶ χαρτουλαρίων ἤτοι σκρινιαρίων καὶ τῶν τε πολιτικῶν καὶ στρατιωτικῶν ἀρχόντων. βι. ς' τ.:

ο' Περὶ ἀλήτας. βι. ς' νδ' οὐδένος ἐν τῷ α' κεφ. φησίν:

Οἱ κατὰ πρόσωπα διδόμενοι ἄλητα οὐ διαβαίνει εἰς κληρονόμους. εἰ δὲ γένει ἢ ἀπογόνοις δοθῇ. οὐχ ἁρμόζει ἀπὸ θηλυγονίας. ἐν δὲ τῷ ς' κεφ. τὰ θεματικὰ ζητήματα. ἄτινα ἐπενοήθη διὰ τὸ διδόναι τὴν οἰκίαν ἔχοντι μόνον τῷ δημοσίῳ ἔχουσιν ἄλητα. οὐ πάντες δὲ οἱ ἐν αὐτοῖς. ἀλλὰ μόνοι οἱ λεγόμενοι ἐγγοῦν τὴν ἄλητα. ἐν δὲ τῷ ιδ' κεφ. ἢ κατὰ τινὰς ἀπηλλαγμένους προσκοῦ στρατιωτικοὺς καὶ τοὺς λοιπὰς τοὺς κωνσταντινιανοὺς καὶ νοταρίους. καὶ τοὺς κουβικουλαρίους. καὶ τοὺς ἀποκουβικουλαρίους. τοῖς μεγάλοις ἔχουσιν ἀπὸ παλαιῶν διατάξεων προνόμια. ὁ βαθμοὶ μὲν ἢ κατά. ἐὰν πάντες τοῦ βαθμοῦ καὶ οὐχ ἕνα πρὸς τὸ πρ. τὸ προνόμιον ἐ καὶ οἱ γραμματικοὶ δὲ καὶ οἱ ῥήτορες ἑκατέρας παιδείας τουτέστι τῆς ἑλληνικῆς καὶ ῥωμαϊκῆς ἀπὸ τοῦ προσώπου λαμβανέτωσαν ἄλητα ἵνα μὴ ἀναγκάζωνται ζημιοῦσθαι γυναικοὶ ἀρτοκόποι γίνεσθαι. καὶ ἐπιμάσσειν τοῖς ἀρτοκόποις. βι. ε' τ. κα' οὐδένος ἐν τῷ α' κεφ. φη. ἐάν τις ἀγηθῇ ἐπὶ σίτῳ ἢ ἐλαίῳ ἐπὶ σιτευτῷ. ἀνίσχυρον ἔσται τὸ προσαχθέν. τὸ ἐπιτεθὲν τὰ κανόνα τοῖς κτήμασι τοῖς ῥωμαϊκοῖς. οὐ βουλόμεθα ἐναλλάττεσθαι. εἰ δὲ τις προσαχθῇ τοιοῦτο τυχὸν. διπλάσιον ἀπαιτείσθω. τῶν ἐπικασίων καὶ τῶν ἀρχόντων τῶν προσδεχομένων τὰ τοιαῦτα καὶ συνεχομένων τῷ κανόνι προσοιζομένου. οἱ δὲ πρῶτοι τῆς τάξεως ἀποτιμηθήτωσαν. βι. ε' ϛ' νς' τ. ιζ' κεφ. λθ'. καὶ β' νη' τ. ιβ' κεφ. α' ἐν τῷ φη. οἱ λαχόντες ἄλητας δημοσίων ἔργων. αὐτοὶ μὴ ἐχόντων ἔσωθεν:

οα Περὶ ἀλιευομένων. καὶ ἐξ ὧν αἰτιῶν ἀλιευόμενοι. καὶ δι' ὧν ἀλιεῖ προστίνει. βι. ς' κα' τ. β' οὐδένος ἐν τῷ β' κεφ. φη:

Οἱ πάντες οἱ διὰ πόρον εἰς ἄλλα καλοῦντες, ἀλιεῖς εἰσί. καὶ οἱ διὰ φιλοτ

ᾱ

μὴ ἐπὶ σκηνῆς περιιόντων. ἔστι γὰρ σκηνὴ ἔνθα τις ἵσταται ἢ κινεῖται παιδικῶς
ἐπιδεικνύμενος τέχνην. οὐκ ἔστι γὰρ παιγνιακὴ τέχνη οὐ γὰρ ἀτιμοποιὸς ἡ τῶν ἀ-
θλητῶν. καὶ τῶν χειρούντων ἐν τοῖς ὀλυμπίοις τὰ ἄθλεια. καὶ τῶν ἐν ξυστῷ ἀ-
γωνιζομένων καὶ ἡνιόχων. καὶ τῶν ἄλλως ὑπουργούντων ἐν τοῖς ἱεροῖς ἀ-
γῶσιν. ἀτιμοῦνται γὰρ καὶ οἱ περαταὶ καὶ οἱ συκοφάνται. καὶ ἡ πρὸ τοῦ πεν-
θίμου γαμηθεῖσα. καὶ ὁ ἐν δόλῳ ἀγαγόμενος αὐτήν. καὶ ἡ μνηστευομένη ἑτέρῳ,
καὶ ἄλλῳ γαμηθεῖσα. καὶ ὁ καταδικασθεὶς ἐπὶ στελλιονάτους. καὶ ἡ πλαγευμένη
ἐν μοιχείᾳ. βιβ. ξ τί γ τοῦ δύλενος ἐν τῷ γ κεφ. φη. ἡ κατ' αὔξησιν ἐπιφερομένη
καταδίκη. ὑπὸ γὰρ τὴν ὁρισμένην ἐκ τοῦ νόμου τιμωρίαν. κουφισμοῦ τῆς ἀτι-
μίας χαρίζεται. ἐν τῷ αὐτῷ ιϛ κεφ. ἐπεὶ τὴν περὶ ὕβρεως ἀγωγήν. οὐ μόνος ὁ καταδι-
κασθεὶς ἀτιμοῦται. ἀλλὰ καὶ ὁ διαλυόμενος. ὅταν ἐπὶ χρήμασι διαλύσηται.
ἁμαρτάνει, πρὸς δὲ τὰ χρήματα.
διαλυομένου χωρὶς χρημάτων συμφωνήσῃ ὁ ὑ-
βρισθείς. τὴν περὶ ὕβρεως ἀγωγὴν καὶ οὐ γίνεται ἐκ τούτου ὁ
διαλυόμενος ἄτιμος. ἐν τῷ αὐτῷ κεφ. οἱ ἀναγκαίως τοκίζοντες. καὶ τόκους
τόκων ἀπαιτοῦντες. ἐν τῷ αὐτῷ κε κεφ. ὁ τὴν πίστιν ῥήξας τῆς κοινωνίας. μετὰ
τοῦ καὶ κινδύνου. οἰκείῳ ὀνόματι τὴν περὶ τῆς κοινωνίας ἀγωγὴν ἐνάγε-
ται καὶ εἰς τὸ ποιῆσαι τὸ ἱκανὸν τῷ κοινωνῷ συγκαταδικάζεται:

Περὶ ἀφηλίκων. βιβ. ϛ ζ τί ιθ τοῦ δύλενος ἐν τῷ γ κεφ. φη: οβ'

Ὁ νέος καὶ συναινέσει πατρὸς ἐνάγεται. βιβ. καὶ ϛ τί τ δ. ἐν τῷ
διαλαμβάνεται περὶ τῆς τῶν ἀφηλίκων ἀποκαταστάσεως. τοῦ δύλενος ἐν τῷ γ κεφ. φη.
οὐ μόνος ὁ βασιλεὺς καὶ οὐ μὴν οἱ ὕπατοι ἢ ἄρχοντες ἐπιτρέπουσι τοῖς ἀφήλι-
ξι τὰ ἴδια διοικεῖν. καὶ κεφ. θη. ἀφῆλιξ δοῦλος οὐκ ἀποκαθίσταται. οὔτε δὲ
ὁ δεσπότης αὐτοῦ ἐφ' οἷς ὁ δοῦλος ἔπραξεν ἔχων ἐλευθέραν πεκουλίου
διοίκησιν ὁ δεσπότης δι' αὐτοῦ συνήλλαξεν. καὶ ἦν ὁ δοῦλος ἄνηβος. ὁ γὰρ τοιοῦ-
τος τῇ γνώμῃ τοῦ δεσπότου δοκεῖ συναλλάσσειν. εἰς ἃ ἐπὶ τῆς ἐργαστηριου-
σίας. καὶ ἐνταῦθα ἐπιτρέψει ἀφήλικι πρᾶξαι. ἐν τῷ αὐτῷ ε κεφ. ἐπὶ
τῷ ζημιωθῆναι ὁ ἀφῆλιξ ἀποκαθίσταται. ἀλλὰ καὶ ἐπὶ τῷ μὴ δίδοσθαι δα-
πάναις σκύλλεσθαι. ἐν τῷ αὐτῷ θ κεφ. ἐν τοῖς ἁμαρτήμασιν. οὐ βοηθοῦνται οἱ ἀ-
φήλικες. οἷον δόλον ποιοῦντες ἐν τῇ παραθήκῃ ἢ χρεωστῇ ἢ ἑτέρῳ συναλλάγ-
ματι. κἂν μηδὲν εἰς αὐτοὺς ἐκ τούτων περιέλθῃ. οὔτε εἰς κλοπὴν ἢ ζημίαν ποιήσου-
σιν. ἐν γὰρ ἐπὶ τοῦ βλαβέντος ἀρνησάμενος, ὑπέπεσε τῷ διπλῷ. ἢ ἐπὶ τῆς

κλοπῆς διωκόμενος, διαφεύγεσθαι· καὶ μὴ ὑποπεσὼν τῷ διπλῷ ἢ τῷ τετραπλῷ. οὐ διαφεύγει· ἀποκαθίσταται εἰς τὸ δοῦναι τὸ ἁπλοῦν· καὶ ὅτε ἡ δίκη αὐτὸν περὶ χρεῶν διαφυόμενος. Ἐν τῷ αὐτῷ ια κεφ. θεμ. χ. τῆς αἰτίας διατυπωθείσης, ἡ ἀποκατάστασις δίδοται. τοῖς γὰρ κακῶς διοικοῦσιν οὐ δίδοται. κἂν ἐναντίον ἀποθήσωνται γέγονε. Ἰσχὺν γὰρ δοῦλον ἀναγκαῖον ἠγόρασε, καὶ ἐλευθέρωσεν. ἢ κληρονομίαν δύσπορον ἐκληρονόμησε. καὶ ἰσχυρῶς ἐμέμφθη. Ἐν τῷ αὐτῷ ε κεφ. Ἐὰν ἀφῆλιξ ἀφήλικι πραθῇ, καὶ ὁ λαβὼν ἀπολέσῃ, κρεῖττόν ἐστιν ὁ λαβών. Ἐν τῷ αὐτῷ ἀφῆλιξ τῷ ἔχοντι ὡς μείζονι, πραθὲν τὸ δάνεισμα ἀποκαθίσταται. Ἐν τῷ αὐτῷ ιβ κεφ. Ἐὰν ἐγγυήσηταί τινι περὶ ἀφήλικι· Εἰ μὲν εὔπορός ἐστιν ὁ χρεώστης, οὐκ ἐνάγεται ἡ ἐγγυή. Εἰ δὲ ἄπορος ἐστὶν ἐνάγεται. καὶ ὅτι ἐὰν ὁμολόγησε νέον εἶναι. οὐκ ἀπεστερεῖτο· καὶ ἐλθὼν πρὸς ἔτος ἐγγυήσηταί σε, οὐ βοηθεῖται. ὅτε μὴ ἔχει κατὰ τοῦ τὴν περὶ τῆς ἐντολῆς ἀγωγήν. Ἐν τῷ αὐτῷ κα κεφ. οὐ πάντα τὰ παρὰ τῶν νέων γενόμενα ἀνατρέπεται. ἀλλ᾽ ὅτε δόλος ἐστὶ προφανής, ἢ ἡ ἐνθύμησις αὐτῶν μεγάλη. καὶ ὅτι ἐὰν υἱὸς ὑπεξούσιος ἢ δοῦλος περιγράψῃ νέον. ὁ πατὴρ ἢ ὁ δεσπότης δίδωσι τὸ περιελθὸν. καὶ τὸ λοιπὸν ἀπὸ τοῦ πεκουλίου. Εἰ δὲ μηδὲ οὕτω πληροῦται. ὁ μὲν δοῦλος δόλου ποιήσας ἢ μαστίζεται, ἢ εἰς τὸ δι᾽ ἑαυτοῦ ἀποπληρῶσαι δίδοται. ὁ δὲ υἱὸς καταδικάζεται. Ἐν τῷ αὐτῷ κζ κεφ. ὁ νέος δανεισάμενος· καὶ ἀπα [illegible] χεῖται. Ἐν τῷ αὐτῷ κς κεφ. Εἰ καὶ τοῦ πρὸς ἀπεγνωσμένους καὶ αὐτὸν [illegible] ὁ ἄνηβος· ἀποκαθίσταται μετὰ τὰ λαμβάνων καὶ κινδυνεύσῃ. Ἐν τῷ αὐτῷ [illegible] κεφ. Ἐὰν νέος ὑπεξουσίῳ δανείσῃ. κρεῖττόν ἐστιν ὁ δαπανη- [illegible] τὰ τὸν καιρὸν τῆς περὶ καιρὸν ἀρξεως ὁ λαβὼν εὑρεθῇ γεγ... [illegible]. Ἐν τῷ αὐτῷ λη κεφ. τότε αὐτεξούσιος νέος δανείτοις ἐν ὑπεξουσίῳ [illegible] οὐκ ἀποκαθίσταται ὅτε τὸ ἐν τῷ τεύχει τῷ περὶ προσποιεῖται. Ἐν τῷ αὐτῷ κεφ. ὁ δεδωκὼς ὁ νέος ἀγρὸν ἀντὶ χρέους πατρῴου καλῶς ἀποκαθίσταται. δίδωσι δὲ τοὺς τόκους τῶν καρπῶν συλλογιζομένων. Ἐν τῷ αὐτῷ μα κεφ. οὐκ ἐν πα [illegible] νέοι ἀποκαθίστανται. ἀλλ᾽ ἐν οἷς ὑφ᾽ ἑαυτῶν ἢ ἑτέρων περιεγράφησαν ἀπολέσαντες. ἢ μὴ κληρωσάμενοι ἢ ἐνοχοποιηθέντες. Ἐν τῷ αὐτῷ κεφ. Ἐὰν ὁ ἀγοράσας παρὰ νέου δοῦλον ἐλευθερώσῃ αὐτόν. ἀρκεῖται ἡ ἀποκατάστασις· ἔχει δὲ ὁ νέος κατὰ τοῦ ἀγοραστοῦ ἀγωγὴν εἰς τὸ διαφέρον. Ἐν τῷ αὐτῷ κεφ. φανερός ἐστιν ὅτι τῆς διατάξεως ταύτης κανὼν λέγων· μὴ δοκεῖν τὸν ἐγκαλτὸν περιγράφεσθαι ἐν ἐκείνοις, ἐν οἷς τῷ κοινῷ νομίμῳ κέχρηται. Ἐν τῷ αὐτῷ ξβ κεφ. Ἐὰν δωρηθῇ πρᾶγμα τοῦ ἀφήλικος δίχα ἀποφάσεως τοῦ ἄρχοντος. ἐὰν ὁ λαβὼν αὐτὸ καὶ δωρεὰν, πέπρακεν αὐτὸ ἑτέρῳ τινί. λέγει οὖν ἡ διάταξις ὅτι ἀπὸ

α

εὔλογον τίτλον νομῆς ἔχει ὁ ἀγοραστής. ἐὰν μετὰ τὸ γενέσθαι μείζονα τὸν νέ-
ον, ἢ πρὸ τοῦ τοὺς αὐτοῦ δεσποτείαν ἐνεματευθῆ ὁ ἀγοραστής πρὸ τοῦ αὐτοῦ
ἐκ δεσποτείαν ἀντιτιθεμένης τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς. τοῦ ἐναγομένου
ταχέως ἀποκλείεσθαι. ἐν τῷ δ΄ βιβλίῳ ξ΄ κεφαλαίῳ κγ΄. ἐὰν ἡ πρᾶσις χωρὶς ἀποφάσεως γέ-
γονε, καὶ μετὰ ταῦτα μείζων γενόμενος ἐβεβαίωσε τὴν πρᾶσιν ὁ ἀφῆλιξ. μετὰ δὲ δια-
χρονίας χρόνου κυρίως ἐκδικεῖται τὸ πρᾶγμα ὁ ἀγοραστής, καὶ ἢ τιμὴ πίστει ἀγο-
ράσας, ἀποδιδόασιν αὐτῷ μετὰ τῶν καρπῶν. ἐν τῷ δ΄ βιβλίῳ ξε΄ κεφαλαίῳ. εἴτε ἀνήβου εἴτε
ἀφήλικος ἢ κουρατωρευομένου, ἢ ἀγνοίᾳ αὐτὸς ἤδη συντελουμένην ἡλικίαν, πρᾶγ-
μα ἐξεποιήθη, κἀκεῖνος ἐπὶ πολλῷ χρόνον ἐσιώπησε, βεβαιοῦται ἡ πρᾶ-
σις δηλονότι. ὁ ῥητὸς δὲ χρόνος ἡ πενταετία. οὐ σιωπήσας ὁ ἀφῆλιξ μετὰ τὴν τελείαν ἡλι-
κίαν, βεβαιοῖ τὴν πρᾶσιν ἢ τὴν ὑποθήκην. κελεύει γὰρ ἵνα ἐὰν πέντε ἐνιαυ-
τοὺς συναπτοὺς μετὰ τοὺς κε΄ ἐνιαυτοὺς μὴ μέμψηται ἢ ὁ αὐτὸς ἢ ὁ κληρονό-
μος αὐτοῦ ἰσχύειν. ἐπειδὴ δὲ δωρεῖσθαι οὐδὲ μετὰ ἀποφάσεως ἔξεστι τοῖς ἥτ-
τοσιν. εἰ μὴ ἄρα προγαμιαίαν δωρεὰν νομοθετεῖ. ἐὰν ὁ ἥττων συντελουμένης
ἡλικίας ἀγνοήσας ἤδη δωρήσηται τινί, μὴ ἐρρῶσθαι τὴν δωρεάν, εἰ μὴ μετὰ τοὺς
κε΄ ἐνιαυτοὺς ι΄ ἢ κ΄ ἐνιαυτοὶ διαδράμωσιν. εἰ δὲ ἐν τῷ μεταξὺ ὁ ἀφῆλιξ
τελευτήσῃ, ζητοῦμεν ἵνα τὸ λοιπὸν τοῦ χρόνου διάστημα δράμῃ τοῦ κληρονόμου
αὐτοῦ σιωπῶντος. ἀνάγνωθι καὶ τὸ ι΄ ἐν ᾧ φησι περὶ ἀφηλίκων ὑπεξουσίων. ἀνάγνωθι
καὶ τὸ ις΄ ἐν ᾧ φησι καὶ περὶ τῶν ἐγγυωμένων τοὺς ἀφήλικας. ὅτε ἐνέχονται
αὐτοί, τῶν ἀφηλίκων ἀποκαθισταμένων. ἀνάγνωθι καὶ τὸ ζ΄ ἐν ᾧ φησι περὶ τῶν ἐπι-
τροπευομένων καὶ κουρατωρευομένων ἀφηλίκων. ὅτε καὶ αὐτοὶ ἐν οἷς προ-
γράφουσιν. εἰ καὶ παρόντων τῶν ἐπιτρόπων καὶ κουρατώρων αὐτῶν ἔπρα-
ξαν, ἀποκαθίστανται. ἀνάγνωθι ἐν τῷ η΄ ἐν ᾧ φησι. ὅτε καταδικασθέντες ἀποκαθίστανται
ἐπὶ τῷ αὖθις κινῆσαι τὴν δίκην. ἀνάγνωθι ἐν τῷ ι΄ ἐν ᾧ φησι. ὅτε κατὰ τῆς ἰδίας πράξεως.
εἰ καὶ ὅρκον ἐπαγάγωσιν, ἀποκαθίστανται. ἀνάγνωθι ἐν τῷ ια΄ ἐν ᾧ φησι. περὶ τῶν
πραθέντων ἐνεχύρων αὐτῶν καὶ περὶ δανείου. ὅτε καὶ μεγάλως ἐζημιώ-
θησαν ἀποκαθίστανται. ἀνάγνωθι ἐν τῷ ιβ΄ ἐν ᾧ φησι. ὅτε κατὰ τῆς ἰδίας πράξεως. εἰ καὶ
ὅρκον ἐπαγάγωσιν, ἀποκαθίστανται. ὁ ἥττων τῶν κε΄ ἐνιαυτῶν ἐν τῷ καιρῷ
τῆς μνηστείας παρόντος αὐτῷ τοῦ κουράτωρος τῇ μνηστῇ ἐδωρήσατο. οὐκ ἀνακα-
λοῦνται. καὶ ὅτε τὸ δωρηθὲν παρὰ πρὸς τῷ αὐτεξουσίῳ ἀφήλικος δίδωσι ὁ πα-
τὴρ ἑτέρῳ δωρεῖσθαι. ἀνάγνωθι καὶ τὸ ιγ΄ ἐν ᾧ φησι. ὅτε καὶ παραγραφεὶς ὁ ἀφῆλιξ ἐλευ-
θερῶσαι δοῦλον ἐν συνεδρίῳ, οὐκ ἀποκαθίσταται. ἀλλὰ τὸ ἀζήμιον αὐτῷ

ἀνάγνωθι καὶ τὸ περὶ ἐπιτρόπων κἀκεῖθεν εὑρήσεις περὶ ἐκποιήσεως πραγμάτων ἀφηλίκων :-

ἐν τῷ δ΄ βιβλίῳ τῶν τοιούτων τοῦ β΄ τίτλου ἐν ᾧ φησι ὁ περὶ ἐλευθερώσεως καὶ ἐν τῷ ... τίτλῳ :-

σ(τ)ῆναι περὶ τοῦ ἐλευθερωθέντος. εἰ δὲ χωρὶς συνεδρείου ἠλευθέρωσε· ἀπο-
καθίσταται. αὐτ. ε΄ τ. ιδ΄ ἐν τῷ θε. ὅτι καὶ διαψευδόμενοι οἱ ἥττονες, ἀπο-
καθίστανται. αὐτ. καὶ τ. ιε΄ ἐν τῷ θε. περὶ χρεωστῶν καὶ περὶ τῶν ἐξ αὐτῶν
λεγάτον μὴ χρεωστούμενον. αὐτ. καὶ τ. ις΄ ἐν τῷ θε. περὶ ἀφήλικος. καὶ περὶ
γραφῆς καὶ ἀπάτης. παραιτουμένου οὐσίαν αὐτῆς ἐπιδεδωκυίας ἐν προικί. αὐτ.
καὶ τ. ιζ΄ ἐν τῷ θε. ὅτι ἐν τοῖς ἁμαρτήμασιν· ἤτοι ἐν ταῖς πονηραῖς προαιρέ-
σεσι, γίνεται τὸ ἁμάρτημα βοηθοῦνται. αὐτ. καὶ τ. ιη΄ ἐν τῷ θε. ἐὰν τὰ τα-
τῶν ἀνήβων ἢ τῶν ἀφηλίκων πράγματα κατέχου(σι) διὰ τῆς χρονίας νομῆς κα-
στῆναι τὴν ἑαυτῶν δεσποτείαν, ἢ τῆς ἀποκαταστάσεως βοήθεια αὐτοῖς τοῖς νέοις
ὀφείλει παρέχεσθαι. αὐτ. ε΄ τ. ιθ΄ ἐν τῷ θε. ὅτι καὶ ἐκ τοῦ δημοσίου ἀποκαθί-
στανται οἱ ἀφήλικες. αὐτ. καὶ τ. κ΄ ἐν τῷ θε. καὶ δανειζόμενοι ἐὰν κακῶς
δαπανήσωσι τὰ δανεισθέντα βοηθοῦνται. αὐτ. καὶ τ. κα΄ καὶ κβ΄ ἐν τοῖς θε.
περὶ καταλειφθείσης αὐτοῖς κληρονομίας. ὅτι ἐὰν μὴ συμφερόντως ἐμμεί-
νωσιν αὐτῇ ἢ ἀποστῶσιν ἢ τὸ ἐναντίον, ἀποκαθίσταται. αὐτ. ε΄ τ. κγ΄.
εἰ καὶ τοῦ φόνου οὐκ ἐκδικήσωσιν οἱ ἀφήλικες τοῦ κληρονομουμένου αὐτοὺς ἑ-
αυτοὺς οὐκ ἐκπίπτουσι τῆς κληρονομίας. τοῦτο γὰρ ἐπὶ τῶν τελείων κρατεῖ.
καὶ ὅτι τοῖς ἐν τελείοις πενταετία ἀναιρεῖται ἡ κατὰ τῆς διαθήκης μέμψις. τοῖς
δὲ ἥττοσιν. εἰ μὴ πληρώσωσι τοῦ κε΄ χρόνου οὐ τρέχει ἡ πενταετία. καὶ ὅ-
τι οἱ χρεῶσται τοῦ ἀφήλικος ἤτοι αὐτομάτως τὸ χρέος ἀποδιδοῦσιν, περι-
θέσιν ποιοῦσιν. ὁμοίως καὶ ἐπὶ τῶν φιδεϊκομμίσσων καὶ ἐπὶ τῶν λεγάτων.
καὶ ὅτι οὐδὲ ἡ παραγραφὴ τῆς ἀναργυρίας. τοῖς ἥττοσι τρέχει. αὐτ. ε΄ τ. κδ΄ θε.
ὅτι οὐκ ἀποκαθίστανται οἱ ἀφήλικες. ἐὰν ἐπὶ μικροῖς οἰκοδεσποτικοῖς ἐλαττωθῶσι.
καὶ μάλιστα ἐν δημοσίαις διοικήσεσιν. ἢ ἐὰν κατὰ πρόσωπον ἢ πάτρωνος τὴν μέμ-
ψιν κινδύνου. αὐτ. ε΄ τ. κε΄ ἐν τῷ θε. περὶ ἥττονος. ἐὰν μείζονα ἑαυτὸν εἴ-
πῃ ἢ ἀποδείξῃ παρὰ ἄρχοντι ἢ μεθ᾽ ὅρκου ἐγγράφως βεβαιώσηται ἢ σω-
ματικῶς ὀμόσῃ. καὶ πότε οὐκ ἀποκαθίσταται. καὶ πότε οὐκ ἀποκαθί-
σταται. καὶ ὅτι ἐὰν διὰ τῆς οἰκείας θέας ἢ πᾶσι τινὰ μείζονα ἑαυτὸν διαβε-
βαιωσάμενος εἶναι. οὐκ ἀποκαθίσταται. ἐν ὁ δὲ α΄ κεφ. ἐὰν ἐν συμβο-
λαίῳ μετὰ ὅρκου μείζονα σεαυτὸν εἶναι ἐβεβαίωσας, οὐκ ὀφείλεις ἀντὶ τοῦ ἀ-
ποκεκλεισμένην σοι εἶναι τὴν τῆς ἀποκαταστάσεως βοήθειαν διὰ τὸν ὅρκον.
εἰ μὴ φανερῶς καὶ προδήλως διέγραφον συμβολαίων παρὰ τοῦ φε-
ρομένου. οὐ μὴν διὰ μαρτύρων καλαθέως σεαυτὸν ἥττονα εἶναι ἀπο-

ᾱ

λέξεις ταῦτα ὅπου ἐνεγράφη ἐν συμβολαίῳ μόνον ὁ ὅρκος· οὐ μὴν σωματικῶς καὶ τὴν ἀλήθειαν ὤμοσεν ὁ νεώτερος ἑαυτὸν εἶναι μείζονα· ἐὰν μέντοι φησὶν οὔτε ὁ ὅρκος σωματικῶς ἐδόθη παρ' αὐτοῦ· τουτέστιν αὐτὴν τὴν ἀλήθειαν ὅτι ὑπάρχει μείζονα ἑαυτὸν εἶναι· μηδεμίαν τὴν περιλήψεσθαι βοήθειαν, προφανῶς τοῦ νόμου ἐστίν· ἀνάγνωθι καὶ τὸ κϛ' κεφ. φησί· ὅτι καὶ κατὰ ἀπόφασιν δικαστοῦ ἀποκατάστασις τοῖς ἀφήλιξι δίδοται· ἐκ δευτέρου δὲ τὴν τῆς ἀποκαταστάσεως δικαστοῦ μὴ πράττεσθαι· εἰ μὴ καιναὶ προφέρονται δικαιολογίαι. ἀνάγνωθι ἐν τῷ κζ' ἐν ᾧ φησί· περὶ τῶν συγγνώμην ἡλικίας λαβόντων· καὶ ὅτι ὁ ἀνὴρ πληρουμένου τοῦ κ' ἔτους· ἡ δὲ γυνὴ πληρουμένου τοῦ ιη' ἔτους· δύνανται τὴν συγγνώμην τῆς ἡλικίας ἐξαιτεῖν παρὰ βασιλέως· κτήματα δὲ αὐτῶν ἄνευ ἐγγράφου ψηφίσματος ἐκποιεῖν, οὐ δύνανται. ἀνάγνωθι ἐν βιβλίῳ κη' τοῦ β' κεφαλαίου β' ἐν ᾧ φησί· γίνεται δὲ ἡ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας, τοῖς μὲν αὐτεξουσίοις· ἀπὸ κ' χρόνου· ἕως κε'· ταῖς δὲ θηλείαις, ἀπὸ ιη' μέχρι τοῦ κε' χρόνου· αἰτούμενοι βασιλέα ἀποστέλλεσθαι τοὺς κουράτωρας αὐτῶν· ὡς αὐτοὺς μόνους τὴν τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα· ὑπολήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι· καὶ τηνικαῦτα δὲ μετὰ τὴν αἴτησιν πράττουσι τὰ [illegible]· οὐ μέντοι γε χωρὶς ἀποφάσεως κριτοῦ ἐκποιοῦνται τῶν αὐτοῖς προσόντων. ἀνάγνωθι ἐν τῷ κη' τοῦ ιβ' κεφ. φησί· ἐὰν δὲ καταλείπωνται ἐν τῷ τῶν κε' ἐνιαυτῶν τὰ ἥττονι ἡλικίᾳ πεπραγμένα· οὐκ ἀποκαθίσταται. ἀνάγνωθι καὶ τὸ κθ' κεφ. φησί· παρὰ τίνι ἡ διάγνωσις τῆς ἀποκαταστάσεως γίνεται· καὶ ὅτι καταβληθεὶς ὁ νέος τὰ ἀπὸ τῆς δίκης ἀναλαμβάνει. ἀνάγνωθι καὶ τὸ λ' κεφ. φησί· ὁ ἀποκαθιστάμενος κατά τινος πράγματος· οὔτε ζημιοῦσθαι οὔτε κερδαίνειν ἐξ αὐτοῦ ὀφείλει. ἀνάγνωθι καὶ τὸ λα' κεφ. φησί· ὅτι ἐκ δια[illegible] ἐντελῶς δύναται ὁ νέος ἀποκατάστασιν αἰτεῖν. ἀνάγνωθι ἐν τῷ λβ' κεφ. φησί· περὶ τοῦ κατὰ ἀπόφασιν ἐκνικωμένου. ἀνάγνωθι καὶ τὸ λγ' καὶ ε' κεφ. φησί· ὅτι ἡνίκα ὁ δημόσιος ἐπιπράσκει τὸ τοῦ ἀνήβου πρᾶγμα· ἢ τὸ διὰ πράγματος δημοσίου ἀπολιμπανομένου· ἢ ἑτέρου τινὸς καθ' οἱονδήποτε τρόπον ἀποκαθίστασθαι δυναμένου· μὴ ἀντιλέγεσθαι τοῖς τοῦ πράγματος δεσπόταις τὸ τετραετὲς χρόνου· τὸ βεβαιοῦν τὰς γινομένας ὑπὸ τοῦ δημοσίου πράσεις τῶν ἀλλοτρίων πραγμάτων. ἀνάγνωθι καὶ τὸ λδ' κεφ. φησί· ὅτι περὶ τῆς διδομένης τετραετίας εἰς ἀποκατάστασιν τοῖς ἀφήλιξι μετὰ τὸν κε' ἐνιαυτόν· ὁμοίως ἐν τοῖς συγγνώμην ἡλικίας αἰτήσασι μετὰ τὸ λαβεῖν τὴν συγγνώμην τῆς ἡλικίας· τρέχειν τὸν τετραετῆ χρόνον. ἀνάγνωθι ἐν βιβλίῳ ιθ' τοῦ ζ' κεφ. δ' κεφ. φησί· ὁ πλέον τῶν [illegible]

ρι'
καιναὶ

περὶ τῶν συγγνώμην ἡλικίας αἰτούντων· καὶ ἐν τῷ κεφ. τοῦ α' κεφ. φησί· ὅτι μόνος ὁ βασιλεὺς ἀναντιρρήτως ἐπιτρέπει τοῖς ἀφήλιξι τὰ ἴδια διοικεῖν· οἱ μὲν ὕπατοι καὶ ἄρχοντες :-

διηγόρως ἐπὶ τῷ ἠλευθερῶσθαι παρὰ δούλου· καὶ συμφωνήσαντα ὑπὲρ ἐλευ-
θερίας ὑπεύθυνον εἶναι ἕως οὗ πληρώσῃ τὰ κ΄ ἔτη. ἀν. ε΄ β΄ κς΄ τ. λ΄ κεφ. ιζ΄.
ε΄ β΄ να΄ τ. λ΄ θέ. ι΄ ἐν φ. Ἐὰν ἀφῆλιξ δωρήσηταί τινι ἐπιτρέπειν· ἔπειτα
ταῦτα ἐκδικεῖ αὐτόν· ἐμβάλλεται παραγραφῇ μὴ διδοὺς τὰς δεδωκη-
μένας δαπάνας καὶ τὰς τροφάς. ἀν. ε΄ β΄ κ΄ τ. β΄ κεφ. πη΄ ἐν φ. τῆς
ἐλάττονος ἡλικία, ἐν ταῖς ζημίαις συντρέχει· οὐ μὴν ἐν τοῖς πράγ-
μασι τοῖς ἀγαθῶς διοικηθεῖσιν ἀνατίθεσθαι ἔχει:

Περὶ ἀχαρίστων παίδων τε καὶ γονέων. καὶ τῶν τῆς ἀχαριστίας αἰ-
ἀν. καὶ νς΄ ριε΄. τιῶν δι' ἃς δύνανται ἑκάτεροι ἀποκλήρους ποιεῖν. ἀν. β΄ κζ΄ ἐν
τῷ φησί:

σϛ΄ Αἰτίαι δι' ἃς ἀχαριστίας ταύτας εἶναι ψηφιζόμεθα· εἴτε τοῖς ἰδίοις γονεῦ-
σι χεῖρας ἐπιβάλλοι· ἢ βαρεῖαν καὶ ἀπρεπῆ ὕβριν αὐτοῖς ἐπαγάγοι· ἢ ἐ-
πὶ ἐγκληματικαῖς αἰτίαις αὐτῶν κατηγορήσοι· τοῖς μὴ οὖσι κατὰ βα-
σιλέως ἢ πολιτείας· ἢ μετὰ φαρμακῶν ὡς φαρμακὸς ἀναστρέφεται· ἢ τῇ ζωῇ τῶν
ἰδίων γονέων διὰ φαρμάκου ἢ ἄλλῳ τρόπῳ ἐπιβουλεύσειε πειραθῆναι· ἢ τῇ
ἰδίᾳ μητρυιᾷ ἢ τῇ τοῦ πατρὸς παλλακῇ ἑαυτὸν μίξει· ἢ συκοφάντην τινὸς κατὰ τῶν
γονέων γένηται· καὶ διὰ τῆς ἰδίας καταμηνύσεως βαρεῖ αὐτοὺς ζημίᾳ ὑπομεῖ-
ναι παρασκευάσοι· εἰ συμβῇ τινὰ τῶν ἰδίων γονέων ἐγκεκλεῖσθαι· οἱ δὲ παῖδες
οἱ δυνάμενοι ἐξ ἀδιαθέτου εἰς τὴν τούτου διαδοχὴν ἥκειν αἰτηθέντες παρ'
αὐτοῦ ἤτοι ὁ εἷς ἐξ αὐτῶν μὴ βουληθεῖεν ἐπὶ τὴν ἑαυτῶν ἐγγύην τοῦτον
ἀναδέξασθαι· ἢ ὑπὲρ προσώπου ἢ τοῦ χρέους ὅσον ἐπιτήδειος εἶναι
ὁ αἰτούμενος ἀποδείκνυται· τοῦτο μέντοι ὅπερ ἐπὶ τῆς ἐγγύης ἐθεσπί-
σαμεν· εἰς τοὺς ἄρρενας καὶ μόνον ἀνήκειν παῖδας βουλόμεθα· εἰ ἐλέγχθη
τις τῶν παίδων· ὅτι ἐκώλυσε τοὺς ἰδίους γονεῖς ποιήσασθαι διαθήκην·
ὥστε εἰ ἐξῆν μετὰ ταῦτα διαθήκην ποιήσασθαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶ-
ναι ὑπὲρ τῆς τοιαύτης αἰτίας τὸν παῖδα ἀποκληρονόμον ποιεῖν· εἰ δὲ ἐν
αὐτῇ τῇ κωλύσει δίχα διαθήκης τῶν γονέων τις τελευτήσει· καὶ ἄλλοι εἴτε ἐξ
ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν ἢ μετὰ τοῦ παιδὸς τοῦ τὴν δι-
αθήκην γενέσθαι κωλύσαντος ἢ μετ' αὐτὸν καλούμενοι· εἴτε οὓς κληρο-
νόμους ἢ ληγαταρίους ἔχειν ἠβούλετο· εἴτε οἱ βλαβέντες τινὰ ἐκ τῆς κωλύσε-
ως τῆς διαθήκης ὑπομείναντες τοῦτο αὐτοὶ ἀποδέξασθαι· κατὰ τοὺς ἄλλους
νόμους τοὺς περὶ τούτου κειμένους· τὰ τοιαῦτα πράγματα περαιοῦσθαι.

εἰ παρὰ γνώμην τῶν γονέων· μεταξὺ κυνηγῶν ἢ μίμων ἑαυτὸν ὁ υἱὸς ἐγκατα-
λέξει· καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμένοι· εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς τῆς αὐτῆς
ἐπιτηδεύσεως γεγόνασιν· ἢ τινὶ ἐκ τῶν εἰρημένων γονέων βουλομένῳ τῇ ἰδίᾳ
θυγατρὶ ἢ ἐγγόνῃ ἄνδρα δοῦναι· καὶ προῖκα κατὰ τὴν δύναμιν τῆς ἰδίας περιου-
σίας ὑπὲρ αὐτῆς ἐπιδοῦναι· ἐκείνη μὴ συναινέσοι· ἀλλ' αἰσχρὸν βίον ἐπιλέξεται· εἰ δὲ μέ-
χρι πέντε καὶ εἴκοσι ἐνιαυτῶν ἡλικίας ἡ θυγάτηρ γένηται· καὶ οἱ γονεῖς ὑπερθῶνται ταύτην ἀν-
δρὶ συνάψαι· καὶ ἴσως ἐκ τούτου συμβῇ· εἰς τὸ ἑαυτῆς σῶμα ταύτην ἁμαρτῆσαι·
τοῦτο δὲ εἰς ἀχαριστίαν τῇ θυγατρὶ λογίζεσθαι οὐ βουλόμεθα· τουτέστιν ἐπειδὴ οὐ τῇ ἑαυ-
τῆς· ἀλλὰ τῇ τῶν γονέων αἰτίᾳ τοῦτο γινώσκεται πλημμελήσασα· εἴ τις ἐκ τῶν εἰρη-
μένων γονέων μανῇ· καὶ οἱ παῖδες αὐτοῦ ἢ τινὲς ἐξ αὐτῶν· ἢ παίδων αὐτῶν
μὴ ὄντων· οἱ ἄλλοι αὐτοῦ συγγενεῖς· οἱ ἐξ ἀδιαθέτου εἰς τὸν αὐτοῦ κλῆρον-
καλούμενοι· ὑπηρεσίαν καὶ φροντίδα προσήκουσαν αὐτῷ· ἄδεια πότερον βού-
λεται τὸν παῖδα, ἢ τοὺς παῖδας· ἢ συγγενεῖς τοὺς ἀμελήσαντας ἀχάριστον· ἢ ἀχαρί-
στους ἐν τῇ ἰδίᾳ γράψαι διαθήκῃ· εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτοῦ κατεχόμε-
νον· ἐξωτικός τις ἰδὼν ἀπὸ τῶν ἰδίων ἀμελούμενον παίδων· ἢ συγγενῶν ἢ ἄλ-
λων ὑπὸ αὐτοῦ γεγραμμένων κληρονόμων· καὶ δόξῃ αὐτῷ ἄδειαν· διαμαρ-
τυρεῖ τοῖς ἐξ ἀδιαθέτου ἢ ἀπὸ διαθήκης ἢ δὲ τετελευτηκυίας εἰς τὸν τοῦ μαινομένου
κλῆρον καλουμένοις, ἐγγράφως ἐπιστέλλων· ὥστε σπουδάσειν αὐτοὺς τούτου φροντί-
ζειν· εἰ δὲ μετὰ καὶ τὴν τοιαύτην διαμαρτυρίαν ἀμελήσωσι· καὶ ἐξωτικὸς ἐν
τῷ αὐτῷ αὐτοῦ οἴκῳ τὸν μαινόμενον ὑποδεξάμενος· δαπανήμασιν οἰκείοις
μέχρι τῆς τελευτῆς αὐτοῦ φροντίδος ἀξιωθῇ, τὸ τὴν ὑπηρεσίαν καὶ τὴν ἐπιμέλει-
αν τῷ μαινομένῳ προσαγόμενον· κἂν τὰ μάλιστα ἐξωτικὸς ᾖ· εἰς τὴν τούτου δια-
δοχὴν ἔρχεσθαι πιστεύομεν· ἀναιρουμένης τῆς αὐτῶν ἐνστάσεως· ἅτε δὴ ἀναξί-
ων ὄντων τῷ μαινομένῳ καθάπερ εἰρήκαμεν· φροντίδα περὶ αὐτὸν ἀμελησάντων· οὕ-
τω μένει ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια ἐν τῇ ἰδίᾳ μένειν ἰσχύϊ· εἰ
ἕνα τῶν προλεχθέντων γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβαίη· καὶ οἱ τούτου
παῖδες· εἴτε πάντες· εἴτε εἷς μὴ σπουδάσειεν τοῦτον ἀναρρύσασθαι· ὥστε [illegible]
[illegible] τὴν τῆς αἰχμαλωσίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ· εἰ δὲ
διὰ τῆς παίδων ἀμελείας ἢ καταφρονήσεως μὴ ἐλευθερωθῇ· ἀλλ' ἐν τῇ αἰχμα-
λωσίᾳ τελευτήσει, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα· οἵτι-
νες οὐκ ἐσπούδασαν τῆς ἀναρρύσεως αὐτοῦ φροντίσαι· ἀλλὰ πάντων τῶν παί-
δων ἐπὶ τούτῳ ἀμελησάντων· πάντα τὰ πράγματα τὰ περὶ αὐτοῦ καταλιμπά-

νόμενα, τῇ ἐκκλησίᾳ τῆς πόλεως ἐξ ἧς ὥρμηται προσκυροῦσθαι· ἀπογραφῆς ἐπὶ δημοσίου δηλαδὴ ἐμμαρτυρεῖ γενομένης· ὥστε μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας παραπολέσθαι· ἐφ' ᾧ πᾶν ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν περιήξει εἰς αἰχμαλώτων ἀνάρρυσιν περιήκειν. ἀλλὰ τοῦτο μὲν ἐπὶ τοῖς προσώποις εἴρηται ἅπερ ἀποκληρονόμον ποιεῖν οὐκ ἔξεστιν· ἀλλὰ καὶ τὰς τῆς ἀχαριστίας αἰτίας γραφῆναι καὶ ἀποδειχθῆναι συμβαίη. πρόφασιν δὲ ἴσως πρὸς τὸ γενικοῦ ποιήσασθαι νόμου· ἡ παροῦσα ὑπόθεσις δέδωκε. καὶ διὰ τοῦτο γενικῶς κελεύομεν· εἴ γε ὅπερ ἐκεῖνος ἐν αἰχμαλωσίᾳ τελευτῇ· καὶ παῖδας μὴ ἔχοι· καὶ τῶν ἄλλων τῶν εἰς τὴν τούτου κληρονομίαν ἐξ ἀδιαθέτου καλουμένων· ἀναρρύσασθαι αὐτὸν μὴ σπουδαζόντων ἐν τῇ αἰχμαλωσίᾳ τελευτήσοι· μηδένα ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν ἔρχεσθαι. εἰ καὶ πρὸ τῆς αἰχμαλωσίας διαθήκη τυχὸν παρ' αὐτοῦ ἐγεγόνει· ἐν ᾗ τὰ μνημονευθέντα πρόσωπα ἔγραψε κληρονόμους· ἀλλὰ καὶ ἐνταῦθα τῆς ἐνστάσεως τῶν κληρονόμων ἀκυρουμένης καὶ τῶν λοιπῶν τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύι. αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον ταῖς ἐκκλησίαις τῶν πόλεων ἐξ ὧν ὥρμηνται προσκυρούσθωσαν· καὶ μὴ ἐν ἄλλαις οἱαισοῦν αἰτίαις· ἀλλ' ἐν ταῖς τῶν αἰχμαλώτων ἀναρρύσεσι δαπανάσθω. ὥστε ὅθεν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνερρύσθησαν· τῆς ἄλλων ἀναρρύσεως φροντίζεσθαι·: αὐτοῦ τούτου παραφυλαττομένου· εἰ ἄλλο ἐξωτικὸν πρόσωπον πρὸ τῆς αἰχμαλωσίας γράψῃ κληρονόμον· κἀκεῖνος εἰδὼς ἑαυτὸν ὑπὸ ἐκείνου γεγράφθαι κληρονόμον· ἀναρρύσασθαι τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσει· ταύτην δὲ τὴν ποινὴν καὶ ἐκείνων κρατεῖν θεσπίζομεν· οἵτινες τὸν ὀκτωκαιδέκατον τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν. ἐν δὲ ταῖς τοιαύταις αἰτίαις· ἡνίκα ὑπὲρ ἀναρρύσεως αἰχμαλώτων ἀναγκαῖον εἴη εἰς χρήματα δοθῆναι· εἴτε ἴδια μὴ ἔχοι χρήματα· ἄδειαν ἐχέτω ὁ ὑπὲρ τῆς εἰρημένης ὑπερέχων ἡλικίας δανείζεσθαι χρήματα καὶ πράγματα κινητὰ ἢ ἀκίνητα ὑποτίθεσθαι· εἴτε ἴδια ἔχει· εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου· ἐπειδὴ ἐν τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναρρύσεως αἰχμαλώτων δίδοσθαι ἢ ἐκδανείζεσθαι δεικνυμένοις τὰ τοιαῦτα συναλλάγματα· ὡς παρὰ προσώπου αὐτεξουσίου καὶ τῆς νομίμου ἡλικίας οὕτως γινόμενα, βέβαια εἶναι παρακελευόμεθα· μηδενὸς τοῖς παρὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις καθάπερ εἴρηται συναλλάττουσι προκρίματος γινομένου· ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ ἐκ τῆς αἰχμαλωσίας ἐπα

˙/. Καὶ τὰς ἐκείνων ψυχὰς ἐκ ταύτης τῆς ἀσεβοῦς πράξεως ἐπικινδυνεύεσθαι· ./.

α´

νεχρωμένου τὰ τοιαῦτα συναλλάγματα ἐκβιάζεσθαι· καὶ τούτοις ὡς ἰδίοις
ὀφλήμασιν ἐνέχεσθαι· ἐάν τις ἐκ τῶν εἰρημένων γονέων ὀρθόδοξος ὑπάρχων·
ἀπαιτεῖ τὸν ἴδιον παῖδα ἢ παῖδας μὴ εἶναι τῆς καθολικῆς πίστεως· μὴ δὲ
ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν· ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι
μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοτάτην πίστιν κηρύσσουσιν· ἐάν τινων πάσας
τὰς εἰρημένας ἀχαριστίας αἰτίας· ἐάν τε φανερὰς ἐξ αὐτῶν· ἐάν τε μίαν οἵαν δή ποτε
οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψωσι διαθήκῃ· καὶ οἱ γεγραμμένοι κληρονόμοι τὴν ὀ-
νομασθεῖσαν ἢ ὀνομασθείσας αἰτίας ἢ μίαν ἐξ αὐτῶν δειχθῆναι ἀποδείξουσι· τὴν δια-
θήκην τὴν ἰδίαν ἔχειν ἰσχὺν προσκηρύσσομεν· εἰ δὲ ταῦτα μὴ παραφυλαχθῇ·
μηδὲν γενέσθαι προκείμενα τοῖς ἀποκληρονομουμένοις γεγραφόσι παισὶν· ἀλλ' ὅτε τὰς
τὴν ἔκστασιν τῶν κληρονόμων ἀνήκει· τῆς διαθήκης ἀκυρουμένης, εἰς τὴν τῶν
γονέων κληρονομίαν τοὺς παῖδας ἐξ ἀδιαθέτου ἐξ ἴσης μοίρας ἔρχεσθαι· εἴ τε
μὴ τοὺς παῖδας πεπλασμέναις κατηγορίαις κατακρίνεσθαι· ἢ τινὰ παρεγράφη
ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν· ἐπὶ ταύταις περὶ τῶν διαθηκῶν τῶν γο-
νέων διατυπώσεσι· δίκαιον εἶναι συνείδομεν καὶ ἐκ τοῦ ἐναντίου περὶ τῶν δια-
θηκῶν τῶν παίδων· τὰ αὐτὰ μετά τινος διαστάσεως διατυπῶσαι· τὰς δὲ αἰτίας τῆς
ἀχαριστίας τῶν γονέων πρὸς τοὺς παῖδας, ταύτας παραδοῦναι· δίχα μέντοι τῆς αἰτίας
τῆς καθοσιώσεως ἀναφερομένης· ἢ φαρμακείαις ἢ γοητείαις ἢ ἄλλῳ τρόπῳ οἱ
γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύοντες ἀποδειχθῶσιν· ἢ ὁ πατὴρ τῇ ἰδίᾳ νύμ-
φῃ· ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγῇ· ἢ οἱ γονεῖς τοὺς ἰδίους παῖδας
διαθήκας ποιῆσαι κωλύσωσιν διατίθεσθαι· πάντων δηλαδὴ τῶν ἐπὶ τῇ κωλύ-
σει τῶν τοιούτων διαθηκῶν φυλαττομένων· ἅπερ ἐπὶ τῶν γονέων προειρημένῳ τρόπῳ
διετάξαμεν· εἰ συμβαίη δὲ ἀνδρὶ τῇ ἑαυτοῦ γαμετῇ εἰς ἀναίρεσιν ἢ ἔκστασιν
τῆς διανοίας δοῦναι φάρμακον· ἢ τὴν γαμετὴν τῷ ἀνδρί· ἢ ἄλλῳ τρόπῳ, τὸν ἕτερον
τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι· ὃ ὡς τοιοῦτον ἔγκλημα δημόσιον ὑπάρχον.
κατὰ τοὺς νόμους ἐξετάζεσθαι· καὶ νομίμως ἐκδικεῖσθαι ἀξιοῦσθαι θεσπίζο-
μεν· τοῖς δὲ παισὶν ἄδειαν εἶναι ἐν ταῖς ἰδίαις διαθήκαις, μηδὲν ἐκ τῶν ἰδίων
περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειν τῷ τοιοῦτον μῦσος πεπρα-
χέναι γινωσκομένῳ· ἢ τῶν παίδων· ἢ ἑνὸς ἐξ αὐτῶν ἐν μανίᾳ τυγχάνοντος·
οἱ γονεῖς φροντίσωσιν αὐτῶν ἀμελήσαι· πάντα καὶ ἐνταῦθα παραφυλάττεσθαι
προστάττομεν· ἅπερ περὶ τῶν μαινομένων γονέων, ἀνωτέρω ἐθεσπίσαμεν· τού-
τοις τοῖς θέμασι· καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστεθείκαμεν· ἐν ᾗ εἰ τοὺς παῖ-

αἰτίαι ἀχαριστί-
ας γονέων

ς

ρ

δας κελεύεται· καὶ διὰ τῆς τῶν γονέων καταφρονήσεως ἡ ἀμιγῆ μὲν ἀναρρυσθέντας γάμον τι συμβαίη, μηδαμῶς τοὺς τούτων γονεῖς εἰς τὰς περιουσίας ἐρχομένων παίδων, ἐφ' αἷς διαλύεσθαι οἱ παῖδες ἠδύναντο· ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ μέρει φυλάττεσθαι· ἀλλὰ καὶ περὶ γονέων καὶ συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τούτων δίκαια καλουμένων· ἢ περὶ τῶν ἐξωτικῶν καλουμένων κληρονόμων ἀνωτέρω διείληπται· εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων αἰτιᾶται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ εἶναι καθολικούς, ταῦτα καὶ ἐπὶ τῶν τοιούτων προσώπων κρατεῖν· ἀλλ' ἀνωτέρω περὶ τῶν γονέων διείληπται:

οδ' Περὶ ἀχαρίστων ἀδελφῶν καὶ τῶν αἰτιῶν τῆς ἀχαριστίας αὐτῶν· βιβ. β' κη' τί ια' κε' ιϛ' θε' ε' ἐν τῷ φησιν:

Ἐπειδὴ ἴσμεν πολλὰς τοῖς ἀδελφοῖς πρὸς ἀλλήλους γινομένας φιλονεικίας· ἐκεῖνον μόνον ἀχάριστον τῶν ἀδελφῶν γινόμενον μετέχειν τοῦ τοῦ κέρδους οὐ συγχωροῦμεν· ὃς ἂν ἢ θάνατον ἐπιβουλεύσῃ τῷ ἀδελφῷ, ἢ ἐγκληματικὴν ἀπενέγκοι τὴν κατ' αὐτοῦ γραφήν· ἢ τῆς οὐσίας αὐτοῦ ἀπώλειαν σπουδάσῃ ἐπαγαγεῖν ἀφαίρεσιν· τὸ γὰρ ἐκείνου μέρος· εἰς τοὺς λοιποὺς
ἀδελφοὺς καὶ ἀδελφόπαιδας
καὶ τὴν μητέρα ἔρ-
χεσθαι:

## Ἀρχὴ σὺν θεῷ τοῦ γ' στοιχείου:

α' Περὶ βαθμῶν συγγενείας· βιβ. β' κη' τί ε' ἐν τῷ φησιν:

Ἡ συγγένεια· ὄνομά ἐστι γενικόν· διαιρεῖται δὲ εἰς τρία· εἰς ἀνιόντας· εἰς κατιόντας· καὶ τοὺς ἐκ πλαγίου· καὶ ἀνιόντες μέν εἰσιν· οἱ ἡμᾶς γεγεννηκότες· οἷον πατήρ· μήτηρ· πάππος· μάμμη· πρόπαππος· πρόμαμμη· καὶ οἱ ἐπὶ τούτων ἀνωτέρω· κατιόντες δὲ καὶ οἱ ἐξ ἡμῶν γενόμενοι· οἷον, υἱὸς· θυγάτηρ· ἔγγονος ἐγγόνη· πρόεγγονος προεγγόνη· καὶ οἱ ἐπὶ τούτων κατωτέρω· ἐκ πλαγίου δέ, οἱ μήτε ἡμᾶς γεγεννηκότες· μήτε ἐξ ἡμῶν γεννώμενοι· τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες· οἷον ἀδελφός· ἀδελφή· θεῖος θεία· ἀνεψιός· ἀνεψιά· καὶ οἱ ἐκ τούτων καταγόμενοι. ἡ δὲ ἐκ πλαγίου τάξις διαιρεῖται εἰς δύο· εἰς τοὺς κατὰ ἀρρενογονίαν καὶ κατὰ θηλυ-

ση(μείωσαι) γραφὴ περὶ βαθμῶν συγγενῶν καλῶς καὶ ἀναγκαῖ ὅλα· καὶ τῶν ζητουμένων τοῖς βαθμοῖς

ε̄

γωνίαν ἢ καὶ συναπτομένους· ἑκάστη δὲ τάξις γένεσιν· ποικίλους ἔχει καὶ δια-
φόρους τοὺς βαθμούς· ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων· ἁπλουστέρα
ἐστὶ καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν· ἕκαστον γὰρ τούτων τῶν προσώπων βαθμὸν
ἀποτελεῖ· καὶ ἁπλῶς ὅσαι γενέσεις· τοσοῦτοι καὶ βαθμοί· δυσχερεστέρα δὲ καὶ οὐκ
εὐκατάληπτος ἐκ πλαγίου ἡ τῶν βαθμῶν εὕρεσις· διὸ ἡμᾶς οὐκ εὐθέως
ζητεῖν ἐπὶ τοῦ ἐκ πλαγίου προσώπου· ἀλλὰ πρότερον ποιεῖσθαι τὴν ἀνάβασιν ἐπὶ
τοὺς ἀνιόντας· μέχρις οὗ ἐπιστῶμεν ἐκείνῳ τῷ αἰτίῳ τῆς συγγενείας τοῦ ἐκ πλα- ἐκείνῳ
γίου· εἶτα τότε εὑρόντες κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τὸ ἐκ πλα-
γίου· καὶ οὕτως πάσας ἀριθμεῖν τὰς γεννήσεις τὰς συναγομένας· τότε μὲν
ἐπὶ τῆς ἀνόδου· τότε δὲ ἐπὶ τῆς καθόδου· ἑκάστην γὰρ γέννησιν ἐνὶ διάζοντι
τῶν ἄλλων βαθμῷ, ποιοῦ τὸν ἀριθμόν· καὶ ἐπὶ μὲν τῶν κατιόντων, ὑπόθες τὸ το-
ιοῦτον· ὁ υἱός μου πόσου ἐστὶ βαθμοῦ· ἐγὼ δὲ ἔτεκον· ἰδοὺ μία γέννησις, ἕνα βαθ-
μὸν ἀπετέλεσεν· οὐκοῦν ὁ ἔκγονος πρώτου μοι ἐστὶ βαθμοῦ· ὁ ἔκγονος, πόσου·
ἐγὼ ἐγέννησα τὸν υἱόν· ὁ υἱός, τὸν ἔκγονον· ἰδοὺ δύο γεννήσεις, δύο βαθμοὺς
ἀπετέλεσαν· οὐκοῦν ὁ ἔκγονος ἐστὶ δευτέρου βαθμοῦ· τὸ αὐτὸ ἐφεξῆς ἐπὶ προ-
εκγόνου καὶ ἀπεκγόνου· ὁμοίως καὶ ἐπὶ τῶν ἀνιόντων· ὁ πατὴρ πόσου ἐστὶ βαθμοῦ;
ἐμὲ ἐγέννησεν ὁ πατήρ· ἰδοὺ μία γέννησις· ἕνα βαθμὸν ἀπετέλεσεν· οὐκοῦν πρώ-
του μοι ἐστὶ βαθμοῦ· ὁ ἔκγονος, πόσου· ἐγὼ ἐγέννησα τὸν υἱόν· ὁ υἱός, τὸν ἔκγο-
νον· ἰδοὺ δύο γεννήσεις· δύο βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν ὁ ἔκγονος ἐστὶ δευ-
τέρου βαθμοῦ· τὸ αὐτὸ ἐφεξῆς ἐπὶ προεκγόνου καὶ ἀπεκγόνου· ὁμοίως καὶ
ἐπὶ τῶν ἀνιόντων· ὁ πατὴρ πόσου ἐστὶ βαθμοῦ· ἐμὲ ἐγέννησεν ὁ πατήρ· ἰδοὺ μία γέν-
νησις· ἕνα βαθμὸν ἀπετέλεσεν· ὥστε οὖν πρώτου μοι ἐστὶ βαθμοῦ, ὁ πάππος πό-
σου· ἐμὲ ὁ πατὴρ ἐγέννησεν, τὸν πατέρα ὁ πάππος· ἰδοὺ δύο γεννήσεις, δύο βαθμοὺς
ἀπετέλεσαν· ἔστιν οὖν ὁ πάππος, δευτέρου βαθμοῦ· τὸ αὐτὸ καὶ ἐπὶ μητρὸς καὶ μάμ-
μης καὶ πάντων τῶν ἀνιόντων· ἀρρένων ἢ θηλειῶν· ἐπὶ δὲ τῶν ἐκ πλαγίου ὡς εἴ-
ρηται· δεῖ ἀνιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον τὰς γεννήσεις ἀριθμοῦν-
τας· καὶ πάλιν κατιέναι ψηφίζοντας τὰς γεννήσεις ἀριθμοῦντας· ἕως οὗ ἔλθω-
μεν εἰς τὸ πρόσωπον· περὶ οὗ ἡ ζήτησις· ἐὰν οὖν ἐρωτηθῇς ὁ ἀδελφός πόσου μοι ἐστὶ
βαθμοῦ· λέγε· δευτέρου· ἀνέρχου πρὸς τὸν πατέρα· ἰδοὺ μία γέννησις ἀπὸ
τοῦ πατρὸς εἰς σέ, ἕνα βαθμὸν ἀπετέλεσεν· εἶτα ἐπεὶ δεῖ εὑρεῖν τὸ αἴτιον τῆς συγγενεί-
ας πρόσωπον κατέλθε πρὸς τὸν ἀδελφόν· πρὸς τοῦτο γὰρ ἐνταῦθα ἑτέραν γέννησιν· δευτέραν
″ Ἐὰν οὖν γεννήσεις β βαθμοὺς ἀπετέλεσαν· οὐκοῦν καλῶς εἴρηται· ὅτι ὁ ἀ

″ ἰδοὺ δύο

ἐστί Περὶ δευτέρου βαθμοῦ. πάλιν ἐάν τίς σε ἐρωτᾷ ὁ θεῖος πόσου σοι ἐστὶ βαθ-
μοῦ, λέγε τρίτου. ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν σὸν πατέρα καὶ λέγειν· ἐμὲ ἐγέννησεν ὁ πατήρ,
τὸν πατέρα ὁ πάππος. ἰδοὺ δύο γεννήσεις. ὁ αὐτὸς πάππος τὸν ἐμὸν θεῖον, ἰδοὺ
τρεῖς γεννήσεις, τρεῖς ἀποτελέσαι βαθμούς. ὥστε ὁ θεῖος τρίτου ἐστὶ βαθμοῦ ὁ θεῖος. οὕ-
τω καὶ ἐπὶ τῶν ἑξῆς διὰ τῷ αὐτῷ προσέχων κανόνι δύνασαι καταλαβεῖν τοὺς βαθ-
μούς. ἀνάγνωθι καὶ τὸ μη' τοῦ ε' κεφ. τοῦ θ' τίτλου βιβλίου. ἡ συγγενικὴ τῶν βαθμοὺς
συγγενῶν περιλαμβάνει. καὶ ἀπὸ τοῦ ἑβδόμου βαθμοῦ. πρὸ τὸ ἑκτό-
μου ἀπὸ δισεξαδέλφου καὶ δισεξαδέλφης. καὶ κεφ. κβ' τοῦ αὐτοῦ βιβλίου. ποίου βαθ-
μοῦ συγγενής κἂν μὴ ὑποσχηθῇ τῇ κληρονομίᾳ ἐξετάζειν βοηθεῖται.
ἀνάγνωθι καὶ τὸ γ' κεφ. α' τοῦ αὐτοῦ βιβλίου. τῶν συγγενῶν οἱ μὲν εἰσὶν ἀνιόντων, οἱ δὲ κατιόν-
των, ἄλλοι δὲ ἐκ πλαγίου. καὶ οἱ μὲν ἀνιόντες ἀπὸ τοῦ πρώτου
βαθμοῦ ἄρχονται. οἱ ἐκ πλαγίου δὲ πρῶτον ἀλλ' ἀπὸ δευτέρου ἄρχονται.
ἡνίκα δὲ περὶ κληρονομίας ἡ διακατοχὴ ται. οὐ συντρέχουσιν ἀλλήλοις πάν-
τες. οἱ τοῦ αὐτοῦ βαθμοῦ ὄντες. τοῦ δὲ αὐτοῦ ε' κεφ. ἐν τῇ φυσικῇ συγγενείᾳ τὸν
ἕβδομον βαθμὸν οὐ παρεξερχόμεθα. οὐ γὰρ ἡ φύσις ἀνέχεται ὑπὲρ τοῦτον τὸν
βαθμὸν τὴν ζωὴν τῶν ἀνθρώπων παρεκτείνεσθαι:

ε' Περὶ βαλάνου. ἀνάγνωθι βιβλ. νη' τίτ. κα' κεφ. κγ' ἐν ᾧ φησιν:

Ἐὰν βάλανος ἐκ τοῦ ἀγροῦ δένδρου τοῦ σοῦ πέσῃ, λέγει ὁ πραίτωρ ἐξεῖναί μοι ἐπὶ
τρεῖς ἡμέρας ἐκλέγειν καὶ ἀφαιρεῖσθαι αὐτήν. τὸ αὐτὸ δὲ νοοῦ καὶ ἐπὶ παν-
τὸς καρποῦ:

γ' Περὶ βασιλέως καὶ βασιλίσσης ἤτοι αὐγούστης. ἀνάγνωθι β' βιβλ. τοῦ ς' τίτ-
λου τοῦ αὐτοῦ α' κεφ. φησίν:

Ὁ βασιλεὺς τοῖς νόμοις οὐχ ὑπόκειται. ἡ αὐγοῦστα δὲ ὑπόκειται. δίδωσι δὲ ὁ βα-
σιλεὺς τῇ ἑαυτοῦ προνόμια. τοῦ δὲ αὐτοῦ β' κεφ. ὃ γὰρ ἀρέσκει τῷ βασιλεῖ νόμος ἐστίν.
εἴτε διὰ ἐπιστολῆς ἐξ ὑπογράφου θείου ἢ διαγνώσκων ψηφίσηται ἢ ἐξ ἐ-
πιπέδου θεσπίσῃ ἢ διὰ διατάγματος προσαγορευθῇ. καὶ λέγεται ταῦτα διατάξεις.
τινὰ δὲ τούτων προσωπικά ἐστι καὶ οὐχ ἥκουσι πρὸς ὑπόδειγμα. εἴτε πρὸς φι-
λοτιμίαν εἴτε πρὸς ποινήν τινος ἐτέθησαν. τοῦ δὲ αὐτοῦ ιζ' κεφ. ἡ μεταξὺ δύο τινῶν
βασιλέων ἀπόφασις καὶ ἐπὶ τῶν παραπλησίων κρατεῖ:

δ' Περὶ βασιλικῶν ἀντιγραφῶν καὶ διατάξεων καὶ κελεύσεων
καὶ τύπων: ἀνάγνωθι β' βιβλ. τοῦ ε' κεφ. β' ἐν ᾧ φησιν:

Ἐρρώσθω παράνομος ἀντιγραφὴ βασιλέως. ἐξ οὗ ἔτεσιν οὐκ ἀδικεῖ. ἡ δὲ δοῦ-

ε̄

ἐγκλήματος χαρίζεται παραχώρησιν. ἀνάγν. καὶ κεφ. θ καὶ ιθ ἐν ὁμ. τίτ. Οὐδέ
τω πάντως ὁποιαδήποτε πρὸς τὸν τυχόντα δικαστὴν ἀντιγραφὴ βασιλέως γενικῷ
παραλογιζομένη νόμῳ. ἢ τὸ δημόσιον καταβλάπτουσα. ἀνάγν. ε κεφ. κθ ἐν ὁμ. τίτ.
Διηνεκῶς κρατείτωσαν αἱ βασιλικαὶ ἀντιγραφαί. ἐὰν μὴ διορισθῶσιν ἐπὶ
αὐτοῖς ἰδικοῖς χρόνου. ἀνάγν. ε κεφ. κβ ἐν ὁμ. τίτ. Μηδεὶς τὰ ἴσα τῶν βασιλικῶν
ἀντιγραφῶν. ἀλλὰ δὲ μετὰ ὑπογραφῆς βασιλικῆς, τὰ αὐθεντικὰ προφερέ
τω. καὶ κεφ. κγ ε κδ ἐν ὁμ. τίτ. Ὁ ὁποιαδήποτε συναρπάσας βασιλικὴν ἀντιγρα
φὴν τὸ ἀληθὲς ἐσίγασεν. καὶ μηδὲ ἄλλως ἐρρώσθω. τοῦ δὲ ὑπαγορεύσαντος
ἢ δεξαμένου δικαστοῦ ὑπομένειν οὗτος. τῶν γραμματέων, ἐκπιπτόντων
τῆς ζώνης. καὶ κεφ. κζ ἐν ὁμ. τίτ. Πραγματικὸς δὲ [illegible]· μὴ ἐκφωνείσθω τύπος
πρὸς ἰδικὴν τοῦ ἰδιωτικοῦ πράγματος δέησιν· ἀλλὰ μόνον πρὸς σωματεῖον.
ἢ ἕτερον σύ ἢ πόλιν ἢ ἐπαρχίαν. τῆς ἀληθείας καὶ ἐπὶ τούτων σκοπουμένης.
ἀνάγν. καὶ ε ὅμοιος ἐν ὁμ. α κεφ. τίτ. Αἱ μεταγενέστεραι διατάξεις ἰσχυρότεραι
τῶν λοιπῶν εἰσί. ἐν τῷ δὲ ξ κεφ. Τὰς ἀναφορὰς ἢ μηνύσεως ἢ κινουμένης
ἐξενεχθείσας βασιλικὰς ἀντιγραφάς. κύριοι ἐπὶ μόνων αὐτῶν τῶν
ἀνθρώπων ἢ πραγμάτων· καὶ τιμωρεῖσθαι τοὺς ἀναιρέσαι αὐτὰς ἢ μὴ φυλάξαι
πειθομένους. ἐν τῷ δὲ θ κεφ. Καὶ τὰ βασιλέως οἱ γενικοὶ κρατείτωσαν.
Καὶ πάντα παρανόμως ἐκβαλλέσθω παραγραφή. ἐν τῷ δὲ κγ. Θεσπίζομεν. ὥστε
δίκης ἐξεταζομένης· εἴτε ἐπὶ χρηματικαῖς ἢ ἐγκληματικαῖς· ἢ ἑτέραις οἵαι
σοῦν ἀναφυομέναις αἰτίαις παρὰ δικασταῖς· εἴτε ἐνταῦθα εἴτε ἐν ἐπαρχίαις.
μήτε πραγματικοῦ τύπου· μήτε ἑτέραν ἀντιγραφήν· μήτε θείαν τινὰ ἢ ἔγγ
ραφον ἢ ἄγραφον κέλευσιν· ἢ κατάθεσιν ἐν ταύτῃ τῇ βασιλίδι πόλει παρ᾽ ἄλλων
προβλέπτων ἢ παρὰ ῥεφερενδαρίων· ἢ ἑτέρου τινὸς διατυπωθεῖσαν αὐτοῖς. ὅπως
δέοι τὴν ἀρχὴν αὐτοῖς ἐξετάζειν ἢ κείνην ὑπόθεσιν καταφανῆ γίνεσθαι τοῖς
δικάζουσιν· ἢ καταφανῆ γενομένην κρατεῖν· ἀλλὰ κατὰ τοὺς γενικοὺς ἡμῶν νό
μους τὴν δίκην ἐξετάζεσθαι. ὃ γὰρ ἐπὶ τῇ τῶν νόμων κρινόμενον ἐξουσί
ᾳ. οὐκ ἂν δεηθείη τινὸς ἔξωθεν διατυπώσεως. ἀνάγν. καὶ ε η τ α κεφ. μ. ε
ε ια τ ε κεφ. κδ ε ν τ η κεφ. ζ ἐν ὁμ. τίτ. Ὁ δὲ παραγραφὴν δημοσίων βα
σιλέως ἀντιγραφὴν λαβὼν. μὴ ὠφελείσθω. χρὴ γὰρ πάντας σώζειν τὰ δημό
σια. ἀνάγν. τ ιθ ἐν ὁμ. τίτ. Περὶ βασιλικῶν κελεύσεων ἢ θείων τύπων. ὥστε
μὴ ἐρρῶσθαι αὐτούς. εἰ μὴ γένοιντο καταφανεῖς τοῖς τῶν πραιτωρείων ἐνδό
ξοις ἐπάρχοις: —

ζ

.G.

ε΄

αὐθ. καὶ ν. ογ΄ κεφ. ϛ΄. ἐν ᾗ καὶ περὶ συγκρίσεως γραμμάτων καὶ περὶ ὅρκου διδομένου περὶ τῶν δικαζομένων. καὶ ὅτι ἐν ᾗ φέρεται πῶς χρὴ ἐπιλύεσθαι τὸ πιστοῦσθαι τοῖς ἀφανιζομένοις συμβολαίοις:

## Περὶ βεβαιώσεως τῶν προκομιζομένων ἐγγράφων δικαιωμάτων. αὐθ. ε΄ κεφ. θ΄ τίτ. γ΄ οὗτινος ἐνθάδε α΄ κεφ. φέρεται:

Καλῶς ᾐτούμεθα τὸ δεχθῆναι τοῖς νόμοις πεπληρῶσθαι. ἐπειδὴ γὰρ οἱ τὰς γραφὰς τῶν νόμων βουλόμενοι ἐξ ἰδιοχείρων μηδεμίαν γίνεσθαι σύγκρισιν. εἰ μὴ ἄρα περὶ τῶν μαρτύρων ὑπογραφὰς ἔχουσι τὰ χειρόγραφα. καὶ αὐτοὶ οἱ μάρτυρες ὁμολογήσουσιν ὅτι ὑπέγραψαν. ἢ ἀρνούμενοι περὶ τῆς ἰδίας χειρός. ἀπὸ συγκρίσεως τῶν ἰδίων γραμμάτων ἐλεγχθῶσιν. ἀλλ᾽ ἐκ μόνων τῶν ἀγοραίων. ὁ ῥᾳδιουργία δὲ τῇ τῶν πραγμάτων πείρᾳ δεομένη προσηκούσης ἐπανορθώσεως ἐν τῷ νόμῳ. καὶ τοῦτο ἐξ αὐτῆς τῆς τῶν δικαζομένων διεξόδου πείρας. ἐπανορθοῦμεν αὐτὸ κατὰ τοῦτο βουλόμεθα τὸ ζήτημα. πολλάκις γὰρ προκομίσας τις ἰδιόχειρον συμβόλαιον. καὶ ἐξ αὐτοῦ ποιούμενος τὴν ἀναγνώρισιν ἢ τὴν τῶν οἰκείων δικαίων ἀπόδειξιν. ἐπειδὴ τῆς αὐτῆς χειρὸς τὸ ἐναντίον μέρος προεκόμισε γράμματα. ἐπ᾽ ἀνομοίων σύστασιν ἐκεῖθεν ἠβουλήθη γενέσθαι. ἐξ ὧν αὐτὸς ὁ ἀντιλεγόμενος αὐτὰ προσκεκόμικεν. ὅπερ ἀπεκέκλειστο τῷ νόμῳ. τὸ δεῖν ἐξ ἀγοραίων συμβολαίων γίνεσθαι τὰς συγκρίσεις. ἀλλ᾽ οὐ τῶν αὐτογράφων. θεσπίζομεν εἴποτε τοιοῦτό τι συμβαίη, καὶ τις βουληθείη πρὸς ἄλλα τὰ παρὰ τοῦ ἀντιδίκου προκομισθέντα γράμματα γενέσθαι τὴν ἐξέτασιν μὴ ἀποβάλλεσθαι τοῦτο, ὡς οὐκ ὀρθοῦ γενομένου. ὃ γὰρ ἂν αὐτὸς πιστεύσῃ. τοῦτο προσκεκόμικε. καὶ ἐξ οὗ τὰ οἰκεῖα ἐπιρρώννυσι τοῦτο, οὐ κατὰ διαβάλοι. οὐ δὲ κωλύσειεν τὴν σύγκρισιν τῶν γραμμάτων γενέσθαι. πρὸς αὐτὸ καὶ τοῖς λοιποῖς καθεστὼς ἰδιόχειρον. οὐ γὰρ ἂν αὐτὸς ἑαυτῷ πολεμοίη, καὶ ἅπερ ἰσχυρίζεται ταῦτα διαβάλοι. εἰ δὲ καὶ ἐκ δημοσίων ἀρχείων προκομισθείη χάρτης. οἷον ἀπόδειξις τῆς τραπέζης τῶν ἐνδοξοτάτων ὑπάρχων. ἴσμεν γὰρ δὴ καὶ τοῦτο ζητηθέν. καὶ τὸ ἐκ τῶν δημοσίων προκομιζόμενον. καὶ δημοσίαν ἔχον μαρτυρίαν. καὶ τοῦτο δεκτὸν εἶναι πρὸς τὰς συγκρίσεις τίθεμεν. πανταχοῦ γὰρ τὰ τῆς παραποιήσεως μισοῦντες πλημμελήματα. καὶ τὸ ὅρκον διδόναι τοὺς ἀντεξετάζοντας τὰ γράμματα νενομοθετήκαμεν. καὶ τὴν ἐξ ἀγοραίων μόνον συμβολαίων παράθεσιν ἐξοντιζόμεθα. ὥστε κρατεῖν τὰ διατάγματα ὁ νόμος ἐκεῖνος τῆς παρούσης ὑποδιαιρέσεως ἐπιτεθειμένης αὐτῷ. τοῦ μετὰ τοῦ ὅρκου τῶν συγκρινόντων ἐκ τρόπου παντὸς διδομένου. αὐθ. ἐν τῷ αὐτῷ οὗτινος ἐνθάδε α΄ κεφ. φέρεται. εἴ τις ἀσφαλῶς παρακαταθέσθαι βούλεται. μὴ μόνοις πιστευέτω τοῖς τοῦ λαμβάνοντος γράμμασι. τοῦτο ὅπερ ἐν τῇ δίκῃ ζη

τηθείη· ἐπειδήπερ οὐ συνωμολόγησεν ὃ γέγραφεν εἶναι λεγόμενος αὐτοῦ καθεστά-
ναι τὰ γράμματα· μεγάλην ἔχει ταραχὴν καὶ γράψαι ἕτερα καταναγκασθέντος.
ἅπερ ἔδοξε παρόμοια μὲν οὐ μὴν διὰ πάντων ἐοικότα· καὶ τότε ἐπὶ τοῖς γράμμα-
σιν ἐκείνου τοῦ πράγματος μεμνηκότος· ἀλλ᾽ ὅτι τὴν παρακαταθήκην δεδωκὼς
προκομίζοι καὶ μάρτυρας· ὡς ὅσοι τε σεμνοὺς καὶ πίστεως ἀξίους· καὶ οὐκ
ἐλάττους τριῶν· ἵνα μὴ ἐπὶ μόνων ἠρτήμεθα τῶν γραμμάτων· καὶ τῆς τούτων
ἀντεξετάσεως· ἀλλὰ δὴ τοῖς δικάζουσι· καὶ ἡ παρὰ μαρτύρων βοήθεια· καὶ γὰρ
δὴ καὶ τοιαύτας μαρτυρεῖν προσιέμεθα· ὥστε παρόντας μάρτυρας λέγειν, ὡς
αὐτῶν παρόντων ὑπέγραψεν ὁ τὸ συμβόλαιον ποιούμενος· καὶ τοῦτο ἐπίστανται.
εἰ γὰρ εὕροιμεν τοιούτους τινὰς μάρτυρας οὐκ ἐλάττους τῶν τριῶν ἀξιοπίστους
καθεστῶτας· οὐδὲ τὴν τοιαύτην ἀπαγορεύομεν πίστιν· οὐ γὰρ ἵνα συστέλλωμεν τὰς ἀ-
ποδείξεις τίθεμεν τὸν νόμον· ἀλλ᾽ ἵνα καὶ εἶναι αὐτὰς ποιήσωμεν· καὶ ἀσφαλεῖς
εἶναι· ἀλλὰ καὶ εἴ τις δανειστὴς τοῦ συμβολαίου ἢ ἄλλου τινὸς πράττοι· ἐμὴν δὲ
λέγω τοῦτο ἐπ᾽ ἀγορᾶς συντεθῆναι· ὅπερ καὶ ἐπὶ τῆς παρακαταθήκης ὁρίζομεν· μὴ
αὐτόθεν δοκεῖν ἀξιόπιστον τὸ γραφόμενον ἐπὶ τοῦ δανειστικοῦ συμβολαίου· πλὴν εἰ μὴ
τε μαρτύρων ἔχει παρουσίαν ἀξιοπίστων· οὐκ ἐλαττόνων τῶν τριῶν· ἵνα τε αὐτοὶ
παραγένοιντο· καὶ τοῖς οἰκείοις μαρτυρήσωσι γράμμασιν· εἴτε ἐπειδήπερ μαρ-
τυρούντων παρόντων αὐτῶν τὸ συμβόλαιον συνετάγη· λαμβάνει τὸ πρᾶγμα τὴν
πίστιν ἑκατέρωθεν· οὐκ ἀποβλητέον παντελῶς· καὶ τῆς τῶν γραμμάτων ἐξετά-
σεως οὔσης, ἀλλὰ μόνης οὐκ ἀρκούσης· τῆς δὲ διαθήκης τῶν μαρτύρων βεβαιου-
μένης· εἰ μέντοι τοιοῦτόν τις συμβαίη πρότερον ἐπ᾽ ἀρχαίοις ἐγένετο· καὶ ἕ-
τερα μὲν ἡ παράθεσις τῶν γραμμάτων ἐδόκει· ἕτερον δὲ αἱ μαρτυρίαι· τηνι-
καῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ τῶν λεγόμενα φωνῆς καὶ μεθ᾽ ὅρκου
ταῦτα ἀξιοπιστότερα τῆς αὐτῆς ἐπαφῆς καθ᾽ ἑαυτὴν τυγχάνειν· πλήν, ἀλλ᾽ ἔστω
τοῦτο τῆς τῶν δικαζόντων ἀγχινοίας τε ὁμοῦ καὶ θεοφιλίας· τὸ τοῖς ἀληθεστέ-
ροις μᾶλλον· αὐτὴ τῶν τοιούτων πιστεύειν· καὶ ἡμεῖς μὲν γὰρ τοῦτον τὸν τρόπον· οἰόμε-
θα δεῖν, ἀποδείκνυσθαι πᾶσι τὰ συμβόλαια· εἰ μέντοι τις ἢ παρακατατι-
θέμενος ἢ δανείζων ἢ ἄλλως συμβάλλων ἀρκεσθείη τοῖς γράμμασι μό-
νου τοῦ πρὸς αὐτὸν συμβάλλοντος· ἐπὶ αὐτῷ κείσεται τὸ κινδυνεύειν· ὡς τῆς ἐ-
κείνου πίστεως τὸ πᾶν αὐτὸς ἀνηρτήσατο· καὶ ὅθεν μὲν αὐτὸς ἐκ τῆς γραφῆς ἀλλ᾽
ἂν αὐτάρκης δόξειε· καὶ γὰρ τοῦ ἡμετέρου νόμου τῷ συμβολαίῳ προστίθεσθαι
πίστις· εἰ δὲ ἡ παρουσία τῶν μαρτύρων, ἐφ᾽ ὧν τὸ συνάλλαγμα γέγονεν ἢ ἴσως

ἡ τελευταία τοῦ πράγματος καταφυγή· φασὶ δὴ τὴν ἐξ ὅρκου πίστιν, οὐκ ἀκού-
ρομεν τιθέμενον· τὰς γὰρ παραποιήσεις καὶ τὰς μισθώσεις(?) εὐλαβούμενοι. καὶ
γυναιξὶν οὔτισιν αὐταῖς οὐ πιστεύοντες, τὴν τοιαύτην ἀκρίβειαν προστίθεσθαι τοῖς
πράγμασι· οὐχ ἵνα τοὺς πιστεύοντας ἀφαιρώμεθα τῆς ἑαυτῶν περὶ τοὺς ἄλλους
πίστεως· ἀλλ' ἵνα εἰς οὐδὲν τὴν ἀγνωμοσύνην τε καὶ ἄρνησιν πολλοῖς γέγ-
ραπται(?) τρόποις· ἀλλὰ καὶ τὰ συμβόλαια τὰ ἐπ' ἀγορᾶς συντιθέμενα. τὸ καὶ
τὴν τῶν συμβολαιογράφων ἔχει πλήρωσιν· προσλαμβανέσθω καὶ αὐτὰ πρὸ
τοῦ τελέσματος· τὴν ἐγγράμμασιν ἐκ τρίτων τῶν μαρτύρων παρουσίαν· δεῖ,
μέντοι τοὺς δικάζοντας. καὶ ἄλλα σημεῖα ὅσ' ἔχειν, προσγεγραμμένα τοῖς ἄλ-
λοις· καὶ ταῦτα ἀναζητεῖν καὶ ἀναγινώσκειν παρεῖναι· πολλὰ γὰρ ἴσμεν
καὶ ἐξ ἐκείνων διαφανέντα· καὶ μὴ παραχάραξις τὰς πίστεις τῶν γραμμάτων ἐκ
παραθέσεως ἑτέρων προσάγεσθαι διὰ τὰς συμπεράσεις ἢ μὴ [illegible] αὐτῇ.
εἰ μέντοι τελευτῆσαι ἅπαντες οἱ μάρτυρες· ἢ καὶ ἀπόντες τυχοῦσι· ἢ καὶ ἄλλως
οὐ δυνατόν ἐστι τὴν ἐκ τῶν μαρτύρων τῶν ὑπογεγραφότων πίστιν ἐπιτεθῆναι.
μήτε ὁ συμβολαιογράφος περίεστιν ὁ γράψας· εἴτε ἀγοραῖον εἴη· ὥστε μαρτυρῆ-
σαι τοῖς ἑαυτοῦ ἢ μηδὲ ἐνδημῶν· ἀλλὰ πάντως ἀνάγκη τὴν ἀντεξέτασιν τῶν
γραμμάτων ἢ τῶν τελευτησάντων ἢ τῶν ὑπογραψάντων παραλαβεῖν, τὴν ἱκανῶς τα-
πεινὴν ἐστιν εἶναι περὶ τὰς συνθήκας· οὐ γὰρ παντάπασιν αὐτὰς
ἀπαγορεύομεν· διὰ δὲ πάσης ἀκριβείας χωρεῖν. ἐπ' ἄλλως ἐννόμως αὐ-
ταῖς χρῆναι πιστεύειν· καὶ ὅρκον ἐπάγειν τῷ προκομίζοντι· ὅτι μηδὲν συν-
δὺς πονηροῦ ὑπὲρ αὐτοῦ προκομιζομένῳ· οὐδέ τινα τέχνην περὶ τὴν σύ-
στασιν γενέσθαι παρασκευάσας· οὕτω χρῆναι τοῦτο· ὥστε μὴ ἀναιρεθῆναι
τι παντελῶς καὶ διὰ πάντων τὸ ἀσφαλὲς τοῖς πράγμασι γενέσθαι. ἐπεὶ γὰρ
δὴ τῶν ἐπ' ἀγορᾶς συνισταμένων συμβολαίων, ὅπερ ὁ συμβολαιογράφος
παρέλθοι καὶ μαρτυρήσοι μεθ' ὅρκου· εἰ μὴ οὐδὲ ἑαυτοῦ ἔγραψεν· ἀλλὰ
διά τινος τῶν ὑπουργούντων αὐτῷ· πλείων κίνδυνος εἴτε περίεστιν. εἰ δὲ μέντοι
ὅλως αὐτοῦ ἤθελεν καὶ οὐδεμία τὴν αὐτοῦ παρουσίαν αἰτία κωλύει. ἢ νόσος
τυχοῦσα ἢ ἀγορά τις τῶν πραγμάτων δι' ἄλλων. ἀπὸ [illegible] ἅπαντα. εἰ δὲ καὶ ἀρι-
στα τὸ συμβόλαιον· κίνδυνος παραγινέσθω· ὥστε χρῆναι τοὺς μάρτυ-
ρας ἀλλοῦ χρεία· εἰ δὲ ὅτε ἀσθενὴς προσῆλθε, τότε συμβόλαιον ἅπαν δι'
ἑαυτοῦ γεγράφθαι καὶ ἐλήξεν ὁ συμβολαιογράφος· ἢ καὶ ὁ τοῦτο συγγράψ-
ας ἀπέστειλεν ἢ ἄλλως παρεῖναι οὐκ ἰσχύει· αὐτὸς μέντοι μεθ' ὅρκου τῷ οἰκείῳ

γεγονέναι μαρτυρείτω· ὥστε μὴ δὲ τῇ συνηθείᾳ γενέσθαι χώραν. ἔστω καὶ οὕτω
πιστὰ τὰ συμβόλαια· ἡ παραμαρτυρία καὶ παρὰ τῆς φωνῆς τοῦ λήξαντος γινομένη.
καὶ τὸν ὅρκον ἔχουσα προσκείμενον, ποιήσει αὐτὰ τῶν πραγμάτων ἐπί. εἰ
δὲ ὁ συμβολαιογράφος τελευτήσει· καὶ μαρτυρηθῇ τὸ γράμμα ἐξ ἑτέρας παρα-
θέσεως. εἰ μὲν καὶ οὕτως ἔχοι, τότε συνεξετάσαντα τὸ συμβόλαιον προσόντα, καὶ τὸν
ἀσφαλῆ, πιστεύεσθαι κἀκεῖνοι. εἰ δὲ ἐν δημοσίοις ἐχέτω καὶ τὴν ἐκ παραθέσε-
ως τῶν πληρωσάντων τὸ γράμμα πίστιν. καὶ τὴν ἐκ τῶν μαρτύρων. εἰ δὲ μηδὲ
τούτων εἴη, τηνικαῦτα γινέσθω ἐξ ἰδίων γραμμάτων παράθεσις. μὴ μόνα δὲ ταῦτα
πρὸς τοῦτο ἀρκείτω. ἀλλὰ καὶ αἱ τῶν ἄλλων τῶν ὑπογεγραφότων ἴσως ἢ καὶ τῶν
συμβαλλόντων γραφαὶ κατεξεταζέσθωσαν. ὥστε ἐκ πολλῶν παραθέσεων. τό τε
τοῦ γράμματος, τό τε ὑπογραφόντων. ἴσως ἢ καὶ τῶν συμβαλλόντων μὰν γινώσκε-
σθαι πανταχόθεν καὶ ἀποτίθεσθαι πίστιν. εἰ δὲ οὐδὲν ἕτερον εὑρεθῇ. πλὴν
τῆς παραθέσεως τῶν συμβολαίων. τὸ μέχρι νῦν ἐκρατηκὸς προβαινέτω τὸ τὸν
προκομίζοντα εἰς τὴν παράλληλα κρίσιν τὸ συμβόλαιον. ὀμνύναι τὰ γνωριζόμε-
να. ἵνα δὲ ὅλως τὸ πρᾶγμα λάβῃ προσθήκην. εἰς πλείονα τοῦ πράγματος
πίστιν καὶ αὐτὸς ὅταν ταῦτα αἰτοῦ γενέσθαι· προβαινέτω. ὡς οὐδ' ἄλλης εὐπορῶν
πίστεως ἐπὶ τὴν παράλληλα κρίσιν τῶν συμβολαίων ἦλθεν. οὐδέ τε περὶ αὐτὴν
ἐπεξῆλθεν, ἢ ἐμηχανήσατο. ὅπερ ὡς δεινὸς δοκῶν τὴν ἀλήθειαν καταχρύψαι.
οὐκ ἔξεστιν ἀπαλλάττεσθαι τοῖς συμβάλλουσιν. εἴπερ βούλοιντο καὶ ἑκάτεροι πρὸς
τοῦτο συμβαίνειν. τὸ ἐμφανῆ ποιεῖσθαι τὰ σύμβολα. καὶ καταλείπεσθαι τε ἐπὶ πρά-
ξεως ὑπομνημάτων αὐτοὺς τοὺς συμβάλλοντας, ἵνα ἀπαλλαγεῖεν ἀγωνιζομένης
τε ἐννοίας, καὶ παραποιήσεων. καὶ ὁπόσα ἄλλα κακὰ ἐπανορθοῦντες τὸν πα-
ρόντα τέθεικε νόμον. τῶν ἤδη πρὸ ἡμῶν ἐπὶ ταῖς παραθέσεσι τῶν γραμμάτων ταῖς
ἐξ ἰδιοχείρων γινομέναις νομοθετημένων. ἐπὶ τῆς ἰδίας μενόντων ἰσχύος δη-
λαδὴ καὶ τοῦ ἐπὶ τοὺς τῶν γραμμάτων ἀντεπισήμωσιν ἤδη κρατοῦντος ἐν τοῖς
δικαστηρίοις τὴν ἑαυτῶν ἐχόντων ἰσχύν. ἐπειδήπερ ἐν δικαστικῷ τύπῳ ταῦτα
αὐτὰ τὸν προσήκοντα ἔλαβεν ἐξετασμόν. δεῖ δέ, ἐπὶ τῶν γράμματα οὐκ ἐπιστα-
μένων. ταβουλαρίους τε πάντως καὶ μάρτυρας παραλαμβάνεσθαι ἐν οἷς ἔστι τα-
βουλάριοι τόποις. μάλιστα δὲ μάρτυρας, οὐκ ἀγνῶτας τοῖς συμβάλλουσιν. ἵνα
οἱ μὲν γράφωσιν ὑπὲρ τοῦ ἀγραμμάτου ἢ ὀλιγογραμμάτου καθεστῶτος. οἱ δὲ
μαρτυρῶσιν, ὡς ἐκ παρόντων αὐτῶν ταῦτα ἐπράχθη. καὶ ἴσασιν αὐτόν. καὶ οὕ-
τως ἡ τῶν τοιούτων συμβολαίων ἐστὶ δεδομένη πίστις. δῆλον οὖν, ὡς οὐχ ἥττους

ἐκ τῶν μαρτύρων ἐπὶ τῶν τοιούτων περιγραφῆναι τά. ἐν οἷς ἔσται καὶ ὁ γράφων ὑ-
πὲρ τοῦ συμβάλλοντος. ἢ τὸ πᾶν ἢ τὸ μετ᾽ αὐτὰ ὀλίγα γράμματα τὰ παρ᾽ ἐκεί-
νου τεθέντα. ὥστε μηδὲν διαπεσεῖν τῆς εἰς ἄκρον ἀκριβείας. καὶ ταῦτα φαμέν,
ι′ ἐπὶ τῶν ἐγγράφων συμβολαίων. εἰ γάρ τις ἀγράφως πρᾶξαι ὁτιοῦν δήποτε συν-
άλλαγμα βουληθείη, τοῦτο πρόδηλον. ὡς ἢ τὴν διὰ μαρτύρων ἢ τὴν δι᾽ ὅρκου δείξε-
ὁ ὅρκον φεύγων ὀμνύειν ἢ ἀντεπάγει:— ται πίστιν. τοὺς γε ἐν ἀτόποις μάρτυρας, παραιτοῦντες. τοὺς φεύγοντας δὲ ὀμνύειν. ἢ ἀν-
τεπάγοντας καθάπερ αὖ ὁ δικαστὴς τὴν ὑπόθεσιν τάξει. ἵνα μηδὲν δὴ μηδὲ
τούτων ἀδιόρθωτον. κἀνδυομένους τι τῷ νόμῳ προσθεῖναι καλόν. ὥστε ἄχρι μέχρι
μιᾶς χρυσοῦ λίτρας εἴη τὸ συνάλλαγμα, τὴν τοιαύτην παρατήρησιν ἐπὶ τούτῳ μὴ
φυλάττεσθαι. ἀλλὰ κατὰ τὸ μέχρι νῦν πολιτευόμενον τὸ πρᾶγμα γίνεσθαι. ἵνα
μὴ περὶ πραγμάτων σμικρῶν, μεγάλας συνθήκας ὑποστῶσιν αὐτοί. ταῦ-
τα δὲ πάντα κρατεῖν ἐπὶ ταῖς πόλεσι βουλόμεθα. ἐπὶ δὲ τοῖς ἐν χωρίοις, ἔνθα
πολλὰ τὰ τῆς ἀπλότητός ἐστι. καὶ οὐδὲ γραφόντων ἢ μαρτυρούντων πολλῶν
εὐπορία. τὰ μέχρι νῦν παρ᾽ αὐτοῖς κρατοῦντα. καὶ νῦν ἔστω βέβαια. τοῦτο δὲ
καὶ ἐπὶ αὐτῶν τῶν διαθηκῶν ἐφ᾽ αἷς μάλιστα σπουδὴ ἤδη παρ᾽ ἡμῶν νενομο-
θέτηται. καὶ τοῦτο προσεπὶ τούτοις προσθησόμεθα. ὥστε εἴ τις ἐν ἑνὶ συμ-
νε′ ῥητ. βολαίῳ ἑτέρου ποιήσεται μνήμην συμβολαίου. μηδεμίαν ἐκ ταύτης τῆς μνή-
μης ἀπαίτησιν γίνεσθαι. πλὴν εἰ μὴ καὶ τὸ ἕτερον συμβόλαιον. οὗτινος μνή-
μη κατὰ τὸ δεύτερον γέγονε προκομισθείη. ἢ ἑτέρα προσαχθείη κατὰ τοὺς νόμους
ἀπόδειξις. ὅπερ ἡ ποσότης τῆς μνήμης γεγονυίαις ἀληθὴς ἐποφείλεται. τοῦ-
το δὲ ἐπὶ τοῖς παλαιοῖς εὐρίσκομεν νόμοις: —

ἔξεστι βία:—

ς′ **Περὶ βίας. ἀν. ς′ τοῦ β′ οὐδενὸς ἐν τῷ β′ κεφαλαίῳ φησίν: —**

Ἡ βία ἐστὶ μείζονος πράγματος ἐπήλευσις. ἣν οὐ δυνατὸν ἀπωθεῖσθαι. βιβ. δ′
τί. ια′ κεφ. Ἔξεστι βίαν τὴν βίαν ἀπωθεῖσθαι. ὅθεν ἐὰν κατὰ φόβον ἐπερωτήσας
τινὰ καὶ ἀναγκάσωσι προσαρτῆσαί με ποιήσασθαι αὐτῷ ἀποχὴν οὐκ ἐνέχομαι τι.
βιβ. δ′ τί. ια′ κεφ. καὶ ὁ κακῇ πίστει ἀγοράσας παρὰ τοῦ βιαζομένου, ἢ κατὰ δωρε-
ὰν ἢ ληγάτον λαβὼν ἐνέχεται. ὁ δὲ ἀποιήσας τὴν βίαν ἀναγκάζεται ἀποκα-
ταστῆσαι, εἰ καὶ ἕτερος ἔχει τὸ πρᾶγμα. καὶ ὁ τὸ ἀφαιρεθὲν βιαίως ἔχων, ἀπο-
καθίστησι κἂν ἕτερος τὸν φόβον ἐπήγαγεν. καὶ τὸ διαφέρον τετραπλασιάζε-
ται, τουτέστι μετὰ καρπῶν ἐκ πάσης αἰτίας. βιβ. δ′ τί. ιε′ κεφ. συνάγεται τὸ τετραπλοῦν
καὶ αὐτὸ τὸ πρᾶγμα. εἰ δὲ χωρὶς ἐπιβουλῆς ὁ δοῦλος τοῦ βιαζομένου μετὰ τὴν
καταδίκην. ἐκ τοῦ χρόνου τῆς καταδίκης τεθνηκὼς ὁ ἀφαιρεθεὶς δοῦλος. τὸ

ε´

τὸ ἁπλοῦν μόνον διδόασιν. εἰ δὲ ἐκ φυγῆς ἐστιν, διδόασιν ἀσφάλειαν ὡς ἀναζητεῖν αὐτόν, καὶ πάντως ἀποκαθιστῶσι. ζητεῖται δὲ τὸ βιασθέν. καὶ ἡ ἐπὶ αὐτῷ τῷ πράγματι αἰτία. καὶ πάντα ὅπου ἂν ᾖ αὐτῷ αἰτία πρὸς τὸ ἀναλαβεῖν αὐτόν. ἐὰν αὐτὸν ὁ πρὸ βίας ἀναλάβῃ ἐναγόμενος ὁ βιασάμενος ἐκ τῆς [illegible] ἔχει παραγραφήν. ἀλλὰ ταῦτα ἐπὶ τῶν καταδίκων. εἰ δὲ πρὸ ψήφου χωρεῖ ἐπιβουλῆς ἢ δόλου τῇ κινήσει ἐνέχεται. ἐὰν οὖν ἄνευ ἐπιβουλῆς καὶ δόλου τοῦ ἐναγομένου φύγῃ, ἀσφαλίζεται διὰ τοῦ δικαστοῦ, ὡς ἀναζητεῖν καὶ ἀποδιδόασιν. εἰ δὲ καὶ μὴ ἐκ ῥᾳθυμίας τοῦ ἐναγομένου ἀπόληται τὸ πρᾶγμα, οὐκ ἂν δὲ ἀπώλλυτο εἰ μὴ γέγονεν ἡ βία καταδικάζεται. ὡς γὰρ ἐπὶ τοῦ ἀπὸ βίας ἐστὶ τὸ βίᾳ ἢ λάθρα γίνεται. ὅθεν ἐὰν ὅτε τὸ κλέμμα λαμβάνει, ὡς ἤμελλε περιπεσόντος ἢ μὴ τὴν βίαν ὑπέστη ὁ βιασάμενος οὐκ ἔστι κλέπτης. εἰ καὶ τὰ μάλιστα ὁ ἅρπαξ ἀναιδής ἐστι κλέπτης. τὸ διαφέρον μόνον τετραπλασιάζεται. ὅθεν ἐὰν χρεωστῶν τεσσαράκοντα νο(μίσματα) κατὰ βίαν ὁμολογήσω ἑκατὸν, τὰ ξ´ μόνα τετραπλασιάζεται πολλῶν βιασαμένων. ἐὰν ὁ εἷς ἐναχθεὶς ἀποκαταστήσῃ πρὸ ψήφου τὸ πρᾶγμα. καὶ μετὰ τὴν ψῆφον δὲ τὸ τετραπλοῦν, ἐλευθεροῦνται οἱ ἄλλοι. εἰ δὲ καὶ τὸ παρ᾽ αὐτοῦ παρέλθῃ. ἐνέχονται ἐπὶ τῷ ἐλλείποντι. τὸ αὐτὸ λέγομεν καὶ ἔνθα ἕτερος μὲν ἐβιάσατο. ἕτερος δὲ τὸ πρᾶγμα ἔχει. ἐὰν δοῦλοι βιάσωνται καὶ τὸ πρᾶγμα πρὸς τὸν δεσπότην ἦλθεν. ἐνάγεται καὶ περὶ τῶν δούλων καὶ οἰκείῳ ὀνόματι. καὶ εἰ μετὰ τὸ πρᾶγμα ἡ τετραπλοῦν παρέλθῃ. συμβάλλεται τοῖς δούλοις. εἰ δὲ μὴ περὶ δούλων ἐναχθείς. ἐκδῶσι τοὺς δούλους οὐδὲν ἧττον ἐνάγεται. εἰ περιῆλθε δὲ εἰς αὐτὸν τὸ πρᾶγμα. ἀνὴρ καὶ ὁ ν´ τ´ γ´ ἀπὸ τοῦ ν´ κε(φάλαιον). εἰ δὲ τὸ να´ κε(φάλαιον) φη(σίν). ὁ βίᾳ ἐκβληθεὶς νομεὺς διὰ τῆς περὶ βίας αἰτίας, ἐν τῷ ἐνιαυτῷ ἀναλαμβάνει αὐτό. κατὰ δὲ κληρονόμων οὐ κινεῖται. εἰ μὴ μόνον εἰς τὸ περιελθὸν εἰς αὐτούς. εἰ δὲ τὸ να´ κε(φάλαιον). οὐδὲ ἀπὸ τῆς ἀντιγραφῆς τὴν βιαίως παρ᾽ αὐτοῦ νομὴν ληφθεῖσαν βεβαιοῖ τις. εἰ δὲ τὸ νζ´ κε(φάλαιον). ἐάν τις ἢ τὸ δημόσιον ἢ ἄλλου τινὸς νεμομένου πρᾶγμα δίχα δικαστικῆς κελεύσεως, βίᾳ ἀφέληται αὐτό. εἰ μὲν δεσπότης ἐστίν, ἐκπίπτει αὐτοῦ. εἰ δὲ ἀλλότριον ἦν. οὐ μόνον αὐτὸ δίδωσιν ἀλλὰ καὶ τὴν ἀποτίμησιν αὐτοῦ διὰ τὴν ἁρπαγὴν ὑπομένει. εἰ δὲ τὸ ξα´ κε(φάλαιον). ἐάν τις ἀπόντος πρᾶγμα κατέχει δολῶν. οὐ κινεῖ τὸ παλαιόν, ἢ τὸ περὶ βίας παράγγελμα. ἢ τὸ ὅτι βίᾳ ἢ λάθρα. εἰ μὴ ἄρα τις τὰ ἴδια ἐκδικοῦσα αἰτία. ἐν τῷ ὁ δεσπότης ἦν ὁ ἀπών. ἡμεῖς οὖν ὡς νομέα ὄντα βουλόμεθα κρατεῖσθαι τῷ περὶ βίας γενικῷ παραγγέλματι. γελοῖον γάρ ἐστι τὸ

λέγειν ὅτι ἐνόμιζον ἴδιον τὸ ἀλλότριον. ὥσπερ οὖν καὶ ἐπὶ τῆς περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀπαιτεῖται ὁ ποιῶν· οὕτως ὁ περὶ γυναῖκα μὴ τοῦ δεσπότου ψηλαφῶν κλοπήν, ἁμαρτάνει· ταῦτα γὰρ φασί· ὁ μὴ τελεσθεῖσα πρᾶξις ἦλθεν. ἐξ οὗ τῆς νομῆς ἀπελάβετο. ἀλλὰ καὶ τὸ να΄ τοῦ δ΄ κεφ. κα΄ τοῦ αὐτοῦ φησι. μᾶλλον βοηθεῖται ὁ βιαίως ἐκβληθείς, καὶ μετὰ ταῦτα πάλιν νεμόμενος· ἤπερ ὁ θέλων κινῆσαι τὸ τῆς βίας μὴ νεμόμενος, ἐπειδὴ ἐντὸς ἐνιαυτοῦ μόνον κινεῖται. ἀλλὰ καὶ τὸ νη΄ τοῦ αὐτοῦ ε΄ περὶ τῶν λάθρα διαμειβομένων· οὕτως αὐτὸ α΄ κεφ. φησι. ὅτι βία ἐστὶ τὸ παρὰ ἀξίαν ἐναντίον ὅπερ ἐκωλύετο. καὶ μικροῦ λίθου βολῇ κωλυθῇ. καὶ ἀπὸ διαμαρτυρίας καὶ ἐπιμένῃ αὐτοῦ. καὶ ὁ φθάνων κωλυθῆναι, ἐμηχανᾶτο ἵνα μὴ κωλυθῆναι. τὸ αὐτὸ κἂν ἀρεσθεὶς ἐνδέδωκε. μὴ γὰρ τοῦτο ἂν αὐτὸ ποιεῖ· μὴ ἐπιβαπτισθεὶς παρ᾽ ἐμοῦ· ἢ καὶ ἄλλην εὔλογον αἰτίαν. ἐν γὰρ αὐτῷ ιζ΄ κεφ. βίαν ποιεῖ ὁ μὴ κώλυσιν ποιήσας καὶ ἀποκλείσας τὰ αὐτόθι, ἵνα μὴ κωλυθῇ. καὶ ὁ ἀποκλείσας τὴν πύλην ἵνα μὴ παρέλθῃ. ἀλλὰ καὶ τὸ ξ΄ τοῦ ιζ΄ οὕτως αὐτὸ ζ΄ κεφ. φησι. λέγει ὁ πραίτωρ ὃ ἐκβάλῃς τινὰ βιαίως ἢ σὺ ἢ ἡ φαμιλία σου ἀπὸ τοῦ τόπου, καὶ περὶ αὐτοῦ. καὶ περὶ ὧν εἶχεν ἐκεῖ ἐντὸς ἐνιαυτοῦ. μὴ γὰρ ταῦτα εἰς τὸ περιγενόμενον, εἰς τὸν ἐκβαλόντα κινεῖ. ἢ καὶ οἰκέται γνώμην, ἢ φαμιλία μου βίαν ποιήσῃ. εἰ μὲν περιελθεῖν εἰς ἐμέ, ἀποκαθιστῶσι. εἰ γὰρ μὴ εἰς νόξαν, ἐκδίδωμι τοὺς δούλους μου καὶ ἀζήμιος μένω. δύναται γὰρ δοῦλος ἐν τούτῳ χείρονα ποιεῖν τὴν αἵρεσιν τοῦ δεσπότου. ἐν γὰρ τῷ η΄ κεφ. ἔξεστι βίᾳ τὴν βίαν ἐξωθεῖν. καὶ ὅπλα ὅπλοις. ὁ βίᾳ ἐκβληθεὶς ὅτι ἐνέμετο λαμβάνει· δεῖ γὰρ εἰς τὸ ἀρχαῖον ἀποκαταστῆναι τὸ τὸ πρᾶγμα ἦ ὅσον εἰς ὃ ἦν, ἢ μὴ ἐβιβάσθη. ἐν γὰρ αὐτῷ θ΄ κεφ. κἂν ὅπλοις ἐξωθῇ. ἀλλ᾽ ἐν μεθ᾽ ὅπλων ἐπιόντα, παρεχέτω μόνον. ὅπλα δέ εἰσι πάντα τὰ βέλη. οἷον σκῆπτρα· λίθοι ξίφη. ῥομφαῖαι. ἐν γὰρ αὐτῷ λ΄ κεφ. ἡ βιαίας ἁρπαγῆς πραγμάτων ἀγωγή, ἐπὶ τοῖς κινητοῖς. οὐκέτι τοῖς ἀκινήτοις ἁρμόζει. ἀλλὰ καὶ τὸ ιη΄ οὕτως αὐτὸ ι΄ κεφ. φησι. τὰ καταδίκη τοῦ περὶ βίας δημοσίου ἐγκλήματος, ἢ εἰς μέταλλον δίωξις ἐξορία ἐστίν. οἱ μεθ᾽ ὅπλων ἐπιόντες καὶ πορθοῦντες ἀλλοτρίους οἴκους ἢ ἀγρούς, εἰς κεφαλὴν τιμωροῦνται. ἐν γὰρ αὐτῷ ια΄ κεφ. ὁ καταδικασθεὶς ἐπὶ περὶ βίας ἰδιωτικῆς νόμῳ, καὶ εἰς τὸ τρίτον τῆς οὐσίας δημεύεται. καὶ οὔτε συγκλητικὸς ἢ ἄρχων γίνεται. ἢ ἄλλην μετέρχεται. ἐν γὰρ αὐτῷ ιβ΄ κεφ. ὁ χωρεῖς ἄρχοντος ἐπιβὰς πρότερον τοῖς πράγμασι τοῦ χρεώστου ἐκπίπτει τοῦ χρέους καὶ δημεύεται εἰς τὸ τρίτον τῆς οὐσίας καὶ ἀτιμοῦται. ἐν γὰρ αὐτῷ ιγ΄

γ΄ ἐντὸς ἐνιαυτοῦ ἡ περὶ βίας ἀγωγὴ κινεῖται:+

περὶ καταδίκης τῆς βίας:+

περὶ ἀναρτύσεως:+

στοιχείου γ' :-

κε'. Ἐὰν βία γένηται καὶ συμβῇ φόνον γενέσθαι εἴτε ἐκ τῶν βιαζομένων εἴτε ἐκ τῶν βιαζόντων, ὑποκείσθω τῇ ποινῇ ἐκεῖνος ὁ τὴν βίαν ἐπαγαγὼν τὴν ταύτης· αὐτὸς γὰρ αἴτιος γέγονε τοῦ φόνου. καὶ ὅτι ὅταν οἰκέτης δι' ἐντολῆς βίαν ποιήσῃ κῶς· ἢ διὰ οἰκείας ὁμολογίας· ἢ διὰ μαρτύρων. ἐὰν παρὰ γνώμην τοῦ δεσπότου τοῦτο ἐτόλμησεν, αὐτὸς τιμωρηθήσεται. εἰ δὲ γνώμῃ τοῦ δεσπότου, αὐτὸς μὲν μεταλληθήσεται. ὁ δὲ δεσπότης αὐτοῦ, εἰ μέν ἐστιν ἐν ἀξιώματι ἢ τιμῇ, ἀτιμοῦται· καὶ τῆς ἀξίας ἤτοι τιμῆς ἐκπίπτει. εἰ δὲ εὐτελὴς ἢ ἄλλως ἄτιμος, ἢ δυσυπόληπτος μέν ἐστι. φαίνεται δὲ ταύτην τὴν βίαν πολλάκις ἐμπληρώσας, τὴν διαγορευομένην κατὰ τῶν βιαίων τιμωρίαν ὑποστήσεται. εἰ δὲ ὁ ἄρχων τὸ ἡγεμονικὸν παρ' αὐτῷ βίαν περιίδῃ, ἢ μετ' ἑτέρου τιμωρήσεται, ἀτιμοῦται. ἀνάγνωθι ἔτι περὶ ἁρπαγῆς τ(ίτλον). καὶ εὑρήσεις γὰρ κάτωθι περὶ βιαίας ἁρπαγῆς. ἐν τῷ τίτλῳ περὶ ἀποκαταστάσεως τῆς πενθερικῆς. περὶ τῶν κατὰ βίαν δεσποζόντων ἢ πραττόντων. ἀνάγνωθι τὸν να' τ(ίτλον) κεφ(άλαιον) π' ἐν τῷ φ'. ὁ βιαζόμενος ἢ περὶ φρουρᾶς τῶν ἐκκλησιαστικῶν προσόδων. ε' χρυσοῦ λίτρας :-

ἀρχὴ σὺν θεῷ, τοῦ γ' στοιχείου :-

α' περὶ γάμων νομίμων. καὶ πότε ἀναγκάζονται οἱ γονεῖς ἐκγαμίζειν τοὺς ἰδίους παῖδας. ἀνάγνωθι βιβλ(ίον) τ(ίτλον) α' κεφ(άλαιον) ε' ἐν τῷ φ' :-

Ὁ κόρην ἢ τελείαν τῶν ιβ' ἐτῶν ἀπατώμενος πρὸς γάμον, οὐ συνίστησι γάμον· ἀλλ' εἰ μὲν προσηκόντως μνηστευθεῖσα, μέλλει φυλαττομένη. καὶ τελειωθεῖσα τὴν μνηστείαν ἐκ τοῦ γαμετῆς εἰς τὸν οἶκον αὐτοῦ ἀνήνεγκε. εἰ δὲ καὶ προσηκόντως μνηστευθεῖσα, μὴ δὲ ταύτην ἐξ ἀρχῆς ἔχει διάθεσιν, οὐδ' αὐτοῦ μνηστείαν γενέσθαι δοκεῖ. ἀνάγνωθι καὶ τ(ίτλον) δ'. ὅτινος ἐν τῷ α' κεφ(αλαίῳ) φ'. γάμος ἐστὶν ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις τοῦ βίου παντός, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία. ἐν δὲ τῷ β' κεφ(αλαίῳ). ὅτι γίνεται γάμος· εἰ μὴ συναινέσωσιν οἱ συναπτόμενοι· καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους. ἐν δὲ τῷ γ' κεφ(αλαίῳ). ἡ τελείων

τῶν ιβ´ ἐτῶν γαμηθῇ, τότε γίνεται νόμιμος γαμετή· ὅτε παρὰ τῷ ἀνδρὶ πληρώσῃ τὰ ιβ´ ἔτη. Ἐν τῷ αὐτῷ ξ´ κεφ. ὁ δίχα τινὸς εὐλόγου καὶ δικαίας αἰτίας τοὺς ὑπεξουσίους αὐτοῦ παῖδας κωλύων· τοὺς μὲν υἱοὺς λαμβάνειν γαμετάς· τὰς δὲ θυγατέρας ἀνδράσι συνάπτεσθαι· ἢ καὶ μὴ βουλόμενος προῖκα διδόναι· διὰ τῶν ἀρχόντων ἀναγκάζεται ἐκγαμίζειν καὶ προικίζειν. κωλύειν δὲ δοκεῖ ὁ μὴ ζητῶν μνηστῆρα. Ἐν τῷ αὐτῷ ια´ κεφ. ὁ πρὸς ἐλευθέραν μὴ ποιουμένην πόρον ἐκ τοῦ σώματος ἔχων συνήθειαν· οὐ παλλακήν, ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ. φανερῶς δὲ δοκεῖ πόρον ποιεῖν· οὐ μόνον ἡ ἑαυτὴν ἐν χαμαιτυπείῳ προιστῶσα· ἀλλὰ καὶ εἴ τις οἰκοῦσα αὐτοὺς ἐν ἐργαστηρίῳ μὴ φειδομένη. τὸ δὲ φανερῶς λέγομεν. ἐὰν χρῆσιν αὐτοῦ φειδοῦς. οὐ μὴν ἐὰν τὸ ἑαυτὴν ἐκδῷ μοιχοῖς ἢ αἰσχρουργοῖς. ἀλλ' ἢ τάξιν πορνευούσης ἐπέχουσα. ἡ δὲ ξένος ἢ δευτέρ- λαβοῦσα χρήματα ἐπιμίξει· πόρον φανερῶς ἐκ τοῦ σώματος οὐ δοκεῖ ποιεῖν. Ἐν τῷ αὐτῷ λ´ κεφ. ὁ πρὶν ὁ μὴ ἐναντιούμενος τοῖς γάμοις τοῦ παιδός, συναινεῖν δοκεῖ. καὶ τὸν ἐκ τούτου τικτόμενον ἔκγονον ἀναγκάζεται τρέφειν. Ἐν τῷ αὐτῷ νγ´ κεφ. τοὺς νομίμους γάμους μεταξὺ ἀλλήλων συνιστῶσι ῥωμαῖοι. ἡνίκα τὰ περὶ τῶν γάμων τοῖς νόμοις διηγορευμένα φυλάττουσιν. δεῖ δὲ τοὺς μὲν ἄρρενας ἐφήβους εἶναι· τὰς δὲ θηλείας ἀνδρὸς δεκτικάς. τουτέστι τοὺς μὲν ὑπερβεβηκέναι τὰ ιδ´ ἔτη. τὰς δὲ μείζονας εἶναι τῶν ιβ´ ἐνιαυτῶν. πάντως λέγομεν· εἴτε αὐτεξούσιοι· εἴτε ὑπεξούσιοι εἶεν οἱ πρὸς γάμον συνιόντες. ἀλλ' ἐπὶ τῶν ὑπεξουσίων· καὶ ἑτέρου τινὸς δεῖ· συναίνεσιν εἶναι τῶν γονέων· ὧν ὑπεξούσιοι εἰσὶν οἱ συναπτόμενοι. τοῦτο γὰρ χρὴ γίνεσθαι· καὶ ὁ πολιτικὸς καὶ ὁ φυσικὸς ἀπαιτεῖ λογισμός. Ἐν τῷ αὐτῷ νδ´ κεφ. οὐ γάμων δὲ ἀθέσεις ἀμοιβαῖα ποιεῖ. τῆς τῶν προικώων οὐκ ἂν ἐπιδεχομένης προσθήκης. δεδόσθω τοὺς μεγίστοις μὲν ἀξιώμασι κεκοσμημένους μέχρι ἀθέσεως. μὴ ἄλλως γάμοις προσομιλεῖν· εἰ μὴ προικῷα συγγράψαι συμβόλαια· πλὴν εἰ μή τις πρὸ τοῦ τυχεῖν τῶν τοιούτων ἀξιωμάτων· ἐν μόνῃ διαθέσει ἠγάγετο γαμετήν. τοὺς γὰρ τοιούτους γάμους τοὺς πρὸ τῆς ἀξίας γενομένους· καὶ μετὰ τὴν ἀξίαν νομίμους εἶναι κελεύομεν. καὶ τοὺς ἐξ αὐτῶν τεχθέντας νομίμους εἶναι παῖδας. τοὺς μέντοι τὸ τετιμῆσθαι τοιαύταις τινὰς ἀξίας· μὴ ἄλλως ἄγεσθαι γαμετάς, πλὴν εἰ μὴ καὶ προικῷα συμβόλαια. ταύτην δὲ τὴν τοῦ νόμου ἀκρίβειαν συγχωροῦμεν τοῖς ὑποτελουμένοις τῇ ἡμετέρᾳ πολιτείᾳ βαρβάροις. καὶ ἀξιώμασι τοιούτοις ὑπάρχοι κεκοσμημένοι· ἔστε

φυλάξουσι

γ΄

διὰ θείου ὑψηλοῦ δύνασθαι αὐτοὺς βουλομένους συναλλάττειν γάμους. τοὺς δὲ λοιποὺς ἅπαντας πλὴν τοὺς ταῖς μεγίσταις ἀξίαις εἰς ἔργον κεκοσμημένους· οἵας δή ποτε εἶεν ἀξίας ἢ στρατείας ἢ ἐπιτηδεύσεως· εἰ μὲν βουληθεῖεν, οὐ κωλύομεν μετὰ προικῴων συμβολαίων ἄγεσθαι γαμετάς. εἰ δὲ καὶ τοῦτο μὴ παραφυλάξουσι· καὶ τοὺς ἐκ μόνης διαθέσεως ἀποδεικνυμένους γάμους, βεβαίους εἶναι θεσπίζομεν· καὶ τοὺς ἐξ αὐτῶν τικτομένους, νομίμους εἶναι παῖδας κελεύομεν. ἐν δὲ τῇ νε΄ κεφ. ὁ δὲ τῆς νόμων διὰ τοῦ αὐτοῦ γυναικὸς συζυγίαν· ἃς ὁ αὐτὸς νόμος ἀθέσμους ἐκάλεσε, πρός τινας ἀξιώμασι κεκοσμημένους κωλύοντα· οὐδενὶ παντελῶς τὸ ἀπὸ τοῦ κράτους συγχωροῦμεν· ἀλλ᾽ ἀδεῶς τοῖς βουλομένοις παρέχομεν. εἰ καὶ οἱοσδήποτε μεγίστοις ἀξιώμασι κοσμοῖντο. τὰς τοιαύτας γυναῖκας μετὰ προικῴων συμβολαίων ἑαυτοῖς συνάπτειν. οἱ δὲ λοιποί· πλὴν τοὺς τοῖς μεγάλοις ἀξιώμασι κεκοσμημένους. ἀδεῶς ἐχέτωσαν τὰς τοιαύτας γυναῖκας λαμβάνειν. εἴτε ἐγγράφως βουληθεῖεν εἴτε μόνῃ διαθέσει γάμου. εἰ μέντοι γε ἐλεύθεροι εἶεν. ἐν μεθ᾽ ὧν ἔξεστι γάμον ἐπιτηδεύσασθαι. ὅτε δὲ περιέπεσε γράψει πρὸς ἐλευθέραν τὴν ἀρχήν, ἢ καὶ ἀπελευθέραν γυναῖκα. ᾗπερ ἔξεστιν ὅλως συνοικεῖν. εὐπορήσαντες διὰ ταῦτα συνοῦσαν αὐτῇ. ἢ νομίμων παίδων ἤδη πατὴρ καταστάς. ἢ καὶ παίδων οὐ γενόμενος τοιούτων πατήρ· γνήσιον εἶναι τὸν γάμον. εἶναι δὲ καὶ παῖδας τούς τε προγεννηθέντας τούς τε κυοφορουμένους. γνησίους αὐτῷ καθεστάναι θεσπίζομεν :

Περὶ γάμων κεκωλυμένων. ἀπὸ τοῦ β΄ βιβλίου τίτ. ε΄ τοῦ λέοντος ἐν τῷ β΄ κεφ. [illegible] : ϛ΄

Οἱ κεκωλυμένοι γάμοι γινώσκονται οὕτως. ἐπὶ τῶν ἀνιόντων καὶ κατιόντων. εἰς ἄπειρον ὁ γάμος κεκώλυται. κἂν μὴ ἐξικνούμενος ὁ γάμος· οὐ δύναται γάρ τις λαμβάνειν τὴν ἰδίαν μητέρα. ἢ μάμμην. ἢ θυγατέρα. ἢ ἔγγονον· εἴτε φυσικαὶ εἶεν. εἴτε θεταί. εἰ καὶ τὰ μάλιστα ἡ θέσις λυθῇ· ἐπὶ τοῦ πρώτου τῆς αὐτεξουσιότητος· αἰσχυνέσθω γὰρ τὴν μνήμην ἢ πάλαι τὸ πρὶν ἡ μάμμης προσηγορία. ἐν μέσῳ δὲ τῶν ἐκ πλαγίου προσώπων. ἐστί τις κώλυσις. τὴν γὰρ τοῦ ἀδελφοῦ σου ἢ τῆς ἀδελφῆς σου θυγατέρα λαμβάνειν πρὸς γάμον οὐ θέμις. ἀλλ᾽ οὐδὲ τὴν τούτου ἔγγονον. ὁμοίως οὐδὲ τὴν θυγατέρα τοῦ θείου ἢ τῆς θείας. τουτέστι τὴν ἐξαδέλφην μου. ἀλλ᾽ οὐδὲ ὁ υἱός μου τὴν ἔγγονον αὐτῶν. οἵτινες λέγονται δισεξάδελφοι. ἀλλ᾽ οὐδὲ τὴν πρὸς μητρὸς θείαν, ἢ καὶ πρὸς πατρὸς θείαν. ἐπεὶ ἐν τοῖς μέρων τάξιν ἐπέχουσι. καὶ πῶς συμβαίνει θετὴν εἶναι θείαν; οἷον ὁ πάππος μου ὁ πρὸς πατρὸς ἔχων υἱὸν τὸν ἐμὸν πατέρα, ἔλαβε κόρην τινὰ εἰς θέσιν· καὶ ὅμως ἐμοῦ πατρὸς

ιϛ´
λαβεῖν.
ἤτοι ἀγχιστείας :~

ἐκείνου αὐτὴν θείαν ἀδελφήν. ἔστω δὲ θεία. ὡσαύτως οὐδὲ τὴν μεγάλην θείαν δύναμαι λαμβάνειν. τουτέστι τοῦ πάππου ἀδελφήν· ἣ καὶ θεία ἐστὶν ἐπειδὴ γονέως τάξιν ἐπέχει. εἰσὶ δὲ καὶ ἕτεροι διὰ θεσμὸν συγγενείας. διὰ δὲ ἀγχιστείαν μὴ προβαίνοντες. ἀγχιστεία δέ ἐστιν, οἰκειότης προσώπων ἐκ γάμου ἤτοι τοῦ συναλλαγμένου συγγενείας ἐκτός. οἷον οὐ δύναμαι λαμβάνειν τὴν ἐμὴν πρόγονον ἢ νύμφην. καὶ πρόγονος μέν ἐστι, ἡ ἐξ ἄλλου θυγάτηρ· καὶ ἐγγόνη καὶ προεγγόνη τῆς γαμετῆς μου. νύμφη δὲ ἡ τοῦ υἱοῦ καὶ ἐγγόνου καὶ προεγγόνου γαμετή. οὐδὲ τὴν πενθεράν μου ἢ μεγάλην μου. ἐπειδὴ μητρῶν τάξιν ἐπέχουσιν. οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μοι γυναικός. τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός. τὴν τοῦ πατρός μου ἢ τοῦ ἀδελφοῦ μου μνηστήν, οὐ δύναμαι λαμβάνειν κἂν γαμεταὶ αὐτῶν οὐ γεγόνασιν. ἡ μὲν γὰρ μητρυιᾶς, ἡ δὲ νύμφης τάξιν ἐπέχει. ὁ θετὸς υἱός καὶ αὐτεξούσιος γενόμενος, οὐ δύναται τὴν γενομένην τοῦ θετοῦ πατρὸς γαμετὴν λαμβάνειν πρὸς γάμον. ὥσπερ οὐδὲ αὐτὸς τοῦ υἱοῦ γαμετήν. ὁ αὐτεξούσιον αὐτὸν ποιήσας θετὸς πατήρ· καὶ ἡ θέσις λυθῇ, εἰ δὲ μὴ ἀπέλθοι τοῦ γένους αὐτοῦ. ἡ μὲν γὰρ μητρυιᾶς· ἡ δὲ νύμφης τάξιν ἐπέχει. καὶ ὁ φυσικὸς γὰρ πατὴρ οὐ λαμβάνει τὴν πορνογενῆ αὐτοῦ θυγατέρα. τὸ φύσει γὰρ δίκαιον καὶ τὸ εὐπρεπὲς ἐν τοῖς γάμοις σκοπεῖται. τὰ αὐτὰ καὶ περὶ δουλικῆς συγγενείας φυλάττεσθαι χρή. ἐν δὲ βι. χ. κεφ. οὐ μόνον ἡ τοῦ πατρός μου ἀλλὰ ἡ τοῦ πάππου καὶ προπάππου γαμετή, μητρυιὰ λέγεται. καὶ κωλύομαι λαμβάνειν αὐτάς. κἂν πολλὰς ἔχῃ ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω. οὐδὲ τὴν μητέρα τῆς ποτὲ μνηστῆς. γέγονε γὰρ πενθερά. οὐδὲ τὴν ποτὲ γυναῖκα τοῦ προγόνου μου. οὐδὲ ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγόνου αὐτῆς. τὴν προεγγόνην τῆς ἀδελφῆς μου γαμεῖν οὐ δύναμαι. γονέως γὰρ ἔχω πρὸς αὐτὴν τάξιν. οὔτε τὴν θυγατέρα τῆς προγόνου μου λαμβάνω. ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον. ἀλλὰ καὶ τὸ εὐπρεπὲς καὶ σεμνὸν ζητοῦμεν. ἐν δὲ βι. θ. οὐκ ἐρρῶσθαι ὁ γάμος τῆς θυγατρὸς ἢ ἐγγόνης ἢ προεγγόνης τοῦ ἀξιωματικοῦ πρὸς ἀπελεύθερον ἢ σκηνικοῦ ἢ υἱοῦ σκηνικοῦ. ἐν δὲ βι. ι. κεφ. τὴν ἐκ πορνείας ἀδελφὴν οὐδεὶς λαμβάνει. οὔτε ὁ θετὸς πατὴρ τὴν τοῦ θετοῦ υἱοῦ θυγατέρα ἢ τὴν ἐγγόνην. οὔτε ὁ θετὸς υἱὸς τὴν τοῦ πατρὸς μητέρα ἢ τὴν ἀδελφὴν αὐτῆς. ἢ τὴν ἀπὸ τοῦ υἱοῦ ἐγγόνην. ἐν δὲ βι. ιγ. κεφ. ἡ ἀπελευθέρα γαμηθεῖσα τῷ ἰδίῳ πάτρωνι, μετὰ θάνατον αὐτοῦ, οὐ γαμεῖ ἀπελευθέρῳ αὐτοῦ. οὐ μήτε ἐχοιλέτην, ὡς καὶ προσοῦσα ἐκ τοῦ πάτρωνος. μοιχᾶν ἐπιλαμβάνεται πρός

γ'

αὐτήν. καὶ ἀποδεῖ τοὺς λόγους ὁ ἐπίτροπος ἢ κουράτωρ. καὶ τὴν ἐπιτροπευθεῖσαν ὑπ' αὐτοῦ οὐ δύναται λαβεῖν. ἕως γένηται κε' ἐτῶν. καὶ τῆς ἀποκαταστάσεως τετραετὴς χρόνος παραδράμῃ. καὶ μάλιστα ἐπιτροπευθεῖσα περὶ γάμον ἑτέρῳ παῖδας ἔχειν. οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου οὔτε ὁ ὑπεξούσιος αὐτοῦ ἀδελφὸς δύναται γαμεῖν τὴν ὀρφανήν. οὐδ' αὐτὸς ἢ ἔκγονος αὐτοῦ. ὡς ἐν δ' κς' κεφ. φη'. ὁμοίως καὶ ἐν τῷ ιε' τοῦ α' τ'. ἐν δὲ δ'.. κεφ. ὁ ἐπὶ μοιχείᾳ γυναικὸς καταγνωσθεὶς οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι. ἡ τεκοῦσα ἐντὸς τοῦ πενθίμου, παραχρῆμα δύναται γαμεῖν. αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταί, κωλύονται ἐντὸς τοῦ πενθίμου καιροῦ γαμεῖσθαι. ὁ παρθένον ἢ χήραν ἁρπάσας, οὐ δύναται ταύτην γαμεῖν. οὐδ' ἂν συναινοῦντες οἱ ταύτης πατέρες καὶ συγχωροῦντες τύχωσιν. ὁ ἀπὸ τοῦ ἁγίου βαπτίσματος ἀναδεξάμενος οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην. οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα. ἀλλ' οὐδ' ὁ υἱὸς αὐτοῦ. ἐπειδὴ οὐδὲν ἄλλο οὕτως δύναται ἐργάζεσθαι πατρικὴν διάθεσιν καὶ δικαίαν γάμων κώλυσιν. ὡς ὁ τοιοῦτος δεσμός. δι' οὗ θεοῦ μεσάζοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται. ἐν δὲ δ' λθ' κεφ. ἐάν τις οἱανδήποτε περιέπων ἀρχὴν παραθέντι τύχῃ κόρην ἔνοικον ἢ ἀκόντων τῶν γονέων τὴν οἱανδήποτε, δέκα λίτρας χρυσοῦ πρόστιμον ὑπὲρ αὐτῆς τῆς ἐγχωρίας διδότω. ἐν δὲ δ' μ' κεφ. ὡς ἐν ζωῇ τύχῃ βούλεται ἡ διάταξις μηδένα περιγινώσκεσθαι γάμον ἑαυτοῦ, διὰ βασιλικῆς αὐτοῦ φωνῆς. ἐπὶ δὲ καὶ δημευέσθω. καὶ μὴ δὲ παῖδες ἔστωσαν οἱ τικτόμενοι. καὶ συγχώρησιν ποιεῖσθαι δι' αὐτοῦ. καὶ ἐν δ' ιθ' κεφ. τοῦ α' τ' φη'. ὁ ἐν ἐπαρχίᾳ ἄρχων ὀφφίκιον. οὐ δύναται γαμεῖν τὴν ἐν αὐτῇ γεννηθεῖσαν, ἢ τὴν οἴκησιν ἔχουσαν ἐκεῖ. μνηστεύεσθαι δὲ οὐ κωλύεται. καὶ ἐὰν ἡ γυνὴ μετὰ τὴν ἀπόθεσιν τοῦ ὀφφικίου μὴ θελήσῃ γαμηθῆναι, μόνους τοὺς ἀρραβῶνας ἀποδιδῶσι. τὴν δὲ προμνηστευθεῖσαν δύναται λαβεῖν. ἐν δὲ δ' η' κεφ. ὁ ἐν ἐπαρχίᾳ ἄρχων ὀφφίκιον. εἰ καὶ αὐτὸς οὐ δύναται γαμεῖν κατὰ τὸν τοῦ ὀφφικίου καιρόν, ἀλλ' οὖν τὰς οἰκείας θυγατέρας ἑτέροις πρὸς γάμον συνάπτειν, καὶ ἐπιδιδόναι προῖκα ὑπὲρ αὐτῶν οὐ κωλύεται. ἐν δὲ λα' κεφ. ἐὰν παρὰ τὰς διατάξεις ὁ ἄρχων ἐν τῇ ἐπαρχίᾳ ἀγάγηται συνοικοῦσαν γυναῖκα. τέλος ἐστὶν ἄκυρος ὁ γάμος. ἐὰν δὲ μετὰ ταῦτα στέρξῃ τὸν πρὸς αὐτὸν γάμον ἡ γυνή, οἱ ἐκ τούτων τικτόμενοι παῖδες, νόμιμοί εἰσι:

Περὶ διαδόχου ἀπὸ τοῦ ἁγίου βαπτίσματος. ἔστι οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι:

περὶ γάμων ἀθεμίτων. ἀν(άγνωθι) βιβ. ς' κη' τ' α' κεφ. κα' ἐν δ' φλ(ωρ)ίου: ς'

Ἐπὶ δὲ τῶν ἀθεμίτων γάμων οὔτε προὶξ οὔτε ὑποβολὸν δίδοται· καὶ διαβεβαιοῦται ὅτι ἐκ τῶν ὑποβόλων λόγῳ προικὸς ἔλαβεν ὁ δῆθεν ἀνήρ, ἀφαιρεῖται παρ' αὐτοῦ· καὶ τὰ μέγιστα πρόστιμα ἔτυχεν ἔλαβεν. αὐτ. β' τοῦ α' κεφ. λα' ἐν τῷ βι. Ἀθέμιτος γάμος ἐστίν, ὁ μεταξὺ ἀνιόντων καὶ κατιόντων. ἐπὶ δὲ τῶν κωλυομένων ἐκ πλαγίου καὶ ἡ ἀγχιστεία. αὐτ. καὶ τ. ς' οὐδενὸς ἐν τῷ α' κεφ. βι. Θεσπίζομεν· εἴ τις ἀθέμιτον καὶ ἐναντίον τῇ φύσει ὁ νόμος ἀθεμιτοῦται ἐκ προγόνων καὶ καταγέλαστον καὶ συναλλάξοι γάμον. εἰ μὲν οὐκ ἔχει παῖδας ἐκ προ
γενεστέρων τε καὶ ἀμέμπτων αὐτῷ γενομένους γάμους. εὐθὺς μὲν αὐτῶν τῶν οἰκείων πραγμάτων ἐκπίπτουσιν ἐπιδίδοται. ἅμα δὲ καὶ τῶν ὀνομάτων πράγματα ἐπιδιδομένων αὐτῷ, μηδενὸς ἀπολαβεῖν· ἀλλὰ πάντα δὲ τῶν κυροῦνται. ἀθέμιτον γὰρ ἐκ τοῦ γάμου νομιζόμεθα. παρανόμων ζυγ
χύνεται γονὰς ἀλλήλοις ταῖς γυναιξί. πρὸς τούτοις δὲ ἀσεβεῖ τε καὶ ἀνόσια τὰ ἐπι
θυμούμενα ὁποῖα πολλὰ καὶ τῶν ἀλόγων ἀποστρέφεται ζῴων. καὶ ἔσται ἄλλως ποι
νὴ μὴ δημεύσεως μόνον, ἀλλὰ καὶ ζώνης ἀφαίρεσις· καὶ ἐξορία· καὶ εἰ μὲν εὐ
τελὴς εἴη· καὶ τοῦ σώματος αἰκισμός. ὅπως ἂν μάθοι σωφρονεῖν τε καὶ ἐν
τοῖς φύσεως μένειν. ἀλλὰ μὴ ὑπερβαίνειν τε καὶ ἐρᾶν ἀλλοτρίων. καὶ τῶν παραδι
δομένων ἡμῖν ἐκ τῆς φύσεως καταφρονεῖν νόμων. καὶ τῆς γυναικὸς δὲ τοῦ
νόμου ἐπισαλευομένης. τοῦτο μὲν εἰ ἀγνοήσει. ἀθεμίτοις δὲ ἑαυτὴν ἐπιδοῦσα γάμοις,
ὑπὸ τὴν αὐτὴν γινομένην ποινήν. εἰ μέντοι τύχοιεν ἐκ προτέρων γάμων ἀ
μέμπτων παῖδες ὄντες αὐτῷ, ἢ ἐκ τοῦ νῦν τυχοῦσα ἐκ προτέρου, τὴν πατρῴαν καὶ
ταῖς ἐκείνοι λήψονται διαδοχήν. αὐτεξούσιοι μὲν τῷ πρὸς γυναικὰ γινό
μενοι, τρέφοντες δὲ ὅμως αὐτόν, καὶ τὰ τῶν ἀναγκαίων παρέχοντες. εἰ γὰρ καὶ
τῶν νόμων ὑπερόπτης καὶ ἀσεβής, ἀλλὰ πατὴρ ὅμως ἐστί:

ιδ'

περὶ γάμου λύσεως καὶ τῶν τῆς λύσεως αἰτιῶν. ἀνάγνωθι ἐν τῷ τοῦ
ἁγίου ... κεφαλαίῳ φησί:

Τὰς τίνων αἰτίας ἐξ ὧν ὁ ἀνὴρ διαζύγιον ἀκινδύνως πέμπειν δύναται. ἐ
πὶ τὴν πορνείαν τῆς γυναικὸς ἀποκρυπτομένου φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσπο
τείας ἐν τῷ αὐτῷ γάμῳ παισίν. ἢ παίδων οὐκ ὄντων ἀπολαύειν αὐτὸν καὶ
τῆς δεσποτείας ταύτας εἶναι διαλυομένους. εἰ καὶ τῆς βασιλείας ἐπιβουλευομένοις
συνῴδειν ἡ γυνή· καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερῶσαι. εἰ δὲ ὁ ἀνὴρ παρὰ τῆς
γυναικὸς τοῦτο ἀπαιτηθείς σιωπήσει. ἐξέσω τῇ γυναικὶ διοιουδήποτε προ
σώπου τοῦτο προσαγγέλλειν τῇ βασιλείᾳ. ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύ

της ταῖς αἰτίαις διαζυγίου δέδωκε πρόφασιν· εἰ ἐπὶ μοιχείᾳ ὁ ἀνὴρ δυνηθῇ διε-
λέγξαι τὴν γυναῖκα· ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβου-
λεύσῃ· ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα τῷ ἀνδρὶ μὴ φανερώσῃ· ἐὰν ἀνδρά-
σι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ· ἢ συλλούηται· ἐὰν μὴ
βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μένῃ· εἰ μήτε τυχὸν παρὰ τοῖς ἰδίοις
γονεῦσι· ἐὰν ἱππικοῖς ἢ θεάτροις ἢ κυνηγίοις παραγίνηται ἐπὶ τῷ θεωρῆσαι ἀ-
γνοοῦντος ἢ καὶ κωλύοντος τοῦ ἀνδρός· εἰ μέντοι γε συμβῇ τινὰ δίχα αἰτιῶν τῶν
προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γαμετὴν τοῦ οἰκείου οἴκου ἐξωθῆσαι· ὥσ-
τε ἐκείνην μὴ ἔχουσαν γονεῖς παρ' οὓς δύναται μεῖναι ἐξ ἀνάγκης ἔξω τὴν νύ-
κτα διάγειν· κελεύομεν μηδεμίαν ἐξεῖναι τῷ ἀνδρὶ ἄδειαν· διὰ ταύτην τὴν αἰτί-
αν διαζύγιον πέμπειν τῇ γυναικί· διότιπερ αὐτὸς τούτου αἴτιος γίνεται· τὰς δὲ
αἰτίας δι' ὧν εὐλόγως δύναται ὁ ἀνὴρ παρὰ τῆς γυναικὸς πέμπεσθαι δια-
ζύγιον καὶ ἐξ ὧν δύναται τήν τε προῖκα λαμβάνειν καὶ τὴν διὰ τοὺς γάμους ἀ-
παιτεῖν δωρεάν· ὁμοίως τοῖς παισὶ φυλαττομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσ-
ποτείας· ἢ παίδων μὴ ὑπόντων· ἔχειν αὐτὴν καὶ τὴν ταύτης δεσποτείαν· ταύτας εἶναι
μόνας διατυποῦμεν· ἐάν τι κατὰ τῆς βασιλείας ἢ αὐτὸς βουλεύσηται· ἢ τοῖς βου-
λομένοις συνειδὼς μὴ φανερώσῃ τῇ βασιλείᾳ· ἢ δι' ἑαυτοῦ· ἢ δι' οἱουδήποτε
προσώπου· ἢ ἐὰν οἱῳδήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικός·
ἢ ἄλλων τοῦτο βουλομένων εἰδὼς μὴ φανερώσῃ τῇ γυναικὶ καὶ σπουδάσῃ κατὰ
τοὺς νόμους ἐκδικῆσαι· ἐὰν ὁ ἀνὴρ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων·
ἄλλοις ταύτην ἐκδοῦναι μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι· ἢ ἐὰν ὁ ἀνὴρ περὶ μοι-
χείας ἐγγράψηται τὴν γυναῖκα ἀπελέγξαι· καὶ τὴν μοιχείαν μὴ ἀποδείξῃ· καὶ ἐὰν
ὁ ἀνὴρ ἐν τῷ αὐτῷ οἴκῳ καθ' ὃν μετὰ τῆς αὐτοῦ γυναικὸς συνοικεῖ περιφρονῶν
αὐτῆς μεθ' ἑτέρας διατρίβων εὑρίσκηται ἐν τῷ αὐτῷ οἴκῳ μένων· ἢ κατὰ τὴν αὐτὴν πόλιν
διάγων ἐν ἑτέρῳ οἴκῳ μετ' ἄλλης γυναικὸς συνεχῶς μένων ἐλέγχηται· ἅπαξ
καὶ δὶς ἐγκληθεὶς ἢ διὰ τῶν ἑαυτοῦ γονέων, ἢ διὰ τῶν τῆς γυναικός, ἢ δι' ἑτέ-
ρων τινῶν ἀξιοπίστων προσώπων τῆς τοιαύτης ἀσελγείας μὴ ἀπόσχηται· ἐξεῖναι
τῇ γυναικὶ· καὶ διὰ ταύτης τῆς αἰτίας διαλύειν τὸν γάμον· καὶ ἀναλαμβάνειν
τὴν δεδομένην προῖκα· καὶ τὴν προγαμιαίαν δωρεάν· καὶ ὑπὲρ τῆς τοιαύ-
της ὕβρεως, τέταρτον μέρος τῆς διατιμήσεως ἣν ἡ προγαμιαία δωρεά, ἐκ
τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν· οὕτω μέντοι γε· ὥστε εἰ παῖδας ἔχοι·
τῆς γαμετῆς μόνης ἀπολαύειν τὴν γυναῖκα τῶν πραγμάτων· ἅπερ ἐκ τῆς

προστίμοις δωρεᾶς καὶ τῆς ποινῆς τοῦ ἑτέρου μέρους, τῆς μὲν τοῦ ἀνδρὸς προσούσης
λάβοι, τῆς δὲ δεσποτείας τοῖς κοινοῖς παισὶ φυλαττομένης. εἰ γὰρ παῖδας μὴ σχοίη
ἐκ τοῦ αὐτοῦ συνοικεσίου, ἔχειν αὐτὴν διὰ τοῦτο τῶν προστιμίων καὶ τὴν δεσποτεί-
ας κλῆρον(?)· ἐκείνου δὲ προφυλαττομένου. ὥσπερ εἰ εὐλόγως ὁ ἀνὴρ τὸ διαζύγιον πέμ-
ψειε. καὶ ὑπεύθυνος ἡ γυνὴ ἐκ τῶν ἔμπροσθεν εἰρημένων ἢ μὴ ἔσται ποινῶν,
εἰς πενταετίαν ὅλην πρὸς δεύτερον ἐλθεῖν κωλυθήσεται συνοικέσιον. καὶ πρὸ τῆς
πενταετίας ὁ γάμος οὐκ ἔσται ἀνεύθυνος. οὐδὲ νόμιμος γάμος κληθήσεται. ἀλ-
λὰ πᾶς ὁ βουλόμενος προσίτω καὶ κατηγορείτω τοῦ γινομένου. ὡς παρανό-
μου τολμηθέντος. εἰ δὲ καὶ εὐλόγως ἡ γυνὴ τὸ διαζύγιον στέλλει καὶ κρατήσει
τῶν ἀγώνων. κερδαινέτω τὰ κέρδη τὰ ἔμπροσθεν εἰρημένα. ἐρυθριάτω
περὶ ἐνιαυτὸν ἐξήκειν εἰς δεύτερον φοιτᾶν γάμον ὅπερ οὐ προφυλακτέον ἡ-
μῖν ἐπ' ἀνδρός. ὥσπερ γὰρ εὐλόγως ἐκράτησε τῶν προστίμων κερδῶν· καὶ παρα-
χρῆμα γαμεῖν ἔξεστιν· ἐπεὶ μηδεμία περὶ τὴν τῆς γονῆς σύγχυσιν εὔλογός ἐστιν
ὑπόνοια. ὅπερ ἐπὶ τῶν γυναικῶν τὴν πρὸ τοῦ ἐνιαυτοῦ συνάψεσθαι ὅλως ἀ-
πείργει. καὶ τοσοῦτον ἐστὶ τὰ τῆς κολάσεως ἐνταῦθα. ὅτι κἂν ἐξ ἀγαθῆς μεσι-
τείας λυθῆναι συμβαίνει τὸν γάμον. ἀλλὰ καὶ οὕτως εἰς ἐνιαυτὸν ἡ κώλυσις τῶν
δευτέρων γάμων ταῖς γυναιξὶν ἐπιτέτακται. ἀλλὰ καὶ τῶν ἐν στρατιώταις οὕτω
τὰς γαμετὰς περιηκούετο(?) ἡ διάταξις. ὥστε εἰ μὲν ἀκούσῃ τὸν ἴδιον ἄνδρα
τετελευτηκέναι, μὴ ἄλλως ἔρχεσθαι πρὸς δεύτερον γάμον. εἰ μὴ πρότερον ἢ
δι' ἑαυτῆς ἢ δι' ἄλλου οἱουδήποτε προσώπου τοὺς πριόρας τοῦ ἀριθμοῦ καὶ
τοὺς χαρτουλαρίους ἤτοι τὸν τριβοῦνον ὅτε πάρεστιν· ἐν ᾧ ὁ ταύτης ἀνὴρ ἐστρα-
τεύετο ἐρωτήσει. ὥστε ἐκείνους διὰ τῶν ἁγίων εὐαγγελίων προκειμένων, ἐπὶ
πράξεως ὑπομνημάτων καταθέσθαι. εἰ ταῖς ἀληθείαις ὁ ταύτης ἀνὴρ τετελευ-
τηκε, καὶ μετὰ τὸ λαβεῖν ταῦτα τὰ ὑπομνήματα ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας.
μένειν αὐτὴν ἑνὸς ἐνιαυτοῦ διάστημα. ὥστε μετὰ τὴν αὐτοῦ παραδρομὴν ἐξεῖναι
ταύτην νόμιμον συναλλάττειν γάμον. εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυ-
νὴ τολμήσει εἰς ἕτερον ἐλθεῖν γάμον· καὶ αὐτὴ καὶ ὁ ἀγαγόμενος αὐτὴν πρὸς
γάμον, ὡς μοιχοὶ τιμωρηθῶσιν. εἰ δὲ οἱ ἐπὶ πράξεως ὑπομνημάτων μεθ'
ὅρκου καταθέμενοι. μετὰ ταῦτα εὑρεθεῖεν ψευδῶς καταθέμενοι. αὐτοὶ
μὲν τῆς στρατείας γυμνούμενοι. δέκα χρυσίου λιτρῶν ποινὴν συνεισενεγκεῖν(?) κα-
ταβαλοῦσιν(?) ἐπ' ἐκεῖνον ὃν ἐψεύσαντο τετελευτηκέναι. αὐτὸς δὲ ἄδειαν ἐχέτω
εἰ βουληθείη τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν. ταῖς δὲ εἰρημέναις αἰτίαις συ-

περὶ τῶν στρατιώτ-
αις οὔσαι(?)

ἀνδ' ἡ' κβ' ε λ̄.

γʹ

νόμων καὶ ταύτας ὀνομαστὶ προσθεῖναι. ἔξω τοὺς γάμους διὰ ποινῆς ἔξε-
στι διαλύειν· διαλύεται γάμος κατὰ πρόφασιν ἄμεμπτον· ὅταν ἀσκητικὸν θέλει ἑ-
λέσθαι τῶν μερῶν, πρὸς τὴν ἐπὶ τὸ κρεῖττον μεταβαίνων ὁδόν· καὶ τὸν ἐν ἁγνείᾳ βί-
ον αἱρούμενος. τηνικαῦτα γὰρ κληρονομίας παρρησίαν εἶναι καὶ ἀνδρὶ καὶ γυναικὶ
πρὸς τὰ κάλλιω μεθισταμένῳ, διαλύειν τὸ συνοικέσιον. καὶ ἀναχωρεῖν μετά τι-
νος βραχέος ὑποληψομένης τῷ καταλειπομένῳ παραμυθίας. ὅπερ γὰρ ἂν συμ-
φωνήσωσιν οἱ συμβάλλοντες ἀπὸ τελευτῆς γενέσθαι κέρδος, τοῦτο ἔχειν δεῖ τὸν
καταλειπόμενον παρὰ θατέρου, εἴτε ἀνὴρ εἴτε γυνὴ καθεστήκοι. διότι καὶ
οὗτος ὅσον τε ἐπὶ τῷ συνοικεσίῳ δοκεῖ τετελευτηκέναι, ἑτέραν ἀνθ' ἑτέρας βίου πο-
ρείαν ἡγούμενος. ἐκ προφάσεως δὲ ἀναγκαίας τε καὶ οὐκ ἀλόγου διαλύεται
γάμος· ὅταν τις οὐχ οἷός τε ᾖ συνεῖναι τῇ γυναικὶ καὶ τὰ παρὰ τῆς φύσεως
ἀνδράσι δεδομένα πράττειν. ἄχρι διετοῦς τριετοῦς ἐνιαυτῶν ἐκ τοῦ τῶν γά-
μων καιροῦ, πάρεστι γὰρ τῇ γυναικὶ ἢ τοῖς γε αὐτῆς πατράσι διαζευγνύναι
τὸ συνοικέσιον· εἰ καὶ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. καὶ ἐνταῦθα ἡ μὲν προῖξ
εἴ τις ἐστὶν ὅλως ἐπιδεδομένη προῖξ, ἀκολουθήσει τῇ γυναικί· καὶ ἀποδώ-
σει ταύτην ὁ ἀνήρ, εἴ γε τύχοι λαβών· ἡ δὲ διὰ τὸν γάμον, ἤτοι πρὸ τῶν γάμων δω-
ρεὰ μενεῖ παρὰ τῷ ἀνδρί. συμβαίνει οὖν τοῦτο αἰχμαλώτου τῆς γυναικὸς ἐπὶ τῇ
πολιτείᾳ μενούσης, εἴτε αὐτῆς γυνὴ εἰς τὰς αἰχμαλωσίαν ἀπίοι καὶ ἐὰν ὁ ἀνὴρ
ἐν τῇ πόλει· ὁ μὲν γὰρ ἀκριβής τε καὶ λεπτὸς λόγος, διαλύει τὸν γάμον. δουλείας γὰρ
ἅπαξ γενομένης θατέρῳ, ἡ τῆς τύχης ἀνισότης καὶ τὴν ἐκ τῶν γάμων ἰσότητα
μένειν οὐ συγχωρεῖ. πλὴν ἀλλὰ φι-          ον τὰ τοιαῦτα θεωροῦντες ἕως
μὲν ἐστὶ φανερὸν περιεῖναι ἢ τὸν ἄνδρα ἢ τὴν γαμετήν, μένειν ἄλυτα τὰ συνοι-
κέσια συγχωροῦμεν· καὶ οὐχ ἥξουσι πρὸς δευτέρους γάμους· οὔτε γυναῖκες,
οὔτε ἄνδρες. εἰ μὴ διέλοιντο δοκεῖν κατὰ προπέτειαν τοῦτο πράξειν· καὶ ὑπο-
πεσοῦνται ταῖς ποιναῖς. ὁ μὲν γὰρ τῇ τῆς πρὸ γάμου δωρεᾶς φανερῶς ἐκπίπτει· ἡ δὲ τῆς
προικός. εἰ δὲ ἄδηλον καθεστήκοι, πότερον περίεστιν ἢ μὴ τὸ εἰς πολεμίους
ἀφικόμενον πρόσωπον, τηνικαῦτα πενταετίαν μενετέον· εἴτε τῇ γυναικὶ εἴ-
τε τῷ ἀνδρί. μεθ' ἣν εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς εἴτε ἄδηλα μένοι, γα-
μεῖν ἔξεστιν ἀκινδύνως. καὶ τοῦτο γὰρ δὴ ταῖς καλουμέναις καὶ χάριτι δι-
αλύσεσι παρὰ τῶν πρὸ ἡμῶν συνεισήχθη· καὶ ἡμεῖς δὲ εἰς τοῦτο σύμφαμεν.
ὥστε ἐνταῦθα οὐδὲ διαιρέσεως γίνεται καιρός· οὔτε τῶν προσώπων δεσποζόντων
ἀλλήλων· καὶ οὐδεὶς ἐντεῦθεν κερδαίνει· οὔτε ὁ ἀνὴρ τὴν προῖκα· οὔτε ἡ γυνὴ

περὶ δὲ τῶν ἐπὶ τῷ μονάζειν τοὺς γάμους λυόντων· ἀνάγνωθι τὸ ὅλον τέλος καὶ εὑρήσεις τὰ λοιπὰ τῆς προκειμένης ὑποθέσεως: →

περὶ τῶν κατὰ συναίνεσιν λυόντων τοὺς γάμους. αὐτὸς ἐστὶν περὶ τῆς ταῦτα ἐκαίνισε. διὸ γρ. θεσπίζομεν ἐξ᾽ ναι κατὰ τὸ παλαιὸν τὰς ἐκ συναινέσεως διαλύσεις, ἐπὶ τῶν γάμων ποιεῖσθαι. κρατεῖν μὲν τὰ τέλεια τετάγμενας ποινὰς τῇ διατάξει ἡμετέρου πρὸς ἐπὶ τῶν κατὰ συναίνεσιν τοὺς γάμους διαλυόντων. εἰ δὲ τῷ ἀμοιβαδὸν ἢ διαθέσεις τοὺς γάμους συνίστασθαι, ἐπὶ ταύτῃ διαλυόντων διαζύγιον:-

τὴν πρὸ γάμου δωρεάν· ἀλλ᾽ ἕκαστος ἐπὶ τῶν οἰκείων μενέτω. εἰ μηδενὶ τρόπῳ παρὰ ταύτας τὰς εἰρημένας αἰτίας διαζύγιον γίνεσθαι ἢ κατὰ συναίνεσιν τοὺς γάμους διαλύειν. καὶ συγχωρεῖν ἀλλήλοις τὰ ἁμαρτήματα. εἰ δέ τις τολμήσοι τὸ τοιοῦτον. εἰ μὲν παῖδας ἔχοι· τὴν οὐσίαν αὐτοῦ ἐκείνοις δίδοσθαι κατὰ τὴν διωρισμένην τάξιν. καὶ τόν τε ἄνδρα τήν τε γυναῖκα εἰς μοναστήριον ἐμβάλλεσθαι· καὶ ἐκ τῆς ἑκάστου περιουσίας ἀνὰ τρίτον τοῖς μοναστηρίοις ἐν οἷς ἐμβάλλονται ἀφορίζεσθαι τοῦ ἀνδρὸς δηλονότι· μὴ ἧττον ἔχοντος τοῦ διδομένου τοῖς παισὶ μέρους. εἰ δὲ παῖδας μὴ ἔχοιεν· ἀλλὰ ἀνιόντας ἢ κατιόντας. τοὺς τε μέρος τῆς οὐσίας λαμβάνειν αὐτούς. εἰ μὴ τῇ ἀσεβείᾳ τῆς λύσεως τοῦ γάμου συναίνεσιν. τὰ δὲ δύο μέρη τοῖς μοναστηρίοις ἀφορίζεσθαι. εἰ δὲ μήτε ἀνιόντες μήτε κατιόντες εἶεν. ἢ καὶ οἱ ἀνιόντες συναινέσειαν τῷ τελουμένῳ. καὶ τὴν πᾶσαν τὴν οὐσίαν τοῖς μοναστηρίοις ἐν οἷς ἐνεβλήθησαν δίδοσθαι. ἀλλὰ καὶ τοὺς ὑπουργοῦντας ταῖς τοιαύταις λύσεσι τοῦ γάμου. ἢ τὰ τοιαῦτα ἀθέμιτα συμβόλαια ἐκτιθέντας. ταῖς εἰς σῶμα ποιναῖς ὑποβάλλεσθαι κελεύομεν. καὶ εἰς ἐξορίαν πέμπεσθαι. εἰ δὲ οἱ τοῦ γάμου λύσιν ἐπιχειρήσαντες βουληθεῖεν, πάλιν ἑαυτοὺς συζευγνῦσθαι πρὶν ἐμβληθεῖεν μοναστηρίοις. συγχωροῦμεν αὐτοῖς τὰς προειρημένας ποινάς, καὶ τὰς ἰδίας περιουσίας ἔχειν. ἐὰν ἑνὸς δὲ βουλομένου τοῦ γάμου ἀνανεοῦσθαι· ὁ μὴ συναινέσας τῷ ἑτέρου προσώπου κατὰ τοῦ μὴ βουλομένου κρατεῖν τὰς ποινάς. εἰ δέ τις τὴν ἰδίαν γαμετὴν μάστιξιν ἢ ξύλοις τύπτοι. χωρὶς τινὸς τῶν αἰτιῶν. ὧν τῇ γυναικῶν πρὸς τὴν τοῦ γάμου διάλυσιν· ἐκ τούτου γίνεσθαι οὐ βουλόμεθα. ὅτι δὲ ἄνδρα ...... τινὰ μὴ χωρὶς τῆς τοιαύτης αἰτίας μάστιξιν ἢ ξύλοις τύπτειν τὴν αὐτοῦ γαμετήν. τοῦτον ὑπὲρ τῆς τοιαύτης ὕβρεως ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας διδόναι τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου, ὅσον τῆς πρὸ γάμου ποσὸν δωρεᾶς. εἰ δὲ ὁ ἀνὴρ ἢ ἡ γυνὴ ὁ γαμετὴν ἀλλοτρίαν ἐπὶ δόλου εἰς τὸν ἴδιον οἶκον λαβὼν, κἀκεῖθεν πέμψας διαζύγιον ἐπ᾽ αὐτῆς ἐπὶ τελείαν ἀφορίζεται. εἰ δὲ ὁ ἀνὴρ ἢ ἡ γυνὴ ὁ ἐπινεύσειν ἐπιφανὴ ὡς δουλεία, λύει τοῦ γάμου. καὶ διαζευγνύουσιν αὐτοὺς ἀπ᾽ ἀλλήλων. ὁ δὲ αὐτὴ τῇ ἑαυτῆς ἀκολουθήσας. αὐτὴ καὶ ὁ ἀνὴρ ἢ σύμφωνοι. εἰ δὲ γυνὴ ἢ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξεται βίον. καὶ δοκεῖ εἰς τὸ μοναστήριον, παίδων οὐχ ὑπόντων. τῷ μοναστηρίῳ ἐν ᾧ εἰσέλθοι τὰ πράγματα αὐτοῦ διαφέρειν κελεύομεν. εἰ δὲ τὸ τοιοῦτον πρόσωπον παῖδας ἔχοι. καὶ μὴ πρὶν δοκῆ

ἀρχὴν προσακούεσθαι καὶ γάμου διάλυσιν ἢ

γ΄

θῃ εἰς τὸ μοναστήριον περὶ τῶν οἰκείων πραγμάτων ποιήσας διατύπωσιν· ἐ-
τὸ νόμιμον μέρος τοῖς παισὶν ἀφορίσας· καὶ οὕτως ἐξέσω αὐτῷ καὶ ἐν τῷ
εἰσελθεῖν εἰς τὸ μοναστήριον, τὴν ἰδίαν οὐσίαν εἰς τοὺς ἰδίους διελεῖν παῖδας.
οὕτω μέντοι γε· ὥστε μὴ δ' ἐπὶ ἑνὶ τῶν ἑαυτοῦ παίδων, ἐλαττῶσαι τὸ νόμι-
μον μέρος. τὸ δὲ μὴ δεδομένον τοῖς παισὶ μέρος, τῷ μοναστηρίῳ διαφε-
ρέτω. εἰ δὲ πᾶσαν τὴν ἰδίαν οὐσίαν μεταξὺ τῶν παίδων διελεῖν βουληθείη,
τοῦ οἰκείου αὐτοῦ προσώπου τοῖς παισὶ συναριθμουμένου. ἐν ἑαυτοῦ μέ-
ρος πᾶσι τρόποις κρατείτω. ὅπερ τῷ ἰδίῳ τοῦ μοναστηρίου διαφέρειν. εἰ δὲ γ΄ τῷ ἰδίῳ
ἐν τῷ μοναστηρίῳ διατάξων τελευτήσει, πρὶν μεταξὺ τῶν οἰκείων παίδων τὰ ἴ-
δια διανείμῃ πράγματα, τὸ νόμιμον μέρος οἱ παῖδες λήψονται. τὰ δὲ λοι-
πὰ τῆς οὐσίας τῷ μοναστηρίῳ διαφερέτω. καὶ κεφ. ις΄ τα΄ ἐν οἷς φησί. εἰ δὲ συ-
νεστῶτος ἔτι τοῦ γάμου. ὁ ἀνὴρ μόνος ἢ ἡ γυνὴ μόνη εἰς μοναστήριον εἰσέλθῃ. δι-
αλυέσθω ὁ γάμος καὶ δίχα ῥεπουδίου. μετὰ δὲ μέντοι τὸ πρόσωπον τὸ εἰσερχό-
μενον εἰς μοναστήριον τὸ ἐπίτιμον λάβῃ. καὶ εἰ μὲν ὁ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέ-
ξηται βίον, ἀποκαθιστάτω τῇ γυναικὶ καὶ τὴν προῖκα. καὶ εἴ τι ἄλλο ἀπ' αὐ-
τῆς εἴληφε. καὶ πρὸς τούτοις ἐκ τῆς γαμικῆς δωρεᾶς τοσοῦτον μέρος, ὅσον κατὰ
τῆς τελευτῆς τοῦ ἀνδρὸς ἥρμοζε τῇ γυναικί· κατὰ τὸ σύμφωνον τὸ τοῖς προικῴ-
οις συμβολαίοις ἐμφερόμενον. εἰ δὲ γυνὴ εἰς τὸ μοναστήριον εἰσέλθοι κα-
τὸν ὅμοιον τρόπον προσκρατείτω ὁ ἀνὴρ τὴν γαμικὴν δωρεάν. καὶ τὸ κέρδον
τῆς προικὸς τὸ ἀπὸ τελευτῆς τῆς γυναικὸς συμφωνηθέντες καὶ τὸ λοιπὸν
τῆς προικὸς τῇ γυναικὶ ἀποκαθιστᾶν προσαναγκαζόμεθα. καὶ εἴ τι ἄλλο ἐκ
τῶν πραγμάτων τῆς γυναικὸς παρ' αὐτῷ εὑρεθῇ. ἀμφοτέρων δὲ τὸν μονα-
χικὸν βίον ἐπανῃρημένων. κατὰ δὲ τὰς ἁρμοζούσας τῶν προικιμαίων συμ-
φώνων, τὸν ἄνδρα προσκρατεῖν τὴν γαμικὴν δωρεάν· καὶ τὴν γυναῖκα τὴν
ἰδίαν λαμβάνειν προῖκα, καὶ εἴ τι ἄλλο τῷ ἀνδρὶ δεδωκέναι δειχθῇ. ἵνα
εἷς ἕτερος δίχα ζημίας, τῶν ἰδίων ἀπολαύσῃ πραγμάτων. εἰ μὴ ὡς εἰκὸς ὁ
μνηστὴρ τῇ μνηστῇ. ἢ ἡ μνηστὴ τῷ μνηστῆρι. ἢ ὁ ἀνὴρ τῇ γυναικί. ἢ ἡ γυνὴ τῷ
ἀνδρὶ δωρήσασθαί τε ἢ συγχωρῆσαι βουληθείη :—

ἀνάγνωθι καὶ β΄ α΄ τ΄ κεφ. ις΄ ἐν ᾧ φησί. περὶ τοῦ ἐξέφεσθαι τοὺς παῖδας ἔχοντας προικὸς οὐσίας :—

## περὶ γαμικοῦ κέρδους καὶ περὶ τῶν γαμικῶν δωρεῶν. ἀνάγνωθι ε΄ κεφ. τ΄ τοῦ θ΄. οὕτως ἐν τῷ α΄ κεφ. φησί :— ε΄

Τὴν διὰ τοὺς γάμους δωρεὰν συνάλλαγμα ἰδικὸν εἶναί τε καὶ κεῖσθαι. ἐ-
μὴ ταῖς ἄλλαις δωρεαῖς αὐτὴν ἀριθμεῖσθαι διὰ τὸ προτοῦς νομοθεσίαι

ἐν κεφ. ιε΄ κεφ. α΄. ἀνάγνωθι ν΄ τῆς ἐν ᾧ φησί. οὐ φυλάττεται τὸ δικαίωμα τῆς γαμικῆς δωρεᾶς :—

ζομένης· ἐπειδὴ αὐτὰ ταῖς ἰδίαις προικὸς ἐπιδίδοται· εἴτε τινὶ ὧ γένηται ἐπὶ πράξεως ὑπομνημάτων ἐμφανής· εἴτε καὶ μή. κηρύσσομεν αὐτὴν διαπαντὸς τὴν ἰδίαν ἔχειν ἰσχὺν ὅθεν πρὸς τὴν γυναῖκα· εἴτε παρ' αὐτοῦ τοῦ ἀνδρός· εἴτε παρ' ἑτέρου τινὸς τῇ γυναικὶ ἐπιδίδοται· εἴτε καταγράφεται, ἤγουν εἰς τὸ τοῦ ἀνδρὸς πρόσωπον ἡ δωρεὰ γίνεται· ἐφ' ᾧ τὰ αὐτὰ πράγματα εἰς γαμικὴν καταγράφεσθαι δωρεάν. ἀνάγνωθι καὶ τὸ κη' τί(τλον) τοῦ ιβ' κεφ(αλαίου) τὸ ἐν ... φ(ύλλῳ).

περὶ ἀπόρου γυναικός. ἀνάγνωθι νε' κεφ(άλαιον) ἐν φ(ύλλῳ) ... καὶ αὐτὴ ἵνα λαμβάνῃ τὸ δ' τῆς τοῦ ἀνδρὸς οὐσίας. ἢ παιδὸς μοῖραν :–

Ὅτι ἡ ἄπροικος καὶ ἄπορος γυνή, τετάρτην μοῖραν τῆς τοῦ ἀνδρὸς περιουσίας λαμβάνει· ὥστε μέντοι γε μὴ ὑπερβαίνειν τὴν τῶν ἑκατὸν τοῦ χρυσίου λιτρῶν ποσότητα. ἀλλ' εἰ μὲν ἄχρι τριῶν ἔχοι παίδων ὁ αὐτὸς ἀνὴρ εἴτε ἐξ αὐτῆς· εἴτε καὶ ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας λαμβάνειν· εἰ δὲ πλείονες εἶεν οἱ παῖδες, ὅσον ἑνὶ τῶν παίδων ἁρμόζει· ὥστε χρῆσιν μόνην ἐπὶ τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν. τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ ἔχοι. εἰ δὲ παῖδας ἐξ αὐτοῦ μὴ ἔχει· ἔχειν αὐτὴν τὰ πράγματα καὶ δεσποτείας δικαίῳ. εἰ μέντοι πρεσβεῖόν τι καταλίποι ὁ ἀνὴρ ἧττον τῆς διωρισθείσης μοίρας. ἀναπληροῦσθαι τοῦτο. εἰ δέ τινα ἰδίᾳ ἡ γυνὴ πράγματα κατὰ τὴν οἰκίαν τοῦ ἀνδρὸς ἢ ἀλλαχόσε ἀποκείμενα ἔχοι· τούτων τὴν εἴσπραξιν καὶ ἀνακάλεσιν ἐχέτω πᾶσι τρόποις ἀμέμπτως. ταῦτα δὲ φαμέν, ὅτε ἡ γυνὴ προῖκα μὴ ποιησαμένη, ἄπορος ἐστιν· ὥστε τὸν ἐξ ἀνδρὸς μετηλλαχότα εὔπορον εἶναι. τὴν δὲ περιοῦσαν πένεσθαι. ἐπεὶ τοί γε ἴσως ἀλλαχόθεν εὐποροῖ τὴν εἰσενεγκοῦσαν προῖκα· οὐκ ἂν εἴη δίκαιον βαρύνειν τοὺς παῖδας τῇ διαδοχῇ τοῦ συνοικήσαντος. διό τινος ἄλλος ἐστί, τὴν προῖκα μὴ εἰσενεγκαμένην. μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι διὰ τῆς προγαμιαίας δωρεᾶς, ὅπερ κἀνταῦθα βουλόμεθα κρατεῖν. τὸν δὲ ἄνδρα ἄπορον ὄντα, καὶ μὴ ἐπιδιδόντα τὴν διὰ γάμου δωρεάν, λαμβάνειν τε ἐκ τῆς οὐσίας τῆς γυναικός, πᾶσι τρόποις κωλύομεν. εἰ μὴ ἄρα καὶ αὐτῷ ἡ συνοικοῦσα δωρήσασθαί τι καταλιπεῖν βουληθείη :–

ἢ εὐποροίη

ς' περὶ γεωργῶν καὶ ἐναπογράφων καὶ παροίκων καὶ μισθωτῶν. καὶ περὶ τῶν ἐξ αὐτῶν τικτομένων. καὶ περὶ πατριμονιαλίων γεωργῶν. ἢ τῶν ἰδιοκτήτων τοῦ βασιλέως. ἀνάγνωθι τὸ νε' τί(τλον) α' ... τοῦ α' κεφ(αλαίου) φησίν :–

Ὁ γεωργούμενος, περὶ τὴν συλλογὴν τῶν καρπῶν ἢ περὶ χορτισμούς, μὴ ἀφίεσθαι εἰς τὰ ἔξω τῶν ὀφειλομένων βάρη ἐπειδὴ ἀναγκαίως ἠσχόληται.

γ

Ἐν τῷ β' τῷ α' κεφ. ὑπὲρ τῶν γεωργῶν οἱ δεσπόται ἀπαιτοῦνται τὰς ζημίας. ἐν τῷ β' τῷ ιη' κεφ. τῶν γεωργῶν οἱ ἐναπόγραφοι καὶ τὰ τούτων πεκούλια τοῖς δεσπόταις ἀνήκει. οἱ δὲ χρόνῳ τῆς τριακονταετίας μισθωτοὶ γίνονται ἐλεύθεροι μετὰ τῶν πραγμάτων αὐτῶν. καὶ οὐ τινὲς ἀναγκάζονται καὶ τὴν τοῦ γεωργείου. καὶ τὸ τέλος παρέχειν. τοῦ δὲ γ' καὶ τοῖς δεσπόταις καὶ τοῖς γεωργοῖς χρήσιμος. ἀνάγνωθι καὶ τὸ β' ε' ϛ' ε' δ' καὶ η' ε' θ' ε' ια' ε' ιβ'. καὶ τοῦ ια' τί. κεφ. δ'.

Περὶ γοήτων. ἀνάγνωθι β' ξ' τί. λθ' κεφ. κη' ἐν τῷ φ' φησίν. ζ

Τοὺς ἐπιδεξαμένους γοητείαν, ἤγουν τοὺς ἔρωτα τοῖς σώφροσι χολισμούς. ἢ κατὰ σωτηρίας αὐτῶν μηχανησαμένους. δημεύσει καὶ ἐξορίᾳ τιμωρεῖσθαι. ἀνάγνωθι ε' κεφ. λθ' ἐν τῷ φ' φησί. ὁ δὲ εἰς βλάβην αὐτῶν δαίμονας ἐπικαλούμενοι. ξίφει τιμωρείσθωσαν.

Περὶ γονέων. καὶ τῆς εἰς αὐτοὺς ὑποταγῆς. περὶ τῶν γονέων ἐπὶ τῇ ἀναγκαίᾳ αὐτῶν ὀφειλομένης. καὶ ὅτι ἁμαρτάνοντες εἰς τοὺς γονεῖς οἱ παῖδες κολάζονται. ἀνάγνωθι β' λα' τί. ε' θέματος ἐν τῷ φ' ε' κεφ. φησί. η

ἀνάγνωθι καὶ β' με' τί. α' κεφ. ιϛ' ὅπερ ἔγραψαν ἐν τῷ φ' περὶ αὐτοῦ.

Ὁ δικαστὴς διαγινώσκει τοὺς παῖδας ἐκ τῶν γονέων. καὶ τοὺς γονεῖς ἐκ τῶν παίδων δι' ἀπορίαν καὶ ἀσθένειαν τρέφεσθαι. εἴτε αὐτεξούσιοί εἰσιν οἱ παῖδες. εἴτε ὑπεξούσιοι. καὶ ὁ πορνογενὴς τρέφει τὴν μητέρα. καὶ ἡ μήτηρ αὐτόν. καὶ ὁ κατὰ μητέρα πάππος ἀποτρέφει. καὶ ὁ πατὴρ τὴν νόμιμον θυγατέρα. οὐ παινόμενον παῖδα καὶ μὴ δυνάμενον κάμνειν. τρέφειν ὁ πατὴρ ἀναγκάζεται. οὐ μόνον τρέφειν ὁ γονεὺς ἀναγκάζεται τὸν παῖδα. ἀλλὰ καὶ τὰ λοιπὰ βάρη χορηγεῖν αὐτῷ, ἐσθῆτα καὶ οἴκησιν. καὶ ὁ αὐτεξούσιος ἀνήβος πενόμενον τὸν πατέρα ἀναγκάζεται τρέφειν. ἡ μήτηρ ἀναγκαίως ἀποθρέψασα τὴν θυγατέρα καὶ συμμέτρως. καλῶς ἀπαιτεῖ τὸν πατέρα. οὐ μὴν ἐὰν χρέος μετὰ κινδύνου ἐδαπάνησε. καὶ περὶ τῶν περὶ ἀποστρέφεται. τρέφειν οὐ μὴν καὶ χρέος ὑπὲρ τοῦ πατρὸς ὁ υἱὸς ἀναγκάζεται διδόναι. ὥστε καὶ ἐπὶ πατρός. καὶ ὁ κληρονόμος τοῦ υἱοῦ ἀναγκάζεται τὸν πατέρα τρέφειν. εἰ μὴ ἀκριβῶς πένεται. ὡς καὶ οἱ πάτρωνες καὶ οἱ ἀπελεύθεροι τρέφουσιν ἀλλήλους. Ἐν τῷ δ' κ' κεφ. τὰ βάρη τὰ ἐξ ἀρρενογονίας ὑπέχομεν ἐκγόνων, οὐ μὴν τὰ ἐκ τῶν ἀπὸ θυγατέρων. αὗται γὰρ οὐχ ἡμῖν. ἀλλὰ τοῖς ἰδίοις ἀνδράσιν ὑπεξουσίους τίκτουσιν. εἰ δὲ μὴ περίεισιν οἱ πατέρες αὐτῶν ἢ πένονται. τὰ βάρη αὐτῶν ὑπέχομεν. ἐν τῷ δ' ιη' κεφ. ταῖς χρείαις τῶν πατέρων, βοηθεῖν τοὺς παῖδας δίκαιον ἐστιν. ὁ ἁρμόδιος δὲ δικαστὴς κελεύσει τὸν πατέρα τρέφεσθαι παρὰ τοῦ παιδός. εἰ ἂν ἔχῃ ἱκανὴν οὐσίαν εἰς τὸ ἀποθρέψαι τὸν πατέρα. Ἐν τῷ δ' ιγ' κεφ. κἀκεῖνος δὲ διαλυπεῖται ζωὴν. ἵνα ἐπὶ τοῦ μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γάμου χω-

ἔπειτα συμβαίη. οἱ ἐκ τοιούτου γάμου γεννηθέντες παῖδες μηδενὶ τῷ ἐπιβλαβεῖ ἐκ τῆς διαζεύξεως τοῦ γάμου, ἀλλὰ πρὸς τὴν τῶν γονέων κληρονομίαν καλείσθωσαν. ἐκ τῆς τοῦ πατρὸς οὐσίας, ἀναμφισβητήτως ἀποτρεφόμενοι. ἐν δὲ τῷ ιζ΄ κε(φαλαίῳ). ὅπερ ἐστὶ περὶ τοῦ τρέφεσθαι τὸν πατέρα καὶ τοὺς παῖδας δηλονότι τοὺς πενομένους. τοῦτο δὴ καὶ ἐπὶ πάντων τῶν ἀνιόντων καὶ κατιόντων προσώπων τῆς ἑτέρας φύσεως κρατεῖν κελεύομεν. ἀν(άγνωθι) καὶ τὸ β΄ τίτλον ἐν τῷ α΄ κε(φαλαίῳ) φη(σί). καὶ ὁ στρατιώτης υἱὸς, τὴν εὐσέβειαν χρεωστεῖ τῷ πατρί. καὶ ἁμαρτάνων εἰς αὐτὸν τιμωρεῖται πρὸς τὸ μέτρον τοῦ ἁμαρτήματος. καὶ οἱ ἐλευθερωθέντες τιμὴν καὶ αὐτὴν ὀφείλουσιν. ὁ πατὴρ ἢ μήτηρ τύπτων οὓς προσκρούσειεν ὀφείλει κατὰ τὸ μέτρον τοῦ ἁμαρτήματος τιμωρεῖσθαι. πρὸς γὰρ τὴν δημοσίαν εὐσέβειαν ἀναφέρεται τοῦτο. καὶ ὁ πατὴρ ἢ μήτηρ ὑφ᾽ ὧν ἀνετράφη τύπτων ἤτοι ἀνάξιός ἐστι στρατείας. ἐν δὲ τῷ β΄ κε(φαλαίῳ). οἱ γονεῖς καὶ οἱ πάτρωνες εἰ καὶ διὰ τὸ τέλεον ἀγωνίζονται, ὅμως οὐκ ἐνάγονται τῇ περὶ δόλου. ἢ τῇ περὶ ὕβρεως ἀγωγῇ. εἰ καὶ τὰ μάλιστα οὐ κατηγοροῦνται διὰ τὸ τελέως ἀγωνιζόμενοι. οὔτε τῇ περὶ βίας ἐνάγονται. ἀν(άγνωθι) καὶ β΄ μετὰ τ(ὸ) κε(φάλαιον) ζ΄ ἐν ᾧ φη(σί). καὶ ὁ πατὴρ τῷ υἱῷ. καὶ ὁ πάτρων τῷ ἀπελευθέρῳ τίμιος ἐκ τούτου νομίζεται. καὶ δεῖ τιμᾶν ὁ υἱὸς χρεωστεῖ τῷ πατρί, οὐ μὴν ἐργασίας:

θ̄ περὶ γυναικῶν καὶ περὶ νομῶν αὐτῶν. καὶ πότε δεσμοῦνται καὶ πότε οὐ κατέχονται. καὶ περὶ τοῦ μὴ ἐγκλείεσθαι αὐτάς. ἀν(άγνωθι) β΄ ϛ΄ τ(ίτλον) ιθ΄ ἐν ᾧ φησίν:

ἀν(άγνωθι) καὶ ν(εαρὰν) ρλα΄ κε(φάλαιον) ια΄ φησὶ γὰρ τὸ μὴ ἀποκλείεσθαι γυναῖκα:

Μηδεμία γυνὴ περὶ οἱουδήποτε ἐγκλήματος χρηματικοῦ ἐξ οἱουδήποτε ἄρχοντος ἐγκλείηται ἢ φυλάττηται. ὁ δὲ τοιοῦτό τι τολμῶν. εἰ μὲν μείζων εἴη ἄρχων. κ΄ χρυσίου λιτρῶν ποινὴν ὑποκείσθω. τοὺς δὲ ὑπουργοῦντας αὐτοῖς γυμνουμένους τῆς ζώνης βασάνοις ὑποβάλλεσθαι καὶ εἰς ἐξορίαν πέμπεσθαι. εἰ δὲ ἔγκλημα εἴη τὸ ἐπαγόμενον τῇ γυναικὶ. ἐφ᾽ ᾧ ἀνάγκη ἐστὶν αὐτὴν φυλαχθῆναι. εἰ μὲν ἐγγυητὴν δυνατὴ παρασχεῖν αὐτῷ πιστευθῇ. εἰ δὲ ὀμόσει μὴ δύνασθαι δοῦναι ἐγγυητὴν ἐξωμοσίαν ποιήσασθαι περὶ τῆς εἰς τὸ δικαστήριον προσεδρείας. εἰ δὲ βαρύτατον εὑρεθῇ τὸ ἔγκλημα ἐφ᾽ ᾧ κατηγορεῖται. εἰς μοναστήριον ἢ εἰς ἀσκητήριον ἐμβαλλέσθω. ἢ γυναιξὶ παραδίδοσθαι αὐτὴν. δι᾽ ὧν δυνατὸν σωφρόνως καὶ ἐλευθερίως αὐτὴν φυλαχθῆναι. ἕως οὗ τὸ πρᾶγμα φανερωθῇ. καὶ τότε ἐκεῖνα προβαίνειν ἐπ᾽ αὐτήν, τὰ τοῖς νόμοις διωρισμένα. οὐδεμίαν γὰρ γυναῖκα ὑπὲρ χρηματικῆς αἰτίας

ζ´

δημοσίας ἢ ἰδιωτικῆς. ἢ ὑπὲρ ἐγκλήματος οἱουδήποτε ἢ εἰς φρουρὰν βάλλε-
σθαι συγχωρεῖται. ἢ διὰ ἀνδρῶν φυλάττεσθαι· ἵνα μὴ διὰ τοιούτων ἀφορ-
μῶν διαφθαρῶσι περὶ τὴν σωφροσύνην ὑβριζόμεναι· μοναστήριον μέντοι ἢ ἀσκη-
τήριον. διὰ οὐδεμίαν ἐνταῦθα ἀφίεσθαι συγχωροῦμεν. ἐκδοῦναι οἰκείων ἀσκη-
τηρίων ἢ μοναστηρίων. ἀνάγνωθι βι. ζ τ. β κε. λ ἐν ᾧ φη. ἐὰν γυνὴ ἀλλοτρίῳ
ὀνόματι, ἤτοι ὑπὲρ μὴ διαφέροντος αὐτῇ προσώπου αἱρεθῇ δικαστήριον.
οὐ δὲ βιάζονται ἢ ποινή. ἀνάγνωθι β δ τ. δ κε. ι. ἀνάγνωθι β ιε τ. λδ κε. α β ε τ.
ἐν οἷς φη. ὅτι οὐ κατέχεται ἡ γυνὴ ἐκ δοῦ τοῦ ἀνδρὸς συναλλάγματος. καὶ ἐγ-
γυήσηται αὐτόν. ὡς ἐκ τοῦ βελτίονος δόγματος βοηθουμένη. καὶ οὐδὲ δημοσιο-
μένου τοῦ ἀνδρὸς συμπίπτουσι τῷ δημοσίῳ τὰ πράγματα τῆς γυναικός· οὐδὲ
τὰ ἐξώπροικα ὑπόκεινται ταῖς τοῦ ἀνδρὸς χρεωστίαις. ἀνάγνωθι καὶ β κε τ. ζ κε.
λβ ἐν ᾧ φη. ἡ γυνὴ καὶ ὑπὲρ ἄλλου δέδωκεν ἐνέχυρα, ὅμως οὐ δύναται
ταῦτα πιπράσκειν ὁ δανειστής. εἰ μὴ ὑποτιθεμένου αὐτοῦ τοῦ ἀνδρὸς αὐ-
τῆς προσεποιεῖτο μὴ εἶναι ἴδια. καὶ περιεγράψατο τὸν δανειστὴν ἀγνοοῦντα.
ἀνάγνωθι β λε τ. κα κε. λς. γυνὴ δυναμένη αἰδεῖσθαι ἔχειν ὑποψίαν, οὐδὲ ἀ-
πὸ συγκλητικῆς δύναται λαβεῖν. ἀνάγνωθι β νς τ. β κε. γ ἐν ᾧ φη. ὅτι συγγινώ-
σκεται γυνὴ τὸ ἴδιον ἀγνοήσασα δίκαιον. ὁμοίως καὶ ἐν ᾧ περὶ ἀγνοίας νό-
μου εἴρηται. ἀνάγνωθι β κς τ. ζ κε. μς ἐν ᾧ φη. ὅτι καὶ ὁ ἐντυχὼν τῆς ἀντιφωνη-
σάσης βοηθεῖται καὶ μὴ ἔχει κατ' αὐτῆς τὴν περὶ τοῦ μανδάτου ἀγωγήν. παρα-
δοθεῖσα ἡ ἐνοχὴ ἀκυροῦται καὶ ἀποκαθίσταται ὁ δανειστὴς κατὰ τοῦ πρώτου χρεώστου.
καὶ κε. ξζ ἐν ᾧ φη. ὅτι καὶ ὑπὲρ παιδὸς ἀντιφωνοῦσα γυνὴ κέχρηται
τῇ παραγραφῇ. καὶ κε. οε β πζ ἐν οἷς φη. ὅτι ἡ γυνὴ προῖκα ἐπαγγειλα-
μένη οὐ βοηθεῖται. ἀνάγνωθι καὶ β ξ τ. μα κε. κδ ἐν ᾧ φη. ὅτι ἡ γυνὴ οὐ δύνα-
ται κινεῖν ἔγκλημα. εἰ μὴ ὑπὲρ ἰδίας αἰτίας: —

Ὅτι ὁ ἐκ τοῦ γυναικὸς ἀνδραπόδου κρύπτων, ἓξ λίτρας χρυσοῦ δίδωσιν. ἐν
δὲ τῷ η κε. ὅτι ὁ ὑπονοθεύων γυναῖκα, ἀφοσιοῦσθαι τῆς γυναικός, δύο λίτρας
δίδωσι: —

ιδ καὶ κδ ἐν οἷς φη. περὶ
ἐκδικήσεως πραγμάτων
αὐτῆς ὑπὸ τοῦ ἀνδρὸς ἐκποι-
ηθέντων. ἀνάγνωθι . . τ. β κε.
λβ ἐν ᾧ φη. ὅτι ὁ κληρονό-
μος τοῦ ἀνδρὸς οὐ κινδυνεύει
τῆς γυναικὸς τὴν περὶ ὑφαι-
ρεθέντων πραγμάτων κληρο-
νομίαν αὐτῆς. ἐξὸν τὴν τοῦ
ἀνδρὸς ζητεῖν καὶ ἔχει ἀ-
προσέτι τοῦ ἀνδρὸς περιόν-
τος κατέχειν. ἀλλὰ τὴν ἐκδι-
κοῦσαν τὰ ἀποκρυβέντα
πράγματα. καὶ τὴν περὶ διοι-
κήσεως αὐτῆς [illegible] δεδωκέ-
ναι τοῦ ἀνδρὸς καὶ ἔτι περι-
όντος αὐτοῦ. ὁμοίως φησὶ
καὶ ἐν ᾧ περὶ ἀγωγῆς ἀφαι-
ρέσεως πράγματος. ἀνάγνωθι β
κδ τ. δ: —

+ ἀρχὴ σὺν θεῷ τοῦ Δ στοιχείου :~

α'

Περὶ δαπανημάτων ἐν πράγματι ἀλλοτρίῳ γινομένων. ἀνάγνωθι βιβλίον ιε τίτλον α κεφάλαιον κζ θέμα ς ἐν ὁμοίῳ :~

Περὶ δαπανημάτων ἐν πράγματι προικιμαίῳ γινομένων. ἀνάγνωθι ε β περὶ προικός :~

Τυχὸν ρ̅ νομισμάτων ἦν ἄξιος ὁ ἀγρός. ἐγὼ δὲ ἐδαπάνησα ἐν αὐτῷ ρ̅ νομίσματα. γέγονε δὲ ὁ ἀγρὸς ἄξιος νομισμάτων σ̅ν̅. μόνα τὰ ρ̅ λαμβάνει ἅπερ ἐδαπάνησα :+

Ὅτι καταλογίζεται τῷ νομεῖ τὰ ὑπὲρ αὐτοῦ δαπανηθέντα περὶ τῆς περικατάρξεως. καὶ κεφάλαιον κη καὶ κθ καὶ λ ἕως λς ἐν ὁμοίῳ θέματι. Εἰ καὶ καλῇ πίστει ἀγοράσω ἔδαφος. μετὰ δὲ τὸ μαθεῖν ἀλλότριον εἶναι κτίσω. τὰς μὲν δαπάνας οὐ λαμβάνω. δύναμαι δὲ περιελεῖν τὸ κτίσμα ἄνευ ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους. καὶ κεφάλαιον λη ἐν ὁμοίῳ θέματι. Ὅτι ἐὰν ἀγοράσας καλῇ πίστει ἀλλότριον ἀγρὸν γεωργήσω ἢ κτίσω ἐν αὐτῷ. εἰ μὲν ἤμελλεν ὁ δεσπότης τὰ αὐτὰ ποιεῖν. δίδωσιν ὅσον γέγονε τιμιώτερος. εἰ δὲ πλέον τῆς δαπάνης ὠφελήθη. μόνα τὰ δαπανηθέντα δίδωσιν. εἰ δὲ πένης ἐστίν. ἐφεῖταί μοι περιελεῖν ἐκ τῶν γενομένων. ὅσα δύναμαι. ὥστε μέντοι μὴ γενέσθαι χείρονα τὸν ἀγρόν, οὗ ἦν ἐξ ἀρχῆς. εἰ μέντοι ἕτοιμός ἐστιν ὁ δεσπότης δοῦναί μοι ὅσον μέλλω ἔχειν ἐκ τῶν περιαιρουμένων. οὐ γὰρ ἀκούομαι κἂν θέλω ἀποξέειν τὰς γραφὰς θέλων διὰ τὸ πρὸς αὐτὸν μῖσος. εἰ μέντοι μέλλει πιπράσκειν τὸν ἀγρόν, αἱ δαπάναι πρὸς τὸ ἀνώτερον λεχθὲν λογίζονται. καὶ κεφάλαιον μζ. ὁ καλῇ πίστει νεμηθεὶς περὶ ὧν ἐδαπάνησεν, ἀγωγὴν οὐκ ἔχει. ἀλλὰ παρακατάσχεσιν. ἐφ᾽ οἷς ὁ ἀγρὸς κρείττων γέγονε. συμψηφιζομένων δὲ περὶ τῆς περικατάρξεως ληφθέντων καρπῶν. καὶ κεφάλαιον πε ἐν ὁμοίῳ θέματι. ὁ τὸν ἀλλότριον οἶκον καλῇ πίστει νεμηθεὶς ἀποδίδωσι μὲν αὐτὸν μετὰ τῶν γεγονότων καὶ παντὸς ἑτέρου. τὰ δὲ δαπανήματα οὐ λαμβάνει. εἰ μὴ ἄρα ἀναγκαῖα ἐστί. τὰ δὲ ἐπὶ ὠφελείᾳ δύναται μὴ βλάπτων τὴν ἀρχαίαν ὄψιν ἀφελέσθαι. ἀνάγνωθι καὶ βιβλίον ις τίτλον α κεφάλαιον ν θέμα θ. καὶ βιβλίον ιζ τίτλον α κεφάλαιον κς ἕως κθ. καὶ κεφάλαιον λβ θέμα β ἕως κεφάλαιον λδ. ἀνάγνωθι καὶ τὸ β οὗτινος ἐν ὁμοίῳ ια κεφάλαιον. περὶ τῶν γενομένων ἀναλωμάτων διοικήσει πράγματος ἀλλοτρίου, τίνας παραδέχεσθαι ἡ καλὴ πίστις συμβουλεύει, ὧν τινι δύναται ζητεῖσθαι. καὶ ἐκείνων δὲ τῇ ἀνάγκῃ συναλλάξας τὰ πράγματα αὐτοῦ διοικήσει κινεῖν κατ᾽ αὐτῶν τὴν περὶ τῆς διοικήσεως τῶν πραγμάτων ἀγωγήν, παρὰ τῷ ἄρχοντι τῆς ἐπαρχίας :~

β'

Περὶ δαπανημάτων μὴ ἀπαιτουμένων, ὡς δι᾽ εὐσέβειαν λογιζομένων δαπανᾶσθαι. ἀνάγνωθι βιβλίον ιζ τίτλον α κεφάλαιον κς θέμα θ ἐν ὁμοίῳ :~

Ὁ δι᾽ εὐσέβειαν ἀποθρέψας τὴν οἰκείαν ἀδελφόπαιδα. οὐκ ἔχει ἀπαίτησιν.

Δ΄.

Καὶ κεφ. λ΄ θε΄ ς΄ συναφ. φη. Τοῖς ἀπελευθέροις δῆλον ποιοῦσι καλῶς ἔφθη πρὸς
κατασκευὴν μνημείου δαπανήσαντες πλέον οὐχ ἕξουσιν ἀπαίτησιν. Καὶ
κεφ. λβ΄ θε΄ γ΄ συναφ. φη. Εἰ δὲ μήτηρ δι' εὐσέβειαν δαπανᾷ εἰς τὸν υἱὸν προέλη-
πται, ἢ καὶ τὸ ἐναντίον διαμαρτύρηται. Εἰ δὲ τοῦ πατρὸς ἐπὶ ξένης ἀποθανόν-
τος ἀποθρέψῃ τὸν υἱόν, καὶ τὴν αὐτοῦ φαμιλίαν, ἐπιστρέφουσα εἰς τὴν πατρί-
δα· τῆς περὶ τῆς διοικήσεως ἀγωγῆς ἕξει κατὰ τοῦ ἀνήβου. αὐ. ε΄ τ. β΄ κεφ. α΄
καὶ κεφ. ια΄ συναφ. φη. Μήτηρ εἰς ἀποτροφὴν ἰδίων τέκνων ἀνήλωσε τινά.
καὶ εἰς ἐπιμέλειαν ἄλλων πραγμάτων ἢ εἰς δίκας αὐτῶν ἐδαπάνησε· καὶ
προσῆλθε βασιλεῖ, βουλομένη λαβεῖν πάντα ὅσα περὶ τοὺς υἱοὺς ἐδαπάνησε.
καὶ ἀντέγραψε πρὸς αὐτὴν ὁ βασιλεὺς οὕτω· τὰ τροφεῖα ἐξ ἅπερ τοῖς υἱοῖς
σου παρέσχες, ἀποδοθῆναι σοι οὐκ ἐννόμῳ λογισμῷ ἀπαιτεῖς· ὁπότε τὴν
ἀπαίτησιν σε τῆς μητρῴας δι' εὐσεβοῦς ἐποίησας. Εἰ δὲ εἰς τὰ πράγματα αὐτῶν
χρησίμως ἀνήλωσας· τοῦτο διὰ τῆς περὶ διοικήσεως ἀγωγῆς ἀπαιτῆσαι δύ-
νασαι. Καὶ κεφ. ιγ΄ συναφ. φη. ἅπερ εἰς τὴν γαμετήν σου νοσοῦσαν ἀνήλωσας.
οὐκ ἀπὸ τοῦ πενθεροῦ τοῦ σοῦ ἀπαιτεῖν· ἀλλὰ τὴν διάθεσιν τῆς σῆς ὀφείλεις κα-
λογίζεσθαι. εἰς τὴν ταφὴν δὲ αὐτῆς δηλαδή· ὅτι τούτου ἕνεκεν ὡς μέλλων
ἀναλαβεῖν ἀνήλωσας. ὃν πρὸ πρὸς σοῦ ἡ προὶξ ἐπανῆλθε· νομίμως μετα-
δώσεις:

Ἐὰν ἄρα γαμετὴ τοῦ καὶ χρησίμως ἐδαπάνησε· εἰ γὰρ ἀκαιρά τινα ἀναλώματα ἐποίησε περὶ τὰ πράγματα τῶν παίδων αὐτῆς, οὐδὲν δύναται ἀπαιτεῖν· ἐπειδὴ ἡ ζητουμένη αἰτία, ζητεῖ χρησίμως πάντα γενέσθαι τὰ ἀναλώματα

γ΄

## Περὶ δένδρων καὶ δενδροτομιῶν. βασ. β΄ ξ΄ τ. ιε΄. Δύλινος ἐν ω β΄ κεφαλαίῳ φη:

Οἱ δένδρα καὶ μάλιστα ἀμπέλους τέμνοντες καὶ ὡς λῃσταὶ κολάζονται. Δέν-
δρον γὰρ λέγεται καὶ ἡ ἄμπελος, καὶ ὁ κισσὸς καὶ ὁ κάλαμος, καὶ ἡ ἰτέα.
Τὸ δὲ μήπω ῥιζωθὲν οὐκ ἔστι δένδρον. οὐ δὲ οὕτινος αἱ ῥίζαι ἐξηράνθησαν
καὶ ἵσταται. Εἰ δὲ ἐξερριζώθη καὶ δύναται δὲ φυτευθῆναι, δένδρον ἐστί. Ἐὰν
αἱ ῥίζαι τῆς γαίας, δένδρα εἰσίν· ὅτε ῥίζας ἐξέβαλον ὅτε μέν. Εἰ δὲ οὕτως
ἀπογονόν ἐστιν, ὡς ἐν τάξει βοτάνης εἶναι, οὐκ ἔστι δένδρον. Εἰ δὲ ἀκε.
τέμνειν ἐστίν, οὐ μόνον τὸ εἰς τέλος τέμνειν, ἀλλὰ καὶ τὸ μερικῶς πλῆξαι ἐπι-
τέμνειν. ζωννύειν, τὸ περιελεῖν τὸν φλοιόν. καταλέγειν, ταύτης τῆς αἰτί-
ας, ἡ αὐτὴ αἰτία ἐστὶ τῷ ἀκουιλίῳ. Εἰ δὲ ἐκ. Ἐὰν πολλοὶ ταὐ-
τὸ τέμωσι δένδρον, ἕκαστος αὐτῶν εἰς ὁλόκληρον ἐνέχεται. Εἰ δὲ πολ-
λοὶ τινῶν δένδρων κόπτει· πᾶσι μία αἰτία καὶ μία ποινὴ ἁρμόζει.
Ἐὰν τὸ ἐμὸν δένδρον τὰς ῥίζας εἰς τὸν τοῦ γείτονος ἀγρὸν ἐκπέμψῃ,
οὐκ ἔξεστιν αὐτῷ τέμνειν αὐτάς· ἀλλὰ κινεῖ ὡς περὶ τοῦ ξύλου ἐμβληθέν-

τος. ὅμως ἐκείνου ἐστὶν ἐν ᾧ ἡ ἀρχαιογονία αὐτοῦ κήπου ἀποριζώσας δέν-
δρον. οὐ κρατεῖται τῇ περιούσῃ αἰτίᾳ. ἀλλὰ τῷ ἀκουιλίῳ. οὐ μόνον ὁ χερσὶν οἰκεί-
αις κόπτων ἐνέχεται, ἀλλὰ καὶ ὁ ἐπιτρέπων δούλῳ ἢ ἐλευθέρῳ. εἰ μέντοι
ἀφ' ἑαυτοῦ ὁ δοῦλος κόψει. νοξαλία ἁρμόζει κατὰ τοῦ δεσπότου. αὕτη ἡ αἰτία δι-
ηνεκής ἐστι καὶ κληρονόμοις. οὐ μὴν κατὰ κληρονόμων ἁρμόζει. καὶ εἰς τὸ διπλοῦν
ἔχει τὴν καταδίκην. ἐν τῷ δ' ζ κεφ. ὁ ἐμοὶ εἰς τὸ διαφέρον καταδικάζεται καὶ
ἐξαιρεῖται τὸ λείμμα τοῦ κοπέντος δένδρου. καὶ τὰ λοιπὰ δίδωσιν. ὁ ἐπὶ τῷ
κερδᾶναι κόψας. καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον αἰτίᾳ. καὶ τῇ τοῦ κλοπι-
μαίου ἐκδικηστικῇ ἐνέχεται. ἐν τῷ δ' θ κεφ. ἐὰν διδύμων δένδρων ἐστὶν ἔξω
ἡ ζεῦξις αὐτοῦ ὑπὸ γῆν ἐστιν. ἐκεῖ ἐστιν τὸ δένδρον. εἰ δὲ ὑπὸ γῆν. ταῦτα ἐστιν.
ὅτε ὑπὸ γῆν φαίνεται. ἐν τῷ δ' ιε κεφ. ἐὰν δένδρον ἐκ τοῦ οἰκοπέδου ἐπήρτη-
ται τῷ οἴκῳ μου καὶ βλάπτῃ με. ἢ μὴ ἀφῇς αὐτὸ φησὶν ὁ πραίτωρ. ἐκ ῥιζῶν
ἐκτέμνειν με αὐτό. καὶ τὰ καυσιμαῖα ξύλα ἀφαιρεῖσθαι. δένδρον δὲ νοεῖται ἐ-
ἡ ἄμπελος. ἐν τῷ δ' ιγ κεφ. τὸ ἐκ τοῦ ἀγροῦ σου δένδρον ἐπηρτημένον τῷ ἀ-
γρῷ μου. ἐὰν ὑπὸ ιε ποδῶν ᾖ ὑψηλοῦ καὶ μὴ κλαδεύσῃς αὐτό. φησὶν ὁ πραίτωρ
ἐμὲ κλαδεύειν καὶ τὰ ξύλα ἐπαίρειν. τὸ αὐτὸ καὶ ὁ δυοκαιδεκαδέλτος φησί.
ὥστε μὴ τὴν σκιὰν τοῦ δένδρου βλάπτειν τινά. δῆλον ὅτι ἐστιν. ὅτε τὸ μὲν
τοῦ οἴκου δένδρον ἐκ ῥιζῶν τέμνεται. τὸ δὲ τοῦ ἀγροῦ κλαδεύεται. εἰ ὑπὲρ ιε
ποδῶν ὑψοῦται. ἐν τῷ δ' ια κεφ. φησί. ἐὰν ἐπικλίνῃ τὸ δένδρον τοῦ ἀγροῦ σου εἰς τὸν
ἀγρόν μου. κατὰ τοὺς νόμους ἀπὸ τοῦ δυοδεκαδέλτου μὴ ἔχουσι δίκαιον οὕτω-
ς κλίνεσθαι τὸ δένδρον : —•—

δ' — ἀνάγνωθι καὶ τὸ περὶ καινοτομίου. ἐν τῷ δ' [illegible] ... ἀπὸ τοῦ ἀλλοτρίου [illegible] ... δέει ἐπὶ : — ἀνάγνωθι καὶ ὑπ' ριθ κεφ. ζ :—

Περὶ δεσποτείας ἐκ διαφόρων τρόπων διὰ χρονίας νομῆς ζημιω-
σαμένης. καὶ πότε ἀνύεται ἡ τοῦ μακροῦ χρόνου παραγραφή. καὶ
πότε οὐκ ἀνύεται. καὶ ἵνα τῆς διαετίας. ἵνα δὲ διαδεκαετίας.
ἢ εἰκοσαετίας. ἢ τριακονταετίας δεσπόζονται. ἀντὶ τοῦ β' τί. τοῦ μὲν ἐν
τῷ α' τ' διαλαμβάνει : —•—

Ποίῳ τρόπῳ τὰ πράγματα κτώμεθα. τὰ μὲν χερσαῖα ζῷα καὶ τὰ θαλάσσια. τὰ
ἀγρευόμενα καὶ τὰ λάφυρα. ἔτι δὲ καὶ τὰ ἀπὸ προσχώσεως ἤτοι προσκλύ-
σεως. καὶ τὰ ἀπὸ παντοίας ὕλης ἀλλοτρίας ἢ ἰδίας γινόμενα εἴδη. καὶ περὶ
σπερμάτων καὶ φυτῶν. καὶ δούλων καὶ ὑπεξουσίων. δι' ὧν κτώμεθα. καὶ
περὶ λιμένων καὶ ὑδρευσάτων. καὶ αἰγιαλῶν καὶ λιμναζόντων ἀγρῶν. τουτέστι
τῶν ἀπὸ τῶν πολεμίων κατασχεθέντων καὶ περὶ τῶν φυομένων νήσων ἐν ποταμῷ.

λ΄.

καὶ περὶ θησαυροῦ. Ἐν τῷ δ΄ α΄ κεφ. τοῦ αὐτοῦ α΄ τίτ. τὰ πράγματα ἢ φυσι-
κῷ ἤτοι ἐθνικῷ νόμῳ κτώμεθα, ἢ διὰ πολιτικοῦ. πάντα οὖν τὰ χερσαῖα τὰ θαλάσ-
σια. τὰ ἐν ἀέρι ζῷα, τῶν λαμβανόντων γίνεται μὲν καὶ ὧν κατέχουσι παρ' ἡμῖν. τὸ
περὶ θηρευομένων ζῴων
γὰρ μηδενός ὂν, τοῦ προλαμβάνοντος γίνεται. κἂν ἐν ἀλλοτρίῳ τις ἀγρῷ θηρεύσῃ.
δύναται μέντοι ὁ δεσπότης τοῦ ἀγροῦ κωλύειν τὸν ἐπιβαίνοντα. ἕως ὅτε διαφύγῃ
τὸ κρατηθὲν ἢ μεταξύ ἐστιν τῶν ἡμετέρων οὐχ ὑποστρέφον ἐστίν. ὅτε δὲ ἐκφύγῃ
τὴν ἡμῶν ἢ δυσχερής ἐστιν ἡ ἐπιδίωξις. παύεται εἶναι ἐμόν. ὅθεν οὐδὲ
τὸ τρωθὲν θηρίον ἐὰν μὴ ἐκρατήθη, τοῦ πλήξαντος γίνεται. Ἐν τῷ δ΄ β΄ κεφ. τὰς μελίσ-
περὶ μελισσῶν
σας ὅταν ἀποκλείσωμεν καὶ μόνον, κτώμεθα τὰς μελισσίδας. καὶ ἐκ τῶν ἀλλο-
τρίων δένδρων νομίμως ἀφαιρούμεθα. ἐὰν μὴ ὁ δεσπότης τοῦ ἀγροῦ κωλύσῃ
εἰσελθεῖν. τὸ δὲ σμῆνος ἐκ τῶν μελισσίων μου ἱπτάμενον. ἐμόν ἐστιν ἕως ὅτε ὑ-
πὸ τὴν θέαν μου πέτηται καὶ μὴ δυσχεραίνω ἐπιδιῶξαι αὐτό. ἐπεὶ πάλιν τοῦ
προκαταλαμβάνοντος ἔσται. Ἐν τῷ δ΄ γ΄ κεφ. ταῶνες. περιστεραί. μέλισσαι. ἔλαφοι.
περὶ ταώνων, περιστερῶν, μελισσῶν καὶ ἐλάφων
κἂν συνήθειαν ἔχωσιν ὑποστρέφειν ἐν τοῖς ἀγροῖς ἡμῶν. τὰ δὲ ἐάσαντα ὑποστρέ-
φειν. ἐὰν μὴ τὴν συνήθειαν ἔχουσι καὶ φυλάξουσι τοῦ προκαταλαμβάνοντος γίνονται.
τοὺς ἡμέρους χῆνας καὶ τὰς ὄρνις. ἐὰν ἕτερος ἀποπλανωμένους ἔχῃ πρὸς ἴδιον
περὶ χηνῶν καὶ ἑτέρων ὀρνέων
κέρδος, τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ ὑπόκειται. Ἐν τῷ δ΄ δ΄ κεφ. τὰ
λάφυρα τῶν λαμβανόντων ἐστί. καὶ ὅσα ἐκ τῶν πολεμευθέντων ζῴων ἐλήφθη.
περὶ λαφύρων
οὕτω γὰρ καὶ οἱ ἐλεύθεροι δοῦλοι γίνονται. ἐὰν μέντοι ἐκφύγωσι πάλιν ἐλεύθεροι
γίνονται. Ἐν τῷ δ΄ ε΄ κεφ. ὃ ἀνεπαισθήτως διὰ τοῦ ποταμοῦ προστεθὲν τῷ ἀ-
γρῷ μου. πρόσχωσις ἤτοι πρόσκλυσίς ἐστι. καὶ ἐμοὶ ἁρμόζει. εἰ δὲ μέρος τοῦ ἀ-
τί ἐστιν πρόσχωσις καὶ πρόσκλυσις
γροῦ σου εἰς τὸν ἐμὸν μετατεθῇ καὶ προσπαγῇ ἢ καὶ δένδρα συμμετενεχθέντα
ἐρρίζωσε, ἐμὰ γίνεται. νῆσος ἐν θαλάσσῃ φυομένη τοῦ προκαταλαμβάνοντος
περὶ νήσου φυομένης ἐν θαλάσσῃ ἢ ποταμῷ
γίνεται. νῆσος ποταμία. ἐὰν ἐν τῷ μέσῳ φυῇ, τοῖς ἐν ἑκατέρᾳ ὄχθῃ παρακειμέ-
νοις κατὰ τὸ μέρος τῆς πλάτυτος δίδοται. εἰ δὲ ἐν ἑνὶ πλησιάσῃ, αὐτοῦ ἔσται.
εἰ δὲ ἐξ ἑνὸς πλευροῦ διέρρηξεν ὁ ποταμός, εἰς τὴν παλαιὰν κοίτην πάλιν
ἐλθὼν ἐναλλάξ νῆσον τὸν ἀγρόν μου κατέχει. ἐμὸς μένει. εἰ μέντοι δι' ἄλλης
κοίτης ἤρξατο ῥεῖν. ἡ μὲν πρώτη τῶν ἐν ταῖς ὄχθαις παρακειμένων γίνεται. ἡ
δὲ νέα δημοσία ἔσται. εἰ δὲ εἰς τὴν παλαιὰν τέλεως ὑπέστρεψεν. ἡ τοῦ παλαιοῦ
δεσπότου ἔσται ἡ κοίτη. ἢ ἐὰν μὴ ᾖ δεσπότης. τῶν παρακειμένων γίνεται. τὸ αὐ-
τὸ κἂν ἐξ ἐπομβρίας ἐπίκλυσις γένηται. Ἐν τῷ δ΄ ϛ΄ κεφ. εἰ ἐξ ἀλλοτρίας
περὶ ὕλης καὶ εἴδους
ὕλης εἶδος ποιήσω. ὅπερ δύναται εἰς τὴν αὐτὴν ὕλην ὑποστρέψαι. ὡς χρυσὸς ἐ-

ἄργυρος καὶ χαλκός, τοῦ κυρίου τῆς ὕλης ἐστὶ τὸ εἶδος. εἰ δὲ μὴ δύναται ὑποστρέψαι, ὡς ἐπὶ σταφυλῶν ἢ ἐλαιῶν, τοῦ κατασκευάζοντος γίνεται. ὁ δὲ ἐξ ἀλλοτρίων ἀσταχύων συναχθεὶς σῖτος, τοῦ κυρίου τῶν ἀσταχύων ἐστί. ἐν δὲ τῷ θ κεφ. ὑπεξούσιος υἱὸς ἢ δοῦλος καὶ ὁ καλῇ πίστει δουλεύων προσπορίζει μοι. καὶ ὁ ἐμὸς δοῦλος εἴτε [illegible], εἴτε ἀλλαχόθεν ὁθενδήποτε λαμβάνει. εἰ δὲ καὶ κληρονόμος γραφῇ. κτᾶται ἐμοὶ προστάξει αὐθεντείᾳ ἐγράφη. καὶ δεσποτείαν δὲ καὶ νομὴν διὰ τῶν ὑπεξουσίων ἡμῶν. καὶ διὰ ξένων δεσποτείαν κτώμεθα. ἐν δὲ τῷ γ κεφ. ὅτι οἱ αἰχμάλωτοι ἐν τῇ πάντων ἐξουσίᾳ εἰσί. διὸ καὶ δεσπόζω τῶν ἐν τοῖς παρ' ἐμοῦ κτιζομένων. ὥσπερ καὶ τῶν ὑπ' ἐμοῦ θηρευομένων. εἰ δὲ ἐκπέσῃ τὸ κτισθέν, πάλιν κοινὸς ὁ αἰχμάλωτος γίνεται. ὁ ἐν ὄχθῃ ποταμοῦ κτίζων, οὐ δεσπόζει αὐτοῦ. ἐν δὲ τῷ κε κεφ. ὁ προστεθέμενον ὅλῳ σῶμά τι ἐστὶν αὐτῷ ὡς ἀνδριάντι πούς ἢ χείρ· ἢ σκύφῳ πυθμήν· ἢ ὠτίον καὶ τὰ ὅμοια. ἐν δὲ τῷ μα κεφ. εἰ τὸ ποίμνιόν μου λύκος ἁρπάσει. καὶ τοῦτο ἕτεροι ποιμένες ἀποσπάσωσιν· ἐμοῦ μένει. καὶ ἔχω τὴν ἀγωγὴν τὴν τὰ ἴδια ἐκδικοῦσαν. καὶ τὴν περὶ ἀποκρύψεως πραγμάτων κινουμένην καὶ περὶ κλοπῆς ἀγωγήν. ἐὰν μὴ ἀποδῶσιν. εἰ δὲ ὄρνις ἢ θηρίον ἀπὸ γειτόνων ἁρπάσει τι, καὶ ἕτεροι εὕρωσιν· ἢ ὅπερ θηρεύω ἐξηλλοίωσέ με. τοῦ προκαταλαβόντος γίνεται. ἐν δὲ

*περὶ θησαυροῦ*

τῷ ξη κεφ. εἰ δοῦλός μου ἢ υἱός μου εὕρῃ θησαυρόν· ἐμοὶ μὲν ἐν ἀγρῷ ἑτέρου μέρος. εἰ δὲ ἐν τῷ ἐμῷ, τὸ πᾶν προσπορίζει μοι. εἰ ἐν τῷ ὑποτεθέντι μοι ἀγρῷ ἢ οἴκῳ εὕρω θησαυρόν· μέρος δίδωμι τῷ χρεώστῃ. τὸ δὲ λοιπὸν οὐδὲ ἐὰν λάβω τὸ χρέος ἀποκαθιστῶ. οὐ δεσπόζω τῶν ἀλλοτρίων. καὶ ἐν κινδύνῳ ἀπολεγωμένων αὐτά. ἐν δὲ τῷ β τ. διαλαμβάνει περὶ τῆς διά τε νομῆς καὶ διακατοχῆς καὶ προσποιήσεως τῶν ὑπεξουσίων γινομένης δεσποτείας. οὗτινος ἐν τῷ α κεφ. φη-

*περὶ νομῆς ἀπὸ τοῦ κεφ. ξα*

σίν· ἡ νομὴ φυσική ἐστι κατοχή. καὶ ἐκ ταύτης ἀρχὴν ἔλαβεν ἡ δεσποτεία. ὡς δηλοῦσι πάντα τὰ ζῷα. καὶ τὰ ἐκ πολέμου λαμβανόμενα, καὶ ἡ ἐν θαλάσσῃ νῆσος. καὶ οἱ λίθοι καὶ οἱ μαργαρῖται οἱ ἐν αἰγιαλῷ εὑρισκόμενοι. τούτων γὰρ πάντων ὁ πρῶτος δεξάμενος τῆς νομῆς δεσπόζει. καὶ διὰ ὑπεξουσίου κτᾶταί τις νομὴν κἂν ἀγνοῇ. κἂν ὁ πράκτης ᾖ. κἂν μαινόμενος. καὶ διὰ τῆς ξενικῆς νομῆς δεσπόζει. καὶ διὰ δόλου κληρονομίας. καὶ διὰ τοῦ καλῇ πίστει δουλεύοντος. οὐ δὲ κακῇ πίστει κατέχω, οὐ προσπορίζει νομὴν οὔτε ἐμοί, οὔτε ἑαυτῷ. οὔτε γὰρ ἀγαθὸς δεσπότης τὸν φυγάδα δοῦλόν μου. εἰ μαθητὴς κατέχει, καὶ ἐχθρὸν δοκῶ. καὶ νεμόμεθα δι' αὐτοῦ καὶ διὰ ξένου νομῆς δεσπό-

ζω· νεμόμεθα τὰ σωματικά, δράττεται δὲ νομῆς καὶ ψυχῇ καὶ σώματι· οὐ-
μὴν θατέρῳ μόνῳ· ἀρκεῖ δὲ πρὸς τὴν τοῦ ἄλλου ἀγροῦ νομήν, καὶ τὸ τυχὸν μέρος αὐ-
τοῦ ἐπιβῆναι. διαθέσει ἀπόλλυται νομὴ ἀλλὰ θελήσει τις ἀποστῆναι τοῦ ἀγροῦ.
ψυχῇ γὰρ μόνῃ ἀπολλύομεν· οὐ μὴν κτώμεθα νομήν. εἰ δὲ τὸν ἀγρὸν οὗ ἐγὼ
ψυχῇ νέμομαι σοῦ κρατοῦντος· ἔτι ἐγὼ νέμομαι. τὰ χειμερινὰ ἢ θερινὰ δάση,
ἢ τὰ νομαδικὰ χωρία ὡς μόνῃ νέμομαι· κἂν ἐν τοῖς καιροῖς αὐτὰ καταλίπω. ὁμοί-
ως καὶ ἐν τῷ μϛ΄ κεφ. φη΄. εἰ δὲ τῷ νε΄ κεφ. ψυχῇ κτᾶσθαι νομὴν οὐ δυνάμεθα·
τὴν δὲ προκτηθεῖσαν νομήν, δυνάμεθα ψυχῇ φυλάττειν. εἰ δὲ τῷ νη΄ κεφ. ἐὰν
τις ἀναιδῶς ἄρξηται νέμεσθαι τὸ ἀλλότριον· οὐδέποτε δύναται διὰ τῆς
χρονίας νομῆς δεσπόζειν· οὐδὲ δίκαιον τίτλον νομῆς αὐτῷ κατασκευάζει· ἐ-
πεὶ οὐδεὶς δύναται ἑαυτῷ τὸν τίτλον τῆς νομῆς ἐναλλάττειν. εἰ δὲ τῷ ξα΄
κεφ. νομή ἐστι φυσική, ἡ τοῦ πράγματος κατοχή· κατὰ δὲ τοὺς νόμους νομή ἐστι- τί ἐστι νομή·
ψυχικὴ δεσπόζοντος κατοχή. τότε οὖν λέγομεν τινὰ νέμεσθαι, καὶ ἔχειν τὰ τῆς
νομῆς ἀποτελέσματα· ὅτε μηδεὶς δικαίως αὐτὸν παρενοχλεῖ. ἀλλὰ παν-
των σιωπώντων, βεβαιωθῇ ἡ νομή. τινῶν δὲ ἀντιλεγόντων· εἰ καὶ σώματι νέμεται·
ἀλλ' ἀφοῦ γένηται προκάταρξις· ὅμως κατὰ τὸν νόμον οὐ νέμεται· καὶ οὐκ ἔστιν-
ἀσφαλὴς ἡ νομή. εἰ δὲ τῷ ϛ΄ τί. διαλαμβάνει ποῖα διὰ τῆς χρονίας νομῆς δύ- περὶ χρονίας νομῆς,
ναται δεσπόζεσθαι· οὐτινος ἐν τῷ α΄ κεφ. φη΄. ὅτι τὸ κλοπιμαῖον· οὐ δεσπόζεται- καὶ τίνες ἀπὸ χρόνου
διὰ τῆς χρήσεως. ἐν δὲ τῷ μγ΄ κεφ. ὁ κληρονόμος τοῦ ἐν ἀγνοίᾳ ἀγοράσαντος βοηθοῦνται : ζ γ΄
διὰ χρονίας νομῆς δεσπόζει· πλὴν εἰ μὴ αὐτὸς παρέλαβεν εἰδὼς τὸ ἀληθές. εἰ περὶ κλοπιμαίων :—
δὲ τῷ νϛ΄ κεφ. οὐ δεῖ ἀπὸ τῆς ἀντιγραφῆς τὴν βιαίως ἐκχωρηθεῖσαν παρ' αὐτοῦ νομὴν
βεβαιοῦται. εἰ δὲ τῷ ζ΄ τί. διαλαμβάνει περὶ τῆς ὡς ἐξ ἀγοραστοῦ νομῆς δεσπο-
τείας. οὐτινος ἐν τῷ α΄ κεφ. φη΄. ὁ ἀγοράσας ἀγρὸν· καὶ εἰδὼς μέρος αὐτοῦ ἀλλό-
τριον. εἰ μὲν ἀγνοεῖ ποῖον, οὐδὲν κτᾶται τοῦ ἀγροῦ. εἰ δὲ οἶδεν, τὰ λοιπὰ διὰ τῆς
χρονίας νομῆς δεσπόζει. εἰ δὲ τῷ κ΄ κεφ. ἐάν τις τὸ ὑποκείμενον πρᾶγμα πω-
λήσῃ. ὡς κλοπιμαῖον οὐ δύναται τὸ πρᾶγμα διὰ τῆς χρονίας νομῆς δεσποσθῆ-
ναι. εἰ δὲ τῷ κβ΄ κεφ. ὁ ἀπὸ αἰτίας δωρεᾶς πρᾶγμα λαβὼν ἀλλότριον καὶ
πιστεύει ὡς ἀπὸ δικαίου αἰτίας ἔχων, διὰ τῆς χρονίας νομῆς δεσπόζει. ἐάν τις
ἀγοράσῃ παρά τινος πρᾶγμα προσήκοντος αὐτῷ· χωρὶς αὐθεντίας
ἐπιτρόπου· οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν. ἐὰν δὲ δόξῃ ἐκ τῶν
πραγμάτων αὐτοῦ ἐκεῖνον γενόμενον πλουσιώτερον. ἐνεχόμενος παρ' αὐ-
τοῦ. μετὰ τὴν ἥβην ἀντιτίθησιν αὐτῷ δόλου παραγραφήν. εἰ δὲ τῷ ε΄ τί. διαλαμ-

βάνει περὶ τῆς ἀπὸ τοῦ ὡς κληρονόμου νεμηθέντος διὰ τῆς χρονίου νομῆς γινομένης δεσποτείας. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησί· ὁ ἔχων τὴν ἀπὸ τῆς διαθήκης βοήθειαν, δύναται ὡς κληρονόμος διὰ τῆς χρονίου νομῆς δεσπόζειν. ἐν δὲ τῷ ε' κεφαλαίῳ φησί· ὁ κληρονόμος τοῦ κακῇ πίστει νεμηθέντος, κἂν αὐτὸς καλῇ πίστει νεμηθῇ, οὐ δύναται διὰ τῆς χρονίου νομῆς δεσπόζειν. τὰ γὰρ ἐλαττώματα τῶν τελευτησάντων διαβαίνουσιν ἐπὶ τὸν κληρονόμον. καὶ ἐπὶ κληρονομίου διὰ τὸ χρήσασθαι δεσποτεία οὐκ ἔστιν. οὐδὲ δύναταί τις ἑαυτῷ ὡς τῆς κληρονομίας ὑπάρχον τὸ πρᾶγμα διὰ τῆς χρήσεως ἐκδεσποτεῦσαι. ἐπειδὴ δοκεῖ καὶ αὐτὸς πίστει κακῇ νέμεσθαι. ἐν δὲ τῷ ς' τίτλῳ διαλαμβάνει περὶ τῆς ἀπὸ δωρεᾶς γινομένης διὰ χρονίου νομῆς δεσποτείας. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησί· ὁ λαβὼν οὐ μὴν ὑπὸ τοῦ ... δωρεάν, διὰ τῆς χρονίας νομῆς δεσπόζει. οἱ δὲ δωρηθέντες παρὰ τῶν προσώπων οὐ τελευτῶντος διὰ τῆς χρονίου νομῆς δεσπόζουσι. οὐ γὰρ ἔρρωται ἡ δωρεά. ἐν δὲ τῷ β' κεφαλαίῳ· ὁ ἀπὸ ἀνδρὸς γυναικὶ δωρηθὲν ἢ τὸ ἐναντίον, οὐ διὰ τοῦ χρήσασθαι δεσπόζεται. πλὴν εἰ μὴ διαζευχθῶσι, καὶ παραχωρήσει ὁ δωρησάμενος. ἐν δὲ τῷ ζ' κεφαλαίῳ· καὶ ὁ παρὰ μὴ δεσπότου δεξάμενος πράγματα κατὰ δωρεὰν καὶ διὰ τῆς χρονίου νομῆς δεσπόσας, οὐκέτι αὐτὰ ἀπολλύουσι. ἐν δὲ τῷ η' κεφαλαίῳ· ὁ ἅπαξ δωρησάμενος οὐ δύναται ἀνατρέπειν τὴν δωρεάν. οὔτε γὰρ ὁ νομίσας δεσπότης εἶναι ἐδωρήθη αὐτῷ πρᾶγμα ἤδη ἐξ αὐτοῦ κατὰ δωρεάν, ἢ δύναται διὰ τῆς χρονίου νομῆς δεσπόζειν. ἐν δὲ τῷ ζ' τίτλῳ διαλαμβάνει περὶ τῆς ἀπὸ τοῦ ἐγκαταλελειμμένου διὰ τῆς χρονίας νομῆς δεσποτείας. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησί· ὁ ἐγκατάλειπτον οὐκ ἔστιν ἐμοῦ. τοῦ δὲ περικαταλαμβάνοντος γίνεται. ὡς γὰρ κτώμεθα, οὕτω καὶ ἀποκτώμεθα. ἐν δὲ τῷ λ' κεφαλαίῳ· ὁ ἐγκαταλειφθὲν ἢ καὶ νομιζόμενον καταλειφθῆναι διὰ τῆς χρονίου νομῆς δεσπόζεται. κἂν ἀγνοῆται ὁ καταλείψας. ἐν δὲ τῷ η' τίτλῳ διαλαμβάνει περὶ τῆς ὡς ἀπὸ προικὸς διὰ χρονίου νομῆς δεσποτείας. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησί· τῷ χρόνῳ τῶν ἀγοραστοῦ, καὶ ὁ ὡς ἀπὸ προικὸς διὰ χρονίου νομῆς δεσποτείας. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησί· δεσπόζει. ἐν δὲ τῷ λ' κεφαλαίῳ· κἂν ἀπὸ προικὸς διὰ τῆς χρονίου νομῆς λάβῃ τις ἀλλότριον πρᾶγμα, δύναται αὐτὸ διὰ τῆς χρήσεως δεσπόζειν ταῦτα ἔξω κινητῶν δηλονότι. ἐπειδὴ ἐπὶ τῶν ἀκινήτων οὐκ ἔστι χρήσεως ἐλάττωμα προβαίνει διὰ τὸ μὴ γίνεσθαι ἐν αὐτοῖς κλοπήν. ἐν δὲ τῷ θ' τίτλῳ διαλαμβάνει περὶ τῆς ἀπὸ τῶν ὡς ἰδίων νομιζομένων διὰ χρονίου νομῆς δεσποτείας. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησί· ὁ τὸ ἀλλότριον κατὰ πλάνην οὐκ ἀγνοῶν ὡς ἴδιον νεμόμενος, διὰ χρονίου νομῆς δεσπόζει. οἷον ἂν νεμηθῇ τι ὡς ἀπολειφθὲν ἀπὸ δούλου μου ἢ τῶν προσηκόντων ἐκείνῳ, οὐ κληρονομηθέν. φοβοῦμαι γὰρ ἔστι τὸ πλανᾶσθαι περὶ ἀλλοτρίαν ἔννοιαν. ἐν δὲ τῷ ι' τίτλῳ διαλαμβάνει περὶ τῆς διὰ χρήσεως γινομένης δεσποτείας. καὶ περὶ τῆς προθέσεως τῶν χρόνων διὰ τὴν δεσποτείαν ἐμποιουμένων.

# λ΄.

οὕτως ἐν τῷ ε΄ κεφ. φη. ὁ τὸ δημόσιον πρᾶγμα οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσποτεῦσαι. Ἐν τῷ αὐτῷ γ΄ κεφ. ὁ κακῇ πίστει νεμόμενος οὐ δύναται διὰ χρονίας νομῆς δεσπόζειν· ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτοῦ τὸ αὐτὸ πρᾶγμα νεμηθέντες κἂν καλῇ πίστει νέμωνται διὰ τὸ τῆς ἀρχῆς ἐλάττωμα, διὰ χρόνου οὐ δεσπόζουσιν αὐτό. ἡ λ΄ (?) κἂν (?) πάντα τὰ πράγματα ἐξ ... κινητὰ ἢ αὐτοκίνητα ὄντα, διὰ τετραετίας τῇ χρονίᾳ νομῇ δεσπόζεσθαι. Εἰ δὲ ἀκίνητα διὰ ι΄ ἢ κ΄ ἐνιαυτῶν τῇ χρονίᾳ νομῇ δεσπόζεσθαι· ι΄ μὲν ὅτε παρῶσιν οἱ δεσπόται, κ΄ δὲ ὅτε ἀπῶσιν. Ἐν τῷ αὐτῷ ια΄ κεφ. διαλαμβάνει περὶ τῆς ἀπὸ χρονίας νομῆς δεσποτείας καὶ τῆς ποσότητος τῶν χρόνων· διὰ πόσων δύναταί τις νεμηθεὶς δεσπόσαι. οὕτως ἐν τῷ ε΄ κεφ. φη. ἡ χρονία νομὴ συμβάλλεται τοῖς πίστει καλῇ νεμηθεῖσι καὶ μηδεμίαν περὶ κατάρξιν ὑπομένουσι. Ἐν τῷ αὐτῷ ς΄ κεφ. τὴν γενομένην χωρὶς δόλου ἀγορασίαν χρονία νομὴ οὐ δύναται βεβαιῶσαι, ἐπειδὴ πίστει καλῇ ἄρχεται τῆς νομῆς. Ἐν τῷ αὐτῷ η΄ κεφ. ὁ πίστει καλῇ ἀγοράσας πρᾶγμα καὶ ὠχυρωμένος τῇ τοῦ μακροῦ χρόνου παραγραφῇ, εὐθέως ἐναγόμενος ὀφείλει εἰπεῖν ὅτι ἔχει τὴν παραγραφήν· μετὰ δὲ ὁ ἐνάγων ἀποδείξει τὴν ἰδίαν δεσποτείαν· τότε λέγει καὶ αὐτὸς ἀποδεικνύοντα τὴν δικαίαν νομὴν ἀπολυθῆναι. Ἐν τῷ αὐτῷ ι΄ κεφ. ἐπὶ τῆς χρονίας νομῆς τοῖς ι΄ ἢ κ΄ ἐνιαυτοῖς καὶ ὁ χρόνος τοῦ προκλήτορος συμψηφίζεται. Ἐν τῷ αὐτῷ ιβ΄ τί περιέχεται ἐν οἷς οὐ καθέλκεται ἡ τοῦ μακροῦ χρόνου παραγραφή· καὶ ἐν οἷς συμβάλλεται εἰς δεσποτείαν· καὶ περὶ τῆς ποσότητος τῶν χρόνων. οὕτως ἐν τῷ αὐτῷ ε΄ κεφ. φη. ὁ ἐπὶ τῶν κινητῶν πραγμάτων τελειουμένης τῆς διὰ τριῶν ἐνιαυτῶν ἐκ τοῦ χρᾶσθαι δεσποτείας περιττόν ἐστι τὸ ζητεῖν περὶ χρονίας παραγραφῆς. Ἐν τῷ αὐτῷ γ΄ κεφ. ἐάν τις τὸ ἐπὶ κοινὸν πρᾶγμα νεμηθῇ ἐξ ὁλοκλήρου ἐπὶ ι΄ ἢ κ΄ ἐνιαυτῶν, οὐκ ἔχει μακροῦ χρόνου παραγραφήν· οὐδὲ γὰρ τὸ ἐπὶ τῆς διαιρέσεως τῶν τῆς φαμιλίας πραγμάτων δικαστήριον, οὐδὲ ἐπὶ τῇ διαιρέσει τῶν ἐπικοίνων πραγμάτων ἀγωγὴ ἐκβάλλεται διὰ τῆς τῶν ι΄ ἢ κ΄ ἐνιαυτῶν παραγραφῆς· τῇ τριακονταετεῖ δὲ μόνῃ ἀποκλείονται. Ἐν τῷ αὐτῷ λ΄ κεφ. ἡ τῆς κληρονομίας ἀπαίτησις οὐκ ἐκβάλλεται διὰ τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς. ἐὰν δέ τις νεμηθῇ πρᾶγμα ἐξ ἄλλου τῆς νομῆς, διὰ τῆς χρονίας νομῆς δεσπόσῃ, ἔχει τὸ ἀσφαλές· οὐδὲ γὰρ ἐνάγεται τῇ περὶ ἀπαιτήσεως κληρονομίας ἀγωγῇ. Ἐν τῷ αὐτῷ ζ΄ κεφ. ἐν ᾧ χρόνῳ τῶν ι΄ ἢ κ΄ ἐνιαυτῶν, οὐ ψηφίζεται ὁ χρόνος ἐν ᾧ ἥττων ἐστὶ τῶν κε΄ ἐτῶν· αὕτη γὰρ τότε ἄρχεται, ὅτε εἰς μείζονα ἡλικίαν ὁ δεσπότης τοῦ πράγματος ἔλθῃ, τουτέστιν ὅτε πληρώσῃ τοὺς κε΄ ἐνιαυτούς. καὶ κατὰ τῶν ἀπόντων διὰ δημόσιον πρᾶγμα ἢ καταλύσιν (?) οὐ καθέλκεται μακροῦ χρόνου παραγραφή. οὐδὲ ἐπὶ δανείου καὶ τοῦ ἐνέχυρα διδομένου καὶ τῆς παρακαταθήκης καὶ λεγάτου καὶ φιδεικ.

ἀρχὴ τοῦ α΄ κεφ. τοῦ ιγ΄ τίτ. ἐν ᾧ φη. ὅτε διὰ τετραετίας ἔχει καὶ τὸ δημόσιον παραγραφὴν τὸ νεμηθὲν πρᾶγμα δημόσιον. ἀλλ' ἐν τῷ ... τῷ ιγ΄ κεφ. καὶ διορισθεὶς περὶ τετραετίας.

περὶ κινητῶν.

περὶ τῶν νεμηθέντων χρονίᾳ πρᾶγμα δημόσιον :-

κοσμίου· καὶ ἐπιτροπῆς· καὶ πάσης ἄλλης προσωπικῆς ἀγωγῆς. Ἐν δὲ τῷ ιγ' τίτ. διαλαμβάνει περὶ τῶν διὰ τετραετίας δεσποζομένων δημοσίων πραγμάτων· οὗτινος ἐν τῷ α' κεφ. φη· ὅτι ἐάν τις νεμηθῇ πρᾶγμα δημόσιον ἐπὶ τέσσαρας ἐνιαυτούς, ἔχει κατὰ τοῦ δημοσίου τὴν τῆς τετραετίας παραγραφήν. Ἐπεὶ καὶ ὁ βασιλεὺς δωρεῖταί τινι πρᾶγμα δημόσιον· ἔχει τὸ βέβαιον ἡ δωρεά· ἐνωσμένου γὰρ ἔστιν ἐκ τοῦ δημοσίου, ζητοῦσι μετὰ τετραετίαν ζημιοῦν περὶ πραγμάτων σχολαζόντων, μὴ εἶναι πρὸς θεϊκοῦ δεδόσθαι· καὶ ἐκείνους· οἵτινες ἡμετέρα εὐλογίᾳ ἀγοράζονται τοῦ μὴ αὖθις παρὰ τοῦ ἡμετέρου δημοσίου ἀμφιβολίαν κινεῖσθαι· οἵτινες οἰωδήποτε τρόπῳ ἢ τ. περιέχεται περὶ τῆς διὰ τῶν ι' ἢ κ' ἢ λ' ἢ μ' χρόνων παραγραφῆς. Ἐν δὲ τῷ α' κεφ. τοῦ ιδ' τίτ. φη· ὁ νεμόμενος ἑτέρου πρᾶγμα, οὐκ ἔχει τὴν τῆς τετραετοῦς εἴδους ἢ τεσσαρακονταετοῦς εἴδους παραγραφήν· οὐδὲ γὰρ δύναται ἰδίαν νομὴν δέξασθαι· ὅθεν οἱ κατὰ μίσθωσιν νεμόμενοι· καὶ οἱ ξένον ἐναγόμενοι περὶ πράγματος· οὐδὲ μιᾶς χρόνου παραγραφὴν δύνανται αἰτῆσαι. Ἐν δὲ τῷ ε' κεφ. ὥσπερ αἱ ἀγωγαὶ αἱ ἰδικαί· οὕτως αἱ περὶ ὁμάδος καὶ αἱ προσωπικαὶ ἀγωγαὶ ὑπὲρ λ' ἐνιαυτῶν διάστημα μηδαμῶς ἐκτείνεσθαι. ἀλλ' ἐάν τι ποτε πρᾶγμα ἢ δίκαιον τί ποτε ἀπαιτῆται ἢ προσωπικοῦ οἱασδήποτε ἀγωγῆς ἢ μεθόδου ζωοθῆται· οὐδὲν ἧττον ἔσται ἀφ' ἐναντίου λ' ἐνιαυτῶν παραγραφὴ ποιητέα. τοῦτο ἰδίους τις καὶ ἐς τὸ ἐκείνου πρόσωπον· ὅστις ἐνέχυρον ἢ ὑποθήκην οὐκ ἀπὸ τοῦ ἰδίου χρεώστου· ἀλλ' ἀπὸ ἄλλου ἐπὶ πολλῷ χρόνου νεμόμενος· σπουδάζει διεκδικῆσαι· αἵτινες οὖν πρότερον οὐκ ἐκινήθησαν ἀγωγαὶ λ' ἐνιαυτῶν ζημιοῦσι σιωπῇ· ἐξ οὗ ἁρμόσει νομίμως ἄρξασθαι τοῦ ζητεῖν, περαιτέρω μὴ ἐκτείνεσθαι συγχωρεῖται· μηδὲ ἀρκεῖ τῷ δεκάτῳ προσενεχθῆναι ἰδικὴν τινα· ἢ καὶ κατὰ μίσθωσιν ἀξιοῦσθαι, ἀπόκεινται ἢ καὶ ἐν δικαστηρίοις δικαιολογεῖσθαι· εἰ μὴ ἄρα δικαιολογηθείσης τῆς θείας ἀντιγραφῆς ἢ ἐν δικαστηρίῳ μονομερὴς αἴτησις παρηκολούθησε· δι' ἐκβιβασμοῦ ὁ χρειώδους, οὐ φύσεως ἀθεμίτου· οὐκ ἀπουσίᾳ· οὐ στρατείας· κατὰ τοῦ νόμου τούτου ἀσφαλιζομένης· ἀλλὰ τῆς ἀνήβου ἡλικίας μόνον· καὶ μάλιστα ὑπὸ τὴν τοῦ ἐπιτρόπου ἀσφάλειαν ἐστί· ταύτης ὑπεξαιρουμένης τῆς ἀγωγῆς· ὅτε γὰρ τις ἐννοεῖ τοὺς ἐνιαυτοὺς ἤθοσιν· οἵτινες εἰς τὴν φροντίδα τοῦ κουράτωρος ἀνήκουσιν. ἀναγκαίως αὐτοῖς ὥσπερ καὶ τοῖς ἄλλοις τὰ τῶν λ' ἐνιαυτῶν διαστήματα φυλακτέα ἐστί· αὗται δὲ λ' ἐνιαυτοῖς ζημιαι τοῖς σβεννύσθωσαν, αἵτινες διηνεκεῖς ἐδόκουν· οὐδὲ ἐκεῖναι αἵτινες ἐξ ἀρχαίου καιροῦ προσεῖξονται· ἐκ δὲ τούτου τοῦ χρόνου τῶν προσδοκείσων, μηδενὶ τὸ λοιπὸν περαιτέρω συγχωρεῖται ἀνεῶχθαι

θεσπίζοντος· εἰ καὶ τὰ μάλιστα ἡ ἄγνοια τοῦ νόμου ἐκ συναλλάξεως ἑαυτὸν πε-
ραθῇ. ἐν δὲ τῷ ϛʹ κεφ. τοῦ κʹ τίτ. βεβαιοῖ πάσας τὰς παραγραφάς· λέγει δὲ καὶ παρὰ
ἄλλην αἰτίαν μὴ σβεννυμένην τὴν τεσσαρακονταετῆ εἶναι· ἀλλὰ παρεμβαινομένων
τῶν ἐνιαυτῶν παρατρεχόντων ἀπόλλυσθαι· μηδενὸς προσώπου ταύτης τῆς παρα-
γραφῆς ὑπεξαιρουμένου· ἢ ἰδιωτικοῦ ἢ τε δημοσίου· λέγει δὲ καὶ περὶ τύχης κα-
τόμενον· ἐὰν ἔμεινεν ἐπὶ μέχρι χρόνου ἔντευξιν καταστάσεως· μηκέτι παρακολουθεῖσθαι·
εὗρεν ἡ ἡμετέρα γαληνότης τινὰς τὴν ἱερὰν τῆς ἡμετέρας εὐσεβείας τίτ. ἤτοι περὶ τὴν
τῶν λʹ ἐνιαυτῶν παραγραφῆς διαιρεῖται· εἰς πρόσκαιρα καὶ τῶν δημοσίων ζωτε-
λειῶν ※ ἕνεκεν καταβληθῇ· μὴ δύνασθαι ἐξελθεῖσθαι ἢ ἀπαιτεῖσθαι [illegible]· ὁπότε
τὸ τοιοῦτον ἐγχείρημα φανερῶς τῇ ἐννοίᾳ· καὶ τῇ προθέσει τοῦ ἡμετέρου νόμου
ἐναντιοῦσθαι γινώσκεται· καὶ διὰ τοῦτο λέγομεν ἐκείνους οἵτινες πράγματα τό-
τε ἐπὶ τριάκοντα ἐνιαυτῶν τῶν δεσμῶν χωρὶς τινὸς νομίμου ὀχλήσεως ἐ-
νεμήθησαν· ἀπὸ τῆς τῆς νομῆς τοῦ πράγματος ἢ τῆς δεσποτείας μηδαμῶς μετα-
κινεῖσθαι· τὰς δὲ ζωτελείας ἢ τὸν πολιτικὸν κανόνα ἢ ἄλλην τινὰ πολιτικὴν εἰσφο-
ρὰν ἐπικειμένην αὐτοῖς· καταβάλλειν ἀναγκάζεσθαι· καὶ οὐ δὲ τοῦτο τῷ μέρει οἱ
οὐδέποτε χρόνου παραγραφὴν ἀντικειμένην δέξασθαι. ἐν δὲ τῷ ζʹ κεφ. τοῦ λʹ τίτ. κελεύει
τὴν ὑποθηκαρίαν ἀγωγὴν μὴ μόνον σβέννυσθαι τῇ λʹ ἐνιαυτοῖς ἐὰν ἐξωτικὸς νέ-
μηται τὴν ὑποθήκην· ἀλλὰ καὶ αὐτὸς ὁ χρεώστης αὐτὴν νέμηται· σβέννυσθαι τοῖς μʹ ἐνι-
αυτοῖς. εἰ μὴ ἄρα ἐν τῷ μέσῳ διαρραγείη ἡ σιωπή· ὡς τῷ νόμῳ διηγορευμέ-
νον ἐστί· τουτέστι καὶ διὰ μόνης ὀχλήσεως· ἐὰν ἄνηβος ἡλικία ὑπεξαιρεῖται,
φανεροῦται. κελεύει δὲ ἵνα καὶ προτενέστερος δανειστὴς, κατὰ τοῦ μεταγενεστέρου
δανειστοῦ διακατέχοντος τὸ πρᾶγμα ὑπὸ τεσσαρακονταετίαν κινῶν τὴν ὑποθηκα-
ρίαν. ἐφ' ὅσον ὁ χρεώστης ζῇ μὴ ἐκβάλληται· μετὰ δὲ τὸν θάνατον τοῦ χρεώστου, ἀντέ-
χεται αὐτῷ ἡ τῆς χιλίας παραγραφή. ἐὰν δὲ ὁ μεταγενέστερος δανειστὴς βούληται
μὴ μόνον ἀντιτίθεσθαι τοῦ χρόνου οὗ ἐνεμήθη μετὰ τὴν τελευτὴν τοῦ χρεώστου· ἀλ-
λὰ καὶ οὗ κατεῖχε ζῶντος αὐτοῦ· τότε τεσσαρακονταετίαν κελεύει ἀντέχεσθαι τῷ
προτέρῳ δανειστῇ· ἐπὶ δὲ τῶν αἱρετικῶν· καὶ ἡμέραν ἐνοχῶν κελεύει ψηφίζε-
σθαι· μετὰ τὸ ἐκβῆναι τὴν αἵρεσιν ἢ καταλαβεῖν τὴν ἡμέραν· ὁμοίως κελεύει ἐπὶ
τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς μετὰ τὴν λύσιν τοῦ γάμου ψηφίζεσθαι τῇ
γυναικὶ τὸν χρόνον τῶν λʹ ἐνιαυτῶν παραγραφῶν. κελεύει δὲ· ἵνα ἐφ' ὅσον χωρὶς βίας κα-
τέχη τις τὰ ὑποκείμενα αὐτῷ πράγματα, μὴ ἀντέχεται αὐτῷ χρόνου παραγρα-
φή. εἰ δὲ καὶ ὁ χρεώστης ποιήσει δευτέραν γνῶσιν μετὰ καὶ ἀσφάλειαν, πάλιν

※ καταβολῆς, ἢ καὶ ἐπὶ γε-
ρῶν. ἐκ δὲ μόνου ἐπὶ τοσοῦτον
ἢ καὶ πλείονος χρόνου ὀλί-
γωρεῖν· ἢ μηδαμῶς ἢ ἐπὶ ἧττον
περὶ χρεῶν ζωτελειῶν ἤ

ἀλλὰ καὶ τοῦ κώδ. βιβ. ζʹ τίτ. λθʹ κεφ. εʹ
ἀναφέρει· ὁ κὸ μὴ δεδωκὼς ἐπὶ
αἴτημα δημόσιον· οὐκ ἀπαιτεῖ-
ται τὰ τοῦ παρελθόντος χρόνου
τελέσματα· πλὴν ὡς ἐν ὀΐα ϛ
κθ τ μετὰ τίτ. θ· μεθοδεύεται τὰ
τοῦ μέλλοντος καιροῦ ἐμμελῶς
λογισθῇ αὐτῷ παρὰ βασιλέως :-

περὶ προικὸς :-

διαρρήγνυσι τὸν χρόνον τοῦτον τῶν παραγραφῶν. κἂν εὕρῃ δὲ καὶ ἐπὶ τῶν ἀκινήτων
λεγάτων. ἀναφαίνεσθαι τὸν χρόνον οὐχὶ ἐξ οὗ κατεγράφη ταῦτα. ἀλλ' ἐξότε ἐπεράθη ἡ
ἀγωγή. τίκτεται δὲ καθ' ἕκαστον ἐνιαυτόν. βούλεται δὲ τὴν ἐμφύτευσιν μὴ ἀντιτε-
θῆναι τὴν χρονίαν παραγραφήν. μήτε τὸν μισθωτὴν ἢ τὸν διοικητὴν τῶν ἀλλοτρίων
πραγμάτων. ἀλλ' ὅτε δήποτε πληρουμένου τοῦ χρόνου τῆς ἐμφυτεύσεως. ἢ
τῆς μισθώσεως ἀποδίδοσθαι τὸ πρᾶγμα. εἰ δὲ ὡς ἡ κεφ. εἴτις ἀγοράσει ἢ δω-
ρεᾶς ἢ ἄλλου οἱουδήποτε συναλλάγματος τινὸς πρᾶγμα τί ποτε πίστει καὶ ἐ-
πὶ ι' ἢ κ' ἐνιαυτοὺς κατέχει. κατὰ τὴν τοῦ μακροῦ χρόνου παραγραφὴν καὶ τὸν
δεσπότην αὐτοῦ τοῦ πράγματος ἢ τῶν δανειστῶν τὴν ὑποθήκην αὐτοῦ πε-
ποιημένων ἑαυτῷ ἐκδικεῖ. καὶ μετὰ ταῦτα κατὰ τύχην τὴν νομὴν ἐκείνου τοῦ
πράγματος ἀπώλεσε. δύναται αὐτὸν καὶ ἀγωγὴν τῆς ἐκδικητέον τὸ αὐτὸ
πρᾶγμα ἔχειν θεσπίζομεν. τοῦτο γὰρ καὶ οἱ παλαιοὶ τινὲς αὐτοὺς ὀρθῶς θε-
ρισταὶ ἐθέσπιζον. εἰ δέ τις τὸ πρᾶγμα παύσεται νέμεσθαι. οὐ μόνος ὁ δεσπό-
της ἢ ὅστις ὑποκείμενον αὐτὸ εἶχε τῇ παραγραφῇ τῶν μ' ἢ λ' ἐνιαυτῶν ἐκκε-
κλεῖσθαι τὴν ζητουμένην βοηθεῖσθαι οὐκ ἀδιακρίτως. ἀλλὰ μετὰ μεμετρημένης διαγ-
ραφῆς αὐτῷ προέχειν θεσπίζομεν. ἵνα εἰ μὲν πίστει καὶ ἐξ ἀρχῆς τοῦτο τὸ πρᾶγ-
μα κατέχει. ὁμοίᾳ διαιωνιζούσῃ χρῆσθαι βοηθείᾳ. ἐὰν δὲ πίστει κακῇ τοῦτο ἐπε-
λάβετο, ἀνάξιος ταύτης δόξει. οὕτω μέντοι, ἵνα καὶ ὁ κοινὸς νομεὺς ἐξ αὐτοῦ
τοῦ πράγματος δεσπότης ἐξ ἀρχῆς ἦν. ἢ ὑποκείμενον αὐτὸ εἶχεν. καὶ τῇ τῆς
μνημονευθείσης παραγραφῆς ἀνάγκῃ ἐξωθεῖς ἐστι. τὸ κέρδος τῆς διακατοχῆς
ἑαυτῷ προσποιεῖσθαι. ἐὰν δὲ μηδὲν δίκαιον ἐπὶ αὐτῷ πράγματι καθ' οἷον
δήποτε καιροῦ ἔχον. τότε ἐξουσίαν ἤ τῷ πρώτῳ δεσπότῃ ἢ τῷ δανειστῇ. ὅσ-
τις ὀνόματι ὑποθήκης τὸ πρᾶγμα ἐνεχόμενον ἔχει. καὶ τοῖς κληρονόμοις
αὐτῶν ἐκ τοῦ ἀδίκως διακρατοῦντος τοῦτο διεκδικεῖσθαι μὴ ἀντικειμένου
αὐτοῦ. ὅτε ὁ πρῶτος νομεὺς λ' ἢ μ' ἐνιαυτῶν παραγραφὴν αὐτὸν ἀποκινή-
σει μὴ ἄρα αὐτὸς ὁ ἄδικος νομεὺς λ' ἢ μ' ἐνιαυτῶν ἐξ ἐκείνου τοῦ καιροῦ ἀνα-
φερομένων ἐξ οὗ ὁ πρῶτος νομεὺς ὅστις καὶ ἐκίνησε ταύτης τῆς νομῆς ἐξέ-
πεσε. παραγραφῇ ὀχυρούμενος ἐστίν. ἀλλὰ ταῦτα μὲν περὶ ἐκείνων τῶν νο-
μέων κρινόμενα. οἵτινες χωρὶς βίας τοῦ αὐτοῦ πράγματος ἐπελάβοντο. καὶ
γὰρ τις κατὰ βίαν αὐτὸ ἀφεῖλε τὸ παντελῶς τόπῳ ἔξεστι τῷ πρότερον νομεῖ χω-
ρὶς τινος διαστάσεως τοῦτο ἐκδικεῖσθαι. εἰ δὲ καί τις μὴ κατὰ βίαν. ἀλλ' ἐξ ἀ-
ποφάσεως δικαστοῦ τοῦτο κατέχει. πλὴν ἐν ταύτῃ τῆς ἀποφάσεως. ὅτε ἀ

ποτὲ ὁ πρῶτος νομεὺς καὶ εἰς τὴν δίκην κληθεὶς· οὐδαμῶς ἀπεκρίνατο. ἐξέσται αὐτῷ καὶ μέχρι τῶν λοιπῶν· οἵτινες τὴν τοῦ πράγματος δεσποτείαν ἔχουσιν· ἔθει τοῦ ἐνιαυτοῦ ἑαυτοὺς προφέρουσι· καὶ ἀσφαλῶς τοῦ ὑποδέξασθαι τὴν δίκην διδόντες τὸ αὐτὸ πρᾶγμα ἐπαναλαβεῖν· καὶ περὶ τούτου διατυπωτικῶς ὑπὸ σχήματος ἀγῶνας· εἰ δὲ ἀφ' ἡ κεφ. τὴν παραγραφὴν τῶν λ' ἢ μ' ἐνιαυτῶν, ἐν ἐκείνοις τοῖς συναλλάγμασιν· ἐν οἷς τόκοι ὁμολογηθέντες εἰσίν· ἐξ ἐκείνου τοῦ χρόνου λαμβάνειν ἀρχὴν θεσπίζομεν· ἐξ οὗ ὁ χρεώστης τόκους καταβαλεῖν οὐδαμῶς· εἰ δὲ ἀφ' ιη' κεφ. πολλάκις τινὲς τοὺς ἰδίους ὑπευθύνους εἰς δικαστήριον καλοῦντες καὶ δικαστικῶν ἀγώνων κινηθέντων· οὐχὶ εἰς ῥητὸν τέλος τὰς δίκας περαιοῦσιν· ἀλλὰ σιωπῆς ἐν τῷ μέσῳ χρόνῳ γενομένης διὰ τὴν δυναστείαν ἴσως τῶν ἐναγομένων· ἢ τὴν ἰδίαν ἀσθένειαν ἢ ἄλλας τινὰς αἰτίας δήποτε πεισάσας· ὁπότε τοῦ ἀγῶνος κλῆροι πολλαί εἰσιν· αἵτινες οὔτε λέγεσθαι οὔτε ἀπαριθμεῖσθαι δύνανται· ἀλλὰ τοῦ ἰδίου δικαίου ὀλιγωροῦντες· ἐδόκησαν διὰ τοῦτο ὅτι μετὰ τὴν ἐσχάτην διάγνωσιν, λ' ἐνιαυτῶν διάστημα ἔρρευσε. καὶ τῆς τοιαύτης παραγραφῆς αὐτοτελεσθείσης. τὰς ἰδίας ὑποστάσεις εἰς ἄλλους μετενεχθείσας ὁρῶντες ἀξιοῦσι πλημμελεῖς θεραπείας ἐπιδιδοῦσιν. ὅπερ ἡμεῖς ἐπανορθοῦντες τὴν αὐτῶν παραγραφὴν ἥτις ἐντὸς λ' ἐνιαυτῶν τίκτεται ἐν τῷ τοιούτῳ θέματι αὐτὲ κλεῖσθαι οὐδαμῶς ἀνεχόμεθα· ἀλλ' εἰ καὶ προθεσμία ἀγωγὴ ἔτυχεν ἐξ ἀρχῆς κινηθεῖσα, ὅμως αὐτὴν εἰς μ' ἐνιαυτοὺς ἐκτείνομεν. ὁπότε οὐκ ἔστιν ὅμοιος, ὅστις παντελῶς ἐξ ἀρχῆς ἐσιώπησεν ἐκείνῳ· ὅστις καὶ αἰτίασιν ἀπέθετο καὶ εἰς δικαστήριον ἀπῆλθε, καὶ ὑπέστη τοὺς ἀγῶνας· τὴν δὲ δίκην πληρῶσαι διά τινας τύχας ἐμποδισθείς ἐστι· ἀλλ' εἰ καὶ αὐτὸς ὁ ἐνάγων ἀθυμήσει τῇ ἰδίᾳ ἀπονοίᾳ τῆς τοιαύτης αἰτίας τὸν δεσμὸν αὐτοῦ καταλιμπάνειν δύνασθαι θεσπίζομεν· ἵνα τοὺς κληρονόμους αὐτοῦ ἢ τοῖς διαδόχοις ἐξεῖναι ταύτην πληρῶσαι· μηδενὶ τρόπῳ τὴν τῶν λ' ἐνιαυτῶν παραγραφὴν ἀναιρεθῆναι ὅντινα χρόνον· τουτέστι τὸ τῶν μ' ἐνιαυτῶν διάστημα ἐξ ἐκείνου ἀριθμεῖσθαι κελεύομεν· ἐξ οὗ ἡ ἐσχάτη προῆλθε διάγνωσις· μεθ' ἣν ἑκάτερον μέρος ἐρραθύμησεν· εἰ δὲ ἀφ' ια' κεφ. θεσπίζομεν εἴ τις κακῇ πίστει πράγματα νεμόμενος· ἢ κατὰ πρᾶσιν ἢ κατὰ δωρεὰν ἢ ἄλλως ταῦτα ἐκποιήσει· ὁ δὲ νομίζων ταῦτα πράγματα προσήκειν ἑαυτῷ τοῦτο γινώσκων ἐν τοῖς ι' ἐνιαυτῶν μεταξὺ παρόντων, καὶ κ' μεταξὺ τῶν ἀπόντων μὴ διαμαρτύρηται κατὰ τοὺς νόμους τὸν ἀγοραστήν, ἢ τὸν τὴν δωρεὰν δεξάμενον· ἢ ἐκεῖνον εἰς ὃν τὰ πράγματα

τὰ ἄλλα οἱῳδήποτε τρόπῳ μετενεχθῇ, τὰ τοιαῦτα πράγματα νεμόμενοι, βεβαίως ταῦτα ἔχουσι μετὰ τὴν τῆς δεκαετίας διελθούσης(?) ἐπὶ τῶν παρόντων· καὶ τῆς εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδραμούσης. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης, καὶ ὅτι τὰ πράγματα αὐτῷ προσήκει, καὶ ὅτι γέγονεν ἡ ἐκποίησις· κελεύομεν τοῦτον μὴ ἀποκλείεσθαι· πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας· μὴ δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι καὶ αὐτὸς καλῇ πίστει νέμεται· ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος ταῦτα ἐκομίσατο. περὶ δὲ τῆς παραγραφῆς τῆς δωδεκαετίας ταῦτα διατυπῶσαι ζηλώσαντες(?)· ὥστε ἐπειδὴ ἐν τῇ ἑρμηνείᾳ τῆς δεκαετίας χρόνου καὶ παραγραφῆς ἐπί τινας ἐξ ἐνιαυτοὺς προῆλθεν· ἐπί τινας δὲ ἀπὸ […], ἄλλους τοσούτους αὐτῷ ἐνιαυτοὺς πρὸς τῇ δεκαετίᾳ προστεθῆναι, ὅπως ἐξ αὐτῆς τῆς δεκαετίας ἀπὼν(?) γένοιτο(?). ἐπεὶ δὲ […] κελεύομεν· ἵνα καὶ πᾶσαι αἱ πρόσκαιροι παραγραφαί, ἃς ἐδημοσίευσαν(?) τινὲς κελεύοντες λ´ ἐνιαυτοὺς ταύτας κινεῖσθαι, λ´ ἐνιαυτοῖς περαιοῦνται· εἰ μὴ ἄρα ἐν τῷ μεταξὺ καταληφθῶσιν εἰς δικαστήριον καὶ ἀγῶνας […], καὶ ἐσιωπήθησαν· τοῦτο(?) γὰρ μεταξὺ δικαστηρίου οὐκέτι λ´, ἀλλὰ μ´ ἐνιαυτοὺς παραγράφεται(?)· αἱ δὲ ἀγωγαὶ αἱ ἁρμόζουσαι τοῖς ὑπεξουσίοις περὶ φαύστων(?) πραγμάτων τῶν μὴ προσποριζομένων τοῖς πατράσι μὴ ἀντικαταθῶσιν(?)· εἰ μὴ […] ὑπεξούσιοι ἢ δύνανται κινῆσαι τὰς ἀγωγάς, ἢ χρόνος(?) κελεύει· ἵνα ὁ […] ἐάν τις μὴ δύνηται ἐναγαγεῖν ἢ διὰ τὴν ἀπουσίαν τοῦ νεμομένου, ἢ διὰ τὴν ἡλικίαν, ἢ διὰ τὴν μανίαν, ἢ διὰ τὴν δυναστείαν, προσέλθῃ τῷ ἄρχοντι· καὶ μέμψηται αὐτῷ τοῦτο ἐντὸς τῶν χρόνων τῆς παραγραφῆς· καὶ διαρρήγνυσι τὸν χρόνον. εἰ δὲ μὴ δύναται προσελθεῖν τῷ ἄρχοντι, προσέλθῃ τῷ ἐπισκόπῳ, ἢ τῷ ἐκδίκῳ τῆς πόλεως. εἰ δὲ ἀπολιμπάνονται, δημοσίᾳ προτιθέτω(?) τὸν λίβελλον ἔνθα οἰκεῖ ὁ νεμόμενος. εἰ δὲ ἔχει ἡ πόλις ταβουλλαρίους, ὑπογεγραμμένον χειρὶ τῶν ταβουλλαρίων. εἰ δὲ μὴ ἔχει, ὑποτάξει αὐτῷ τριῶν μαρτύρων ὑπογραφάς· καὶ διαρρήγνυσι τὸν χρόνον τῆς τριετίας, ἢ δεκαετίας, ἢ εἰκοσαετίας, ἢ λ´ ἢ μ´ ἐνιαυτῶν· πάντων τῶν ἄλλων τῶν ἑρμηνειῶν ἐπὶ ταύτης τῆς παραγραφῆς ἰσχυόντων. ἐάν τις πολλὰς ἔχων ἀγωγάς, περὶ μίαν ἐπιδῷ λίβελλον, πάσας διηνεκῶς ἀπολύει(?)· καὶ τὸ πλέον λέγει ὁ χρόνος(?). ὅτι ἐὰν ἔχων προσωπικάς, καὶ περὶ δεσποτείας καὶ ὑποθηκαρίας, ἐπιδῷ λίβελλον ἔχοντα, ὅτι τὰς προσωπικὰς κινεῖ, ἢ ὅτι τὰς περὶ δεσποτείας κινεῖ, ἢ ὅτι τὰς ὑποθηκαρίας, οὐδὲ αὕτη ἡ ὑπεξαίρεσις ἀδικεῖ αὐτόν. ἐν δὲ τῷ ις´ τοῦ δ´ λαμβάνεται(?) περὶ τῆς ἐκ προσχωρήσεως ἤτοι προσκλήσεως γινομένης δεσποτείας· οὐδενὸς ἐν τῷ ε´

λ´

κε´ φα´. Ἐάν τινες ὅπου δήποτε διὰ προσχώσεως προσκληθῶνται γῆν, δεσπόται
αὐτῆς γίνονται· καὶ οὔτε δημόσια παρ᾿ αὐτῆς ζητοῦσιν. εἰ δὲ καὶ πρότερον ἦν τό-
πος ὑπὸ λίμνης κατεχόμενος, ἢ εἰς βοσκὴν ἀπεγράφη, δαπανήμασι δὲ τῶν κε-
κτημένων νῦν καλλίστης ἐγένετο, οὐδὲ παρὰ τοῦτο τὴν ζήτησιν ἀπαιτεῖσθαι δύναν-
ται. ἔστι δὲ πρόστιμον κατὰ τοῦ παραβαίνοντος τὸν νόμον, πεντήκοντα λίτραι χρυσί-
ου. βιβ. ε´ β´ να´ τ. γ´ ἐν τῷ φα´. περὶ τῶν ὡς ἀπὸ χρονίου νομῆς παραγραφομένων. τὸ
ἐν τῷ η´ κε. φα´. Ἐάν τις τὴν τῆς ἐλευθερίας προσαγάγῃ κατὰ τοῦ νεμομένου πράγμα-
τα ἁρμόζοντα τῷ δημοσίῳ, μὴ παρῇ δὲ ἤδη ὑπὸ τὴν δεσποτείαν αὐτοῦ, καὶ ἀποστῇ·
καὶ μετὰ τὴν ἐλευθερίαν ἕτερος ἤδη προσαγάγῃ, ἐκβάλλεται τῇ τῆς ἐλευθερίας παρα-
γραφῇ. ἡ μὲν συμπαγεῖσα τῷ πράγματι ἕλκεται· ἀεὶ θεωρεῖται δὲ ἡ ἐλευθερία οὐκ ἐξ
ὑπονοίας, ἀλλ᾿ ἀφ᾿ οὗ γέγονεν ἄκυρος ἡ διαθήκη· καὶ παρεληλύθασι κατὰ βαθμοὺς αἱ
ἐξ ἀδιαθέτου διαδοχαί· ἢ παρῆλθεν ὁ ἐπ᾿ αὐτῆς ὡρισμένος χρόνος. ἐν δὲ τῷ ια´
κε. οὐ μόνον τοῦ πωλήσαντός μοι ἡ νομή, ἀλλὰ καὶ τοῦ πωλήσαντος αὐτῷ προστί-
θεταί μοι. ἐὰν ἀδιακόπως παρ᾿ αὐτῶν νεμηθῇ, ἐὰν γὰρ ὁ πωλήσας μοι μὴ νεμηθῇ,
οὐ συμβάλλεταί μοι ἡ τοῦ πωλήσαντος αὐτῷ νομή· ὥσπερ δὲ μὴ παντελῶς νεμηθέν-
τι οὐ συμβάλλεται ἡ νομὴ μηδὲ τοῦ προκλήτορος. ἐν δὲ τῷ ιβ´ κε. ἐν πάσαις ταῖς
δημοσίαις διαθήκαις κ´ ἐτῶν ἀντέχεται παραγραφή, ἐξῃρημένων τινῶν· ἐφ᾿
ὧν ἥττονα χρόνον ὁ νόμος ὁρίζει. βιβ. καὶ β´ νς´ τ. ια´ κε. λα´ ἐν τῷ φα´. πᾶς
ὅστις οἶδεν ἐν οἱᾳδήποτε διοικήσει ἢ ἐπὶ ῥήματι τῶν εἰδικῶν τοῦ βασιλέως ἀρ-
γυρατικοῦ ἢ ἀγωνοθετικοῦ· ἐπὶ μ´ ἔτη συναπτὰ ἐὰν νεμηθῇ εἴτε ἐκ δικαίου εἴτε
ἀδίκως, βεβαίως αὐτὸ ἐχέτω. τὸ αὐτὸ φαμὲν καὶ σωζομένου τοῦ κανόνος
κατὰ τὸν ἐν ἐνεμήθη ἐπὶ μ´ ἔτη· ἀσφαλῶς γὰρ αὐτὸ ἔχει. βιβ. ε´ β´ ε´ τ. β´ κε. κε´
ἐν τῷ φα´. πᾶσα ἀγωγὴ προσοικουσα σεπτῷ οἴκῳ, εἴτε ὑποθηκαρία ἐστίν, οὐχ ὑ-
περβαίνει τὰ μ´ ἔτη. τῶν ἁρμοζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ διαφόρων προσκαίρων πα-
ραγραφῶν φυλαττομένων μέχρι τε τοὺς οἰκείους χρόνους. βιβ. ε´ β´ γ´ ἐν τῷ φα´.
αἱ δὲ τῶν χρονίων παραγραφῶν τῶν ι´ καὶ κ´ καὶ λ´ ἐνιαυτῶν ταῖς ἁγίαις ἐκ-
κλησίαις καὶ τοῖς ἄλλοις σεβασμίοις τόποις· μόνην τὴν τῶν μ´ ἐνιαυτῶν πα-
ραγραφὴν ἀντιτίθεσθαι πρὸς τὰ ἄλλα. βιβ. καὶ β´ δ´ τ. ς´ κε. ι´ ἐν τῷ φα´. ὅμοι-
ός ἐστιν ἀγοραστῇ καὶ ὁ ἐξ ἐναλλαγῆς λαβών, καὶ ὁ εἰς καταβολήν· καὶ ὁ παρα-
κελεύσας τῆς δίκης διακομισθείσης· καὶ ὁ λαβὼν ἐξ ἐπερωτήσεως οὐ κατὰ φιλο-
τιμίαν. βιβ. καὶ β´ μς´ τ. γ´· οὐδενὸς ἐν τῷ β´ καὶ γ´ καὶ δ´ κε. φα´. ὁ μὲν ἕνα παν-
των ἐστί, τινὰ τῆς ὁμάδος· τινὰ οὐδενός· τινὰ τῶν καθέκαστον· πάντων ἐστὶν ὁ

περὶ τῆς τῶν δημοσίων ἀντεχομένης χρονίου παραγραφῆς :-

περὶ ἐκκλησιαστικῶν ἔργα :-

ἡ ρλα´ ... λ´ :-

ἀνάγνωθι καὶ β' νη' τ' ις' κεφ' ... καὶ ... φι ... καὶ περὶ τῆς φυομένης νήσου ἐν ποταμῷ:–

ἀήρ· τὸ ῥέον ὕδωρ· ἡ θάλασσα· καὶ οἱ ποταμοὶ σχεδὸν καὶ οἱ λιμένες δημόσιοί εἰσιν· ἡ χρῆσις τῆς ὄχθης τῶν ποταμῶν δημοσία ἐστί· καὶ ἔξεστι παντὶ θέλοντι προσορμίζειν πλοῖον καὶ φορτία ἐν τῇ ὄχθῃ ἀποτίθεσθαι· καὶ τὰ δίκτυα ψύχειν. ἐμπλέειν ἐν τοῖς ποταμοῖς· καὶ σχοινία δεσμεῖν ἐν τοῖς δένδρεσι τοῖς ἐν τῇ ὄχθῃ τυγχάνουσι. εἰ καὶ μέντοι δεσποτεία τῆς ὄχθης καὶ τῶν ἐν αὐτῇ δένδρων τῶν κυρίων ἐστὶ τῶν ἀγρῶν ἐν οἷς κεῖται:–

ε'

## Περὶ δεσποτῶν ἀπαθῶς καὶ οὐ προσηκόντως κεχρημένων τοῖς ἑαυτῶν δούλοις. ἀνάγνωθι β' λα' τ' α' κεφ' α' ἐν φι:–

Ἐν πᾶσι μὲν τοῖς ἔθνεσιν οἱ δεσπόται τῆς ζωῆς καὶ τοῦ θανάτου τῶν δούλων κατεξουσιάζουσι· καὶ ὅσα κτῶνται τοῖς δεσπόταις προσπορίζουσι· ῥωμαίοις δὲ χαλεπαίνειν τοῖς ἑαυτῶν δούλοις ὑπὲρ μέτρον ἢ ἄνευ αἰτίας τοῖς νόμοις ἐγνωσμένης, οὐκ ἔξεστι· καὶ ὁ ἀλόγως φονεύων ἴδιον δοῦλον ὡς ἀλλότριον φονεύων τιμωρεῖται· καὶ κεφ' β' ἐν τῷ φι. εἰ δὲ σφοδρῶς αὐτοῖς χαλεπαίνει ἢ ἀδίκως λιμῷ αὐτοὺς δαπανᾷ ἢ πρὸς ἀθέμιτα ζημιοῦται· προσφεύγουσι βασιλικαῖς στήλαις. καὶ πιπράσκειν αὐτοὺς ἀναγκάζεται κατὰ αἵρεσιν· ἐφ' ᾧ μηδέποτε πρὸς αὐτὸν ὑποστρέφειν. τινὲς γὰρ ἐξ ἀφορμῆς αἰτίας πικρῶς τοὺς δούλους αὐτῶν τιμωρησάμενοι ἐπὶ πονηρίαν ἐξωκείλαντο. ἀνάγνωθι ε' β' ξ' τ' ιθ' οὕτινος ἐν φι α' καὶ β' κεφ' φι. ἐὰν δεσπότης χερσὶν ἢ ῥάβδοις τύπτων τὸν ἴδιον οἰκέτην, ἢ ἕνεκεν τοῦ φυλάξαι αὐτὸν δεσμοῖς περιβάλῃ αὐτόν· κἀκεῖνος ὅτε δήποτε ἀποθάνῃ· οὐ γὰρ ἐντεῦθεν κινδυνεύει ὁ δεσπότης. εἰ μέντοι τὴν δεσποτικὴν ἐξουσίαν συμμετρεῖν, βασάνους αὐτῷ ἐπαγάγῃ· ἢ πῦρ αὐτῷ προσάγῃ· ἢ λίθοις ἢ ξίφει· ἢ ξύλοις αὐτὸν φονεύσῃ· θανατηφόρον αὐτῷ πληγὴν ἐπαγάγῃ· ἢ προσέταξεν αὐτὸν ἀγχόνῃ κρεμασθῆναι· ἢ κρημνίσῃ ἑαυτόν· ἢ φάρμακον ἑαυτῷ θανάσιμον μετὰ βίας ἐπενεγκεῖν. ἢ οὕτως αὐτὸν πικρῶς ἐβασάνισεν· ὥστε καὶ ἐν ταῖς βασάνοις ἀποθανεῖν. τὰς ... τοῦ φόνου δίκας ὑφέξει:–

ς'

ἀνάγνωθι ε' νε' β' ἐν τῷ φι. περὶ δευτερογαμούντων· καὶ τῆς κληρονομίας τῶν παίδων αὐτῶν. ε' νε' κβ' ἐν φι καὶ περὶ τῶν πρὸ θανάτου διαλαμβανόντων· καὶ κεφ' νε' λθ' κεφ' β' φι καὶ περὶ τῆς τεκούσης τὸ ια μηνός· καὶ νε' ξα' ἐν φι περὶ διαδοχῆς τῶν παίδων· καὶ νε' ρκβ' κεφ' γ':–

## Περὶ τῶν δευτερογαμούντων, ἢ μὴ δευτερογαμούντων· καὶ περὶ διαδοχῆς τῶν παίδων αὐτῶν· καὶ περὶ τῶν πρὸ τοῦ τοῦ πενθίμου χρόνου γαμηθῆναι, εἰς δεύτερον γάμον ἐρχομένων. ἀνάγνωθι β' κη' τ' ιβ' κεφ' α' καὶ β' ἐν τοῖς φι:–

Λυθέντος τοῦ πρώτου γάμου κατὰ τὰς ἔμπροσθεν ἀπάσας διαζεύξεις. εὐδαιμον μὲν καὶ μακάριον ἑκατέρῳ τῶν συμβαλόντων μένειν ἐπὶ τῆς προτέρας εὐνῆς· καὶ ... πράξαι. ἐπὶ τῶν προτέρων παίδων τὰ οἰκεῖα ... ἔχουσι τὰ οἰκεῖα.

τουτέστι προῖκα μὲν ἡ γυνή, προγαμιαίαν δὲ δωρεὰν ὁ ἀνήρ· οὐδὲν πολυπραγμονούντων ἡμῶν τούτου· ὅπερ ἐπὶ τῶν δευτέρων ἐστὶ γάμων. λήψονται δὲ τὰ κέρδη· ὁ μὲν ἀνήρ, τὰ ἐκ τῆς προικός· ἡ γαμετὴ δέ, τὰ ἐκ τῆς προγαμιαίας δωρεᾶς. ἐπειδὴ δὲ τὰς γυναῖκας τὰς εἰς δεύτερον γάμον οὐκ ἐρχομένας προτιμήσεως τινὸς ἀξίας παρὰ τὰς δευτερογαμούσας εἶναι νομίζομεν· θεσπίζομεν· ἥτις ἀποβαλομένη τὸν ἄνδρα, ἑτέρων ἀπόσχοιτο γάμων, ἔχειν μὲν αὐτὴν τὴν χρῆσιν τῆς προγάμου δωρεᾶς· καθὰ καὶ πρότερον ἐθεσπίσαμεν· ἔχειν δὲ αὐτὴν καὶ δεσποτείας τοσοῦτον· ὅσον ἡ πρὸς τοὺς παῖδας ἀναλογία ποιεῖ· ἵνα μὲν τὸν τῆς δεσποτείας λόγον ἑνὸς καὶ αὐτὴ παιδὸς πρόσωπον ἔχειν δοκῇ. ταῦτα δὲ κρατεῖν οὐκ ἐπὶ μητέρων μόνον κελεύομεν· ἀλλὰ καὶ ἐπὶ πατέρων καὶ τῶν ἄλλων ἀνιόντων βουλόμεθα· τῶν εἰς δευτέρους γάμους οὐκ ἐρχομένων· καὶ ἔστω ταῦτα αὐτοῖς οἰκεῖα· οὐδὲν σχεδὸν τῆς ἄλλης αὐτῶν διαφέροντα κτήσεως. καὶ πᾶσαν ἄδειαν ἕξουσιν εἰς τὸ ἐκποιεῖν ταῦτα. καὶ εἴτε περιόντες καὶ τελευτῶντες καθ᾽ ὃν βούλοιντο τρόπον· εἰ μέντοι γε ἀνεκποίητα ταῦτα καταλίποιεν τελευτῶντες. καὶ μήτε αὐτοὺς ἢ πάντα ἢ τινὰ τούτων πρός τινας παραπέμψοιεν· λαμβάνειν αὐτὰ τοὺς παῖδας ἐξ ἴσης· κἂν εἰ μὴ κληρονομοῖεν τοῦ πατρὸς ἢ τῆς μητρός· κἂν εἰ μέν τινες αὐτῶν κληρονομοῖεν· τινὲς δὲ οὐχί. εἰ μέντοι γε ἐξ αὐτῶν ἀχάριστος φανείς, τῆς τοιαύτης φιλοτιμίας ἐκπέσοι. εἰ δὲ τῶν παίδων οἱ μὲν ζῶσιν· οἱ δὲ ἀπέθανον· παῖδας δὲ καταλίποιεν· τὸ τοῦ τελευτήσαντος μέρος τοῖς ἐκείνου δίδομεν παισίν· εἰ κληρονομοῖεν τοῦ πατρός. ἐπειδὴ τοίνυν ἐπὶ τοὺς ἀδελφοὺς ἄγομεν αὐτό· ἀλλ᾽ ἔτι [illegible] οὐδενὸς ἐν ἀφαιρέσει φανέντος. εἰ μέντοι ἄπαιδες διαμένοιεν ἐκ τῶν προτέρων· ἢ καὶ ἐξ ἀμφοτέρων τῶν γάμων· οὐδεμία πολυπραγμοσύνη περὶ τὰ δεύτερα· ἀλλ᾽ ἄνδρες μὲν ἀπελεύσονται παντοίως πάσης παρατηρήσεως ἐλεύθεροι· γυναιξὶ δὲ μόνον ἐπικείσεται δέος· τὸ μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου πρὸς δεύτερον ἐλθεῖν συνοικέσιον· ἢ γινωσκέτωσαν ὡς εἰ τοιοῦτόν τι πράξαιεν· καὶ ἀώρους συναλλάξαιεν γάμους, ὑφέξουσι ποινάς. ἄλλας μὲν εἴπερ ἄπαιδος ἐκ τῶν προτέρων εἶεν συνοικεσίων· μείζους δὲ εἰ καὶ παῖδες εἶεν. εἰ μὲν γὰρ οὐχ ὑπεστάλη, τὸ τῆς ἀτιμίας ἔθος διακολουθήσει. καὶ ἔσται παντοίως ἡ γυνὴ διὰ τὴν τῶν γάμων σπουδὴν ἠτιμασμένη· καὶ οὐδὲ λήψεται τῶν παρὰ τοῦ προτέρου καταλελειμμένων αὐτῇ συνοικεσίων· οὔτε ἀπολαύσει τῆς προγαμιαίας δωρεᾶς· οὐδὲ ἀφ᾽ οὗ συνῴκησε μὲν τῷ δευτερογάμῳ πλέον τῆς τρίτης τῆς οἰκείας περιουσίας ἐπιδώσει μοίρας· οὐ μὴν οὐδὲ τῆς ἔξωθεν ἀπολαύσεται φιλοτιμίας· οὐδὲ λήψεται παντελῶς παρ᾽ οὐδενὸς τῶν ἔξωθεν· οὐ κλήρου· οὐ λεγάτου· οὐ θανάτου αἰτίᾳ δωρεάν· ἀλλὰ ταῦτα χωρήσει· εἰ μὲν εἰσὶ παῖδες τοῖς

περὶ τῆς μὴ δευτερογαμούσης :–

περὶ τοῦ πενθίμου :–

ξ

κληρονόμοις τοῦ τελευτήσαντος· καὶ συγκληρονόμοις αὐτῆς· ὅτε ἢ δύναιτο κληρονομεῖν ὅλως διὰ ταύτης οὐδ᾽ ἑνὸς ὀφλήματος ἐχούσης· ἀλλ᾽ εἰ γεγραμμένοι καὶ ἕτεροι τύχοιεν κληρονόμοι· ὅτε ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς αὐτοὺς χωρήσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα· οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται. μήποτε δόξωσι τὰ τοιαῦτα σωφρονίζοντες τῆς τοῦ δημοσίου προσόδου φροντίζειν· ἀλλ᾽ οὕτω καὶ τὰ παρὰ τῶν ἔξωθεν αὐτῇ καταλελειμμένα πρὸς ἑτέρους χωρήσει. τὰ δέ γε παρὰ τοῦ προτέρου συνοικήσαντος ἀφίξεται παρ᾽ αὐτῆς ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καλεῖν πούτοσαν δὲ ὡς συγγενεῖς τὰ ἐν νόμῳ περιεχόμενα· τουτέστιν ἀνιόντας καὶ κατιόντας· καὶ τοὺς ἐκ πλαγίου μέχρι δευτέρου τῶν βαθμῶν ἐπὶ τῆς οἰκείας φυλαττομένων τάξεως. τῶν οὐχ ὑφεστώτων· ἐπὶ τὸ ταμεῖον χωρήσεται· ἀλλ᾽ οὐδὲ πορρωτέρω κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ἀποσελεύσεται συγγενῶν· ἀλλὰ μέχρι τοῦ τρίτου βαθμοῦ· οἱ πορρωτέρω δὲ ἑτέρους ἕξουσι κληρονόμους. καὶ ὅτε παρὰ τῶν ἄλλων αὐτῇ ποινῶν ἐπαχθεισῶν φαμὲν δὲ τὴν ἀτιμίαν. εἰ μὲν ἅπαις ἐκ τῶν προτέρων εἴη γάμων· λύσεται βασιλέως γράμμασι κελεύοντος. εἰ δὲ παῖδες ὑπάρχοιεν οἵας δήποτε γονῆς· ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δέεσθαι· οὐ μὴν ὄφελός τι τῶν ἀντιγραφομένων ἔχειν· πλὴν εἰ βούλεται τὴν ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν. καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ποινῶν. τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας παρέξει μοῖραν. καὶ παῖδας μὲν ἔχοντες εἰς τοὺς ἑαυτῶν παραπέμπουσι παῖδας. εἰ δὲ οὐκ ἔχοιεν· τὰ τοῦ τελευτήσαντος ἢ τῶν τελευτησάντων μέρη λαμβάνουσι παντὸς ἀναγκαίως οἱ τούτων ἀδελφοί. οἱ προτιμώμενοι τῆς μερίδος εἰς τὴν ἄλλην οὐσίαν τοῦ τελευτήσαντος παιδὸς ἢ τῶν τελευτησάντων. εἰ δὲ πάντες ἀπέθνησκον ἀδιάθετοι· ἐχέτω παραμυθίαν τῆς ἑαυτῆς δυστυχίας ἡ μήτηρ. τὸ ταῦτα πάλιν ἀναλαβεῖν. ἅπερ τοῖς παισὶν ἐδωρήσατο. εἰ δὲ ἀναμείνοιεν μὲν τὸν χρόνον ἡ γυνή· καὶ διαφύγῃ τὰς εἰρημένας ποινάς· ἐπὶ δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον, εἰ μὲν οὐκ ἔχοι παῖδας· εἰρήσθω δὲ καὶ αὖθις. ἀκίνδυνον ἅπαν τὸ ἐντεῦθεν. εἰ δὲ ὑπῆρχον· καὶ παῖδας ὁ νόμος ἐντεῦθεν ἀξιωθέντας ἴδοι· τηνικαῦτα πάσης φιλοτιμίας τοῦ ἀνδρὸς εἰς αὐτὴν ἡκούσης κατὰ τὴν τῆς δεσποτείας ἀφαιρεῖται μέρος. μόνην αὐτὴν καταλείπουσαν τὴν χρῆσίν τε καὶ ἐπικαρπίαν. καὶ ταῦτα νομοθετείσθω καὶ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς· καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας. ὅτε ἐν ζωῇ παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν γενομένης ἢ ἐκ διαθήκης.

περὶ τῆς δευτερογαμούσης καὶ τῶν πενθίμων:-

ἰστέον ὅτι τὸ θεσπισθὲν ... καὶ δευτερογαμούσης χαρίζεται κατὰ δεσπότας· ... καὶ ... τοῦ ... πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι. κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμήσῃ:-

χ′

ἢ θανάτου αἰτίᾳ δωρεᾶς, εἴτε ἐν τάξει ἐπὶ μέρος· εἴτε πρεσβεῖον· καὶ γενι-
κῶς εἰπεῖν· ἅπας αὐτὴν ἐπιλήψεται δεσπότης ἕτερος ἐπὶ τοῖς παρὰ τοῦ προτέρου
ἀνδρὸς εἰς αὐτὴν ἀφιγμένοις· καὶ οἱ παῖδες αὐτὰ λήψονται· καὶ τῆς δεσποτείας
ἔσονται κύριοι· κατὰ τὸν καιρὸν δηλαδὴ, καθ' ὃν ἡ μήτηρ συνῳκήσεν ἄλλῳ· καὶ ταῦτα
κοινοῦ καὶ ἀνδρὸς ἐπιτίμια κείσθω· εἰ γὰρ δὴ κἀκεῖνος παῖδας ἔχων δευ-
τέραν αὖθις ἐπεισάγει γαμετὴν· οὔτε τῶν ἐκ τῆς προικὸς ἀπολαύσει κερδῶν,
κατὰ δεσποτείας λόγον οὐ φιλοτιμίαν ἄλλην παρὰ τῆς γυναικὸς λαβὼν ταύτην ἕξει
βεβαίως· πλὴν ὅσον χρῆσθαι καὶ καρποῦσθαι μέχρι περὶ τὴν μόνον· κἀνταῦθα
γὰρ οἱ παῖδες· εἰ καὶ ὑπεξούσιοι καθεστήκασιν· ἀλλ' οὖν κύριοι τῶν τοιούτων
κατὰ δεσποτείαν ἔσονται· περαινομένων δηλαδὴ εἰς αὐτοὺς μόνον· ἄχρι τῆς δευτέ
ρας γυναικὸς συναφείας· ἀλλὰ καὶ ἐάν τι ἐκ τῶν τοιούτων πραγμάτων ἐκποι
ηθῇ παρὰ τῶν δευτερογαμούντων γονέων· ἐκδικηθήσεται παρὰ τῶν παίδων ἐ
τῶν κληρονόμων αὐτῶν καὶ διαδόχων· οὐκ ἄλλως ἀποκλειομένων πλὴν εἰ
μὴ τριακονταετὴς παρῆλθε χρόνος· καὶ ἡ κατοχὴ κυρίους τοὺς λαβόντας κα
τέστησεν· ἀρχομένου τοῖς παισὶ τοῦ χρόνου τρέχειν, ἐξ οὗπερ αὐτεξούσιοι φα
νῶσιν ὄντες ἢ γενόμενοι· πλὴν εἰ μήτε ἄνηβος ἡλικία προσβοηθήσειεν αὐτοῖς· ἐ
ὰν οἱ πλειόνων ὄντων παίδων τελευτήσειεν εἷς· εἰ μὲν ἔχοι παῖδας, ἐπ' ἐκείνοις
φέρεσθαι τὸν κλῆρον τοῦτον· εἰ δ' οὐκ ἔχοι παῖδας, μὴ πάντως εἰς τοὺς ἀδελ
φοὺς τὸ πᾶν ἔρχεσθαι· ἀλλ' ὅσον τὸ ἐκ τοῦ συμφώνου τοῦ ἐξ ἀπαιδίας ἔλεγε
τὸ δὲ γεγονηκότι· τοῦτο αὐτὸ κερδαίνειν· τὸ λοιπὸν δὲ συγχωρεῖν ἔρχεσθαι ἐ
πὶ τοὺς τοῦ παιδὸς διαδόχους· εἴτε ἀδελφοὶ καθεστήκασιν· εἴτε ἐξωτικοὶ τυχόν·
ὅπερ μάλιστα ἐπὶ μερῶν συμβαίνει· εἴτε καὶ ἀδιάθετοι τελευτήσειεν, εἴτε διαθέμενοι.
Καὶ ὅτι ἐπὶ τούτων τῶν κερδῶν· ὅσα πρὸς τοὺς δευτέρους ἐρχομένων τῶν γονέ
ων γάμους λαμβάνουσιν οἱ παῖδες· οὐ περιεργαζόμεθα, πότερον· κληρονο-
μοῦσι τοῦ τελευτῶντος γονέως, ἢ οὐχί· ἀλλὰ καθάπερ ἔμπροσθεν· γέρας
αὐτοῖς δίδομεν τοῦτο· καὶ ἐξ ἰδίου λήψονται αὐτὸ μὴ προσιόντες· σὺν αὐτοῖς δὲ
καὶ οἱ τοῦ τελευτήσαντος παῖδες τὸ τοῦ γεγονηκότος λαμβάνουσι μέρος· παν
ταχοῦ μὲν τῆς ἀχαριστίας ἐμποδὼν πρὸς τὸ τοιοῦτον κέρδος ἱσταμένης τῷ
τοιούτῳ παιδί· τοὺς γὰρ κατὰ τῶν ἀχαρίστων κειμένους οὐχ ὑπερβαίνομεν νό-
μους· ταῦτα καὶ τοὺς γονεῖς τιμῶντες. καὶ τοὺς παῖδας εἰς εὐσέβειαν ἄγοντες.
Ἐν δὲ τῷ π κεφαλαίῳ φησί· ὅτι οὐ δύνανται οὔτε εἰς μείζω οἱ πρεσβ.· οὔτε εἰς τὸ πα
ρὸν αἱ μητέρες κατὰ τὸν τῆς ζωῆς χρόνον, τὴν οἱανοῦν ποιεῖσθαι φιλοτιμίαν.

ἡ συνήθεια καθάπαξ πάντων πλέον ἑνὸς παιδὸς τοῦ τὸ ἔλαττον ἔχοντ(ος)· ἐκ τῆς
ἐκείνων περιουσίας δηλαδὴ τῆς πρώην τετάρτης· νυνὶ δὲ τρίτης· ἢ ἡμίσεως
κατὰ τὸν ἡμέτερον νόμον· πάντως τοῖς παισὶ καθάπαξ ἀπονεμομένης ἢ δεδομένης
μοίρας· οὐ μὴ πάλιν ὁ τῆς ἀχαριστίας ἐναντιοῦται λόγος. τοῦτο δὲ τὸ φυλατ-
τόμενον· καὶ ἐπὶ πάππου καὶ μάμμης· καὶ προπάππου καὶ προμάμ-
μης· καὶ ἐκγόνων ἀρρένων τε καὶ θηλειῶν καὶ προεκγόνων ὁμοίως· εἴτε ὑ-
πεξούσιοι τυχόν· εἴτε αὐτεξούσιοι καθεστήκασιν, ἐκ τῆς πατρῴας ἢ μητρῴ-
ας κατιόντες γραμμῆς· εἰ δέ τι πλέον καταλειφθῇ ἐκ πατρῴου ἢ τῆς μητρῴας·
τοῦτο ἐξ ἴσης διαιρεθήσεται· τοῖς ἐκ τοῦ προτέρου γάμου παισίν. ἐν τῷ δὲ
τῶν ζ΄ κεφ. εἰ δὲ μόνου χάριν προγαμιαίων ἢ ὁ ἀνὴρ τῇ γαμετῇ· ἢ ἡ συνοικοῦ-
σα τῷ ἐπιγαμεῖ κατὰ συνήθειαν δοῦναι βούλοιντο· μόνην ταύτα περὶ αὐτοῖς βουλό-
μεθα· μένειν περιόντων· οὐ μὴν ῥητῶς ὁ τὴν δωρεὰν πεποιημένος ἢ ὁ ταύτην κα-
ταλιπὼν εἴτε ἄρρην εἴτε θήλεια φανείη βούλεσθαι πρὸς δευτέρους ἀφικνουμέ-
νου γάμους τοῦ τὴν χάριν λαβόντος, λύεσθαί τε αὐτήν· καὶ πρὸς τὴν οἰκείαν
ἀναστρέφειν δεσποτείαν· ἀλλὰ ταῦτα μὲν περὶ τῶν κατὰ φιλοτιμίαν διδομένων
φανερόν· εἰ μέντοι ἐν προικὶ ἢ προγαμιαία δωρεᾷ περὶ γάμου προγαμιαίων
χάρισι δοθῇ· οὐδενὶ παντελῶς καινίζομεν· ἀλλὰ τὰ ἤδη νενομοθετημένα
κρατείτω. ἐν τῷ δὲ τῶν η΄ κεφ. ὁ κατὰ πατὴρ πάντων ὧν εἰς τοὺς παῖδας ἀφικνουμέ-
νων· εἴτε ἐκ μητρῴας γραμμῆς· εἴτε ἐκ γαμικῆς τῶν παίδων αἰτίας· εἴτε ἀλλαχό-
θεν τὴν χρῆσιν ἔχει· κἂν οὐ πρὸς δευτέρους ἔλθοι γάμους· ἄχρις οὗ περίεστιν, ἀ-
διάπτωτον· ὁ δὲ τῶν ἰσοκολλήτων πεκουλίων ἐκκρατείτω λόγος. ἐν τῷ δὲ τῶν ιε΄ κεφ.
εἰ δὲ ἐπιτροπεύουσα γυνὴ τῶν παίδων πρότερον ὡς ἀνήβων καθεστώτων δε-
σποτεία λαβοῦσα· μὴ πρὸς δεύτερον ἔρχεσθαι γάμον. εἶτα καταφρονήσασα τῆς
τῆς προτέρας εὐνῆς καὶ τῶν διατετηρημένων δευτερογαμήσοι· μὴ πρότερον ἐπί-
τροπόν τε αἰτήσασα καὶ τοὺς λογισμοὺς παραδοῦσα καὶ καταβάλλουσα πᾶν ὅπερ
ἐμπεσεῖν ὀφείλει· οὐ μόνον τὰ αὐτῆς ὑποθήκην ἔχειν ὁ νόμος συγχωρεῖ τοῖς
παισίν· ἀλλὰ καὶ τὴν τοῦ γήμαντος οὐσίαν γίνεσθαι ὑπὸ τῆς ὑποθήκης. ÷ αὐ-
τῇ τε ἀπαγορεύει τὴν τοῦ παιδὸς διαδοχὴν ἀνήβου τελευτῶντος· εἰ καὶ ἐξ ὑ-
ποκαταστάσεως ὁ πατὴρ αὐτὴν ἔλθοι πρὸς τὴν τοῦ παιδὸς ἐπὶ διαδοχήν. ἀλ-
λὰ ταῦτα μὲν ὁ πρὸ ἡμῶν· ἡμεῖς δὲ νομοθετοῦμεν· τὰς οὕτω τοῦ λοιποῦ διαγεν-
έσθαι τολμώσας γυναῖκας· πρὸς ταῖς ἤδη προειλημμέναις ποιναῖς· ἑτέ-
ρας ὑφίστασθαι πάσας ἃς πρότερον εἴπομεν· ἐπὶ τῶν πρὸ τοῦ πενθίμου χρόνου

÷ περὶ τούτου δηλοῖ ὁ Ἀκει-
βέστρου ἐν τῷ περὶ κληρονομι-
ῶν θ΄ φ. περὶ ἀπορικῶν ὑπαρ-
ξέων :—

περὶ ἐπιτροπευούσης :—

÷ τούτω καὶ ἐν τῷ μβ΄ β΄ τ(ίτλου) α΄
κεφ. λε΄ φ(ύλλ)ῳ, καὶ δηλοῖ τε-
θεὶ αὐτὸ ἐν τῷ περὶ κληρο-
νομίας :—

γάμου μὲν οὖν γυναικὸς τὴν ἐπιτιμίαν καὶ τὰ ἄλλα πάντα. πρὸς ταύταις ἐπάγομεν.
καὶ λύσιν αὐταῖς τῶν ποινῶν δεδώκαμεν. τὴν αὐτὴν ἥνπερ κἀκείναις τὸ δίδοσθαι
βασιλέως. καὶ τὴν ἡμίσειαν μοῖραν διδόναι τοῖς παισὶ τῶν οἰκείων. οὐδὲ τῆς χρη-
δεως πρὸ αὐταῖς γαμούσης. καὶ ἁπλῶς ἴσην αὐτὴν τίθεσθαι διὰ τὴν τῶν γάμων
ἄδειαν. τῇ πρὸ τοῦ πενθίμου χρόνου γημαμένῃ. ταῖς αὐταῖς ὑποκειμένη
ποιναῖς. τὸ δὲ τῶν φυσικῶν ἐπιτρόποι παίδων. εἰρήσεται δὲ περὶ ἐπιτρο-
πευούσης μητρὸς πλατύτερον ἐν τῇ περὶ ἐπιτρόπων τ. ἐν δ' φ' ιε' κε'. ἀλλὰ καὶ
ζητεῖς ἐν τοῖς εὐλαβεστάτοις κληρικοῖς τοῖς ὑπὲρ τὸν ἀναγνώστην ἢ ψάλτην φασὶ
ὅλως ὁμιλήσασι γάμοις. τούτων ἐκ τῆς ἡμετέρας διατάξεως ἐκπίπτειν τῆς ἱ-
ερωσύνης. εἰ μέντοι γε ἀναγνώστης ὢν δευτερογαμήσει. οὐκέτι πρὸς ἱερο-
σύνην ἀναβήσεται. ἐν δὲ φ' ιζ' κε'. δεῖ ἤδη γε ἐθεσπίσαμεν τὰς μητέρας ἐπὶ τῷ
τοῦ παιδὸς τοῦ μὴ καταλιπόντος παῖδας μετὰ τῶν αὐτοῦ τοῦ τελευτήσαντος ἀδελ-
φῶν ἀπεστερημένους κληροῦσθαι κλῆρον, καὶ τούτου μετὰ τῆς χρήσεως. καὶ τὴν δεσ-
ποτείαν ἔχειν βεβαίως. εἴτε πρὸ τοῦ κλήρου. εἴτε μετὰ ταῦτα δευτέροις ὁμι-
λήσειεν γάμοις. ταύτην ἡμεῖς τὴν νομοθεσίαν κυρίαν μένειν ἐπὶ ταῖς ἤδη
πρὸς δεύτερον ἐλθούσαις γάμον βουλόμεθα. ταῖς δὲ μετὰ ταῦτα οὕτως ἡμῖν
ὁ παρὼν νόμος τυπούτω τε καὶ διαθεσμοθετείτω. εἴ τινων νομίμως ὁ παῖς
διαθέμενος καταλίποι τῇ μητρὶ τὴν οὐσίαν ἢ καὶ μοῖραν ταύτης τινά, ταύ-
την ἐκείνη λαμβανέτω διὰ τὴν γραφήν. ἐπειδὴ πανταχοῦ φυλάττεσθαι τὰς
τῶν τελευτώντων βουλόμεθα γνώμας. καὶ ἐχέτω τὸ καταλειφθὲν καὶ κατὰ
δεσποτείαν καὶ κατὰ χρῆσιν. εἰ δὲ ἀδιάθετος ὁ παῖς τελευτήσειεν. ἤδη πρὸς δευ-
τέρους τῆς μητρὸς ἐλθούσης γάμους. ἢ καὶ ὕστερον ἐρχομένης. κληρούσθω μὲν καὶ
αὐτὴ μετὰ τῶν τοῦ παιδὸς ἀδελφῶν ἢ καὶ ἀδελφοπαίδων [illegible] δη-
λονότι κατὰ τὴν ἡμετέραν διάταξιν ἐξ ἀδιαθέτου πρὸς τὴν ἐκείνου διαδοχήν.
ἀλλ᾽ ὅσα μὲν ἐκ πατρῴας οὐσίας εἰς τὸν παῖδα περιῆλθον. τούτων μόνην
ἐχέτω τὴν χρῆσιν. εἰς δευτέρους ὅλως ἢ πρότερον ἢ ὕστερον ἀφικομένη γά-
μους. εἰς δὲ τὰ λοιπὰ πάντα πραττέσθω. ὅσα ἔξωθεν ἦν τῷ παιδί. περὶ
τὴν τοῦ πρὸς διαδοχὴν ἐρχέσθω. μετὰ τὴν κλῆσιν τὴν ἡμετέραν ἣν αὐτὴ καθ᾽ ἑαυ-
τῆς. τινὸς ἐπανορθώσαντες καὶ αὐτὴν δεομένην. καὶ ταῦτα φαμὲν ἐπὶ τοῖς πρά-
γμασι τοῖς ἔξω τῆς προγαμιαίας δωρεᾶς. τὰ γὰρ ἐπὶ ἐκείνης νομοθετηθέντα
ἀκέραια φυλάττομεν. ἐφ᾽ οἷς μόνην ἡ μήτηρ ἕξει τὴν χρῆσιν καὶ ἐπικαρπίαν.
ἀλλ᾽ ἐπὶ τοῖς ἄλλοις πράγμασι ταῦτα νομοθετοῦμεν. καὶ τοῦ ἐξῆς περιδίδομεν

περὶ κληρικῶν :–

περὶ κληρονομίας τῶν παί-
δων τῶν δευτερογαμούντων :–

χρόνῳ. ὅσα μὲν τὴν περὶ γάμου δωρεάν ἐστιν ἐκ τῶν πατρὸς ἀφικόμενα τῷ παιδί, ἢ ἐξ ἄλλων αἰτιῶν. ἐπί τε τῶν ἐκ διαθήκης. ἐπί τε τῶν ἐξ ἀδιαθέτου κλήρων. τῶν λοιπῶν ἀχρειώτων παίδων λόγων· πανταχόθεν καὶ ἐπὶ τούτοις τοῖς πράγμασι φυλαττομένου. τὴν δὲ ἀχρειωτάτην σκοπὸν δεχομένου, πρὸς τὴν μητέρα, ἀλλὰ καὶ πρὸς τοὺς τελευτήσαντος ἀδελφούς. ἀνάγνωθι καὶ τὸ με' τ' α' κεφ. λδ' ἐν τῷ β' βιβλ. ὁ τοιοῦτος γὰρ γονικὸς κληρονομίας ἴδιον. ἡ θυγατέρα ἐξ ἀδιαθέτου. εἰ μὲν μὴ δευτερογαμήσῃ. μετὰ τὴν τοῦ παιδὸς τελευτήν. μετ' αὐτῶν ἴσον ἔχουσα τὰ εἰς αὐτὴν περιελθὸν κέρδος. ἐὰν δὲ δευτερογαμήσῃ, τὰ μὲν ἔξωθεν εἰς τὸν γονὴν περιελθόντα πράγματα ἐχέτω. ὅσα δὲ ἐκ τῆς τοῦ πατρὸς οὐσίας εἰς τὸν γονὴν ἦλθον, τούτων τὴν χρῆσιν ἐχέτω. τὴν δὲ δεσποτείαν φυλαττέτω τοῖς ἀδελφοῖς καὶ ταῖς ἀδελφαῖς τοῦ τελευτήσαντος παιδός. τοῦτο γὰρ κρατείτω καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων. ἅπερ ἐκέρδανε παρὰ τοῦ πρώτου ἀνδρός, ἡ δευτερογαμήσασα γυνή :—

ζ'. ἀνάγνωθι καὶ τὸ περὶ ἀπολλυμένων ὡς ἀναξίων τὰ καταλειφθέντα ἑαυτοῖς :—

Περὶ δημευομένων. ἀνάγνωθι β' ξ' τ' νβ'. ὅτινος ἐν τῷ α' κεφ. βιβλ. :—

Ὁ δὲ ζῶν ἢ πολιτείαν διὰ ψήφου ἀφαιρεθείς, παρακολουθεῖ δήμευσις. ἐν τῷ δ' βιβλ. τίτλ. ια' κεφ. ἐὰν ὁ ἀνὴρ δημευθῇ. τὰ πράγματα τῆς γυναικὸς οὐ συναποφέρονται. ὁμοίως δὲ καὶ ἡ προίξ. εἰ δὲ ἔλαβε παρὰ τοῦ ἀνδρός, ἢ πρὸ τῶν γάμων δωρεάν. ἢ ἐν τοῖς γάμοις, ἑαυτῇ κατεχέτω. ἐὰν δὲ ὡς χρεώστου ὁ ἀνὴρ ἐδημεύθη. εἰ δὲ εὑρεθῇ ἡ γυνὴ πρὸ αὐτοῦ λαβοῦσα πρὶν ἄρξεται διοικεῖν, τοῦτο ἔχειν αὐτήν. εἰ δὲ μετὰ ταῦτα ἡ αὐτὴ ἔλαβεν. ἢ οἱ παῖδες ἀναλέξουσι. τοῦτο παρεχέσθω τῷ δημοσίῳ. ἐν τῷ δ' βιβλ. τίτλ. ιε' κεφ. ἐάν τις ὡς ἐπὶ τυραννίδι μελετήσας δήμευσιν ὑπομένῃ. οἱ μὲν ἔχοντες αὐτοῦ πράγματα καὶ διάγοντες ἐν τῇ βασιλίδι πόλει. ἐντὸς β' μηνῶν ὀφείλουσιν αὐτὰ προσαγγεῖλαι. οἱ δὲ μὴ διάγοντες ἐν τῇ βασιλίδι πόλει. ἐντὸς μηνῶν η'. εἰ δὲ μὴ τοῦτο ποιήσουσι. μετὰ τῶν πραγμάτων τὸ τετραπλάσιον παρέξουσιν. ἀνάγνωθι καὶ τὸ νδ' κεφ. ιζ' τίτλ. β' καὶ τὸ ξζ' ἐν τῷ β' βιβλ. μηδενὶ τῶν δικαστῶν ἐξέστω τῶν ἐξῃρημένων αἰτιῶν. οἵτινες ἐν τῇ ἄκρᾳ τῆς διοικήσεως κείμενοι ἐξουσίᾳ τῆς δημεύσεως τῷ χρεμάτων πάσης τῆς ὑποστάσεως ἐπὶ τὸν μὴ εἰς τὰς ἡμετέρας ἀκοὰς τοῦτο αὐτὸ διενεχθῇ. ἀνάγνωθι τὸ β' ς' τ' ιθ' κεφ. ιβ' ἐν τῷ β' βιβλ. ἐπιθεσπίζομεν τοὺς ἐπὶ ἐγκλήμασι κατηγορουμένους. ἐφ' ὧν οἱ νόμοι δήμευσιν ἢ θάνατον ὁρίζουσιν ἐὰν μὴ ἐλεγχθῶσιν ἢ καταχθῶσιν. τὰς αὐτῶν περιουσίας μὴ γίνεσθαι κέρδος τοῖς ἄρχουσιν. ἢ ταῖς αὐτῶν τάξεσιν. ἀλλὰ μὴ δὲ κατὰ τοὺς παλαιοὺς νόμους τῷ δημοσίῳ αὐτὰς προσκυροῦσθαι. ἀλλ' εἰ μὲν ἔχοιεν παῖδας. αὐτοὺς ἔχειν τὴν οὐσίαν, χωρὶς τῶν διὰ τοῦ τοιούτου

ἁμαρτήματα αὐτῶν προσγινομένων. εἰ δὲ μὴ ὦσι παῖδες, ἀλλ' ἀνιόντες ἄχρι τρίτου βαθμοῦ αὐτοὺς ἔχειν. εἰ δὲ γαμετὰς ἔχουσιν οἱ οὕτω κατακριθέντες· πᾶσι τρόποις κομίζονται ταύτας καὶ τὴν προῖκα, καὶ τὴν γαμικὴν δωρεὰν λαβεῖν. εἰ δὲ καὶ δίχα προικὸς τοῖς τοιούτοις προσώποις συνῴκησαν· τὴν ἀπὸ τῶν ἡμετέρων νόμων ὁρισθεῖσαν μοῖραν ἐκ τῆς ὅλης οὐσίας τοῦ κατακριθέντος λαμβάνειν. εἴτε τέκνα ἔχουσιν εἴτε μή. εἰ δὲ μηδένα τῶν προειρημένων ἔχῃ ὁ πλημμελήσας, τῷ δημοσίῳ προσκυροῦσθαι τὴν ἐκείνου περιουσίαν βουλόμεθα. ἐπὶ μέντοι τοῖς καθοσιώσει κατακρινομένοις, τοὺς παλαιοὺς νόμους φυλάττεσθαι κελεύομεν. ἀνάγνωθι καὶ βιβλ. ζ΄ τίτ. ε΄ κεφ. ... καὶ βιβλ. ια΄ τίτ. α΄ κεφ. κβ΄ θέμ. ε΄ ἐν τῷ Φθ. ὁ δημευθεὶς ἐκτελλόμενος εἰ ἀγοράσει τὰ αὐτοῦ, παρὰ τοῦ δημοσίου. ἔχει κατ' αὐτοῦ τὴν περὶ ἐκνίκης ἀγωγήν. τὰ γὰρ ἐπικλώμενα τῷ δημευθέντι, οὐ λαμβάνει ὁ δημόσιος. ἀνάγνωθι καὶ βιβλ. λ΄ τίτ. α΄ κεφ. οζ΄ ἐν τῷ Φθ. ἐάν τις δῆθεν ἐπὶ ἐγκλήματι τιμωρηθῇ καὶ δημευθῆναι, ἐνοχλείσθω τῆς ἐκείνου γαμετῆς ἡ οὐσία· ἀλλ' ἐχέτω πάντα τὰ πράγματα τὰ ἴδια· καὶ πατρῷα καὶ μητρῷα· καὶ ὅσα ἀπὸ δωρεᾶς τοῦ ἀνδρὸς εἰς αὐτὴν περιῆλθεν. ταῦτα μέντοι ἐὰν θάνατον ἐπάγειν αὐτῷ ἡ τιμωρία. τῇ γὰρ τελευτῇ τοῦ δωρησαμένου, ἡ δωρεὰ βεβαιοῦται. εἰ μέντοι γε περιορισθῇ μόνον ὁ ἀνήρ· περίεστι δὲ ὁ γάμος μένειν ἐναρτημένῳ ἡ δωρεά· ἐπειδὴ οὐδὲ ὁ γάμος λύεται τοῦ ἀνδρὸς περιορισθέντος. καὶ ἐὰν τελευτήσῃ ὁ ἀνὴρ ἐφησυχάσας τῇ δωρεᾷ, τότε τὸ δίκαιον ἐχέτω ἡ γυνή· μὴ ἐπικοινωνοῦντος τοῦ δημοσίου:

## Περὶ τοῦ δημοσίου δρόμου, καὶ τῶν τοῖς κουρσεῦσιν ἡρπασμένων. ἀνάγνωθι βιβλ. νς΄ τίτ. ιζ΄, συλλογὴ ἐν τῷ α΄ κεφ. Φθ.:

Οἱ ἵπποι οἱ ἀφορισμένοι τῷ δημοσίῳ δρόμῳ, οὔτε ξύλοις οὔτε ἐν πάλοις τύπτονται, ἀλλὰ μόνον φραγελλίοις ἐλαύνονται. ὁ δὲ γὰρ ἄλλως τιμωρίᾳ κατὰ τοῦ παρὰ ταῦτα ποιοῦντος. ἐν δὲ τῷ β΄ κεφ. τοῖς ἄρχουσι καὶ τοῖς καθολικοῖς καὶ τοῖς λοιποῖς καὶ παντὶ ἄλλῳ ἄρχοντι καὶ τοῖς ζῴοις αὐτῶν διατροφὴ ἐκ τοῦ δημοσίου λόγου ἀφορίζεται· ὥστε μὴ ἐνοχλεῖν αὐτοὺς τῷ δημοσίῳ δρόμῳ. ἐν δὲ τῷ γ΄ κεφ. πᾶς ὁδεύων ἀπαιτείσθω ζωήματα παρὰ τῶν προεστηκότων τοῦ δημοσίου δρόμου· ἢ καὶ μείζω περιβάλληται ἀξιώματι. εἰ δὲ αὐτεστί, ἀναφερέσθω περὶ αὐτοῦ τῇ ἐπαρχότητι καὶ τῷ μαγίστρῳ· οἱ δὲ λοιποί, παρὰ ταξεώτα τιμωρείσθωσαν. ἐν δὲ τῷ ιβ΄ κεφ. ἐπειδὴ καὶ τῶν ἵππων φροντίζειν, ἑξήκοντα λίτρας ἐχέτω ἡ σέλλα καὶ ὁ χαλινός. ἡ δὲ βέρεδα τουτέστι τὸ ὑπομάσχον.

ὅπερ ἐπιφέρονται κατὰ τῶν νόμων. καὶ δεῖ τὰ βέργα ἐν τῷ ἀπεστάλθαι ἔξω ἢ καὶ αὐτὰ ἐξελίξωσι. ἐὰν δέ τις παρὰ τοῦτο ποιήσῃ τῷ ὡρισμένῳ μέτρῳ. ἡ στέλλα αὐτοῦ κατακλασθήσεται. καὶ ἡ βέργα δημευθήσεται. ὑπεξῃρήσθω δὲ τὰ τοῦ χρυσοῦ κεντηνάρια. ἐν δὲ τῷ ιε' κεφ. ἐάν τις πρίασθῃ μίαν γῶν ἀλλαξίν. τὸ τετραπλάσιον τῆς τοῦ ζώου τιμῆς διδότω. ἐν δὲ τῷ κ' κεφ. οἱ δοῦκες ἔσοι τῶν ἐπαρχιῶν ἄρχοντες. καὶ αἱ τούτοις ὑπηρετούμεναι τάξεις κατὰ τὴν ἐπαρχίαν τὴν ἰδίαν. εἰς χρείας ἰδίας μὴ κεχρήσθωσαν τῷ δημοσίῳ δρόμῳ. εἰ δὲ μή. καθ' ἕκαστον ζῶον, μίαν λίτραν χρυσίου παρεχέτω παρ' αὐτῶν :—

θ' Περὶ δημοσίων ἵππων καὶ ἀθλητῶν καὶ ἡνιόχων καὶ θυμελικῶν. ἀνάγνωθι βιβ. νδ' τίτ. λζ'. οὗτινος ἐν τῷ ε' κεφ. φησί :—

Μηδεὶς τῶν ἀρχόντων ἀπὸ πόλεως εἰς πόλιν, ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν μετακομιζέτω ἵππους ἢ ἡνιόχους ἢ ὀρχηστάς. ἢ θεία. δεῖ γὰρ ἑκάστην πόλιν, τὴν ἰδίαν τέρψιν ἔχειν. ἐπὶ ἱεροσυλίας κείνεται :—

ι' Περὶ δημοσίων οἰκοδομημάτων, καὶ τῆς εἰς αὐτὰ γινομένης συνεισφορᾶς καὶ ὑπηρεσίας, ἤτοι λειτουργίας. ἀνάγνωθι βιβ. νδ' τίτ. ιβ'. οὗτινος ἐν τῷ ε' κεφαλαίῳ φησί :—

Περὶ τῶν γινομένων ἔργων ἐν τοῖς τείχεσιν ἢ ταῖς πόρταις, ἢ τῷ δημοσίῳ. καὶ περὶ τῆς τῶν τειχῶν ἀνανεώσεως. ἐρωτᾶσθαι δεῖ τὸν βασιλέα παρὰ τοῦ ἄρχοντος. ἀνάγνωθι α' τίτ. π' ἐν τῷ φη. περὶ τῶν ἐπαγγελλομένων δημοσίων ἔργων ποιεῖν. ἀνάγνωθι καὶ τίτ. λη' κεφ. α'. ἐν τῷ φη. ἐὰν ὁ ἄρχων τὰ ἀφιερωμένα θέαις ἀναλώματα εἰς τειχῶν ἐπισκευήν, ἐπαινετός ἐστι. προβλεπτικῶς ἀσφαλῶς τὰς θέας τοῦ λοιποῦ γίνεσθαι. ἀνάγνωθι βιβ. νη' τίτ. ιβ'. οὗτινος ἐν τῷ ε' κεφ. φη. τὰ δαπανηθέντα εἰς δημόσιον ἔργον ἀδήλως λογιζέσθωσαν τοῖς ἐργοεπιστάταις. ἐν δὲ τῷ ζ' κεφ. πᾶς εἰς τὸν λιμένα καὶ τὸν αἰγιαλὸν καὶ τὴν κατασκευὴν τῶν τειχῶν συνεισφερέτω ὑπηρεσίαν ἐν ἀνάγκαις, ἐξκουσατευόμενος. ἐν δὲ τῷ η' κεφ. ὁ δημοσίῳ ἔργῳ ἐπιστάς, ἤτοι χρήματα λαβὼν ἐπὶ τῷ καινίσαι. κρατείσθω καὶ τῶν κληρονόμων αὐτοῦ. ἐπὶ ἔτη ιε'. ἵνα διὰ τὴν σαθρότητα τοῦ ἔργου εἴποτε συμβῇ. οὐ μὴν λυχρῶς ἐκ τῆς οὐσίας αὐτοῦ τοῦτο γένηται. ἐν δὲ τῷ ια' κεφ. εἰς τὰ δημόσια ἔργα. καὶ τὰς ἀνακαινώσεις τῶν δημοσίων βαλανείων, τὸ τρίτον μέρος τῶν πολιτικῶν χρημάτων ἀναλισκέτω :—

τουτέστιν ἀξίας.

ια' Περὶ τοῦ δημοσίου, καὶ τῶν περινομίαν καὶ ἀλωταῖς αὐτοῦ. ἀνάγνωθι βιβ. νϛ' τίτ. β'. οὗτινος ἐν τῷ κ' κεφ. φη :—

λ

Τὸ φιλονεικούμενον πρᾶγμα ὁ δημόσιος πιπράσκειν οὐ κωλύεται· οὔτε τὰ διε-
νεικοῦντα. περὶ καθοσιώσεως κατηγορουμένῳ· καὶ τελευτήσαντι ἐξέστω τὸν ὄν-
τος τοῦ κληρονόμου αὐτοῦ δέξασθαι, ὡς οὐχ ἥμαρτεν. Ἐν τῷ δ΄ τί. ι΄ κεφ. Καὶ αἱ τῷ δη-
μοσίῳ διαφέρουσαι αἰτίαι, ἀναιροῦνται τῇ τοῦ χρόνου παραγραφῇ· καὶ
μηδεὶς ὀνόματι τοῦ δημοσίου συκοφαντείτω. ἀνάγν. καὶ τ. α΄ κεφ. ι΄ ἐν τῷ φ. ... ἀλλαὶ καὶ β΄ ν α΄ τ. ι΄ κεφ. ιβ΄. περὶ ἐρημίας ἐν τῷ περὶ διὰ τὰς πολιτείας:~
Οἱ μεγάλα κερδαίνοντες· ἐκ τῆς μισθώσεως τῶν τελῶν μὴ διεισκομένων ἀνθυπο-
φερόντων αὐτὰ ἐπὶ τῷ αὐτῷ ποσῷ μισθώσασθαι· ἀναγκάζονται αὐτὰ καταδέ-
χεσθαι. ἀνάγν. καὶ τ. ς΄. τελωνὸς ἐν τῷ α΄ κεφ. φ. Ἐὰν οἱ ὠνησάμενοι ταῖς δημο-
σίαις πράσεσι χρόνοι ἐνδιαψιλοῦνται· ἔξεστιν αὐξῆσαι τὸ τίμημα τῆς γε-
νομένης ὑπὸ τοῦ δημοσίου πράσεως περιτμηθῆναι· τοῦ πρώην κατοχοῦντος.
Ἐν τῷ δ΄ ι΄ κεφ. τῶν ἀδιαθέτων καὶ ἀκληρονομήτων αἱ οὐσίαι· τῷ δημοσίῳ
διαφέρουσιν. οὐ γὰρ ἔξεστι ταῖς πόλεσι τὰς τούτων οὐσίας διεκδικεῖν. ἀλλὰ εἰ
τινες πόλεις ἐξ ἔχουσι δίκαιον λαβεῖν αὐτάς, διεκδικείσθωσαν παρ' αὐτῶν.
ἀνάγν. καὶ β΄ ιθ΄ τ. α΄ κεφ. κε΄ ἐν τῷ φ. Τὰ ἐν δημοσίῳ ἐδάφει ὄντα ἀργυροπρα-
τικὰ ἐργαστήρια καὶ ἕτερα τοῦ δημοσίου εἰσίν. εἰ καὶ ἡ χρῆσις αὐτῶν ἰδιωτική.
ὁ οὖν πιπράσκων αὐτά, οὐ τὸ ἔδαφος· ἀλλὰ τὸ δίκαιον πιπράσκει. ἀνάγν. καὶ
β΄ ξ΄ τ. μθ΄ κεφ. β΄ ἐν τῷ φ. Ἐὰν ἐπὶ κ΄ ἔτη μὴ καταδικάσῃ ὁ δημόσιος τὰ τοῦ ἀ-
ναξιωθέντος πράγματα· ἐκβάλλεται παραγραφῇ παρ' αὐτοῦ καὶ τῶν αὐτοῦ δι-
αδόχων:~ Περὶ τῶν δημόσια χρήματα ὑφαιρουμένων. ἢ εἰς
τὰς ἰδίας χρείας ἐκδαπανώντων· ἢ ὅλως νοσφισαμένων· ἢ δι' ἄλλου
ἐν αὐτοῖς ποιησάντων· ἢ ἐν τῷ ἄρχειν, κλοπήν τινα πεπραχότων. ἀνάγν.
β΄ ξ΄ τ. με΄. τελωνὸς ἐν τῷ α΄ κεφ. φ.:~

Ἡ ποινὴ τοῦ δεπεκουλάτους. περὶ ὁσιώσεως ἐστι. καὶ ἐπάγει πάσης τῆς περὶ ἑτέρας
καταστάσεως ἐναλλαγήν καὶ ἀπώλειαν τῆς οὐσίας. κινεῖται δὲ κατὰ τοῦ ὑφῃρη-
μένου ἐκ τῶν ἱερῶν ἢ μνημείων ἢ δημοσίων χρημάτων. ἢ ἐκτρέψαντος πρὸς
ἰδίας χρείας πλὴν τῶν ἀπὸ νόμου διατεταγμένων. καὶ τοῦ μίξαντος τῷ δημο-
σίῳ χρυσῷ ἢ ἀργύρῳ χαλκόν, ἢ ἕτερον τι βλάπτον αὐτό. Ἐν τῷ δ΄ γ΄ κεφ. Τῷ
δερεσιδούης κατέχεται ὁ δημόσια χρήματα λαβὼν εἰς τινα χρείαν. καὶ μὴ
περὶ αὐτὴν δαπανήσας. ἀλλ' εἰς ἑτέραν παρακρατήσας. Ἐν τῷ δ΄ η΄ κεφ. ἡ κλοπὴ τῶν
ὑφῃρημένων δημόσια ἢ ἱερὰ χρήματα καταδίκη, τουτέστιν ὁ περὶ ὁσιώσεως.
μετὰ πενταετίαν τοῦ ἁμαρτηθῆναι, οὐ κινεῖται. Ἐν τῷ δ΄ ις΄ κεφ. Ἐὰν ἄρχοντες
ἐν καιρῷ τῆς ἀρχῆς δημόσια χρήματα κλέψωσι. καὶ αὐτοὶ κατέχεσθωσαν

ἀνάγν. καὶ β΄ ν α΄ τ. ι΄ κεφ. ιβ΄. ἐπὶ ἐρημίας ἐν τῷ περὶ διὰ τὰς πολιτείας:~

περὶ τούτων τῶν χρόνων ζήτει ἐν τῷ περὶ ἀγορασίας καὶ πράσεως:~

ιβ

κεφαλικῇ τιμωρίᾳ. καὶ ὑπουργήσαντες αὐτοῖς ἐν τῷ παραπτώματι καὶ ὑποδε-
ξάμενοι τὰ παρ' αὐτῶν ὑποκλαπέντα:-

ιγ΄ Περὶ διαθηκῶν, καὶ διατιθεμένων· καὶ τίνες οὐ δύνανται διατίθεσθαι ἢ κωλύονται μαρτυρεῖν διαθήκῃ. βιβλ. λε΄ τί. α΄. ὁ τίτλος ἐν τῷ α΄ κεφ. φησίν:-

Διαθήκη ἐστὶ δικαίου βούλησις, ὧν τις θέλει μετὰ θάνατον αὐτοῦ γενέσθαι. Ἐν δὲ τῷ γ΄ κεφ. ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, οὐ μὴν τὸ σῶμα ἐρρῶσθαι. Ἐν δὲ τῷ ς΄ κεφ. οὐδεὶς ἐν διαθήκῃ δύναται λέγειν μὴ κρατεῖν ἐν αὐτῇ τοὺς νόμους. Ἐν δὲ τῷ ζ΄ κεφ. ὁ ἄρρην πληρώσας τὰ ιδ΄ ἔτη διατίθεται. ἡ δὲ θήλεια τὰ ιβ΄. Ἐν δὲ τῷ η΄ κεφ. ὁ ὑπεξούσιος οὔτε κελεύσει τοῦ πατρὸς εἰς τὰ παγανικὰ πεκούλια διατίθεται. Ἐν δὲ τῷ θ΄ κεφ. ὁ κωφὸς καὶ ἄλαλος, οὐ διατίθεται. ἡ δὲ προγεγραμμένη, ἔρρωται. δύναται δὲ καὶ ἐν τῇ νόσῳ διατίθεσθαι

περὶ αἰχμαλώτων:- βασιλέως ἐπιτρέποντος. ἡ ἐν αἰχμαλωσίᾳ γενομένη διαθήκη, οὐκ ἔρρωται. κἂν ὑποστρέψῃ ὁ αἰχμάλωτος. ὁ περιορισθεὶς, οὐ διατίθεται· οὔτε ἡ προγενο-

περὶ περιορισθέντος:- μένη ἰσχύει. δίδοται γὰρ καλοῦσιν ἢ ἀνιοῦσιν. ἡ δημοσιευθεῖσα ἡ οὐσία αὐτοῦ. ἢ ἄπορος ὢν, παραχωρεῖται τοῖς δανεισταῖς. τὰ αὐτὰ καὶ ἐπὶ τῶν μεταλλιζομένων. καὶ τῶν ξίφει ἢ θηρίοις ὑποβληθῆναι καταδικαζομένων. ἀπολλύουσι γὰρ καὶ τὴν παρρησίαν καὶ τὴν περιουσίαν. τοῦ δὲ ἐξορίστου καὶ τοῦ ἐν φυλακῇ περὶ καταδίκης τελευτήσαντος καὶ τοῦ χρεωκοπήσαντος, ἔρρωται ἡ δι-

περὶ αἰχμαλώτου:- αθήκη. Ἐν δὲ τῷ ιβ΄ κεφ. ἡ τοῦ αἰχμαλώτου διαθήκη, ὅτε ἔτι μὴ γέγονεν αἰχμάλωτος ἔρρωται. Ἐν δὲ τῷ ιε΄ κεφ. οἱ πλανώμενοι καὶ οἱ ἀμφιβάλλοντες περὶ τὴν ἑαυτῶν κατάστασιν, οὐ διατίθενται. Ἐν δὲ τῷ ιη΄ κεφ. ὁ ἐν ἀσθενείᾳ τοῦ σώματος παραφρονήσας, οὐ διατίθεται ἐν τῇ παραφροσύνῃ. Ἐν δὲ τῷ ιθ΄ κεφ.

περὶ ἀσώτου:- ὁ ἄσωτος οὔτε διατίθεται· οὔτε μαρτυρεῖν ἐν διαθήκῃ δύναται· οὔτε ὁ διὰ φαμοῦσον καταδικασθείς. Ἐν δὲ τῷ κα΄ κεφ. ὁ κληρονόμος οὐ δύναται μαρτυρεῖν ἐν διαθήκῃ· ὁ δὲ λεγατάριος καὶ ὁ ἐπίτροπος διδόμενος δύναται. Ἐν δὲ τῷ ϛ΄ κεφ. ἐὰν ἀλλάξαι τεθῇ μετὰ τὸ πληρωθῆναι τὴν διαθήκην, πάντως ἐναλλάττεται. εἰ δέ τι ἀσφαλὲς ἐλέχθη ἢ ἐγράφη· δύναται διὰ προσθήκης αὐτὸ ἀφανίζειν. Ἐν δὲ τῷ κβ΄ κεφ. καὶ πατὴρ καὶ πολλοὶ αὐτοῦ ὑπεξούσιοι, ἅμα μαρτυρεῖν ἐν διαθήκῃ δύνανται. καλῶς σφραγίζει ὁ μάρτυς δακτυλίῳ τοῦ διατιθεμένου καὶ ἀλλοτρίῳ. ὁ μάρτυς σφραγίσας καὶ μὴ ὑπογράψας ἢ μὴ σφραγίσας, δοκεῖ μὴ παρεῖναι. Ἐν δὲ τῷ κγ΄ κεφ. καὶ ἐν νυκτὶ σφραγίζει

καὶ ὑπογράφεται διαθήκη· σφραγισθῆναι διαθήκη λέγεται· ὃ καὶ τὸ παννίον ἐν ᾧ ἐμβάλλεται σφραγισθῇ. ἐν τῷ αὐτῷ κα' κεφ. ἔρρωται ἡ διαθήκη ἣν ὁ διαθέμενος σφραγῖδας προσκολλάσειν· ὑπὸ ζ' ἢ ε' μαρτύρων ἀνασφραγισθῆναι. ἐν τῷ αὐτῷ κς' κεφ. ὁ κωλυόμενος διατίθεσθαι οὔτε μαρτυρεῖ ἐν διαθήκῃ. ἐν τῷ αὐτῷ κζ' κεφ. ὁ γραφεὺς τῆς διαθήκης, καλῶς ἐν αὐτῇ μαρτυρεῖ· καὶ ἀλλότριος δοῦλος, καλῶς γράφει τὴν διαθήκην. ἐν τῷ αὐτῷ λα' κεφ. ἕκαστος τῶν μαρτύρων ἰδιοχείρως δηλούτω τίς ἐστιν καὶ τίνος ἐν τῇ διαθήκῃ ὑπέγραψεν. αὕτη καὶ τὸ β' ἐν ᾧ διαλαμβάνεται περὶ διαθήκης μυστικῆς· καὶ περὶ ἀτελοῦς· καὶ περὶ ἀγράφου· καὶ περὶ δευτέρας· καὶ ποίῳ τρόπῳ αἱ διαθῆκαι συνίστανται. δίγενος ἐν τῷ ϛ' κεφ. φη. ἀπὸ ἀτελοῦς διαθήκης· μήτε βασιλεὺς κληρονομείτω. ἐν τῷ αὐτῷ γ' κεφ. φη. ἐὰν τὸ κύριον ὄνομα, περὶ τὸ γενικὸν καὶ τὴν πατρωνυμίαν. ἢ τὴν προσηγορίαν τοῦ κληρονόμου γένηται πλάνη· δῆλον δὲ ὅτι περὶ τίνος ὁ διαθέμενος ἐνενόησεν· ἔρρωται ἡ διαθήκη. ἐν τῷ αὐτῷ ζ' κεφ. δεδιότες οἱ μάρτυρες πλησιάσαι τῷ διατιθεμένῳ διὰ τὸ μὴ τῆς νόσου μεταλαβεῖν· συγχωροῦνται κεχωρισμένως ἐξ αὐτοῦ σφραγίσαι τὴν διαθήκην. ἐν τῷ αὐτῷ η' κεφ. ἐὰν οἱ μάρτυρες ἐπὶ ὄψεσι τοῦ διατιθεμένου σφραγίσωσι τὴν διαθήκην, ἄχρηστός ἐστιν· εἰ μὴ ἄρα προνόμιον ἢ συνήθειά ἐστιν ἐν ἐκείνῃ τῇ πόλει· ὥστε μὴ ἐπὶ ὄψεσι τοῦ διατιθεμένου τὰς σφραγῖδας ἐπιτίθεσθαι. ἐν τῷ αὐτῷ ιγ' κεφ. ἡ διάταξις κελεύει μὴ πάντως ἀνάγκην εἶναι τῷ διατιθεμένῳ παρόντων τῶν μαρτύρων ὑπαγορεύειν τὴν διαθήκην· ἀλλ' ἐξεῖναι αὐτῷ καὶ ἀπόντων αὐτῶν ὑπαγορεῦσαι καὶ γράψαι· ἵνα μόνον παραγενομένων αὐτῶν ἐφ' ᾧ σφραγίσαι προσομολογήσῃ τὴν διαθήκην ἰδίαν εἶναι· καὶ ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ σφραγίσωσιν οἱ μάρτυρες καὶ ὑπογράψωσιν· ἡ γὰρ μὴ οὕτω περαιωθεῖσα διαθήκη, ἀτελής ἐστιν· ἐξ ἀτελοῦς δὲ διαθήκης οὐδεὶς δύναται κληρονομεῖν· εἰ μὴ ἄρα οἱ καλοῦντες τοὺς ἐκ τῆς φύσεως ἀνιόντας. εἰ δὲ τοῖς παισὶν ἐξωτικὸν συμμέμικται πρόσωπον· ὅσον μὲν εἰς τοὺς παῖδας, ἔρρωται ἡ διαθήκη· ὅσον δὲ εἰς τὸν ἐξωτικόν, ἀνυπόστατός ἐστιν. ἐν τῷ αὐτῷ ιζ' κεφ. εἰ δὲ ἀγράφως τις διατίθεται· πάντως ἐπὶ τῶν αὐτῶν μαρτύρων ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ τὴν διαθήκην ἀγράφως ποιείτω· ἀκουόντων δηλαδὴ τῶν μαρτύρων. εἰ δέ τις ποιήσας πρώτην διαθήκην, δευτέραν ποιῆσαι βουληθῇ· μὴ ἄλλως ἀφανιζέσθω ἡ προτέρα· εἰ μὴ πρότερον νομίμως ἡ δευτέρα γένηται διαθήκη· εἰ μὴ ἄρα ἐν τῇ προτέρᾳ διαθήκῃ γραφέντων τινῶν, οἵτινες ἐξ ἀδιαθέτου πρὸς τὴν τοῦ διαθεμένου κληρονομίαν ἢ τὴν διαδοχὴν ἦλθον

περὶ μυστικῆς διαθήκης:–

ὅτι ἐστιν ἀτελὴς διαθήκη:–

περὶ ἀγράφου διαθήκης:–

τὸ δὴ ἀδιώρατον, ἐν τῇ δευτέρᾳ βουλήσει ὁ διατιθέμενος, τούτους γράψαι ἠθέλησεν. οἵτινες ἐξ ἀδιαθέτου πρὸς τὴν αὐτοῦ κληρονομίαν καλοῦνται. ἐν τούτῳ γὰρ τῷ θέματι, ἡ καὶ ἄλλως δοκεῖ ἡ δευτέρα γραφή, ἀσθενούσης τῆς πρώτης διαθήκης τὴν δευτέραν αὐτοῦ βούλησιν. οὐχ ὡς διαθήκην. ἀλλ' ὡς βούλησιν ἀδιαθέτου ἰσχύειν θεσπίζομεν. ἐν ᾗ βουλήσει ε΄ μαρτύρων ὑπομνημάτων καταθέσεις ἀρκοῦσιν. οὐδενὸς μὴ γενομένου· ἰσχύειν τὴν πρώτην διαθήκην. ἡ καὶ οἱ ἐν αὐτῇ γεγραμμένοι δοκοῦσιν ἐξωτικοί. ζήτει δὲ περὶ αὐτῶν· καὶ ἑλληνικοῖς ῥήμασι διατίθεσθαι. ἐν δὲ τῷ κ΄ κεφ. ἐὰν παραλεύσωνται οἱ μάρτυρες καὶ τὴν ἰδίαν βούλησιν ὁ διατιθέμενος εἴπῃ· ἔρρωται ἡ ἄγραφος διαθήκη· καὶ χωρὶς τοῦ εἰπεῖν αὐτὸν ὅτι ἐπὶ τούτῳ μετεκαλέσατο τοὺς μάρτυρας, ἐπὶ τῷ ἀγράφως διατίθεσθαι. ἐν δὲ τῷ κα΄ κεφ. μὴ ἀναιρείσθω τῇ τῆς δεκαετίας παραγραφῇ ἡ διαθήκη. ἡ μὴ ἄρα τῆς γενομένης ἑτέρας ἐγγράφου ἐναντίαν γνώμην τοῦ διατιθεμένου δηλούσης, ἐπὶ ζ΄ ἢ ε΄ μαρτύρων. ἐν δὲ τῷ κγ΄ κεφ. ἐὰν δέ τις δι' ἑαυτοῦ γράφῃ τὴν διαθήκην· μὴ χρεία ἔσω τὸν αὐτὸν ὑπογράφειν. μὴ ἕτερον ὑπὲρ ἑαυτοῦ. ἀλλὰ μόνον τῶν ἐφεξῆς πληρουμένων. ἐρρώσθω ἡ διαθήκη. ἐν δὲ τῷ κε΄ κεφ. αἱ διαθῆκαι ἐν πάσῃ τῇ πόλει. καὶ πᾶσι τοῖς κάστροις τοῖς ῥωμαϊκοῖς. ἔνθα καὶ γραμματέων ἐστὶ δόσις καὶ νόμων. κατὰ τὴν ἠρημένην παρατήρησιν ὀφείλουσι γίνεσθαι. ἐν δὲ τοῖς τόποις ἐν οἷς σπανίως ἔμπειροι γραμμάτων ἄνδρες εὑρίσκονται. τὴν τοῦ τόπου συνήθειαν ἀντὶ νόμου δεχόμεθα. ἀλλ' ἐπεὶ οὐκ ἔστιν ἐν ἐκείνοις τοῖς τόποις ἑπτὰ μαρτύρων γράμματα ἐπισταμένων. τότε καὶ ἀγράφως δεχόμεθα τὰς μαρτυρίας. ἐὰν δὲ ὅλως πλείονες μάρτυρες οὐχ εὑρίσκονται. ε΄ μάρτυρες ἀρκοῦσιν. ἥττονες δὲ οὐδαμῶς. εἰ δέ τινες ἐκ τῶν μαρτύρων ἴσασι γράμματα, οἱ εἰδότες ὑπὲρ τῶν ἀγνοούντων. παρόντων αὐτῶν ὑπογραφέτωσαν. ἵνα μέντοι ἴσασιν οἱ μάρτυρες τὴν βούλησιν τοῦ τελευτῶντος καὶ μετὰ θάνατον αὐτοῦ ἐνωμότως καταθῶνται τὰ παρ' αὐτοῦ διατυπωθέντα. οὐ γάρ ἐστιν εὔλογον καὶ ἀγράφους αὐτοὺς μαρτυρεῖν. καὶ μὴ δὲ εἰδέναι τὴν τοῦ τελευτῶντος βούλησιν. ἀνάγνωθι τὸ γ΄ ἐν ᾧ διαλαμβάνει περὶ τῶν δυναμένων ποιεῖν διαθήκην καὶ τῶν μὴ δυναμένων. οὗτινος ἐν τῷ ε΄ κεφ. φησί· ἐάν τις ἐν ὀργῇ διέθετο. ὅτε δὲ ἀπεχθάνετο ἑαυτῷ οὐ ζωῆς διὰ παθήματός τινος· ἀλλ' ἢ ὡς τὴν ζωὴν ἀποστρεφόμενος. ἢ ὑπὸ μανίας ἢ λύπης κατεχόμενος, ἔρρωται ἡ διαθήκη αὐτοῦ. εἰ δὲ τῆς μελλούσης τιμωρίας φόβῳ δι' ἑκουσίου θανάτου τὴν κόλασιν προανέλεξεν, βεβαίαν τὴν

λʹ.

βούλησιν αὐτοῦ φυλάττεσθαι οἱ νόμοι κωλύουσιν. Ἐν τῷ δʹ τῷ ηʹ κεφ. Ἐὰν τυ- περὶ τυφλ.
φλὸς ἄγραφος διατίθηται· παρόντων ζʹ ἢ ηʹ μαρτύρων καὶ ταβουλαρίου, προ-
λεγέτω ὅτι ἐστὶν ὃ διατίθεσθαι μέλλει, συγκαλέσας αὐτούς· καὶ οὕτως ἐκφωνείτω τὸ ὄνο-
μα καὶ τὰ σημεῖα· καὶ τὰ ἀξιώματα τῶν κληρονόμων· καὶ ἐκ ποίου μέρους αὐ-
τοὺς γράφει· καὶ τί βούλεται ἕκαστον λαβεῖν λεγάτον ἢ φιδεικομμισσάριον.
καὶ ἐὰν πάντα ταῦτα ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ λεχθῶσι, καὶ συγγραφῶ-
σιν ὑπὸ τοῦ ταβουλαρίου, εἶτα ὄψει τῶν ζʹ ἢ ηʹ μαρτύρων ὑπογραφόντων καὶ
αὐτῶν τῶν μαρτύρων καὶ σφραγιζόντων· καὶ αὐτοῦ τοῦ ταβουλαρίου σὺν ἐ-
κείνοις, ἐχέτω βέβαιον ἡ διαθήκη. Τὸ δʹ αὐτὸ ἔστω· καὶ μὴ διαθήκην ἀλλὰ
κωδίκελλον βούληται ποιῆσαι· εἴτε ἔγγραφος, καὶ τὰ ἑξῆς. αὐτ. εἰς τὸ πλά-
τος τῶν βασιλικῶν· αὐτ. κεφ. θʹ. Ἐρρώσθω ἡ μεταξὺ τῆς μανίας ἐν τοῖς διαλείμ-
μασι διαθήκη. Ζήτει ἄρα εἰς ἐν αὐτῷ δεῖ διατίθεσθαι καὶ τελεσθῆ. Ἐν τῷ α-
ιʹ κεφ. Ὁ κατ' αὐτὸν καὶ κωφὸς καὶ ἄλαλος ὢν κατὰ φύσιν· μὴ δὲ ἐν τελευταίᾳ δι-
ατυπούτω βουλήσει· μὴ δὲ θανάτου αἰτίᾳ διαιρείσθω· οὔτε δὲ τελευταίαν καθ'
οἱονδήποτε τρόπον ἐπιλύθησιν. ὁ δὲ ἐκ πάθους τοιοῦτος γενόμενος, γράμματα
εἰδὼς δι' αὐτῶν διατυπούτω ὅσα καὶ βούλεται· εἰ μὴ τοῦτο μόνον ἐστὶ κ. τὰ δ.
δύο δι' αὐτῶν δὲ κωφὸς κατὰ φύσιν· μὴ δὲ ἐν κωλύεσθαι τὴν τελευταίαν
διατυποῦν· καὶ πολλῷ πλέον ὁ μὴ κατὰ φύσιν, ἀλλὰ ἀπὸ πάθους κωφός.
ὁ δὲ μὴ κωφὸς μὲν ἄλαλος δὲ μόνον ἢ κατὰ φύσιν. εἰ καὶ ἀπὸ πάθους ἐὰν
γράμματα εἰδὼς διαθήκην γράψῃ· ἢ ἕτερον τὴν διατυπώσῃ, ἐρρώσθω τὸ γινό-
μενον. τὰ αὐτὰ καὶ ἐπὶ θηλειῶν κρατείτω. Ἐν τῷ δʹ ιαʹ κεφ. Ὁ ὑπεξούσιος, ἢ ὑ- περὶ ὑπεξουσ.
πεξουσίαν οἱουδήποτε ὄντα βαθμοῦ· μὴ δὲ ἐν τοῖς ἀπεστρατευμένοις δια-
τυποῦσθαι. ὅτι δὲ ἰδιόκτητον ἔχουσι, παρεκούλιον τῆς διαθήκης ἐκλαβούμενοι.
αὐτ. καὶ τ. κʹ κεφ. εʹ δηʹ εʹ· καὶ τ. ιζʹ κεφ. αʹ δηʹ εʹ τ. κʹ κεφ. εʹ ἐν ᾧ φηʹ. Εἰ μέλλε-
λεύειν τις ποιεῖσθαι βούλησιν· οὐκ ἀκεραίαν τὴν πρώτην. ὥστε ἐξὸν διαρρῆξαι τὸ γι-
νόμενον, καὶ ἑτέραν ποιήσασθαι βούλησιν· δηλοῦται τὴν τελευταίαν αὐτοῦ γνώ-
μην. αὐτ. καὶ τ. καʹ. ἐν ᾧ διαλαμβάνεται περὶ διαθήκης στρατιωτῶν. ὅτι
νος ἐν ᾧ δʹ τ. κεφ. φηʹ. Ἐὰν στρατιώτης ἀρξάμενος παγανικῶς διατίθεσθαι μὴ
πληρώσῃ στρατιωτικῶς, ἔρρωται· καὶ ὁ παγανικῶς, ἔρρωται. ἐπὶ τὴν διαθή-
κην αὐτοῦ. τάξιν ἔχει κωδικέλλου· ἔρρωται καὶ ἀτελὴς δὲ εἰσποιουμένη δια-
θήκη. ἰσχύει γὰρ ὁ κωδίκελλος. Ἐν τῷ δʹ ιζʹ κεφ. Ἡ δημοσίου ὡς ἡ στρατιωτι-
κὴ διαθήκη καὶ μετὰ ἄφεσιν, ἕως ἐνιαυτοῦ κρατεῖ. Περὶ τῶν ζώντων πλή-

ρες ἔρρωνται, οὐ μὴν περὶ τῶν δεχομένων· οἷον στρατιωτῶν εἶναι καὶ τῶν ὁμοίων. Ἐν τῷ αὐτῷ κα' κεφ. τῶν ἀτίμως ἀφεθέντων αἱ στρατιωτικαὶ διαθῆκαι. καὶ πρὸς ἡ τιμὴ ἀκυροῦνται· καὶ οὔτε οἱ ὑπεξούσιοι ποιοῦντες ἐν τοῖς ἰδιοκτήτοις διατίθενται. τῶν μέντοι εὐτίμως καὶ τῶν διὰ τὴν ἀσθένειαν ἀφιεμένων αἱ διαθῆκαι, ἕως ἐνιαυτοῦ ἰσχύουσιν. Ἐν τῷ αὐτῷ κζ' κεφ. τοῦ διὰ νόσον ἢ διὰ μῖσος ζωῆς ἑαυτὸν ἀναιροῦντος στρατιώτου ἡ κληρονομία· ἢ τοῖς γραπτοῖς κληρονόμοις ἢ τοῖς ἐξ ἀδιαθέτου ἁρμόζει. καὶ ἕως ἐνιαυτοῦ τοῦ ἀφεθῆναι ἤρξατο ποιεῖν οὐκ ἐπλήρωσε, τὴν περὶ γενομένην στρατιωτικὴν ῥητῶς· οὐ μὴν τὴν κοινῷ νόμῳ γενομένην, ἐρρῶσθαι δὲ καὶ αὐτήν. ὑπὲρ ἔτι στρατευόμενος ἐποίησε τὴν ἄλλην. Ἐν τῷ αὐτῷ κη' κεφ. καὶ ἡ ἄλλης τοῦ στρατιώτου διαθήκη ἔρρωται. καὶ ἐὰν πολλὰ ἐν διαφόροις ἡμέραις γράψῃ, πολλάκις ποιεῖται διαθήκην δοκεῖ δὲ πάντων τὴν ὕστερον. Ἐν τῷ αὐτῷ λγ' κεφ. ἐὰν ὑπαγορεύσῃ στρατιώτης διαθήκην, καὶ μὴ φθάσῃ γραφῆναι· δεχόμεθα τὰ σημεῖα εἰς διαθήκην. ἐὰν μέντοι νομίμως ἀποδειχθῇ οὕτω ταῦτα γεγενῆσθαι. Ἐν τῷ αὐτῷ λθ' κεφ. καὶ οἱ μὴ δυνάμενοι στρατιωτικῶς διατίθεσθαι· ὅτε ἄρχοντες ἐπαρχιῶν εἰσιν· ὅτε ἕτεροι ἐὰν ἐν τῷ πολέμῳ καταληφθέντες ἀποθάνωσι· διατίθενται καὶ ὡς ἂν θέλωσιν, ἢ ὡς ἂν δύνανται. Ἐν τῷ αὐτῷ μ' κεφ. καὶ οἱ μὴ ὄντες στρατιῶται, μήτε στρατιωτικῶς διατίθεσθαι δυνάμενοι· ἐὰν ἐν πολεμουμένῳ τόπῳ καταληφθῶσι, καὶ ἀποτελευτήσωσιν· ὡς βούλονται ἢ δύνανται τρόπῳ διατίθενται. εἴτε ἄρχοντες εἰσὶν ἐπαρχίας ἢ πρεσβευταί· ἢ τις ἕτερος μὴ δυνάμενος στρατιωτικῶς διατίθεσθαι. Ἐν τῷ αὐτῷ να' κεφ. οἱ στρατιῶται ἐν στρατοπέδῳ διάγοντες· ἐὰν τὰς γυναῖκας ἢ τοὺς παῖδας· ἢ τοὺς φίλους ἢ τοὺς συστρατιώτας· ἢ ὡς ἐν ἐσχατιᾷ οἱουσδήποτε γένους ἀνθρώπους ἀγαπῶσι βουληθῶσιν· τὰς τῆς ἐσχάτης βουλήσεως διατάξεις οἱῳδήποτε τρόπῳ δύνανται καὶ βούλονται διατίθεσθαι. καὶ μὴν δὲ τῶν γαμετῶν αὐτῶν ἡνίκα τὴν βούλησιν τοῦ πατρὸς ἀποφέρονται, τὸ ἀξίωμα· ἢ ἡ ἐλευθερία ζητεῖται· ὅθεν ὥσπερ τοῖς τοῦ νόμου χωρισμοῖς ἔξεστι καὶ ἀνέξεστιν. ὅτε ἐν τῇ ξιφοθήκῃ ἢ τῇ ἀσπίδι γράμμασιν τῷ ἰδίῳ αἵματι ἐρυθραινομένοις σημειώσῃ. ὅτε εἰς τὸν κονιορτὸν τουτέστιν εἰς τὴν γῆν· ἐγχαράξῃ τῷ ξίφει ἐν αὐτῷ τῷ καιρῷ ἐν ᾧ ἐν τῷ πολέμῳ τῆς ζωῆς τὸν κλῆρον καταλιμπάνει. τὴν τοιαύτην βούλησιν ἰσχυρὰν εἶναι προσήκει. Ἐν τῷ αὐτῷ .. κεφ. θεσπίζομεν τοῖς μόνοις, οἵτινες ἐν στρατοπέδοις ἐπὶ ἀπασχολούμενοι, τὴν μνημονευθεῖσαν φιλοτιμηθῆναι περὶ τὰς ἐσχάτας βουλήσεις διεργεῦσαι. ἀλλ' καὶ ὁ λθ' τ' α' κεφ. τῶν ε' τ' β'

κεφ. ιθ΄ θ΄. ἀνάγν. καὶ β΄ λε΄ τ. ια΄ κεφ. κγ΄ ἐν τῷ θεμ. περὶ δευτέρας διαθήκης.
ιγ΄ Δευτέρα διαθήκη κἂν ἐπὶ δήλοις πράγμασι γένηται(?) ἐν ἴσασιν(?). ἔρρωται καὶ τὴν πρώτην κἂν ἀνατρέπει. εἰ δὲ εἶπεν ὁ διαθέμενος ἐν τῇ β΄ τὴν α΄ ἐρρῶσθαι· καὶ οἱ ἐν τῇ δευτέρᾳ κληρονόμοι, τοὺς ἐν τῇ πρώτῃ κατέχονται ἵνα τὴν κληρονομίαν ἀποκαταστήσωσιν αὐτοῖς. περικρατοῦσι τὰ πράγματα ἐξ ὧν ἐγράφησαν κληρονόμοι. καὶ τὸ ἐλλεῖπον ἐπὶ τοῦ φαλκιδίου, ταῦτα ἐν τῷ μηδενὶ δίκως ἐναντίον, ἐν τῇ δευτέρᾳ γέγραπται διαθήκῃ :—

Περὶ τῶν κωλυόντων διαθήκην γενέσθαι. ἀνάγν. β΄ νε΄ τ. δ΄. οὗτινος ἐν τῷ α΄ κεφ. φησίν :— ιδ΄

Ὁ κωλύσας γενέσθαι ἢ ἀλλάξαι διαθήκην ὡς ἐξ ἀδιαθέτου καλούμενος, ἢ ἐν προτέρᾳ γεγραμμένος, ἐκπίπτει τοῦ κλήρου καὶ δημεύεται. ἐν δὲ τῷ κβ΄ κεφ. ὁ κατὰ δόλον κωλύσας τοὺς μάρτυρας εἰσελθεῖν, ἐκπίπτει τοῦ κλήρου. οὐ μὴν ἐὰν μὴ αὐτός, ἀδελφὸς αὐτοῦ κωλύσῃ. ἐν δὲ τῷ δ΄ κεφ. ὁ ἀναγκάσας τινά, ἢ ἑαυτόν, ἢ ἕτερόν τινα γράψαι κληρονόμον, ὑπόκειται χρηματικῶς καὶ ἐγκληματικῶς. ἐν δὲ τῷ ζ΄ κεφ. ἐάν τις κωλύσῃ τινὰ διαθέσθαι, ἢ ἀρξάμενον αὐτὸν διατίθεσθαι κωλύσῃ πληρῶσαι τὴν διαθήκην, κατέχεται ἐξ(?) καὶ ὃ ζημιωθείη(?) προφάσει τῆς κωλύσεως. καὶ εἴ τι δὲ ἄλλο πλεονεκτεῖ(?). δημεύεται καὶ αὐτὸς ἐξορίζεται :—

Περὶ διαθηκῶν ποίῳ τύπῳ ἀνοίγονται, καὶ μεταγράφονται. ἀνάγν. β΄ λε΄ τ. ς΄. οὗτινος ἐν τῷ α΄ κεφ. φη. :— ιε΄

Ἕκαστος βουλόμενος ἀντίγραφον λαμβάνει θεωρῆσαι(?) καὶ μεταγράψασθαι οἰκείῳ ὀνόματι καὶ ἀναλώματι τὴν διαθήκην. χωρὶς γὰρ τοῦ προκομισθῆναι αὐτήν, οὔτε ἔξω δικαστηρίου διαγνῶναι(?) περὶ τῶν ἐν αὐτῇ, οὔτε ἐν δικαστηρίῳ ζητεῖσθαι τὸ ἀληθὲς δύναται. ἐν δὲ τῷ β΄ κεφ. ἐάν τις ἀρνῆται τὴν ἰδίαν σφραγῖδα, ὕποπτος μὲν ἐστιν ἡ διαθήκη. ἀνοίγεται δέ. ἐν δὲ τῷ δ΄ κεφ. φη. ὅτε διαθήκη ἐν πραιτωρίῳ(?) ἀνοίγεται διὰ τοῦ δικαστοῦ· ἀναγκάζονται παρεῖναι οἱ μάρτυρες καὶ τὰς οἰκείας ἐπιγινώσκειν σφραγῖδας, ἢ ἀρνεῖσθαι αὐτάς. ἐν δὲ τῷ ε΄ κεφ. τοῦ πλέονος μέρους τῶν μαρτύρων συνεισιόντων(?), ἀποσφραγίζεται καὶ ἀναγινώσκεται. ἐν δὲ τῷ ιβ΄ κεφ. καὶ μὴ παρόντων μαρτύρων, ἐπιτρέπεται ὁ ἄρχων ἐπὶ ἐντίμων ἀνδρῶν ἐμφανισθῆναι αὐτήν. καὶ πάλιν ἐξ αὐτοῦ σφραγισθῆναι :—

Περὶ τῶν ἐν διαθήκῃ χαραχθέντων(?). ἢ περικλωσθέντων(?). ἢ ἀπαλειφθέντων. ἀνάγν. β΄ λε΄ τ. ζ΄ οὗτινος ἐν τῷ α΄ κεφ. φη. :— ις΄

Τὰ παρεγχαραχθέντα, ἢ παρεσφραγισθέντα, ἢ ἀπαλειφθέντα· ἐξ ἧς ἡ περὶ οὐσίαν, ἢ ἐκ δόσιν τοῦ διατεθειμένου. ῥᾷόν ἐστιν, εἰ δὲ ἄλλως, ἔρρωται· καὶ ἐν ἑνὶ μέρει τῆς διαθήκης ὑπὲρ αὐτοῦ ταῦτα πεποιηκέναι, τότε δὲ ἀπαιτοῦνται. ὅτε δὲ θέσθαι καὶ ἀναγινώσκεσθαι δύνανται, ἢ ἀποδειχθῆναι δύνανται. ἀναγινωσκόνται. ἐπειδὴ ἡ διαθήκη, εἰ καὶ μὴ φαίνεται, ἔρρωται αὐτή· ἀλλὰ τοῦτο, ὅτε διὰ τοῦ πληρωθῆναι τὴν διαθήκην τὰ ἐνεχθέντα γέγονε:

ιζ΄ Περὶ διαθήκης ῥηγνυμένης ἀπὸ ἀμνημονεύτων παίδων. ἀν(ὰ) α΄ β΄ λε΄ τ(ίτλος) η΄ κεφ(άλαιον) ζ΄ ἐν τῷ φ(...):

Ἐὰν ὁ υἱὸς ἀμνημόνευτος ἀποθάνῃ, οὐκ ἔρρωται ἡ διαθήκη· καὶ πρὸ τοῦ πατρὸς ἀποθάνῃ· οὔτε ὁ ἡ προσγενομένη. καὶ κεφ. ια΄ ἐν τῷ φ(...). ὁ κελευόμενος ὑπεξούσιος οὐκ ἄλλης ἰδίας ἀναπνέων μετὰ τὸ καὶ ὁ ἐξ ἀναβάσεως, ῥήσσει τὴν διαθήκην. καὶ κεφ. κβ΄ καὶ λ΄ ἐν τοῖς φ(...). τοὺς ὑπεξουσίους δεῖ γράφειν κληρονόμους ἢ ἀποκλήρους· ἐπεὶ ἀμνημόνευτοι γενόμενοι ῥήσσουσι τὴν διαθήκην εἰ μὴ ἐν αἰχμαλωσίᾳ εἰσί. καὶ κεφ. λς΄ ἐν τῷ φ(...). ἐὰν ὑπεξούσιος κυοφορούμενος, ἀμνημόνευτος ἐαθῇ ἐν διαθήκῃ, τεχθῇ δὲ φωνῆεν εἰ μὴ ἄφωνον· ἢ ὅλως ἔξω τεχθεὶς ζῶν· καὶ ἅμα τῷ πεσεῖν ἐν τῷ ἐδάφει τελευτήσῃ ἢ ἐν ταῖς χερσὶ τῆς ἰατρίνης, ῥήσσει τὴν διαθήκην:

ιη΄ Περὶ διαθήκης παρανόμου καὶ ἀκύρου καὶ ῥηγνυμένης. ἀν(ὰ) α΄ β΄ λθ΄ τ(ίτλος) β΄. οὕτως ἐν τῷ α΄ κεφ. φ(...):

Τί ἐστι παράνομος διαθήκη:

Παράνομος λέγεται διαθήκη, ὅτε μὴ κατὰ νόμον γένηται αὐτῇ μηδενός. ὅταν ἀμνημόνευτος γένηται ὁ ὑπεξούσιος ῥηγνυμένη. ὅτε δευτέρα γένηται. ἐξ ἧς ἡ ἀδύνατος κληρονομεῖσθαι ὁ ὑπεξούσιος ἐπιλεχθῇ, ἄκυρος δέ ἐστιν· ὅτε μὴ κληρονομηθῇ ἡ κληρονομία. ἐν δὲ τῷ β΄ κεφ. ἡ ἄλλης δευτέρα, τὴν πρώτην οὐ ῥήσσει. εἰ μὴ στρατιωτική ἐστιν· ἢ τις ἐν αὐτῇ ἐξ ἀδιαθέτου γέγραπται.

Περὶ κυοφόρου:

Ἐν δὲ τῷ γ΄ κεφ. ἐπὶ κυοφορουμένους δὲ ἐν οἰῳδήποτε τρόπῳ ἢ βαθμῷ, ἀποκλήρους ποιεῖν· ἵνα μὴ ἐπαναβαίνοντες, ῥήξωσι τὴν διαθήκην. κυοφορούμενος δέ ἐστιν ὁ μετὰ θάνατον τοῦ πατρὸς τεχθησόμενος, ἢ ἐν ζωῇ αὐτοῦ, μετὰ τὸ γενέσθαι τὴν διαθήκην. ὁ δὲ κυοφορούμενος ῥηγνυμένην ὅτε λεχθῇ.

Περὶ ἀκυρούσης διαθήκης:

Ἐν δὲ τῷ ς΄ κεφ. ἄκυρος γίνεται διαθήκη, ὅταν τὴν ἐλευθερίαν ὁ διαθέμενος ἀπολέσῃ. αἰχμάλωτος ἐκεῖ γενόμενος, ἢ κεφαλικῶς καταδικασθείς. ἀμαρτήματι ψήφῳ, ἄκυρος αὐτοῦ ἡ διαθήκη γίνεται. τοῖς δὲ στρατιώταις καταδικαζομένοις ἀπὸ στρατιωτικοῦ ἐγκλήματος, ἐπιτρέπεται στρατιωτικῶς διατίθεσθαι. ἐ

ἐὰν βουληθῶσιν, ἔρρωται ἡ περιγενομένη τοῦ περιοριζομένου. οὔτε γὰρ ἐξ ἀρχῆς μὲν γίνεται ἄκυρος. ἀλλ' ὅταν ὁ βασιλεὺς τὸ γεγονὸς ἀποδέξηται. τότε γὰρ ὑφίσταται τὴν τῆς καταστάσεως ἐναλλαγήν. αἱ τῶν αἰχμαλώτων αἱ διαθῆκαι, εἰ καὶ γίνονται ἄκυροι. ὅμως διὰ τὸ τελευτῆσαι ἐκεῖ, διὰ τὸν νόμον βεβαιοῦνται:
ἐν τῷ δ΄ θ΄ ζ κεφ. καὶ ὁ διαθέμενος γινόμενος ὑπεξούσιος, ῥήσσει τὴν διαθήκην:

περὶ περιοριζομένου:

Ὑποστρέφουσι βεβαιοῦνται διὰ τοῦ δικαίου τῆς ὑποστροφῆς. εἴ τε

ιθ΄.

Περὶ ἀκαθηκούσης διαθήκης, καὶ παρὰ τίνι ὀφείλει ἡ διαθήκη κατατίθεσθαι. ἀν. βιβ. κβ΄ τ. α΄ κεφ. λβ΄ ἐν τῷ δ΄ θέμ.:

Ἐὰν ζητῆται τίνι ὀφείλει ἡ διαθήκη παρατεθῆναι, ὁ γέρων τοῦ νεωτέρου προκείνεται, καὶ ὁ μείζονος τιμῆς, τοῦ ἥττονος. καὶ ὁ ἀνὴρ τῆς γυναικός. καὶ ὁ εὐγενὴς τοῦ ἀπελευθέρου. ἀν. καὶ βιβ. ιθ΄ τ. α΄ κεφ. γ΄ ἐν τῷ δ΄ θέμ. ἀκαθήκουσαν τις λέγει διαθήκην, ἐν τῷ λέγειν μὴ ὀφείλειν ἀπόκληρον γενέσθαι ἢ ἀμνημόνευτον. οὔτε γὰρ δεῖ τοὺς γονεῖς [illegible] ζημιοῦσι τοὺς παῖδας ἐν ταῖς διαθήκαις. ἀν. καὶ κεφ. λ΄. καὶ μθ΄:

κ΄

Περὶ τῶν διαθήκην ἀνοιγόντων. ἢ μεταγραφόντων. ἢ ἀναγινωσκόντων παρανόμως. ἢ ἀπαλειφόντων. ἢ κρυψάντων. ἢ κλεψάντων. ἢ γραψάντων ἐν αὐτῇ λεγᾶτον. ἢ ἑαυτοῖς ἢ ἑτέρῳ. ἢ ἄλλο τι περὶ αὐτὴν ἁμαρτησάντων. ἀν. βιβ. λε΄ τ. ιε΄ περὶ ζ΄. καὶ κεφ. ιγ΄ ἐν τῷ δ΄ θέμ.:

Ἡ παράνομος τῆς διαθήκης ἄνοιξις καὶ ἔκθεσις, πενταετίᾳ περικλείεται. διεξωτικὸς λέγεται φονεῦσαι. εἰ γὰρ τῆς τῶν καλούντων, διηνεκής ἐστιν ἡ κακοτροπία. καὶ κεφ. κζ΄ ἐν τῷ δ΄ θέμ. ἐὰν πολλῶν ὄντων κληρονόμων, ἀπόντων ἢ ἀγνοούντων, λυθῇ ἀνοιγῇ διαθήκη, τῶν ἰδίων μερῶν οὐκ ἐκπίπτουσιν. ἀν. καὶ βιβ. ξ΄ τ. μα΄ κεφ. θ΄ ἐν τῷ δ΄ θέμ. ὁ κλέψας διαθήκην ἢ κρύψας, ἢ ἁρπάσας ἢ ἀπαλείψας. ἢ ὑποβαλών. ἢ ἀποσφραγίσας, ἢ πλαστεύσας. ἢ τὸν δόλον ἀναγινώσκων. ἢ δόλῳ παρασκευάσας ταῦτα γενέσθαι, τῷ τῆς πλαστογραφίας ἐγκλήματι ὑπόκειται. ἀν. καὶ κεφ. κε΄ ἐν τῷ δ΄ θέμ. ἐὰν υἱὸς ἀπαλείψῃ τὴν πατρῴαν διαθήκην, καὶ ὡς ἐξ ἀδιαθέτου κληρονομήσῃ. κἂν τελευτήσῃ, ἀφαιρεῖται τοῦ κληρονόμου αὐτοῦ, πᾶσα ἡ τοῦ πατρὸς κληρονομία. ἀν. καὶ κεφ. μθ΄ καὶ ξ΄ ἐν τοῖς θέμ. οὐδεὶς δύναται γράψας διαθήκην, ἑαυτῷ προσγράψαι λεγᾶτον. ὁ δὲ ἀνομολογῶν ἀγνοεῖν τὸν νόμον, ἢ παραιτούμενος μὴ λαμβάνειν τὸ καταλειφθὲν ἑαυτῷ, οὐχ ὑποπίπτει τῷ ἀπὸ τοῦ περὶ πλαστογραφίας νόμου τιμωρίᾳ. καὶ κεφ. ξα΄ ἐ΄ ξβ΄ ἐν τοῖς θέμ. κἂν στρατιώτης ἐν διαθήκῃ στρατιώτου γράψας ἑαυτῷ λεγᾶτον, ἰσχυροῦ

Ἀκαθεκτος καὶ ἄπρεπτος μέν ἐστιν, ὅταν [illegible] διαθήκη βάλλεται. ἄκυρος, ὅταν μὴ νομίμως βεβαιωθῇ. ὡς ὅταν μὴ ὑπογραφῇ ἐν ταύτῃ παρὰ τῶν μαρτύρων. ἢ ἐν μιᾷ ὑφῇ γραφῇ ἢ καὶ μὴ σφραγισθῇ. ἢ ὅτε μὴ προσκεκλημένοι εἰσὶν οἱ μάρτυρες. πλαστὴ δὲ ὅταν παρὰ γνώμην τοῦ τεστάτωρος γένηται. ῥηγνυμένη δέ, ὅταν υἱὸς ἀμνημόνευτος ἐάσῃ. ἢ ἔγγονος ἐπαναβῇ. μεμπτὴ δὲ ὅταν ἧττον τοῦ νομίμου μέρους ὑπὲρ γυναικὸς καταλειφθῇ. ἀκαθήκουσα δέ, ὅταν ἀσέμνῳ προσώπῳ ἢ ἀτίμῳ, ἐνστάσεις ἐαθῇ. παράνομος δὲ ὅταν ἐνδεὴς ἐστὶ τῶν νομικῶν παρατηρήσεων. μᾶλλον δὲ ὅταν ὑπὸ τριῶν μαρτύρων ὑπογραφῇ, ἢ καὶ τεσσάρων:

Ἀκαθήκουσαν ποιεῖ διαθήκην, ἡ μέμψις τῆς διαθήκης. χρώματι δὲ ζητεῖ, τὸ ὡς ἐμμεμηνέναι τὸν διαθέμενον, καὶ μὴ καθηκόντως διαθέσθαι. ῥηγνυμένην δὲ παῖς ἀμνημόνευτος ποιεῖ. παράνομον δέ, τὸ παροφθῆναι τι τῶν ἐπεσημασμένων παρὰ τῶν πολιτικῶν νόμων, ἢ τοῦ πραίτωρος. ἢ τῆς διατάξεως. ἄκυρον δέ, τὸ μὴ δύνασθαι τὸν κληρονόμον προσελθεῖν:

τὸ οὐκέτι δεῖ γράψαι· πλὴν οὐκ ἀργεῖ ὁ νόμος ὁ περὶ πλαστογραφίας. ἐὰν τις ὑπαρορῶντες τοῦ διατεθεμένου ἐλευθερίαν ἑαυτῷ προσέγραψεν· ἄπρακτός ἐστιν ἡ ἐλευθερία· πλὴν ἡ τοῦ πλαστοῦ τιμωρία συγκεχώρηται:

ηδ΄ — Περὶ διατεθεμένων τῶν ἐν ἀριθμῷ ἢ καὶ ... ἀπὸ τοῦ ... φησὶν ὁ τῶν ἐν εὐσεβέσιν αἰτίαις καταλιμπανομένων. καὶ ... περὶ ... κλησιῶν κτιζομένων:

**Περὶ διατεθεμένων τῶν ἐν εὐσεβέσιν αἰτίαις καταλιμπανομένων· τουτέστιν ἐπὶ τῷ κτίσαι ἐκκλησίαν ἢ καλλωπίσαι· εἴτε ἐπὶ αἰχμαλώτων ἀναρρύσει, εἴτε ἐπὶ ἀποτροφῇ πενήτων· ἢ γενέσθαι ξενῶνα ἢ ὀρφανοτροφεῖον ἢ πτωχεῖον. ἀνάγνωθι β΄ ε΄ τ΄ ā κεφ. ā ἕως ζ΄ ἐν τοῖς ἑξῆς:**

Εἴ τις κατασκευὴν σεβασμίου εὐκτηρίου ἢ ξενῶνος ἢ πτωχείου ἢ ὀρφανοτροφείου ἢ νοσοκομείου ἢ ἄλλου σεβασμίου οἴκου ἐντείλαιτο ἢ βούλοιτο γενέσθαι διατυπώσει. τὸ εὐκτήριον μὲν ἔσω ε΄ ἐνιαυτῶν πληροῦσθαι κελεύομεν, προνοίᾳ τοῦ τῶν τόπων ἐπισκόπου, καὶ τοῦ πολιτικοῦ ἄρχοντος. τὸν δὲ ξενῶνα καὶ τὸ πτωχεῖον, ἢ ἄλλον σεβάσμιον οἶκον, ἔσω ἑνὸς ἐνιαυτοῦ γίνεσθαι. εἰ δὲ ἐν ἐνιαυτῷ μὴ ποιήσουσιν οἱ κληρονόμοι τὸν ξενῶνα ἢ οἱονδήποτε σεβάσμιον οἶκον ὑπὸ τοῦ διατεθεμένου ὑποτεθέντα γενέσθαι· κελεύομεν τοὺς οἴκους ἢ ἀγοράζειν ἢ μισθοῦσθαι· ὅπου δύναται τὰ κελευσθέντα πληροῦσθαι. ἕως ἂν ὁ ἴδιος σεβάσμιος οἶκος πληρωθῇ. εἰ δὲ ὁ ... καὶ ... εἰ δέ τινες ὑπὲρ ἀναρρύσεως αἰχμαλώτων ἢ ἀποτροφῆς πενήτων τι καταλίποιεν, τῷ τρόπῳ ἅπαντι τὴν τοῦ διατεθεμένου γνώμην πληροῦσθαι. εἰ δὲ μὴ ἰδικῶς ἐπιποίου τόπου πένησι ταῦτα καταλίποιτε, καὶ διατινος χρὴ γενέσθαι τὴν τῶν αἰχμαλώτων ἀνάρρυσιν· παραλαμβάνειν τὰ πράγματα τὸν ὁσιώτατον ἐπίσκοπον τῆς πόλεως ἐν ᾗ τὴν οἴκησιν ὁ διατεθέμενος εἶχε, καὶ τοῖς τῆς αὐτῆς πόλεως διανέμειν. ὁμοίως δὲ καὶ τὸ ὑπὲρ τοῖς αἰχμαλώτοις ἔργον ἀποπληροῦν. εἰ δὲ οἱ ταῦτα ποιεῖν κελευσθέντες ἅπαξ καὶ δὶς παρὰ τῶν ἐπισκόπων ὑπομνησθέντες ὑπερθῶνται τὰ διατυπωθέντα πληροῦσθαι. κελεύομεν τοὺς ἅπαν κέρδος καταλειφθὲν αὐτοῖς παρὰ τοῦ ταῦτα κελεύσαντος ἀπόλλυσθαι. εἰ δὲ ὁ κληρονόμος τὰ εἰς εὐσεβεῖς αἰτίας ἐγκαταλελειμμένα μὴ πληρώσει. λέγων τὴν καταλειφθεῖσαν αὐτῷ περιουσίαν μὴ ἀρκεῖν πρὸς ταῦτα· κελεύομεν πάντας τοὺς ἐκ τοῦ φαλκιδίου κέρδους σχολάζοντας. ὅσον δήποτε εὑρεθῇ ἐν τῇ τοιαύτῃ οὐσίᾳ, παραχωρεῖν προνοίᾳ τοῦ ἐπισκόπου εἰς τὰς αἰτίας εἰς ἃς καταλέλειπται. εἰ δὲ λεγάτα εὐσεβέσιν αἰτίαις καταλειφθῇ παρά τινος, ἔσω μηνῶν ἓξ ἀπὸ τῆς ἐμφανίσεως τῆς διαθήκης ἀεὶ ἐνθρονουμένων παρέχεσθαι. εἰ δὲ ὑπερθῶνται οἱ τούτῳ βεβαρημένοι παρέχειν καὶ καρποὺς καὶ τόκους, καὶ παρὰ νόμιμον ἐπαύξησιν

Σημείωσαι ὅτι ἐν τοῖς τοιούτοις διαθέμασι σχολάζει ὁ φαλκίδιος. φησὶ γὰρ ὅτι τὰς εὐσεβεῖς αἰτίας οὐχ ὑπεξαιρεῖ ὁ φαλκίδιος· οὐ μέσοι:

δ'

ἀπαιτηθῆναι, ἀπὸ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ καταλιπόντος:

περὶ τῆς κατὰ τῆς διαθήκης μέμψεως. καὶ πότε καὶ παρὰ τίνων δύνα- κβ'
ται κινεῖσθαι· ἢ μὴ δύναται· καὶ περὶ προσυπογραφῆς διαθήκης· ἀπὸ
τοῦ λθ' τ. α'· οὗτινος ἐν ἀρχῇ α' κεφ.:

Γονεῖς καὶ παῖδες καὶ ἀδελφοὶ κινοῦσι τὴν κατὰ τῆς διαθήκης μέμψιν· οὐ μὴν
καὶ οἱ λοιποὶ συγγενεῖς. Ἐν τῷ αὐτῷ β' κεφ. ἡ κατὰ τῆς διαθήκης μέμψις, πρόφασιν ἔχουσα ἢ ἔχοντα
τό· τὸ ὡς οὐκ εὖ φρονοῦντα τὸν διαθέμενον· οὐχ ὅτι ταῖς ἀληθείαις παρεφρόνει.
ἢ ἐμεμήνει· ἢ γὰρ ἂν οὐκ ἔρρωτο ἡ διαθήκη. Ἐν τῷ αὐτῷ δ' κεφ. καὶ τοῖς ἐκ θηλυ-
τοῦ ἁρμόζει, ἡ κατὰ τῆς διαθήκης μέμψις· καὶ τοῖς ἐγκυμονουμένοις ὑπεξου-
σίοις ἐν τῷ τελευτᾶν τὸν διαθέμενον, καὶ συγγενέσιν, ἁρμόζει ἡ κατὰ τῆς δια-
θήκης μέμψις, καὶ μετὰ τὴν τελευτὴν τῆς μητρὸς ἐξ ἀναλογίας ἐξενεχθεῖσα.
Ἐν τῷ αὐτῷ ε' κεφ. προσυπογράφεσθαι τὴν διαθήκην ἐστίν· ἐπὶ μὲν τῶν ὑπεξουσίων,
τὸ μόνον ἀπελθεῖν τὴν κίνησιν, ἢ τὸ πλέον τὸ διαμαρτύρασθαι, ἢ λίβελλον
ἐπιδοῦναι. ἐπὶ γὰρ τοῦ ὑπεξουσίου, οὐκ ἀναγκαία ἡ διαμαρτυρία. καὶ ἡ ὑπο-
στρέψεως τῆς κληρονομίας παραίτησις. περὶ δὲ τῶν αὐτεξουσίων προσυπογράφεσθαι τὴν διαθή-
κην ἐστί, τὸ πρᾶξαί τι τῶν εἰρημένων, καὶ ἁρμόζει τοῖς αὐτῶν κληρονόμοις ἡ
μέμψις. Ἐν τῷ αὐτῷ ζ' κεφ. ὁ κινήσας τὴν κατὰ τῆς διαθήκης μέμψιν καὶ ἡττηθείς,
ἐκπίπτει τοῦ ἐν τῆς διαθήκης καταλειφθέντος αὐτῷ. δημοσιεύεται γάρ. εἰ δὲ
τελευτήσει ἢ ἀποστῇ πρὸ ψήφου, ἢ κατὰ ἀπουσίαν ἡττηθῇ. ἢ κωλυθῇ ἑτέρῳ ἀπο-
καταστῆσαι τὸ καταλειφθέν, οὐκ ἐκπίπτει· μόνου γὰρ τοῦ ἰδίου κέρδους ἐκπίπτει.
ὅθεν ἐὰν ὁ γραφεὶς κληρονόμος καὶ ἀξιωθεὶς ἀποκαταστῆσαι κινήσῃ τὴν κατὰ τῆς διαθή-
κης μέμψιν· καὶ ἡττηθῇ τὸ δωδεκάμερον αὐτῷ διὰ τοῦ φαλκιδίου παρακατέχεσθαι, ἀ-
πόλλυσιν. Ἐν τῷ αὐτῷ ιη' κεφ. κατὰ στρατιωτικῆς διαθήκης· οὔτε στρατιώτης κινεῖ
τὴν κατὰ τῆς διαθήκης μέμψιν. Ἐν τῷ αὐτῷ κ' κεφ. καὶ οἱ ποσούειοι κατὰ τῆς μητρῴας δι- περὶ ποσουείων:
αθήκης κινοῦσι τὴν μέμψιν. εἰ καὶ μετὰ τὸ πρὸ καταρξιν τῆς κατὰ τῆς διαθήκης μέμ-
ψεως τέχθησαν δικαίως· μένει ἐρρωμένη ἡ διαθήκη. Ἐν τῷ αὐτῷ λ' θέ. ὁ παρὰ γυ-
ναικὸς νοθευθεὶς καὶ παρασιωπηθεὶς· οὐ κινεῖ κατὰ τῆς διαθήκης αὐτῆς μέμψιν. γυνὴ
γὰρ παρακελεύσει βασιλέως, οὐχ υἱοθετεῖ. Ἐν τῷ αὐτῷ λζ' κεφ. ὁ κινήσας τὴν κατὰ τῆς δια- περὶ υἱοθετουμένου
θήκης μέμψιν, καὶ ἡττηθεὶς. καλῶς μεταλαμβάνει κατὰ τὸ ὁρισθὲν τῆς διαθήκης ὡς ἡττη- παρὰ γυναικός· ὅτι παρα-
θείς. καὶ τὸ ἐναντίον· ὁ τὸ πλασθὲν πρότερον κινήσας, καλῶς μεταλαμβάνει τὴν κατὰ κελεύσει βασιλέως
τῆς διαθήκης μέμψιν κινεῖ. Ἐν τῷ αὐτῷ πα' κεφ. γυναικὸς περὶ τῆς μητρὸς ἀκινήτου οὐχ υἱοθετεῖ:
τῆς γινομένη· καλῶς κινεῖ τὴν μέμψιν κατὰ τῆς διαθήκης. Ἐν τῷ αὐτῷ μ' κεφ. ἡ μήτηρ

Κατὰ τῆς τοῦ παιδὸς διαθήκης κακῶς κινεῖ τὴν μέμψιν κἂν ἀδελφὴ ἰδία εἴη, ἔγραψεν ἐκεῖνος κληρονόμον. Ἐν τῷ δʹ θέματι αʹ κεφ. Οἱ ἀδελφόπαιδες οὐ κινοῦσι κατὰ τῆς τοῦ θείου διαθήκης μέμψιν· οὐδεὶς γὰρ τῶν ἐκ πλαγίου συγγενῶν ὑπεξῃρημένου ἀδελφοῦ καὶ ἀδελφῆς, τὴν κατὰ τῆς διαθήκης μέμψιν κινεῖ. Ὡς πλαστὴν δὲ καὶ οὗτοι δύνανται διαβάλλειν τὴν διαθήκην. Ἐν τῷ δʹ θέματι μζʹ κεφ. Οἱ ἀδελφοὶ καὶ ἀδελφαὶ κατὰ διαθήκης ἀδελφοῦ ἢ ἀδελφῆς, κινοῦσι τὴν μέμψιν. Ἐὰν οἱ γεγραμμένοι κληρονόμοι ἄτιμοι ὦσιν ἢ αἰσχροὶ καθ' οἱανδήποτε κουφοτάτην ἀτιμίαν· ἢ ἀπελεύθεροι μεγάλαις εὐεργεσίαις τὸν ἴδιον ἀμειψάμενοι πάτρωνα. Κατὰ δὲ δούλου ἀναγκαίου γενομένου κληρονόμου, μὴ ἐνάγεσθαι. Ἐν τῷ δʹ θέματι νγʹ κεφ. Ὁ χρόνος τῆς κατὰ τῆς διαθήκης μέμψεως, οὐκ ἐκ τῆς τελευτῆς τοῦ διαθεμένου ἄρχεται, ἀλλ' ἐξ ἧς ὁ κληρονόμος ὑπεισῆλθε, ἐν ᾧ ἄλλη καὶ παραγραφὴ διαδοῦσιν οἱ μέλλοντες τὴν κατὰ τῆς διαθήκης μέμψιν κινεῖν. Ἐντὸς δὲ ὁ κληρονόμος ἐντὸς ἐνιαυτοῦ συναπτοῦ, ἀπὸ τῆς τελευτῆς τοῦ διαθεμένου ψηφιζομένου ὑπεισέρχεσθαι αὐτῇ, ἢ ἀποτάττεσθαι τῇ κληρονομίᾳ. Ἐὰν δὲ ἐκ τῶν ἐνεγραμμένων μὴ ὑπεισέλθῃ τὴν κληρονομίαν, οἱ ἄρχοντες διὰ τῆς τάξεως ἀναγκάζουσιν αὐτὸν ὑπεισελθεῖν :—

Πότε οἱ ἀδελφοὶ κινοῦσι τὴν κατὰ τῆς διαθήκης μέμψιν :—

Ἀνάγνωθι καὶ τὸ ιβʹ τ. κγʹ ἐν τῷ θέματι. Ὅτι ἡ πενταετία ἀναιρεῖ ἡ κατὰ τῆς διαθέσεως μέμψις. Περὶ ... ἐν τῷ περὶ ἀφηλίκων :—

Ὅτι ὡς ἐντὸς ἐνιαυτοῦ συναπτοῦ ἀναγκάζεται τις ὑπεισελθεῖν τὴν κληρονομίαν ἢ ἀποτάξασθαι :—

κγʹ

## Περὶ τῆς κατὰ διαθήκην ἀναγνώσεως, καὶ περὶ διακατοχῶν. Ἀνάγνωθι βιβλ. λʹ τ. ιζʹ σύνοψιν ἐν θέματι βʹ κεφ. :—

Πρώτη ἐστὶ διακατοχή, ἡ μετὰ τῆς διαθήκης ἀνάγνωσις. Καὶ ὅτε πληρωθῇ ὁ χρόνος αὐτῆς ἢ πρὸ τελευτῆς ... οἱ παῖδες ἢ ἀποθάνωσιν ἢ ἀπολέσωσι τὸ δίκαιον τὸ αἰτεῖσθαι δίδοται ἐκ τῆς διαθήκης βοήθεια. Ἐν τῷ δʹ θέματι γʹ κεφ. Ἕκαστος ἐγκληρονομούμενος ἐπὶ τελευτῇ τοῦ διαθεμένου, ἄλλο διακατοχὴν λαβόμενος. Ἀνάγνωθι καὶ τ. ιθʹ σύνοψιν ἐν θέματι αʹ κεφ. Ἐὰν διαμάχωνται πρὸς ἀλλήλους ἔνσταλος καὶ ὑποκατάστατος, ἕως ὁ ἔνσταλος ὀφείλει εἶναι ἐν τῇ νομῇ. Ἀνάγνωθι τ. κα κεφ. ιβʹ διὰ τ. ἐν θέματι. Ἡ διακατοχὴ πρὸ τελείου τοῦ ὡρισμένου χρόνου, οὐ ... ἐπὶ στρατιωτικῆς διαδοχῆς αἰτεῖται. Ἀνάγνωθι καὶ βʹ μʹ σύνοψιν ἐν θέματι αʹ τ. διαμαρτυρεῖται. Περὶ κυρίας διακατοχῆς. Ἐν τῷ δʹ θέματι γʹ κεφ. τοῦ αὐτοῦ τ. θέματος. Διακατοχή ἐστι δίκαιον τοῦ ἐξεῖναι κρατεῖν τὴν οὐσίαν ἢ τὰ πράγματα τοῦ τελευτῶντος. Κινεῖται δὲ καθὼς ἐν θέματι ζʹ καὶ ιθʹ κεφ. Παρὰ μὲν τῶν ἐκ πλαγίου συγγενῶν, ἐντὸς ἡμερῶν ρʹ. Παρὰ δὲ τῶν ἀνιόντων, ἐντὸς ἐνιαυτοῦ. Ἐν τῷ δʹ θέματι καʹ κεφ. Ἐὰν γυνὴ ὀφείλουσα ἐμπροθέσμως αἰτεῖν διακατοχὴν μὴ αἰτήσῃ κατὰ νόμου ἄγνοιαν, ἡ τοῦ νόμου ἄγνοια οὐ συμβάλλεται αὐτῇ. Ἐν τῷ δʹ θέματι εʹ τ. διαμαρ

Τί ἐστι διακατοχὴ καὶ μετὰ πόσον χρόνον κινεῖται :—

λ΄.

νεῖται περὶ ἀδιαθέτου διακατοχῆς μαινομένου υἱοῦ, ἀφώνου κωφοῦ καὶ τυφλοῦ. Ἐν τῷ
ᾧ ι΄ τ΄. περὶ ἀδιαθέτου διακατοχῆς καὶ ἐναντιώσεως διαθήκης. τοῦ αὐτοῦ ἐν τῷ α΄ κεφ.
φη΄. Ἐπὶ τῆς κατὰ διαθήκης ἐναντιώσεως παῖδας νόθους καὶ φυσικοὺς ἐκ θε-
τούς. εἰ μήτε κληρονόμοι μήτε ἀπόκληροι γεγόνασι. καλοῦνται δὲ πρὸς τὸ νό-
μιμον καὶ τὴν τάξιν τοῦ πολιτικοῦ νόμου. ἁρμόζει δὲ διακατοχὴ καὶ κυοφορου-
μένοις. καὶ τοῖς ἀπὸ τῶν πολεμίων ὑποστρέψασι παισίν. Ἐν τῷ δὲ ᾧ ε΄ κεφ. φη΄.
Οἱ παῖδες γραφόμενοι κληρονόμοι, τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν οὐκ αἰτοῦ-
σιν. ἔχουσι γὰρ τὴν ἐκ τῆς διαθήκης βοήθειαν. εἰ δὲ ὑπὸ αἵρεσιν αἰτίαν ἐγρά-
φη ὁ αὐτεξούσιος καὶ ἀδύνατος. αἰτεῖ τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν. ὁ δὲ γεγραμ-
μένος ὑπὸ αἵρεσιν ἠργημένης αὐτῆς, αἰτεῖ τὴν ἐκ τῆς διαθήκης βοήθειαν. ἐὰν
γὰρ ἀδυνήσῃ, ἐπιζητεῖ πάλιν τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν. ὅσον ἔμελλεν ἔχειν,
εἰ ἐξ ἀρχῆς αὐτὴν ᾔτησε. τὸ αὐτὸ ἐστι καὶ ὅτε ἔκγονος ὑπὸ τὰς αὐτὰς αἱρέσεις
γράφεται κληρονόμος. Ἐν τῷ δὲ ᾧ γ΄ κεφ. ἐὰν ἀμνημονοῦσα τὸν ἐάσας τὸν υἱόν μου,
λεγατεύσω αὐτῷ ἢ τῷ δούλῳ αὐτοῦ. καὶ κληρονόμον τὸν δοῦλον αὐτοῦ γράψω.
καὶ καταδέξηται τὸ λεγάτον. ἢ κελεύσῃ τῷ δούλῳ τὴν κληρονομίαν ὑπεισελ-
θεῖν, ἀπόλλυσι τὴν διακατοχήν. καὶ ὅτε ἡ τοῖς παισὶν ἁρμόζουσα κατὰ τῆς δια-
θήκης ἐναντίωσις ἔχει χώραν. ὅτε κληρονόμους ἐφάνη τις. ὅτε μή. κατὰ γὰρ τῆς
διαθήκης δίδοται, ὅπερ ἐπὶ τοῦ πάτρωνος ἐναντίως ἔχει. Ἐν τῷ δὲ ᾧ δ΄ κεφ. ἐ-
ὰν κληρονόμον ἢ ἀπόκληρον ποιήσας τὸν ὑπεξούσιόν μου υἱόν. ἀμείψας τὸν
ἐξ αὐτοῦ ἔκγονον, χώραν οὐκ ἔχει ἡ διακατοχή. οὐκ ἔστι γὰρ ὑπεξούσιος.
τὰ αὐτὰ καὶ ἐπὶ τῶν ἑξῆς βαθμῶν. Ἐν τῷ δὲ ᾧ ζ΄ κεφ. θ΄ β΄. οἱ ἀπόκληροι τὴν κατὰ
τῆς διαθήκης ἐναντίωσιν οὐ κινοῦσιν. οὔτε μετὰ τῶν κινούντων καλοῦνται. Ἐν
δὲ ᾧ θ΄ κεφ. τοῦ αὐτεξουσίου αἰτοῦντος τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν, ἀ-
ναγκάζεται ὁ γεγραμμένος καὶ τὰ χωρία καὶ τοὺς δούλους καὶ πάντα τὰ προ-
φάσει τῆς κληρονομίας αὐτῷ κληθέντα δοῦναι. Ἐν τῷ δὲ ᾧ ι΄ κεφ. ἐὰν ἐκθέσει δώσω
ἐμαυτοῦ, οὐκ ἀκολουθήσει ὁ αὐτεξούσιός μου υἱός, ἔχει δὲ κατὰ τῆς διαθήκης μου
τὴν ἐναντίωσιν. ὁ αἰτῶν τὴν διαθήκης ἐναντίωσιν, ἐκπίπτει τῶν λεγατευθέντων
αὐτῷ. καὶ τῶν θανάτου αἰτίᾳ δωρηθέντων, ὅτε αὐτῷ ταῦτα κατελείφθη. ὅτε πρὶν
τῶν προσπορισθέντων αὐτῷ. Ἐν τῷ δὲ ᾧ α΄ τ΄ διαλαμβάνεται. περὶ γαστρὸς ἐς δι-
ακατοχὴν πεμπομένης, ὅπερ ὑπὲρ αὐτῆς αὐτῷ περὶ ἐγκυμονούσης. Ἐν τῷ δὲ ᾧ ε΄ τ΄
διαλαμβάνεται καὶ περὶ ἀμφιβαλλομένου ἀνήβου υἱοῦ. τοῦ αὐτοῦ ἐν τῷ α΄ κεφ.
φη΄. ἀμφιβαλλομένου ἐστὶν ὁ ἄνηβος υἱὸς τοῦ τελευτήσαντος. δίδοται αὐτῷ ἡ

διακατοχὴ καὶ τὸ δικαστήριον, εἰς τὸν τῆς ἥβης καιρὸν ὑπερτίθεται. Ἐὰν δὲ μὴ πα-
ρέχηται ὁ ἀντίδικος αὐτοῦ ἱκανοδοσίαν, πέμπεται σὺν αὐτοῖς εἰς νομήν. Ἐν
δὲ τῷ β΄ κεφ. φησί· οὐ μόνον οἱ ἄρρενες ἀλλὰ καὶ θήλειαι ἐξ ἀρρένων ἔχουσι τὴν με-
τὰ τῆς ἥβης διακατοχήν. Καὶ γενικῶς ὅσοι τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν ἔ-
χουσιν. Ἐν δὲ τῷ γ΄ κεφ. Ἐὰν ἡ μήτηρ περὶ ὑποβολιμαίου κατηγορηθεῖσα νικήσῃ,
μένει ἡ περὶ τῆς καταστάσεως τοῦ παιδὸς ζήτησις. Εἰ γὰρ διελέγχεται καὶ μὴ εἶναι
υἱὸς τοῦ τελευτήσαντος, ἢ ἀπὸ νομίμου μὴ τεχθῆναι γάμου. Ἐν δὲ τῷ δ΄ κεφ. ἡ διὰ
τὴν ἀνηβότητα διακατοχή, ὥσπερ καὶ αἱ λοιπαὶ τῶν παίδων ὁρδιναρίαι δια-
κατοχαί, ἔσω ἐνιαυτοῦ περιέχονται· ὁ δὲ προνοῶν τοῦ παιδός, οὐ μόνην τὴν με-
τὰ τῆς ἥβης διακατοχὴν αἰτεῖν ὀφείλει, ἀλλὰ καὶ τὴν ὁρδιναρίαν. Ἄρχεται δὲ χρό-
νος ὁ χρόνος τῆς ἐξ ὁρδιναρίας, ἀφ' οὗ τὸν τελευτῆσαι τὸν πατέρα, καὶ οὐχ ἑτέραν ἕ-
ξειν αἰτῆσαι διακατοχήν· τῆς δὲ μέχρι τῆς ἥβης, ἀφ' οὗ τὴν ζήτησιν ὑφίστασθαι.
ὅθεν εἰ ἐκ ἄμα τούτοις παρερχομένου τοῦ ἐνιαυτοῦ, ἑκατέρας διακατοχῆς
ἀποκλείεται. Ἐν δὲ τῷ ε΄ κεφ. Ἐὰν παῖς ἐστιν ἐπιφέρων ὡς ἀνήβῳ τὴν ζήτησιν,
εἴτε ἀσφάλεια δίδοται παρὰ τῷ ἀνήβῳ, εἴτε μή· οἱ β΄ εἰς νομὴν πέμπονται. Ἐν
δὲ τῷ ς΄ τίτ. διαλαμβάνεται περὶ τῆς κινουμένης παρὰ τῶν αὐτεξουσίους ποιη-
σάντων τοὺς παῖδας. Οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Κατὰ μίμησιν τοῦ πάτρωνος καὶ
ὁ αὐτεξούσιον ποιῶν τινά, ἔχει τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν. Εἴτε πατήρ ἐστιν.
εἴτε πάππος. Ἔοικε γὰρ ὁ αὐτεξούσιος γενόμενος ἀπελευθέρῳ, ἀπελευθέρου δὲ
εἰς θέσιν οὐ δίδοται, ἢ ἐὰν δοθῇ κατὰ συναρπαγήν, οὐ βλάπτονται τὰ τοῦ πάτρω-
νος δίκαια, εἴτε λάβῃ ὑπὲρ τῆς αὐτεξουσιότητος ὁ γονεὺς χρήματα, εἴτε μετὰ
μεταταῦτα ὑπὲρ τοῦ μὴ προσκαλέσαι τὴν διαθήκην αὐτοῦ τι καὶ ὑπόσχῃ
παρὰ τοῦ ζῶντος. κινῶν ἐκβάλλεται δόλου παραγραφῇ. Μόνοι δὲ οἱ αὐτεξουσί-
ους ποιήσαντες, ἔχουσι τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν. Οὐ μὴν καὶ οἱ παῖδες
αὐτῶν ἀπελευθέρων. Ὁ αὐτεξούσιον ποιήσας πρὸς τὴν κατὰ τῆς διαθήκης ἐναντί-
ωσιν· ἔχει καὶ τὰ ἁρμόζοντα αὐτῷ, ὡς πατρὶ ἀρχαῖα δίκαια. Ἐν δὲ τῷ ζ΄ τίτ.
διαλαμβάνεται πότε τῶν μὴ ἀπαιτούντων τὴν διακατοχὴν τὰ μέρη τοῖς αἰ-
τοῦσιν ἁρμόζει. Καὶ περὶ τῆς τῶν ὑπερχόντων ἀπελευθέρων διακατοχῆς. Οὗ-
τινος ἐν τῷ α΄ κεφ. φησί· Ἐὰν πολλοῖς παισὶν ἁρμόζῃ διακατοχή, καὶ τινες παραι-
τήσωνται· οἱ δὲ ἄλλοι βουληθῶσι καταδέξασθαι, δύνανται λαμβάνειν εἰς τὸ ὅλον
τὴν διακατοχὴν οἱ καταδεχόμενοι. Ἐν δὲ τῷ η΄ τίτ. διαλαμβάνεται περὶ τῶν πα-
ραιτουμένων τὴν τῶν ὑπερχόντων διακατοχήν. Οὗτινος ἐν τῷ α΄ κεφ. φησί· Ἐὰν

αὐτεξούσιος πρὸ τῆς ἡλικίας τὴν ἁρμόζουσαν αὐτῷ διακατοχήν, οὐκέτι δύναται αὐτὴν λέγων, ὅτε ἀπὸ τῆς τοῦ ζῶντος προσώπου, πρὶν λαβεῖν τὴν διακατοχήν. εὑρήσεις δὲ ἐν φ΄ ὅτι διαλαμβάνεται ὁμοίως περὶ διακατοχῆς. σύνοψις ἐν φ΄ γ΄ κεφ. τίτ. β΄ φη. ἐὰν πρὸς τοὺς ἀδελφοὺς τῆς ἀποθανούσης τελευτησάσης ὁ ἀνὴρ διαμάχηται. τέως διὰ τοῦ νόμου ἐπὶ νομῇ γινέσθωσαν τῶν πραγμάτων, τῆς λοιποῦ φυλαττομένου αὐτοῖς τοῦ ἐπὶ τῆς δεσποτείας λόγου. εὑρήσεις δὲ περὶ διακατοχῶν. καὶ ἐν φ΄ περὶ κληρονομιῶν:

Περὶ διαγνώσεως καὶ ἀλλάξεως αὐτῶν. βιβλ. β΄ μη΄ τίτ. κβ΄. σύνοψις ἐν φ΄ α΄ κεφαλαίῳ φησίν: κδ΄

Ὁ λέγων ἑαυτὸν ἐλεύθερον, καὶ ἐναγόμενος περὶ τύχης, ὀφείλει πρότερον ἐλεύθερος ἀποδειχθῆναι. καὶ τότε τὰ κεκερδημένα αὐτῷ ἀπαιτεῖσθαι. εὑρήσεις δὲ ἐν φ΄ γ΄ κεφ. ὁ τινὸς ἐναγόμενος περὶ ἐγκλήματος, παρ' ἑτέρου περὶ τύχης, δεῖ ζητηθῆναι πρῶτον τὰ περὶ τύχης, ἵνα γνωσθῇ πότερον τὸ ἔγκλημα, ὡς κατὰ δούλου, ἢ ὡς κατὰ ἐλευθέρας, ὀφείλει ζητηθῆναι. βιβλ. καὶ β΄ ζ΄ τίτ. ε΄ κεφ. λα΄ θέμ. γ΄ ἐν φ΄ φη. ἔστι δὲ ὅτε οὕτως ἡ διάγνωσις ὑπερτίθεται. οἷον ἐὰν τὰ δικαιώματα τῆς τύχης ἔχῃ τις ἀπὼν διὰ πρᾶγμα δημόσιον, ἢ ὁ δικαζόμενος γοῦν ἢ πρᾶγμα ἢ ἄνδρα ἀπεβάλετο, καὶ ἐπὶ τῶν ὁμοίων. καὶ κεφ. λϛ΄ ἐν φ΄ φη. ἐὰν περὶ βίας ἐνοχῆς ζητῆται ἡ βία, πρὸ τῆς δεσποτείας ζητεῖται. καὶ κεφ. να΄ ἐν φ΄ φη. ἡ μικρὰ αἰτία, τῇ μείζονι οὐ προκρίνεται. ἡ γὰρ μείζων ζήτησις, εἰς ἑαυτὴν ἕλκει τὰ ἥττονα:

Περὶ διαγνωσμάτων. βιβλ. β΄ ζ΄ τίτ. β΄ κεφ. θ΄ θέμ. ε΄. καὶ κεφ. ιζ΄ θέμ. ε΄. καὶ κεφ. λβ΄. καὶ νεαρ. νε΄ ἐν φ΄ φη: κε΄

Ὁ πρὸς χάριν τοῦ ἰδίου αὐθέντου, ἢ διὰ ῥυπαρίαν τοῦ διαγνώμονος καταδικασθείς, μὴ μόνον περὶ τῆς ποινῆς ἐναγόμενος ἕξει τοῦ δόλου παραγραφήν, ἀλλὰ καὶ τὴν ἀγωγὴν κινεῖ, ἀπὸ τοῦ ἐγκειμένου περὶ δόλου κατὰ τοῦ διαγνώμονος:

Περὶ δικαζομένων· τίνι ἐναγόντων καὶ ἐναγομένων αὐτεξουσίων τε καὶ ὑπεξουσίων. καὶ τίνες δύνανται ἐνάγειν ἢ ἐνάγεσθαι, καὶ τίνες οὐ δύνανται. καὶ πότε. καὶ παρὰ τίνι. καὶ ἐν ποίῳ φόρῳ τὸ ἐνάγειν ὀφείλει. ἐπεὶ λαμβάνουσι τὴν ἀπόκρισιν. βιβλ. β΄ ζ΄ τίτ. γ΄ κεφ. κγ΄ φη: κϛ΄

Ὁ προδικαιοῦντες ἔχει ἢ ἐπὶ κατά τινος ἢ κελευσθῆναι παρασχεῖν, αὐτῷ καὶ αὐτὸς ὑπόκειται. καὶ κεφ. κε΄ σύνοψις ἐν φ΄ γ΄ θέμ. φη. ἐὰν ἀδικοῦντι καὶ τοῦ ἀντιδίκου ἄλλου, αὐτῷ ὑπόκειται. κἂν μὴ χρήσηται αὐτῷ. εἰ δὲ ἀπαιτοῦντος μου τὸ ἄδικον, οὐχ ὑπόκειται. εὑρήσεις δὲ ἐν φ΄ ε΄ θέμ. ὁμοίως τὸ δ'

βιβλ. καὶ νεαρ. νγ΄ ἐν φ΄ φη. καὶ περὶ προκαταρξέως τῆς δίκης. καὶ περὶ τῶν κ΄ ἡμερῶν καὶ τοῦ ὅρκου οὗ ὑπέχουσιν οἱ δικαζόμενοι. καὶ νεαρ. ξθ΄ ἐν φ΄ φη. περὶ παρχεούντων. καὶ νεαρ. σα΄ φη. γὰρ ὥστε τὰς χρηματικὰς δίκας τελέως ἀγωνίζεσθαι τοὺς λαμπροτάτους ἀρχόντων ἰλλουστρίων. βιβλ. ε΄ νεαρ. γ΄ ἐν φ΄ φη. περὶ κληρικῶν. ε΄. νεαρ. πϛ΄ ἐν φ΄ ε΄ περὶ ἐπισκόπων ὥστε ὑπερτίθεσθαι τοὺς ἄρχοντας ἀκούειν τῶν τοῦ προσιόντος δικαίων συγχωρεῖσθαι παρὰ τὸν ἐπίσκοπον τοῦ πράγματος. ἀλλὰ ἡνίκα τις ἐν ὑπονοίᾳ ἔχει τὸν ἄρχοντα συμπαρεῖναι τῆς δίκης καὶ τὸν ἐπίσκοπον τοῦ προσιέναι τοὺς ἐπηρεαζομένους ὑπὸ ἐπισκόπου. βιβλ. ε΄ νεαρ. ἐν φ΄ φη. περὶ ἀπελευθέρων καὶ ἀπελευθέρων. καὶ νεαρ. ριβ΄ φη. γάρ. περὶ δικαζομένων. καὶ τῆς διδομένης πρὸ ἀγωγῶν ἀσφαλείας. καὶ νεαρ. κα΄:

Θ δικασθεὶς αὐθεντ. ὑπόκειται ὁ τῇ παρούσῃ δίκῃ καὶ ὑποπεσών, ἀλλὰ καὶ ἑκά-
στου δικαζομένου τῇ περιγραφῇ. καὶ κεφ. κε καὶ κζ. καὶ λ ἐν τῷ θέματι. ὁ ἐνάγων
ἀκολουθεῖ τῷ φόρῳ τοῦ ἐναγομένου. φόρος δὲ ἐστιν, ἔνθα νῦν ἔχει τὴν κατοίκησιν.
ἢ ὅπου εἶχεν ἐν καιρῷ τοῦ συναλλάγματος. ἀλλὰ καὶ τὸ δ΄. οὐδένος ἐν αὐτῷ α΄ κεφ.

περὶ αὐτεπαγγελτίας :–

θέμ. Θεσπίζομεν ἵνα τις ὑποθήκην ὁ ἄλλος ἔχων τοῦ κατ' αὐτοῦ τὴν αἰτίαν ἀπο-
θέμενον, μὴ παρ' ἑτέρῳ δικαστῇ. ἀλλὰ παρ' αὐτῷ, οὗ ἂν αἰτιᾶσθαι. καὶ τὸν αὐτὸν
εἶναι δικαστὴν ἐφ' ἑκατέρας ὑποθέσεως. εἰ δὲ ἐλλείποιεν ἀπρεύοντι αὐτῷ, ὁ παρ'
ᾧ τὴν δίκην ἀπεκληρώθη δικαστής. ἔξεστιν αὐτῷ καὶ τοῦτο ἐπανορθοῦσθαι.

περὶ τῆς τῶν κ ἡμερῶν προθεσμίας. ὅμοιος θέμ. καὶ ἐν τῷ α΄ τοῦ κζ΄ τίτλου τοῦ ζ΄ β΄:–

κ΄ γὰρ ἡμερῶν προθεσμίαν ἐνδόσιμον ἡ μετὰ τὴν τοῦ βιβλίου πόμπην, μεθ' ἣν
δὲ προκατάρχεσθαι. ἔξεστιν δὲ τῷ τῆς ἠρημένης ἀνακεχωρηκότι παραιτεῖσθαι τὸ ἐκδικ-
νον, ἑτέρου δὲ ἴσχειν. παρ' ᾧ πάλιν ὁμοίως ἑκατέραν ἀγωνίζεσθαι προσηκόντως δί-
κην. καὶ τὰς βιαίας τέχνας καταμηνύειν γίνεσθαι. ἀλλ' ἕκαστον τοῖς ἰδίοις χρῆ-
σθαι δικαίοις. εἰ μὲν βιασθῶσιν, εἴτε οὐκ ἐβουλήθη τὴν δίκην παρ' ἑτέρῳ
δικαστῇ κινεῖν. ἀνάγκην ἔχειν ἀναμένειν τὸ πέρας τῆς δίκης τῆς δικαζομένης
αὐτῷ παρὰ τοῦ τὸ δικαστήριον αὐτοῦ κινοῦντος. καὶ διδάσκων πέρας ἡ δίκη λά-
βοι, τηνικαῦτα αὐτὸν τὴν οἰκείαν δίκην παρ' ἑτέρῳ δικαστῇ προτιθέναι. ἵνα οὐ
τὰς βιαίας αὐτῶν αὐτῶν τέχνας τε καὶ καταλλήλων ἐπιτρ. εἰ δὲ ἐν τῷ β΄

περὶ τῆς προκατάρξεως. ἐν τῷ ριβ΄ νεαρ. α΄:–

κεφ. Θεσπίζομεν πάντας τοὺς δικαστὰς, ὅπου ἵνα ζυγωθῆναι ἴσως ὑπο-
μνησθῆναι. ὥστε μὴ ἄλλως βούλεσθαι αἰτιᾶσθαι βιβλία τοὺς ἐναγομένους ἐπιδίδο-
σθαι. ἢ ζωνηθεὶς τοὺς ἐκβιβασταῖς παρέχεσθαι. δεῖ μὴ πρότερον, καὶ ἐν τῷ βιβλίῳ

περὶ ζωνηθέου :–

ὁ ἐνάγων ἢ δι' ἑαυτοῦ, ἢ διὰ ταβουλαρίου ὑπογράψαι, καὶ πράξεως ὑπομνη-
μάτων ζωνισαμένης, ἐγγυητὴν ἀξιόπιστον παρέχειν, κινδύνῳ τῆς ἁρμοδίου τά-
ξεως ὁμολογοῦντα. ὅτι παρ' καὶ μέχρι πέρατος τῆς δίκης προσεδρεύει. καὶ τὰς ἰ-
δίας ἐναγωγὰς, ἢ δι' ἑαυτοῦ, ἢ διὰ νομίμου ἐντολέως ἐγγυμνάζει. καὶ εἰ μὴ τά-
ταυτα δειχθείη ἀδίκως τὴν δίκην κινήσας, ὀνόματι ἀναλωμάτων. καὶ δαπα-
νημάτων δέκατον μέρος τῆς περιεχομένης ἐν βιβλίῳ ποσότητος ἀποκατα-
στήσει τῷ αἰτιαθέντι. εἰ δὲ ἴσως μὴ εὐπορεῖ ἐγγυητὴν δοῦναι, τηνικαῦτα παρὰ
τῷ δικαστῇ παρ' ᾧ περ ἡ ὑπόθεσις μέλλει, ἐξετάζεσθαι τῶν ἁγίων εὐαγγελίων
προκειμένων δι' ὅρκου τοῦτο αὐτὸ διαβεβαιοῦσθαι. καὶ οὕτως ἐν αὐτοῖς
αὐτὸν ἐκτίθεσθαι ὁμολογίαν. καὶ διὰ τῆς αὐτῆς ἀνωτέρω ἐρηται ὁμολογήσει.
εἰ δὲ μὴ ταῦτα ἅπαντα κατὰ τὸν ἐρημένον πεπλήρωται τρόπον. οὐδεμίαν τὸν ἐνα-
γόμενον ἀπόκεισιν ἐκβιβαστῇ ποιεῖσθαι συγχωροῦμεν. εἰ δὲ ἐν τῷ κεφ.

λ΄.

Θεσπίζομεν τὸν ἐναγόμενον τὸ ἀρχῆθεν πρᾶγμα μέχρι τέλους τῆς δίκης ἐγκυ-
μνάζειν. Εἰ δὲ ὑπεξῆλθε τοῦ πράγματος ἢ παρεδόθη, δίδομεν ἄδειαν τῷ ἐνάγον-
τι τὸν δικαστὴν αἰτεῖν πρὸ τοῦ ἡ δίκη προκαταρχθῇ. ὥστε διὰ τούτου τὸν ἐναγόμενον ὑ-
πομιμνήσκεσθαι εἰς τὸ δικαστήριον. ἢ δι' ἑαυτοῦ ἢ διὰ νομίμου ἐντελέως πα-
ραγίνεσθαι. καὶ εἰ τοῦτο μὴ δυνάμενος ποιεῖ τι, προτεθειμένων τριῶν προγραμμάτων
αὐτὸν καλεῖσθαι· μιᾶς ἑκάστης κλήσεως, οὐκ ἧττον ἢ λ΄ ἡμερῶν διαστήματι
περικλειομένης. Κελεύομεν γὰρ τοὺς ἐμβαθμίους δικαστὰς, μὴ μόνον ταῖς τῶν
κοινῶν φωναῖς· ἀλλὰ μὲν καὶ προγραμμάτων προτεθειμένων. ὅσου δή-
ποτε τῶν δικαζομένων μέρος ἀπολιμπανομένου, καλεῖν εἰς τὸ δικαστήριον.
Εἰ δὲ μετὰ τὸ γ΄. εἰ δὲ προτεθειμένων τῶν προγραμμάτων, κληθεὶς εἰς τὸ δικαστήρι-
ον ἦλθεν. καὶ τὰς ἰδίας ἐναγωγὰς ἢ δι' ἑαυτοῦ ἢ διὰ νομίμου καταπράξεται
ἐντελέως προσθεῖναι μὴ βουληθείη. τηνικαῦτα ἑτέραν ἑνὸς ἐνιαυτοῦ προθεσμί-
αν αὐτῷ συγχωροῦμεν. ... ἐὰν μὴ τὴν ἰδίαν ὑπεξῆλθοι διαγωγήν· δίδομεν
ἄδειαν τῷ δικαστῇ· καὶ ἀπόντος τοῦ αὐτοδίκου, τῆς τοῦ προσεδρεύοντος μέ-
ρους δικαιολογίας, κατὰ τοὺς ἡμετέρους νόμους ἐξετάζειν. καὶ τῆς ἀληθοῦς ἀκρι-
βοῦς ζητουμένης, νόμιμον προφέρειν ψῆφον. Εἰ δὲ ἐντὸς τῆς εἰρημένης τοῦ ἑ-
νὸς ἐνιαυτοῦ προθεσμίας παραγένηται, καὶ τὰς ἰδίας ἐναγωγὰς ἐγγυμνάζειν
βουληθείη. κελεύομεν τὸν δικαστὴν πᾶσι τρόποις τὰ ἀναγκαῖα τούτῳ δαπα-
νήματα. ἅπερ διὰ τὴν δίκην ὁ ἐναχθεὶς προσεδρεύων τῷ δικαστηρίῳ ὑπέμει-
νε πρὸ πάντων εἰσπράξαι τὸν ἐνάγοντα, καὶ τότε αὐτὸν ἀκροᾶσθαι. τοῦτο
τὸν ἐνάγοντα προσεδρεύειν. μέχρις ὅτου τὸ πρᾶγμα πέρας δέξηται κατὰ τοὺς
νόμους. εἰ γὰρ μόνον παραγένηται, καὶ τῶν δαπανημάτων ἢ ζημιωμάτων δι-
δομένων, μόνον τὸν ἐνιαυσιαῖον χρόνον διακόψαι βουληθείη, καὶ πάλιν ἀ-
ναχωρεῖ τοῦ δικαστηρίου μέχρι τέλους τῆς ὑποθέσεως μὴ παραμένοι. κελεύο-
μεν αὐτὸν μετὰ τὰς εἰρημένας τῶν προγραμμάτων καὶ τοῦ ἐνιαυσιαίου χρόνου δι-
αστήματος πεπληρωμένας, πάσης ἀγωγῆς ἐκπίπτειν. ἣν ἁρμόζειν αὐτῷ κατὰ τοῦ
ἐνάγοντος ὑπελάμβανε. Τῇ δὲ τοῦ νόμου προνοίᾳ, τοῦ μὴ ἐπελεύσεως
ἀνάγκην τοῖς μὴ βουλομένοις τὰς οἰκείας ἐναγωγὰς κινεῖν, ἐκείνοις καὶ μόνοις
συγχωροῦμεν κεχρῆσθαι. τοῖς οὐδεμίαν ζήτησιν κατὰ τοὺς εἰρημένους τρόπους
κατὰ τῶν αὐτοδίκων κινοῦσιν. Εἰ δὲ μετὰ τὸ ς΄ κεφ. Κελεύομεν ὁσάκις πρὸ οἱουδήπο- ἡ ρκα΄ κεφ. χ΄.
τε ἢ ἀρχομένη δίκη ἢ ἐξεταζομένη. πρὸ πάντων τὰ πρωτότυπα τῶν δικαζομέ-
νων πρόσωπα. ἢ ἐκείνους εἰσοὺς ὡς ἔκ... ἐν μέσῳ ἡ ὑπόθεσις μετενεχθῇ πα-

ρουσία τῶν δικαστῶν, ἁπτομένους τῶν ἁγίων εὐαγγελίων, ὀμνύναι· ὅτι οὐδὲ
παντελῶς τοῖς δικασταῖς προστασίας χάριν, ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ
ταύτης τῆς αἰτίας καθ' οἱονδήποτε τρόπον δεδώκασιν ἢ ὑπέσχοντο· ἢ μετὰ ταῦτα
δώσουσιν, ἢ δι' ἑαυτῶν, ἢ δι' ἄλλου οἱουδήποτε μέσου προσώπου· ἐξῃρημένων
τούτων ἅτινα τοῖς ἰδίοις συνηγόροις ὑπὲρ τῆς συνηγορίας παρέχουσιν· ἢ τοῖς
ἄλλοις προσώποις· ἅπερ οἱ ἡμέτεροι νόμοι δίδοσθαι διετύπωσαν. εἰ δέ τις ἐκ
τῶν δικαζομένων εἴποι δεδωκέναι ὑπὲρ τῆς δίκης ἐκβάσεως, συγγνώμης
ἀξιούσθω. ὁ δὲ ἢ δόσιν ἢ ὑπόσχεσιν καταδέξασθαι δεικνύμενος. εἰ μὲν ἐγκλη-
ματικὴ εἴη ἡ ὑπόθεσις, τὸ μὲν δεδομένον τετραπλοῦν, τὸ δὲ ὑποσχεθὲν διπλοῦν
ὑπὸ τοῦ κόμητος τῆς ἰδικῆς περιουσίας, εἰσπραττέσθω. καὶ τὴν ἀξίαν ἢ τὴν ἀρ-
χὴν ἣν ἔχει ἐφ' ἑκατέρου θέματος, ἀπολλύτω. εἰ δὲ ἐγκληματικὴ εἴη ἡ κατηγορί-
α, δήμευσιν τῆς ἰδίας περιουσίας ὑπομενέτω, καὶ εἰς ἐξορίαν πεμπέσθω.
ὅστις διὰ χρημάτων ἀλλότριον ἔγκλημα εἰς ἑαυτὸν ἐσπούδασε μετενεγκεῖν. εἰ δὲ τὴν
δόσιν ἢ τὴν ὑπόσχεσιν ὁ διάδικος μὴ δυνηθῇ δεῖξαι· ὀμνύτω τὸ πρόσωπον τὸ
τὴν δόσιν ἢ τὴν ὑπόσχεσιν λεγόμενον καταδέξασθαι· ὅτι οὐ δι' ἑαυτοῦ, οὐδὲ
δι' ἄλλου προσώπου χάριν ἢ ὑπόσχεσιν ἔσχε, καὶ τοῦ τοιούτου ὅρκου παρε-
χομένου, αὐτὸς μὲν ἐλεύθερος ἔσται· ὁ δὲ διάδικος ὁ μὴ δυνηθεὶς δεῖξαι· ἐπὶ
τοῦ κόμητος τῆς ἰδικῆς περιουσίας, εἰσπράττεσθαι δηλονότι τὴν ἰδίαν ἔκβασιν ἀ-
ναμενούσης. ἐπὶ δὲ ταῖς ἐγκληματικαῖς, δήμευσιν τῶν οἰκείων πραγμάτων ὑπο-
μενέτω. καὶ τὸ πρᾶγμα παρὰ τοῖς ἁρμοδίοις δικασταῖς, κατὰ τὴν τῶν νόμων τάξιν
περαιούσθω. αὐτὸ καὶ τὸ ε΄ τίτλου ἐν τῷ ι΄ κεφ. οὐ δοκεῖ λανθάνειν, ὃς εἰκῇ πρὶν
οὐκ ἠναγκάζετο ἐνάγεσθαι. Ἐν δὲ τῷ α΄ κεφ. πρὸς τοὺς ὑπεξουσίους ἡμῶν, οὐ δύ-
νάμεθα δικάζεσθαι, εἰ μὴ ἐπὶ τῷ ἰδιοκτήτῳ πεκουλίῳ. Ἐν δὲ τῷ ε΄ κεφ. ὁ καλούμε-
νος εἰς δικαστήριον, λέγων ἕτερον ἔχειν φόρον, ὀφείλει ἀπιέναι πρὸς τὸν καλοῦντα,
ἵνα τὰ περὶ τούτου παρ' αὐτῷ γνωσθῇ, καὶ μὴ καταφρονείτω αὐτοῦ. Ἐν δὲ τῷ ζ΄ κεφ.
ὁ κληθεὶς εἰς δικαστήριον, καὶ μετὰ ταῦτα στρατευσάμενος ἢ ἄλλου φόρου γενόμενος,
οὐ δύναται περὶ τῆς αὐτῆς δίκης ἐπικαλεῖσθαι τὸν ἴδιον φόρον. Ἐν δὲ τῷ κα΄ κεφ.
ὁ μέλλων ἐνάγεσθαι, καλῶς ἐπιζητεῖ ἐνδοθῆναι αὐτῷ ἀξιοπίστως ἀσφαλιζόμε-
νῳ, ὅτι τὸ λεγατάριον δίδωσιν. Ἐν δὲ τῷ κβ΄ κεφ. ὁ μὴ ἀναγκαζόμενος ἐνάγειν τὸ
πρὶν ἐνάγεσθαι· ἐὰν ἐκὼν ἐνάγῃ, ἀναγκάζεται παρὰ τῷ τοῦ αὐτοῦ δικαστῇ ἐνά-
γεσθαι. Ἐν δὲ τῷ λα΄ κεφ. ὁ ἐγκαλεσάμενος ἐνάγων ἐστί. καὶ ὅτι ἔνθα ἡ προ-
κάταρξις, ἐκεῖ καὶ τὸ πέρας. Ἐν δὲ τῷ λδ΄ κεφ. καὶ περὶ τῆς ἐνοχῆς τοῦ ἐναγομένου.

[Margin:] περὶ τῶν διδόντων τι ἢ λαμβανόντων :—

[Margin:] περὶ ὑπεξουσίων :—

[Margin:] περὶ λεγαταρίου :—

[Margin:] ὅτι προκατήρξατο παρ' ἐκείνῳ. ἔνθα δὲ ἡ προκάταρξις, ἐκεῖ καὶ ἡ τελείωσις γίνεσθαι ὀφείλει. Θεμάτιον, ὅτι μέλλοντος παρά τινος δανείσασθαι, πρὸς ἐπὶ τὸ δάνεισμα, ἑτεροδίκου ἐγγυώμενον, καὶ ὑποβάλλοντα ἑαυτὸν τῇ καταβολῇ τοῦ χρέους, εἰ τυχὸν μὴ καταβάλλοι ὁ πρωτότυπος αὐτό. ὁ τοιοῦτος ἐγγυητὴς οὗτος, ἔνοχος οὐκ ἐπὶ τῇ ἀποδόσει τοῦ χρέους γέγονε. καὶ περὶ τοῦ γενέσθαι ἔνοχον τὸν ἐγγυηθέντα :—

δ΄.

δίδοται ἐντυπής. καὶ ἀργεῖται ἡ ἐνοχὴ αὐτοῦ δικαστηρίου ὁ περὶ μελλούσης ἀγω-
γῆς οὐ ζώννυται. Εἰς τὸ ρμ΄ κε(φάλαιον). ὁ πράκτης καλούμενος, εἰς τὸ δικάζεσθαι τοῦ
ἀγοραστοῦ ἐνοχλουμένου τοῦ πράγματος, οὐ δύναται τὸν ἴδιον ἐπικαλεῖσθαι φόρον.
Εἰς τὸ ρϛ΄ κε(φάλαιον). ὁ προσπεσὼν εἰς δίκην τινά, καὶ τὰ τῆς ὁδοῦ, καὶ τὰ τῆς δίκης
δίδωσιν αὐτῷ δαπανήματα. Εἰς τὸ ρζ΄ κε(φάλαιον). καὶ ὅτε περιφανής ἐστιν ἡ δίκη,
χώρα τῷ κανόνι τῷ λέγοντι· ὁ ἐνάγων τῷ τοῦ ἐναγομένου φόρῳ ἀκολουθεῖ, καὶ
καὶ τέμνεται τοῦ δικαστηρίου, ἔνθα διάγει ἡ ἀπαιτουμένη. κἂν τὰ μάλιστα συγ-
κλητικός ἐστιν ὁ ἐνάγων. Εἰς τὸ ρη΄ κε(φάλαιον). οἱ συγκλητικοὶ ἐν ταῖς χρηματικαῖς
ὑποθέσεσιν, ἐν μὲν τῇ Κωνσταντινουπόλει ὄντες, ἢ ἐν τοῖς προαστείοις, παρὰ μόνῳ
τῷ ἐπάρχῳ τῶν πραιτωρίων, καὶ τῷ τῆς πόλεως ἐπάρχῳ, καὶ τῷ ἐνδοξοτάτῳ μα-
γίστρῳ, κατὰ θέλησιν κινούντων ἐνάγονται. εἰ δὲ ἐν ταῖς ἐπαρχίαις εἰσίν, ἐνάγεσθαι δεῖ
ἢ ὅπου διάγουσιν, ἢ ὅπου τὸ μεῖζον μέρος ἔχουσι τῆς ἰδίας οὐσίας. Εἰς τὸ
ρθ΄ κε(φάλαιον). ἐάν τις πατρίκιος ὢν ἢ ἀπὸ πριγκίπων, ἢ ἀπὸ ἐπάρχων πραιτωρί-
ων, ἢ ἀπὸ ἐπάρχων πόλεως, ἢ ὑπατικὸς ἐμπράκτως, ἢ στρατηλάτης, ἢ μαγί-
στρος τῶν θείων ὀφφικίων γένοιτο, ἢ κυαίστωρ τοῦ θείου παλατίου, ἢ πραιπόσιτος,
ἢ ἄρξας τῆς τῶν δομεστίκων σχολῆς, ἢ κόμης πριβάτων, ἢ κόμης τῶν ἰδικῶν γενό-
μενος, μέρος δὲ αὐτοῦ ἢ δεσποίνης χρηματικαῖς ἢ ἐγκληματικαῖς ἐνάγηται,
ὁ ἐνάγων ἐν τῇ βασιλίδι πόλει παρὰ μόνῳ βασιλεῖ ἐναγέσθω. ἢ κελεύσει βασι-
λέως παρὰ τῷ ἀφοριζομένῳ δικαστῇ. καὶ μὴ πρὸ ἀποδείξεως τοῦ ἁμαρτή-
ματος ὁ κατηγορούμενος ἐγκληματικῶς ὑβριζέσθω. ἀλλὰ καὶ καθεζέσθω ἐν
τινι μέρει τοῦ δικαστηρίου. ὥστε τοὺς μὲν δικάζοντας εἶναι αὐτοῦ κατώτερον. τῶν
δὲ δικαζομένων, ἀνώτερον εἶναι δοκεῖν. ἀνάγνωθι καὶ τὸ ϛ΄ τίτλ(ον) ἐν τῷ ϛ΄ κε(φαλαίῳ) δι-
ότι τοῦ δύνασθαι παραιτεῖσθαι τὸν δικαστὴν ἀλλότριον πρὸ τῆς προκατάρξεως. ὁ
δὲ ἀλλότριον τουτέστι μετὰ προκατάρξιν, ὠθεῖται. Εἰς τὸ ριζ΄ κε(φάλαιον). ὁ παραστάσιμος
γενόμενος ὑπὸ τοῦ αὐτοῦ τεξεόλην, περιτελέσῳ μηνὶ πρότερον παραδοθῇ, μέχρι
πέρατος τῆς ὑποθέσεως. ἀνάγνωθι καὶ τὸ ζ΄ τίτλ(ον) ἐν τῷ ια΄ κε(φαλαίῳ) φη(σί). οὐ μόνος ὁ ἐναγό-
μενος, ἀλλὰ καὶ ὁ ἐνάγων ὑπόκειται μὴ πειθαρχίας. καὶ ἡ ποινὴ οὐκ εἰς τὸ
διάφορον. ἀλλ' εἰς τὸ ἀληθὲς ποσὸν ἁρμόζει. ἢ δι' αἰτίαν οὔτε μετ' ἐνιαυτόν, οὔτε
κληρονόμοις δίδοται. μόνως γὰρ ἐστὶ ποινάλια. ἀνάγνωθι περὶ τῶν μὴ πειθαρχού-
ντων. καὶ β΄ θ΄ τ(ίτλον) γ΄ κε(φάλαιον) νγ΄. καὶ β΄ ιε΄ τ(ίτλον) α΄ κε(φάλαιον) ξη΄. ε΄ τ(ίτλον) λ΄ κε(φάλαιον) γ΄ ἐν τῷ φη. ὁ μὴ-
πειθαρχῶν ἐναγόμενος, ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ μετὰ τῆς ὑποθέσεως. Εἰς δὲ
τὸ ... τ(ίτλον) τοῦ ζ΄ β΄ διαλαμβάνεται. τῶν δικαζομένων καθέδρα εἰς δικαστήριον ἢ μὴ

οὐ δύναται λέγειν, ὅτι ἰδικὸν ἔχει προνόμιον· καὶ ἕτερον θέλει δικαστήν :–

περὶ συγκλητικῶν :–



. 1.

περὶ τῶν μὴ δυναμένων καλεῖσθαι εἰς δίκας:

δυναμένων. οὐδένος ἐν τῷ ϛ' κε(φαλαίῳ) φη'. οὐ χρὴ καλεῖν εἰς δίκην ὕπαρχον ἢ πραίτω-
ρα ἢ ἀνθύπατον ἢ τοὺς ἄλλους ἄρχοντας τοὺς ἐξουσίαν ἔχοντας καὶ δυναμέ-
νους σωφρονίζειν καὶ ἐμβάλλειν εἱρκτῇ. οὔτε ἱερέα ἐν ὅσῳ ἱερατεύει. οὔτε τοὺς
μὴ δυναμένους διὰ τὴν τοῦ τόπου θρησκείαν ἐξ αὐτοῦ ἀναχωρῆσαι. οὔτε τὸν
διὰ δημοσίαν χρείαν ὁδεύοντα τῷ δημοσίῳ δρόμῳ. οὔτε τὸν γαμοῦντα ἢ τὴν γα-
μουμένην. οὔτε δικαστὴν ἐν ὅσῳ διαγινώσκει. οὔτε τὸν ἀλλαχοῦ (δίκην λέγοντα) διαγινωσκόμε-
νον. οὔτε τὸν θάπτοντα τὸν ἴδιον, ἢ τὰ νόμιμα ποιοῦντα τῷ τελευτήσαντι. οὔτε τὸν ἀ-
κολουθοῦντα τῷ λειψάνῳ. οὔτε τὸν ἀναγκαζόμενον ἐπὶ δίκῃ παραστῆναι δικα-
στηρίῳ ἢ ἄλλῳ τόπῳ. οὔτε μαινομένους ἢ ἀτελεῖς ἢ τοὺς ἢ μωρούς. οὔτε πά-
τρωνας ἢ παῖδας πατρώνων. ἢ αὐτοῦ τοῦ αἰτήσει συγγενῶν παρὰ τοῦ πραί-
τωρος εἰς δίκην δυνάμεθα καλεῖν. γονεῖς δὲ λέγομεν, πάντας τοὺς ἀνιόντας ἑκα-
τέρας φύσεως. τοὺς γονεῖς τοῦ θετοῦ μου πρὸς ἀζημίως καλῶ. οὐκ ἔστι γὰρ ἐμοὶ
γονεῖς. ἐν δὲ τῷ ιη' κε(φαλαίῳ). οὐδεὶς ἐκ τοῦ ἰδίου οἴκου (ἕλκεται) (μὴ διδοὺς δὲ ἔξοδον αὐτοῦ) καλεῖται εἰς δίκην. ἑκάστῳ
γὰρ ὁ ἴδιος οἶκος, ἀσφαλές ἐστι (φροντιστήριον) καταφύγιον. καὶ ὁ (ἕλκων) καλῶν αὐτὸν βίαν ἐπιφέ-
ρει. εἰ δὲ πρὸς ἑαυτοῦ δίδωσιν ἔξοδον ἢ θεωρεῖται ἐν τῇ ἀγορᾷ, καλεῖται. ἐν
δὲ τῷ κα' κε(φαλαίῳ). εἰ καὶ μάλιστα ἐάν τις ἀπὸ τοῦ οἴκου καλεῖται, ὅμως οὐδεὶς
ἀπὸ τοῦ οἴκου ἕλκεται. ἐν δὲ τῷ κβ' κε(φαλαίῳ). οὔτε τὰς ἀνήβους κόρας ὑπεξουσί-
ους ἐντυγχανούσας καλεῖν εἰς δικαστήριον ἐπιτέτραπται. ἐν δὲ τῷ κδ' κε(φαλαίῳ). ὁ
(η' τοῖς κληρονόμοις) παρὰ τῶν νόμων ποιηθεὶς τῷ υἱῷ δίδωσιν. ἡ ἀγωγὴ δὲ οὔτε ὁ κληρονόμος, οὔτε
ὁ τοῦ κληρονόμου. οὔτε μετ' ἐνιαυτὸν δίδοται. ὁ δὲ ἀπελεύθερος διχασυνθώ-
μης, τὸν πάτρωνα καλέσας μὴ δυνάμενος δοῦναι τὰ ν' νο(μίσματα) μαστίζεται. ἐν δὲ
τῷ κη' κε(φαλαίῳ). ὁ ἅπαξ αἰτιασάμενός τινα, ἐὰν προσενεχθῆναι τῷ αἰτιαθέντι τὴν ὑ-
πόμνησιν, εἰς ἕτερον καλέσῃ δικαστήριον ἐπὶ ταῖς αὐταῖς αἰτίαις, καὶ τὸ ἀζή-
μιον ποιεῖ τῷ αἰτιαθέντι καὶ τῆς δίκης ἐκπίπτει. ἢ καὶ δικαίαν ἔχει αἰτίαν.
ἐν δὲ τῷ κθ' κε(φαλαίῳ). θεσπίζομεν ἄξει τῶν μεγαλοπρεπεστάτων ἰλλουστρίων πάν-
τας αὐτοὺς τὰς χρηματικὰς ἀγωνίζεσθαι δίκας. καὶ μὴν καὶ τὴν περὶ ὕβρεως
διατελέως καὶ τὸν ἐγκληματικὸν τρόπον κινεῖν καὶ τὸ δεδομένον αὐτοῖς ἐπὶ ταύ-
της προνόμιον. ὥστε μὴ ἀναγκάζεσθαι ἢ ἐμφανισθῆναι τοῖς ἄρχουσιν, ἐν τῷ δι-
κάζουσιν. ἢ παραστῆναι πάλιν, οἷα δικαζομένους. ἑκατέρωθεν γὰρ τὸ πρᾶγμα ἔ-
στιν ἀσφαλές. ἢ τῶν ἀξιωμάτων ὑβριζομένων. ἢ τοῦ δικαστικοῦ σχήματος ἀνα-
ξίως προϊόντος. ἐπεὶ τοίνυν γὰρ τοῖς μεγαλοπρεπεστάτοις ἰλλουστρίοις, ἅπασιν
ἄδεια ἔστω βουλομένοις, καὶ ἐντολέας προβάλλεσθαι. καὶ δι' ἑαυτῶν ἀγωνίζε-

ὅρα λειτουργίαν ἤτοι θεραπείαν ἐκκλησίας:

περὶ ἰλλουστρίων:

κε' σα:

Τοὺς νόμους τοὺς ἐπὶ μεθόδῳ πρα-
ξεως καὶ ὑπομνήσεως· τοὺς γὰρ ἐφεῖται καὶ τοὺς ἐν οἴκῳ
κρυπτομένους αἰτιᾶσθαι. τὴν δὲ αἰτίασιν, οὐδεὶς ἂν εἴη. ἀλλὰ τὴν πρὸ ἀνομίαν ὑπόμνησιν, δικαίως αὐτῆς εἰ ἀποκαλεῖ. μὴ δυσχεραινέτω δὲ ὁ κινῶν, μὴ δυνάμενος τὸν
κρυπτόμενον ἕλκειν εἰς δικαστήριον. ἐνομολογεῖται γὰρ ὡς ὁ λανθάνων καὶ μὴ ἐκδικούμενος, ποινῇ τῇ πρεπούσῃ καθυποβάλλεται.
πέμποντος τοῦ πραίτωρος εἰς νομὴν τῶν ἐκείνου πραγμάτων, τὸν ἀντίδικον αὐτοῦ:

τουτέστιν εἴτε ἐκκλησιαστικῆς εἴτε χρηματικῆς οὔσης τῆς δίκης, εἴτε δημοσίως εἴτε ἰδίως, ἐνισταμένης. δεχομένου δὲ αὐτοῦ τὸ βιβλίον, μόνας προθεσμίας (?) ἐχούσης πρὸ αὐτοῦ διδομένης. καὶ τοῦ [illegible] συνηθείων ἐπιλήψεται ἡμῶν παρερχομένων διάλαξιν, ὑπογράφειν τῶν ἡγουμένων αὐτὸ βιβλίον. δηλοῦντι καὶ τὸν χρόνον καθ' ὃν αὐτῷ τὸ βιβλίον ἐπιδέδοται· ἵνα μὴ καὶ περὶ τοῦτο ἔγκλημά τις γένηται: –

σθαι· οὐδεμιᾶς ἐντεῦθεν οὔτε κολάσεως· οὔτε ζημίας· οὔτε ποινῆς περὶ τὸ τὸ ἐνισταμένης αὐτῆς αὖθις. Ἐν δὲ τῷ θ' τίτ. καὶ ι' καὶ ια'. διαλαμβάνεται περὶ τῶν ἐπιτιθέντων ἐπὶ βλάβῃ τῶν ἀντιδίκων ἑτέρου δυνατοῦ ἀντικαθισταμένων. ἢ ἐξ ἑτέρας ἐπαρχίας. περὶ ὧν εὑρήσεις ἐν τῷ περὶ προσφευγόντων εἰς δυναστὰ πρόσωπα. Ἀλλὰ καὶ τίτ. ιβ' ὁ τοῦ ἐν τῷ β' κεφ. [illegible]. καλούμενός τις ἐπὶ οἱανδήποτε αἰτίαν, πρὸς οἱονδήποτε ἄρχοντα ὀφείλει ἀπιέναι, ἵνα γνωσθῇ εἰ ὑπόκειται τῇ δικαιοδοσίᾳ αὐτοῦ. Ἐν δὲ τῷ ι' κεφ. κἀκεῖνο θεσπίζομεν. ἐπειδὰν ὑπόμνησις προσενεχθῇ τινί, πάντως ἐπιδίδοσθαι βιβλίον, καὶ μὴ κατὰ τὸ παλαιὸν δέκα μόνον ἡμερῶν ἔχειν τὸν ὑπομνησθέντα προθεσμίαν· ἀλλὰ διπλασίαν, τουτέστιν κ'. ὥστε εἴτε παραιτεῖσθαι βουληθείη, εἴτε καὶ συνδικαστὴν αἰτεῖσθαι· ἄδειαν ἔχειν τοῦτο ποιεῖν. ἢ καὶ ἴσως ἐπιλύσασθαι τὸ ὄφλημα· καὶ ἀπαλλαγῆναι πρὸς ἀντίδικον τὸν αὐτοῦ φιλικῶς. καὶ μὴ κατ' ἐπήρειαν καὶ ἐπιδρομὴν γίνεσθαι ὑποδικασθῆναι· ἴσως ὑπόπτῳ, ἴσως ἀκαταθυμίῳ. πολλάκις δέ τε καὶ οἴκοθεν, ἐπὶ τῶν [illegible] διοικουμένῳ. καὶ τοὺς τὴν δίκην ὑπομένοντας· οὐδένα καιρὸν ἔχοντας πρὸς τὸ μαθεῖν. εὐθὺς ἐνιστάμενος ἀπαιτεῖ. Εἰ δὲ ταῦτα μὴ παραφυλαχθῇ, κἂν δόξειέ τις γίνεσθαι προκατάρξις, αὐτὴ μηδενὸς αὐτὴν εἶναι. ἀλλ' ἄδειαν εἶναι καὶ μετὰ τὴν τοιαύτην προκατάρξιν, ἕως τῶν τελειουμένων εἴκοσι ἡμερῶν· οὕτως ἅπαντα πράττειν. ὥσπερ μηδὲ τὴν ἀρχὴν ἐγενομένης προκατάρξεως. Εἰ δὲ ἅπαξ τις παραιτησάμενος τὸν δικαστὴν ἕτερον λάβοι· οὐδ' ὅλως ἐπ' αὐτῷ καὶ τὸν ληφθέντα αὖθις παραιτεῖσθαι. ὥσπερ γὰρ αὐτοῦ κηδόμεθα· οὕτω διὰ ἀναβολὴν τὰ πράττεσθαι τε κατὰ τοῦ ἐνισταμένου παντελῶς ἀποστρεφόμεθα. Ἀλλὰ καὶ τίτ. ιδ'. ὁ τοῦ ε' κεφ. [illegible]. ὁ τὸν ὁμολογουμένως ἀπορῶντα πρὸς τὴν ὑπόθεσιν. καὶ ὁ τὸν δοκιμασθέντα ἀπορεῖν μὴ δεχόμενος, ἔστιν ἐπὶ παρασάσει (?)· καὶ αὐτῷ καὶ τῷ ἐνισταμένῳ ὑπόκειται τῇ περὶ ὕβρεως ἀγωγῇ. ὁ δὲ κατηγορίας ἐπιτιμίοις δοθεῖσα ἀσφάλεια, ἢ ἐγγύη, οὐ δοκεῖ δεδόσθαι. Ἐν δὲ τῷ ιβ' κεφ. τοῦ ζ'. ὁ ὀμόσας παρεῖναι, καὶ ἀδόλως ἀπολειφθείς, οὐκ ἐπιορκεῖ. Ἐν δὲ τῷ ις' κεφ. ὁπότε καὶ τοὺς δικαστὰς οὐκ ἄλλως τὰς δίκας διαιρεῖν συνεχωρήθη, εἰ μὴ τῶν ἁγίων εὐαγγελίων προκειμένων. καὶ τοὺς συνηγόρους τῶν δικῶν ἐν παντὶ τῷ κύκλῳ τῆς γῆς. ὅσα τῆς κύκλος ἡ ῥωμαϊκὴ βασιλεία ὑπόκειται. πρὸς τὸν ὅρκον εἰσιέναι καὶ οὕτω διανοεῖσθαι τὰς δίκας διετυπώσατο, καὶ ἀναγκαῖον ἐπιτιθέμεθα καὶ τὸν παρόντα νόμον προσθεῖναι· διὸ θεσπίζομεν, ἐν πάσαις ταῖς δίκαις αἵτινες ἐπὶ [illegible] μετὰ τὸν παρόντα νόμον ἀρχθεῖεν· μὴ ἄλλως μὴ

περὶ προκαταρξέως πῶς ὀφείλει γίνεσθαι. καὶ περὶ τῶν κ' ἡμερῶν τῶν διδομένων τῷ ἐνισταμένῳ ἐν αἷς δύναται παραιτεῖσθαι τὸν δικαστήν: –

περὶ τῶν ὅρκων τοὺς δικαζομένους καὶ τοὺς συνηγόρους αὐτῶν, ἐν τῇ προκατάρξει: –

ἢ τὰ τοῦ ἐνάγοντος· μὴ δὲ τὰ τοῦ φεύγοντος ἐν τῷ προοιμίῳ τῆς δίκης ἐξετά-
ζειν ἀμφίβολα· δεῖ μὲν γὰρ τὴν διάγνωσιν καὶ τὴν ἀπόκρισιν οἱ ἑκατέρου μέρους
συνήγοροι τὸν ὅρκον τὸν νόμιμον παρέχωσιν· ἢ αὐτὰ τὰ πρωτότυπα πρόσωπα
ὑπεισέλθωσιν ὅρκον· καὶ ὁ μὲν ἐνάγων ὀμόσει μὴ ψυχῇ τοῦ συκοφαντῆσαι
τὴν δίκην κεκινηκέναι· ἀλλ' ἐν τῷ νομίζειν καλὴν δίκην ἔχειν· ὁ δὲ ἐναγόμενος,
ὅτε νομίζων ἑαυτὸν καλῇ ἐνστάσει κεχρῆσθαι, εἰς τὸ ἐναντιωθῆναι ἦλθε· καὶ
μετὰ ταῦτα τοὺς ἑκατέρου μέρους συνηγόρους· ὅτε ἤδη διαλυπωθεὶς ἐστὶ πρ(ὸ)
ἡμῶν ὅρκος, τοῦτον παρέχειν τῶν εὐαγγελίων πρὸ τοῦ δικαστοῦ κειμένων· εἰ
δὲ ἡ ἀξία ἢ φύσις προσώπου μὴ συγχωρήσῃ αὐτὸ τὸ πρόσωπον πρὸς τὸν
δικαστὴν παραγίνεσθαι· ἐν τῷ οἴκῳ τοῦ δικαζομένου τὸν ὅρκον προβαίνειν.
τοῦ ἑτέρου διαλαλουμένου, ἢ τοῦ ἐντολέως αὐτοῦ παρόντος· ἀνάγνωθι καὶ τὸ ιε.
τούτου ἐν τῷ α κε(φαλαίῳ) φη(σί)· ὁ ὁμολογήσας παρεῖναι τὸν ἐφ' ᾧ ἐνοχὴν ἡ ἀγωγὴν
ἔχω, ὅπως ὀφείλει· καὶ ἐν τῇ προκαταρκτικῇ παρεῖναι· ἵνα μὴ χείρων ἡ ἀγωγὴ
γένηται· ἀνάγνωθι καὶ τὸ ις· τούτου ἐν τῷ α κε(φαλαίῳ) φη(σί)· κ μίλια καθ' ἡμέραν λογί-
ζεται ἀφ' ὅσου ὀφείλει παρεῖναι, ὑπεξῃρημένης τῆς ἡμέρας καθ' ἣν ὡμολόγησε,
καθ' ἣν αὐτὸν παρεῖναι· ἐν τῷ δὲ ς κε(φαλαίῳ)· τοῦ ἀπολειφθέντος προστίμου δι-
μοστὰ αἴτια, καὶ οἱ ἐγγυηταὶ βοηθοῦνται· ἐν τῷ δὲ η κε(φαλαίῳ)· καὶ ἐν ἐξῆς καὶ ἐκ
πλείους ἡμέρας τοῦ ἐκπροθεσμίας τὸ δικαστήριον ὑποδεχόμενος ὁ ἐναγό-
μενος βοηθεῖται διὰ παραγραφῆς· εἰ μὴ ἐκ τῆς ὑποθέσεως ὁ ἐνάγων ἐβλάβη.
ἐν τῷ δὲ ζ κε(φαλαίῳ)· ἐὰν ὁμολογήσω πολλοὺς δούλους παρεῖναι, καὶ τοὺς ἐναμι-
εασθῶ, βεβαιοῦται μὲν εἰς ὁλόκληρον ἡ ποινή· διὰ δὲ παραγραφῆς, μόνην τὴν ἀ-
ναλογίαν τοῦ μὴ παρεῖναι τοὺς δούλους· ἐν τῷ δὲ ιη κε(φαλαίῳ) τὸ διαλαμβάνεται περὶ
ἐκδόσεων· τούτου ἐν τῷ α κε(φαλαίῳ) φη(σί)· ὁ ἐνάγων τινί, ὀφείλει τὴν ἀγωγὴν αὐτῷ προ-
εκδοῦναι· ὥστε χώραν αὐτὸν ἔχειν ἢ διαλύεσθαι· ἢ εἰδότα ὑπαντῆσαι, προ-
εκδοῦναι δὲ ὀφείλει· καὶ τὸ πρᾶγμα αὐτῷ οἰκείᾳ χειρὶ μεταγράψασθαι· καὶ τὸ σημειώ-
σαι ἐν χάρτῃ καὶ παραδοῦναι αὐτῷ οἰκείᾳ χειρὶ καὶ τὸ ἀπαγορεύεται· καὶ τὸ ὑπο-
δέξασθαι ἀπὸ τοῦ χάρτου τὴν ἀγωγήν· ἢ προσκομίσαι τὴν πυκτήν· ὡς ἐν τῷ ς κε(φαλαίῳ)
φη(σί)· ἐν τῷ δὲ η κε(φαλαίῳ)· ὁ μὴ ἐκδοὺς ζημιοῦται ἐνέχεται εἰς ὅσον διαφέρει· ὅτε διεξάγεται
περὶ τῆς ἐκδόσεως, ὅτε μηδὲν ὕστερον· ἢ πλεῖον ἢ ἧττον διαφέρει· ἀνάγνωθι
β(ιβλίον) ζ τ(ίτλον) α κε(φάλαιον) ση ἐν ᾧ φη(σί)· μὴ δεῖ μὲν προκατάρξιν ἐξέστω τινὶ παραιτεῖσθαι
τὸν δικαστήν· μετὰ δὲ πρὸ ἀποφάσεως ὡς ἐξέστω τινὶ πρὸ τρε ἐκκαλέσασθαι· ἀνάγνωθι
β(ιβλίον) ν λ τ(ίτλον) λ κε(φάλαιον) κζ ἐν ᾧ φη(σί)· ὁ ἐνάγων τὴν ἐναγωγὴν τὴν ἑαυτοῦ, οὐ παραγραφῇ.

περὶ τοῦ ὀμνύειν οἴκαδε τοὺς ἀξιωματικούς· ζ

περὶ τῶν κ μιλίων τῶν ἑκάστῃ ἡμέρᾳ λογιζομένων ἐν ταῖς ἐνάγουσι· ς

λ'.

ἀλλ' αὐτὴ ἡ παραγραφὴ δύναται ἰσχυροποιεῖν. βιβλ. καὶ β' μβ' τί. δ' κεφ. διαμαρ-
τάνεται. περὶ τῶν ἐνδικαστικῶς ἐρωτωμένων καὶ ἀποκρινομένων. ὅτι μὲν ὁ
κεφ. β' κεφ. φη. πρὸς μόνην ἀπόδειξιν, ἀρκεῖ ἡ τοῦ ἐρωτωμένου ἀπόκρισις.
οὔτε ταῖς κληρονομίαις, οὔτε τοῖς ἄλλοις πράγμασιν. Ἐν τῷ αὐτῷ ια' κεφ. Ἐὰν
ὁ μὴ ὢν κληρονόμος ἐρωτηθεὶς εἴπῃ κληρονομεῖν τοῦτον, ἐνάγεται πρὸς αὐ-
τόν. πιστεύεται γὰρ καθ' ἑαυτοῦ. Ἐν τῷ καὶ μερικῶς ὤν, ἢ ὁ μὴ ὅλως εἴπῃ κληρο-
νομεῖν, εἰς ὁλόκληρον ἐνάγεται. καὶ ὁ εἰπὼν εἰς ἧττον μέρος κληρονομεῖν.
εἰ πρέπει εἰ μὴ δηλῶς ἐπλανήθη. ἴσως γὰρ αὐτὸν προσεύξησεν ἀγνοοῦντι
ἢ εἰς ἄδηλον μέρος ἐγράφη κληρονόμος. Ἐν τῷ αὐτῷ ιβ' κεφ. ἔξεστι τῷ ἀποκρι-
νομένῳ μεταμέλεσθαι. εἰ μὴ ἐντεῦθεν ὁ ἐνάγων ζημιοῦται. καὶ μάλιστα εἰ
μετὰ ταῦτα τις ἔγνω ἐκ δικαστηρίων ἢ ἐπιστολῶν περὶ τοῦ ἰδίου δικαίου.
Ἐν τῷ αὐτῷ ιγ' κεφ. τότε πλαστῶς καταθέμενος τις ἐνέχεται. ὅταν ἀπὸ τῆς αἰ-
τίας ἐξ ἧς ἠρωτήθη, ἀγωγὴν καταλλήλως ἁρμόζῃ. τὴν γὰρ καθ' ἑτέρου, εἰς ἑαυ-
τὸν μεταφέρει. βιβλ. καὶ β' μζ' τί. α' κεφ. λ' ἐν τῷ φη. ὁ ἐνδικαστικῶς ἀποκρι-
νόμενος μὴ ἔχειν ἐπιφέρεσθαι, τὴν ἰδίαν ἀγωγὴν ἀπολλύει. οὐδεὶς γὰρ δύναται
ἀναιρεῖν, ἣν ἐνδικαστικῶς ἐποιήσατο κατάθεσιν :—

Περὶ διαμαχομένων. καὶ πότε ἔξεστι διαμάχεσθαι. καὶ πότε οὐκ ἔξεστιν. καὶ ποῖαι τῶν διαμαχομένων οὐ κρατοῦσιν. βιβλ. α' ια' τί. β'. ὅτι μὲν ος ἐν τῷ α' κε-
φαλαίῳ φησί :— κζ'

Ὁ διαμαχόμενος ὡς ἂν εἰ περὶ πράγματος ἀμφιβόλου καὶ δίκης ἀδήλου καὶ ἀ-
πληρώτου διαμάχεται. ὁ δὲ συμφωνῶν ἢ δωρεὰν πράγμα δῆλον καὶ ἀμφίβολον,
φιλοτίμως συγχωρεῖ. Ἐν τῷ αὐτῷ ς' κεφ. ἐκ τῶν ἰδιωτικῶν συμφώνων, ἕτερος οὐ
βλάπτεται. ὅθεν ἐὰν διαμάχονται ὁ γεγραμμένος πρὸς τὴν μητέρα τοῦ διαθεμένου,
οὐ δοκεῖ ἀκυροῦσθαι ἡ διαθήκη. ἀλλ' ἐνάγουσιν αὐτὴν οἱ λεγατάριοι, καὶ ἐὰν ὁ
λέγων ἑαυτὸν κληρονόμον, διαμαχησάμενος λάβῃ χρήματα. ὁ μετὰ ταῦτα διαμαχησά-
μενος φαινόμενος κληρονόμος, οὐ λαμβάνει αὐτὰ παρ' αὐτοῦ. οὔτε κεκίνηται τὰ
παραγραφῇ τῆς διαμάχης. Ἐν τῷ αὐτῷ ς' κεφ. περὶ τῶν ἐκ διαθήκης φιλονεικίαν
ἐχόντων. οὔτε διαμάχεσθαι δυνατόν, οὔτε τὸ ἀληθὲς ζητεῖσθαι. μὴ προκομιζομέ-
νων τῶν τῆς διαθήκης ῥημάτων, ὁ ἐπαγγελλόμενος ἢ δυνάμενος ἐπαγγέλλεσθαι
καλῶς διαμάχεται. Ἐν τῷ αὐτῷ η' κεφ. θε. ις'. ἐὰν διαμάχωνται πρὸς τοὺς ἐπιτρόπους
ὡς περὶ τοῦ ἐμοῦ μέρους, οὐ κωλύονται κινεῖν αὐτοὺς ἐκ προσώπου τοῦ ἀδελ-
φοῦ κληρονομεῖν αὐτοῦ. Ἐν τῷ αὐτῷ ιζ' κεφ. πᾶσα διάλυσις ἐπὶ μόνοις κρατεῖ



βιβλ. β' ζ' τοῦ κώδ. τί. ξ' κεφ. α' ἐν
τῷ φη. τὰ μεταξὺ ἄλλων γενόμενα,
ἄλλους οὐ βλάπτει. καὶ ἡ μεταξὺ
ἄλλου γενομένη διάλυσις. ἑ-
τέρου προκειμένη οὐ γὰρ ὁ
φησὶν ἄλλων ἢ μεταξὺ ἄλλου
προβαίνει διάλυσις :—

ἐφ' οὗ ἐπιτρέπει τὴν διάλυσιν
αὐτὸς ὁ διαμαχόμενος, οὐκέτι
δύναται κινεῖν. ἑτέρως δὲ βου-
λομένῳ κινῆσαι τὸ ἔγκλημα,
οὐδὲ ἐν γίνεται πρόκειμαι, ἐξ
ὧν ἕτερος περὶ τοῦ αὐτοῦ ἐγκλή-
ματος διήνυσε. ἐνθα μέντοι
οὐ δέχεται τὸ σύμφωνον ἢ δι-
άλαξις ἐρρῶσθαι, ὡς ἐπὶ τῶν
μὴ κεφαλικῶν. τότε καὶ αὐτὸς
ὁ πακτεύσας, οὐ κωλύεται διὰ τὸ
πάκτον, κινῆσαι τὸ ἔγκλημα. καὶ
γὰρ ἐπὶ πάσης ἀξίας οὐ διαμάχης,
καὶ αὐτὸς ὁ διαμαχησάμενος ἄνωθεν
κινεῖ. ὡς μὴ ἀντιπίπτουσι αὐ-
τῷ τῆς ἀνυποστάτου διαμάχης :—

τοῖς συναρέσασι. Ἐν δὲ τῷ ιη' θέματι. ὁ κατὰ ἀπάτην τῶν συγκληρονόμων αὐτοῦ τὰ διαθήκης ἀγνοῶν διαλυσάμενος οὐκ ἀκωλύτως ἀπαλλάττεται, εἰ μὴ συμφωνηθῇ δηλαδή. Ἐν δὲ τῷ ιθ' θέματι. ὁ ἀγνοῶν καταλειφθῆναι αὐτῷ τὴν περὶ τῆς διαθήκης μέμψιν. ἐὰν περί τινων ἑτέρων πρὸς τὸν ἀντίδικον διαλύσηται, ἐν αὐτοῖς μόνοις βλάπτεται. Ἐν δὲ τῷ κ' θέματι. οὐδὲ τοὺς τρίτους βλάπτει διάλυσις ἡ μὴ ἐφ' οἷς γέγονεν. οὐ μὴν τοῖς ὕστερον ἁρμόζουσιν αὐτῷ, περὶ ὧν μὴ ἀποδείκνυται ἐνθυμηθείς. Ἐν δὲ τῷ κα' θέματι. ἡ παρὰ τοῦ πατρὸς γενομένη διάλυσις ἐπὶ πράγματι τοῦ αὐτεξουσίου παιδός, οὐκ ἀντίκειται τῷ παιδί. Ἐν δὲ τῷ κβ'. μετὰ ψήφου κἂν μὴ ἐκκληθῇ, δυνατὸν διαλύεσθαι ψηφισθῆναι, ἢ δύναται ἀνατρέπεσθαι ὅτε ἐψηφίσθη. ἐὰν γὰρ τὰ μέρη δύνανται δικάζεσθαι. Ἐν δὲ τῷ κγ' θέματι. ὁ νομίμως διαλυόμενος, καὶ ποινὴν ἐπὶ παραβασίας πρὸς τὸ ἐπερωτᾶσθαι τὴν διάλυσιν ὁμολογῶν, ἀπαιτεῖται. Ἐν δὲ τῷ κδ' θέματι. τὰς ὑποθέσεις αὐτὰς ἤτοι τὰς δίκας τὰς διαλυθείσας νομίμως πραχθέντας, οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἀνατρέπεσθαι χρή. Ἐν δὲ τῷ κε' θέματι. ἐπὶ τῶν δι' αἵματος ἐχόντων τὴν τιμωρίαν ἐγκλημάτων, ἔξεστι διαλύεσθαι χωρὶς τοῦ τῆς μοιχείας ἐγκλήματος. ἐπὶ δὲ τῶν ἄλλων τῶν μὴ ἐχόντων δι' αἵματος τὴν τιμωρίαν, οὐκ ἔξεστι διαλύεσθαι χωρὶς τοῦ τῆς πλαστογραφίας ἐγκλήματος. τὸ γὰρ τῆς πλαστογραφίας ἔγκλημα, εἰ καὶ μὴ ἔχει δι' αἵματος τὴν τιμωρίαν, ὅμως ἔξεστιν ἐπ' αὐτῷ διαλύεσθαι. ἁπλῶς οὖν κανόνιζε σεαυτὸν κατὰ τὴν διάταξιν. ὅτι εἰς μὲν τὰ δι' αἵματος ἐπιφέροντα τὴν τιμωρίαν, καλῶς διαλυόμεθα, ὑπεξῃρημένου τοῦ τῆς μοιχείας ἐγκλήματος. ὅτε δὲ μὴ ἔχει δι' αἵματος τὴν τιμωρίαν, ἐπὶ τούτοις οὐκ ἔρρωται ἡ διάλυσις, χωρὶς τοῦ τῆς πλαστογραφίας ἐγκλήματος. Ἐν δὲ τῷ κς' θέματι. διαλυσάμενός τις καὶ βουλόμενος ἀνατρέψαι τὴν διάλυσιν, ἔλεγεν· ὅτε μὴ ἔχων μου τὰ δικαιώματα, ὅτε διελυσάμην, συναρπαγὴν ὑπὸ τοῦ ἐμοῦ ἀντιδίκου. νῦν δὲ εὗρον τὰ ἐμὰ δικαιώματα, ὅθεν καὶ παρακαλῶ τὴν διάλυσιν ἀνατρέψαι. ἀλλ' ὁ βασιλεὺς ταύτην αὐτοῦ τὴν δικαιολογίαν οὐ προσεδέξατο. λέγει· ὡς ἐὰν ἀποδείξῃς ὅτι ὁ ἀντίδικός σου, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἑτέρου ὑφείλετο τὰ δικαιώματά σου δι' ὧν ἡ ἀλήθεια ἀπεδείκνυτο καὶ οὕτω τὴν πρὸς σὲ διάλυσιν ἐποιήσατο. ἐὰν δὲ ἐκ τούτου ἡ ἀγωγή, μέχρι τοῦ συμφώνου δηλονότι. ἐπιτρέπεταί σοι κινῆσαι καὶ μετὰ τὴν διάλυσιν τὴν σὴν ἀγωγήν, ἐντὸς τῶν ὡρισμένων αὐτῇ χρόνων, ἐν τοῖς ἔχουσι θάνατον τὴν καταδίκην, ἔξεστι τῷ ἐναγομένῳ ὑποφθείρειν τὸν ἀντίδικον. καθὼς καὶ ἐν τῷ περὶ ὑποφθορᾶς δηλώσεως γέγραπται. Ἐν δὲ τῷ λ' θέματι. διαλυσάμενός τις ἐν μείζονι ἡλικίᾳ τῶν κε' ἐνιαυτῶν. ἅμα δὲ γενέσθαι τὴν διάλυσιν διεμαρτύρατο τὸν διαλυσάμενον, ὡς διὰ

ὁμοίως βιβλ. ε' κεφ. με'.

σχ. Ἐν τοῖς ἔχουσι θάνατον τὴν καταδίκην ἔξεστι τῷ ἐναγομένῳ ὑποφθείρειν τὸν ἀντίδικον καθὼς καὶ ἐν τῷ περὶ ὑποφθορᾶς δηλώσεως γέγραπται:

ἀνάγνωθι καὶ τὸ ς' κεφ. τοῦ β' τίτ. τοῦ ιβ' ὅπερ εὑρήσεις κείμενον πρὸ τῶν ἀνταποδόσεων ἐπὶ ἀναγκαίᾳ αἰτίᾳ διδομένων. ἀνάγνωθι καὶ τοῦ ξ' βιβ. τίτ. λζ' κεφ. ... ὅτι περὶ τοῦ ἐγκλήματος τῆς μοιχείας συμφωνεῖν οὐκ ἔξεστιν:

τουτέστιν ἐν αἵματι:

δ'.

αὐτῷ πεποιηκότα, καὶ μετὰ τοῦτο προσῆλθε βασιλεῖ θέλων ἀναιρέψαι τὴν διάλυσιν καὶ ἀντέγραψε πρὸς αὐτὸν ὁ βασιλεύς, οὕτως· εἰ μείζων ὑπάρχων διελύσω, εἰς ἀνατροπὴν τῆς διαλύσεως ἡ περὶ τοῦ δόλου διαμαρτυρία οὐκ ἐξαρκεῖ. ἐν τῷ δὲ λς' κεφ. ἡ διάταξις ἐν ἀρχῇ κανόνα θαυμαστὸν ἐκτίθεται τὸν λέγοντα, ὅτι καὶ ἐν ὑπομνήμασι καὶ χωρὶς ὑπομνημάτων καὶ ἡ ἐγγράφως καὶ ἡ ἀγράφως γινομένη διάλυσις, βεβαία ἐστί· λοιπὸν ἕτερον νόμιμον ἐπιφέρει τοιοῦτον. ἐπειδὴ ῥητά τινα ὡς ἐλάβετο συνεφωνήθη ἐκ τῶν ἀγράφων. καὶ οὐ δ' ἐπερώτησις ἐπηνέχθη· εἰ καὶ τὰ μάλιστα ἀπὸ συμφώνου οὐκ ἠδύνατο κινεῖσθαι ἀγωγή· ὅμως ἐὰν ἐκδικήσῃς τὰ πράγματα περὶ ὧν διελύσω· ὁ πρὸς σὲ διαλυσάμενος, συμφώνου παραγραφῇ αὐτῷ ἀντιθήσει διὰ αὐτεγραφῆς δόλου ἢ ἰν φάκτουμ· δύνασαι αὐτὸν συναναγκάσαι πληρῶσαι σε τὰ ἐπαγγελθέντα. ἐν τῷ δὲ λζ' κεφ. περὶ πραγμάτων τινῶν δύο τινὲς πρὸς ἀλλήλους ἐφιλονείκουν, καὶ ὁ περὶ τούτων τῶν πραγμάτων ἐναγόμενος, διελύσατο· ἀλλὰ μετὰ τὴν διάλυσιν ἀπεδείχθη ὅτι τοῦ ἑτέρου ἦν ταῦτα τὰ πράγματα· καὶ ἐβούλετο ὁ περὶ αὐτῶν διαλυσάμενος, ἀναιρέψαι τὴν διάλυσιν λέγων· ἐπειδὴ περὶ τούτων τῶν πραγμάτων ὡς νεμόμενος αὐτὰ διελυσάμην· ἰδοὺ δ' ἐφάνη τοῦ ἑτέρου εἶναι ταῦτα τὰ πράγματα, προσήκει τὴν διάλυσιν ἀναρραγῆναι· καὶ λαβεῖν ἅπερ δέδωκα λόγῳ διαλύσεως. ταύτην τοίνυν ἀποδοκιμάζουσα τὴν αἴτησιν ἡ διάταξις, ἀντιγράφουσα· προφάσει τῶν ἑξῆς τῶν μετὰ ταῦτα εὑρεθέντων, τὰς διαλύσεις περαιωθέντα ἀναιρεῖσθαι, κωλύουσιν οἱ νόμοι. ἐν τῷ δὲ λη' κεφ. ὁ περὶ μιᾶς αἰτίας ἐναγόμενος καὶ διαλυσάμενος εἰ καὶ ῥητῶς ἐπαγγείλῃ μηδὲν πλέον ἀπαιτεῖν· καὶ μετὰ δὲ πρόσωπον τελείως ἕνεκεν τῆς αἰτίας. ὅμως ἐρρωμένας ἔχει τὰς ἐξ ἄλλων αἰτιῶν ἁρμοζούσας αὐτῷ κατ' ἐκείνου πρὸς ὃν συνηλλάγη ἀγωγάς. ἐν τῷ δὲ μ' κεφ. ἡ κεκυρωμένη διάλυσις ἐξενεχθεῖσα ἀπόφασις κατὰ τὴν τῶν νόμων παράδοσιν, εἴτε ἐκκλήτου εἴτε ἀποκαταστάσεως ἀνηρέθη· περὶ τῆς τοιαύτης ἀποφάσεως μᾶλλον γίνεσθαι διάλυσιν οὐκ ἔστιν ἀμφίβολον· τοιγαροῦν εἰ μὴ ἀκουιλιανῆς ἐπερωτήσεως καὶ ἀποχῆς καὶ ἀμέσως ἐπακολουθησάσης τὴν ἁρμόζουσαν οἱ ἀντλεῖς ἀγωγήν· ὁ ἄρχων τῆς ἐπαρχίας ὡς ἔθος κατὰ τὸν τῶν νόμων τοῖς κειμένοις πράγμασι πέρας ἐπιθῆναι καὶ ἀποπληρῶσαι σπουδάσει. ἐν τῷ δὲ μα' κεφ. εἰ μετὰ νεωτέρου διαλύσεταί τις ἐν τῷ δὲ εἶναι μείζων τῶν κε' ἐνιαυτῶν, ἐπὶ δὲ τὴν ἀνάληψιν παρ' αὐτοῦ· εἰ καὶ τὰ μάλιστα μήπω δεδώκασιν οἱ διαλυσάμενοι τὰ ἐπαγγελθέντα· ὅμως κωλύονται τῇ τοῦ συμφώνου παραγραφῇ ἢ ἀπὸ τῆς διαλύσεως αὐτοῖς ἁρμοζούσῃ. ἐν τῷ δὲ με' κεφ. διελύσατό τις ἐπαγγειλάμενος ῥητά τινα καταβαλεῖν ἐν παρὰ τῆς διαλύσεως· ἐπερωτηθεὶς δ' ἐναντίον τι ποιεῖ τῇ διαλύσει [illegible]. φανερὸν δὲ δύναται προστιμῶν· ἀλλ' οὐ καθέλκει ἀπὸ συνεφώνησε. λέγει τοίνυν ἡ διάταξις. τὸν

περὶ ἀγράφου διαλύσεως:-

αὐτεθέσει

ζη'

ἐπερωτηθέντων ἕνεκεν διαλύσεως μὴ καταβληθέντων, τὸ πρότερον τὸ ἐξ ἐπερωτήσεως
καταβληθὲν ἢ ἐναντίον τί ποτε γένηται, ἀπαιτεῖσθαι δύναται ὡμολόγηται. οἶδας τὴν
κοινότητα τοῦ συμφώνου καὶ τῆς διαλύσεως· ὅτι σύμφωνον μέν ἐστι ὁμολογουμέ-
νου χρέους συγχώρησις· διάλυσις δὲ, ἀμφιβαλλομένου χρέους συμβιβασμός. τοῦ-
του οὖν μεμνημένος, ἴθι δὲ ἐπὶ τὸ προκείμενον. πολλάκις φιλονεικίαν ἔχων
πρός τινα καὶ μὴ δυνάμενος αὐτὸν συμπεῖσαι ἐπιθυμῶ τὸ ἀληθὲς ἢ ἀπραγμόνως
ἀπαλλαγῆναι σου. ἦλθον ἐξάπινα εἰς τὸν οἶκον αὐτοῦ, ἀπῆλθε ἑταῖρε οὐ δύναμαι
σοι διαλέγεσθαι πρὸς σέ· ἢ καὶ φίλοι σου πολλάκις παρεκάλεσάν με διαλύσα-
σθαι πρὸς τὸν ἐμὸν διάδικον καὶ εἶπον ὅτι διαλύομαι· ἆρα διάλυσις τοῦτό ἐστι.
λέγει τοίνυν ἡ διάταξις ὅτι πάντως διάλυσις ἢ δοθῆναι τί ποτε ζητεῖ τῷ διαλυσαμένῳ, ἢ
παρακαταθεθῆναι τί ποτε παρ' αὐτοῦ· ἢ ἐπερωτηθῆναι τί ποτε αὐτόν. καὶ εἰ μηδὲν τού-
των γένηται, οὐκ ἔστι διάλυσις· διάλυσις γὰρ οὐδενὸς δοθέντος ἢ παρακαταθεθέντος
ἢ ὁμολογηθέντος, οὐδαμῶς προβαίνει. ἐν δὲ τῷ μζ΄ κεφ. διαλυσάμενός τις, ὕστε-
ρως μετεμελήθη, καὶ προσῆλθε βασιλεῖ λέγων· ὅτι ἔλαθον παράλογον ὡς ἔξεστι τῷ
διαλυσαμένῳ, ἕως φανεροῦ χρόνου ἀναιρεῖν τὴν διάλυσιν ἣν ἐποιήσατο. μὴ
προσδεχόμενος οὖν τὴν αἴτησιν αὐτοῦ ὁ βασιλεὺς ἀντέγραψε πρὸς αὐτὸν οὕτως.
εἰ καὶ τὰ μάλιστα ἐκεῖνον τὸν συμφωνήσαντα παραχρῆμα μεταμεμελῆσθαι ἔδοξε, ὅμως
ἡ διάλυσις ἀναιρεθῆναι καὶ ἡ δίκη ἀνανεωθῆναι οὐ δύναται. καὶ εἴ τις τι συνεβού-
λευσεν ὡς ἐντὸς ῥητοῦ ἔξεστι τῆς διαλύσεως ἀναχωρεῖν τὸν ἅπαξ διαλυσάμενον, πλα-
στόν τί ποτε καὶ ψευδές τι διεβεβαιώσατο. ἐν δὲ τῷ μη΄ κεφ. ἡ διάταξις αὐτὴ παρακελεύεται
τὸν συμφωνήσαντα ἢ τὸν διαλυσάμενον ἐγγράφως· καὶ ἐπαγαγόντα καὶ ἀκουιλιανὴν ἐ-
περώτησιν καὶ ἀποχὴν καὶ ἀμεριμνίαν· ἢ φυλάττειν βεβαίαν τὴν διάλυσιν, ἢ παρα-
βαίνοντα καὶ τὸ πρόστιμον ἀπαιτεῖσθαι τὸ ἐπερωτηθέν· καὶ διδόναι ἐκεῖνα, ὅσα
λαβὼν διαλύσεως χάριν. ἐν δὲ τῷ μθ΄ κεφ. ἐάν τις μείζων τῶν κε΄ ἐτῶν ὑπὸ μηδενὸς ἀ-
ναγκαζόμενος ἢ δυναστείαν οἰκείαν ἑκουσίως σύμφωνα ποιησάμενος ἢ δι-
αλύσεις, βουληθῇ ἀναιρέσαι τὰ παρ' αὐτοῦ γεγονότα· ἢ ἄρχοντι προσιὼν ἢ δεήσεις
ἐπιδιδοὺς βασιλεῖ, ἢ μὴ πληρῶν τὰ ἐπερωτηθέντα. τούτοις δὲ τὰς διαλύσεις ἐβεβαί-
ωσε τῇ ἐπικλήσει τοῦ παντοδυνάμου θεοῦ· μὴ μόνον ἀτιμοῦσθαι, ἀλλὰ καὶ πά-
σης ἁρμοζούσης αὐτῷ ἀξίας ἀποστερεῖσθαι. διδόσθαι δὲ καὶ τὸ πρόστιμον ἐπὶ
τοῖς συμφώνοις ἢ ταῖς διαλύσεσιν ἐγκείμενον· καὶ ἐκπίπτειν τῆς δεσποτείας τῶν
πραγμάτων ἐκείνων ἅτινα προφάσει τοῦ συμφώνου ἢ τῆς διαλύσεως ἐκέρδη-
σε. ταῦτα δὲ πάντα ὅτε ὁ παραβαίνων τὴν διάλυσιν ζημιοῦται. κρατυνέτω

τὸ ἕτερον μέρος τὸ σπουδάζον φυλάξαι βεβαίαν τὴν διάλυσιν. καὶ ἐκείνους δέ φησι τῆς αὐτῆς ζημίας ἀξίους εἶναι κατὰ νόμους· οἵτινες τὴν ἡμετέραν θειότητα τοῖς νόμοις ἢ ταῖς διαλύσεσιν ἐντιθέντες ἢ τῆς θείας τῶν βασιλέων ἐπομνύντες τὸ φυλάττειν τὰ σύμφωνα ἢ τὰς διαλύσεις ἃς παραβαίνουσιν. βι. δ' ἢ κε'. Ἐάν τις πλαστοῦ χάρτου χάριν γραμματίου προσενεχθέντος κατ' ἐμοῦ, συγχρεώσηται(?) μετ' ἐμοῦ. ἢ πλαστὴν διαθήκην ἢ κωδίκελλον προσενεγκὼν ἀπῄτησέ με δῆθεν λεγάτον ἐν τοῖς τοῖς συμβολαίοις αὐτῷ καταλειφθέν· εἰ δὲ πρὸς τὴν τοιαύτην ἐναγωγὴν διηγωνισάμην· ἐξετασθεί(?) δὲ καὶ φανερωθέντος γέγονεν ἡ διάλυσις, ἀναιρέπειν αὐτήν. ὡς προφάσει πλαστῶν δικαιωμάτων γενομένην. ἐπειδὴ δὲ καὶ ὁ νῦν ἐμοῦ τὴν διάλυσιν ἀναιρέπων ἐπιχειροῦντος τοῦ ἐμοῦ διαθήκην λέγειν. ὁ μὲν θαρρεῖ πλαστὴν εἶναι τὴν διαθήκην, ἐγγράφεται κατ' ἐμοῦ τὸ τῆς πλαστογραφίας ἔγκλημα. καὶ φόβῳ τῶν ἐγγράφων ἐξετάσαι τοῦτο αὐτὸ ζητεῖ τὸ εἰ πλαστὸν ἦν τὸ σύμφωνον ἐξ οὗ διηγωνισάμην. εἰ δὲ περὶ πολλῶν κεφαλαίων γέγονε μεταξὺ ἡμῶν ἡ διάλυσις· ἐκ δὲ τούτων τῶν πολλῶν κεφαλαίων ἓν μόνον κεφ. ἐκ τῶν πλαστῶν συμβολαίων εἰς διάλυσιν ἐλθὸν ἀναψηλαφᾶσθαι· τὰ δὲ ἄλλα κεφάλαια μένειν βέβαια. ἐπιτρέπεται δὲ καὶ ἔνθα περὶ τούτου ζητεῖται εἰ ἀπὸ πλαστῶν συμβολαίων ἡ διάλυσις γέγονε, διαλύεσθαι τοὺς πρὸς ἀλλήλους περὶ τούτου φιλονεικοῦντας. βι. δ' ιβ' κεφ. Εἴ τις κατὰ πλάνην ψήφου πεισθεὶς χρεωστεῖν ποσότητά τινα ἀπὸ τῆς ἀπαιτήσεως οὐκ ἐχρεώστει· ἐπερωτηθεὶς ταύτην τὴν ποσότητα καταβαλεῖν, δύναται κινῶν τὸν περὶ τοῦ μηχανοῦ(?) δικαιολογοῦ(?) ἀπαιτεῖν. κινεῖσθαι αὐτῷ ἐλευθερίαν τοῦ χρέους. ἀλλ' καὶ τ' α' τοῦ αὐτοῦ ια' β' κεφ. κα' σχόλιον. Ἐὰν διηγωνισάμην μετὰ τοῦ ἀδελφοῦ μου τοῦ μητρῴου κλήρου ἐγγράφως, καὶ ὑποσχέσθω(?) ἐκ μηδὲν μεμνῆσθαι κοινοῦ, ὕστερον δὲ εὕρω τὸν ἀδελφὸν ἀποκρυψάμενον ὧν οὐκ ἔγνων ἐν τῇ ἐγγράφῳ μνήμῃ. κατὰ νόμους(?) καὶ ἐλέγχεται τῇ τοῦ συμφώνου περιγραφῇ, αἱ τε περιγραφόμεναι τῇ τοῦ δόλου περὶ ὧν διηγωνισάμην ἀγνοῶν τὸ πλημμέλημα. καὶ κεφ. λβ'. καὶ κεφ. π'. ἀλλ' ε' β' ζ' τ' ις' κεφ. α' ? β' καὶ β' κα' τ' κϛ' κεφ. ιη' σχόλιον. μετὰ ψήφου ἐρρωμένην οὐκ ἰσχυρῶς τὴν διάλυσιν. ἐὰν ὅτι ποτε ἐπὶ τῇ τοιαύτῃ διαλύσει ἐδόθη, ἀναλαμβάνει μᾶλλον ὁ δοθεὶς καταλογίζεται εἰς ἱκανοδοσίαν. εἰ δὲ μετὰ τὴν ψῆφον παρηκολούθησεν ἀκριβῶς, ἢ ἀμφιβάλλεται ὅλως ἐψηφίσθη, ἢ ἐὰν μὴ ἔρρωται ἡ ψῆφος, ἰσχύει ἡ διάλυσις. ἀλλ' καὶ β' ξ' τ' μα' κεφ. με' σχόλιον. ὁ διαβάλλων χάρτην ὡς πλαστόν, καὶ ὅμως μετὰ ταῦτα διαλυσάμενος, οὐ δύναται μετὰ ταῦτα τὴν διάλυσιν ἀναιρέπειν:

μὴ ἐπακολουθησάσης δηλονότι ἀκολουθίας ἐπερωτήσεως καὶ ἀποχῆς καὶ ἀμεσιτεύτου(?)· ὡς ἐν τῷ μ' κεφ. τοῦ β' τ' τοῦ ια' β' φησιν:

## Περὶ διασωζομένων(?). ἀλλ' β' ξ' τ' κα' σχόλιον: κη'

Ὁ δὲ ἐὰν πλανώμενός τις κτήσηται ἀγροὺς διασωζόμενα(?), καὶ ἀναδώσει ὅπερ ἔλαβε.

λ'

καὶ σωφρονίζεται. τὸ περὶ διαστάσεως δικαστήριον, οὐκ ἔστι ποινάλιον. εἰ μέντοι τις
ἀπελάτας ἔγκλημα λάβῃ χρήματα, ὑπόκειται τῷ κορνηλίῳ ἐκ τοῦ κεφαλαίου τοῦ δι-
αγορεύοντος περὶ τῶν ζημιούντων εἰς κατηγορίαν τινὸς ἀναιτίου ἢ λαβόντων χρήματα ἐ-
κθ' πὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι· ἢ μὴ καταμαρτυρῆσαι. ἀνάγνωθι καὶ τὸ μ' κεφάλαιον ιβ' τοῦ θ':

Περὶ διαφθειρόντων τὸν προελθόντα ἢ μέλλοντα προελεύσεσθαι ἐπὶ δημοσίᾳ
αἰτίᾳ προστάτην. ἀνάγνωθι βιβλίον ξ' τίτλον κεφάλαιον ζ' συμφώνως:

Ὁ τὸν προελθόντα προστάτην ἢ μέλλοντα προελεύσεσθαι ἐπὶ δημοσίᾳ οὐ μὴν προσκαίρῳ αἰτί-
ᾳ δόλῳ διαφθείρας. πενταπλάσια ὑπὸ δίδωσι δημοσίᾳ ἀγωγῆς. εἴτε δοῦλός ἐστιν
εἴτε ὑπεξούσιος. ἢ ἀνὴρ ἢ γυνή. δοῦλοι δὲ μὴ ἐκδικούμενοι παρὰ τῶν δεσποτῶν καὶ
οἱ ἄποροι σωματικῶς τιμωροῦνται. ὁ δὲ κατ' ἀπειρίαν ἢ ἀγροικότητα ἢ κατὰ τύχην ἢ μὴ εὐ-
σεβῶς τὸν προστάτην διαφθείρας οὐχ ὑπόκειται. ἐνέχεται καὶ ὁ μὴ διαφθείρας ἀλλὰ πε-
ρὶ αὐτοῦ. καὶ ὁ δι' ἑαυτοῦ ποιῶν καὶ ὁ ἄλλῳ ἐντελλόμενος. οὐκ ἐνέχεται δὲ ὁ ἐντολεὺς
εἰ μὴ κατὰ δόλον ἐποίησε. καὶ πολλοὶ κατὰ διαφθορὰν ἢ ἐντελλόμενοι ἐνέχονται. ἐ-
ὰν οὐκ ἀρκεῖ τὸ ἕνα δοῦναι τὴν ποινήν. καὶ κεφάλαιον θ':

λ' Περὶ τῶν διδομένων ἢ δραμόντων ἐπὶ αἰσχρᾷ αἰτίᾳ. ἢ ἐπὶ ἄλλῃ τινὶ οἱ-
αδήποτε ὑποθέσει. καὶ περὶ τῶν ταῦτα διδόντων καὶ τῶν δεχομένων.
καὶ πότε ἀπαιτοῦνται τὰ δοθέντα, καὶ πότε οὐκ ἀπαιτοῦνται. ἀνάγνωθι
βιβλίον ι' τίτλον β' κεφάλαιον ζ' συμφώνως:

Ὁ καταληφθεὶς ἐπὶ μοιχείᾳ ἢ κλοπῇ ἢ τινι ἁμαρτήματι. ἐὰν δῷ τι ἢ ὁμολογήσῃ ὥστε
μὴ παραδοθῆναι ἢ φονευθῆναι ἢ δεθῆναι. ἔχει τὴν τῆς δόσεως τὴν αἰτίαν. εἰ καὶ τὰ μάλιστα
οὐ πάντα μοιχοῦ ἢ κλέπτην ἔξεστι φονεύειν. ἀλλὰ τὴν ἀσφάλειαν ἑαυτοῦ δικαιοῦνται.
ὁ δὲ λαβὼν ὑπὲρ τοῦ προφανοῦς μοιχοῦ. καὶ ὁ περὶ μοιχείας ἐνέχεται. καὶ κεφάλαιον η' συμφώνως.
ὁ λαβὼν ἐπὶ τῷ μὴ ἀφανίσαι τὰ δικαιώματα τῆς καταστάσεως, ὑπόκειται τῇ τῆς δό-
σεως αἰτίᾳ ἐὰν ἐνάγῃ καὶ ἐγὼ εἰς αὐτὸν οὐκ ἠδυνάμην νικῆσαι. καὶ κεφάλαιον θ' συμφώνως.
Ἐὰν ἀνὴρ ἢ γυνὴ δῷ ἵνα μὴ δεῖ αἰσχροῦ ἢ αὐτὸς ἢ τέκνον αὐτοῦ ὑποστῇ, ἔχει τὴν τῆς δόσε-
ως αἰτίαν. δεινότερος γὰρ ὁ φόβος, μείζων ἐστὶ τοῦ θανάτου. ὁ δὲ λαβὼν ἢ ὁμολογήσας ἐπὶ
τῷ φυλάξαι ἢ ἐλευθερῶσαι τινὰ λῃστοῦ ἢ πολεμίου, οὐκ ἐνέχεται. εἰ μὴ μετέχει τῆς
βίας. ὑπουργίας γὰρ μισθὸν ἔλαβεν. ἀνάγνωθι καὶ βιβλίον κ' τίτλον γ' κεφάλαιον ζ' συμφώνως. ὁ παρακα-
λαβὼν ἐπὶ αἰτίᾳ, ἢ τὴν αἰτίαν ὀφείλει πληροῦν ἢ ὅπερ ἔλαβεν ἀναδιδόναι. ἐ κεφάλαιον
η' καὶ θ' τίτλον β' καὶ τίτλον δ' τούτοις συμφώνως ια' κεφάλαιον. ἐὰν παράσχω τι ὑπὲρ τοῦ μὴ νο-
σημεῖον φυλάξαι, οὐκ ἀναλαμβάνεις ὅπερ παρέσχον. εἰ δὲ ζημιώσω δοῦναι
χώρα τῇ περὶ τῶν περιγεγραμμένων συμφώνων ἀγωγῇ· καὶ τῇ περὶ δόλου, ἢ περὶ-

τουτέστι ἐκ τοῦ ἀναγαγεῖν ὃ ἐδέδωκε

= μοιχικοῦ

Δ΄.

κολούθησε δῆλος. αὐτ(ὸ) καὶ β΄ κδ΄ τ(ίτλος) α΄ οὐλένος ἐν τῷ γ΄ κεφ(αλαίῳ) τοῦ δ΄ φ(ησί). εἰ καὶ ἠπίζων
γενέσθαι μοι φίλον ἢ αὐτὸ δωρήσασθαί μοι τὸν λαμβάνοντα ἐξ ἐμοῦ δῶρα καὶ ψευσθῶ τῆς
ἐπίδος μου. ὅμως οὐκ ἀναλαμβάνω. ἐν δὲ τῷ λδ΄ κεφ(αλαίῳ). ὁ δοθεὶς ἐπὶ αἰτίᾳ μὴ ἀδυ-
νάτῳ, τῆς αἰτίας μὴ προβαινούσης, ἀντιστρέφεται. ὅθεν καὶ τὸ τῇ μνηστῇ δοθὲν ἐπὶ ἠ-
πίστι τῶν γάμων. ἐὰν ἐκείνη ἀποθάνῃ πρὸ τελευτήσεται, ἀντιστρέφεται. ἐν δὲ τῷ λς΄ κεφ(αλαίῳ).
τὰ δοθέντα χρήματα. εἰ καὶ αἰτίᾳ ὑπὲρ τῆς ἐσθῆναι μὴ πρὸ αἰτίαν τῶν λαβόντων,
ἀλλὰ κατὰ τύχην ἐνεποδίσθη, οὐκ ἀναλαμβάνονται. αὐτ(ὸ) καὶ τ(ίτλος) β΄ οὐλένος ἐν τῷ ιβ΄ κεφ(αλαίῳ)
φ(ησί). τὸ διδόμενον πόρνῃ οὐκ ἀναδίδοται. ἐπειδὴ γὰρ ἔστι πόρνη. οὐκέτι αἰσχροῦ τὸ
λαβεῖν αὐτήν, καὶ αἰσχρὸν ἐστὶ τὸ εἶναι αὐτὴν πόρνην. οὔτε τὸ διδόμενον τινὶ ἐπὶ
τῷ καταμηνῦσαι τὸν κλέπτην ἢ τὸν φυγάδα. εἰ μὴ αὐτὸς ὁ κλέπτης ἢ ὁ κοινωνήσας
αὐτῷ ἢ τῷ φυγάδι, ἔλαβε τὸ μήνυτρον. εἰ δὲ ἀπὸ τοῦ φυγάδος μου λάβῃς ἵνα μὴ κα-
ταμηνύσῃς αὐτόν, ἐνέχομαι ὡς κλέπτης. εἰ δὲ καὶ λάβῃς παρὰ τοῦ δούλου μου ἵ-
να μὴ μηνύσῃς τὴν παρ' αὐτοῦ γενομένην κλοπήν. εἴτε μηνύσῃς εἴτε μή, ἀναδίδως
ὅπερ ἔλαβες. ἐν δὲ τῷ ε΄ κεφ(αλαίῳ). ἐὰν ἑκατέρωθεν τῆς αἰτίας αἰσχρᾶς οὔσης ὁμολογήσω
δοῦναι, ἐναγόμενος ἢ ἔχω παραγραφήν, καταβαλὼν δὲ οὐκ ἀναλαμβάνω. ἐν δὲ
τῷ η΄ κεφ(αλαίῳ). ὁ ἐπὶ αἰσχρᾷ αἰτίᾳ ἑτέρων διδομένων, τούς τε λαμβάνοντας καὶ τοὺς παρέ-
χοντας, οὐκ ἀναστρέφεται. ἐν δὲ τῷ ι΄ κεφ(αλαίῳ). ὁσάκις τοὺς λαμβάνοντας οὐχὶ καὶ τοὺς δι-
δόντας ἐστὶν αἰσχρότης, εἰ καὶ παρηκολούθησεν ἡ αἰτία, τὸ δοθὲν ἀναστρέφεται μόνον. οὐ
μὴν καὶ τόκοι δίδονται, ὡς ἐπὶ τοὺς λαβόντας χρήματα ἀκλέπτου ἐφ᾽ ᾧ καταστῆναι ἀπὸ
ἔκλεψεν. ἢ ἐπὶ τοῦ ἁρπάσαντος πρόβατα. ἐν δὲ τῷ ια΄ κεφ(αλαίῳ). ὁ δοὺς πορνεύσασθαι τὴν
γυναῖκα καὶ σιωπῶν, πορνοβοσκείαν ποιεῖ. τὰ δὲ ἐπὶ αἰσχρᾷ αἰτίᾳ τοῦ διδόντος ἀπε-
ρωτηθέντα. εἰ καὶ μὴ καταβολὴν οὐκ ἀναστρέφονται. ὅμως ἀπαίτησιν οὐκ ἔχουσιν. ἐν
δὲ τῷ ιβ΄ κεφ(αλαίῳ). ὁ λαβὼν χρήματα ἐπὶ τῷ ἀποκαταστῆσαι ἅπερ ἔκλεψεν, ἐπειδὴ αὐτοῦ μό-
νου αἰσχρότης διαφαίνεται, μετὰ δισσῶν ὀφείλει ταῦτα ἀποκαταστῆσαι. αὐτ(ὸ) καὶ
τ(ίτλος) α΄. οὐλένος ἐν τῷ μζ΄ κεφ(αλαίῳ) φ(ησί). ὁ διὰ αἰτίαν προλαβοῦσαν δοθὲν κἂν διέψευσαι, οὐκ
ἀπαιτεῖται. τὸ δὲ διὰ μέλλουσαν ἀπαιτεῖται μὴ γινομένης τῆς αἰτίας. ἐν δὲ τῷ μθ΄
κεφ(αλαίῳ). ὁ καταβαλλόμενον ἐξ αἰτίας μὴ ἐρρωμένης. ἢ μὴ ἐχούσης ἀποτέλεσμα, ἀνα-
λαμβάνεται. ἐν δὲ τῷ ξα΄ κεφ(αλαίῳ) τοῦ δ΄. ὁ διὰ πρᾶγμα διδόμενον. οἷον ἵνα τόδε ποιή-
σῃς, εἰ οὐ ποιήσεις, ἀναλαμβάνεται. αὐτ(ὸ) καὶ β΄ ξ΄ τ(ίτλος) α΄. οὐλένος ἐν τῷ α΄ κεφ(αλαίῳ) φ(ησί). ὁ λα-
βὼν χρήματα πρὸς τὸ συκοφαντῆσαι ἢ μὴ συκοφαντῆσαι τινά. ἐνέχεται ἐντὸς ἐνιαυ-
τοῦ εἰς τὸ τετραπλοῦν. μετὰ δὲ ἐνιαυτὸν, εἰς τὸ ἁπλοῦν. χώραν ἔχει ἡ ἀγωγὴ ἐπὶ χρήμα-
τικοῦ καὶ ἐγκληματικοῦ αἰτίου. ἐν δὲ τῷ β΄ κεφ(αλαίῳ). λαμβάνειν χρήματα λέγεται, καὶ ὁ

ἀντὶ χρημάτων ἀλλότρια λαμβάνων· καὶ ὁ αὐτὸς ἐλευθερούμενος, ἢ δῶρον ἐν χρή-
σει λαμβάνων χρήματα, ἢ μισθούμενος ἢ ἀγοράζων ἧττονος· καὶ ὁ ἑτέρῳ δοθῆναι κε-
λεύων· καὶ ὁ δι' ἑτέρου δοθὲν ὀνόματι αὐτοῦ δεκτὸν ἡγούμενος. Ἐν τῷ δ(ιγέστῳ) α' κε(φαλαίῳ). ἐ-
άν τις δῷ ἵνα συκοφαντηθῇ, τὰς δύο ἀγωγὰς ἔχει· αὕτη ἡ ἀγωγὴ κληρονόμῳ οὐ δίδο-
ται. ἀρκεῖ γὰρ αὐτῷ ἀναλαβεῖν, ὅτι δέδωκεν ὁ τελευτήσας. ὁ δὲ κληρονόμος εἰς τὸ πεπλη-
θον ἐνέχεται. τὰ γὰρ αἰσχρὰ κέρδη μεταδιδόντα· οἱ κληρονόμοι δὲ καὶ τὰ ἐγκλήματα
συνέχονται ὡς ἐπὶ τοῦ πλασοῦ καὶ τοῦ δεκτοὺς δικαστ(ῶν) ἐπὶ δὲ κεχαρισμένως γί-
νεσθαι. καὶ ἐπὶ τῶν ἄλλων αἰσχρῶν κερδῶν, ἐξωτερ(ικῆς) οὐσίας αὐτὸς τῆς τοῦ
διπλοῦ ἀπαιτήσεως ἁρμόζει ἀπαίτησις. ἐὰν μόνον τὸ λαμβάνοντος ἐστὶν αἰσχρό-
της. εἰ γὰρ καὶ τοῦ δεδωκότος κρείττων ἐστὶν ὁ νεμόμενος. Ἐν τῷ δ(ιγέστῳ) ς' κε(φαλαίῳ). εἰ μὲν
ἐγὼ δέδωκα ἐπὶ τῷ μὴ συκοφαντηθῆναι. ὁ ἐνιαυτὸς ἀριθμεῖται ἀφ' οὗ δέδωκα.
ἐπεὶ ἐξέργαν ἔχον ἐνάγειν. εἰ δὲ ἄλλος δέδωκεν ἐπὶ τῷ μὴ συκοφαντηθῆναί με,
ἀφ' οὗ ἐμοὶ γνῶσιν δοθῇ, ἐγὼ ἴσως. ἐὰν ἄλλος δῷ ἵνα μὴ συκοφαντηθῇ. εἰ δὲ καὶ
ἐντολῇ μου δέδωκε, ἢ ὁ γενικὸς μου φροντιστὴς ἢ τις ἄλλος περὶ πραγμάτων φροντίζων πραγ-
μάτων καὶ δεκτὸν ἡγήσωμαι, ἐγὼ δοκῶ δεδωκέναι. εἰ δὲ καὶ συμπαθῶν δέδωκέ τις
καὶ μὴ δεκτὸν ἡγήσωμαι καὶ αὐτὸς ἀναλαμβάνει, κατὰ εἰς τὸ τετραπλοῦν ἐνάγω.
Ἐν τῷ δ(ιγέστῳ) η' κε(φαλαίῳ). ὁ λαβὼν ἐν πραγμάτι ἐγκλήματος μὴ ἀποδοθέντος ἐντὸς μὲν
ἐνιαυτοῦ, εἰς τὸ τετραπλοῦν ἀπαιτεῖται. μετὰ δὲ τὸν ἐνιαυτόν, εἰς τὸ ἁπλοῦν ὑπόκειται,
καὶ πρὸς τὸ ἀναφαίρετον τιμωρεῖται. ἀνάγνωθι καὶ τὸ λ' κε(φάλαιον) α' τίτ(λου) μγ'. ἐν ᾧ διαλαμβάνεται
περὶ δωροδοκούντων τε καὶ δωροδοκουμένων. Τίτλος ἐν τῷ α' κε(φαλαίῳ) φη'. ὁ ἐπιτε-
τραμμένος ἁρμόζει καὶ τῶν λαβόντων ἐν ἀρχῇ χρήματα. ἁρμόζει δὲ ἡ ἀγωγὴ καὶ κληρονό-
μοις ἐντὸς ἐνιαυτοῦ μετὰ θάνατον τοῦ κατηγορουμένου. Ἐν τῷ δ(ιγέστῳ) δ' κε(φαλαίῳ). ὁ διὰ νόμου τοῦ-
του καταδικαζόμενος, οὔτε μαρτυρεῖν, οὔτε δικάζειν, οὔτε συνηγορεῖν δύναται. Ἐν τῷ δ(ιγέστῳ) ε'
κε(φαλαίῳ). καὶ οἱ πολιτικοὶ ἄρχοντες πάσης ἀπεχέσθωσαν ῥυπαρίας, καὶ προφάσει δώρων
μηδὲν λαμβανέτωσαν. Ἐν τῷ δ(ιγέστῳ) ζ' κε(φαλαίῳ). ἡ ποινὴ τοῦ νόμου ἐξ ἐξορδινασίας ἐστί, καὶ ὡς
ἐπὶ πᾶν ἐξουσίαν καταδικάζει, ἐάν τε ἢ καὶ σφοδρότερον. ἐὰν γὰρ ἐπὶ χρήμα-
σιν ἢ καὶ θερμότητα φονεύσῃ τις τὸν ἀναίτιον, κεφαλικῶς τιμωρεῖται ἢ περιορίζεται. Ἐν
τῷ δ(ιγέστῳ) η' κε(φαλαίῳ). ἐὰν παρὰ τὸν νόμον δωρηθῇ τῷ ἄρχοντι ἢ πραχθῇ πλέονος ἢ ἧττονος. οὔτε
ἡ πρᾶξις ἔρρωται, οὔτε τὸ δοθὲν διαλαμβάνως δεσπόζεται. ἕως ἂν ὑποστρέψῃ πρὸς
τὸν δόντα ἢ τὸν κληρονόμον αὐτοῦ :—

περὶ τῶν δῶρα διδόντων ἢ λαμβανόντων ς

λα Περὶ δεκαδικτῶν καὶ ζωδίκων ὁ μάθος ἢ πόλεως. δεκαδικταὶ
δὲ λέγονται, πάντες οἱ δεκαδικεύοντες καὶ φροντίζοντες τὰ διοικηταί

Δ.

εἴτε ἐπίτροποι· εἴτε κουράτωρ· εἴτε πρωτοκουράτωρ· εἴτε ἐν τέλει ὄντες. ἐκδικεῖν γάρ ἐστι, ταῦτα ποιεῖν, ἅπερ καὶ ὁ πρωτότυπος ἐποίει πρόσωπον. καὶ δίδωσιν ὁ τοιοῦτος καὶ τὴν ἐπὶ τῇ ἱκανοδοσίᾳ ἀσφάλειαν. οὐδεὶς γὰρ ἀλλοτρίαν δίκην ἄνευ ἱκανοδοσίας ἐκδικεῖν δοκεῖ, εἰ καὶ ἔστιν ὑπατικός. οὔτε γυνὴ οὔτε στρατιώτης ἀξιόχρεώς ἐστιν εἰς τὸ ἐκδικεῖν. οὔτε ὁ κατηγορηθεὶς ἐπὶ ἐγκλήματι περὶ ἀθωώσεως. ἀν. β η τ β οὗ τὸ ἐν τῷ δ κε. φη :—

Ὁ ἐναγόμενος ἢ ὁ σύνδικος τῆς πόλεως οὐ δύναται πρᾶγμα πολιτικὸν κινεῖν διὰ δοικητοῦ. ἐν τῷ ι φ. οβ κε. ἀπεκδικοῦντες τὸν ἀγοραστὴν ἐναγόμενον περὶ τοῦ πράγματος, προτρέπει τὸν πράτην ἐκδικεῖν. κακῶς ἐπιζητεῖ παρ᾽ αὐτοῦ τὴν ἱκανοδοσίαν ὁ πράτης, μήποτε δηθεν μετὰ τὸ πρᾶγμα ἐναγόντι. ἢ θέλει ὁ ἀγοραστὴς ἀποστάσῃ αὐτὸ καὶ ἀνακτήσει πάλιν ὁ πράτης ἐκδικεῖν. ἐν τῷ ι φ. ο θ κε. ὁ κατηγορηθεὶς ἐπὶ ἐγκλήματι, οὐ δύναται δίκην ἀλλοτρίαν καταδέχεσθαι. πρὶν καθάρῃ ἑαυτόν, καὶ φανῇ μὴ δεῖν ἐγκληματικῶς. ἐν τῷ ι φ. ρβ κε. ὁ δοθεὶς σύνδικος ἀπὸ πόλεως ἢ ὁμάδος, οὐ δοκεῖ δεδόσθαι παρὰ πολλῶν· οὐ γὰρ τὸ καθ᾽ ἕκαστον πρόσωπον, ἀλλὰ τῇ κοινότητι. ἐν τῷ ι φ. ρε κε. ὁ τῆς ὁμάδος σύνδικος, οὐ δίδωσιν ἐναγόμενος τὴν ἱκανοδοσίαν. εἰ μὴ ἀμφιβάλλεται ἡ ἐπ᾽ αὐτῷ ψῆφος. ἐκδικεῖν δὲ ἀναγκάζεται. τάξιν γὰρ ἐπέχει πρωτοκουράτορος, καὶ οὐ δίδοται αὐτῷ ἱκανοδοσία, εἰ μὴ ἐναγόμενοι ἴδια ἐστὶ καὶ κακῶς αὐτὸ φανεῖται. ἀν. καὶ τὸ θ τ ι καὶ ια ἐν οἷς φη διαλαμβάνεται περὶ τῆς παρὰ τῶν ἐκδικητῶν διδομένης ἱκανοδοσίας, καὶ ἧς αὐτοὶ λαμβάνουσιν. ἀν. καὶ τὸ ι τ λ κε μς ἐν ᾧ φη. ἐάν τις ἑκουσίως ἐκδικήσῃ νέου καὶ καταδικασθῇ. ἐνέχεται καταδίκῃ. καὶ οὔτε αὐτὸς βοηθεῖται, οὔτε ὁ νέος ἀποκαθίσταται. ἀν. καὶ τὸ ιε τ λ κε ιθ :—

Περὶ δικαιοσύνης. ἀν. β τ α κε ι ἐν ᾧ φη :— περὶ δικαιοσύνης. τί ἐστι δικαιοσύνη :— λβ.

Δικαιοσύνη ἐστὶ σταθερὰ καὶ διηνεκὴς βούλησις, ἑκάστῳ τὸ ἴδιον ἀπονέμουσα δίκαιον. καὶ κε ια ἐν ᾧ φη. τί ἐστι δίκαιον. δίκαιον λέγεται, καὶ τὸ ἀεὶ καλὸν καὶ τὸ δίκαιον. ὡς τὸ φυσικὸν νόμιμον. λέγεται δίκαιον. καὶ τὸ πᾶσι τοῖς ἐν πόλει ἢ τοῖς πλείοσι χρήσιμον· οὗ τὸ δίκαιον πολιτικόν. λέγεται δίκαιον καὶ ἡ τῶν ἀρχόντων ψῆφος καὶ παράνομος ᾖ. καὶ ὁ τόπος ἐν ᾧ δικαιοδοτεῖ. σωζομένης τῆς μεταφορᾶς τῆς ἀρχῆς καὶ τοῦ ἔθους τῶν πραιτώρων :— τί ἐστι δίκαιον :—

Περὶ δικαστῶν καὶ δικαιοδοσιῶν αὐτῶν καὶ τάξεως, καὶ παρέδρων αὐτῶν. καὶ περὶ αἱρετῶν δικαστῶν. ἀν. β ζ τ α. οὐδενὸς ἐν ᾧ α κε φη :— λγ.

Μηδέποτε γονεῖς τῶν ἀρχόντων οἱ ζητούμενοι δικαζέτωσαν τὰ ἐκείνων λαθόντες ὀνόματα. ἐν τῷ φ. β κε. μηδεὶς ἅμα καὶ συνήγορος ἔστω. καὶ ἑτέροις συνεδρευέτω ἢ καὶ

ἀν. καὶ περὶ δικαστῶν, καὶ ἡ περὶ καὶ ρις φη γὰρ. ὥστε κατὰ τοὺς ζητουμένους νόμους τὰς δίκας ἐξετάζειν. καὶ μὴ γὰρ ἄλλου τύπου ἢ κελεύσει δὲ χρῆσθαι παρὰ τοὺς νόμους τὰ ποιεῖν. ἐν ᾗ ριε, κε α καὶ β. καὶ ἡ ρκε. ἀν. καὶ ἡ ξ κε β ἐν ᾧ φη. τὸ μὴ τελευτῶντας τῶν δικῶν περικαταρχεῖς παρὰ τοῖς παρέδροις :—

δυσὶ καὶ αὐτὸ ἄρχουσι συμπονείτω· μὴ ἐμμελέτως αὐτὸς πρᾶγμα μεταχειρίζεσθαι μηχανῆς. ἀλλ᾽ ἐκβαλλέσθω τῶν συνηγόρων προσόδου· καὶ τῆς χαριζούσης λίτραν καταβαλλέτω χρυσοῦ, καὶ βασιλικῆς πειρώμενος κινήσεως. ἐν τῷ αὐτῷ τίτλ. γ΄ κεφ. θεμ. β΄. θεσπίζομεν τὰς μὲν προκαταρκτικὰς ἐκ τόπου παντὸς παρ᾽ αὐτοῖς γίνεσθαι τοῖς ἄρχουσιν, εἴτε μείζους, εἴτε ἥττους εἶεν· ἀλλὰ καὶ ἐν μέσαις ταῖς δίκαις· ἐξετάζεσθαι πάλιν παρ᾽ αὐτοῖς πρὸς ἅπαξ γνῶναι τὴν ὑπόθεσιν. ὥστε αὐτοὺς τὰ προαγωνισθέντα μαθεῖν. ὁπηνίκα δὲ αὐτῆς ἀπόφασις ἐκφέρεσθαι μέλλοι, κατὰ μηδένα τρόπον τολμᾶν τοὺς παρέδρους χωρὶς τῶν ἀρχόντων ἀκούειν. ἀλλὰ μετὰ τῆς προσηκούσης σεμνότητος ἢ ἤδη διελάξας τῶν ἐτῶν προκειμένων χρόνον αὐτοὺς τοὺς ἄρχοντας καὶ ἀκούειν τῶν ἀγωνισαμένων ἐφεξῆς καὶ κρίνειν τὰς ὑποθέσεις αὐτούς, καὶ δέχεσθαι τὰς ἐφέσεις ἐπ᾽ ἐκείνας ἐφ᾽ ἃς χωρεῖ ἁπάσης ὑποθέσεως. ἔνθα δὲ νόμος τοῦτο γίνεσθαι συγχωρεῖ· καὶ αὐτοὺς τοὺς ἐφέτας ἐκ τόπου παντὸς δὲ αὐτὴν ἀκροᾶσθαι τῶν ὑποθέσεων· οὐδενὸς ἑτέρου πρᾶγμα τολμῶντος. ἐν τῷ αὐτῷ ζ΄ κεφ. περὶ τοῦ μὴ προχείρως καὶ σὺν ἀνάγκῃ γίνεσθαι τὰς προκαταρκτικάς· ἀλλ᾽ ἔχειν τὴν τῶν κ΄ ἡμερῶν προθεσμίαν. ἐν τῷ αὐτῷ ια΄ καὶ ιβ΄ καὶ ιγ΄ κεφ. θεμ. περὶ τοῦ τέμνεσθαι τὰς δίκας κατὰ τοὺς γενικοὺς νόμους· καὶ μήτε πραγματικοῦ τύπου· μήτε βασιλικῆς ἐγγράφου ἢ ἀγράφου κελεύσεως λυπούντων ὅπως δέοι τὴν ἀρχῆθεν δίκην ἐξετάζειν κρατεῖν. ἐν τῷ αὐτῷ η΄ κεφ. θεμ. περὶ αἱρετῶν δικαστῶν. ἀν. καὶ τὸ β΄ ὅ τίτλος ἐν τῷ α΄ κεφ. θεμ. τὸ αἱρετὸν δικαστήριον, ἔοικε πρὸς φόρῳ δικαστηρίῳ, καὶ ἀνήκει πρὸς τὸ τέμνεσθαι τὰς δίκας. ἐν τῷ αὐτῷ ιγ΄ κεφ. αἱρετὸς δικαστής ἐστιν, ὁ δικαστοῦ τάξιν ἀναδεξάμενος, καὶ ἐπαγγειλάμενος ψῆφον τεμεῖν τὸ φιλονεικούμενον· οὐ μὴν ὁ παρακληθεὶς ἐφ᾽ ᾧ συμβουλεῦσαι τὴν δίκην ἀπαλλάξαι. ἐν τῷ αὐτῷ κ΄ κεφ. κἂν πλανηθῇ ἐν τῷ ψηφίζεσθαι, οὐ διορθοῦται. ψηφισάμενος γὰρ πέπαυται εἶναι δικαστής. ἐν τῷ αὐτῷ κβ΄ κεφ. θεμ. ζ΄. οὐκ ἔνοχοι προστίμου τῷ αἱρετῷ δικαστηρίῳ οἱ δικαζόμενοι, ἀφικνούμενοι προσάγοντες. ἐν τῷ αὐτῷ κζ΄ κεφ. εἴτε δίκαια εἴτε ἄδικος ἐστιν ἡ τοῦ αἱρετοῦ ψῆφος, ἐμμενέτω αὐτῇ ὁ δ. ἐν τῷ αὐτῷ λα΄ κεφ. κωλύεται ὁ αἱρετὸς δικαστὴς ψηφίζεσθαι ἐπὶ ἄλλῳ ποιῷ ἐξ ἁμαρτήματος ἀγωγῇ· ἢ δημοσίῳ ἐγκλήματι· κἂν ψηφίσηται οὐχ ἁρμόζει ἀπαίτησις· οὔτε περὶ καταστάσεως ἐλευθερίας ἢ δουλείας· οὔτε ἐλεύθερος ἀπὸ φιδεικομμίσσου ἐλευθερίαν χρεωστεῖσθαι· οὔτε περὶ ὀρφανικῆς ἀγωγῆς. ἐν τῷ αὐτῷ να΄ κεφ. ἐὰν ἐμπροθέσμως μὴ δυνάμενος ψηφίσασθαι ὁ αἱρετὸς δικαστὴς ἐκκλίνῃ τὴν προθεσμίαν. ἄδειαν τοῦ τυχόντων, ὁ μὴ προστίμου, οὐχ ὑποπίπτει τῇ ποινῇ. ἀν. καὶ τὸ γ΄ ὅ τίτλος ἐν τῷ α΄ κεφ. θεμ. ὁ ἔχων δικαιοδοσίαν καὶ δικαστήν, δίδωσι καὶ τὸ νομικὸν πέμπει καὶ ἐπὶ τόπους καὶ δικαστὰς δίδωσιν.

περὶ αἱρετῶν δικαστῶν :—

περὶ δικαιοδοτῶν :—

Δ'.

Εἰς τὸ ε' κεφ. ὁ οἰκείῳ δικαίῳ καὶ οὐκ ἄλλου τινὸς ἔχων δικαιοδοσίαν, δύναται αὐ-
τὴν ἐντέλλεσθαι. Εἰς τὸ ιη' κεφ. καὶ συμφωνήσας ζητηθῆναι παρὰ δικαστῇ ἀπροσφόρῳ, — περὶ ἀπροσφόρου δικαστοῦ
δύναται περὶ τῆς ἐξόδου μεταμέλεσθαι. Εἰς τὸ λβ' κεφ. μηδεὶς ἑαυτῷ δικαζέτω, ἢ δι-
καιοδοτείτω. τοῦτο γὰρ ἄδικόν ἐστιν. ἀνάγνωθι καὶ τὸ ε' θέμα ἐν τῷ ια' κεφ. θεμ. ὑπεξού-
σιος ποιῶν παράνομον κρίσιν, ἐνέχεται εἰς ὅσον εἶχε πεκούλιον, δι' ἑαυτοῦ. Εἰ-
ς τὸ ιε' κεφ. παράνομον κρίσιν ποιεῖ ὁ ἀπατηλῶς εἰς παραγραφὴν τοῦ νόμου ψηφιζό- — περὶ τῶν παράνομον κρίσιν ποιούντων
μενος διὰ προφανῆ χάριν ἢ κέρδος. καὶ δίδωσι τὴν ἀξίαν τῆς δίκης διατιμήσει.
Εἰς τὸ οβ' κεφ. ἐπὶ τῶν ἰδιωτικῶν πραγμάτων, ἢ ... δικαστεί-
ου. παρὰ καὶ ὅσοι ἀλλήλοις χαριστικῶς διδόασι. τὸ γὰρ δικάζειν, δημόσιόν ἐστι λειτούργη-
μα. Εἰς τὸ ος' κεφ. οὐ δύναται δικαστὴς εἶναι ὁ μήτε δικαιοδοσίαν ἔχων, μήτε
ἀπὸ βασιλέως ἐξουσίαν λαβών. μήτε δοθεὶς ἀπὸ τοῦ δυναμένου δοῦναι δικαστήν,
μήτε ἀπὸ τοῦ νόμου βεβαιούμενος. μήτε αἱρετὸς ὤν. ἀνάγνωθι καὶ τὸ ς' θέμα ἐν τῷ α'
κεφ. θεμ. ὁ ἐπὶ παντὸς πράγματος προτιμάτω τῆς ἀκριβείας τοῦ δικαίου. Εἰς τὸ ια'
κεφ. τῆς ἀκριβείας τῶν νόμων, ὁ δικαστὴς φροντιζέτω. μηδὲ τοῖς παρανόμως ῥηθεῖσι
παρὰ βασιλέως προσεχέτω. Εἰς τὸ ιβ' κεφ. πάντες οἱ ἄρχοντες καὶ οἱ ἄλλοι δικασταί,
συντόμως τὰς δίκας τεμνέτωσαν. καὶ τοὺς τῶν δικαζομένων πολλάκις τῷ προσ-
φόρῳ δικαστῇ προσελθεῖν μὴ δι' ἀναγκαίαν αἰτίαν ὑπερτιθέτω. πρὸς τὸν βασιλέα
τὴν ἐκεῖθεν ἀναμενόντων βοήθειαν. Εἰς τὸ ιδ' κεφ. πάντες οἱ οἱοιδήποτε δικασταὶ ἐκ
προοιμίου τῆς δίκης μέχρι τῆς ἀποφάσεως καὶ αὐτὴν δὲ τὴν ἀπόφασιν τὴν ἀνα-
γινώσκειν. προκειμένων τῶν ἁγίων εὐαγγελίων δικαζέτωσαν. τῶν ἑκατέρου μέρους συ- — περὶ τοῦ προκειμένων τῶν ἁγίων εὐαγγελίων δικάζειν καὶ ὅρκον ὑπέχειν τοὺς συνηγόρους
νηγόρων ἐν αὐτῇ τῇ προκαταρκτικῇ ὀμνυόντων, κατὰ τῶν ἁγίων εὐαγγελίων. ὡς οὔτε παρα-
λείψει σπουδὴν ὑπὲρ τοῦ οἰκείου προσώπου. καὶ ὅτε καιροὶ ἐπιτρέπει τὸ πρᾶγμα. ἐ-
οὐ συνθήσειεν αὐτῷ δικολογίαν ψευδῆ. εἰ δὲ καὶ μεταξὺ τῆς διαγνώσεως καταλυθῇ
τὸ πρᾶγμα, ἀφιστάσθω μὴ ἔχοντες ἄδειαν τοῦ δικαζομένου ἕτερον δικολόγον
περιτρέπεσθαι. ἀνάγνωθι καὶ β' α' τί α' κεφ. μη' ἐν τῷ θεμ. ὅσα παρὰ τῶν δικαζομένων ἢ τῶν
συνηγόρων παρεμπίπτει, ταῦτα παρὰ τῶν δικαζόντων ἀναπληρούσθωσαν. ἀνάγνωθι
καὶ β' ὑδ' τί ια' κεφ. ε' ἐν τῷ θεμ. ὁ δικαστὴς καὶ ἐν ἀγνοίᾳ ποιήσῃ κρίσιν ἰδίαν.
ἐνέχεται ὥσπερ ἀπὸ πλημμελήματος κρατεῖσθαι, τῇ ἰσοβαρεῖ ἀξίᾳ. καὶ ἐσ-
σύνδει ὁ δικαστὴς κρίνεται. ἀνάγνωθι καὶ β' ζ' τί ς' κεφ. κη' καὶ λ' ἐν τοῖς θεμ. περὶ χαμαι-
δικαστῶν: —

Περὶ δικαστηρίων δημοσίων τε καὶ ἐπιλημματικῶν. — λδ'.
καὶ ποῖα μέν εἰσι κεφαλικά. ποῖα δὲ οὐ κεφαλικά. καὶ ποῖα ἀτιμωτικά.
ἀνάγνωθι β' ζ' τί ς' κεφ. π' ἐν τοῖς θεμ.: —

ποῖα εἰσὶ δημόσια ἁμαρτήματα:

Διὰ δίκας, τὰ ἐκκλησιαστικὰ προσβύθωσαν δικαστήρια· ἐπὶ δὲ τῶν χρηματικῶν ὅσης ἂν εἴη ποσότητος, ἐξ οἱουδήποτε προσώπου ἐφ' οἵας δήποτε αἰτίας ὑπεξῃρημένης μόνου τοῦ δημοσίου τῶν δημοσίων λειτουργιῶν, μόνη τὰ εἰς τὰ τῆς καθολικῆς λειμενάτω ἐπὶ παντὸς οἱουδήποτε δικαστοῦ· ἀνάγνωθι β' ξ' τ' λγ' οὐδένος ἐν τῷ α' κεφ. φ(ύλλῳ)· οὐ πάντα τὰ ἐκκλησιαστικὰ δικαστήρια δημοσιεύουσιν, ἀλλὰ μόνα τὰ ἀπὸ νόμων δημοσίων κατατασσόμενα· ὡς τὸ περὶ καθοσιώσεως· τὸ περὶ μοιχείας· τὸ περὶ ἀνδροφόνων καὶ φαρμακῶν· τὸ περὶ πεσκλόνων· τὸ περὶ κλοπῆς ἱερῶν καὶ δημοσίων· τὸ περὶ πλαστογραφίας· τὸ περὶ ἀρχόντων ἢ δικαστῶν ἢ καὶ συνέδρων ἐν δίκῃ κεκλοφότων· τὸ περὶ ἀννώνας· ἐν δὲ φ(ύλλῳ) β' κεφ. τῶν ἐκκλησιαστικῶν δικαστηρίων.

ποῖα εἰσὶ κεφαλικά:

Τὰ μὲν κεφαλικά, ὡς τὰ θάνατον ἐπιφέροντα ἢ περιορισμόν, δι' ὧν ἡ κεφαλὴ ἀπὸ τῆς πόλεως ἐξαιρεῖται· τὰ δὲ ἄλλα, οὐ περιορισμοί, ἀλλ' ἐξορία κυρίως λέγονται. Τὰ δὲ οὐ κεφαλικά, ὡς τὰ ἔχοντα χρηματικὴν ποινὴν ἢ σωματικὸν σωφρονισμόν. Ἐν δὲ φ(ύλλῳ) ιζ' κεφ. ἐν τοῖς ἐκκλησιαστικοῖς δικαστηρίοις, οὔτε κατηγορεῖ οὔτε κατηγορεῖσθαι διὰ συντελέως δύναται:

λε'. Περὶ δικαζόντων ἀλλήλων καὶ περὶ τῶν διδομένων αὐτοῖς συνηθειῶν, ἐν ταῖς ὑπερβαινούσαις τὰ ρ' νομίσματα δίκαις. ἀνάγνωθι β' ζ' τ' α' κεφ. ς' ε' η'· καὶ τ' β' καὶ τι' καὶ ιθ' καὶ ρ'. ἀνάγνωθι ε' β' θ' τ' α' κεφ. κθ' ἐν φ(ύλλῳ):

Κατὰ τοῦ δοθέντος διαιτητοῦ πρὸς τὸ δικάσαι τοὺς ἐντυχίας κλήσεως ἐκκαλοῦνται· ἐὰν καὶ τὰ μάλιστα χωρεῖς ἐκκλήτου ὁ δεδωκὼς αὐτόν, διορθοῦται τὴν ψῆφον αὐτοῦ. Καὶ κεφ. ρκβ' τί θ' καὶ κεφ. ρκς' τί ε':

λς' Περὶ διοικητῶν· καὶ τίς ὁ διοικητὴς τῶν ὄντων περὶ αὐτοῦ χρημάτων, τοὺς δίδωσιν ἀπὸ ὑπερθέσεως, καὶ οὓς ἤγαγε δαπάνας, καὶ μὴ ἐνεχθῆναι δαπανῆσαι. Ἔστι δὲ διοικητής, ὁ ἐντολῇ διοικῶν τὰ τοῦ ἀπόντος πράγματα· καὶ ἐντάττων καὶ ἐντασσόμενος ὑπὲρ τῶν τοῦ ἀπόντος πραγμάτων· ἐν τὴν διοίκησιν ποιεῖται· λέγεται δὲ ὁ τοιοῦτος, καὶ διεκδικητής, καὶ ἐντολεύς, καὶ συνήγορος. ἀνάγνωθι β' η' τ' β'· οὐδένος ἐν φ(ύλλῳ) λς' κεφ.:

Ὁπότε διὰ συντελέως ἦν τι διοικητοῦ κινεῖται κατὰ σταλτικὸν δικαστήριον, εἴτε ἐνάγει εἴτε ἐνάγεται, δίδωσι τὴν ἱκανοδοσίαν. Ἐν δὲ φ(ύλλῳ) λη' κεφ. ιγ' πρὸ κατάρξιν οὐκ ἀπαιτεῖται τὴν ἱκανοδοσίαν ὁ διοικητής. Ἐν δὲ φ(ύλλῳ) μα' κεφ. ἐπὶ τῶν δημοσίων αἰτιῶν, οὐ δίδοται διοικητής· εἰ μὴ ἐπὶ τῆς τυμβωρυχίας· καὶ ὅτε τίς κινεῖ τὸ περὶ βίας δημοσίας ζημιούμενος ἰδιωτικῶς· καὶ ἡ ἀπὸ τοῦ νόμου περὶ ὕβρεως κινεῖται διὰ διοικητοῦ· καὶ ὁ κωφὸς καὶ ὁ ἄλαλος κατὰ τὸν ἐνδεχόμενον τρόπον διδοῦσι διοικητήν.

ἤτοι ζημιωτέρου. ἐν τῷ αὐτῷ νβ κεφ. ἔξεστι τῷ ἐναγομένῳ μετὰ προκατάρξιν δοῦναι διοικητήν, καὶ δοῦναι ὑπὲρ αὐτοῦ τὴν ἀσφάλειαν τῆς ἐκπληρώσεως τῶν κριθέντων. ἐν τῷ αὐτῷ νγ κεφ. ἔξεστι· οὐδεὶς ἄλλο τι ἀντὶ δίκης χωρεῖ εἰς κακοδοσίας διεκδικηθῆναι, ἀξιοχρέως ἐστί. ἐν τῷ αὐτῷ νε κεφ. μετὰ προκατάρξιν τοῦ δεσπότου τῆς δίκης τελευτήσαντος· ὁ διοικητὴς καὶ ἐνάγων ἐστὶ καὶ ἐναγόμενος. πληρώσει τὴν δίκην, καὶ δώσει ἔξοδον αὐτοῖς ὁ βούλεται ὁ ἐντελέα. ἀνάγνωθι καὶ βι. ιζ τ. α. ὁ ὕστερος ἐν τῷ ᾱ κεφ. φη. δεῖ προσέχειν τὸν δικαστὴν ἵνα μὴ τῶν ἀπόντων ὡς ἀδεσποτήτων τὰ πράγματα νέμωνται. ἢ πιπράσκωνται. ἢ ποινὴ ἐβδομοῦνται κατ' αὐτῶν. ἢ τὰ πράγματα αὐτῶν ἀδίκως ἀπομειώσωσιν. ἐν τῷ αὐτῷ ϛ κεφ. εἰ καὶ ἀγνοοῦντος τοῦ δεσπότου τὰ πράγματα αὐτοῦ διῴκησέ τις. ἑκατέρωθεν ἁρμόζει ἡ ἀγωγή. καὶ ὅτε διοικήσας χρησίμως, ἀπαιτεῖ ὅσα ἐδαπάνησεν. ἢ μέλλει ἐστὶ δοῦναι· δίδωσι δὲ ὅσα ἐκ τῶν πραγμάτων ἔλαβεν. ἢ μὴ κατὰ τὸ δέον διῴκησεν. ἐν τῷ αὐτῷ η κεφ. ὁ ἀχρησίμως διοικηθέν, ἀναγκάζεται δέχεσθαι ὁ δεσπότης. καὶ ὅπερ δέχεται ἐπίσης, ἔρρωται καὶ κακῶς διῳκήθη. ἐν τῷ αὐτῷ θ κεφ. ἐὰν χρησίμως διοικήσω, κἂν ἀποτέλεσμα χρήσιμον οὐκ ἔσχε τὸ γεγονός, ἔχω τὴν περὶ διοικήσεως ἀγωγήν. τυχὸν γὰρ δοῦλος ἐπιμεληθεὶς ἀπέθανεν. ἢ οἶκος ἀνανεωθεὶς ἐκαύθη. ἐν τῷ αὐτῷ ι κεφ. ὁ τὰ τοῦ ἀπόντος καὶ ἀγνοοῦντος διοικῶν δόλου καὶ ἀμελείας χρεωστεῖ. ἐὰν δὲ καὶ τὸν τυχηρὸν ἐπιγινώσκειν ἀναγκάζεται κίνδυνον. ἐν τῷ αὐτῷ ιη κεφ. καὶ τόκους οὓς ἔλαβεν ἢ λαβεῖν ὤφειλεν αὐτὸς οἴκοθεν ἐδαπάνησεν. ἐν τῷ αὐτῷ κβ κεφ. ἀπαιτήσας τὸ μὴ κεχρεωστημένον ὁ διοικητὴς τῷ δεσπότῃ δίδωσιν. αὐτὸς δὲ δίδους τὸ μὴ κεχρεωστημένον ζημιοῦται. ἐν τῷ αὐτῷ κδ κεφ. ὁ πλέον τοῦ δέοντος δαπανήσας, τὸ δεδοκιμασμένον λαμβάνει. ἐν τῷ αὐτῷ λ κεφ. ὁ διοικητὴς τῶν περιττευόντων χρημάτων μετὰ τὴν ἀναγκαίαν δαπάνην, δίδωσι τόκον. ἐν τῷ  περὶ τόκου
αὐτῷ λε κεφ. ὁ χρεωστῶν τινος χρήματα καὶ τόκους. δίδωσι καὶ τὸν κίνδυνον ὑπέχων, ἐδάνεισεν. εἰ μὴ οἱ δανειζόμενοι τυχηρῶς ἠπόρησαν πρὸ τῆς προκατάρξεως. ἐν τῷ αὐτῷ λϛ κεφ. ὁ ὑπὲρ διοικῶν ἀπὸ ἐντολῆς τῷ αὐτεξουσίῳ ἐνέχεται τῇ περὶ διοικήσεως ἀγωγῇ. ἀνάγνωθι καὶ τ. β ἐν τῷ φη. περὶ τῶν χρησίμως παρ' αὐτῶν δαπανηθέντων περὶ οὗ προεγράφη ἐν τῷ περὶ δαπανῶν τίτλῳ:

## Περὶ δόλου. ἀνάγνωθι βι. ζ τί. ε κεφ. ξα ἐν τῷ φησίν: λζ

Ἐπὶ τοῦ δόλου τὸ διαφέρον οὐχ ὁ δικαστὴς ἀποτιμᾶται. ἀλλ' ὁ ἔνδικος ὅρκος. καὶ τ. ιε κεφ. ε, καὶ βι. ι τ. γ ὁ ὕστερος ἐν τῷ ᾱ κεφ. φη. ἐξ ἑτέρου αἰτίας οὐχ ὑπούσης ἀγωγῆς. ἡ περὶ δόλου δίδοται. δόλος κακός ἐστι, πανουργία καὶ ἀπάτη καὶ μηχανή. πρὸς περιγραφὴν ἑτέρου γινομένη. ἔστι καὶ καλὸς δόλος, καὶ μάλιστα ὁ κατὰ τῶν πολεμίων καὶ τῶν λῃστῶν. ἐν τῷ αὐτῷ η κεφ. εἰ γινώσκων ἄπορον διὰ κέρδος ἴδιον εὔπορον ἔδειξας ἀνθρώπῳ. χώρα τῇ περὶ δόλου ἀγωγῇ. ἐν τῷ αὐτῷ ι κεφ. ἐπὶ μικρᾷ ποσότητι τοῦ ἔστι

ὅτι ἔστι δόλος καλός

δύο μέχρι νῦν· οὐ δίδοται ἡ περὶ δόλου ἀγωγή· οὔτε παισὶν ἢ ἀπελευθέροις κατὰ πατέρων ἢ πατρώνων, διὰ τὸ ἀτιμοποιὸν αὐτὴν εἶναι· οὔτε ἰδιώτῃ κατὰ ὑπατικοῦ· οὔτε ἀκολάστῳ ἀσώτῳ· ἢ ἄλλως εὐτελεῖ κατὰ εὐφήμου· ἐπὶ τούτων οὖν, ἡ ἰμφάκτουμ ἁρμόζει, ἵνα μὴ διὰ τοῦ οἰκείου κρεμάνωσιν. οἱ δὲ κληρονόμοι τούτων, ἐνάγουσι καὶ ἐνάγονται τῇ περὶ δόλου ἀγωγῇ. Ἐν τῷ αὐτῷ ιβ κεφ. ὁ ἄνηβος ὡς κληρονόμος ἐνάγεται τῇ περὶ δόλου ἀγωγῇ· ἀπὸ τοῦ οἰκείου φάκτου, ὅτε πλησιάζει τῇ ἥβῃ· καὶ μάλιστα εἰ γέγονεν εὐπορώτερος. Ἐν τῷ αὐτῷ ιγ κεφ. Ἐὰν πολλοὶ ποιήσωσι δόλον καὶ ὁ εἷς ἀποκαταστήσῃ τὸ διαφέρον, οἱ λοιποὶ ἐλευθεροῦνται. Ἐν τῷ αὐτῷ κς κεφ. ἡ περὶ δόλου δίδοται κατὰ κληρονόμων εἰς τὸ περιελθόν, τουτέστιν εἰς ὅσον ἐκ τοῦ δόλου ἡ κληρονομία περιῆλθεν. Ἐν τῷ αὐτῷ κθ κεφ. καὶ ὁ τὸν δόλον ποιήσας, εἰς ὅπερ ἐκέρδανε διηνεκῶς ἐνάγεται τῇ ἰμφάκτουμ· ἐπειδὴ μὴ ἔστιν ἀτιμοποιὸς εἰς τοὺς κληρονόμους διηνεκῶς δίδοται καὶ αὐτοῦ καὶ χωρεῖς αἰτίας διαγνώσεως. Ἐν τῷ αὐτῷ λε κεφ. Ἐὰν ὁ λαβὼν διαθήκην ἐν παρακαταθήκῃ ἀπαλείψῃ αὐτὴν ἢ ἄλλως διαφθείρῃ, μετὰ θάνατον τοῦ διαθεμένου, καὶ τῷ κληρονόμῳ καὶ τοῖς λεγαταρίοις ἁρμόζει ἡ περὶ δόλου ἀγωγή. Ἐν τῷ αὐτῷ μγ κεφ. ὅτε ἐντὸς δύο ἐνιαυτῶν κινεῖται ἡ περὶ δόλου ἀγωγή. Ἐν τῷ αὐτῷ μς κεφ. ὁ ἐν δόλῳ ἀπὸ ἐπιβουλῶν προφανεστάτων ἀποδείκνυσθαι τὴν περὶ δόλου. Ἐν τῷ αὐτῷ μζ κεφ. ἡ προκειμένη διάταξις πάσης ἡμᾶς ἀπαλλάττουσα φιλονεικίας νομοθετεῖ μὴ ἐξεῖναι τοῖς λέγουσι πεπονθέναι τὸν δόλον ἐνιαυτὸν ὁριζόμενον αὐτοῖς ψηφίζεσθαι πρὸς τὸ αἰτεῖν τὴν περὶ δόλου ἀγωγήν· ἀλλ' ἐξότε γέγονεν ὁ δόλος, ἐντὸς δύο ἐνιαυτῶν συναπτῶν τὴν περὶ δόλου ἀγωγὴν κινεῖσθαι· ὅτε πάρεστιν ὁ τὸν δόλον ὑπομείνας, ὅτε ἄπεστι· πάντως δὲ οὖν φησι γινωσκέτωσαν, ὡς οὐ δεῖ τὴν ἀρχὴν δύναταί τις κινῆσαι τὴν περὶ δόλου ἀγωγήν, ἐν δύο ἔτη τοῦ γενέσθαι τὸν δόλον. οὐ δὲ ὁ ἀρξάμενος ἐντὸς τῶν δύο ἐνιαυτῶν κινεῖν, δύναται ἐν δύο ἔτη περαιοῦν τὴν ταύτης ἀγωγήν. πάντως οὖν καὶ ἄρχεσθαι καὶ περαιοῦσθαι τὸ περὶ δόλου δικαστήριον· ἐντὸς τῶν συναπτῶν ἐνιαυτῶν αὕτη ἡ διάταξις νομοθετεῖ. ἀνάγνωθι καὶ β ια τ α κεφ. ζήτει Δ ἐν ᾧ φησιν. καθόλου τοῖς συμφωνοῦσι· ὁσάκις ἐπὶ περιγραφῇ τινὸς ἄλλο τι πράττει· καὶ ἄλλο τι προσποιεῖται. Εἴτε δὲ κατὰ τὴν ἀρχήν, εἴτε μετὰ τὸ σύμφωνον γένηται ὁ δόλος, ἁρμόζει αὐτῇ περιγραφή. καὶ κεφ. ι ζήτει ἐν ᾧ φησιν. Ἐν ἀγνοίᾳ τῆς τοῦ συμφώνου περιγραφῆς, ἁρμόζει ἡ τοῦ δόλου ὡς ἐπὶ πᾶν. ἀνάγνωθι καὶ β να τ Δ οὕτινος ἐν ᾧ α κεφ. φησί. τὸ γενέσθαι τι δολερῶς, ἐκ τοῦ ἀποτελέσματος καταλαμβάνεται. γίνεται δὲ δόλος ἐν συναλλάγμασιν. ἐν διαθήκαις. ἐν νόμοις. Ἐν τῷ αὐτῷ β κεφ. ἐξ ὧν ἁρμόζει ἡ τοῦ δόλου ἀγωγή, ἐκ τῶν αὐτῶν ἁρμόζει καὶ ἡ τοῦ δόλου περιγραφή. ὁ αὐτὸς τιθεὶς τὴν τοῦ δόλου περιγραφήν, ὀφείλει δεῖξαι δόλον γενέσθαι παρὰ τοῦ ἐνάγοντος, ἢ ἑτέρου. οὐ

ἀγωγὴ εἰς τὸ διπλοῦν:

Ἐντὸς δὲ δύο ἐνιαυτῶν ἡ περὶ δόλου ἀγωγὴ κινεῖται. ἡ δὲ περιγραφὴ αὐτοῦ, διηνεκής ἐστιν:

τινος ἐκ τῶν περὶ πράγματα γενέσθαι δούλου. οὐ διαφερόμεθα γὰρ τίνι γέγονεν ὁ δοῦλος. ἀλλ᾽ ἀφ᾽
ὅσου αὐτὸν ἐκ τοῦ μέρους γενέσθαι τοῦ διαφέροντος. εἰς τὸ ... κεφ. ... τῆς δούλου παρα-
γραφῆς, οὐ κωλύεται δούλου ἀνάμιξις ἢ ἀναπλοκή. οὐδὲ γὰρ ἀπὸ τοῦ κοινοῦ δού-
λου κερδαίνειν τις τὸν ἐνάγοντα ζημιωθῆναι δὲ τὸν ἐναγόμενον. εἰς τὸ ... κεφ. ... τοῦ
δούλου παραγραφὴ δικαστικῆς ἐστι. καὶ οὐχ ὡς ἐπὶ τῆς περὶ δούλου ἀγωγῆς, χρόνω περι-
κλείεται :—

περὶ δούλων. ἀνάγνωθι βιβλίον ζ´ τίτλον ϛ´ κεφάλαιον ϛ´ ἐν τῷ φόρῳ ἡμῶν :—                λ´.

Ὁ οἰκέτης μὴ δικαζέσθω. μηδὲ ἐρράσθω καὶ αὐτὸν δίκη. καὶ τίτλον ιϛ´ κεφ. ιγ´ ἐν τῷ φόρῳ. δοῦ-
λος οὔτε ἐπερωτᾷ, οὔτε ἐπερωτηθεὶς παρασάσιν ἐπὶ τῶν αὐτὸν δικάζεσθαι, οὐ βεβαιοῦται. οὐ        ἐν ὅροις τῆς δουλείας εὑρίσεις ἐν τοῖς περὶ ἀνθρώπων :—
τοιοῦτον γὰρ ἐνέχονται. δοῦλος γὰρ οὔτε ἐνάγει, οὔτε ἐνάγεται. ἀνάγνωθι καὶ βιβλίον η´ τίτλον β´ κεφ. ιγ´ ἐν
τῷ φόρῳ. δοῦλος διοικῶν τὰ τοῦ δεσπότου πράγματα, οὐ γὰρ κινεῖν αὐτῷ οὐ γὰρ ἀκίνητον πρᾶγ-
μα τῆς τοῦ δεσπότου δύναται παρουσίας ἐκποιεῖν παρὰ γνώμην τοῦ δεσπότου. εἰ δὲ
εἰς πράγματα τοῦ δεσπότου τὸ λέγμμα περιχώρησεν, ἀποκαθίσταται τὸ λέγμμα τῷ ἀγο-
ραστῇ. ἀνάγνωθι καὶ βιβλίον ια´ τίτλον α´ κεφ. με´. καὶ κεφ. ιβ´ ἐν τῷ φόρῳ. ὁ δοῦλος τοῦ δανειστοῦ, βελτίονα τὴν
τύχην τοῦ δεσπότου ποιῆσαι δύναται. εἰς τὸ χεῖρον δὲ μεταμορφῶσαι διὰ καινοῦ συμφώ-
νου οὐ δύναται τὴν ἐνοχὴν τὴν ὀρθῶς συσταθεῖσαν. ἀνάγνωθι καὶ βιβλίον ιη´ τίτλον β´ κεφ. ιε´ ἐν τῷ φόρῳ. ὁ οἰ-
κέτης ἔχων ἐλευθέραν πεκουλίου διοίκησιν, δύναται πωλῆσαι πράγματα τοῦ πεκουλίου.        περὶ δούλου πωλοῦντος κινητὰ πράγματα :—
οὐκέτι δὲ καὶ ὁ μὴ ἔχων. ἀλλ᾽ οὐδὲ δικαίαν ἀρχὴν νομῆς ποιεῖ τῷ ἐν δημοσίᾳ ἀγοράσαν-
τι. εἰ δὲ κινητὸν ἦν τὸ πρᾶγμα, καὶ ἡ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγὴ ἁρμόζει κατὰ τοῦ
ἀγοραστοῦ. ἀνάγνωθι καὶ βιβλίον ζ´ τίτλον ε´ κεφ. ξζ´ ἐν τῷ φόρῳ. ὁ ἰδίοις ἀργυρίοις ἀγορασθεὶς ἐξ ὀνόματι ἀγορα-
στοῦ δοκεῖ ἐλευθεροῦσθαι. καὶ ἀναγκάζεται ὁ ἀγοραστὴς ἐλευθεροῦσθαι. εἰ δὲ λανθάνει,
γίνεται τὸ ἐπιτήδειον καὶ μάταια ἐλευθερία γενομοθετημένα. ἀνάγνωθι καὶ βιβλίον ι´ τίτλον ϛ´
κεφ. γ´ ἐν τῷ φόρῳ. δοῦλός τις παρέθετο μοι χρήματα ἐπὶ τῷ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθε-        περὶ τοῦ ἀγορασθέντος ἀπὸ τοῦ ἰδίου πεκουλίου καὶ ἐλευθερωθέντος :—
ρωθῆναι αὐτόν, ἐάν τις δέδωκας ἐποίησας τῶν παρακολουθησάντων ἐν τῷ δικαστηρίῳ, οὐκ ἐνέχο-
μαι. εἰ δὲ ὡς ἰδία δέδωκα, ὑπόκειμαι τῇ περὶ παραθήκης ἀγωγῇ. ὁ γὰρ ὡς ἰδία δι-
δοὺς, οὔτε ἀποδοῦναι δοκεῖ. ἀνάγνωθι καὶ βιβλίον ιδ´ τίτλον α´ κεφ. ια´ καὶ κεφ. πδ´ ἐν τῷ φόρῳ. τοῦ δοῦ-
λου ἐντελλομένου τινὶ ἀγοράσαι αὐτὸν παρὰ τοῦ δεσπότου καὶ ἐλευθερῶσαι. τῇ ἐκ
κελεύσεως οὐκ ἔχει ὁ δεσπότης ἀγωγήν. πλὴν ἐπειδὴ διὰ τῆς ἐντολῆς ἄλλο συνάλλαγμα
περιάπτεται τὸ τῆς ἀγορασίας. ὁ δὲ ὠνησάμενος ἀγοραστὴς καταβαλὼν τῷ δεσπότῃ τὸ λέγμμα, ἐκ
τοῦ πεκουλίου τοῦ οἰκέτου οὐκ ἐλευθεροῦται τῆς ἐπὶ τῇ ἀγορασίᾳ ἀγωγῆς. τὰ γὰρ ἴδι-
α κατέβαλεν. ἀλλ᾽ ἐξουσίαν ἔχει ὁ δεσπότης, εἴτε βούλεται τὸν αὐτὸν δεσπότην ἀναλαβεῖν,
εἴτε βούλεται τὸ λέγμμα ἀπαιτῆσαι. ἀνάγνωθι καὶ βιβλίον ιη´ τίτλον ζ´ κεφ. β´ ἐν τῷ φόρῳ. ὁ λαβὼν ἐκ τοῦ
δούλου οὗ καὶ ἠλευθέρωσας αὐτόν. οὐ κινεῖται τῇ περὶ τῶν δαπανηθέντων ἀγωγῇ.

οὐ γὰρ γέγονεν ἀπορώτερος, ἀλλὰ ἄρα πλέον τῆς τοῦ δούλου τιμῆς ἐδόθη. ἐπὶ αὐτὸ γὰρ
ἁρμόζει τὸ δαπανηθέν. ἀνάγνωθι καὶ β ιθ τ ζ κεφ ιζ ἐν φ θ. τοὺς δούλους τοὺς τὸν ἴδιον δε-
ἀπελθόντας δεσπότην, κεφαλικῶς τιμωρηθῆναι. ἀνάγνωθι καὶ β γ τ α κεφ λγ ἐν φ θ. ἐὰν

περὶ δούλων στρατευομένων ἢ κληρικῶν ἢ μοναχῶν γινομένων :—

δοῦλος εἰδότος καὶ οὐκ ἀντιλέγοντος τοῦ δεσπότου ἐν κλήρῳ καταλεγῇ, ἐξ αὐτοῦ τοῦ κα-
ταλεγῆναι, ἐλεύθερος καὶ εὐγενὴς ἔσται. εἰ γὰρ ἀγνοοῦντος τοῦ δεσπότου ἡ χειροτονία γέ-
νηται. ἐξέσται τῷ δεσπότῃ ἔσω προθεσμίας ἐνιαυτοῦ καὶ μόνου τὴν τύχην ἀποδει-
κνύναι. καὶ τὸν ἴδιον δοῦλον ἀναλαμβάνειν. εἰ δὲ τῷ γ κεφ τοῦ α τ τοῦ λ β φ θ. ὁ
τε μὴ τῷ προσκαρτερεῖται τοῦ δούλου ἐν τινι μοναστηρίῳ ἐφ᾽ ᾧ γενέσθαι μοναχὸς ἐπὶ
τριετίαν, καὶ λαβεῖν τὸ ἅγιον σχῆμα. μηκέτι δύνασθαι τὸν δεσπότην αὐτοῦ προσελ-
κύσαι αὐτὸν ἔχειν. εἰ μέντοι πραθῇ ὁ ἅπαξ μονάσας τὸ μοναστήριον καταλιπών,
καὶ ἑτέρου βίου σχῆμα μεταμφιάσηται. ὁρίζουσι δὲ τοῦτο βασιλεῖς. ἐν δὲ τῇ ε νδ.
ἀνάγνωθι καὶ β ιζ τ α κεφ μ καὶ μα ἐν τοῖς φ θ. ὅτι ἐὰν ἐν ἀγροῖς δεσπότου στρατεύσῃ
τις δοῦλος. ἀπολλύουσιν ὁ δεσπότης καὶ τὴν ἐπὶ τῷ δούλῳ δεσποτείαν, καὶ τὸ πατρω-
νικὸν δίκαιον. εἰ δὲ καὶ ἀξίας ἐπέβη ὁ δοῦλος, τὰ αὐτὰ προβαίνει. ὅ εἰσὶ δὲ ἡ ἀξί-
αι αὗται. τριακοσίαι μὲν ἀρετῶν ἐπὶ τῶν προσηκόντων ἀξιώματι οἰκείων. εἰ δὲ
ἀγνοοῦντος αὐτοῦ ἐξέστιν αὐτῷ προσελθεῖν τῷ ἁρμοδίῳ δικαστῇ. καὶ τοῦτον εἰς τὴν
ἰδίαν δεσποτείαν ἕλκειν. ἀνάγνωθι καὶ β λε τ ια κεφ νς ἐν φ θ. ἐὰν ἀλλότριον δοῦλον
ἀγοράσῃ τις ἐκ τῶν πολεμίων καὶ ζῶν ἐλευθερίᾳ κληρονόμον αὐτὸν γράψῃ, ἀναγ-
καίως μου κληρονόμος γίνεται. καὶ ἐπὶ τούτου τοῦ τελευτῶντος, οὐκ ἀποδίδοται τῷ πρώ-
ην δεσπότῃ, ὑπόκειται μέχρι αὐτῷ, ἕως οὗ πληρώσῃ τὸ ἴδιον τίμημα. ἀνάγνωθι καὶ β ξ
τ μα κεφ ξ ἐν φ θ. ὁ δοῦλος, οὐ δύναται τῷ δεσπότῃ δικάζεσθαι. οὔτε γὰρ τῷ
νόμῳ γνωρίζεται. κατὰ δὲ λόγῳ τῆς ἐλευθερίας αὐτοῦ κατηγορεῖ. λέγων αὐτὸν ἀπο-
κρύψαι τὴν διαθήκην, ἐν ᾗ ἐλευθερία αὐτῷ κατελείφθη. ἀνάγνωθι καὶ τ να κεφ να κεφ λα
ἐπὶ α ἐν φ θ. δοῦλος ὁ λέγων ἐξ ἰδίων ἀγορασθῆναι νομισμάτων, καὶ μὴ δείκνυς.
ἀποδίδοται τῷ δεσπότῃ ἐπὶ τῷ εἶναι ἐν δεσμοῖς. ἢ μεταλλάζεται βουλομένου τοῦ δεσ-
πότου. καὶ κεφ κθ ἐν φ θ. οἱ δοῦλοι τῇ σφαγῇ τῶν δεσποτῶν ἐπιβουλεύοντες, —
καίονται. ἀνάγνωθι καὶ τ α κεφ ε ἐν φ θ. ὁ δοῦλος κατηγορηθεὶς καὶ βασανισθεὶς. εἶ-
τα ἀπολυθεὶς. τὸ διπλοῦν τῆς αὐτοῦ τιμῆς, ὁ κατήγορος δίδωσι τῷ δεσπότῃ.

περὶ τῶν ἐν βασάνοις ἐξεταζομένων :—

καὶ ὑπόκειται τῷ ἐγκλήματι τῆς συκοφαντίας. καὶ κεφ λγ ἐν φ θ. ὁ νόμος κελεύει
τὸν δεσπότην τοῦ δούλου τοῦ βασανισθέντος. λαμβάνειν παρ᾽ αὐτοῦ τοῦ συκοφαν-
τίαν ἐνάγοντος τὸ διπλάσιον τῆς διατιμήσεως. ἀνάγνωθι καὶ τ ν ὅθεν ὡς ἐν τῷ α κεφ
φ θ. οὐ δὲ τῆς ζημίας, ἀπὸ βασάνων ἄρχεσθαι. ὅτε γὰρ οἱ δοῦλοι βασανίζονται.

ὅτε καὶ ὕποπτος ἐστὶν ὁ κατηγορούμενος. καὶ ὑπόσι τεκμήρια ὥστε μόνην τὴν τῶν δού-
λων ἐλλείπειν κατάθεσιν. πρῶτοι δὲ βασανίζονται οἱ ὕποπτοι, καὶ δι' ὧν δυνατὸν γνῶναι
τὸ ἀληθές. ἐν τῷ δ' γ' κεφ. οὐδὲ τοὺς δούλους λεγομένους συγκλείεσθαι τῷ δεσπότῃ βασανί-
ζεσθαι κατ' αὐτοῦ. οὔτε λέγοντας ἑκουσίως βλάπτειν αὐτόν. ὁ καὶ ἐπὶ πιστευτικῇ δουλοσύνῃ.
οὐκ ἐρωτᾶται κατ' αὐτοῦ. ὅτε δοῦλος ἐστὶν ἢ ἐλεύθερος. οὔτε ἀπελεύθερος κατὰ τῆς κεφαλῆς
τοῦ πάτρωνος. οὐδὲ ἀδελφὸς κατὰ ἀδελφοῦ. οὔτε οἱ μὴ ἀναγκαζόμενοι κατὰ τινῶν μαρτυ-
ρεῖν βασανίζονται κατ' αὐτῶν. ὁ δὲ τοῦ ἀνδρὸς δοῦλος βασανίζεται κατὰ τῆς γυναικός. καὶ οἱ
δοῦλοι τοῦ καταδικασθέντος, βασανίζονται κατ' αὐτοῦ. διὰ τὸ μὴ αὐτοῦ εἶναι. ἐν
τῷ δ' δ' κεφ. θ' γ'. ἐὰν δοῦλοι εἰς ἁμαρτήματος μετέχουσι, ἔπειτα κατὰ τοῦ δεσπότου
κεινούμενοι, οὐκ ἀποδεκτοί. ἐν τῷ δ' ϛ' κεφ. θ' ε'. ὅτε περὶ πλαστῆς διαθήκης ζητεῖται, ε-
οἱ κληρονομιαῖοι δοῦλοι βασανίζονται. ἐν τῷ δ' ζ' κεφ. ὁ ὑπὸ ὅρον ἐλευθερωθεὶς με-
νός, ἐν περὶ μοιχείας ἐγκλήματι καὶ νῦν βασανίζεται ὡς ἔτι δοῦλος ὢν τοῦ κληρονόμου.
ἐν τῷ δ' ι' κεφ. καὶ ἐπὶ χρηματικοῦ αἰτίου ἐν ἀπορίᾳ ἀποδείξεων βασανίζονται
οἱ δοῦλοι καὶ οἱ ἀλλότριοι. οὐ τῶν ἔξω αἰτιῶν οὐ βασανίζονται οἱ δοῦλοι κατὰ τῶν δεσπο-
τῶν. ἐν τοῖς αὐτῶν οὐκ ἐρωτώντων κατ' αὐτῶν. οὐδὲ τὰ μηνύματα αὐτῶν βλάπτει οὐκ ἐρωτῶνται
αὐτ. ἐν τῷ δ' ιϛ' κεφ. θ' γ'. καὶ ἐξ ὧν ἐκινήθησαν τὸ μοιχικόν, βασανίζονται δοῦ-
λοι κατὰ τῶν δεσποτῶν. καὶ ἐν τῷ περὶ φθορᾶς παρθένου ἢ χήρας. καὶ ἐν τῷ περὶ τοῦ
ὑποβολιμαίου τεκεῖν ζητήσεις. καὶ ὅταν τις ἐν δίκῃ κληρονομίας περὶ τελευτῶν ἀδελφῶν
αὐτοῦ λέγων καὶ ἑαυτὸν υἱὸν τοῦ τελευτήσαντος, βασανίζονται οἱ κληρονομιαῖοι δοῦλοι.
καὶ ὁ κοινὸς δοῦλος ὅταν ὁ εἷς τῶν δεσποτῶν κατηγορῆται ὡς φονεύσας τὸν ἄλλον.
ἐν τῷ δ' κβ' κεφ. δοῦλος κατὰ τοῦ δεσπότου οὐ βασανίζεται. εἰ μὴ μόνον ὅτε περὶ μοιχείας ἐστὶν
ἡ ζήτησις. ἢ περὶ καθοσιώσεως. ἐὰν δὲ πρὸς οἷς δοῦλος κατάθοιτο κατὰ τοῦ δεσπότου εἰσὶ καὶ
ἕτεραι ἀποδείξεις. οὐ δυνάμεθα τὰς ἄλλας ἀποδείξεις διαβάλλειν. ἐξ ὧν ὁ δοῦλος κα-
τέθετο. ἐν δὲ ταῖς χρηματικαῖς δίκαις. οὐδὲ ἐν ἀπορίᾳ τῶν ἀποδείξεων περὶ τοὺς δού-
λους κατὰ τῶν δεσποτῶν ἐρωτᾶσθαι. ὅτε κατὰ ἐπιτρόπου τῶν δεσποτῶν οὔτε κατὰ μητρός. εἰ μὴ
ἀσαφεῖ ὄντι τῆς ἀληθείας κινδυνεύει. ἐν τῷ δ' κα' κεφ. ἐὰν γυνὴ ἐγκαλῆται ὡς φαρμα-
κοῖς φονεύσασα τὸν ἄνδρα τὸν ἴδιον, καὶ δοῦλοι κατ' αὐτῆς οὐ μόνον ἴδιοι. ἀλλὰ καὶ ἀλ-
λότριοι ἐξετάζονται. πρῶτον δὲ οἱ ἀλλότριοι. καὶ ἐὰν δεῖγμα δειχθῇ ἀληθείας. καὶ αὐτὴ
ἡ γυνὴ βασανίζεται. ἐν τῷ δ' λα' κεφ. τῆς διαθήκης πλαστῆς εἶναι λεγομένης βασανίζον-
ται οἱ κληρονομιαῖοι δοῦλοι. ἐν τῷ δ' λβ' κεφ. ὅταν τις περὶ δεσπότας ἀνδραποδίζη-
ται. ἐὰν ἄλλαις ἀποδείξεσιν ἢ ἀληθείᾳ φανερωθῆναι μὴ δύναται περὶ ἑαυτῶν αὐτὰ ἐν
τῷ βασάνων ἐρωτᾶται αὐτὰ τὰ ἀνδράποδα. ἐν τῷ δ' λγ' κεφ. τοὺς δούλους οὐ μόνον

ὑπὸ τῶν δεσποτῶν τῶν ἐν τῇ δεσποτείᾳ ὑπαρχόντων· ἀλλ' οὐδὲ ὑπὸ ἐκείνων τῶν πρότερον αὐτὸν δυναμένων ἐκδικεῖσθαι. ἀνάγνωθι καὶ β. κ΄ τί. α΄ κε. η΄ ἐν συνόψει. Ἐὰν ὡς κλέπτην παρὰ φυλακῇ δοῦλόν μου τις ἐμβαλὼν ἐζήτησεν· καὶ εὑρεθῇ ἀναίτιος, ἀπολογίαν ἔχω κατ' αὐτοῦ, ἢ τὴν συμφωνηθεῖσαν δαπάνην ἢ αὐτὸ λαβεῖν διὰ τῆς τῶν προγεγραμμένων συμφώνου ἀγωγῆς ἔνθα μὴ ἐπερωτήθη. εἰ δὲ ἔνοχος εὑρεθῇ, κρατεῖ αὐτόν. καὶ ἀποδίδωμι τὸ τίμημα, εἰ δὲ λαβὼν ἔτυχον. ἀνάγνωθι καὶ β. μ΄ τί. ια΄ ἐν συνόψει. Ἔστω δὲ τὸ τίμημα τοῦ δούλου· εἴτε ἄρρενος εἴτε θηλείας· εἰ μὲν ἄτεχνός ἐστιν, εἴκοσι νομ. ἐὰν ἐστὶν ὑπὲρ τοὺς δέκα ἐνιαυτούς. εἰ δὲ ἥττων ἐστί, δέκα νομ. εἰ δὲ τεχνίτης ἐστὶ χωρὶς νοταρίου καὶ ἰατροῦ, τριάκοντα νομ. ἐὰν δὲ νοτάριός ἐστιν ἢ ἰατρός· ὁ μὲν νοτάριος, ἕως πεντήκοντα νομ. ὁ δὲ ἰατρὸς ἕως ξ΄. ἐὰν δὲ εὐνοῦχοι ὦσιν οἱ δοῦλοι μείζονες τῶν δέκα ἐνιαυτῶν χωρὶς τέχνης, νομ. πεντήκοντα. ἐὰν δὲ τέχνην ἔχωσιν, ο΄ νομ. ἐὰν δὲ τῶν δέκα ἐνιαυτῶν ἥττονες ὦσι, λ΄ νομ. ἀνάγνωθι καὶ β. μ΄ τί. ιζ΄ κε. γ΄. ὁμοίως γὰρ καὶ αὐτὸ περὶ τῆς τῶν δούλων ἀποτιμήσεως φησί. ἀνάγνωθι καὶ β. ιζ΄ τί. ε΄ ιε΄ ἐν συνόψει. Ἐὰν ὁ δοῦλός μου κλέψας νομ. φύγῃ. καὶ ὡς ἐλεύθερος διάγων δανείσῃ αὐτά, ποιοῦμαι ἔνοχον τὸν λαβόντα. εἰ μέντοι νομίζων αὐτὸν ἐλεύθερον καταβάλῃ αὐτῷ, ἐλευθεροῦται. οὐ μήν, ἐὰν καὶ γνοὺς αὐτὸν ἑτέρῳ καταβάλῃ αὐτῷ. ἀνάγνωθι καὶ β. ξ΄ τί. ζ΄ θέματος τοῦ κε. φησί. ὁ φυγὰς οἰκέτης αὐτὸς ἑαυτὸν κλέπτειν πιστεύεται. ἐν ὅσῳ ἐπικλοπεῖ, ὁ δὲ ἡ διὰ τῆς τριακονταετίας χώραν ἔχει, οὐ δὲ μακροῦ χρόνου παραγραφή. εἰ δὲ ἐν ὧ κε. Ἐὰν φυγὼν οἰκέτης συλληφθῇ, ὅπου τὸ βαρβαρικὸν ἄπεισιν, ἢ ὁ πούς αὐτοῦ κοπτέσθω· ἢ εἰς μέταλλον παραδιδόσθω· ἢ ἄλλῃ οἱᾳδήποτε τιμωρίᾳ ὑποπιπτέτω. ἀνάγνωθι καὶ τί. μη΄ κε. α΄ ἐν συνόψει. δύναται τὸν ἀποδράντα δοῦλον πωλεῖν ὁ δεσπότης. οὐ μὴν τὸν φυγάδα. κἂν ὡς δὲ συντέλλεται ἐνίζει τὸν φυγάδα καὶ ἔχει ἠγορασμένον καὶ ἑτέρῳ πωλήσει. οἱ γὰρ τὴν φυγὴν τῶν ἰδίων δούλων πωλοῦντες, ὑπόκεινται τῷ νόμῳ. καὶ κε. ι΄ ἐν συνόψει. τὸν ἐν φυγῇ δοῦλον, οὔτε πωλεῖν δύναταί τις, οὔτε δωρεῖσθαι οὔτε ἀγοράζειν. ἀλλ' ὁ ἐν τούτων ποιήσας, ὑπόκειται τῷ νόμῳ τῷ περὶ ἀνδραποδιστοῦ, ὑπεξῃρημένου συγκληρονόμου. οὔτε γὰρ ἐν τῷ διαιρεῖσθαι τὰ ἐπίκοινα πράγματα, ἀνάγκην ἔχουσι καὶ περὶ τοῦ ὄντος ἐν φυγῇ οἰκέτου συμφωνεῖν. ὥστε τοῦ δὲ αὐτὸν εἶναι. δυνατὸν δὲ οὕτως πρᾶσιν συμφωνηθῆναι, ὑπὸ αἵρεσιν τυχόν· ὅτε ἐὰν εὑρεθῇ, πιπράσκοιτο αὐτόν, τότε δὲ νομ. ἀνάγνωθι καὶ τὸ ε΄ κε. ια΄ ἐν συνόψει. Ἐὰν τοῦ ἔξωθεν δούλου διοικεῖν ἢ δανείζειν τὰ δεσποτικὰ χρήματα, λογοποιοῦντος μὴ τὸ ἐλευθερωθῆναι, εὑρεθῇ χρήματα δαπανήσας μετὰ γυναικός, ἁρμόζει καὶ αὐτῆς ἡ περὶ ὑποφθορᾶς δούλου ἀγωγή, ἢ ἡ περὶ κλοπῆς.

περὶ δούλου φυγάδος :-

περὶ δαπανήσαντος μετὰ γυναικὸς χρήματα :-

ε

περὶ ὧν πρὸς αὐτὴν ὁ δοῦλος ἀπαιτεῖται:–

περὶ δουλογραφίου. ἀνάγ. β΄ μη΄ τίτ. κ΄ κεφ. λδ΄ ἐν φ. φι:– λθ

Οὐ γὰρ ἡ συμφωνήσασα ἐλευθέρα εἶναι, οὖσα δὲ δούλη, ἀπὸ τοῦ συμφώνου γίνεται ἐλευθέρα· οὐ γὰρ ἡ οὖσα ἐλευθέρα μετὰ τῶν τέκνων αὐτῆς, συμφωνοῦσα δὲ εἶναι δούλη, βλάπτεται ἀπὸ τοῦ συμφώνου. ἀνάγ. καὶ τὸ κε΄ κεφ. α΄ ἐν φ. φι. Ὁ παλαιὸς (νόμος) ἑαυτὴν δούλου ἀλλοτρίου ἐρασθεῖσαν, καὶ τὰς τρεῖς δεξαμένην μαρτυρίας μὴ ἀναχωρῆσαι, αὐτὴν καὶ δουλοῦσθαι καὶ τὰ πράγματα αὐτῆς πάντα τῷ γινομένῳ αὐτῆς δεσπότῃ ἔλεγε. στοιχεῖον τοῦτο ἀνῃρέθη ὑπὸ τῆς διατάξεως λεγούσης οὕτως· ἐπειδὴ ἐν τοῖς ἡμετέροις καιροῖς ἐν οἷς πολλοὺς κατὰ τοὺς τῆς ἐλευθερίας τῶν ὑποκειμένων ὑπέστημεν πόνους, πάνυ εἶναι ἀσεβὲς ἐπιστεύσαμεν, τινὰς γυναῖκας τῆς ἐλευθερίας τῆς ἰδίας ζημιοῦσθαι· καὶ ὅπερ ἐκ τῆς τῶν πολεμίων ἀγριότητος περὶ τὴν φυσικὴν ἐλευθερίαν συνέβη, τοῦτο ἐκ τῆς ἡδονῆς τῶν ἀγριωτάτων ἀνδρῶν εἰσφέρεσθαι. τὸ κλαυδιανὸν δόγμα καὶ πᾶσαν αὐτοῦ τὴν περιφυλακὴν τὴν περὶ τὰς παραγγελίας καὶ τὰς τῶν δικαστῶν ἀποφάσεις ἀργεῖν τὸ λοιπὸν βουλόμεθα· ἵνα μηδεμία ἐλευθέρα καθεστηκυῖα ἐστὶν ἢ ἅπαξ ἀπαλλαγεῖσα ἢ αἰσχρᾷ ἐπιθυμίᾳ ληφθεῖσα ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ, παρὰ τὴν τῶν ἰδίων γενεθλίων δύναμιν κατενεχθῇ εἰς δουλείαν· καὶ τὸ αἴσχιστον ἀκοσμίᾳ τῆς ἰδίας συγγενείας λαμπρότητι· ἵνα δὲ ἐλευθέρους τυχὸν κεκοσμημένους τοῖς ἀξιώμασιν ἔχοι συγγενεῖς, αὕτη εἰς ἀλλοτρίαν πέσῃ δεσποτείαν καὶ δεσπότην φοβῆται ἴσως τῶν συγγενῶν τῶν ἰδίων κατώτερον. ὅπερ καὶ ἐν τοῖς ἀπελευθέροις φυλάττεσθαι χρή· ἅπαξ γὰρ τῆς ἐλευθερίας ἀπολαύσασα διὰ τὴν τοιαύτην ἀκοσμίαν εἰς δουλείαν ἄγεσθαι ἀθρησκεία τῶν ἡμετέρων καιρῶν· οὐδὲ νῦν ἀνέχεται τρόπῳ. ἀλλὰ μηδὲ οἱ δοῦλοι ἢ ἐναπόγραφοι νομιζέσθωσαν ἐὰν τοῖς ἀτιμοτέροις εἶναι τὸ τοιοῦτον ἐγχείρημα· ὅπερ μάλιστα ἐν ταῖς τῶν ἐναπογράφων συναφείαις φυλακτέον ἐστίν· ἵνα μὴ γάμων ἐλευθέρων γυναικῶν ἐξ αὐτῶν τῶν ἐναπογράφων ἐννοηθέντων, κατ' ὀλίγον τῶν τοιούτων ἀνδρῶν ἡ αἵρεσις ἀπομειωθῇ. Θεσπίζομεν δὲ τὸ τοιοῦτον ἢ παρὰ δούλου ἢ ἐναπογράφου πλημμεληθέν, ἐξουσίαν ἔχειν τὸν δεσπότην αὐτοῦ εἴτε δι' ἑαυτοῦ εἴτε διὰ τοῦ ἄρχοντος τῆς ἐπαρχίας καὶ τὸν δοῦλον ἢ ἐναπόγραφον τῷ ἁρμόζοντι σωφρονισμῷ διορθοῦσθαι· καὶ ἀφίστασθαι τῆς τοιαύτης γυναικός· ὅπερ ἐὰν παρίδῃ, γινωσκέτω εἰς ἰδίαν ζημίαν τὴν τοιαύτην ἐπιθυμίαν ὑποστρέφουσαν:–

περὶ δουλειῶν. ἀνάγ. β΄ νη΄ τίτ. α΄. θέμα ἐν φ. α΄ κεφ. φι:– μ

Τῶν δουλειῶν αἱ μὲν εἰσὶ προσώπων, ὡς χρῆσις μόνη καὶ χρῆσις καρπῶν· αἱ δὲ

πραγμάτων, ὡς αἱ τῶν πολιτικῶν καὶ ἀγροικικῶν τόπων καὶ οἴκων. Ἐν τῷ δ΄ τίτ. ιγ΄
κεφ. αἱ δουλεῖαι, ἀδιαίρετοί εἰσι· καὶ διὰ τοῦτο δεσπόζονται διαιρετῶς· καὶ ὅτι
οὐδεὶς αὐτὰς ἀδιακόπτως δύναται νέμεσθαι. Ἐν τῷ δ΄ τίτ. ιε΄ κεφ. οὐ συνίσταται δου-
λεία ἐπὶ τῷ ποιῆσαί τι· οἷον ἵνα δένδρα ἐκκόψῃς· ἢ τόπον ἐπιτερπῆ ποιήσῃς·
ἀλλ᾽ ἵνα μὴ ποιήσῃς τι· ἢ ἵνα ἀνάσχῃ γενέσθαι. Ἐν τῷ δ΄ τίτ. ιζ΄ κεφ. τῷ πωλοῦντι ἀγρὸν
ἔξεστι δουλείαν αὐτῷ ἐπιθεῖναι καὶ μὴ χρησιμεύουσαν αὐτῷ· ὥστε ἄγειν ὕδωρ.
δυνάμεθα γὰρ ἔχειν τινὰ καὶ μὴ ὄντα ἡμῖν χρειώδη· ἀλλὰ καὶ τὰ ε΄ ἐν τῷ δ΄ διαλαμ-
βάνεται. περὶ δουλειῶν πολιτικῶν κτημάτων. Ἐν τίτλῳ τῷ ς΄ κεφ. βιβ. αἱ πολιτι-

περὶ πολιτικῶν δουλειῶν :-

καὶ δουλεῖαι εἰσί· τὸ ὑψῶσαι ἢ μὴ ὑψῶσαι· ἐπιτέμνεσθαι σταλαγμὸν κεράμου τοῦ τι-
νος, ἢ μὴ ἐπιτέμνεσθαι· καὶ τὸ ἐμβαλεῖν ξύλα τῷ τοίχῳ τοῦ γείτονος· καὶ τὸ ποιῆ-
σαι βαλανεῖον ἢ γαστρίον καὶ τὰ ὅμοια· καὶ τὸ μὴ ἐμποδίσαι τὴν ἀπόψιν. Ἐν τῷ
δ΄ ς΄ κεφ. αὗται αἱ δουλεῖαι ὡς αἱ ἀγροικικαί, διὰ τῆς ἀχρησίας φθείρονται· διαφέρου-
σι δέ, ὅτι αἱ πολιτικαὶ τῇ ἀχρηστίᾳ ἄλλως οὐκ ἀπόλλυνται εἰ μὴ καὶ ὁ δουλεύων κτή-
σεται ἐλευθερίαν· οἷον ἐὰν χρεωστῇς μοι δουλείαν μὴ ὑψοῦν καὶ ἐμποδίζειν τὰ φῶ-
τά μου, κἀγὼ φράξω ἢ καλύψω τὰς θυρίδας μου· οὐκ ἀπόλλω τὸ δίκαιον εἰ
μὴ καὶ σὺ κατὰ τὸν αὐτὸν χρόνον ἔχεις ὑψωθέντα τὸν οἶκόν σου· καὶ ἐὰν ἔχω δί-
καιον ἐμβάλλειν τὴν δοκὸν εἰς τὸν σὸν τοῖχον· ἐὰν ἐμβάλω τὴν δοκόν, οὐκ ἀπόλ-
λω τὸ δίκαιον. εἰ μὴ φράξεις τὴν ὀπήν, καὶ ἔχεις αὐτὴν οὕτως ἐπὶ τὸν ὡρισμένον
χρόνον· οὐχ ὥσπερ δὲ τὸ κεκτῆσθαι περιποιεῖ ἐλευθερίαν· οὕτω καὶ ἐὰν δέν-
δρον ἐν τῷ αὐτῷ τόπῳ διαπαντὸς ἔχοι ἱστάμενον· οὐ γάρ ἐστιν ὡς τοῖχος ἀκί-
νητος. Ἐν τῷ δ΄ η΄ κεφ. αἱ τῶν οἴκων δουλεῖαι διὰ τῆς νομῆς κατέχονται, καὶ διὰ συ-
νήθεια τῷ χρωμένῳ φυλάττεται. Ἐν τῷ δ΄ κε΄ κεφ. τριῶν οὐσῶν οἰκιῶν, ἡ μέ-
ση τῇ ἀνωτέρᾳ ἐδούλευσε· δύναται ὁ δεσπότης τῆς κατωτέρας, τὸν κοινὸν αὐ-
τῆς καὶ τῆς μέσης τοῖχον ὑψοῦν. ἀλλὰ καὶ τὰ ε΄ ἐν τῷ δ΄ διαλαμβάνεται. περὶ δου-
λειῶν ἀγροικικῶν κτημάτων. ἐν τίτλῳ α΄ κεφ. βιβ. ἀγροικικαὶ δουλεῖαι εἰσί·

περὶ ἀγροικικῶν δουλειῶν :-

μονοπάτιον. πρόοδος. ὁδὸς πλατεῖα. ὑδραγώγιον. Ἐν τῷ δ΄ ε΄ κεφ. δουλεία ἐστί,
καὶ τὸ ποιῆσαι ἐν τῷ ἀγρῷ του καλύβην τὸν ἔχοντα δίκαιον τοῦ βόσκειν ἢ τοῦ ἐ-
λαύνειν θρέμματα, ὥστε χειμῶνος συμβαίνοντος, ἐκεῖ καταφεύγειν. Ἐν τῷ δ΄
ιε΄ κεφ. ὁ ἔχων ὑδραγώγιον, οὐ δύναται σωλῆνας κατασκευάζειν ἐν τῷ ὀχετῷ ἐφ᾽ ᾧ
δέχεσθαι τὸ ὕδωρ πλατύτερον καὶ ὅπερ θέλει ποιεῖν ἐν τῷ ὀχετῷ. μὴ ποιῶν χεί-
ρονα τὸν ὀχετὸν τῷ δεσπότῃ τοῦ ἀγροῦ. Ἐν τῷ δ΄ κα΄ κεφ. ἐὰν παραχωρήσῃς
μοι ἄγειν ὕδωρ καὶ μὴ ὁρίσῃς τὸν τόπον, ὅλος ὁ ἀγρὸς δουλεύει. μάλιστα δὲ

λ΄.

οἱ τόποι οἱ μὴ ἔχοντες κτίσματα, ἢ ἀμπέλιον, ἢ δένδρα. ὅθεν ἀρχὴν ἡ δουλεία συνίσταται. αὐτ. καὶ τίτ. δ΄. ἐν ᾧ καὶ ἐκ τῶν ... λαμβάνεται. καὶ περὶ κοινῶν κτισμάτων. τουτέστι πολιτικῶν τε καὶ ἀγροικικῶν. οὕτινος ἐν τῷ α΄ κεφ. φη. πολιτικὰ κτίσματα τὰ οἰκήματα λέγεται. κἂν ἐν ἀγρῷ ὦσιν. ἐν δὲ τῷ ε΄ κεφ. ἐὰν πωλοῦ ἔδαφος ὑπὸ σοῦ τε δουλεῦον αὐτὸ ἐμοί καὶ τῷ τέτινι, μόνῳ μοι δουλεύει. εἰ δὲ κοινοῦ πωλῶν ὑπὸ δουλεῦον ἐμοί καὶ τῷ κοινωνῷ μου οὐκ ἔρρωται. διὰ γὰρ μέρος τῶν κοινωνῶν. οὔπερ ποιεῖται δουλεία τῷ κοινωνῷ παρὰ πράγματι. ἐν δὲ τῷ ια΄ κεφ. τῷ ἔχοντι ῥεῖθρον σιωπηρῶς παρακεχωρῆσθαι. τὸ ἀφανιζόμενον αὐτὸ καὶ ἐπιβαίνειν ἑκατέρωθεν μετὰ τῶν τεχνιτῶν καὶ τὴν πρὸς τὸ ἔργον ὕλην ἀποτίθεσθαι. αὐτ. καὶ τίτ. ε΄. οὕτινος ἐν τῷ γ΄ κεφ. φη. ὁ δουλεύων τόπος, οὐκ ἔστι τῆς δεσποτείας τοῦ δουλουμένου, ἀλλὰ δικαίου ἔχει πρόσοδον. ἐν δὲ τῷ ς΄ κεφ. πασῶν τῶν δουλειῶν οὐ τῷ δουλεύοντι ἀλλὰ τῷ δουλουμένῳ ἡ φιλοκαλία ἐπίκειται. πλὴν τῆς περὶ τοῦ φέρειν τὰ βάρη τοῦ γείτονος. ἐκεῖ γὰρ ὁ δουλεύων ἀναγκάζεται τὸν ἴδιον οἶκον κτίζειν, ὡς τὰ βαστάζειν τὰ βάρη μου. ἔξεστι δὲ αὐτῷ καταλιμπάνοντι τὸν οἶκον μὴ κτίζειν. ἐν δὲ τῷ ζ΄ κεφ. ὁ δὲ ἀνωχεύει ὑπορθοῦν ἢ καθαίρειν τὰ ἴδια ἐφ' ὅτῳ ἑκάστῳ κτίζει τὸν ἴδιον τοῖχον. ἁρμόζει δὲ τῷ καλῶς, καὶ αὐθεντικὴ ἀρνήσεως, ὡς τὸ μὴ ἀναγκασθῆναι. ἐν δὲ τῷ η΄ κεφ. δουλεία ἐστὶ καὶ τὸ παρακεχωρῆσθαι με ξύλα ἐμβάλλειν τῷ τοίχῳ τοῦ γείτονος ἐφ' ᾧ ἐπάνω τῶν ξύλων ποιῆσαι διακινητήριον σκεπαστόν. αὐτ. καὶ τίτ. ς΄. ἐν ᾧ διαλαμβάνεται ποίῳ τρόπῳ αἱ δουλεῖαι ἀπόλλυνται. οὕτινος ἐν τῷ ια΄ κεφ. φη. ὁ ἔχων δίκαιον ἐμβάλλειν τῷ τοίχῳ τοῦ γείτονος δοκοὺς ἐὰν ἐπὶ τὸν ὡρισμένον χρόνον μὴ δυνηθῇ ἐμβάλλειν διὰ τὸ μὴ κτίσαι τὸν γείτονα τὴν δουλείαν οὐκ ἀπόλλυσιν. οὐ γὰρ κτᾶται ὁ γείτων ἐλευθερίαν μὴ διακόπτων τὴν δουλείαν. ἐν δὲ τῷ ιθ΄ κεφ. ἐάν τις πωλήσας ἀγροῦ μέρος συμφωνήσῃ διὰ αὐτοῦ ἄγειν ὕδωρ. καὶ μήπω ποιήσαντος αὐτοῦ τὸν ὀχετὸν ὁ νόμιμος παρέλθῃ χρόνος, σῴζεταί μοι τὸ δίκαιον. εἰ δὲ ἐποίησε τοῦτον μὴ ἐχρησάμην δὲ φθείρεται. ἐν δὲ τῷ κ΄ κεφ. φυλάττεται ἡ δουλεία οὐ μόνον διὰ τῆς χρήσεως τοῦ δουλουμένου, καὶ διὰ τοῦ μισθουμένου. ἀλλὰ καὶ διὰ μισθωτοῦ καὶ διὰ τοῦ ἐπιξενουμένου καὶ ἰατροῦ. καὶ τοῦ πρὸς ἐπίσκεψιν αὐτοῦ ἐρχομένου. αὐτ. καὶ τίτ. ζ΄. οὕτινος ἐν τῷ β΄ κεφ. φη. κἂν μὴ τελείως δουλείαν τοῦ ἕλκειν ὕδωρ, ἕλκουσι δὲ ἀνεχομένου τοῦ δεσπότου τοῦ ἀγροῦ ἐπὶ τέλειον χρόνον, δύναται κτᾶσθαι τὴν δουλείαν. εἰ δὲ μὴ ἐχρήσατο, τελείαν κωλύεται. μὴ δυναμένου μηδὲ τὰ δαπανήματα τοῦ ὀλκοῦ λαμβάνειν παρὰ τοῦ δεσπότου τοῦ ἀγροῦ. ἐν δὲ τῷ δ΄ κεφ. οὐδεὶς δύναται

ἧκον ὕδωρ ἐκ τῆς ἀλλοτρίας πηγῆς, παρὰ γνώμην τοῦ δεσπότου τοῦ ἀγροῦ. Ἐν
δὲ τῷ ε΄ κεφ. οὐδὲ ὁ δημόσιος δύναται τὴν ἅπαξ κρατήσασαν δουλείαν ἀνατρέπειν.
Ἐν δὲ τῷ ι΄ κεφ. οὐκ ὀφείλει πλέον μέρος τοῦ ὕδατος λαβεῖν· ἀλλὰ περὶ τὴν γινο-
μένην παραχώρησιν, οὕτως ὀφείλει ἄγειν τὸ ὕδωρ. ἡ δουλεία φθείρεται τῇ ἀχρη-
στίᾳ, ἐπὶ δέκα ἢ εἴκοσι ἐνιαυτούς. Ἐν δὲ τῷ ια΄ κεφ. ὁ συμφωνήσας μετὰ τοῦ ἀγρο-
γείτονος ὥστε ἐξεῖναι αὐτῷ παριέναι διὰ τοῦ ἀγροῦ αὐτοῦ ἐπὶ τὴν οἰκείαν ἐλαύ-
ἅπαξ κατὰ πέντε ἐνιαυτοὺς καὶ μήτε δι᾽ ἑαυτοῦ μήτε διὰ τῶν διαφερόντων αὐ-
τῷ τῇ δουλείᾳ, ἐχρήσατο ἐπὶ εἴκοσι ἐφεξῆς ἔτη. ἀπολλύσθω πάντως τὸ πα-
ραχωρηθὲν αὐτῷ δίκαιον. ἀνάγνωθι καὶ τὸ ιθ΄ καὶ τὸ κ΄ διασαφηνίζεται γράμματα
τοῦ ιθ΄ τί. περὶ τοῦ μεγάλου ἀγωγοῦ καὶ τῶν ἐξ αὐτοῦ ἡκόντων ὕδωρ ἐπι-
ἀρῇ) ἐν τῷ περὶ ἀγωγοῦ. Ἐν δὲ τῷ α΄ κεφ. τοῦ κ΄ τί. ὅτι φησὶν ὁ πραίτωρ·
μηδὲ κωλύεσθαί με ἄγειν ὕδωρ ὅπερ εἵλκυσα αὐτῷ πέρυσι, ἐν τῷ ἐνιαυ-
τῷ τούτῳ· οὐ βίᾳ· οὐ λάθρᾳ· οὐ παρακλήσει. εἰς οἷα δήποτε μέρη τοῦ ἀγροῦ ἐ-
μοῦ ἦγον τὸ ὕδωρ. καὶ τὸν ἐντὸς ἀγροῦ ἀγοράζω καὶ εἰς αὐτὸν ὀρθῶς ἦγον
εἰ μὴ βλάπτω τὸν κρατοῦντα τὸ ὕδωρ. ὥσπερ καὶ ὁ ἔχων πάροδον ἢ ἐλασίαν ἐὰν
ἅπαξ εἰς τὸ ἴδιον βοηθῇ. ὅθεν βούλεται εἰσέρχεται. εἰ βουληθῇ μίξαι τῷ ἡκο-
μένῳ ὕδατι ἕτερον, ὀρθῶς κατὰ πάντας τοῦ ἡκυσμοῦ κωλύομαι· ὥσπερ καὶ εἰ
πλείονα θρέμματα ποιήσει, ὧν ἐξηνέχθη ποιήσειν. Ἐν δὲ τῷ β΄ κεφ. κακῶς σε κω-
λύω ἐν τῷ ἀγρῷ ὅθεν ἦγες τὸ ὕδωρ ὀρύττειν· καθαίρειν· ἐκτέμνειν· κλαδεύειν·
κινεῖν. δι᾽ ὧν τὸ ὕδωρ μειοῦται ἢ χαλεποῦται ἢ φθείρεται ἢ χεῖρον γίνεται. Ἐν
δὲ τῷ γ΄ κεφ. ὁ ἡμερινοῦ ἢ νυκτερινοῦ ἡκυσμὸν ἔχων, οὐ δύναται ἐν ἄλλῃ ὥ-
ρᾳ ἄγειν. Ἐν δὲ τῷ δ΄ κεφ. ὁ ἐξ ἀμνημονεύτου χρόνου ἡκόμενον ὕδωρ, κα-
νόμως δοκεῖ ζευγνύναι, καὶ σωλῆνας θεῖναι, καὶ ἄλλο τι ποιεῖν ἐν τῷ ἀγωγῷ δύ-
ναμιν μὴ βλάπτων τὸν ἀγρὸν ἢ τοὺς ὁμόρους. Ἐν δὲ τῷ ια΄ κεφ. δύναται
τὸ πρότερον κατὰ διόπτευσιν ἡκόμενον, συναφανισμένου ποιήσει εἰ μὴ
πλέον ὠφελῆται ὁ ἀντίδικος. ἀνάγνωθι καὶ τὸ κα΄ κεφ. α΄ ἐν τῷ βιβλ. λέγει ὁ πραίτωρ,
μὴ κωλύεσθαι τὸν ἄνευ αἰτίας χρησάμενον ἐν τούτῳ ἔτει τῷ ὕδατι τῆς πη-
γῆς ἢ τοῦ ὑδροστασίου ἢ τοῦ φρέατος ἢ τῆς πισκίνας ὡς τοῦτο κεχρῆσθαι.
αἱ γὰρ δουλεῖαι οὐ μόνον εἰς τὸ ἥκειν ὕδωρ· ἀλλὰ καὶ εἰς τὸ ἀντλεῖν εἰσί. ἐν
διατάξει καὶ τὰ περὶ ἀντλήσεως νόμιμα παραγγέλματα περιέχεται, δι᾽ ὧν γὰρ τὸ
νόμιμον, καὶ τῷ ἀντλῆσαι κωλυομένῳ. καὶ ὧ ποιήσει οἰκεῖα θρέμματα.
εἰ δὲ καὶ ποτίζειν ἁρμόζει, τὰ αὐτὰ κρατεῖ ἅπερ καὶ ἐν τοῖς προβάτοις νομί-

÷ ἢ λεγόμενα πλεθρία.

περὶ αὐλακώσεως καὶ ἀγωγῆς ὑδάτων:-

δ΄

μοις πράγμασι :

Περὶ δωρεῶν. ἀν(άγνωθι) βιβ. μζ΄. τίτλος ἐν ᾧ τὸ α΄ τ(ίτλου) καταλαμβάνεται περὶ τῶν ἐν ζωῇ δωρεῶν· καὶ τίνες δύνανται δωρεῖσθαι, καὶ τίνες οὐ δύνανται. Ἐν τῷ δ΄ κεφ. τοῦ αὐτοῦ α΄ τίτλου :

ἀν(άγνωθι) καὶ τίτ. νβ΄ κεφ. β΄ ἐν τῷ περὶ τῆς πρὸς γάμον γινομένης δωρεᾶς ἢ προικὸς πρὸς ἰδιώτας. ἀν(άγνωθι) καὶ τίτ. ρξβ΄ ἐν τῷ περὶ τῶν εἰς γυναῖκας γινομένων συνοικεσίων :

μα΄

Καὶ ἡ ἄσημος δωρεά, ἔρρωται· οἷον εἰς πόρνην. Ἐν τῷ δ΄ ζ΄ κεφ. Ὑπεξούσιος, κἂν ἐπιτραπῇ τὸ πεκούλιον διοικεῖν, οὐ καθαρῶς δωρεῖται ἄνευ δεσπότου ἀλλ' εἰ μὴ καὶ τοῦτο ἐπιτραπῇ ἢ ἀξιωματικός ἐστιν, οὐ κεκώλυται δωρεῖσθαι. Θανάτου δὲ αἰτία, μὴ δωρείσθω ἄνευ γνώμης πατρὸς κἂν ὁ πατὴρ ἐπιτρέπῃ δωρεῖσθαι γενικῶς· εἰ μὴ ἰδιόκτητον ἔχει πεκούλιον, ἢ ὡς ἰδιόκτητον. Ἐν τῷ δ΄ ι΄ κεφ. Ἡ δωρεὰ δεσπότην ὀφείλει ποιεῖν τὸν λαμβάνοντα· οὐ καθαρῶς δὲ δωρεῖται ἐκεῖνῳ ὑπὲρ οὗ οὐ δύναται κτᾶσθαι. Ἐν τῷ δ΄ ιβ΄ κεφ. Ὁ ἀπὸ δωρεᾶς ἐνεχόμενος μετὰ τὴν ἐκ προσώπου καταδικάζεται καὶ ὑπεξαιρεῖται τὰ χρεωστούμενα δανεισταῖς, εἰ μὴ καὶ αὐτὰ ἀπὸ δωρεᾶς χρεωστεῖ δανεισταῖς. Ἐν τῷ δ΄ κ΄ κεφ. Τὸ ὑπὲρ αἰτίας προλαβούσης δοθὲν οὐκ ἔστι δωρεά, οἷον ὁ σώζων τὸν ῥήτορα, ὅτι ἢ διὰ τὴν σπουδὴν ἐλέησεν. Ἐν τῷ δ΄ κβ΄ κεφ. Ὁ δωρούμενος οὐ δίδωσι τόκους ἀπὸ τῆς ὑπερθέσεως· οὐ γὰρ ἐστὶν ἡ δωρεὰ τῶν καλῇ πίστει. Ἐν τῷ δ΄ λβ΄ κεφ. Ὁ ὑπὲρ δωρηθεὶς τῷ ἰδίῳ πραγματευτῇ, οὐκ ἀναιρεῖται, κἂν ὕστερον αὐτὸν νομίσας ἀπαιτῶ. Ἐὰν δωρήσωμαι τῷ ὑπεξουσίῳ μου, καὶ ποιήσω αὐτὸν αὐτεξούσιον μὴ ἀφελόμενος ἀπὸ ληστῶν ἢ πολεμίων. Ἐπὶ τοῦ τοῦ δωρήσαντος ἔρρωται καὶ ὑπερβαίνει τὸ νόμιμον μέτρον. Ἐν τῷ δ΄ με΄ κεφ. Οὐδεὶς ἀγνοῶν ἢ ἄκων δωρεῖται· ὥστε σὺ καὶ περιέχει τὸ ἔγγραφον ὁ συναινέσας, οὐδὲν βλάπτομαι ἐπειδὴ ἡ ἀλήθεια ἄλλως ἔχει. Ἐν τῷ δ΄ μς΄ κεφ. Δύναται κοινωνὸς ἐξ ἀδιαιρέτου τὸ μέρος αὐτοῦ δωρεῖσθαι τινί. Ἐν τῷ δ΄ ν΄ κεφ. Ἀπὸ τοῦ δωρεῖσθαι τοῖς αὐτεξουσίοις ἢ τοῖς ὑπεξουσίοις ὄντι πατέρος, οὐ δύναται λαμβάνειν αὐτά. Εἰ δὲ οὕτως αὐτοὺς ἠλευθέρωσας ὥστε ἀφαιρεῖσθαι τὸ δοθέντα, τὰ ἔστι λοιπόν, καὶ οὐδεὶς ἄλλος τοῦτο δύναται καταφθεῖν. Ἐν τῷ δ΄ νε΄ κεφ. Τῆς προικὸς ἐν τῷ γάμῳ, ὁ ἀνὴρ κύριος. οὐ καθαρῶς ἡ γυνή· οὐ δύναται αὐτὴν δωρεῖσθαι. Ἐν τῷ δ΄ ξα΄ κεφ. Ὁ δωρούμενος πρᾶγμα, ἢ εἰς προῖκα διδοὺς ἢ ἐπὶ προσθήκῃ, καὶ τὴν χρῆσιν τῶν καρπῶν παρακατέχων, κἂν μὴ ἐπερωτηθῇ, οὐδὲν ἧττον παραδεδωκέναι αὐτὸ δοκεῖ. Ἐν τῷ δ΄ ξγ΄ κεφ. Πᾶσα δωρεὰ ἁπλῆ ἕως φ΄ νομισμάτων οὖσα, ἰσχυέτω καὶ ἀνεμφάνιστος οὖσα. Ἐπὶ δὲ πλέον οὖσα, τὸ ὑπὲρ πλέον μὴ ἰσχυέτω· ἐξῃρημένων τῶν βασιλικῶν δωρεῶν. καὶ τῶν δι' εὐσέβειας λόγῳ γινομένων, καὶ τῶν εἰς αἰχμαλώτους γινομένων. Ἐν τῷ δ΄ μη΄ ἐν

γεγόνασιν, ἀλλ' ἐν πράγμασι κινητοῖς ἢ ἀκινήτοις, διαμενέτω. καὶ εἰ μὲν μὴ ὑ-
περβαίνει τὸ ποσόν, ἐρρώσθω. εἰ δὲ ὑπερβαίνει, τὸ περιττὸν ἀνίσχυρον ἔστω. ὁ δὲ τὸ
πλέον ἔχων, δίδωσι τῷ ἄλλῳ τὸν ἀπαρτισμὸν τοῦ ὑπερβαίνοντος. εἰ δέ τις
ἐν διαφόροις χρόνοις δωρεὰς ποιήσει πολλὰς εἰς τὸ αὐτὸ πρόσωπον,
πολλὰς δεῖ νοεῖν αὐτάς. οὐ μὴν συλλαμβάνειν πάσας καὶ λέγειν ὅτι ἀνεμφά-
νιστος οὐκ ἰσχύει, ὡς μία οὖσα. εἰς δὲ τῶν ε΄ τ΄ διαλαμβάνεται περὶ δωρεῶν ἀ-
ναιρετομένων καὶ μὴ ἀναιρετομένων. οὗτινος ἐν τῷ α΄ κεφ. φη. τὴν κατ'
γινομένην δωρεάν, οὐδὲ ἀπὸ βασιλέως ἀντιγραφὴ ἀναιρετική. εἰ δὲ τῶν
ε΄ κεφ. ἡ μήτηρ τότε ἀναιρεῖ τὰς τοῦ παιδὸς δωρεάς, ὅτε μὴ δευτερογαμήσει,
καὶ ἀχάριστον αὐτὸν δείξει. εἰ δὲ τῶν η΄ κεφ. ἐὰν πάτρων τῷ ἀπελευθέρῳ χαρί-
σηται πάντα τὰ πράγματα ἢ μέρος αὐτῶν, εἶτα γνησίους παῖδας σχοίη, πάν-
τα πάλιν εἰς αὐτὸν ὑποστρέφει τὰ πράγματα. καὶ ἐν τῇ αὐτοῦ ἐξουσίᾳ μένει.
εἰ δὲ τῶν θ΄ κεφ. αἱ δωρεαὶ αἱ γινόμεναι παρὰ τῶν ἀνιόντων εἰς κατιόντας αὐ-
τεξουσίους, οὐκ ἀναιρέπονται. εἰ καὶ ἀχάριστοι περὶ αὐτοὺς γένωνται οἱ λαμ-
βάνοντες. εἰ δὲ τῶν ι΄ κεφ. πᾶσα δωρεὰ τῇ γυναικὶ γινομένη οὐκ ἀναιρεῖται, εἰ μὴ ἐξ
ἀχαριστίας· οἷον, ἐὰν σφοδρῶς ὑβρίσῃ, ἢ χεῖρας ἐπιβάλῃ, ἢ ζημίαν μεγίστην ἐ-
πενέγκῃ, ἢ εἰς τὴν ζωὴν ἐπιβουλεύσῃ, ἢ ἵνα συνθῆται ποιήσῃ, καὶ μὴ ποιήσῃ, ἐκ
τούτων τῶν αἰτιῶν ἀναιρέπονται. μέχρι δὲ τῶν πρώτων προσώπων τοῦτο κρα-
τεῖ, οὐ μὴν εἰς κληρονόμους διαβαίνει. εἰ δὲ τῶν ς΄ τ΄ διαλαμβάνεται περὶ
τῶν θανάτου αἰτίᾳ δωρεῶν, ἤτοι ἐν θανάτῳ. οὗτινος ἐν τῷ α΄ κεφ. φη. θα-
νάτου αἰτίᾳ δωρεά ἐστιν, ὅτε τις ἑαυτὸν θέλει μᾶλλον ἔχειν ἢ τὸν λαβόντα. τὸν δὲ
λαβόντα πλέον τοῦ ἰδίου κληρονόμου. εἰ δὲ τῶν κ΄ κεφ. ἐὰν ὑπεξούσιος δωρήσεται
μοι καὶ ζῶντος μου τελευτήσῃ, ἁρμόζει ἡ ἀντίληψις. εἰ μὴ ἄρα τῷ πατρὶ αὐτοῦ θε-
λῶν δωρήσασθαι. μόνῃ γὰρ τῇ ὑπηρεσίᾳ τοῦ υἱοῦ προσεχρήσατο. τὰ αὐτὰ καὶ
ἐπὶ δούλου. εἰ δὲ τῶν κβ΄ κεφ. ὁ ὑπεξούσιος, οὔτε βουλομένου τοῦ πατρὸς δι-
αθέσθαι, ἐπιτρέποντος δὲ αὐτοῦ δωρεῖται θανάτου αἰτίᾳ. εἰ δὲ τῶν κδ΄ κεφ. ἐὰν
θανάτου αἰτίᾳ δωρήσωμαι ἵνα κατὰ μηδένα τρόπον ἀναλάβω, οὐ δοκεῖ θανά-
του αἰτίᾳ ἀλλ' ἐν ζωῇ εἶναι. ὅθεν οὐδὲ μεταξὺ τῶν συνοικούντων ἔρρωται. καὶ
ἡ τῷ Φαλκιδίῳ ὑπόκειται. εἰ δὲ τῶν λβ΄ κεφ. διαφέρει θανάτου αἰτίᾳ δωρεὰ
τῆς ἁπλῆς. ὅτι ἡ ἁπλῆ ἐπὶ τῷ μηδέποτε ἀνακληθῆναι. τὸν μὲν γὰρ λαβόντα πλέον
ἑαυτοῦ θέλει ὁ δωρούμενος. ἡ δὲ θανάτου αἰτίᾳ ἑαυτὸν πλέον, τὸν δὲ λαβόντα
πλέον τοῦ ἰδίου κληρονόμου. διὸ καὶ ἀναλαβεῖν δύναται μετανοήσας. ὡς τῆς αὐτῆς

περὶ πάτρωνος:—

αἰτίαι ἀχαριστίας δι' ἃς ἀναιρέπονται αἱ δωρεαί:—

περὶ τῶν θανάτου αἰτίᾳ δωρεῶν:—

δηλονότι εἰς τὰ μὴ ὄντα αὐτῷ ἰσόκλητα:—

δ´.

ἐφ᾽ ᾗ δέδωκε μὴ παρακολουθησάσης· δωρεῖται τις θανάτου αἰτίᾳ καὶ ἐπὶ ἀσθενείᾳ,
καὶ κίνδυνον ἐπηρτημένον εὐλαβούμενος. καὶ δύναται συμφωνεῖν ἵνα μὴ
ἄλλως δοθῇ εἰ μὴ ὁ δοὺς τελευτήσει· καὶ ἵνα ἔξῃ αὐτῷ μεταμελέσθαι· ἢ ἵνα
μὴ ἄλλως ἀναδοθῇ εἰ μὴ προαποθάνῃ ὁ λαβών· καὶ ἵνα μὴ καθόλου ἀναδο-
θῇ κἂν ἐπιτύχῃ ὁ δυρούμενος· βιβ. γ´ τίτ. λζ´ κεφ. θανάτου παρακολουθοῦντος,
ἡ μεταξὺ ἀνδρὸς καὶ γυναικὸς γενομένη θανάτου αἰτίᾳ δωρεά, ἐξ ὑπαρχῆς καὶ
ροῦ ἀναιρεῖται καθὸ οὐ γέγονε. βιβ. γ´ τίτ. λθ´ κεφ. ἐὰν καὶ ἐπίστευσε τὸ δικαστή-
ριον, οὐκ ἀπαιτοῦσί με ἀσφάλειαν. ἐπειδὴ θανάτου αἰτίᾳ ἐστὶ δωρεὰ ἣν τις
ἀντιπαρέχει πρὸ τῆς τελευτῆς αὐτοῦ. βιβ. γ´ τίτ. μ´ κεφ. φη´. μεταξὺ ἀνδρὸς καὶ γυναι-
κὸς θανάτου αἰτίᾳ δωρεὰ ἔρρωται. εἰ καὶ ὕποπτος ὁ θάνατος· εἰ δὲ
μή. ἀν. καὶ β´ κεφ. τ´ α´ κεφ. ιβ´ ἐν τῷ φη´. ὁ δωρησάμενος θανάτου αἰτίᾳ ἐπὶ
ἄγνας ἀναλαμβάνει τὸ δωρηθὲν σὺν καρποῖς καὶ τόκοις, καὶ πάσης ἐπαυξή-
σεως. ἀν. καὶ β´ ι´ τ´ Δ κεφ. ξα´ ἐν τῷ φη´. ἐπειδὴ δὲ δωρεῖσθαι οὐδὲ μὲν ἀποφάσε-
ως ἔχει, τίς ἂν ἄττοσιν εἰ μὴ ἄρα προσταχθεῖσαν δωρεὰν νομοθετεῖ. ἐὰν ὁ ἐ-
λάττων συζυγὴς ἡλικίᾳ ἀτελὴς ᾖ δωρήσηται τινὶ, μὴ ἔρρωσθαι τὴν δωρεάν·
εἰ μὴ μετὰ τοὺς κε´ ἐνιαυτοὺς δὲ καὶ κ´ ἐνιαυτοὺς διαδράμωσιν. βιβ. γ´ ἐν τῷ φη´. με-
ταξὺ ὁ ἀφῆλιξ τελευτήσει. ζητοῦμεν ἵνα τὸ λεῖπον τοῦ χρόνου διάστημα διέλθῃ ὁ
κληρονόμος αὐτοῦ σιωπῶντος. ἀν. καὶ τ´ ιβ´ οὐδενὸς ἐν τῷ α´ κεφ. φη´. ἐὰν ἕνεκε-
να πράγματα πρὸ τῶν γάμων, ἐν τῆς πρεπούσης συμμετρίας ἐκάστων δυνκε-
λῶν ἐν τῷ καιρῷ τῆς μνηστείας ἀνὴρ προτοῦ τῆς αὐτοῦ τοῦ κουράτορος τῇ μνηστῇ ἐδω-
ρήσατο. ὑπὲρ προηγούμενα τῆς ἡλικίας αἱ τοιαῦται δωρεαὶ οὐκ ἀνακαλοῦνται·
ἀν. καὶ β´ ια´ τ´ α´ κεφ. οε´ θ´ τ´ ἐν τῷ φη´. κινούμενος τις ἐκ φιλοτιμίας, ἐπαγ-
γέλλεται τινὶ χωρὶς ἐπερωτήσεως. καθ᾽ ἕκαστον ἐνιαυτὸν παρέχειν αὐτῷ λόγου χά-
ριν νομ. ν´· καὶ διαφυλάττων ταύτην τὴν ψιλὴν ἐπαγγελίαν αὐτοῦ, ἐπὶ τινας
ἐνιαυτοὺς παρέσχετο ἑκάστου ν´ νομ. ἀλλὰ μετὰ ταῦτα μεταμεληθεὶς, οὐκέτι ἠ-
νέχετο παρέχειν τὰ ἐπαγγελθέντα. λέγει τοίνυν ἡ διάταξις μὴ ἀναγκάζε-
σθαι αὐτὸν ταῦτα παρέχειν εἰς τὸν ἐφεξῆς χρόνον· εἰ μὴ παρηκολούθησεν ἐπερώ-
τησις. καὶ τ´ β´ κεφ. λτ´, καὶ μβ´, καὶ β´ ιε´ τ´ α´ κεφ. οζ´, καὶ β´ κε´ τ´ Δ κεφ. ι´. ἀν.
καὶ β´ ε´ τ´ α´ κεφ. π´, καὶ θ´ ἐν οἷς φη´. ὁ συσταθέμενος δωρεὰς τινὸν ἐπὶ ἀσεβῆ- περὶ τῶν ἐν ἀσεβεῖ αἰτίαις δωρουμένων
ριον οἶκον κτισθῆναι ἢ ξενῶνα ἢ νοσοκομεῖον. ἀπαιτεῖσθαι παρὰ τῶν ἐπισκό-
πων καὶ οἰκονόμων τὰ ὑποσχεθέντα. διοικούμενα μέχρι τῆς ἐκδικοῦσι αὐ-
τῷ. μὴ χρῆσθαι ἔσω πράξεως ὑπομνημάτων. ἐπὶ τῆς ἄχρι φ´ νομ. δωρεᾶς γενο-

μένας εἰς ἐκκλησίαν ἢ εἰς εὐαγῆ οἶκον ἢ εἰς πτωχοὺς ἢ εἰς πόλιν. ἐπεὶ γὰρ πλέον [illegible] πράξις γινέσθω, εἰ μὴ βασιλέως ἐστὶν ἡ δωρεά. ἀνάγνωθι καὶ βιβ. λ' τίτ. α' κεφ. οθ', καὶ βιβ. ις' τίτ. ε' κεφ. ιθ' ἐν τῷ φυλλ. Ὁ δὲ βασιλεὺς δωρούμενος πράγματα ἐπὶ ὁλοκλήρως δωρεῖσθαι· πάντα τὰ ἀνδράποδα καὶ τὰ θρέμματα καὶ τοὺς καρποὺς καὶ πάντα τὸν [illegible] καὶ τὰ πρὸς ἐξοπλισμὸν τοῦ ἀγροῦ ἢ τοῦ οἴκου περιεχόμενα δωρεῖσθαι δοκεῖ. καὶ τίτ. ζ' κεφ. ιε' ἐν τῷ φυλλ. Ἐὰν δυσὶ τισὶν ὁ βασιλεὺς δωρήσηται πράγματα, εἶτα εἷς ἐξ αὐτῶν ἄκληρος ὁ μὲν τελευτήσῃ, τὸ μέρος αὐτοῦ τῷ ἑτέρῳ προστίθεται. ἀνάγνωθι καὶ τίτ. ια' κεφ. κγ'.

μβ' Περὶ δωρεῶν μεταξὺ ἀνδρῶν καὶ γυναικῶν, καὶ κηδεστῶν, καὶ ὑπεξουσίων. ἀνάγνωθι καὶ βιβ. κβ' τίτ. α' κεφ. η' ἐν τῷ φυλλ.

Ἐὰν ὁ ἀνὴρ βουλόμενος δωρήσασθαι τῇ γυναικὶ ταύτην εὕρῃ μέθοδον ἵνα ἀγοράσῃ πράγματα καὶ γένηται τὸ ἔγγραφον ὡς δῆθεν τῆς γυναικὸς ἀγορασάσης, οὐ προσέχομεν τῷ ἐγγράφῳ ἀλλὰ τῇ ἀληθείᾳ· καὶ δύναται ὁ ἀνὴρ ὡς ἀπὸ δωρεᾶς ἀνυποστάτου τὸ ἀργύριον ἐκδικῆσαι παρὰ τῆς γυναικός. ἀνάγνωθι καὶ βιβ. κε' τίτ. ε' κεφ. μβ' ἐν τῷ φυλλ. Ἐὰν ἐν συνισταμένοις τοῖς γάμοις ἀνὴρ ὡς δωρούμενος τῇ γυναικὶ τινὰ προσέθηκε τῇ προικὶ καὶ ἐτελεύτησεν, ἐφησυχάσας τῇ δωρεᾷ, ἐναγόμενοι οἱ κληρονόμοι ἀναγκαζόμενοι παρασχεῖν ἅπερ ὁ ἀνὴρ ἐδωρήσατο· ἰσχύει γὰρ ἐκ θανάτου τοῦ ἀνδρὸς ἡ δωρεά. ἀνάγνωθι καὶ βιβ. λ' τίτ. α' σύνοψις ἐν τῷ α' κεφ. ἐν τῷ φυλλ. Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς οὐκ ἔρρωται δωρεά, διὰ τὸν ἔρωτα καὶ τὸ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν ἐν τῷ μὴ δωρεῖσθαι· καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον καὶ τὸν ἄπορον εὔπορον. Εἰ δὲ ἐν τῷ β' κεφ. οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων ἀνίσχυροί εἰσιν αἱ δωρεαί. ἔνθα τυχὸν συγκλητικοῦ θυγάτηρ ἀπελευθέρῳ γαμηθῇ ἢ ἐπάρχου τῆς γυναικὸς ἐκ τῆς [illegible] οἰκούσης τὴν ἐπαρχίαν, πλὴν ἀκμὴ δὲ δωρεῖσθαι οὐ κωλύεται. καὶ οἱ αὐτεξούσιοι τῶν γεγαμημένων ἐλεύθεροί τε καὶ δοῦλοι κωλύονται δωρεῖσθαι καὶ αὐτεξούσιοι τοῖς ὑπεξουσίοις. ὅθεν ἡ γυνή μου τῷ ὑπεξουσίῳ μου υἱῷ οὐκ ἐρρωμένως δωρεῖται, εἰ μὴ ἐπὶ στρατευτικὰ [illegible] καστρένσιον γὰρ αὐτοῦ γίνεται. καὶ ὁ ὑπεξούσιός μου υἱὸς ἐκ τοῦ καστρενσίου πεκουλίου κακῶς δωρεῖται τῇ γυναικί μου. ὁ δὲ ἔχων υἱὸν ὑπεξούσιον καὶ τῇ ἰδίᾳ γαμετῇ καὶ τῇ νύμφῃ δωρεῖσθαι κεκώλυται· οὔτε τοῖς ὑπεξουσίοις αὐτῶν ἢ τοῖς ἔχουσιν αὐτοὺς ὑπεξουσίους. εἰ δὲ μὴ ἔστιν ὁ πενθερὸς αὐτεξούσιος [illegible] ἢ μὴ ἔχει αὐτὸν ὑπεξούσιον, οὐ κωλύεται δωρεῖσθαι τῷ πενθερῷ, καὶ τοῖς ὑπεξουσίοις αὐτοῦ. καὶ τὰ

λ΄.

περιεξουσίου αὐτῶν ἔχουσι. ἡ πενθερὰ τῇ νύμφῃ καὶ ἡ νύμφη τῇ πενθερᾷ δωρεῖται. οὐ γὰρ ὑπέστι λόγος ὑπεξουσιότητος. Ἐν τῷ αὐτῷ ϛ΄ κεφ. Ἐὰν ἡ γυνὴ τὰ δωρηθέντα αὐτῇ παρὰ τοῦ ἀνδρὸς, δαπανήσῃ περὶ ζωῆς(?) περικοπῆς συγγενοῦς αὐτῆς, ἔρρωται ἡ δωρεά. πλουσιωτέρα γὰρ οὐ γέγονεν, ὃ καὶ ἤμελλεν δανείζεσθαι. Ἐν τῷ αὐτῷ η΄ κεφ. Καλῶς ἀλλήλοις θανάτου δωροῦνται. εἰς καιρὸν γὰρ ἀναφέρεται, ἐν ᾧ ὁ γάμος παύεται καὶ τῷ θανάτῳ τοῦ δωρησαμένου γίνεται τοῦ λαβόντος. ἐν δὲ τῷ μεταξὺ τοῦ δωρησαμένου ἐστί. πᾶσα δὲ δωρεὰ θανάτου αἰτίᾳ μεταξὺ τῶν συνοικούντων ἔρρωται κἂν μὴ τι- αὐτὴ διαθέσει γένηται ὥστε μετὰ τὴν τελευτὴν τοῦ δωρησαμένου, γενέσθαι τὸ πρᾶγμα τοῦ ἄλλου. Ἐν τῷ αὐτῷ ιθ΄ κεφ. Εἴτε θανάτου αἰτίᾳ εἴτε ἁπλῶς δωρήσεται τῇ γαμετῇ μου ἀλλότριον πρᾶγμα, διὰ χρήσεως κυριεύσει αὐτοῦ. τότε γὰρ ἡ δωρεὰ ἐμποδίζεται, ὅτε καὶ ὁ λαμβάνων κερδαίνει καὶ ὁ δωρούμενος οἴκοθεν ζημιοῦται. αἱ μεταξὺ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐρρωμέναι δωρεαὶ ἤγουν αἱ θανάτου καὶ διαζυγίου αἰτίᾳ, προβαίνουσι καὶ μεταξὺ πενθεροῦ καὶ νύμφης. Ἐν τῷ αὐτῷ κ΄ κεφ. αἱ πρὸ τοῦ γάμου δωρεαὶ ἰσχύουσι, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν. Ἐν τῷ αὐτῷ λα΄ κεφ. τὰ τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς δωρούμενα, διὰ τὸ τυχεῖν αὐτὸν ἀξίας, ἔρρωται μέχρι τοῦ περιχωροῦντος ποσοῦ. Ἐν τῷ αὐτῷ μα΄ κεφ. Οὐ καλῶς ὁ πενθερὸς δωρεῖται τῇ νύμφῃ ἢ τῷ γαμβρῷ, θανάτου αἰτίᾳ. κἂν γὰρ ὁ πενθερὸς ἀποθάνῃ, μένει τὸ συνοικέσιον. Καὶ ἀδιάφορον εἴτε τὸν υἱὸν εἴτε τὴν θυγατέρα ἀπόκληρον ἐποίησε. διαζυγίου δὲ χάριν καλῶς δωρεῖται. Ἐν τῷ αὐτῷ να΄ κεφ. ὁ πατρωὸς καὶ ὁ πρόγονος καλῶς ἀλλήλοις δωροῦνται. Ἐν τῷ αὐτῷ νϛ΄ κεφ. Ἐὰν ὁ ἀνὴρ δωρησάμενος τελευτήσῃ ἐφησυχάσας τῇ δωρεᾷ, βεβαιοῦται ἡ δωρεά. ὅθεν οὐδὲ ὁ δημόσιος ὡς ἀκληρονομήτου διαδέχεται τὸν ἄνδρα, οὐ δύναται τὰς δωρεὰς ἀνατρέπειν. Ἐν τῷ αὐτῷ νθ΄ κεφ. οὐ δὲ οἱ ἔχοντες ὑπεξουσίους τὸν ἄνδρα καὶ τὴν γυναῖκα. οὐδὲ οἱ ὑπεξούσιοι τοῦ ἀνδρὸς ἢ τῆς γυναικὸς δύνανται ἀλλήλοις δωρεῖσθαι. τουτέστιν οὐδὲ ὁ πενθερὸς τῷ συμπενθέρῳ. οὐδὲ ὁ υἱὸς τοῦ ἀνδρὸς δούλου(?) τῆς γυναικὸς δωρεῖσθαι δύναται. Ἐν τῷ αὐτῷ ογ΄ κεφ. Ἐὰν γυνὴ ἐν συνισταμένῳ τῷ γάμῳ δωρήσηται τῇ ἰσαδελφῇ(?), ἔρρωται ἡ δωρεά. Ἐν τῷ αὐτῷ οε΄ κεφ. δύναται ὁ ἀνὴρ δωρεῖσθαι τῇ γυναικὶ δοῦλον ἵνα λαβοῦσα αὐτὸν ἐλευθερώσῃ. Ἐν τῷ αὐτῷ οε΄ κεφ. ἡ πενθερὰ καλῶς δύναται δωρεῖσθαι τῷ γαμβρῷ. αὐτὴ καὶ βιβ. να΄ τίτ. δ΄ κεφ. ι΄. αὐτὴ καὶ τὸ περὶ γαμικῶν δωρεῶν τῆς ὅλης περιήρηται. περὶ δωρεῶν μνηστείας. ζήτησον ἐν τῷ περὶ μνηστείας:-

† ἀρχὴ σὺν θεῷ τοῦ Ε στοιχείου :

περὶ ἐγγυητῶν. ἀνάγνωθι βι. ζ τί. θ κεφαλαίου λε καὶ τὸ ιδ. οὗτινος ἐν τῷ θ κεφαλαίῳ φησίν :

α' Ἐπὶ τῆς παρασχέσεως εὔπορος νοεῖται ἐγγυητής, οὐ μόνον ἐκ τῆς οὐσίας, ἀλλὰ καὶ ἐκ τῆς εὐχερείας τοῦ ἐναχθῆναι. ἀνάγνωθι καὶ τὸ ις οὗτινος ἐν τῷ λ κεφ. φη. ἐὰν ὁμολογήσωσι πολλοὺς δούλους παρασχεῖν, καὶ τὸν ἕνα μὴ παράσχωσι, ἀπαιτοῦνται εἰς ὁλόκληρον ἡ ποινή· διὰ δὲ παραγραφῆς μόνην τὴν ἀναλογίαν τοῦ μὴ παρασχεθέντος δίδωσι. ἀνάγνωθι καὶ βι. θ τί. γ οὗτινος ἐν τῷ β κεφ. φη. φθαρείσης τῆς δίκης, καὶ οἱ ἐγγυηταὶ τῆς ἐπὶ τῇ ἀποπληρώσει τῆς καταδίκης ἱκανοδοσίας ἐλευθεροῦνται. ἀνάγνωθι καὶ τὸ ια κεφ. ιγ ἐν τῷ φη. εἰ ἐγγυητὴς ἱκανοδοσίας εἰς τὸ διαφέρον ἐπερωτηθῇ, ἁρμόζει, τουτέστιν εἰς ὅτι ἐζημιώθη, καὶ εἰς ὅτι ἠδύνατο κερδᾶναι. ἀνάγνωθι καὶ βι. ι τί. δ κεφ. ιβ ἐν τῷ φη. ἐὰν ἐγγυᾶται γυνὴ παρὰ ἀφήλικι, ἐὰν μὲν εὔπορός ἐστιν ὁ ἐγγυώσας, οὐκ ἐνάγεται ἡ γυνή. εἰ δὲ ἄπορός ἐστιν, ἐνάγεται. ἀνάγνωθι καὶ τὸ ς ἐν τῷ φη :

περὶ ἐγγυωμένων ἀφήλικας. ἀνάγνωθι καὶ βι. ιδ τί. α. ἀνάγνωθι καὶ βι. ιζ τί. α κεφ. λα θέμα β. καὶ βι. ιη τί. ε κεφ. γ καὶ θέμα ε. καὶ κεφ. λζ θέμα β ἐν τῷ φησίν :

β' Ἀπὸ τῆς ἐγγύης τοῦ δούλου οὐκ ἐνάγεται ὁ δεσπότης, εἰ μὴ εἰς πράγματα τοῦ δεσπότου ἢ τοῦ πεκουλίου ἐγγυᾶται. καὶ κεφ. ιε θέμα β καὶ δ. ἀνάγνωθι καὶ βι. κ τί. α κεφ. να καὶ βι. κε τί. δ κεφ. β ἐν τῷ φη. ὁ ὑποτιθέμενος ἢ ἐγγυώμενος ὑπὲρ γυναικὸς ἄλλον ἐγγυωμένης, βοηθεῖται. ἀνάγνωθι καὶ βι. κς τί. α οὗτινος ἐν τῷ α κεφ. φη. πᾶσα ἐνοχὴ δύναται προστίθεσθαι ἐγγυητής, καὶ τῇ περὶ τῶν χρεωστουμένων, καὶ τῇ περὶ τῶν παρακαταθηκῶν ... εἰ καὶ δούλῳ ἀνήβῳ χρεωστῇ ἢ παρακαταθῇ, καὶ δοῦλον ἢ ἐλευθέρωσιν αὐτὸ ποιήσει. ἐν δὲ τῷ γ κεφ. καὶ ἐπὶ τῇ μελλούσῃ αἰτίᾳ δύναται προσλαμβάνεσθαι ἐγγυητής. ἐν δὲ τῷ ζ κεφ. θέμα β. ὁ ὑπὲρ ἑτέρου ἑαυτὸν παρεμβάλλων, ἐὰν σκληρότερον ὁμολογήσῃ τοῦ πρωτοτύπου, οὐδόλως ἐνέχεται· κουφοτέρως δὲ δύναται παραλαμβάνεσθαι, ὡς ἐπὶ ἡττονι ποσότητι ἢ ὑπὸ προθεσμίαν ἢ ὑπὸ αἵρεσιν, τοῦ ἐναγομένου χωρὶς αἱρέσεως ἐπερωτηθέντος. οὐ μὴν τὸ ἐναντίον. ἐν δὲ τῷ θ κεφ. θέμα γ. ὁ ὑπεξούσιος ἐγγυώμενος ὑπὲρ πατρὸς ἐγγυᾶται, καὶ γινόμενος αὐτεξούσιος ἐξ ὧν ποιεῖ ὑπεξούσιος, ἐνέχεται. καὶ ὑπεξούσιος ὢν καταδικάζεται. ὁμοίως καὶ ἐν τῷ οε κεφ. φη. ἐν δὲ τῷ λζ κεφ. ἐὰν εἷς τῶν ἐγγυητῶν καταβάλῃ καὶ μὴ ἐκχωρηθῇ τὰς ἀγωγάς, ὁ ἄλλος οὔτε παρ' αὐτοῦ οὔτε παρὰ τοῦ δανειστοῦ ἐνάγεται. ἐν δὲ τῷ με κεφ. ἐὰν ὁ δανειστὴς οὐ δύναμαι λαβεῖν ἐγγυητὴν ἐφ' ὧν δεδωκα ὑπὲρ αὐτῶν σῖτον· εἰ μὴ γὰρ εἰς αὐτό

Margin notes:
ἀνάγνωθι καὶ βι. ... κεφ. ... καὶ ... περὶ ἀλληλεγγύων :
περὶ δούλου ἐγγυωμένου :
περὶ ἐγγυωμένου γυναῖκα παρὰ ἄλλου ἐγγυωμένης :
περὶ ὑπεξουσίου ἐγγυωμένου ὑπὲρ πατρός :

ε΄

τὸ δανεισθέν, οὐ προσλαμβάνεται ἐγγυητής. τὸ μὲν γὰρ φορτία, καθὰ εἰς τὸ νῦν ἀποκειμέν- — περὶ πράσεως ἀνατρεπομένης ὑπὸ νόμου
ται. τὰ δὲ νῦν οὐκ ἀποκειμένα εἰς φορτία. Ἐκ τοῦ αὐτοῦ μα΄ κεφ. ὁ τελευταίως ἀναιρέπτ τὴν γε-
νομένην πρᾶσιν. καὶ ὁ δοθεὶς ἐπ᾽ αὐτῇ ἐγγυητὴς ἐλευθεροῦται. Ἐὰν ἐγὼ καὶ σὺ ἐγ-
γυησώμεθα εἰς ὁλόκληρον, ἐγὼ μόνος ἐνέχομαι. Ἐὰν δ᾽ ὑπὲρ ἀφήλικος ἐγγυήσωμαι καὶ
ἀποκαταστῇ, τότε εἰς ὁλόκληρον ἐνέχομαι. ὅτι ἐπ᾽ αὐτῷ ἐγγυησάμην, καὶ ἔσχεν ὁ ἀφή-
λιξ προσηλώθη, εἰμὴ ἄρα κατὰ δόλον τοῦ δανειστοῦ προσελήφθη. τότε γὰρ οὐ βοηθεῖται
ὁ δανειστής. ἐκ τοῦ οὔτε ἡνίκα κατὰ δόλον μεταπέσῃ εἰς ἀφήλικα. καὶ ζητεῖ ἀποκατάστασιν αὐτοῦ
δοθῆναι κατὰ τοῦ πρώτου χρεώστου. Ἐκ τοῦ αὐτοῦ μς΄ κεφ. ἐκ πολλῶν ἐγγυητῶν ἐὰν ὁ εἷς
ὑπὲρ τὸ ἀναλογοῦν αὐτῷ μέρος καταβάλῃ, οὐκ ἀναλαμβάνει. οὐ γάρ ἐστι μὴ χρεω- — ξη
στούμενον. Ἐκ τοῦ αὐτοῦ νς΄ κεφ. ὁ ὑπὲρ τοῦ μισθωτοῦ ἐγγυώμενος, ὑπὲρ ὅλων τῶν κα-
ταβολῶν ἐνέχεται. μία γάρ ἐστιν ἡ ἐπερώτησις. Ἐκ τοῦ αὐτοῦ νθ΄ κεφ. Εἰ καὶ διαμαρτυρή-
σῃ δανειστῇ ὁ ἐγγυητής, ὀχλεῖσθαι τὸν χρεώστην περὶ τοῦ χρέους, ἢ περὶ τοῦ πωλῆσαι τὰ ἐ-
νέχυρα, οὐκ ἔχει ὁ ἐναγόμενος παραγραφήν. Ἐκ τοῦ αὐτοῦ ξε΄ κεφ. οἱ ἐγγυηταὶ εἰ μὴ εἰς
πᾶσαν τὴν ζημίαν ὑπεσχέθησαν, οὐχ ὑπόκεινται ἐπὶ τόκοις. ἐὰν δὲ καταβάλῃ ὁ ὑπεύ-
θυνος, εἰς τόκους πρὸ τῶν λογίζεται. ὡς ἐπὶ τῶν πεπρασμένων παρὰ τοῦ δανειστοῦ
ἐνεχύρων. ὁμοίως καὶ κατὰ τὸ οβ΄ κεφ. ἐὰν τὸ χρέος μετατεθῇ, ἢ τι ἀνακαινισθῇ,
ἐλευθεροῦνται καὶ οἱ ἐγγυηταὶ καὶ οἱ μανδάτωρες. Ἐκ τοῦ αὐτοῦ πζ΄ κεφ. ἐὰν ἐγγυη-
ταί τινες ὅτι παρέξωσιν ἐν τῷ τόδε τοῦ χρόνου τόδε, ὁ πρωτότυπος δίδωσι προσίμιον-
φασὶ ὅτι κἂν μὴ παράσχῃ ἐν τῷ τῶν ἓξ μηνῶν, δίδοται αὐτῷ ἕτερος τοσοῦτος χρό-
νος. Ἐκ δὲ πλείονος ἦν ὁ ἐξ ἀρχῆς, ἑξάμηνος μόνον εἰς ὑπερθέσιν αὐτῷ δίδοται. οὐ γὰρ
τῷ ἐπέκτασις τοῦ πρωτοτύπου, οὐκ ἀπαιτεῖ τὸ πρόστιμον. ἀλλὰ καὶ τὸ ἐκ τῶν ἀναλαμ-
βάνεται τὸ πρότερον τοὺς δανειστὰς κατὰ τῶν πρωτοτύπων χρεωστῶν χωρεῖν καὶ ἀπο-
ζητούντων αὐτὸν κατὰ τῶν ἐγγυητῶν ἀντιφωνητῶν ἢ μανδατώρων. ὁ τελευταῖος ἐν τῷ ε΄
κεφ. φη΄. Εἴ τις ἀλληλεγγύως ὑπευθύνους λάβοι τινάς, εἰ μὴ προστεθῇ τὸ δεῖν ἕ- — περὶ ἀλληλεγγύων
να τούτων εἰς ὁλόκληρον ἐνέχεσθαι, πάντας ἐξ ἴσου τὴν ἀγωγὴν ὑφίστασθαι. εἰ δὲ καὶ
τι τοιοῦτο προστεθῇ, φυλάττεσθαι μὲν τὸ σύμφωνον. οὐκ εὐθὺς μέντοι τὴν ἀρχὴν ἕκα-
στος ὁλόκληρον ἀπαιτεῖσθαι. ἀλλὰ τέως μὲν κατὰ τὴν μοῖραν καθ᾽ ἣν ἕκαστος ἐνέχεται. χω-
ρεῖν δὲ αὐτοὺς καὶ κατὰ τῶν λοιπῶν εἴτε καὶ ἄποροι καθεστῶσι, καὶ ἐνδημοῦσι. καὶ εἰ τοῦ-
το οὕτως ἔχον φανῇ. εἰ μὲν εὐπόρως ἔχουσι καὶ παρόντες τύχοιεν. ἐκείνους κινδυ-
νεύειν ἐκπληρῶσαι ἕκαστον εἰς τὸ οἰκεῖον μέρος τὸ ἀλληλεγγύως δανεισθέν. ἐξ οὗ-
περ ὅλως ἔνοχοι γεγόνασι. καὶ μὴ τὸ κοινὸν χρέος ἴδιον τινὸς γενέσθαι βάρος; εἰ
δὲ ἀπόρως ἔχοντες οἱ λοιποὶ φανεῖεν. εἴτε πάντες εἴτε τινές, εἴτε εἰς μέρος, εἴτε εἰς ὁλόκληρον

ἢ καὶ ἀπόντες ἔχοιεν, καὶ εἰς ἐκείνους μετέρχεσθαι. ὥσπερ λαβὼν, περὶ ὧν ἄλλων
συνεφώνησε. βιβλ. α´ καὶ τίτλ. ε´ κεφ. λα´ θέμ. ε´. βιβλ. α´ καὶ τίτλ. λε´ τοῦ ια´ κεφ. ξα´ ἐν τῷ σχολίῳ. οἱ ἐπι-
συναπτόμενοι τοῦ ἀνθρώπου ἐπὶ συναλλάγμασι κληρονομιαίοις, βοηθοῦνται ἀφεσαμέ-
νου αὐτοῦ. βιβλ. α´ καὶ τὸ να´ τίτλ. ι´ κεφ. ιβ´ θέμ. ζ´ καὶ ἡ ἐν τῷ σχολίῳ. ὁ δὲ ὁλόκληρον ἐπισυναπτόμε-
νος τοῦ μισθωσαμένου πολιτικὰ ἔτη, καὶ εἰς τοὺς ἐνέχεται ἐν οἷς συνεταῖρος ἑτέρῳ
συνεφώνησε. εἰ δὲ καὶ περὶ τῆς ἀφέσεως συνεφώνησε, ἀκολουθοῦμεν τῇ ἀγα-
θῇ πίστει :— περὶ ἐπικαταλαμβανομένων. βιβλ. α´ τοῦ ν´ τίτλ. ζ´. ὅλον ἐν τῷ
α´ κεφαλαίῳ φησίν :—

γ´ βιβλ. καὶ τὸ περὶ δεσποτείας :—

Ὁ ἐπικαταλειπόμενος, οὐκέτι ἐστίν. τὸ δὲ περικαταλαμβάνοντος γίνεται. ὡς γὰρ ἀπολλύμεθα οὕ-
τω καὶ ἀποκτώμεθα. εἰ δὲ ᾧ ἔκκαμε ὁ εἰδὼς ἐπικαταλειφθῆναι, κτᾶται αὐτό.
παύεται γὰρ εὐθὺς καταλιπόντος, καὶ γίνεται τοῦ κρατοῦντος :—
περὶ ἐγκληματικῶν. βιβλ. α´ τοῦ ξ´ τίτλ. λα´ κεφ. ιε´ ἐν τῷ σχολίῳ :—

δ´ βιβλ. καὶ βιβλ. α´ τίτλ. κεφ. ιε´ ἐπὶ γράφεται ἐν τῷ περὶ δεσποτ. βιβλ. καὶ τὸ περὶ κατηγορουμένων ἐγκληματικῶς· καὶ τὸ περὶ καταδίκων. ἰστέον ὅτι τὰ ἐγκλήματα τῇ ἧττον σβέννυνται :—

Σβέννυνται τὰ ἐγκλήματα τῇ τελευτῇ τοῦ κατηγορουμένου, χωρὶς τοῦ περὶ καθοσιώσεως,
ἀπὸ τοῦ κεφαλαίου τῆς προδοσίας, καὶ τῆς κατὰ βασιλέως ἐπιβουλῆς. ἐπὶ τούτων γὰρ ἐὰν
καταδικασθῇ ἀπὸ τῶν κληρονόμων, δημοσιεύεται ἡ κληρονομία. ἀπὸ δὲ τῶν λοιπῶν
τῶν νόμων κεφαλαίων τῇ τελευτῇ σβέννυται τὸ ἔγκλημα. βιβλ. καὶ τίτλ. νς´ οὕτως ἐν
τῷ ε´ κεφ. σχολ. ὥσπερ ὁ τελευτήσας ἀπαλλάττεται τοῦ ἐγκλήματος· οὕτως καὶ ὁ διάδοχος
αὐτοῦ μετὰ τὴν τελευτὴν αὐτοῦ μὴ δυνάμενος ἐπεξελθεῖν τῷ ἐγκλήματι, οὐκ ἐνάγεται :—
περὶ ἐγκύου. ὅτι οὐ τιμωρεῖται οὐδὲ βασανίζεται πρὶν ἢ τέκῃ. βιβλ. α´ τοῦ ξ´ τίτλ.
να´ κεφάλαιον γ´ ἐν τῷ φησίν :—

ε´ Ἔγκυος πρὶν ἢ τέκῃ οὐ τιμωρεῖται οὐδὲ βασανίζεται :—

ς´ περὶ ἐγκυμονούσης καὶ ἐγκυμονουμένων, καὶ περὶ φυλακῆς αὐτῶν.
καὶ πότε καὶ ὅπως εἰς νομὴν πέμπονται. καὶ περὶ τῆς εἰς νομὴν πεμφθεί-
σης, καὶ ταύτην δόλῳ πρὸς ἄλλον μεταθεμένης, καὶ τῆς κατὰ συκοφαν-
τίαν εἰς τὴν νομὴν πεμφθείσης. ὡς τῇ ἀληθείᾳ μὴ ἐγκυμονούσης, λεγού-
σης δὲ ἐγκυμονεῖν. βιβλ. α´ λα´ τίτλ. ς´ κεφ. α´ ἐν τῷ φησίν :—

Τὸ περὶ παίδων δόγμα, δύο αἰτίας ἔχει· μία μὲν περὶ τοῦ ἐπιγίνεσθαι· ἄλλη δὲ, περὶ
τῶν ὑποβολιμαίους ποιούντων. ἐπιτέτακται τοίνυν τῇ γυναικὶ νομιζούσῃ ἐγκύ-
μονα εἶναι καὶ τοῖς ἔχουσιν αὐτὴν ὑπεξουσίαν. καὶ τοῖς πρὸ αὐτῶν ἐν τάχει, παραγγέλλειν
ἔσω τριάκοντα ἡμερῶν ἀριθμουμένων ἀπὸ τοῦ διαζυγίου, αὐτῷ τῷ ἀνδρὶ ἢ τῷ ἔ-
χοντι αὐτὸν ὑπεξούσιον, ἢ ἐν οἴκῳ ἐν τῷ μεγάλῳ τινὸς αὐτῶν διατρίβειν. οἰκονομεῖτο
εἰς τὸν ἐν πόλει· εἰ γὰρ ἐν κώμῃ ἢ πολίχνῃ οἰκ. εἶτα παραγγέλλειν ὅπου τίκτειν ὀφείλει.

ε'.

οὐδὲν ἕτερον ἡ γυνὴ παραγγέλλει· ἢ ὅτι ἔγκυος ἐστὶν ἐξ αὐτοῦ. λοιπὸν ἐν αὐτῷ ἐστὶν ἢ πέμ-
ψαι φύλακας· ἢ αὐτὴν παραγγεῖλαι ὡς οὐκ ἔστιν ἔγκυος. τοῦτο δὲ καὶ ἄλλος ὀνόματι
αὐτοῦ δύναται ποιεῖν. ταῦτα δὲ μὴ ποιῶν, ἀναγκάζεται τὸ τεχθὲν ἐπιγινώσκειν. ἐὰν μὴ
ἐπιγινώσκῃ, ἐξτραορδίνως σωφρονίζεται. συναπτὰς τὰς λ ἡμέρας ἐν τῷ διαζυ-
γίου ψηφιζομένου. εἰ δὲ μὴ παραγγείλασα τέκῃ, ἐντὸς τῶν λ ἡμερῶν, οὐχ ὑπόκειται, πρό-
κριμα δὲ τῷ τικτομένῳ οὐ γίνεται. ὥσπερ οὔτε ὁ ἀνὴρ περὶ πέμψαι φύλακας. ἐὰν γὰρ ἀρνῆ-
ται γαμετὴν αὐτὴν εἶναι· ἢ λέγει αὐτὴν ἐγκυμονεῖν. ἐὰν πέμψῃ φύλακας ἐὰν μὴ ἀ-
κωλύτως γίνεται ἡ περὶ τοῦ τοκετοῦ ζήτησις. εἰς πρόκριμα δὲ βλάπτει τὸ παραγγελθὲν
τὸ διδόμενον. εἰ γὰρ παραγγείλασης τῆς γυναικὸς ὁ ἀνὴρ μὴ πέμψει φύλακας,
μήτε διαμαρτύρηται ἐγκυμονεῖν ἐξ αὐτοῦ. ἀναγκάζεται ἐπιγνῶναι τὸ τικτόμενον
καὶ τρέφειν αὐτό. οὐ μὴν ἐκ τούτου καὶ ὑπεξούσιος γίνεται ὁ ἐξ ἄλλου συλληφθείς. ἀλλ'
ἡ περίληψις, δῶρον τοῦ υἱοῦ ἐστιν. γίνεται δὲ ἡ ζήτησις. τὸ γὰρ ὅτι πολλῷ ἀποδημήσας χρό-
νον, οὐχ εὗρεν ἔγκυον τὴν γαμετήν. εἰ δὲ καὶ ἡ γυνὴ παραγγείλῃ τὰ εἰρημένα τῷ νόμῳ, οὐκ
ἀναγκάζεται ὁ πατὴρ τρέφειν τὸ τικτόμενον ἐὰν μὴ δειχθῇ υἱὸς αὐτοῦ. καὶ τῷ τικτομένῳ
πρόκριμα οὐ γίνεται. οὔτε περὶ τὰ δίκαια τοῦ υἱοῦ. οὔτε περὶ τὴν ἀποσεφήν. εἰ δὲ
διαγινώσκων ὁ δικαστὴς περὶ τοῦ εἰ ἐξ αὐτοῦ ἐγκυμονεῖ ἀποφήνηται ἐξ αὐτοῦ ἐγ-
κυμονεῖν. γίνεται γνήσιος ἤτοι ὑπεξούσιος ἐν πάσαις ταῖς αἰτίαις. ἀνάγνωθι καὶ κεφ. ϛ
καὶ ι ἐν τοῖς φη. ὁ νόμος δόγμα περὶ τῶν μετὰ διαζύγιον τικτομένων ἐκτίθεται
τὰ εἰρημένα. εἰ δὲ ἐγερθῇ ἐν τῷ γάμῳ. ἢ ἐν θανάτῳ τοῦ πατρός. περὶ οὗ δὲ τοῦ
πάππου τοῦ μέλλοντος αὐτὸν ἔχειν ὑπεξούσιον εἰ ἐκ τοῦ υἱοῦ αὐτοῦ ἐτέχθη. ἢ καὶ
ἀμφιβάλλεται πότερον ἐν τῷ γάμῳ ἢ μετὰ ταῦτα ἐτέχθη. ἢ καὶ εἰ τέθνηκεν ἡ τεκοῦσα
γαμετή. ἐξ ἑτέρων δογμάτων κινεῖται πρόκριμα. ἀνάγνωθι καὶ τὸ ζ θέματος ἐν τῷ α κεφ.
φη. ἐὰν μὲν τὸ διαζύγιον ὁ ἀνὴρ λέγῃ τὴν γαμετὴν ἐγκυμονεῖν. αὐτὴ δὲ διαρνῆται.
ἐπιλέγεται ὁ ἄρχων τρεῖς μαίας δοκίμους τὴν τέχνην καὶ τὴν πίστιν. καὶ θεωροῦ-
σιν. καὶ ἐὰν αἱ τρεῖς ἢ καὶ αἱ δύο εἴπωσιν αὐτὴν ἐγκυμονεῖν. δέχεται φύλακα καὶ ὡ-
ς αὐτὴ τοῦτο ἤλπισεν. εἰ δὲ αἱ τρεῖς ἢ καὶ αἱ δύο εἴπωσιν αὐτὴν μὴ ἐγκυμονεῖν, οὐ δέ-
χεται φύλακα. καὶ ὁ ἀνὴρ εἰς ὕβριν αὐτῆς καὶ ἀτιμίαν δοκεῖ τοῦτο πεποιηκέναι.
ἐν δὲ τῷ ε κεφ. ἐὰν τοῦ ἀνδρὸς τελευτήσαντος, ἡ γυνὴ φῇ ἐγκυμονεῖν. ὀφείλει δεύτερον
τοῦ μηνὸς παραγγέλλειν οἷς διαφέρει. ἢ πρὸς κουράτωρσιν αὐτῶν. ἵνα εἰ βούλωνται
πέμψωσι τὰς ὀφειλούσας ἐπιδεῖν τὴν γαστέρα, πέμπονται δὲ γυναῖκες ἐλεύθεραι.
καὶ ἅμα πᾶσιν ἐφορῶσι. καὶ οὔτε μία τούτων ἀκούσης τῆς γυναικὸς ἐπιλεγομέ-
νη παρὰ τοῦ ἄρχοντος, πρὸ λ δὲ ἡμερῶν τοῦ νομιζομένου τόκου. τελλέτω τὴν παραγγελί-

ἡ γυνή· μὴ ἔχειν δὲ τὸ κουβούκλειον ἐν ᾧ μένει πολλὰς ἐξόδους, ἀλλὰ μίαν. τὰς
δὲ λοιπὰς τείχεσιν ἑκάτερον ἀποφράττεσθαι. καὶ πρὸ τοῦ κουβουκλείου, τρεῖς ἐλεύ-
θεραι καὶ τρεῖς γηραιαὶ καὶ δύο στρατιῶται φυλάττουσιν. αὐτ. καὶ τὸ η΄ ἐν ᾧ φρ. ἐ-
ὰν γαστρὸς ὀνόματι γυνὴ πεμφθεῖσα μεταστῇ τὴν νομὴν κατὰ δόλον εἰς ἕτερον ἐνάγεται.
καὶ ὁ ἔχων αὐτὴν ὑπεξουσίαν. ἐὰν κατὰ δόλον αὐτοῦ γένηται, εἰς τὸ διαφέρον τῷ
ἐνάγοντι. καὶ ὁ κατὰ δόλον εἰς τὴν νομὴν ἐλθών, ἀναγκάζεται διὰ τοῦ νόμου ἀναχω-
ρεῖν αὐτῆς. καὶ ἐὰν ἐναντίον ἡ ἀγωγὴ δίδοται. περὶ τούτου γὰρ ἔχει ἀπαίτησιν. αὐτ.
καὶ τὸ τοῦ οὐλπιανοῦ ἐν τῷ α΄ κεφ. τοῦ ζ΄ β. φρ. ἡ κατὰ συκοφαντίαν πεμφθεῖσα ἐνέχεται. συκο-
φαντεῖ δὲ ἡ ἐν εἰδήσει τοῦ μὴ ἐγκυμονεῖν εἰς νομὴν ἐλθοῦσα. ἡ ἀγωγὴ ποινάλια οὖσα.
ἔσω ἐνιαυτοῦ δίδοται εἰς τὸ διαφέρον. καὶ ὁ πατὴρ τῆς γυναικὸς ἐνάγεται. ἐὰν δι'
αὐτοῦ γένηται κατὰ συκοφαντίαν ἐλθεῖν τὴν νομήν. αὐτ. καὶ τὸ κ΄ τὸ α΄ οὐλπιανοῦ ἐν
τῷ α΄ κεφ. φρ. ἡ γαστρὸς ὀνόματι νομή, ἐν τάξει τῆς καταδίκης τῆς διαθήκης ἐναντί-
ωσις δίδοται. δεῖ δὲ τὴν γυναῖκα ταῖς ἀληθείαις ἔγκυον εἶναι καθ' ὃν ἐτελεύτα και-
ρὸν ὁ ἀνὴρ αὐτῆς καὶ καθ' ὃν εἰς νομὴν πέμπεται. ὅτε οὐκ ἐρρῶται ἡ δόσις τῆς
διακατοχῆς. τότε δὲ πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς. ὅτε ἡ διακατοχὴ ἐλέγχθη τοῦ ἐγκυμο-
νουμένου, ἔμελλεν εἶναι ὑπεξούσιος. εἰ δὲ καὶ ὅτε ἀδηλονότι τοῦ τοῦ καταδίκην α-
θεματικοῦ ἢ διὰ τὸ ὑπεξούσιον, πέμπεται ἡ γαστὴρ ἐπὶ νομῆς. κάλλιον γὰρ ἐστιν
ἀκαίρως εἰς τινὸς γενέσθαι δαπάνην ἢ ἀρνηθῆναι τροφὰς τῷ ἐσθ' ὅτε γινομένῳ
κυρίῳ τῶν πραγμάτων. ἐὰν τὴν αἰτοῦσαν εἰς νομὴν πεμφθῆναι ἀρνῆται ὡς γαμετὴν
ἢ νύμφην γενέσθαι τοῦ τελευτήσαντος ἢ ἐγκυμονεῖν ἢ ζητῆσαι αὐτὴν περὶ τύχης ὁ πρα-
τη. ἀκεραίως ὁ πραίτωρ σκοπεῖ. καὶ ἐὰν ἀποδειχθῇ φανερῶς ἡ γυνὴ συκοφαν-
τοῦσα, οὐ πέμπεται. εἰ δὲ ἀμφιβάλλεται τοῦτο. γενικῶς γὰρ ἐξ ὧν αἰτιῶν δίδοται
τοῖς νηπίοις ἡ βοήθεια, ἐκ τούτων καὶ ἡ γαστὴρ βοηθεῖται. πλέον δὲ τοῖς ἐγκυμο-
νουμένοις ἤπερ τοῖς ἐν φύσει ὁ πραίτωρ βοηθεῖ. ἐὰν δὲ διαζευχθεὶς τῆς πρώτης γα-
μετῆς δευτέραν ἀγάγωμαι, καὶ καταλείπω τὰς δύο ἐγκύους. αἱ δύο εἰς νομὴν πέμ-
πονται. ἐκεῖνα δαπανᾷ ἡ πεμφθεῖσα γυνή. ὧν ἐκτὸς τὸ ἐγκυμονούμενον οὐ δυνατὸν
σωθῆναι. καὶ χορηγεῖ ὁ κουράτωρ τὰ εἰς τροφὴν καὶ πόμα καὶ ἔνδυσιν, καὶ στε-
νομία πρὸς τὴν οὐσίαν καὶ τὴν ἀξίαν, τοῦ τελευτήσαντος καὶ τῆς γυναικός. ἐν δὲ
τῷ ια΄ κεφ. γαστρὸς εἰς νομὴν πεμπομένης, ὑπερτίθεται τὸ κατ' αὐτῆς περὶ μοιχείας
ἔγκλημα. διὰ τὸ μὴ γενέσθαι τῷ παιδὶ πρόκριμα. αὐτ. καὶ τὸ ε΄ κεφ. ι΄ καὶ ιγ΄ καὶ
ις΄ ἐν ᾧ φρ. ὁ φάσκων τὴν τελευτήσαντος γυναῖκα ἐγκυμονοῦσαν καταψεύδεσθαι. ζητεῖ καὶ αὐ-
τὴν τὴν γυναῖκα ἔσω ὅτε ἐγκυμονεῖ. καὶ τοὺς ἐπιτρόπους τοῦ τελευτήσαντος φυλάξαι

αὐτήν, ἕως τοῦ τέλους. ἵνα μὴ ἀμφιβάλληται γνήσιος εἶναι τοῦ τελευτήσαντος. καὶ ὅτε ἐπὶ διαδοχῇ τοῦ τόκου ὁμολογῆται. ζήτησις δὲ περὶ τύχης ἐστί, λεγόντων τινῶν τὴν μητέρα αὐτοῦ δούλην εἶναι. δίδοται μέχρι τῆς ἥβης διακατοχή. ὥστε ἐκδυόντως καταφρονεῖν τὰ πράγματα. καὶ μετὰ τὴν ἥβην ἐναχθῆναι. ἕως οὗ μὲν ἥβην ἐναγόμενοι αὐτόν, ἡττηθῆναι. ὥστε ἐκ τούτου δείκνυσθαι ὅτι ἄλλο εἰσὶ πράγμασιν ἐξετάσαι. τὰ δὲ λοιπὰ τοῦ τίτλου περιέχεται ἐν τῷ περὶ διακατοχῶν :–

Περὶ ἐκβιβαστῶν τῶν ἀποστελλομένων ἐπὶ τῷ ἀπαιτεῖν δημόσιον πρᾶγμα. καὶ περὶ τῶν διδομένων αὐτοῖς συνηθειῶν. ἀνάγνωθι β΄ ζ΄ τί. α΄ κε. ϛ΄ θέ. δ΄ ἐν τῷ φ. φυσικῷ :– ζ΄

Καὶ τοῦτο δὲ κελεύομεν παρὰ πάντων τῶν δικαστῶν τῶν τε στρατιωτικῶν. τῶν τε πολιτικῶν. ἐν παντὶ τόπῳ τῆς ἡμετέρας πολιτείας παραφυλάττεσθαι. ἵνα μήτε τοῖς μαγιστριανοῖς μήτε τοῖς ἐπαρχικοῖς. μήτε ἄλλῳ οἱῳδήποτε ἐκβιβαστῇ συγχωρῆται πλέον τι παρὰ οἱονδήποτε πρόσωπον συνηθειῶν ὀνόματι λαμβάνειν τῶν τοῖς ἡμετέροις διατυπουμένων νόμοις. οὐδὲ γὰρ θέλομεν τοῦ ἡμετέρου κράτους περιφέροντας κελεύσεσι. ἀλλ' ἵνα εὕροιεν πλέον τι ἀπαιτοῦντες. ἀσθενοῦν ἔλθωσιν καὶ ζημιῶσιν καὶ ἐκβάλλειν τούτους. καὶ τετραπλάσιον ἀπαιτεῖν ὅπερ πλέον λάβοι. ἵνα τὸ μὲν ἁπλοῦν τῷ τὴν ζημίαν ὑπομείναντι ἀποδίδωται τὸ δὲ τριπλοῦν τῷ δημοσίῳ εἰσφέρηται. ἀνάγνωθι καὶ τί. ϛ΄ κε. ιθ΄ καὶ β΄ θ΄ τί. α΄ κε. δ΄ ἐν τῷ φ. κατὰ τῆς ψήφου τοῦ δικαστοῦ οὐκ ἔξεστιν ἐκκαλεῖσθαι. εἰ μὴ ἄρα παρερμηνεύσει τὴν ψῆφον. τότε δίκαιον ἔχει τὸν ἑρμηνεύσαντα οἷον ἄρχων ἢ φρουρητὴς τοῦ βασιλέως. καὶ οὐδὲν ἕτερον ἐν τῇ ἐκκλήτῳ σκοπεῖται. πλὴν εἰ μὴ ἄρα παρερμήνευσεν. ἀνάγνωθι καὶ τί. ϛ΄ κε. πε΄ ἐν τῷ φ. ἐκβιβαστής ἐστιν ὁ μετὰ τὴν ἀπόφασιν παρερχόμενος ἐπὶ τῷ ἐκβιβάσαι τὰ ἀποφανθέντα. ἀνάγνωθι καὶ β΄ ιζ΄ τί. α΄ κε. γ΄ θέ. ε΄. ἀνάγνωθι καὶ β΄ ϛ΄ τί. ιζ΄ ἀπὸ τοῦ νβ΄ κε. ἕως λε΄. ἔτι δὲ τῷ πε΄ κε. φ. μήτε μαγιστριανός, μήτε παλατῖνος ἤ τις ἄλλος τῶν ἐκ τῆς τάξεως τῶν ἰλλουστρίων ἀρχόντων εἰς ἀπαίτησιν τίτλων καθηκόντων ἢ πρόσταγμα ἐπιφερόμενοι, καὶ τοῦ ἐκβιβάζειν παρὰ τῶν δικαστῶν ἐνεχθέντων αὐτοῖς ποιείτω. μήτε μὴν τὰ ἄλλως ἐνεχθέντα ἄλλος εἰσπραξάσθω. ἔτι δὲ τῷ να΄ κε. καὶ οἱ ἐπαρχικοὶ καὶ οἱ παλατῖνοι καὶ οἱ οἱασδήποτε τάξεως εἰς ἐκβιβασμὸν ἀποστελλόμενοι. ἔσω ἐνιαυτοῦ πρὸς τὸν ἴδιον ἐπανερχέσθωσαν ἄρχοντα. καὶ λεγέτωσαν αὐτῷ ὅτι ἀπῄτηνται. τὰ δὲ ἐν λοιποῖς πᾶσιν ἐστὶ καὶ παρὰ τοῖς λοιποῖς τάξεσι :–

Περὶ ἐκδικουμένων πραγμάτων. καὶ τῶν ταῦτα ἐκδικούντων. πότε καὶ περὶ τῶν νεμομένων αὐτά. καὶ πότε μὴ αὐτὰ τάχα ἐκδικοῦνται. η΄

Περὶ τοῦ πότε αἱ ζημίαι αὐτῶν δίδονται. καὶ πότε τῶν καρπῶν ἐκδικοῦνται. καὶ πότε οὐ δὲ αἱ ζημίαι δίδονται. ἀνάγνωθι τὸ ιε' τίτλου α'. τοῦ λ' βιβλίου ἀπὸ τοῦ θ' κεφαλαίου φύλλων: —

ἀνάγνωθι καὶ τὸ περὶ νομῆς: —

Ὅθεν δήποτε νέμεται ὁ ἐναγόμενος ὑπὲρ ἀποδείξω ἐμοῦ εἶναι καταδικάζεται. εἰ μή τινα παραγραφὴν ἀντιθήσει. ἐν τῷ αὐτῷ ιε' κεφαλαίῳ. ἐὰν τὸ ἐκνικώμενον ἀποθάνῃ χωρὶς ἀμελείας τοῦ νομέως, οὐ δίδωσι τὸ τίμημα. εἰ μὴ μετὰ τὴν δίκην ἐποίησε καὶ πράσιμον ἦν. ἐν τῷ αὐτῷ κη' κεφαλαίῳ. ὁ καλῇ πίστει νομεὺς τοῦ δούλου φυγόντος ἀπολύεται. εἰ μὴ τοιοῦτος ἦν ὁ δοῦλος ὃς ὤφειλε φυλαχθῆναι. ἐν τῷ αὐτῷ λγ' κεφαλαίῳ. οὐ μόνον οἱ ληφθέντες καρποί, ἀλλὰ καὶ οἱ δυνάμενοι ληφθῆναι ἐπιπρεπῶς ἀποκαθίστανται. καὶ κἂν φθαρῇ τὸ ἐκνικώμενον δόλῳ τοῦ νομέως, δίδονται μέχρι καταδίκης. εἰ δὲ καὶ ψιλὴν ἐξεδίκησε δεσποτείαν καὶ ἐν τῷ μεταξὺ ἐφθάρη ἡ χρῆσις, καὶ αὐτὴν ἀποκαθίστησιν. καὶ ἐξ οὗ ἐφθάρη δίδωσι τοὺς καρπούς. καὶ ὅτε διαπεπραγμένος τῷ ἀγρῷ προσετέθη. ἐν τῷ αὐτῷ λς' κεφαλαίῳ. ὁ θέλων ἐκδικῆσαι περιεργάζεσθαι ὀφείλει, εἰ νέμεται ὁ μέλλων ἐνάγεσθαι, ἢ δόλῳ ἐπαύσατο. καὶ ἀπὸ ἀμελείας ὁ ἐναγόμενος καταδικάζεται. ἀμέλεια δὲ ἐστὶ τὸ πέμψαι τὸν ἐκδικούμενον δοῦλον ἐπικινδύνως τόπον. ἢ τὸν φυγάδα μὴ φυλάξαι. ἢ ἀναθέσθαι ἐν κινδυνῷ

περὶ τοῦ καλῇ πίστει: —

ἢ πλοίῳ ἐν ἀνεπιτηδείῳ καιρῷ πλωιζόμενον. ἐν τῷ αὐτῷ λζ' κεφαλαίῳ. εἰ καὶ καλῇ πίστει ἀγοράσας ἔδαφος, μὴ δὲ τὸ μαθεῖν ἀλλότριον ὂν κτίσω, τὰς δαπάνας οὐ λαμβάνω. δύναμαι δὲ περιελεῖν τὸ κτίσμα ἄνευ ζημίας τοῦ δεσπότου τοῦ ἐδάφους. ἐν τῷ αὐτῷ με' κεφαλαίῳ. ἀποκαθιστῶν ὁ καλῇ πίστει καὶ περὶ δόλου ἀσφαλίζεται. οἱ δὲ λοιποὶ καὶ περὶ ἀμελείας. καὶ αὐτοὶ μετὰ προκατάρξιν. ἐν τῷ αὐτῷ μζ' κεφαλαίῳ. ὁ καλῇ πίστει περὶ ὧν ἐδαπάνησεν ἀγωγὴν οὐκ ἔχει. ἀλλὰ παρακατέχει ἐφ' οἷς ὁ ἀγρὸς κρείττων γέγονε συμψηφιζομένων τῶν πρὸ τῆς προκατάρξεως ληφθέντων καρπῶν.

περὶ ἀγοραστοῦ καὶ περὶ κληρονόμου: —

ἐν τῷ αὐτῷ ν' κεφαλαίῳ. ὁ ἀγοραστὴς πρὸ παραδόσεως οὐκ ἔχει τὴν ἐπὶ αὐτῷ ἐπὶ πράγματι ἀγωγήν. ὁ δὲ κληρονόμος ἔχει ἐπὶ τοῖς κληρονομιαίοις καὶ πρὶν ἢ νεμηθῇ. ἐν τῷ αὐτῷ νγ' κεφαλαίῳ. ἐκδικεῖται ὁ νομεὺς ἐκδικουμένου τοῦ ἀγροῦ ὃν ἐγεώργησε καὶ ἔσπειρε τὸν σπόρον ἐπάρασθαι. ἐν τῷ αὐτῷ ξα' κεφαλαίῳ. ὁ κακῇ πίστει τοὺς καρποὺς οὓς ἠδύνατο λαβεῖν ὁ ἐνάγων δίδωσι τοῦ πλοίου καὶ τοῦ ἐργαστηρίου καὶ τοῦ

περὶ τοῦ κακῇ πίστει: —

μεσαύλου τῶν ἐκδοθέντων μισθοῦσθαι. ἐν τῷ αὐτῷ πδ' κεφαλαίῳ. ἐάν τις ἐπικλήσῃ τοῖς ἐμοῖς οἰκήμασι ἀνώγεα, ἐγὼ τούτων γίνομαι κύριος. διὰ τὸν κανόνα τὸν λέγοντα εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις. εἰ δὲ καὶ ἐν τῷ ἐμῷ ἐδάφει κτίσῃ τις, δεσπότης γίνομαι τοῦ οἰκήματος, ἐφ' ὅσον ἐν τῷ αὐτῷ καθεστὼς μένει τὸ οἴκημα. ἐὰν γὰρ καταλυθῇ, δύναται ὁ οἰκοδομήσας ἐκδικεῖν τὰς ὕλας. εἰ καὶ —

ε΄.

πιστευθεὶς κακῶς ὠκονόμησεν. Ἐν τῷ αὐτῷ νε΄ κεφ. ὁ τὸ ἀλλότριον διοικῶν κακῶς πιστ. νεμηθεὶς ἀποδίδωσι τὰ αὐτοῦ μετὰ τῶν συνονομένων καὶ παντὸς ἑτέρου. τὰ δὲ δαπανήματα οὐ λαμβάνει. εἰ μὴ ἄρα ἀναγκαῖα εἰσί. τὰ δὲ ἐπ' ὠφελείᾳ δύναται μὴ βλάπτων τὴν ἀρχαίαν ὄψιν ἀφελέσθαι. Ἐν τῷ αὐτῷ ιζ΄ κεφ. ὁ ἀποσύλης λεχθεὶς τῇ αἱρέσει ἀκολουθεῖ τῆς μητρός. οὐχὶ τῇ τύχῃ τοῦ πατρός. σημείωσαι τὸν κανόνα τῆς διατάξεως. Ἐν τῷ αὐτῷ λ΄ κεφ. ἡ περὶ τῆς δεσποτείας τῶν δούλων ἀπόδειξις. εἰ μὴ δύναται διὰ συμβολαίων ἀποδειχθῆναι, καὶ διὰ τῶν ἑτέρων τινῶν ἀποδείκνυται. ἢ καὶ αὐτῶν τῶν οἰκετῶν ἐρωτωμένων. Ἐν τῷ αὐτῷ λα΄ κεφ. ὁ κακῇ πίστει σπείρας ἢ φυτεύσας τὸν ἀλλότριον ἀγρὸν, ἀπόλλυσι καὶ τὰ φυτὰ καὶ τὸν σπόρον. δεσπότης γὰρ τοῦ ἐδάφους οὐ γίνεται. ὁ δὲ καλῇ πίστει τοῦτο ποιήσας, διὰ δόλου περιγραφῆς λαμβάνει τὰ δαπανήματα. Ἐν τῷ αὐτῷ ρ΄ κεφ. ὁ λέγων τὸ ἀλλότριον οἰκεῖον πρᾶγμα αὐτοῦ διακατέχειν, οὐχ αὐτὸς τὸν δοῦλον ὀφείλει κινεῖν. ἀλλὰ ἐγὼ τὸν δεσπότην. Ἐν τῷ αὐτῷ ρι΄ κεφ. ἐάν τινες κλέψαντες ἢ ἄλλως ἀφηρημένοι πωλήσωσι τὸ ἀλλότριον, ὁ δεσπότης κινῶν τὴν ἐπὶ αὐτῷ ἀγωγὴν, οὐκ ἀναγκάζεται δοῦναι τὸ τοῦ πράγματος τίμημα. Ἐν τῷ αὐτῷ ρε΄ κεφ. ὁ τοῦ ἀλλοτρίου πράγματος ἢ δημοσίᾳ διδοὺς ἢ ἄλλα τινὰ ἐξ ἔθους καταβάλλων, μὴ γινομένης πράσεως. οὐ κτᾶται τὴν δεσποτείαν. ἀνάγνωθι καὶ τὰ εἰρημένα εἰς τὸ περὶ ἀγωγῆς τὸ ἴδιον ἐκδικοῦντι :—



Περὶ ἐκκλήτου. καὶ τίνες δύνανται. καὶ ποίων τῶν ἀποφάσεων οὐχ ὑπόκεινται ἐκκλήτῳ. καὶ περὶ διαφόρων προθεσμιῶν τῆς ἐκκλήτου. καὶ ὅτι τίνων τὲς οὐκ ἐκκαλεῖται. ἀνάγνωθι θ΄ τ΄ α΄. Ἰουστίνος ἐνταῦθα κεφ. φη΄ :—

Τὴν ἀδικίαν καὶ τὴν ἀπειρίαν τοῦ δικάζοντος, ἐπανορθοῦται ἡ ἔκκλητος. καὶ μάλιστα συμβαίνει μὴ πάντοτε τοὺς ὕστερον ὀρθῶς ψηφίζεσθαι. Ἐν τῷ αὐτῷ β΄ κεφ. εἰ ὁ βασιλεὺς διὰ ἀναφορᾶς ἄρχοντος ὁρίσει τὴν τιμὴν, ἔξεστιν ἐκκαλεῖσθαι. εἰ δὲ καὶ διαγνῶσει ὁ ἄρχων, ὅτι μέλλει ἀναφέρειν βασιλεῖ, οὐκ ἔστι τῆς ἀναφορᾶς ἐκκαλεῖσθαι δεῖ. ἀλλὰ ἐπὶ τὴν ἀντιγραφὴν. ὁ λίβελλος τῆς ἐκκλήτου ὀφείλει ἔχειν τὸ ὄνομα τοῦ ἐκκαλεσαμένου καὶ τοῦ δικαστοῦ καθ' οὗ ἐκκαλεῖται. καὶ ἐκ ποίας ἀποφάσεως. Ἐν τῷ αὐτῷ γ΄ κεφ. ἀρκεῖ δὲ τὸ ἐν τοῖς πεπραγμένοις εἰπεῖν ἐκκαλοῦμαι. οὐδὲν δὲ βλάπτει τὸ μὴ ἐξειπεῖν τὸ ὄνομα τοῦ ἀντιδίκου. Ἐν τῷ αὐτῷ δ΄ κεφ. ἑτέρου δικαζομένου, ἕτερος ἐκκαλεῖσθαι δύναται ἐὰν αὐτῷ διαφέρει, ὡς ἐπὶ ἀγοραστοῦ καὶ πράτου. ὁ πράτης γὰρ αὐτῶν δικασάμενος μὴ ἐκκαλεσάμενος, δύναται ὁ ἄλλος ἐκκαλεῖσθαι. εἰ δὲ καὶ ἐκκαλέσηται ὁ πράτης δικασάμενος, ὕποπτος μέν ἐστι, δύναται ὁ ἀγοραστὴς διεκδικεῖν τὴν ὑπόθεσιν. ὡσανεὶ αὐτὸς ἐξεκαλέσατο. τὰ αὐτὰ καὶ περὶ δανειστοῦ καὶ χρεώστου δικαζομένου πρὸς ἄλλον ἐπὶ τῷ ἐνεχύρῳ. Ἐν τῷ αὐτῷ η΄ κεφ. ὁ ἐκκαλεσάμενος ἐὰν ὑβρίσῃ τὸν ψηφι-

Ἐπὶ δούλων καὶ τοκετοῦ αὐτῶν :—

Ἐὰν κατὰ πλάνην ἑτέρου ἀνθ' ἑτέρου δικαστὴν ἐπικαλέσηται ὁ ἐκκαλεσάμενος, ἢ εἰς ἥττονα ἐκκαλέσηται ἢ εἰς μείζονα, ἢ ἴσον, οὐ βλάπτεται. ἀλλὰ ὁ προσφορὸς σκοπεῖ τὴν ἔκκλητον :—

Εἰ ἔτυχε πρὸ τοῦ τῆς δίκης ὁ δανειστὴς ἀπὸ τοῦ χρεώστου γνωρίσαι τὸ πρᾶγμα :—

\+ Εἰ δὲ πολλοὶ τὴν αὐτὴν ὑπέλθωσι δίκην, ἑνὸς τῶν νικηθέντων ὁ ἐκκαλεσάμενος, κατὰ πάντων ἐκκαλεῖσθαι δοκεῖ. εἰ δὲ τουναντίον ἐκ πολλῶν τῶν πληθύντων τὰ ὀνόματα τῇ ἐκκλήτῳ ἐγγραφῇ ... καὶ οἱ ἄλλοι δοκοῦσιν ἐκκαλεῖσθαι. εἰ δέ τις αἰτίᾳ συμφωνίας, δίχα ἐκκαλεῖται, δύναται καὶ ἕτερα αἰτία τὴν ἔκκλητον ἐκκαλέσασθαι :—

βαλλομένου, ἐκπίπτει. Ἐν τῷ ιαʹ κεφ. Ἐὰν ὁ ἐκκαλεσάμενος ἀνάγκῃ τοῦ δικαστοῦ καταβάλῃ τὰ τῆς ψήφου, νικῶν τὴν ἔκκλητον ἀναλαμβάνει τὰ δοθέντα. Ἐν τῷ κϛʹ κεφ. Ἐπίτροπος ἢ κουράτωρ ἢ ἀλλοτρίου πράγματος διοικητής, ἐὰν ἐκκαλεσάμενος ἀνάγκῃ τοῦ δικαστοῦ καταβάλῃ τὰ τῆς ψήφου, νικῶν τὴν ἔκκλητον ἀναλαμβάνει τὰ δοθέντα. Πρὶν ἢ κινήσῃ τὴν δίκην, καὶ τοῦ μέσου καιροῦ δίδωσι τόκους. Ἐν τῷ κηʹ κεφ. Κατὰ ψήφου βασιλέως ἢ συγκλήτου, οὐ δίδοται ἔκκλητος. Οὔτε ὁ πρὸ ψήφου καταθέμενος μὴ ἐκκαλεῖσθαι, δύναται ἐκκαλεῖσθαι. Ἐν τῷ λϛʹ κεφ. θέμ. γʹ. Ἀπὸ τῆς ἀναγνώσεως τῆς ψήφου αἱ δέκα ἡμέραι τῆς ἐκκλήτου ἀριθμοῦνται. Τὰ δὲ τῶν δέκα ἡμερῶν παραφυλάττεται. Καὶ ἐὰν ἡ ψῆφος μὴ οὐκ ἐκφωνῆται, μετὰ δέξεται ἐκκλήτου. Ἐν τῷ λεʹ κεφ. Ὁ κινήσας ὡς ὕποπτος κατηγορηθεὶς καὶ ἡττηθείς, ἐντὸς ιʹ ἡμερῶν ἐκκαλεῖται. Ἐν τῷ ναʹ κεφ. Ὁ ἐκκαλεσάμενος δικαστήν, οὐ δύναται ἐφ' ἑτέραις δίκαις αὐτὸν ὡς ἐχθρὸν λαβὼν παραιτεῖσθαι. Πάλιν παρ' αὐτοῦ ἐκκαλεῖσθαι δύναται. Ἐν τῷ ξγʹ κεφ. ἡ παρὰ θ. ὁ νόμιμον τὸ κείμενον καὶ ἐν τοῖς πρώτοις. Ὅτε κατὰ ἀποφάσεως ἐπάρχου πραιτωρίων ἔκκλητον οὐδεὶς ἐπιδίδωσι. Δύναται δὲ βασιλέως ἐπιδεηθῆναι καὶ μέμψασθαι τὴν ἀπόφασιν. Καὶ τὰ μέγιστα ὑπὲρ πόλεως ἡ ἀπόφασις γίνεται. Μόνον δὲ ἐντὸς δεκαίας δύναταί τις περὶ τῆς ἀποφάσεως δεηθῆναι βασιλέως, οὐχὶ παρ' ἑτέρῳ. Ἐν τῷ οαʹ κεφ. Μὴ δὲ μὴ πρὸ κατάρξεως ἐξέστω τινὶ παραιτεῖσθαι τὸν δικαστήν, μηδὲ πρὸ ἀποφάσεως ἐξέστω τινὶ ἐκκαλεῖσθαι. Ἐν τῷ ρκγʹ κεφ. ἡ παρὰ Κῶδ. Ἐὰν ἡ δίκη ἐφ' ᾗ δεῖ πραχθῆναι τὴν παρ' ... ἔκκλητον, μὴ ὑπερβαίνῃ τὰς δέκα λίτρας, μὴ ὡς πρότερον δύο δικασταὶ τὸ πρᾶγμα κρίνωσιν, ἀλλὰ μόνον εἷς. Ἐὰν δὲ ὑπερβαίνῃ τὰς ιʹ λίτρας ἢ δέκα, τὸ ἵνα βʹ ὦσι δικασταὶ ἐπὶ σουλαρίων ὑπηρετούντων. Ἐὰν μὴ τὸ διάφορον εὐθύνουσιν οἱ βʹ δικασταὶ πρὸς ἀλλήλους, τότε αὐτοῖς ζωννύναι τὸν κοιαίστωρα. Ἐὰν δὲ ὑπερβαίνῃ τὰς κʹ λίτρας ἡ δίκη, τότε κινεῖσθαι αὐτὴν ἐπὶ κοινῆς ἀκροάσεως πάντων τῶν συγκλητικῶν. Ἵνα ἐξέσται καὶ τῷ νικηθέντι ἐν τῷ προτέρῳ δικαστηρίῳ, ἐξεῖναι παραιτεῖσθαι ἕνα ἢ τοῖς δυσὶ δικασταῖς ἢ πᾶσι τοῖς συγκλητικοῖς τὴν ἔκκλητον ἐντὸς δεκαίας. Καὶ μηδὲ μιᾷ ἐκκλήτῳ ἀναρτᾶσθαι τὰ παρ' αὐτοῖς κρινόμενα. Ὥσπερ οὐδὲ αἱ παρὰ βασιλέως προστιθέμεναι ἐξετάσεις ἀναψηλαφῶνται. Ἐν τῷ ρκϛʹ κεφ. Ἐάν τις ἐπιδῷ ἔκκλητον ἢ ἄρχοντι ἢ τινὶ περιβλέπτῳ δικαστῇ, ἓξ μῆνας ἐχέτω προθεσμίαν. Ἐὰν δὲ μὴ καταβάλῃ ἐντὸς τῶν ἓξ μηνῶν, ἐχέτω καὶ ἄλλας λʹ ἡμέρ. Εἰ δὲ ἐκκλήτος τοῦ τούτου χρόνου, ἐχέτω καὶ ἄλλας λʹ ἡμέρας. Καὶ πάλιν ἐκπεσών, ἐχέτω ἄλλην λʹ ἡμέ. Ἐὰν δὲ ἐκπέσῃ τούτων τῶν χρόνων, τότε πάλιν ἕως ἄλλων γʹ μηνῶν προσεργάσθω ἡμῶν. Καὶ αὐτῷ ἀνάγνωσιν τῆς ἐκκλήτου. Καὶ δοθήσεται αὐτῷ τὸ προσεκτισμένον.

ε'.

κηρύξεως αὐτῷ, μὴ δίδοσθαι ἑτέρου ἑξαμηνιαίου χρόνου· ἀλλὰ μόνον τριμήνου τοῦ
ἄπαξ καὶ ἀριθμουμένων. ἐξ οὗ παρῆλθεν ὁ δ' χρόνος. ἐὰν δὲ ἐκδοθῇ δικαστὴς ἢ παρὰ
τῶν ὑπάρχων ἢ παρὰ τοῦ μαγίστρου· ἢ παρ' ἑτέρου τινὸς τῶν ἰλλουστρίων ἀρχόντων ἐν
ταύτῃ τῇ ἐνδόξῳ πόλει, καὶ γένηται ἔκκλητος κατὰ τῆς ἀποφάσεως αὐτοῦ· ἡ τῆς πρώτης κυ-
ρία ἔστω τριμήνου· αἱ δὲ ἄλλαι τρεῖς κατὰ μίμησιν τῶν προειρημένων κυρίων ἀριθμεί-
σθωσαν. ὁμοίως καὶ ἐπὶ τοῦ δοθέντος δικαστοῦ. Θ. γ'. β'. ρμζ' κεφ. ἡ διάταξις κηρύττει μη-
δέποτε ὑπὲρ τοῦ χρόνου τοῦ ὡρισμένου τὰς περὶ ζητήσεις ἐκκλήτους γίνεσθαι· μήτε
τοὺς δικαστὰς ἐπιδοῦναι ἢ θείου προσιόντα παρὰ βασιλέως γράμματα· μήτε ἑτέρῳ πράγ-
ματι· ἀλλὰ παντὶ τρόπῳ σπουδάζειν ἕκαστον ἐμφανίζειν τὴν ἰδίαν ἔκκλητον. καὶ τὰ
πεπραγμένα ἐν τῷ δικαστηρίῳ ἐκείνῳ καθ' οὗ ἐξεκαλέσατο δίδοσθαι· ἢ παρεχόμενα·
ἢ σωματικώτερον πάντως τοῦ ἡμίσεως χρόνου τῆς ἐκκλήτου. δηλονότι ὁ παρελθὼν τοῦ
χρόνου τοῦτον ζημιωθήσεται. Θ. δ'. β'. ρκη'. τῆς ἐκκλήτου γυμναζομένης ἐξουσία ἀ-
νέῳκται πρὸς τῷ ἑκατέρῳ μέρει καιναῖς χρήσασθαι δικαιολογίαις. καὶ αἷς οὐκ ἐ-
χρήσατο ἐν τῷ προτέρῳ δικαστηρίῳ καὶ παραγραφαῖς. ἐὰν μόνον εἰς κεφ. τὸ ὅσον ἢ
δὴ κινηθεῖσαι ἐν τῷ προτέρῳ δικαστηρίῳ. ἡ διάταξις κηρύττει· ἵνα ἐκ τῆς ἐξ αἰγύπτου· ἢ λι-
βύης ἢ ἀνατολῆς· ἕως τῶν κιλικίων ἀριθμουμένης· ἢ ἀπὸ ἀρμενίας ἢ τοῦ ἰλλυ-
ρικοῦ ἐκκλήτους προσενεχθῆναι· ἔχωσιν οἱ ἐκκαλεσάμενοι τὴν ἀρχαίαν ἑξάμηνον.
ἐὰν δὲ ἀπὸ ἀσίας ἢ τῆς ποντικῆς· ἢ τῆς θρᾴκης ἐνάγηται ἔκκλητος· τριμήνου προθεσ-
μίαν δίδωσι τοῖς ἐκκαλεσαμένοις. ἀκολουθοῦσι καὶ τῶν ἄλλων τριμήνου· ὅτε
τοῖς τισὶ μησὶν ὅτε τῇ ἑξαμήνῳ· ὁμοίως δὲ καὶ τῶν τριμήνου τῆς προτρεπτικῆς.
βούλεται δὲ καὶ τὰς κυρίας εἶναι, μὴ πάντως αὐτὰς τὰς ἡμέρας ἐν αἷς ὁ χρόνος συμ-
πληροῦται· ἀλλὰ ἡμέρας αὐτὰς πρὸ τῆς κυριακῆς καὶ αὐτήν. καὶ ἄλλας ε'. ἴσως περι-
πλανᾶται περὶ τὴν ψῆφον τῶν ἡμερῶν. καὶ ἐνθάδε ἐὰν δὲ ἀριθμῆται μίαν κυρίας ἡμέρ.
ἡμέρας παρέχουσα, καὶ τὴν αἰτίαν τῆς ἐκκλήτου ἐν ταύταις κηρύξεως ξενοχωρεῖσθαι. δυ-
ναμένου βούλεται τοῦ ἑνὸς μέρους τοῦ νικῶντος, ἐν τῷ κατὰ χώραν δικαστηρίῳ. καὶ
σωματικώτερον τὴν δίκην ἐξετάζειν· καὶ λοιπὸν παρακινεῖσθαι τὴν δίκην λελυμένης
τῆς δίκης. καὶ τοῦ ἑνὸς μέρους τοῦ τὴν ἔκκλητον δεδωκότος ἀπολιμπανομένου.
Θ. δ'. β'. ρμα'. ἐὰν τελευτήσῃ ὁ εἷς τῶν ἐκκαλεσαμένων, οἱ κληρονόμοι αὐτοῦ ἑ-
τέρους μῆνας δ' ἔχουσιν. βούλονται γὰρ διασκέψασθαι περὶ τῆς κληρονομίας. καὶ
τότε ἢ καταδέξασθαι καὶ γυμνάσαι τὴν ἔκκλητον· ἢ μὴ καταδέξασθαι. ἂν καὶ τ
Θ. κεφ. γ'. ἐν τῷ οὐ μόνον ὁ πρωτότυπος. ἀλλὰ καὶ ὁ ἐντολεὺς. καὶ ὁ ἐκδική-
της αὐτοῦ. καὶ ὁ κουράτωρ. καὶ ὁ πάτρων. ἕως ἡμερῶν τῆς ἐκφωνηθείσης ψήφου

δεῖσθαι ἐκκλήτου ἐπιδιδόναι. καὶ κεφ. ια τοῦ ϛ΄ τίτ. θεσπίζομεν. ὁσάκις ψῆφος
τῶν ἐνδοξοτάτων ἐπάρχων οἱουδήποτε κλίματος προσενεχθῇ. καὶ εἴς τις ἐκ
τῶν δικαζομένων νομίσει ἑαυτὸν βαρεῖσθαι ἔχειν τὸν τοιοῦτον ἄδειαν διδασκαλι-
κὸν προσφέρειν τοῖς ἐνδοξοτάτοις ὑπάρχοις τοῖς τὴν ψῆφον προαγαγοῦσιν ἢ τοῖς τούτων
συμπόνοις, ἢ τοῖς τὰς δίκας ἐξετάζουσιν. ἐντὸς ἡμερῶν προθεσμίας ιʹ μετὰ τὸ προ-
σενεχθῆναι τὴν ψῆφον. ὥστε τούτου παρακολουθοῦντος, μὴ ἄλλως ἐκβιβασμῷ πα-
ραδίδοσθαι τὴν ψῆφον. εἰ μὴ πρότερον ἐγγύας ἀξιοπίστους παράσχοι ὁ νικήσας μέ-
χρις τῆς ποσότητος. ὅσης ἂν ἡ καταδίκη. ὥστε εἰ μετὰ ταῦτα ἀναψηλαφήσεως
νομίμως τῆς ἐπιπροσιούσης. ἡ ψῆφος ἀνατραπῇ, τὰ πραχθέντα αὐτῶν μετὰ τῶν νομίμων
ἐπαυξήσεως ἀποκαθίστασθαι. εἰ δὲ ἐντὸς τῆς μνημονευθείσης τῶν ἡμερῶν προθεσ-
μίας μετὰ τὸ τὴν ψῆφον προσενεχθῆναι μὴ ἐπιδοίη τὸν λίβελλον, ὁ νομίζων βεβλάφθαι.
κελεύομεν τὸν πράγματος ἐκβιβασμὸν δίχα ἐγγύης προϊέναι τοῦ τῆς ἀναψηλα-
φήσεως δικαίου φυλαττομένου ἐκείνῳ ὅστις ἑαυτὸν βαρεῖσθαι νομίζει. ἐν πά-
σαις δὲ ταῖς ἐκκλήτοις τοῦτο κρατεῖν κελεύομεν. ἵνα ὁσάκις ἐκκλήτου γινομένης ἐντὸς
τοῦ ὡρισμένου χρόνου. ἑκάτερον μέρος τὴν κυρίαν ἡμέραν παραφυλάττειν ἄνευ
προθεσμίας οἱ δικασταί. τότε μετὰ τὰ πεπραγμένα, τότε δὲ τὰ κείμενα ἐξετάζειν
σπουδάζωσι. καὶ μετὰ τῶν νόμων καὶ τοῦ δικαίου ψῆφον διδόναι. εἰ δὲ μόνος ὁ ἐκ-
καλεσάμενος εὑρεθῇ. κελεύομεν τοὺς δικαστὰς ἀναμένειν, μέχρι τῆς τελευταίας κυ-
ρίας. καὶ εἰ ἀναζητηθεὶς ὁ νικήσας μὴ εὑρεθῇ, ἐξεταζομένων τῶν πεπραγμένων
νομίμων διδόναι πέρας. εἰ δὲ μόνος ὁ τὴν νικητικὴν ψῆφον λαβὼν εὑρεθῇ, καὶ ἐπι-
ζητηθεὶς ὁ ἐκκαλούμενος μὴ εὑρεθῇ, ἀναμένειν τοὺς δικαστὰς μὴ μόνον τὴν τελευ-
ταίαν κυρίαν. ἀλλὰ καὶ τὸν τοῦ ἐξ ἐπιστολῆς χρόνου τουτέστι τοὺς ἓξ μῆνας. καὶ
εἰ μὴ τηνικαῦτα ὁ ἐκκαλούμενος εὑρεθῇ. μηκέτι τῇ τοῦ χρόνου παραδρομῇ κυροῦ-
σθαι τὴν ψῆφον. ἀλλὰ καὶ ἐκ μιᾶς μοίρας τοὺς δικαστὰς ἐξετάζειν. τότε μετὰ τὰ
πεπραγμένα τότε δὲ τὰ κείμενα. καὶ εἰ μὲν ὀρθῶς τὴν ψῆφον δεδομένην εὕροι,
ταύτην βεβαιοῦν. εἰ δέ τι παρεώραται. τοῦτο διορθοῦσθαι καὶ νόμιμον διδόναι ψῆ-
φον. ἐν δὲ τῷ η΄ κεφ. θεσπίζομεν μηδὲν βλάπτειν τὸν ἐφέντα τῇ τοῦ χρόνου παραδρο-
περὶ δικ. μῇ. μηδεμίαν κυρίαν εἶναι τὴν τοῦ δικαστοῦ ψῆφον ἅπαξ ἐκκληθεῖσαν. ἀλλὰ καὶ προ-
σεξετασθῆναι παρὰ τοῦ τῆς ἐνδοξότητος. καὶ πέρας νόμιμον δέξασθαι. καὶ εἰ μυρια-
κις τέως τῆς δεκαετίας χρόνος παρέδραμεν ἢ καὶ παραδράμοι. τὸ λοιπὸν δὲ ἐπὶ πά-
σης ὑποθέσεως ἐφ᾽ ἧς τοιοῦτόν τι γένηται καὶ ἐν μέσῳ κινουμένης τῆς δίκης παρὰ τῷ
ἐφέτῃ δικαστῇ ἢ καὶ κινουμένης τινὲς εὑρεθῶσιν ἔπεσι. καὶ διὰ τοῦτο ἡ δεκαετία πα-

ἤτοι τῆς ἐντὸς ἐξαμήνου τὰς ἐφέσεις τὴν δίκην τεμεῖν· καὶ καθ᾽ οἱανδήποτε περιστάσει
ὑπερτεθῇ ἤτοι πάλιν ἐπὶ τὰς ἐφέσεις ἡ δίκη· τοῖς μὲν ἄλλοις πᾶσιν, ἐξέστω χρῆσθαι τοῖς
μέρεσιν ὡς αὐτοὶ μὴ ἔτυχον ἀπολιπόντες τὸ ἐφετικὸν δικαστήριον· ἐπὶ δὲ τοὺς αἱρε-
τοὺς ἤθουν· μὴ μέντοι δύνασθαι χρῆσθαι τὴν δεκάταν (?) παραδραμεῖν· ὁ γὰρ ἅπαξ δικά-
σας ἄλλους γενόμενος, οὐκ ἂν εἴη δίκαιος σιωπὴν ἐπάγειν τὸν διὰ τοῦτο ἀδικηθέντα· διότι
τοῖς περὶ τῆς αἱρέσεως τῶν δικαστῶν γενομένοις ἐπίσημε. καὶ διὰ τοῦτο οὐκ ἐπεξῆλθεν· οὐ
γὰρ ἐπλήρωσε τὴν δίκην ἐκεῖνος, διὰ τὸ πολλὰ τοῖς δικασταῖς ἐκείνοις ἀγωνιασθῆναι τὴν ὑ-
πόθεσιν· εἰ μέντοι καὶ μετὰ τὸ ἀπολειφθῆναι τῶν αἱρετῶν δικαστῶν· διέλθῃ προθεσμία ἤτοι χρό-
νοις· τηνικαῦτα ἐρρῶσθαι τὴν ψῆφον. καὶ τὰς περὶ τούτου γενομένας πρὶν ἢ μετὰ διαλέξεις.
Ἐν δὲ τῷ ιβ΄ κεφ. ἅπαξ δὲ τῆς ἐφεσίμου δίκης ἐν ταῖς ἐμπροθέσμοις ἡμέραις· εἴτε παρ᾽
ἑκατέρου μέρους εἴτε παρὰ τοῦ ἑνὸς ἐλαφθείσης· μηκέτι τὴν τοῦ δευτέρου χρόνου παραδρο-
μὴν τοῦ λοιποῦ βεβαιοῦσθαι τὴν ψῆφον· ἀλλὰ τῆς ἀληθείας καὶ τοῦ δικαίου σκοπουμένου.
πρὸς ταῖς τοιαύταις ὑποθέσεσι δίδοσθαι νόμιμον· εἴτε τοῦ ἑνὸς· εἴτε ἑκατέρου μέρους
παρόντος. καὶ διὰ τοῦτο καθόλου ἐν ταῖς τοιαύταις ὑποθέσεσι μηκέτι καθάπαξ μέχρι τοῦ
παρόντος ἐκράτει ἐς τὴν πρώτην ἔκκλητον πάσας τὰς διαγνώσεις ἀναφέρεσθαι· ἀλλὰ
μίαν ἑκάστην τὴν ἰδίαν ἡμέραν ἔχειν περιγεγραμμένην· ἀν. καὶ τ. γ΄ κε. νβ΄ ἐν τῷ φ.
κατὰ ἀνήβου ἀποφάσεως ἐκκλήτου ἢ τοῦ πολιτευομένου ἀπό τινος ἢ ἀφήλικος· ἔκκλητος οὐκ
ἔρρωται· καὶ κε. νε΄ ἐν τῷ φ. μετὰ ψῆφον ἢ ὅρκου δόσιν ἢ συνάλλαξιν· οὐδὲν ζητεῖ-
ται· οἱ γὰρ ὁμολογοῦντες, αὐτίκα κατακειμένων εἰσί: —

ἀν. καὶ β΄ ζ΄ τ. α΄ κε. ε΄ ὅπερ ἐστὶν τ. ιβ΄ ν. κε. α΄ ἐν τῷ φ. μὴ ἐκκαλεῖσθαι τετράκις: —

ι΄

## Περὶ ἐκκλησιῶν καὶ τῶν προνομιῶν αὐτῶν καὶ κανόνων· καὶ περὶ ἀριθμοῦ τῶν κληρικῶν αὐτῶν. καὶ μάλιστα τῆς μεγάλης ἐκκλησίας· καὶ περὶ τῆς θείας λειτουργίας· ὅπως ὀφείλει τελεῖσθαι· καὶ περὶ τῶν κατασκευαζόντων εὐκτήριον ἢ ἕτερον σεβάσμιον οἶκον. ἀν. β΄ τ. α΄ κε. ις΄ ἕως λε΄ καὶ μγ΄. ἀν. καὶ τ. β΄ καὶ τ. γ΄. οὕτως ἐν τῷ α΄ κε. φ.: —

Θεσπίζομεν ἐπὶ πάντων τῶν ἁγιωτάτων ἐκκλησιῶν. ἐν αὐτῇ ἡ ἁγιωτάτη μεγάλη ἐκκλησία
τὴν διοίκησιν καὶ τὰς δαπάνας ἔχει· συμβαίη πρεσβυτέρου ἢ διακόνου ἢ ἀναγνώστου
ἢ ψάλτην τελευτῆσαι· μὴ ἕτερον δεχθῆναι ἕως ἐπὶ ἐκεῖ· ἀλλὰ σκοπεῖν πόσοι εἰσί τινι
κατὰ τὸ μέτρον, τῶν ἐκεῖσε λειτουργούντων εὐλαβεστάτων κληρικῶν, ἢ ἐλάττω ἢ μείζων.
ἀλλ᾽ εἰ πλεονάζουσιν ὄντι πρὸς τὸν ἀναγκαῖον ὡρισμένον καὶ τὸν καλούμενον στατόν.
μηδένα γίνεσθαι ἀλλ᾽ αὐτοῦ ὑστερούντων· μέχρις ἂν ὁ ἀριθμὸς εἰς ἑαυτὸν ἀποκατα-
σταθῇ. ἀν. καὶ τ. δ΄ διαλαμβάνει γὰρ περὶ κληρικῶν. ἀν. καὶ β΄ ε΄ τ. α΄. οὕτως ἐν τῷ
ε΄ κε. φ. μηδεὶς ἐν ἐκκλησίᾳ θαπτέτω νεκρόν. ἐν δὲ τῷ η΄ κε. ὁ συστησάμενος δέ οἱ

ἀν. καὶ κε. ιη΄ ἐν τῷ φ. περὶ τῆς ἐκκλησίας Ῥώμης τοῦ ἔχειν αὐτὴν τὴν τῶν ρ΄ χρόνων παραγραφήν. ἀν. καὶ κε. μγ΄ ἐν τῇ θ΄ νεαραῖς φ. περὶ τῶν ἐργαστηρίων τῆς μεγάλης ἐκκλησίας περὶ τῶν δωρεῶν ἐν ᾧ περὶ ταφῆς καὶ κηδείας τῶν τελευτώντων. ἀν. καὶ κε. ξζ΄ ἐν τῷ φ. περὶ οἰκοδομουμένων κτιζομένων περὶ τοῦ ἔργου ἐν ᾧ περὶ διαδεχομένων τῶν ἐν τοῖς εὐσεβέσιν αἰτίαις καταλιμπανόντων. ἀν. καὶ ν. ρλα΄ ἐν τῷ φ. καὶ περὶ ἐκκλησιαστικῶν κανόνων καὶ προνομίων καὶ ὁ τελευταῖος βοηθ.: —

ἀστικοῦ ἐπὶ τῷ εὐκτήριον οἶκον κτίσασθαι· ἢ ξενῶνα ἢ νοσοκομεῖον, ἐπαιτοῦντο παρὰ τῶν
ἐπισκόπων καὶ οἰκονόμων τὰ ὑποδειχθέντα, διοικούμενα μέντοι κατὰ τὸ δόκησιν αὐτῶν.
ἀνάγνωθι καὶ τὸ β΄ τοῦ θ΄ τίτλου κγ΄ κεφ. παρὰ τὰ αὐτὰ προσήκουσα τῷ οἴκῳ· εἴτε προσ-
τικὰ εἴτε ὑποθηκαῖα ἐστίν, οὐχ ὑπερβαίνει τὰ με΄ ἔτη. τὰ ἁρμόζοντα ἑκάστῳ οἴκῳ βιοῦ-
τα τὰ τεσσαράκοντα προσκαίρων παραγραφῶν· φυλαττομένων μέντοι τῶν οἰκείων χρόνων.
ἀνάγνωθι καὶ τὸ γ΄ τοῦ θ΄ τίτλου α΄ κεφ. θεσπίζομεν τὴν τῶν νόμων τάξιν ἐπέχειν τοὺς ἁγί-
ους ἐκκλησιαστικοὺς κανόνας, τοὺς ὑπὸ τῶν ἁγίων ζ΄ συνόδων τεθέντας ἢ βεβαιωθέντας:



ια΄

ἀνάγνωθι καὶ ν΄ ζ΄ καὶ μ΄ καὶ με΄ καὶ να΄ καὶ νε΄ καὶ ξζ΄ κεφ. καὶ ρκ΄. ἐν τῇ να΄ ... κεφ. περὶ τῆς ἀνταλλαγῆς:

Περὶ ἐκκλησιῶν καὶ περὶ ποιμένων τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ ἐμφύ-
τευσιν ἢ καὶ ἐκμίσθωσιν ἢ καθ' ἕτερον τρόπον γινομένων, ἀπό τε ἐκκλησι-
ῶν ἢ μοναστηρίων, καὶ λοιπῶν σεβασμίων οἴκων. ἀνάγνωθι β΄ τοῦ ε΄ τίτλου α΄ κεφ. ιβ΄ ἐν τῷ φ.:

Εἰ μέντοι ἐκκλησίαις ἢ μοναστηρίοις κτήσεις τινὲς προσήκουσαι εὑρεθεῖεν, οἱ διοικηταὶ
τῶν αὐτῶν σεβασμίων οἴκων εἰς μίσθωσιν ἢ ἐμφύτευσιν ταύτας λαβεῖν. τινὶ καὶ ταῦτα παντελῶς τῶν
μοναχῶν καὶ τῶν κληρικῶν ὑπὲρ τοῦ βιούντων αὐτῶν ἢ ἐν αὐτοῖς τῷ συμβολαίῳ ἢ ἐπὶ
πράξεως ὑπομνημάτων· καὶ συναινούντων καὶ φανερούντων ὑπὲρ τὸ συμφέρον τοῖς
τοῖς εὐαγέσιν οἴκοις τοῦτο γίνεσθαι τὴν τοιαύτην μίσθωσιν καὶ ἐμφύτευσιν προεῖναι συγ-
χωροῦμεν. ἀλλὰ καὶ αὐταῖς ταῖς ἁγιωτάταις ἐκκλησίαις. καὶ τοῖς ἄλλοις σεπτοῖς οἴ-
κοις δίδομεν ἄδειαν μισθώσεις καὶ ἐμφυτεύσεις πρὸς ἀλλήλους ποιεῖν. καὶ τοῖς κληρι-
κοῖς ὁμοίως τῶν οἰκείων ἐκκλησιῶν τὰς κτήσεις μισθοῦσθαι καὶ διοικεῖν. γνώμῃ μέν-
τοι τοῦ ἐπισκόπου καὶ τοῦ οἰκονόμου τοῦτο ποιεῖν ἐκελεύσαμεν. ἀνάγνωθι καὶ τὸ ε΄ τοῦ β΄ τίτλου
ἐν τῷ α΄ κεφ. καὶ β΄ κεφ. θεσπίζομεν μηδεμίαν ἄδειαν ἔχειν τοὺς διοικοῦντας τὰ πράγματα
τὰ τῆς κατὰ τὴν βασιλίδα πόλιν ἁγιωτάτης μεγάλης ἐκκλησίας. ἢ ὀρφανοτροφείου. ἢ ξενο-
δοχείου. ἢ πτωχοτροφείου. ἢ νοσοκομείου. ἢ ἄλλου σεβασμίου οἴκου ἐν τῇ βασιλίδι πόλει
ὄντι. τῆς ταύτης ἐνορίας τυγχάνοντας ἐξηρημένων μόνων τῶν σεβασμίων μοναστηρίων. πιπρά-
σκειν ἢ δωρεῖσθαι ἢ ἀνταλλάττειν. ἢ ἐπὶ ἀντιδώρῳ διδόναι. ἢ οἱῳδήποτε ἄλλῳ τρόπῳ
ποιεῖν πρᾶγμα ἀκίνητον. ἢ πολιτικὴν σίτησιν. ἢ γεωργικὸν ἀνδράποδον. εἰ μὴ πρὸς βασιλι-
κὸν οἶκον ἡ ἀνταλλαγὴ γένοιτο μόνη. ἀλλ' οὔτε προσωπικῷ δικαίῳ δίδοσθαι συγχωροῦ-
μεν. τὰς δὲ ἐμφυτεύσεις παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλε-
ως καὶ τῶν μνημονευθέντων σεβασμίων οἴκων γίνεσθαι κελεύομεν. ἐπί τε τῷ προσώπῳ αὐ-
τοῦ τοῦ λαμβάνοντος, καὶ ἄλλων δύο ἐφεξῆς κληρονόμων. μὴ πλέον τῆς ἕκτης μοί-
ρας τοῦ ὑφεστῶτος κανόνος συγχωρουμένου, τοῦ τὴν ἐμφύτευσιν κομιζομένου. εἰ
δὲ δ΄ κεφ. ἐνδέχονται ἢ ἐν ἄλλοις τόποις, ἢ τῇ αὐτῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἢ τινὶ τῶν ἐρημένων σεβα-
σμίων οἴκων προσήκοντα. ἐν οἷς παλαιαὶ οἰκήσεις τυγχάνουσι καταπεπτωκυῖαι. ἐξῶν

ὁ

συναιρουμένων ἐξῃρημένων τῶν προσθέτων. ἀνακεφαλαίωσις ἑτέρου νόμου

ε

οὐδεμία ἐπέρχεται πρόσοδος. οἱ δὲ μνημονευθέντες εὐαγεῖς οἶκοι, οἷς διαφέρουσιν οἱ τόποι, τούτους ἀνοικοδομεῖσθαι μὴ δύνανται. ἄδειαν δίδομεν τοῖς τούτων διοικηταῖς, ἐπὶ ἐμφυτεύσεως δικαίῳ ἐκδιδόναι τοὺς αὐτοὺς τόπους. οὕτω μέντοι, ὥστε τὸν ἐμφυτεύοντα ἢ ἐπὶ τελείᾳ μοίρᾳ τῶν ἐξονομιῶν(?). ἅτινα ἐκ τῶν οἰκημάτων ἐξ ἑτέρων ζώντων(?), ἐκ προοιμίων τοῦ χρόνου τοῦ ἐμφυτεύματος προϊέναι. ἢ ἐπὶ τὸ ἐμφυτευτὴς βουληθῇ μᾶλλον ἐπὶ τούτῳ τῷ ὅρῳ λαβεῖν τοὺς τόπους. ὥστε πρότερον ἀνοικοδομεῖσθαι καὶ ἐκ τῶν προσγινομένων ἐκεῖσε διατιθεμένων(?) ἐνοικίων, τὸ ἥμισυ μέρος διδόναι τῷ εὐαγεῖ οἴκῳ ἐξ οὗ τοὺς αὐτοὺς τόπους λαμβάνει. κεκτῆσθαι δὲ τὸν τοιοῦτον ἐμφυτευτήν. καὶ ταῖς ἐκεῖσε εἰσκομιζομέναις τῶν καταπεσόντων(?) οἰκημάτων ὕλαις. Ἐν τῷ δὲ ε΄ κεφ. τὰς μεταθέσεις δὲ τῶν αὐτῶν εὐαγῶν γίνεσθαι συγχωροῦμεν. ἴσοις δὲ τοῖς συναλλάττουσιν ἐν αὐτοῖς συναρέσει μὴ ὑπερβαινούσας δηλαδὴ τὸν εἰκοσιταετῆ χρόνον. Ἐν τῷ δὲ ς΄ κεφ. ἐπὶ ταῖς ἄλλαις ἁγιωτάταις ἐκκλησίαις καὶ μοναστηρίοις καὶ ξενῶσι καὶ νοσοκομείοις, καὶ λοιποῖς εὐαγέσιν οἴκοις. τοῖς ἐν ἁπάσαις ταῖς ἐπαρχίαις τῆς ἡμετέρας πολιτείας κειμένοις. οὐ μὴν ἀλλὰ καὶ μοναστηρίοις, ἐν τῇ βασιλίδι πόλει καὶ τῇ αὐτῆς περιοικίδι τυγχάνουσιν, ἀκολούθως δεῖν εἶναι(?) νομίζομεν. ἄδειαν τοίνυν δίδομεν τοῖς εἰρημένοις εὐαγέσιν οἴκοις μὴ μόνον προσκαίρους ἐμφυτεύσεις ποιεῖσθαι τῶν ἀκινήτων πραγμάτων τῶν αὐτοῖς προσηκόντων. ἀλλὰ καὶ διηνεκῶς ταῦτα τῷ ἐμφυτευτικῷ δικαίῳ τοῖς βουλομένοις διδόναι. καὶ εἰ μὲν ἁγιώταται εἶεν(?) ἐκκλησίαι ἢ ἕτεροι εὐαγεῖς οἶκοι. ὧν τὴν διοίκησιν ὁ κατὰ τόπον ὁσιώτατος ἐπίσκοπος ἢ δι' ἑαυτοῦ ἢ διὰ τοῦ εὐλαβεστάτου αὐτοῦ κλήρου ποιεῖται. κελεύομεν αὐτοῦ καὶ συναινέσει γίνεσθαι τὸ τοιοῦτον συνάλλαγμα. ὀμνυόντων πάντως αὐτοῦ τῶν οἰκονόμων καὶ διοικητῶν καὶ χαρτουλαρίων τοῦ αὐτοῦ εὐαγοῦς οἴκου. ὡς ἐκ ταύτης τῆς ἐμφυτεύσεως, οὐδεμία ζημία τῷ αὐτῷ εὐαγεῖ οἴκῳ ἐπάγεται. εἰ δὲ πτωχεῖα ἢ ξενῶνες ἢ νοσοκομεῖα ἢ ἕτεροι εὐαγεῖς οἶκοι ἰδίαν διοίκησιν ἔχουσιν. εἰ μὲν [illegible] οἴκους εἶναι συμβαίη, κατὰ γνώμην τοῦ πλείονος μέρους τῶν ἐκεῖσε λειτουργούντων κληρικῶν. οὐ μὴν ἀλλὰ καὶ τοῦ οἰκονόμου. εἰ δὲ ξενὼν ἢ πτωχεῖον ἢ νοσοκομεῖον ἢ ἕτερος εὐαγὴς οἶκος, τὸν προεστῶτα τούτων τὸ συνάλλαγμα ποιεῖσθαι. ὀμνυόντων τῶν διοικητῶν τῶν αὐτῶν εὐαγῶν οἴκων ἐνώπιον(?) τοῦ θεοφιλεστάτου ἐπισκόπου, παρ' οὗ προβάλλονται ἢ χειροτονοῦνται. ὡς οὐδὲν πρὸς βλάβην ἢ περιγραφὴν τῶν αὐτῶν εὐαγῶν οἴκων ἐπὶ τῷ τοιούτῳ συναλλάγματι γίνεται. Ἐν τῷ δὲ ι΄ κεφ. [illegible]. περὶ τῶν εὐαγῶν οἴκων. ὥστε τινὲς ἐξ αὐτῶν ὑποδημοσίου(?) ζητήσεως ἢ ἑτέρου ἀναγκαίου χρέους χρῄζοιεν ἐνοχλεῖσθαι(?). καὶ οὐκ ἔστι δυνατὸν ἐκ πραγμάτων κινητῶν διαλυθῆναι τὰ χρέα.

καὶ πρὸς τὴν ἀξίαν δίδοσθαι εἰς ἐνέχυρον ἀκινήτου, ἵνα τοὺς καρποὺς λογίζου μισθὰ
νέσαι εἰς τόκους τοὺς ἀπὸ δεκάδος. καὶ εἰς τὸ κε΄ καὶ ἐμφύτευσιν τοιῷδε τρό-
πῳ τὸ λεχθὲν, ὑπομνήματα γίνεσθαι. καὶ ἐπὶ ἡμῖν περιτρέπεσθαι τοὺς ἀγοράσαι
βουλομένους τὰ ἀκίνητα. ἵνα ὁ πλείω προσφέρων προτιμᾶται. καὶ τὸ τίμημα πᾶσι τό-
ποις ὑπὲρ τοῦ ὀφλήματος δοθῇ. εἰ δὲ μὴ εὑρεθῇ ὁ ἀγοραστὴς. λαμβάνειν τὸν δανει-
στὴν τὸ ἀκίνητον καὶ διαστάσεων διατιμήσεως γινομένης. καὶ προστιθέμενον τῷ τιμή-
ματι τῆς τ΄ μοίρας τοῦ παντὸς τιμήματος. μὴ καὶ ἐπὶ λοιπὴν δίδοσθαι. ἀλλὰ ἐπὶ τῆς
ἰδιότητος. τοῦτο τῶν εὐπόρων. τοῦτο δὲ τῶν ἀπόρων κληρικῶν τῶν θείων οἴκων. ἐπὶ
δὲ τῶν θείων μοναστηρίων τοὺς ἡγουμένους αὐτῶν μετὰ τοῦ πλείονος μέρους τῶν εὐλαβε-
στέρων ἱεροδιακόνων μοναχῶν τὸ συνάλλαγμα ποιεῖσθαι. καὶ ἐπὶ τῶν ἠρημένων δι-
πλαισίων κτήσεων ἐγγράφεσθαι τῷ συμβολαίῳ μεθ' ὅρκου. εἰς οὐ πρὸς βλάβην καὶ
περιγραφὴν τῶν αὐτῶν θείων οἴκων τὸ πρᾶγμα πραττέσθαι. καὶ ταύτης δὲ τῆς
παραφυλακῆς οὕτω προϊούσης. κωλύοντος μὴ πλείονα γίνεσθαι τοῦ ἐκ μέρους
τοῦ προσόδου ἣν ἔχει τὸ εἰς ἐμφύτευσιν διδόμενον πρᾶγμα. ὅσα δὲ περὶ τῶν κατα-
πεπτωκότων οἴκων τῶν προσηκόντων τοῖς θείοις οἴκοις τοῖς ἐν τῇ βασιλίδι πόλει κει-
μένοις ἀνωτέρω διετυπώσαμεν. ταῦτα καὶ ἐπὶ τῶν θείων κρατεῖν προσθήσομεν.
εἰ δὲ τῷ ιε κε΄. ἐπειδὴ δὲ εἰώθασι προσάγειν γίνεσθαι καὶ ἐκποιήσεις μοναστηρίων
ἐπὶ τῷ ταῦτα ἀπὸ ἱερατικοῦ σχήματος εἰς ἰδιωτικὴν διαγωγὴν μεταχηματίζεσθαι.
καὶ τοῦτο πᾶσι τρόποις κωλύομεν. εἰ δέ τι τοιοῦτο γινόμενον εὑρεθῇ. ἄδειαν παρέχο-
μεν τῷ καὶ τῷ τόπου ὁσιωτάτῳ ἐπισκόπῳ, τὸ τοιοῦτον μοναστήριον ἐκδικεῖν. καὶ εἰς τὸ ἀρ-
χαῖον σχῆμα ἐπαναγαγεῖν. εἰ δέ τις ἐκ τῶν ἠρημένων θείων οἴκων, ἤτοι ἐν τῇ βασιλί-
δι πόλει ἤτοι ἐν ταῖς ἐπαρχίαις ὄντων ἐξηρημένως τῆς ἁγιωτάτης ἐκκλησίας τῆς βα-
σιλίδος πόλεως κτῆσιν ἔχοι πολλοῖς δημοσίοις τελέσμασι βεβαρημένην, ἐξῆς
οὐδεμίᾳ ἐγγίγνεται πρόσοδος τῷ θείῳ οἴκῳ. ἄδειαν παρέχομεν τοῖς τοῦ αὐτοῦ θείου
οἴκου διοικηταῖς τὴν τοιαύτην κτῆσιν ἐκποιεῖν. ἐν οἷῳ δή ποτε τρόπῳ βουληθεῖεν πρὸς
τὸ λυσιτελὲς τοῦ αὐτοῦ θείου οἴκου. τοῖς δὲ οἰκονόμοις καὶ διοικηταῖς καὶ χαρτου-
λαρίοις τῶν ὁπουδή ποτε ὄντων θείων οἴκων, καὶ τοῖς αὐτῶν γονεῦσι τε καὶ παι-
σὶ καὶ τοῖς ἄλλοις τοῖς ἢ κατὰ γένος ἢ κατὰ γαμικὸν δίκαιον αὐτοῖς συναπτομένοις, μι-
σθώσεις καὶ ἐμφυτεύσεις ἢ ἀγορασίας ἢ ὑποθήκας πραγμάτων ἀκινήτων τοῖς
αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων ὑπεισιέναι ἢ δι' ἑαυτῶν ἢ διὰ παρενθέτου.
καθὰ καὶ τοῖς ἐν τῇ βασιλίδι οὖσιν ἐπὶ ταῖς αὐταῖς ποιναῖς ἀπαγορεύομεν. ἀνα-
καὶ ὁ κτ θ κε΄ δ καὶ ε ἐν τῷ διατ. εἰδέναι δὲ τοὺς ἐμφυτευτὰς προσήκει ὡς

περὶ τῶν μὴ διδόντων
ἐμφυτευτῶν αὐτῶν

εἴπερ ἐπὶ τριετίαν ἐφεξῆς μὴ καταβάλλει τὸν ἐμφυτευτικὸν κανόνα· τοῦτο γὰρ τὸ χρόνου
αὐτῇ τῆς ἐπὶ τῶν ἄλλων ἀγώγων τελείας· ἀρκεῖ δὲ ἐκπτῶσιν τῶν ἐκκλησιαστικῶν ἢ-
πτωχικῶν ἐμφυτευτῶν ἐξ ἀγνωμοσύνης τῆς διετίας γενέσθαι παντελῶς, ἔξω τοῦ ἐμ-
φυτεύματος· καὶ βουλομένοις τοῖς προεστῶσι τῶν σεβασμίων οἴκων, ἐξέσται τὰ χωρί-
α ἢ τοὺς οἴκους ἀναλαμβάνεσθαι· μηδεμίαν δὲ λαβουμένοις ἐμποιημάτων ἀ-
ποδῶσιν· ἀλλ' ἐπὶ χεῖρον προπεποιηκέναι τὸ χωρίον ἢ τὸ προάστειον ἢ τὴν οἰκίαν ὁ τὴν πεποίηκε
ἐμφύτευσιν δεξάμενος· ἀναγκάζεσθαι αὐτὸν οἴκοθεν τὴν ἐπιμέλειαν καὶ ἀποκατά-
στασιν τῆς ὁμοίως ποιεῖσθαι· καὶ ὑποκεῖσθαι τούτῳ αὐτόν τε καὶ κληρονόμους αὐ-
τοῦ καὶ διαδόχους· καὶ τὰ αὐτοῦ πράγματα, πρὸς τὸ καὶ τὴν ὀφειλομένην παρὰ
περιόδου ἀνυπερθέτως εἰσπράττεσθαι :—

Περὶ ἐκλήπτορων καὶ ἐμποιημάτων τῶν κατὰ πρᾶσιν ἢ δωρεὰν ἢ ἐμφύτευ- ιϛ'
σιν ἢ ἐκμίσθωσιν ἢ καθ' ἕτερον τρόπον γινομένων, ἀπό τε τοῦ δημοσίου
καὶ τῆς πόλεως, καὶ τῶν πατριμωνιαλίων ἤτοι ἰδιοκτήτων τοῦ βασιλέως
καὶ ταμιακῶν· ἀνάγνωθι βιβ. ιε' τιτ. γ'. οὗτινος ἐν τῷ α' κεφ. φι :—

Οἱ δημοσίως μισθούμενοι παρὰ πόλεως καὶ οὐκ ἐκ μισθοῦ ἀφαιρεθῆναι τῶν λαβόντων ἢ-
τῶν ἐκποιησάντων τὸν τόπον αὐτῶν· (ἐφ' ὅσον τὸ τέλος διδόασιν ἐμφυτευτικοὶ κρατοῦσι)
καὶ ἔχουσιν οἱ λαβόντες αὐτοὺς ἐπὶ αὐτοῖς ἀγωγὴν κατὰ παντὸς νομέως καὶ τῆς πό-
λεως καὶ εἰ μὴ δεσπόζωσιν, ἐὰν μέντοι τὸ τέλος καταβάλλωσιν· ἀνάγνωθι καὶ β' ν' τ' ι'.
ὅστις προγράφεται ἐν τῷ περὶ δεσπότας· ἀνάγνωθι καὶ β' νε' τ' ιβ' κεφ. ξ' καὶ τ' ι' οὗτινος
ἐν τῷ α' κεφ. φι. οἱ τὰ πατριμωνιάλια ὠνούμενοι καὶ τὰ ἱερατικὰ χωρία, τιμὰς δε-
δωκότες, ἀναφαίρετον ἐχέτωσαν τὴν δεσποτείαν αὐτῶν. ἐάν τινες ἢ κατὰ δωρεὰν ἢ κατὰ
πρᾶσιν ἢ καθ' ἕτερον τρόπον οἴκους ἢ ἐργαστήρια πολιτικὰ ἔλαβον· καὶ μάλιστα
Κωνσταντινουπόλεως, ἢ ἀγωνοθετικὰ ἀπὸ τῆς ὑπατείας Ἀβινίου καὶ Ὀλυβρίου
ἀφαιρείσθω τοῦ κανόνος· παρεχέτωσαν τὸ λοιπόν, τὸν ἐπικείμενον αὐτοῖς ἐξ ἀρχῆς
κανόνα. εἰ γὰρ τοὺς ἰδιώτας οὐ βουλόμεθα ζημιοῦσθαι, πολλῷ μᾶλλον τὰς πόλεις· ἐ-
χέτωσαν βεβαίαν ἐπὶ αὐτοῖς δεσποτείαν· ἀνάγνωθι καὶ τ' ια' κεφ. α'. καὶ β' ν' ϛ' τ' α' κεφ.
ξ' θέμα ἐν τῷ φι. Οἱ δὲ τὸ δημοσίως μισθωθέντες δημόσιοι ἀγροί, χωρὶς κελεύσεως
βασιλικῆς οὐκ ἀφαιροῦνται· ἀνάγνωθι καὶ τ' ια' οὗτινος ἐν τῷ ζ' κεφ. φι. εἴ τις δήποτε
ἰδιόκτητον τοῦ βασιλέως ἀγρὸν ἄπορον λαβὼν ἐθελοκτήσει, ἐχέτω τοῦτον διηνε-
κῶς ὡς ἰδιόκτητον παρέχων τὸ τέλος· καὶ παραπεμπέτω αὐτὸν καὶ εἰς διαδόχους.
εἰ δὲ συντελῆ ἦσαν ἢ νῦν λάβῃ, ἐπιγνώσεται καὶ ἄπορα· εἰ δὲ μέτοχον, κατὰ ἀνα-
λογίαν ἐπιγνωσκέτω· μετὰ διετίαν δὲ τῆς εἰς τοὺς τῶν ἀπόρων μηδενὸς ἐξαιρ-

μένου περιφράγματι ἀξιοῖ ἡ διάταξις· πρὸ τούτων δὲ εἰς τὰ γειτνιῶντα καὶ ὅμορα ἐπικλά-
σθω τὰ ἄπορα. εἰ δὲ μὴ ἔστι γειτνιάζων, τότε καὶ τοῖς πόρρω ἐπιφερέσθω ἡ ζη-
μία. ἐν δὲ τῷ ι΄ κεφ. ὅστις δήποτε ἀπὸ τοῦ δημοσίου εἰς ἐμφύτευσιν ἀγρὸν λαβὼν
οὐ δύναται ἀποβάλλεσθαι αὐτὸν προφάσει τοῦ ἔρημον εἶναι. εἰ δὲ ἀπὸ ἰδιου-
χείρου ἔλαβε, ἀλλ᾽ οὐδὲ ἀποσπᾶσθαι δύναται ἀπ᾽ αὐτοῦ· οὐδὲ ὁ τῶν δεσποτικῶς
γίνεται. ἀλλὰ δίκην κτήτορος πρὸς αὐτὸν μένει καὶ τῇ ἀπογονῇ αὐτοῦ. ἀνάγνωθι καὶ τὸ ιε΄. οὐ-
δενὸς τίτλου α΄ κεφ. βιβ. οἱ ἀγοράσαντες παρὰ τοῦ δημοσίου κτήματα, ἰσχυρῶς ἔχου-
σιν αὐτά. μηδενὸς τῶν ἐξ ἀρχῆς ἀφαιρεῖσθαι αὐτὰ δυναμένου. ἀλλὰ καὶ εἰς παῖδας ἰσχυρῶς
παραπέμπουσιν. ἐν δὲ τῷ ε΄ κεφ. μηδεὶς χωρὶς κανόνος δεσποτικοῦ κτῆμα ἀγ-
οράσῃ, ἐπεὶ καὶ τὰ τιμήματα ἀπόλλυσι καὶ τὸ χωρίον ἀποσπᾶται. καὶ οὐδὲ ἀ-
ποκαταστήσει ἣν ἐδαπάνησεν ἢ ἐπεβελτίωσε χρείαν. ἢ ἐκδικήσεται εἰς τοὺς καρποὺς οὓς ἀ-
νείλετο. οὐδὲ χρόνου παραγραφὴν ἕξει. ἀλλὰ καὶ οἱ παλαιοὶ οἱ τούτῳ συμπρά-
ξαντες τῇ ὠνῇ, τὴν λίτραν παραδώσωσι. μηδεμιᾶς ἐκκλησίας ἰσχυούσης περὶ τούτου: —

ιγ΄ Περὶ ἐκζωννυούσης ἐπιτηδὲς· εἴτε ἐπὶ χρήμασιν· εἴτε διὰ μῖσος τοῦ ἀν-
δρός· ἀνάγνωθι βιβ. ξ΄ τίτ. κβ΄ κεφ. δ΄ ἐν τῷ β΄ θεμ.: —

Ἡ ἐπιτηδὲς ἐκζωννύουσα καὶ φαρμακῶς τιμωρεῖται. ἡ δὲ διὰ τὸ διαζύγιον πρὸς μῖσος τοῦ-
ἀνδρὸς τοῦτο ποιήσασα, προσκαίρως ἐξορίζεται: —

(margin:) τυπτομένη ἐξορι-
ζέται. ἀνάγνωθι καὶ τίτ. πα
κεφ. ξε ἐν τῷ δ΄ θεμ. ἡ ἐπὶ
χρήμασι τοῦτο ποιοῦσα.

ιδ΄ Περὶ ἡγουμενείων· καὶ ὅτι τὰ ἡγουμενείας οὐκ ἔστιν ἀποκατάστασις. εἰ μὴ
κηδεμὸν βασιλέως ἀπὸ μεγάλης αἰτίας. ἁρμόζει δὲ ἡ περὶ δόλου ἀγωγή. ἀνάγνωθι
β΄ τίτ. δ΄ κεφ. ι΄ θεμ. β΄ ἐν τῷ θεμ.: —

Κατὰ ἡγουμενείου οὐκ ἔστιν ἀποκατάστασις εἰ μὴ κηδεμὼν βασιλέως ἀπὸ μεγάλης αἰτίας.
ἁρμόζει δὲ ὅμως ἡ περὶ δόλου ἀγωγή. ἀνάγνωθι καὶ τίτ. ιγ΄ κεφ. δ΄ ἐν τῷ θεμ. παλαιοῦ νόμου ἡ διάτ.
λέγει. ὅτι τὴν ἐξενεχθεῖσαν κατὰ ἡγουμενείου ἀπόφασιν. ὁ ὑπὸ τῷ νόμῳ τῆς ἡλικίας
τυγχάνων οὐ δύναται ἀναζητεῖν. ἀνάγνωθι καὶ βιβ. ιζ΄ τίτ. α΄ κεφ. μβ΄ θεμ. γ΄. ἀνάγνωθι καὶ τίτ. β΄ κεφ.
κα΄. καὶ βιβ. ιη΄ τίτ. ε΄ κεφ. μγ΄ ἐν τῷ θεμ. τῷ ἡγουμενευομένῳ ἐπεται τὸ πεκούλιον εἰ μὴ ἀ-
φῃρέθη. ἐναντίον δὲ τοῖς χρεώσταις οὐ δύναται. εἰ μὴ ἐνεργηθῇ τὰς κατ᾽ αὐτῶν ἀγω-
γάς. ἀνάγνωθι καὶ βιβ. λε΄ τίτ. ια΄ κεφ. λθ΄ ἐν τῷ θεμ. ἡ διάτ. λέγει ὅτι αὐτῷ τῷ γραφῆναι κληρονό-
μος ὁ δοῦλος, εἰ καὶ μὴ προσετέθη αὐτῷ ἡ ἡγουμενεία, σιωπηρῶς αὐτὴν ἔχει. καὶ κεφ.
ι΄ ἐν τῷ θεμ. διατιθέμενός τις ἀντὶ δοῦλον ἑαυτοῦ ἴδιον κληρονόμον ἔγραψε. καὶ δοῦ-
λον ἴδιον ἐλευθέρωσε. τὸν δὲ αὐτὸν δοῦλον ὑποκατέστησε δίχα ἡγουμενείου τῷ υἱῷ. λέ-
γει ὅμως ἡ διάτ. ὅτι οὗτος γραφεὶς εἰς τὴν ὑποκατάστασιν κληρονόμος. καὶ τὴν ἡγουμενείαν ἐ-
δέξατο εἰληφέναι. καὶ διὰ τοῦτο ὡς ἡγουμενείου αἰρετικὴν ἡγουμενεία τὸν αἱρετὸν τὴν

ε

Ἐὰν ἄνηβος ὁ ὀρφανὸς τελευτήσῃ, οὐ δίδοται τῷ λεγαταρίῳ· ἀλλὰ περιμένουσι· καὶ ἐὰν τελευτήσει ὁ ἄνηβος καὶ ἀσθενήσει ἡ ὑποκατάστασις, τότε παρέχουσιν αὐτῷ τῷ λεγαταρίῳ. Ἐὰν δὲ ὁ ἄνηβος τελευτήσῃ, γίνεται ἐκ τῆς ὑποκαταστάσεως ἐλεύθερος καὶ κληρονόμος. δεῖ γὰρ ὁ δοῦλος ἐλευθερωθεὶς ἐν τῇ ἐνστάσει σὺν τῇ ἐλευθερίᾳ γράφεσθαι κληρονόμος. ϛ

Κεφάλαιον μα΄:

Περὶ ἐλευθερούντων καὶ ἐλευθερουμένων. καὶ τίνες δύνανται ἐλευθεροῦν ἢ ἐλευθεροῦσθαι. καὶ τίνες κωλύονται. καὶ περὶ ἐλευθερίας φιδεικομισσαρίας καὶ ὀρθῆς. καὶ ὑπὸ αἵρεσιν καὶ ἡμέραν καὶ αἰτίαν. ἀπὸ βιβ. μη΄. τίτλου ἐν τῷ α΄ κεφ. α΄ Φλωρεντ.: ιε΄

Ὁ ἐπιβὰς τῆς τελευταίας ἡμέρας τοῦ κ΄ ἐνιαυτοῦ, καλῶς ἐλευθεροῖ. Ἐν τῷ αὐτῷ γ΄ κεφ. ὁ ἐνεχυράσας δοῦλον, οὐ καλῶς ἐλευθεροῖ. Ἐν τῷ αὐτῷ δ΄ κεφ. ὁ ἰδίοις νομίσμασιν ἀγορασθεὶς ἐλευθερούσθω· ἐὰν τὰ ὑπὲρ ἑαυτοῦ δέδωκεν ὅθεν δήποτε, εἴτε ἄλλος ὑπὲρ αὐτοῦ δέδωκεν ἢ ἐπερωτήθη. ἀρκεῖ γὰρ τὸ τὸν ἀγοραστὴν μὴ δοῦναι. Ἐν τῷ αὐτῷ ιϛ΄ κεφ. συναινοῦντος πατρὸς καὶ ἥττων τῶν κ΄ ἐνιαυτῶν, καλῶς ἐλευθεροῖ, καὶ ποιεῖ ἀπελεύθερον τοῦ πατρός. Ἐν τῷ αὐτῷ κγ΄ κεφ. τὸν προικιμαῖον δοῦλον καὶ συνεστῶτος τοῦ γάμου καλῶς ἐλευθεροῖ ὁ ἀνὴρ εἰ μὴ ἄπορος ἐστὶ καὶ δανειστὰς ἔχει. Ἐν τῷ αὐτῷ βι΄ κεφ. δ΄ φρ. ὁ ἥττων τῶν κ΄ ἐτῶν, οὔτε ἐπίκοινον δοῦλον δύναται ἄνευ δικαίας αἰτίας ἐν ζωῇ ἐλευθεροῦν. Ἐν τῷ αὐτῷ ια΄ κεφ. ὁ ἥττων τῶν κ΄ ἐτῶν ἐν ζωῇ ἐλευθερῶν, αἰτίαν δεικνύτω· οἷον υἱὸν ἢ θυγατέρα ἐλευθερῶν, ἢ ἀδελφὸν ἢ ἀδελφήν, ἢ ἄλλον συγγενῆ. Ἐν τῷ αὐτῷ ιη΄ κεφ. ὕπατος καὶ ἥττων ὢν τῶν κ΄ ἐτῶν ἐλευθεροῖ παρ᾽ ἑαυτῷ. Ἐν τῷ αὐτῷ τ΄ κεφ. κϛ΄ φρ. κἂν μερικῶς κληρονομηθῇ κλῆρος, ἀρμόζει ἡ ἐλευθερία. ἐπεὶ ἐξ αὐτοῦ τοῦ θανάτου χωρεῖ αἱρέσεως καὶ ἐλευθερία γέγονεν ἡ ὑποσχοῦσα. Ἐν τῷ αὐτῷ νζ΄ κεφ. ὁ ὀρθὴν ἐλευθερίαν λαβών, καὶ ὀφείλων δοῦναι τὴν τελευτὴν τοῦ δεσπότου, ἐλεύθερος γίνεται, ἐνάγεται δὲ περὶ ὧν ὀφείλει. Ἐν τῷ αὐτῷ ξβ΄ κεφ. οἱ παῖδες τοῦ ἐλευθερωθέντος, οὐ καλῶς ἐνάγονται περὶ τῶν λόγων οἷς ἐχρεώστει ὁ πατὴρ αὐτῶν ἔτι δοῦλος ὤν. ἐὰν μὴ ἐπὶ τοιούτῳ ὅρῳ ἠλευθερώθη ἐπὶ τῷ παρασχεῖν τοὺς λόγους. Ἐν τῷ αὐτῷ ξε΄ κεφ. ἐὰν παρά τινος κτήσωμαι δοῦλον μὴ ἐλευθερωθῆναι, οὐκ ὀφείλει ἐκεῖνος ἐλευθερωθῆναι αὐτόν, ἵνα μὴ δόξῃ τὴν εὐσέβειαν τὴν τῇ μερίᾳ κεχαρισμένην παραβαίνειν. Ἐν τῷ αὐτῷ ξζ΄ κεφ. ἐὰν διαθήκη ἀνυπόστατος γένηται, οὐ λέγομεν ἰσχύειν οὐδὲ τὰς ἐν αὐτῇ ἐλευθερίας, εἰ μὴ ἀναγέγραπται· ὥστε καὶ αὐτὰς κωδικέλλων αὐτὴν ἰσχύειν. Ἐν τῷ αὐτῷ δ΄ τ΄ κεφ. κ΄ φρ. ὁ ὑπὸ μείζον ἀλλοτρίου δούλου μὴ περαιωθῆναι φιδεικομισσαρία ἐστίν, ἐλευθερία μετὰ θάνατον τοῦ κληρονόμου. Ἐν τῷ αὐτῷ κγ΄ κεφ. ἡ ἐλευθερία περικεχυμένη τῷ κλαπῆναι κληρονομικὰ ἢ λογιστικοὺς μὴ δοθῆναι, οὐχ ὑπερτίθεται. Ἐν τῷ αὐτῷ κε΄ κεφ. ὁ λεγάτος

ἀπὸ α΄ καὶ τὸ περὶ ἀνώνων καὶ διορισμοῦ τὸν ὅρον τῆς ἐλευθερίας:

ἀπὸ α΄ καὶ β΄ ιθ΄ τ΄ ζ κεφ. δ΄ περὶ ὀλίγων ἀφηλίκων:

θεῦσι ἐφ' ᾧ ἐλευθερωθῇ δοῦλον τοῦ ἐπιγόνους, ἀναγκάζει ἐλευθερωθῆναι κἂν πλέον ἐστί. τὸ αὐτὸ καὶ ἐπὶ κληρονόμου. εἰ δ' ἀλλότριός ἐστιν ὁ δοῦλος καὶ ἡ τοῦ ληγάτου αὐξηθῇ ἀπὸ τόκων ἢ ἄλλης αἰτίας, ἢ ἡ τιμὴ τοῦ δούλου ἐλαττωθῇ, ὥστε ἀγορασθῆναι καὶ ἐλευθερωθῆναι. βιβ. μη΄ τιτ. κ΄ κεφ. θ΄ θε. ζ΄. καὶ ἀπὸ ἀτελείστων κωδικίλλων, δίδοται ἐλευθερία, ἐὰν ὁ κληρονόμος παραδέξηται ἕνα τῶν ἐν αὐτοῖς ἐμφερομένων. βιβ. μη΄ τιτ. λ΄ κεφ. οὐκ ἀναγκάζεται τις πωλῆσαι τὸν δοῦλον αὐτοῦ, οὗ ἠξίωσεν ἄλλος τις τοῦτον ἐλευθερωθῆναι. κἂν πλείονα τῆς ἀξίας τιμὴν ζητῇ. εἰ δὲ ὁ κληρονόμος ἄμετρον λέγει τὴν τιμήν, δεῖ τὸν ἄρχοντα τοῦτο σκοπεῖν. βιβ. μη΄ τιτ. λγ΄ κεφ. ὁ δεξάμενος κλῆρον ἢ ληγάτον, ἀναγκάζεται οὗ ἐκελεύσθη ἴδιον δοῦλον, ἐλευθερῶσαι, κἂν ἐλάττων ἐστὶν ἢ ἄξιος τιμωρίας. βιβ. μη΄ τιτ. λς΄ κεφ. ἐν ἀτελεῖ διαθήκῃ διαθήκῃ ἐλευθερίαν καὶ ληγάτα τῷ θρεπτῷ μου κατέλιπα, ἐκδικάζεται τῷ περιελθόντι τὰ ἐν τῇ διαθήκῃ, καὶ ταῦτα ἀρκέσουσιν. βιβ. μη΄ τιτ. μα΄ κεφ. εἰ δὲ τὸν δοῦλον ἐμὸν καὶ ἕτερον ἐλευθερίαν, οὐ δοθήσεται αὐτῷ. βιβ. μη΄ τιτ. μθ΄ κεφ. εἰ ληγατεύσω δοῦλον σόν ἐφ' ᾧ ἀγορασθῇ παρ' ἐμοῦ καὶ ἐλευθερωθῇ, ἐὰν μὴ πιπράσκηται, αὐτὸς κερδαίνει τὸ ληγάτον. βιβ. ν΄ τιτ. γ΄ κεφ. γ΄ θε. ζ΄ σχ. εἰ κλέψας πράγματα συναλλάττῃ νούμμους τῷ δεσπότῃ, ἐλευθεροῦται. οὐ μὴν αὐτοὺς τοὺς νούμμους κλέψας καὶ δώσει, οὐ γὰρ δίδωσιν ἀλλ' ἀποδίδωσιν. εἰ καὶ δι' ἄλλου ἔκλεψε καὶ δώσει, οὐκ ἐλευθεροῦται. ἀφαιρεῖται γὰρ τὰ δοθέντα. βιβ. μη΄ τιτ. ιγ΄ κεφ. εἰ τῷ ὑπὸ αἵρεσιν ἐλευθερωθῆναι κελευσθέντα αὐτὸν δουλοῦσθαι, πωλήσει ὁ κληρονόμος καὶ παραδώσει, παραχρῆμα ἐλευθεροῦται. βιβ. μη΄ τιτ. δ΄ κεφ. θε. ε΄. εἰ κελευσθῇ τις ἐνιαυτὸν δουλοῦσθαι, συναπτός ἐστιν ὁ τῶν ἡμερῶν. καὶ κἂν εἴκοσιν ἡμέραις ἀρρωστήσῃ, ἢ ἐμποδισθῇ δουλοῦσθαι, ἐλευθεροῦται μετ' ἐνιαυτόν. καὶ ὁ κατὰ μέρος ἔτους ἃ ἐκελεύσθη δοῦναι, ἐλευθεροῦται. βιβ. μη΄ τιτ. ε΄ κεφ. θε. β΄. ὁ κελευσθεὶς ἐπὶ ἐνιαυτὸν δουλοῦσθαι, ἐὰν φύγῃ μεταξὺ ἢ δικάσηται ὡς ἐλεύθερος, οὐ λέγει αὐτῷ ὁ καιρὸς ἐκεῖνος. βιβ. μη΄ τιτ. η΄ κεφ. ὁ κελευσθεὶς ἀπὸ τοῦ κληρονόμου πραθῆναι ὑπὸ αἵρεσιν ἐλευθερωθῆναι, ὁ στατοῦλιβερ δύναται. οὐκ ἐπὶ χρόνῳ δ' αἱρετός. οἷον ἵνα ἐν τῷδε τῷ χρόνῳ μὴ δουλεύσῃ, ἢ μηδέποτε ἐλευθερωθῆναι ὁ στατοῦλιβερ. καὶ πωλοῦνται καὶ συναλλάττονται, καὶ ἐν τοῖς ἄλλοις ἐπικρίνονται τὰ αὐτὰ τοῖς ἄλλοις δούλοις ὑφίστανται. βιβ. μη΄ τιτ. ιε΄ κεφ. ὁ περὶ κατάστασιν ἐγκαλούμενος, ἀφ' οὗ ἐξ γνώμην τοῦ ἀμφισβητοῦντος οὐ δύναται ἐλευθεροῦν. βιβ. μη΄ τιτ. κθ΄ σχ. οὔτε ὑφαιρεῖται διὰ κληρονομίαν τὴν ἐλευθερίαν κομισθέντα, οὔτε ἐκβάλλεται τὴν ἐλευθερίαν διὰ τὴν κλοπήν. βιβ. μη΄ τιτ. καὶ κεφ. ι΄. περὶ τῶν εἰς ἐλευθερίαν ἀπὸ γένους ἀναφωνουμένων διαλαμβάνεται. καὶ προστίθεται περὶ αὐτῶν. βιβ. μη΄ τιτ. ια΄ κεφ. γ΄ σχ. εἰ ὁ πατὴρ ἢ ἡ μήτηρ πρὸ ἐτῶν ἐθέλησαν μὴ διαρρεῖν περὶ τύχας. οὐδὲ

Ex hoc autore Constantinus Harmenopulus lib. 4°. tit. 18.

ἐγὼ ἐνάγωμαι. Ἐν τῷ ῥητῷ ιβ΄ τίτλ. διαλαμβάνεται περὶ δούλου καταφρονοῦντος τοῦ δεσπότου ἐλευθέρου κελεύοντος. Ἐν τῷ ῥητῷ ιγ΄ τίτλ. κεφ. α΄ φύλλ. Ἐάν τις καταλειφθῇ τινὶ ἐν κωδικίλλοις καὶ ἐλευθερωθῇ παρ' αὐτοῦ· μετὰ ταῦτα δὲ πλαστοὶ φανῶσιν οἱ κωδίκιλλοι, ἡ τούτου ἐλευθερία ἡ ἅπαξ δοθεῖσα αὐτῷ οὐκ ἀναιρεῖται. δύναται δὲ ὁ κληρονόμος ἀπαιτῆσαι αὐτὸν τὰ τοῦ τιμήματος αὐτοῦ κ. ν. Ἐν τῷ ῥητῷ ε΄ κεφ. Ἐὰν ὑπὸ αἱρέσεως καταλειφθῇ ἐλευθερία γυναικί, καὶ τέκῃ ἐκκρεμοῦς τῆς αἱρέσεως ἠρτημένης, δοῦλος γεννᾶται. ἐὰν δὲ μετὰ τὴν πλήρωσιν γεννήσῃ, ἐλευθέρους τέκῃ. ὁ καταλειφθεὶς τινὶ καὶ παρ' αὐτοῦ δεσπότης ἐλευθερωθῆναι φιδεικομισσαρίου ἐλευθερωθεὶς, τοῦ ἐλευθερώσαντος γίνεται ἀπελεύθερος. Ἐν τῷ ῥητῷ ϛ΄ κεφ. Ἐάν τις τελευτῶν ἀξιώσῃ τὸν κληρονόμον ἵνα ἐκ τῶν παίδων τῆς δεῖνα τῆς δούλης ἐλευθερώσῃ ὃν ἐὰν ἐπιλέξηται ἐκεῖνος, καὶ τελευτήσῃ μηδένα ἐπιλεξάμενος, πάντες ἅμα γίνονται ἐλεύθεροι. Ἐν τῷ ῥητῷ ιδ΄ τίτλ. κεφ. α΄ φύλλ. Οἱ ὁπωσδήποτε νομίμως ἐλευθερούμενοι, ῥωμαῖοι νοοῦνται. Ἐν τῷ ῥητῷ ιε΄ τίτλ. κεφ. γ΄ φύλλ. ἡ γενικὴ ὑποθήκη οὐκ ἐμποδίζει, οὐ δύναται δέ τις τὸν ἰδικῶς ὑποτεθέντα δοῦλον ἐλευθερῶσαι. Ἐν τῷ ῥητῷ ζ΄ κεφ. Ἐὰν ὁ μὴ ὢν δεσπότης τὸν ἀλλότριον δοῦλον ἐλευθερώσῃ παρὰ τῷ ἄρχοντι, δύναται ὁ δεσπότης τὸν ἀλλότριον δοῦλον ἐλευθερώσῃ παρὰ τῷ ἄρχοντι, δύναται ὁ δεσπότης ἀναιρεῖσθαι τὴν ἐλευθερίαν αὐτοῦ· μηδὲν ζημιουμένου τοῦ ἐλευθερώσαντος. ἐὰν δὲ ἐπὶ τοῦ βασιλέως αὐτὸν ἐλευθερώσῃ, τότε ἐκεῖνος ἐξ ἴσης τῶν οἰκετῶν εἰς δουλείαν. ἀναγκάζεται δὲ οὗτος παρασχεῖν ἑτέρους δύο οἰκέτας τῷ ἐλευθερωθέντι ὁμοίους κατὰ ἡλικίαν, καὶ κατὰ φύσιν, καὶ κατὰ τρόπον, καὶ τέχνην, καὶ ἄλλους τρεῖς πάλιν ὁμοίους τῷ δημοσίῳ. Ἐν τῷ ῥητῷ κ΄ τίτλ. κεφ. κ΄ φύλλ. Ἐὰν ἅπαξ ὁ δεσπότης ἐλευθερώσῃ τὸν δοῦλον, οὐκέτι δύναται τὴν ἐλευθερίαν αὐτοῦ ἀναιρεῖσθαι. Ἐν τῷ ῥητῷ κϛ΄ τίτλ. κεφ. β΄ φύλλ. Θεσπίζομεν ἄδειαν εἶναι τοῖς νέοις ἐν αὐτῷ τῷ καιρῷ ἐν ᾧπερ ἔξεστιν αὐτοῖς διατίθεσθαι περὶ τῆς ἄλλης αὐτῶν περιουσίας, καὶ τοὺς ἰδίους οἰκέτας τῇ οἰκείᾳ βουλήσει ἐλευθεροῦν· μηδένα τούτοις ἐμποδισμὸν τῆς ἡλικίας ποιούσης, ἀλλὰ σχολαζούσης τοῦ νόμου τοῦ πρώην κελεύοντος:

Περὶ τῶν ἐλευθερουμένων ἐξ αἰτιῶν διαφόρων καὶ τῶν λαμβανόντων τὴν ἐλευθερίαν ὡς ἀντιμισθίαν καὶ ἔπαθλον. ἀνάγν. βιβ. μη΄ τίτλ. β΄ κεφ. ζ΄. ἐν τῷ φισκ.: ιϛ΄.

Τὸ σφάζεσθαι δεσπότην θανάτου ἢ αἰχμαλωσίας, αἰτία ἐλευθερίας ἐστί. καὶ κεφ. ιδ΄ τίτλ. β΄. τὸ ἐκ πολεμίων ἢ λῃστῶν ἢ νόσου ἢ ἐπιβουλῆς σῶσαι δεσπότην, εὔλογος αἰτία ἐστίν. ἀνάγν. καὶ τίτλ. ϛ΄ κεφ. β΄ ἐν τῷ φύλλ. ὁ ἀπονοήτως ἐλευθεροῦται. καὶ κεφ. δ΄ ἐν τῷ φύλλ. ὁ τὸν θάνατον ἐλέγξας τοῦ δεσπότου καὶ διὰ τοῦτο ἐλευθερωθεὶς, ὀρκῖνος ἐστὶν ἀπελεύθερος.

ἀνα(γνωστέον) καὶ τ(ίτλον) ιη' τοῦ λ' βιβλ(ίου) ἐν τῷ α' κεφ(αλαίῳ) φη(σί)· ὁ δοῦλος καταμηνύσας τὴν σφαγὴν τοῦ δεσπότου, ἐλεύθερος γίνεται· ὡς αὐτῇ δῆθεν τῆς μηνύσεως παρεχομένης αὐτῷ τῆς ἐλευθερίας, τοῦ ἄρχοντος ἀποφαινομένου ἐλεύθερον αὐτὸν εἶναι. ἐν δὲ τῷ β' κεφ(αλαίῳ) φη(σί)· οἱ δοῦλοι οἱ τοὺς τὴν πλαστὴν μονήταν ποιοῦντας ἀπελέγχοντες, ἐλεύθεροι γίνονται. ἐν δὲ τῷ γ' κεφ(αλαίῳ)· ἐὰν δοῦλος ἁρπαγὴν παρθένου καταμηνύσῃ, ἐλεύθερος γίνεται. ἢ ἐὰν τὸν συγχωρηθέντα ἀπελέγξῃ. καὶ ὁ τοὺς λιποτακτήσαντας στρατιώτας καταμηνύων, ἐλευθεροῦται. ἀνα(γνωστέον) ἐν τῷ ιθ' κεφ(αλαίῳ) β' ἐν ᾧ φη(σί)· ἐάν τις δούλην ἀγάγῃ ἰδίαν συναφθεὶς μὴ ἔχων γαμετήν, καὶ μένῃ μετ' αὐτῆς μέχρι τῆς τελευτῆς ἔχων παῖδας ἐξ αὐτῆς, τελευτᾷ, καὶ μηδὲν εἴπῃ περὶ αὐτῆς ἐν τῇ διαθήκῃ, γίνεται ἐκείνη ἐλευθέρα. ἀνα(γνωστέον) καὶ τ(ίτλον) κδ' τοῦ λ' ἐν τῷ α' κεφ(αλαίῳ) φη(σί)· ἐάν τις διατεθῇ ἐν ἐλευθερίᾳ κ' ἐνιαυτοὺς ἢ πλέον, οὐκέτι δύναται περὶ τύχης ὀχλεῖσθαι. ἐὰν δὲ ἐν φυγῇ ὢν διατελέσῃ ἐπὶ κ' ἐνιαυτοὺς ὡς ἐλεύθερος, οὐδὲν πρόκειμα ἐπάγει ἡ δουλεία αὐτοῦ. ἀνα(γνωστέον) καὶ β' ιθ' τ(ίτλον) ιζ' κεφ(άλαιον) α' καὶ β'. καὶ β' ξ' τ(ίτλον) λζ' κεφ(άλαιον) ξζ' ἐν ᾧ φη(σί)· ὅτι καὶ ὅλην περὶ τὰ τοῦ ἰδίου δούλου μοιχευομένην ἀπελέγξας, ἐλευθεροῦται μετὰ τῶν παίδων αὐτοῦ: -•-

ιζ' Περὶ ἐλευθέρων πεπραθέντων. ἢ δουλαγωγουμένων. ἢ βίᾳ κατεχομένων. ἀνα(γνωστέον) β' ξ' τ(ίτλον) ε' κεφ(άλαιον) οθ' ἐν ᾧ φησιν: -•-

Ὁ ἐν εἰδήσει πιπράσκων τὸν ἐλεύθερον, τῷ τῶν ἀνδραποδιστῶν ἐγκλήματι ὑποπίπτει. ἀνα(γνωστέον) καὶ β' κβ' τ(ίτλον) α' κεφ(άλαιον) ιη' ἐν ᾧ φη(σί)· ὁ βίᾳ τὸν ἐλεύθερον συλλαβόμενος ἐδήσας, οὐκ ἔστι νομεύς. ἀνα(γνωστέον) καὶ β' κη' τ(ίτλον) ι' κεφ(άλαιον) ιδ' καὶ κη'. ἀνα(γνωστέον) καὶ τ(ίτλον) κ' τοῦ λ' ἐν τῷ ιβ' κεφ(αλαίῳ) φη(σί)· ἐάν τις τὸν ἐλεύθερον ἀγοράσῃ, οὐ κτᾶται αὐτὸν δοῦλον. ἀνα(γνωστέον) καὶ τ(ίτλον) κβ' τοῦ λ' ἐν τῷ ε' κεφ(αλαίῳ) φη(σί)· ὁ δουλαγωγούμενος καὶ λέγων ἵνα ἐρωτηθῇ, ὀφείλει πρότερον ἀποδεῖξαι τὰ περὶ τῆς τύχης τῆς ἰδίας. καὶ μετὰ ταῦτα περὶ τῶν κεκρατημένων αὐτῷ ἐνάγειν. ἀνα(γνωστέον) καὶ β' ξ' τ(ίτλον) μζ' καὶ τ(ίτλον) μη' κεφ(άλαιον) ιη' ἐν ᾧ φη(σί)· ὁ τὸν ἐλεύθερον ἐν εἰδήσει μὴ βουλόμενον πιπράσκων, ἀνδραποδιστής ἐστι. καὶ εἰ μὲν δοῦλός ἐστιν ἢ ἀπελεύθερος, τυπτόμενος καὶ κουρευόμενος, χειροκοπείσθω. καὶ ὁ τὸν ἐλεύθερον εἰδὼς ἀγοράσας ἢ δωρησάμενος ἢ εἰς προῖκα δοὺς ἢ καταλλάξας: -•-

ιη' Περὶ ἐλευθερουμένων εἰς βλάβην τῶν δανειστῶν. ἀνα(γνωστέον) β' μη' τ(ίτλον) γ' κεφάλαιον ξγ' ἐν ᾧ φησιν: -•-

Ἐὰν καταπραχθῶσιν ἐλευθερίαι εἰς βλάβην τῶν δανειστῶν καὶ μάλιστα ὁ κληρονόμος ἐξ οὗ καὶ ἠλευθερώθησαν ἄπορός ἐστι καὶ ἐνέχεται τὸν ἄπορον κληρονομῆσαι, ὅμως οὐ χαρίζουσιν. ἀνα(γνωστέον) καὶ τ(ίτλον) ζ' τοῦ λ' ἐν τῷ δ' κεφ(αλαίῳ) φη(σί)· ἐπὶ ἀπόρου κλήρου κἂν εὔπορος ᾖ ὁ κληρονόμος, δοῦλος οὐκ ἐλευθεροῦται· εἰ μὴ οὕτως εἴπῃ ὁ διατιθέμενος, ὅτε πληρω

ε

θεῖσιν οἱ δανεισταί μου, ἐλεύθερος ἔστω. ἐν τῷ αὐτῷ ιϛ κεφ. ὁ δοῦλος ὁ ἐπὶ περιγραφῇ δανει-
στῶν ἐλευθερωθείς, δανειστής ἐστι, ὁ δεσπότης οἷα ἄνευ αἰτίας χρεωστούμενος. ἐν τῷ αὐτῷ λδ κεφ.
αἱ εἰς βλάβην τῶν δανειστῶν ἐλευθερίαι ἀναιρέπονται:

περὶ ἑλλήνων. ἀν. β α τίτ. α κεφ. ιγ ε ιδ ε ιε ἐν τῷ φ.: ιθ

Ὅσοι μετὰ τὸ ἅγιον τῶν ἑλλήνων βάπτισμα, τὴν ἑαυτῶν ἐμμένουσι (?) ... ὅσοι δὲ μήπω ἠξί-
ωνται, προστέλλονται ἅμα γαμεταῖς καὶ παισί, καὶ παντὶ τῷ οἴκῳ. καὶ οἱ διδασκευτικὴν ...
νοῦς. φυλάττεσθαι ἢ μηδενὸς τῶν ἐν πολιτείᾳ ἢ περιουσίᾳ μετέχειν. ἐν κεφ. ιϛ:

περὶ ἐμπρησμῶν. καὶ περὶ τῶν ποιούντων αὐτούς. ἀν. β ε νη τίτ. κζ κεφ. ζ θ ι ἐν τῷ φ. ...: κ

Ὅ τε ἄρχων, καθὼς διὰ ἐμπρησμοῦ κατηγορεῖ τόπου. ὁ δὲ ἰδιώτης, ὅτε ἠτοίμασε τὸ πῦρ ὅς
ἔξεστε, τὰ αὐτὰ καὶ ἀκουσίως ἐνάγηται. εἰ δὲ πρᾶγμα κατέλυσε καὶ ἐπεξήρχεν εἰς τὸν
τόπον ἐμπρησμοῦ, ἀποδίδωσι τὴν ζημίαν. ἀν. καὶ β ξ τίτ. λθ κεφ. α ἐν τῷ φ. ὅτι, τῷ
περὶ ἀνδροφόνων νόμῳ ὑπόκειται, καὶ ὁ κατὰ δόλον ποιῶν ἐμπρησμόν. καὶ κεφ. ε ἐν
τῷ φ. ὁ κατὰ δόλον καύσας τὴν οἰκίαν, κεφαλικῶς τιμωρεῖται. καὶ ὁ οἰκείαν ἢ σωρὸν
σίτου πλησιάζοντα οἴκῳ καύσας ἐν δόλῳ, τυπτόμενος γίνεται πυρίκαυστος. εἰ δὲ
ἔξω πόλεως τοῦτο διαπράξεται, χειροκοπεῖται. εἰ δὲ κατὰ ῥαθυμίαν συνέβη ἐκ τοῦ
... τὴν ζημίαν ἀποθεραπεύει. εἰ δὲ μὴ σωφρονίζεται μετρίως. οἰκία δὲ λέγεται, πᾶν
εἶδος οἰκοδομήματος, καὶ κεφ. ζ ἐν τῷ φ. οἱ ἐπίτηδες ἐν πόλει ποιοῦντες ἐμπρη-
σμόν, εἰ μὲν τῆς ... εἰσὶν, ... εἰ μὴν δὲ βαθμοῦ ὄντες, ἀποκεφαλίζονται ἢ εἰς
νῆσον περιορίζονται. ἀν. καὶ τίτ. να κεφ. κθ ἐν τῷ φ. οἱ δημώδεις καὶ οἱ τῆς εὐτελεί-
ας ποιοῦντες ἐμπρησμοὺς ἐν πόλει, δι' ἔχθραν ἢ πραῖδαν, ἀποκεφαλίζονται ἢ καίονται.
ἐλαφρότερον δὲ τιμωροῦνται, οἱ καλύβην ἢ ἀγροῦ καίοντες. τοὺς δὲ κατὰ τύχην γινομέ-
νους ἐμπρησμούς, ἐὰν οἱ πρὸς οὓς ἔτεινον καταπαῦσαι δυνάμενοι ῥαθυμήσωσι,
πολιτικῶς ἀποθεραπεύουσι τὴν ζημίαν τῷ βλαβέντι ἢ μετρίως σωφρονίζονται:

περὶ ἐμφυτεύσεων. ἀν. β κ τίτ. β. ὅλ. ἐν τῷ α κεφ. φ.: κα

Ἡ διάταξις λέγει ἵνα μήτε μισθώσεως μήτε ἐκποιήσεως εἶδός ἐστιν ἡ ἐμφύτευσις ἀλλ'
ἰδικὰ νόμιμα ἔχει. καὶ εἰ μὲν βλάβη γένηται κατὰ παντὸς τοῦ πράγματος κινδυνεύεται ὡς
ἐπὶ πράσεως. εἰ δὲ μερικὴ γένηται ἡ βλάβη, τῷ ἐμφυτευσαμένῳ κινδυνεύεται ὡς ἐ-
πὶ μισθώσεως. ταῦτα δὲ λέγομεν, ἐὰν μὴ ἄλλα σύμφωνα ἰδικὰ ἔχωσι περὶ τῆς ἐν πράγ-
ματι βλάβης. ἐν τῷ αὐτῷ β κεφ. ἡ διάταξις κελεύει ἐὰν μὴ σύμφωνα γένωνται καὶ περὶ τῶν ἄλλων
τῆς ἐμφυτεύσεως κεφαλαίων καὶ περὶ ἀποβολῆς τοῦ ἐμφυτευσαμένου. ταῦτα κρατεῖν
καὶ ἐπὶ τοῖς ἄλλοις κεφαλαίοις, καὶ ἐπὶ τῆς τοῦ ἐμφυτεύτου ἀποβολῆς. ἐὰν δὲ περὶ μὲν

τῶν ἄλλων κεφαλαίων τινὰ συνεφωνήθη· οὐδὲν δὲ ἐρρήθη περὶ τοῦ πῶς δεῖ τὸν ἐμφυτευτὴν ἀποβληθῆναι. τότε ἐὰν τρεῖς ἐνιαυτοὺς μὴ δὲ ὁ ἐμφυτευτὴς καταβάλῃ τὸν ἐμφυτευτικὸν κανόνα, μήτε τὰς τῶν δημοσίων ἀποχὰς ἐνέγκῃ τῷ δεσπότῃ, ἐκβάλλεσθαι αὐτὸν μηδένα λόγον ἔχοντα περὶ τῆς βελτιώσεως ἢ τῶν ἀναλισκομένων ἐπὶ τοῖς ποιήμασιν· ἀλλὰ πᾶσι τούτοις ταῦτα ζημιούμενον, καὶ μὴ δυνάμενον προφέρειν εἰς δικαιολογίαν ὅτι τυχὸν οὐκ ὠχλήθη περὶ τοῦ ἐμφυτεύματος. δεῖ γὰρ αὐτὸν ἑκουσίως, ἀλλὰ μὴ μετ' ὀχλήσεως τὸ τέλος καταβάλλειν. ἐν δὲ τῷ α΄ καὶ ε΄ κεφ. ὅτι ἐπὶ μὲν τῶν ἐκκλησιαστικῶν καὶ σεβασμίων οἴκων ἐὰν ἐπὶ διετίαν μὴ καταβάλλῃ ὁ ἐμφυτευτὴς τὸν συμφωνηθέντα κανόνα, ἐκπίπτει τῆς ἐμφυτεύσεως· ἐπὶ δὲ τῶν ἄλλων, ἐὰν ἐπὶ τριετίαν· ὁμοίως καὶ ἐν τῷ περὶ ἐκκλησιῶν προείρηται:–

κβ΄ **Περὶ ἐνοχῶν παντοίων ἐνεχουσῶν ἀπό τε συναλλάγματος καὶ ἁμαρτήματος κινουμένων· καὶ τίνες ἐνέχονται, καὶ τίνες οὐκ ἐνέχονται. ἀνω(τέρω) β΄ ιβ΄ τί(τλ.) α΄. ὁ Θεῖνος ἐν τῷ α΄ κεφ. φησί:–**

ἀνω(τέρω) καὶ τὸ περὶ κανόνων καὶ τὸ περὶ ἀνθρώπων:–

Αἱ ἐνοχαὶ ἢ ἀπὸ συναλλάγματος, ἢ ἁμαρτήματος τίκτονται, ἢ ἀπὸ ἰδικοῦ νόμου ἐκ διαφόρων σχημάτων. αἱ ἀπὸ συναλλάγματος ἁρμόζουσαι ἢ ἐν πράγματι εἰσίν, ἢ ἐν ἐπερωτήσει, ἢ συναινέσει. ἐν πράγματι μέν, ὡς τὸ δάνειον ἐπὶ τῶν συνίσταται ἐν τοῖς ἀριθμεῖσθαι καὶ σταθμίζεσθαι καὶ μετρεῖσθαι δυναμένοις πράγμασι· καὶ τὸ μὲν δανεισθὲν τοῦ δεσπόζει ὁ δανεισάμενος, καὶ ἀντ' αὐτοῦ τῷ δανειστῇ ἀποδίδωσι. καὶ ὡς ἂν ἀπόληται, τῷ χρεώστῃ κινδυνεύεται. ὅτι δὲ κεχρημένον, μετὰ τῆς τοῦ δεδωκότος, ἄκραν δὲ χρεωστεῖ ἐπιμέλειαν. ἐπὶ τῇ παραφυλακῇ αὐτοῦ ὁ λαβὼν οἵας τις δύναται ἐπιδείξασθαι, καὶ οὐ μόνον ἣν αὐτὸς ἐν τοῖς οἰκείοις ἔχει. εἰ δὲ συμβῇ τὸ πρᾶγμα τυχηρῶς ἀπολέσθαι· οἷον καταπτώσει, ἢ ἐμπρησμῷ, ἢ ναυαγίῳ, οὐχ ὑπόκειται. εἰ μὴ ἀμελήσας ἐν αὐτοῖς ἐπιλημήσει· οἷον ἐπ' ἄλλῳ λαβών, ἄλλως ἐχρήσατο. ἐὰν γὰρ ἄργυρον ἐπὶ τὸ ἄριστον ποιῆσαι χρήσηται, καὶ ὁ ἐπὶ ξένης αὐτὸν ἀπαγάγῃ, καὶ ἀπόληται ναυαγίῳ ἢ λῃστῶν ἐπιδρομῇ, ὑπόκειται. ἐνέχεται καὶ ἡ περὶ τοῦ πράγματος ἀγωγῇ. καὶ ὁ παρακαταθήκην λαβὼν εἰς τὸ αὐτὸ πρᾶγμα ἀποκαταστῆσαι, ὑπόκειται δὲ ἀπὸ μόνου δόλου. καὶ τῆς πλησιαζούσης τῷ δόλῳ ῥᾳθυμίας, καὶ αὕτη γὰρ δόλος ἐστί. τοῦτο δὲ ἐπειδὴ χρεὼς ἀγαθῇ [illegible] τὴν παρακαταθήκην, καὶ ὁ δανειστὴς ἐπὶ ἀποκαταστάσει τοῦ ἐνεχύρου, τῇ περὶ πράγματος ἀγωγῇ ὑπόκειται. ἡ δὲ ἐν ἐπερωτήσει ἀγωγὴ συνίσταται ὅταν ἐπερωτῶμεν γενέσθαι τι, ἢ δοθῆναι, ἐνέχεται δέ τις ἢ ἰδίῳ ὀνόματι, ἢ ἀλλοτρίῳ, καὶ καλεῖται ἐπερώτησις. τῆς ἐξ ἑκατέρων μερῶν ἐκ συναινέσεως συμφωνίαι εἰσί, πράσις, ἀγορασία, μίσθωσις, καὶ ἐκμίσθωσις, πρόσθεσις καὶ οὐ χρήζουσι κυριότητος ῥημάτων ἢ γραμμάτων, καὶ συνί-

ε΄

σαται καὶ μεταξὺ ἀπόντων, διὰ ἐπιστολῆς καὶ διαγγέλου. ἐν τῷ δ΄ τοῦ δ΄ κεφ. ἐξ ἀδική-
ματος, τίκτεται ἀγωγή, ἡ περὶ κλοπῆς τὸ διπλάσιον ἀπαιτοῦσα ἀγωγή. ἡ ἐξ ὁμολογίας τὸ
ἁπλοῦν, ἐξ ἀρνήσεως δὲ τὸ διπλοῦν ἀπαιτοῦσα ἀγωγή. ἐν τῷ δ΄ τοῦ λ΄ κεφ. πάντα τὰ συν-
χ ὑπὸ ἀδυνάτου αἵρεσιν τεθέντα, ἄκυρά ἐστιν. ἐν τῷ δ΄ τοῦ μγ΄ κεφ. ὡς ἐπὶ πολὺ τέσσα-
ρες εἰσὶν αἰτίαι τῶν ἐνοχῶν, ἡ γὰρ ἡμέρα ἔνεστιν αὐταῖς ἢ αἵρεσις, ἢ τόπος, ἢ προσθήκη.
ἡ δὲ ἡμέρα, διχῶς θεωρεῖται. ἢ γὰρ ἐν αὐτῇ, ὡς ἐπὶ καλανδῶν μαρτίων. ἢ εἰς πέρας, ὡς ἕ- β΄ ἀπό
ως τῶν καλανδῶν. οὐ δύναται δὲ ἐνοχὴ ἢ λεγάτον, μέχρι τινὸς ῥητοῦ χρόνου συνίστασθαι.
ἀλλὰ δὲ μετὰ τὸν χρόνον ἐνάγων, ἐκβάλλεται συμφώνου ἢ δόλου παραγραφῇ. ὥσπερ καὶ ὅτε
παραδίδωσι τὸ ἔδαφος συμφωνήσας μὴ ἐπακολουθεῖν αὐτῷ τὸ ἐπικείμενον οἰκο-
δόμημα. αἵρεσις δὲ ἰσχυρὰς ἐντίθεται, ἐντεῦθεν τὴν ἐνοχὴν συνίστασθαι, οὐ μὴν μετὰ τὸ περι-
ωθῆναι. ἐὰν γὰρ ἐπερωτήσω ρ΄ νομίσματα. ἐὰν μὴ ἡ ναῦς ἥξει, ἐρχομένης τῆς νηός, χώραν ἡ
τοῦ συμφώνου, ἢ τοῦ δόλου παραγραφή. τόπος δέ ἐστιν. ὅταν ἐπερωτῶ δοῦλον ἢ ι΄ νομίσματα.
ἑνὸς γὰρ καταβαλλομένου, ἡ πᾶσα ἐνοχὴ λύεται, καὶ ἐφ' ὅτῳ ἑκάτερον ἐστιν. οὐ δύναμαι δὲ
περὶ τοῦ ἑνὸς κινεῖν. προσθήκη γίνεται. ἢ προσώπῳ ἢ πράγματι ι΄ νομίσματα, ἢ Πέτρῳ δοῦλον, καὶ
ζητεῖται. εἰ τοῦ δούλου καταβαλλομένου Πέτρῳ, λύεται τῷ νόμῳ ἡ ἐνοχή. ἐὰν ἐπερωτή-
σω, ἐὰν μὴ δώσῃς τοῦ ἀγροῦ, ὁμολογεῖς διδόναι ρ΄ νομίσματα. τὰ νομίσματα εἰσὶν ἐν ἐπερωτήσει, ὁ δὲ ἀ-
γρὸς ἐν καταβολῇ. ὥσπερ ὅτε ἐπερωτῶ. ἐὰν μὴ ποιήσῃς μοι πλοῖον ὁμολογεῖς διδόναι
ρ΄ νομίσματα. ἐὰν ἐξ ἐπερωτήσεως χρεωστῶν δοῦλον πρὸ τῆς ἐπερωτήσεως αὐτὸν ἠλευθέρωσε καὶ ἀ-
ποθάνῃ πρὶν ἐναχθῇ, οὐ κρατεῖται. ἡνίκα ἀπὸ πράγματος ἀγωγὴ φέρεται. καὶ ὁ μη-
νόμιμος, καὶ ὁ ἄνηβος ἐνέχονται χρεὼς εἰς αὐθεντίας τῶν κηδεμόνων. ὥσπερ ὅτε κοινωνὰ
τὸν ἔχω μετ' αὐτῶν, καὶ δαπανήσω εἰς αὐτόν, ἢ ἄνηβος ζημίαν εἰς αὐτὸν ἐργάσηται, ἐνέ-
χονται γὰρ τῇ τὰ ἐπίκοινα διαιρούσῃ ἀγωγῇ. ἐν τῷ δ΄ τοῦ να΄ κεφ. ἐνεχόμεθα ἢ πράγματι ἢ
ἐπερωτήσει ἢ ἑκατέρῳ ἅμα, ἢ συμφώνῳ, ἢ νόμῳ, ἢ προνοίαις, ἢ ἀνάγκῃ, ἢ ἀπὸ
ἀμαρτήματος. πράγματι. ὅτε πρᾶγμα παρεντίθεται. ἐπερωτήσει. ὅτε ἐπερωτήσεις καὶ
σύμφωνος ἀποκρίσεις. πράγματι καὶ ἐπερωτήσει, ὅτε ἑκατέρου συμφώνῳ, ἀπὸ βουλή-
σεως νόμου. ὅτε παραρχόμεθα ἢ ἐναντιούμενοι τῷ νόμῳ ποιοῦμεν προνοίαις. ὅτε γὰρ
τὴν παρακελευσίαν τοῦ πράκτορος, ἢ τὴν κώλυσιν ἢ τῶν ἀρχόντων γίνεται. ἀνάγκη οἷς οὐκ
ἔξεστι παρὰ τὸ διατεταγμένον ποιεῖν. ὡς ἐπὶ τοῦ ἀναγκαίου κληρονόμου, ἀπὸ ἀμαρ-
τήματος. ὡς ὅτε περὶ αὐτὸ γένωνται ἔστιν ἡ ζήτησις, καὶ γυμνὴ συναίνεσις ἀρκεῖ πρὸς ἐνο-
χήν, ἐπεὶ δύναται ῥήμασιν ἐκφωνεῖσθαι, καὶ νεύματι μόνῳ ὡς ἐπὶ τὸ πολὺ συνί-
στασθαι. ἐν τῷ δ΄ τοῦ νγ΄ κεφ. τὰ εἰκονικὰ συναλλάγματα, οὐδὲ ἐν ταῖς πράσεσιν ἐνοχοποιεῖ. περὶ εἰκονικῶν :–
ἀλλὰ καὶ ὁ μγ΄ τοῦ ε΄ ἐν τῷ φ΄. περὶ ἐνεχομένων δύο. ὅτε τινὸς ἐν τῷ ε΄ κεφ. φ΄. ὅτε δύο περὶ ἐνεχομένων :–

τὴν αὐτὴν ὁμολογοῦσιν ἢ ἐπερωτῶσι ποσότητα, ἕκαστος αὐτῶν εἰς ὁλόκληρον ἐνάγεσθαι· ὅθεν
ἡ τοῦ ἑνὸς ἀπαίτησις, ἢ ἡ ἀποχή, πάντας ἀπολύει. βιβ. δ΄. ια΄ κεφ. θ΄ β΄. ἐὰν μὴ προσ-
κέηται τῇ ὁμολογίᾳ τὸ ἕκαστον εἰς ὁλόκληρον ἐνέχεσθαι, οὐ γίνονται οἱ ἐναγόμενοι. ἀλλὰ πρὸ
μερῆ ἴσης πόρτιον ἐνέχονται. αὐτ. καὶ β΄ μβ΄ τίτ. α΄ κεφ. ια΄ καὶ β΄ κα΄ τίτ. γ΄ κεφ. ιε΄ ἐν συνόψει. ὁ
δανείσας μαθητῇ, οὐ δύναται τὸν δεσπότην αὐτοῦ ἀπαιτεῖν. οὐδὲ οἱ γονεῖς αὐτοῦ ἐ-
δανείσθησαν. αὐτ. καὶ τίτ. α΄ τοῦ ὀνόματος ἐν τῷ γ΄ κεφ. φη΄. τὰ ἐξωπροικα τῆς γυναικὸς, οὐχ ὑπό-
κεινται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις. ἀλλ᾽ οὐδὲ αἱ μέρες ὑπὲρ τούτων ἐνάγονται. οὐδὲ ὁ ἀ-
νὴρ ὑπὲρ τῶν τῆς γυναικὸς συναλλαγμάτων. αὐτ. δ΄ ζ΄ κεφ. ὡς περ ὁ υἱὸς οὐκ ἀπαιτεῖται
ἐν τοῖς τοῦ πατρὸς λειτουργιῶν. οὕτως οὐδὲ ὁ πατὴρ ἐν τοῖς τοῦ παιδός. αὐτ. δ΄ θ΄ κεφ. ἐκ τῶν
τοῦ πάτρωνος ἢ δεσπότου συναλλαγμάτων ἀπελεύθεροι ἢ δοῦλοι, οὐκ ἀπαιτοῦνται. αὐτ.
καὶ τίτ. ε΄ τοῦ ὀνόματος ἐν τῷ β΄ κεφ. φη΄. τοῖς τοῖς δανεισταῖς οἵτινες ἐν τῇ δουλείᾳ τι ἐδάνεισαν.
οὐδεμία κατὰ τοῦ ἀρμοστῆ ἀγωγή, μάλιστα ἐπειδὴ τὸ πεκούλιον μὴ κατελείφθη ναί τι
δεσπότης. αὐτ. δ΄ γ΄ κεφ. τῶν ἐπαγγελθέντων τι πραγμάτων παρὰ τοῦ δούλου τινὸς, ἵνα
αὐτὸν ἐλευθερώσῃς. εἰ μετὰ ἐλευθερώσεως μὴ ἐπερωτήσας αὐτόν, οὐδεμίαν κατ᾽
αὐτοῦ ἀπαίτησιν ἔχεις. αὐτ. δ΄ α΄ κεφ. ἐκ τῶν ἐν δουλείᾳ συναλλαγμάτων, μετὰ τὴν
ἐλευθερίαν, οὐδεὶς ἀπαιτεῖται. ἐκ δὲ τῶν ἁμαρτημάτων ἐνάγεται. διὰ τὸν κανόνα τὸν λέ-
γοντα. τὰ πλάσματα τῇ κεφαλῇ ἀποδοθῇ. αὐτ. καὶ β΄ ι΄ τίτ. α΄ κεφ. ια΄ ἐν συνόψει. ἐνέχεται δὲ
ἐλευθερωθεὶς, καὶ ἐφ᾽ οἷς ἀπέκλεψε τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν. καὶ τῇ ἀπαιτήσει
τοῦ κλαπέντος, καὶ τῇ φανερώσει τοῦ πράγματος ὡς ψηλαφῶν αὐτὰ μετὰ τὴν ἐλευθερίαν.
ἐπεὶ τοι γε περὶ τῶν ἁμαρτηθέντων ἐν δουλείᾳ ἀγωγὴν οὐκ ἔχει κατὰ τοῦ ἐλευθερωθέντος
ὁ δεσπότης :

## περὶ ἐνεχυραζόντων. αὐτ. β΄ κγ΄ τίτ. γ΄ κεφ. ξθ΄ ἐν συνόψει :

κγ΄

κε΄ νβ΄.

Θεσπίζομεν μηδένα παντελῶς κατὰ τὴν ἡμετέραν πολιτείαν κρατεῖν. μήτε ἐν πανηγύρεσι-
τισί. ὅπερ μάλιστα ἔνδον τελμώμενον ἐδιδάσκομεν. μήτε ἐν ἀγροῖς. μήτε ἐν πόλεσι.
μήτε ἐν κώμαις. μήτε ἐπὶ πύλαις. μήτε ἐπὶ καμήλαις. μήτε ἐπὶ χωρίοις. μή-
τε ἑτέρῳ τῶν πάντων καθ᾽ οἱονδήποτε τόπου ἢ χρόνου, ἀλλὰ τὸν θαρροῦντα ἕτερον
ἀνθ᾽ ἑτέρου κατὰ τὸ ἐνεχυρασμοῦ σχῆμα, χρυσίου, ἢ τε ἑτέρου εἰς πρᾶξιν. τοῦτο ἀπο-
διδόναι τετραπλάσιον τῷ βιασμένῳ. ἐκπίπτειν δὲ καὶ τῆς ἀγωγῆς ἧς εἶχε κατ᾽
ἐκείνου, ὑπὲρ οὗ τὴν εἰς πρᾶξιν ἐποίει. οὐ γὰρ ἂν ἔχοι λόγον ἕτερον μὲν εἶναι τὸν ὀφεί-
λοντα. ἕτερον δὲ τὸν ἀπαιτούμενον. ἀλλ᾽ οὐδὲ ἕτερον ἐνοχλεῖσθαι ὑπὲρ ἑτέρου τινός,
ὡς ἔφοδον ἁμαρτῶντος ἢ ὑβρεῖν. καὶ οἷα συνήθως μὴ τὴν ἐκείνου κατέστησαν, στρεβλοῦ-
σθαι καὶ ὑβρίζεσθαι. καίτοι γε παρ᾽ αὐτοῦ προσηκόντων ἢ ὅλως ὑπὲρ ἑτέρου δι-

χα νομίμου προφάσεως τὴν διανομὴν ὑπομένειν ἀπαρεστίαν(?)· ἀλλὰ καὶ ζημιώσεις ὑπομένειν τὰς τοῦ σώματος παρὰ τῶν ὀφειλόντων τοῖς ἔθνεσι. γινωσκέτωσαν εἰς ἅπαν τὸ ὃ πράξαιεν ἀλλὰ καὶ τὴν ἐπαρχίαν τοὺς ἄρχοντας ἐνεχυρασμοὺς τολμήσειν. οὐδεὶς ἔσται τοιοῦτος, ὅπερ αὐτοῖς τῶν ἡμετέρων ἐξαρπάσει χρεῶν. ἀνάγνωθι καὶ τὸ κεφ. ε΄ κεφ. κζ΄ ἐν τῷ φι. ἐὰν ἐμβιβάσας πρόφασιν χρέους, λάβῃ τινὸς γεωργοῦ ἢ βοῦν ἀροτῆρα. ἢ ἄλλο τι. ἢ ὅσον δανειστὴς τοῦτο ποιήσει ἢ ἔπαρχος καὶ τοῦτο δηλωθῇ ὑπὸ τῶν ἀρχόντων τιμωρηθήσεται σφοδρῶς. οὐδὲν γὰρ εἰς γεωργίαν ἐπιτηδείων ἐνεχύρου λόγον λαμβάνεται:

## Περὶ ἐνεχύρων καὶ ὑποθηκῶν, καὶ περὶ διαπράσεως. καὶ ποῖα οὐ δύνανται πιπράσκεσθαι. καὶ πότε καὶ αἱ σεαυταὶ(?) ὑπόκεινται. καὶ ποῖα σιωπηρῶς ὑπόκεινται. καὶ τίνες ἐν αὐτοῖς προτιμῶνται. ἀνάγνωθι τὸ κε. οὕτινος ἐν τῷ α΄ τ΄ κεφ. α΄ φι: κδ΄

Οὐ μόνον παραδόσει, ἀλλὰ καὶ ψιλῇ συμφωνίᾳ συνίσταται τὸ ἐνέχυρον. ἐὰν δέ τις χρυσὸν δέξας εἰς αὐτὸν μέλλον ὑποτίθεσθαι, χαλκὸν παράσχῃ. οὐχ ὁ χαλκὸς, ἀλλ' ὁ χρυσὸς ὑπόκειται καὶ τὴν περὶ ἐνεχύρου ἀγωγήν· καὶ τῷ τιμωροῦντι νόμῳ τοὺς ταῦτα διαλιθουμένους(?). εἰς τὸ ὡ λ κεφ. εἴτε ἐξ ἀρχῆς εἴτε μεταλαῦτα τὸ συμφωνηθῇ περὶ τῆς πράσεως τοῦ ἐνεχύρου. εἴτε μηδὲν συμφωνηθῇ. κατ' ἐὰν τὰ πιπράσκει ὁ δανειστής, καὶ ποιεῖ δεσπότην τὸν ἀγοραστήν. εἰ δὲ ῥητῶς συμφωνηθῇ μὴ πιπράσκεσθαι, καὶ πωλήσει. ἐνέχεται τῇ περὶ κλοπῆς ἀγωγῇ. εἰ μὴ τρίτως συνεφωνήθη μὴ πραθῆναι. εἴτε ἐν τῇ αἱρέσει ἢ τῷ … ἢ τὸ … παρὰ τὸ σύμφωνον πράξει. εἰς τὸ ὡ … κεφ. ἐὰν συμφωνηθῇ πιπράσκεσθαι τὸ ἐνέχυρον. οὐ μόνον διὰ τὸ κεφάλαιον. ἀλλὰ καὶ διὰ τοὺς τόκους καὶ τὰ εἰς αὐτὸ δαπανηθέντα πιπράσκεσθαι. ὁ ἀλλότριον ὑποτιθέμενος ἢ κακοήθως περὶ τὸ ἐνέχυρον ἐνεργήσας. ὑπόκειται τῇ περὶ ἐνεχύρων ἀγωγῇ. κυρίως ἐνέχυρον λέγεται, τὸ παραδοθὲν τῷ δανειστῇ. τὸ δὲ μὴ παραδοθὲν ἀλλὰ συμφωνηθέν, ὑποθήκη ἐστί. εἰς τὸ ὡ κζ κεφ. ἐὰν ὁ χρεώστης πωλήσῃ τῷ δανειστῇ τὸ ἐνέχυρον. οὐ δύναται μεταλαῦτα διδοὺς τὸ κεφ. καὶ τοὺς τόκους, ἀναλαβεῖν τὴν πρᾶσιν. εἰς τὸ ὡ μβ κεφ. τὰ ἰσχυρὰ οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται μεταλαῦτα κἂν τύχῃ ἀπολέσας τὸ πρᾶγμα. ἀπαιτεῖν διὰ προσωπικῆς τὸ ἑαυτοῦ κεχρεωστημένον. ὁμοίως καὶ ἐν τῷ μα κεφ. καὶ ἐν τῷ με φι. εἰς τὸ ὡ ε τ κεφ. α φι. ὥσπερ ἐπὶ τῶν ἐνοχῶν τῆς ἀγωγῆς τῆς ἐνοχοποιούσης τοὺς ἐπὶ παντὸς συναλλάγματος συναινοῦντας. οὕτω καὶ ἡ ὑποθήκη συμφωνίᾳ συνίσταται. οἷος δήποτε ῥήμασι καὶ ἀγράφως. τὰ γὰρ ἔγγραφα διὰ τὴν ἀπόδειξιν γίνεται. ἐὰν οὖν ἄλλως δείκνυται τὸ γεγονός, ἔρρωται ὡς ἐπὶ ἐγγράφων. εἰς τὸ ὡ ξ κεφ. τῆς γενικῆς ὑ-

τί διαφέρει ἐνέχυρον ὑποθήκης:

περὶ ἀπολεσθέντος ἐνεχύρου:

ποῖα τῆς γενικῆς ὑποθήκης ἐξαιροῦνται:

ποθήκης ἐξαιρεῖται· ὅσα πιθανόν ἐστιν ἰδικῶς μὴ ὑποτίθεσθαι τῷ χρεώστῃ· οἷον οἱ κόσμοι, καὶ ἐσθής· καὶ τὰ πρὸς χρῆσιν ἀναγκαῖα ἀνδράποδα· καὶ τὰ πρὸς διάθεσιν αὐτοῦ φερόμενα· καὶ τὰ πρὸς καθημερινὴν χρῆσιν· καὶ ἡ παλλακὴ καὶ οἱ φυσικοὶ παῖδες καὶ οἱ θρεπτοὶ καὶ οἱ τούτοις ὅμοιοι. τὰ αὐτὰ κρατεῖ καὶ ἐπὶ τοῖς πράγμασι τοῖς οὖσιν αὐτῷ ἐν τῷ καιρῷ τοῦ ὑποτίθεσθαι. ἐν τῷ αὐτῷ ιϛ κεφ. ὁ πολλὰ πράγματα λαβὼν εἰς ὑποθήκην, εἰ μὴ πληρωθῇ τὸ χρέος, οὐκ ἀναγκάζεται τὸ ἓν ἐλευθερῶσαι. ἐν τῷ αὐτῷ ιη κεφ. τὰ συμβαίνοντα τυχηρὰ τῷ ἐνεχύρῳ ἐπιβλαβῆ τε καὶ ἐπικερδῆ, τοῦ χρεώστου εἰσί. ἐν τῷ αὐτῷ κϛ κεφ. ἐὰν οἶκος ὑποτεθεὶς καυθῇ· καί τις ἀγοράσας τὸ ἔδαφος κτίσῃ· καὶ τὸ κτισθὲν ὑπόκειται· ὁ δὲ καλῇ πίστει νομεὺς οὐκ ἀποκαθίστησιν, εἰ μὴ λάβῃ τὰς δαπάνας δι' ὧν τὸ πρᾶγμα γέγονε τιμιώτερον. ἐν τῷ αὐτῷ κζ κεφ. ὁ δανειστὴς ἀπὸ συμφώνου τὸ ἐνέχυρον λαμβάνων· οὐ ποιεῖ ὅμως ὁφβίαν· κελεύσει δὲ τοῦ ἄρχοντος ἐπὶ νομὴν γίνεσθαι ὁ τοιοῦτος. ἐν τῷ αὐτῷ μα κεφ. ἡ χρονία νομὴ οὐκ ἀναιρεῖ τὸ ἐνέχυρον. ἐν τῷ αὐτῷ μη κεφ. ὁ χρεώστης οὔτε πωλῶν οὔτε δωρούμενος ἢ μεταποιῶν τὸ ἐνέχυρον, χείρονα ποιεῖ τὴν αἵρεσιν τοῦ δανειστοῦ. ὅθεν δύναται ἀπαιτεῖν αὐτὸ ὁ δανειστής. ἐν τῷ αὐτῷ να κεφ. ὥσπερ τὰ τυχηρὰ ὁ δανειστὴς οὐκ ἐπιγινώσκει τοῦ ἐνεχύρου· οὕτω δόλον καὶ ῥᾳθυμίαν, καὶ φυλακὴν παρέχειν ὀφείλει ἐπ' αὐτῷ. ἐν τῷ αὐτῷ νϛ κεφ. ἐὰν ἀργυροπράτης ἢ μεταξάριος ἢ ἄλλος οἱοσδήποτε ἔμπορος δανεισάμενος στρατεύσῃ, ἰδίου γοῦν ἢ συγγενῶν τὴν αὐτὴν στρατείαν· εἶτα ἢ ἀποπέσοιτο ἢ εἰς κληρονόμους περιπέμπεται· εἰ καὶ μὴ δέξοιντο οἱ δανεισταὶ ὅτι ἀπὸ χρημάτων τοῦ δανεισαμένου ἐστρατεύετο· ἀλλ' ὅμως ἀπαιτεῖται αὐτὰ ὁ υἱὸς ἢ ὁ συγγενής. εἰ δὲ ἐξ οἰκείου ἐστράτευσε, καὶ δείξει ὅτι ὁ χρεώστης δεδώκει τὰ χρήματα, αὐτόθεν δύναται κινεῖσθαι. ἐν τῷ αὐτῷ γ τί. διαλαμβάνεται περὶ τῶν σιωπηρῶς συνισταμένων ἐνεχύρων τε καὶ ὑποθηκῶν. ἐν τῷ αὐτῷ δ τί. περὶ τῶν μὴ ἐνεχομένων ἐνεχύρων τε καὶ ὑποθηκῶν· οὗτινος ἐν τῷ δ τί. ἐν τῷ ιβ κεφ. φη(σιν)· οὐδεὶς ἐνεχυροποιεῖ πρᾶγμα, εἰ μὴ ὁ δυνάμενος· ὥστε οὐκ ὁ δοῦλος οὐδὲ ἐπὶ κουράτωρ ἢ διοικητὴς ἢ μισθωτὴς δύναται ἄκοντος καὶ ἀγνοοῦντος τοῦ δεσπότου ὑποτίθεναι πρᾶγμα, καὶ τοῦ τοῦ νομίμου. ἐν τῷ αὐτῷ ιε κεφ. ἐάν τις ἀπὸ προτέρου δανειστοῦ πρᾶγμα ἢ γέγραπται ὑποκειμένου, ἐπειδὴ τὸ δίκαιον ὑπεισῆλθε τοῦ πρώτου, βοηθεῖται ἕνεκεν τῶν ἄλλων. ἐν τῷ αὐτῷ ε τί. περιέχεται τίνες δυνατώτεροι εἰσὶ προτιμηθῆναι ἐν τοῖς ἐνεχύροις καὶ ταῖς ὑποθήκαις εἰσί. περὶ ὧν εὑρήσεις πλατύτερον ἐν τῷ περὶ προτιμήσεως χρέους. ἐν τῷ αὐτῷ ϛ τί. διαλαμβάνει περὶ τοῦ πῶς καὶ πότε δεῖ ὑποτίθεσθαι τὰς στρατείας. οὗτινος ἐν τῷ α κεφ.

πότε ὑπόκεινται τοῖς δανεισταῖς αἱ στρατεῖαι:–

ἀνάγ. ε βι. νϛ κεφ. δ καὶ νι. ιζ κεφ. ε:–

ε

Φη. Θεσπίζομεν τὰς ἐκ τοῦ καλουμένου κάβου σκάλας, μὴ παντελῶς περιχάρως ὑποκεῖσθαι· πλὴν εἰ μὴ δανειστὴς εἴη ὁ εἰς αὐτὸ τοῦτο δανείσας, ἐφ' ᾧ τῆς σκάλας ἐκείνου λυχοῦ. ἐπειδὴ τοῖς ἄλλοις δανεισταῖς, οὐ περιχαρὰς δίδομεν τοῦτο. ἀλλ' εἰ μὲν παῖδες εἶεν ἢ γαμετὴ ἢ ... τούτοις πᾶσι περικεῖσθαι τόποις, ὥστε περιστέναι μέν· καὶ γὰρ κλήρουσιν ἡμετέραν χαρίζεσθαι· οὐ χωρὶς πατρῴου κλήρου εἴτε τὰ ἄλλα ἀπο... ἀλλὰ βασιλικὴν φιλοτιμίαν· ἵνα καὶ τοῖς οὐσίαν καταλιμπάνουσι καὶ τοῖς οὐκ ἔχουσι τὰ ἴσα βοηθῶμεν. εἰ μέντοι οὐδεὶς αὐτοῖς, οὔτε παῖς, οὔτε γυνὴ καθεστήκοι· οὐ γὰρ δανειστὴς ὁ εἰς ταύτην τὴν σκάλαν δανείσας. τηνικαῦτα καὶ τοῖς ἄλλοις δανεισταῖς μεταδίδομεν τῶν τοιούτων· ἵνα μὴ δόξαιμεν ἀπάνθρωπον(?) ποιεῖν. καὶ οὐ γὰρ οὔτε εὐσεβὲς καὶ θεῷ ἀρέσκον ἂν περιέξειν τιθέναι τὸν νόμον τὸν περὶ τῆς σκάλας. τῶν περιβλέπτων στρατιωτικῶν(?) ἰδικῶς δεδομένων καὶ προειλημμένων αὐτοῖς περινομιῶν, ἐπὶ τῆς ἰδίας ἰσχύος μενόντων. Εὑρ. δὲ βι. ξ τ. διαλαμβάνεται περὶ διαπράσεως ἐνεχύρων καὶ ὑποθηκῶν. οὗτινος ἐν φ. ις κε. Φη. Δυνάμεθα τὸ ἀπὸ τῆς καταδίκης ἐνέχυρον πιπράσκειν· ἔοικε γὰρ τῷ ἀπὸ συμφώνου ἐνεχύρῳ, καὶ ὁμοίαν τάξιν ἐπέχει. Εὑρ. δὲ φ. ιζ κε. τὸ ἀπὸ τῆς καταδίκης ἐνέχυρον, ἡ τάξις πιπρασκέτω. εἰ μὲν δὲ εὑρεθῇ ἀγοράζων, εἴτε σὺν ἥττονος εὑρεθῇ καὶ βουληθῇ· ὁ νενικηκὼς ... τίζων ἀγοραζέτω· ἐξέστω αὐτῷ τοῦτο ποιεῖν ὥσπερ ἐξωνεῖται. Εὑρ. δὲ φ. ιθ κε. Δυνάμεθα ὁ δανειστὴς τὸ ἐνεχυριασθὲν αὐτῷ πρᾶγμα, ἑτέρῳ μετενεχυριάζειν. ἐπὶ τούτου δὲ κρατεῖ αὐτοῦ ὁ δεύτερος δανειστής, ἐφ' ὅσον καὶ ὁ πρῶτος ἔχει αὐτὸ ὑποκείμενον. Εὑρ. δὲ φ. κα κε. ὁ δανειστὴς τὸ ὑποκείμενον αὐτῷ πρᾶγμα πωλήσας, οὐ δοκεῖ ἐπὶ δίκην πεπρακέναι· ἐπειδὴ κατὰ πρόσκλησιν νέμεται αὐτὸ ὁ χρεώστης. Εὑρ. δὲ φ. κη κε. κἂν τὸ πολὺ μέρος τοῦ χρέους λάβῃ ὁ δανειστής, οὐδὲν ἧττον πιπράσκει τὸ ἐνέχυρον, καὶ πωλήσας ἰσχυρῶς ἐπώλησεν. Εὑρ. δὲ φ. μγ κε. οὐκ ἄλλως ὁ χρεώστης δύναται ἐμποδίζειν τῇ πράσει τῶν ἐνεχύρων, εἰ μὴ ὁλόκληρον τὸ κεφάλαιον καὶ τοὺς τόκους προσφέρει. εἴτε ἔσω ἀποθῆται. εἰ δέ τις ἐλλείποι· οὐ μόνον οὐκ ἐμποδίζει· ἀλλὰ καὶ ὁ ἀγοραστὴς οὐκ ἐκ... πιστ... νομεύς. Εὑρ. δὲ φ. νζ κε. Ἐάν τις ἐνέχυρον λάβῃ καὶ συμφωνήσῃ τὸ περὶ αὐτοῦ, τὸ δόξαν κρατείτω. εἰ δὲ μηδὲν ἔδοξε καὶ δεκαετία παρέλθοι μετὰ καταδίκην ἢ διαμαρτυρίαν, ἔξεστι πιπράσκειν αὐτό. εἰ δὲ μὴ εὑρίσκεται ἀγοραστής, ὥστε τὸ λοιπὸν δικαίῳ δεσποτείας νέμεσθαι αὐτόν. τότε εἰ μὲν πάρεστιν ὁ χρεώστης διαμαρτύρεσθαι αὐτόν. εἰ δὲ ἄπεστι, τῷ ἄρχοντι ἐντυγχάνει ὥστε αὐτὸν ῥητοῦ χρόνου τάξαι. οὗ ἐντὸς ὀφείλει ζητηθῆναι διὰ τῆς τάξεως. καὶ εἰ μὲν εὑρεθῇ καὶ τὸ χρέος δώσει, λαμβανέτω τὰ ἐνέχυρα. εἰ δὲ μὴ φανῇ, πάλιν ῥητοῦ χρόνου ὁριζέτω ὁ δικαστὴς ἐντὸς οὗ προσκαλεῖται καὶ

τὸ χρέος δοθῇ, καὶ λάβῃ τὸ ἐνέχυρον. εἰ δὲ μήτε οὕτω φανῇ. εἶτ' ἐσύστερον φανεὶς μὴ δῷ τὸ
χρέος ὅλον, τότε προσιτῶ τῷ βασιλεῖ διὰ τῷ δεσπότας φέρων αὐτό. καὶ μετὰ ταῦ-
τα, ἐχέτω ὁ χρεώστης ἄδειαν ἐντὸς ἄλλης διετίας, εἰ τὸ προσενέγκῃ τὸ χρέος, καὶ
λαβεῖν τὰ οἰκεῖα μετὰ τῶν τόκων καὶ τῶν ζημιῶν τῶν συμβασῶν τῷ δανειστῇ. ὁρκωμο-
τοῦντος αὐτοῦ ταῦτα. εἰ δὲ παρέλθῃ ἡ διετία, ἴδιος ἔσω δεσπότας. μὴ ἐκεῖνα
περιπτόμενος αὐτά. εἰς τὸ δ' ξ κε. ἐὰν ὕστερον ὁ δανειστὴς, ὁ δὲ ἐκεῖ καταβληθῇ μοι
τὸ χρέος ἐντὸς τοῦ δὲ τοῦ χρόνου. δεσπότης ἔσται τοῦ ἐνεχύρου. τοῦ τὸ σύμφω-
νον ἀνίσχυρον ἔσω. εἰς τὸ δ' ξβ κε. ὁ ἀγοράσας δανειστικῷ δικαίῳ ἐνέχυρον, οὐ
κακῶς κινεῖ περὶ ἐκνικήσεως. εἰ μὴ τοῦτο συμπεφώνηται ἢ ποίοις τρόποις τὸ ἐνέ-
χυρον καὶ ἡ ὑποθήκη διαλύεται. ἀνάγνωθι καὶ τὸ θ τίτλ. γ κε. ιτ ἐν τῷ φι. οὐ διὰ τοῦ
ἐκβιβασμοῦ λαμβανομένων ἐνεχύρων. πρῶτα τὰ κινητά, καὶ τὰ αὐτοκίνητα πι-
πράσκονται. καὶ εἰ μὴ ἀρκοῦσιν ἢ μὴ εἰσί. τότε τὰ ἀκίνητα. εἰ δὲ μὴ δὲ τὰ ἀκίνητα
ἀρκοῦσιν ἢ οὐκ εἰσί, τότε τὰ δίκαια. εἰ δὲ τὰ ληφθέντα ἐνέχυρα μετὰ ἀγοραστοῦ
προσκομισθῶσι τῷ νικήσαντι ἐφ' οἷς χρεωστεῖται. καὶ ζητήσῃ αὐτὰ εἰς ἐνέχυρα κρα-
τεῖν, καὶ ἀρκέσαι αὐτοῖς, τὸ περιττὸν οὐκ ἀπαιτεῖ. δοκεῖ γὰρ ἐφ' οἷς χρεωστεῖται δια-
λύεσθαι. καὶ κε. λα ἐν τῷ φι. τοῖς χρεώσταις ἀπὸ δι' ἀδιαδότων προθεσμίαν.
εἰ δὲ οὐκ ἐκλίνει καὶ ἐκκλίνεσθαι. τῶν δὲ ἀγνωμόνως ὑπερτιθεμένων, καὶ ἐνεχύρων
λαμβάνονται. καὶ κατακριθέντες δὲ προθεσμία δίδοται. ὧν δὲ μετὰ τὴν προθεσμίαν
διδόντων, ἐνέχυρα λαμβάνονται. καὶ εἰ ἐντὸς δύο μηνῶν μὴ δῶσι, πιπράσκονται.
καὶ εἰ τὸ περιττὸν ἐκ τῆς τιμῆς ἀναλαμβάνουσι. καὶ κε. νς. ἀνάγνωθι καὶ τὸ θ τίτλ. ιθ
κε. κτ ἐν τῷ φι. ἐὰν ἀπὸ τοῦ κατακριθέντος ληφθῇ ἐνέχυρα καὶ ταῦτα ἐπρά-
θη, οὐ δύναται ὁ κατακριθεὶς κινεῖν κατὰ τοῦ ἀγοράσαντος, καὶ ἐκδικεῖν αὐτά. ὅπου γε εἰ
καὶ ἄλλως ἐξενίκησεν αὐτά, ἔμελλεν ἐνάγεσθαι ὡς ἀφῃρημένος ἐκ τῆς τιμῆς αὐ-
τῶν. ἀνάγνωθι καὶ τὸ κϛ τίτλ. ε κε. ιβ θ. τί. λ. ἀνάγνωθι καὶ τὸ να τίτλ. λ κε. λ θ. β.

κε Περὶ ἐνοίκων. ἀνάγνωθι τὸ κ τίτλ. α. οὐτινος ἐν τῷ κλ κε. φι.

Τῶν ἐνοίκων ἐπὶ πολλῷ χρόνου τουτέστιν ἐπὶ διετίαν μὴ φαινομένων μήτε τοῦ
νόμιμον καταλειφθέντων. ἔξεστιν τοῖς διαφέρει ἀνοίγειν καὶ παρόντων δημοσίων προσώ-
πων ἀπογράφεσθαι τὰ ἔνδον ὄντα. εἰς τὸ δ' ξι κε. φι. ὡσαύτως λέγει νόμιμον ἢ
τί. ὅτε ὁ ἔνοικος ἐφόδιν δίδωσι τὸ μίσθωμα, οὐκ ἐκβάλλεται παρὰ τοῦ δεσπότου.
εἰ μὴ δέῃ ἢ εἰς ἰδίαν χρείαν ἀναγκαίαν δέηται τοῦ οἴκου. ἢ ἐπισκευάσαι βούλεται.
ἢ ὁ ἔνοικος κακῶς αὐτῷ κέχρηται. εἰς τὸ δ' ξε κε. πάντα τὰ εἰσκομισθέντα εἰς
τὸν οἶκον τοῦ μισθωθέντος αὐτοῖς ἀγροῦ, ὑποκείνται τῷ δεσπότῃ. ἀπὸ

κεῖνται· οὐ μόνον ταῦτα ἐπὶ τῆς μισθώσεως. Ἐπὶ δὲ οἴκου μισθωθέντος καὶ ἀγνοοῦντος τοῦ δεσπότου, εἴτινα εἰσενεχθῶσιν, ὑπόκεινται. αὐτ. καὶ β΄ κε΄ τ. γ΄ Ἰουλιανὸς ἐν τῷ β΄ κεφ. φη. Τὰ εἰσφερόμενα εἰς τὸν οἶκον πάντα τὰ πράγματα τοῦ ἐνοίκου ὑπόκειντ(αι). οὐ μόνον ἐπὶ τοῖς στεγονομίοις· ἀλλὰ καὶ ἐφ᾽ οἷς τὸν οἶκον κατὰ ῥᾳθυμίαν ἔβλαψε. περὶ ὧν καὶ τῇ ἐπὶ μισθώσει ἀγωγῇ ὑπόκειται. ὁμοίως καὶ ἐν τῷ α΄ κεφ. φη. αὐτ. καὶ τ. ε΄ κεφ. θ΄ θέμ. β΄. αὐτ. καὶ β΄ ξ΄ τ. ιθ΄ ἐν ᾧ διαλαμβάνεται περὶ τῶν κωλυομένων μετοικῆσαι. Ἰουλιανὸς ἐν τῷ ε΄ κεφ. φη. Εἰ συμφωνήσει ὁ ἔνοικος περὶ τοῦ χρόνου μὴ ἀναχωρεῖν καὶ ἄλλους ὑπὸ μέρους δηλονότι μετοικῆσαι, οὐ κινεῖ τὸ νόμιμον ἐπερώτημα. εἰ μὴ τὸ πᾶν δεδ. εἰς ὅλον γὰρ τὸν χρόνον ὑπόκειται τὰ ἐνέχυρα. καὶ εἰ μὴ ἐλευθερωθῶσιν, οὐ κινεῖται τὸ νόμιμον ἐπερώτημα. περὶ τούτων δὲ πλατύτερον ζήτησις ἐν τῷ περὶ μισθώσεως καὶ ἐκμισθώσεως τίτ. :—

## Περὶ ἐντολῶν καὶ ἐντολέων. αὐτ. β΄ ιδ΄ τ. β΄ κεφ. α΄ θέμ. ς΄ ἐν τῷ φη. :— κς΄

Ἐὰν διορισάμενοί σοι πραγματεύσασθαι πρᾶγμα διὰ λέξεως αὐτὸ πραχθῆναι ὑπὸ ἀμφοτέρων του. εἴ με ὡς τὸν μέλλοντα φυλάττειν ἔδωκα, κατὰ σοῦ ἔχω τὴν περὶ παραθήκης ἀγωγήν. οὔτε τὴν περὶ ἐντολῆς. εἰ μὴ ἐνετειλάμην κινδύνῳ σου αὐτὸ πραχθῆναι. αὐτ. καὶ β΄ ιδ΄ τ. α΄. Ἰουλιανὸς ἐν τῷ α΄ κεφ. φη. ἡ τῆς ἐντολῆς ἐνοχή, ὡς ἡ περὶ συμφωνίας ἀγωγή ἐστι. Συνίσταται ἡ ἐντολὴ καὶ δι᾽ ἀγγέλου καὶ δι᾽ ἐπιστολῆς καὶ οἵοις δήποτε ῥήμασι. καὶ ὑπὸ ἡμέραν καὶ ὑπὸ αἵρεσιν. χρὴ χάριν εἶναι δὲ τὴν ἐντολήν. προσγενομένων γὰρ χρημάτων, μίσθωσις γίνεται. Ἐν τῷ δὲ γ΄ κεφ. ἐὰν ἀποδείξῃ ὁ ἐνταλθείς, κρείττονα ποιεῖ τὴν αἵρεσιν τοῦ ἐντειλαμένου· χείρονα δὲ οὐδέποτε. Ἐν τῷ δὲ ς΄ κεφ. θέμ. γ΄. ἐπὶ αἰσχρῷ πράγματι ἐντολὴ οὐ συνίσταται. Ἐὰν ἐντείλωμαί σοι ὑπὲρ ἑτέρου τι πρᾶξαι, κινεῖται μεταξὺ ἐμοῦ καὶ σοῦ ἡ περὶ ἐντολῆς ἀγωγή. Ἐν δὲ ὑπὲρ σοῦ μόνου, οὐκ ἐνέχομαι εἰ μὴ ἄρα οὐκ ἂν ἔπραξας, εἰ μὴ ἐνετειλάμην, ἢ καὶ ἐμοὶ διαφέρει. Ἐν τῷ δὲ ζ΄ κεφ. ὁ δεηθεὶς ἐν διοικήσει τῆς δίκης ὀψώνιον, ἐξτραορδίνως ἀπαιτεῖται. καὶ σκοπεῖ ὁ δικαστὴς εἰ ὑπὲρ κακίας συνεφωνήθη, ἢ ὑπὲρ διοικήσεως δοθῆναι. οὐ μὴν δὲ τῆς δίκης ἀποτμήσεως πολλοῖς χρήμασιν ὁ διοικητὴς τῆς δίκης παρανόμως ἠγόρασεν. αὐτ. καὶ β΄ ιζ΄ τ. α΄ κεφ. κζ΄ καὶ β΄ κζ΄. καὶ θ΄ κς΄ τ. δ΄ κεφ. λε΄ ἐν τῷ φη. οὐ δύναται ὁ ἐνταλθεὶς κινῆσαι περὶ χρέους. ἐὰν ὁ ... λαβεῖν καὶ τὸ λοιπὸν ἀμέλειαν ποιῆσαι. ὁ ... οὐ δὲ μεταθεῖναι ἢ ἀνακαινίσαι δύναται τὴν ἀγωγήν. αὐτ. καὶ τ. ε΄ κεφ. ριε΄. αὐτ. καὶ β΄ νς΄ τ. α΄ κεφ. κε΄ θέμ. γ΄ ἐν τῷ φη. ὁ ἐνταλθεὶς οὐκ ἀπαιτεῖ ἀπὸ ... ἃ καταλειφθεὶς ναυαγίῳ ἀπώλεσεν, ἢ περὶ τὴν ἰατρείαν καὶ τὴν τῶν ἰδίων νόσων ἐδαπάνησε. ταῦτα γὰρ κατὰ τύχην, οὐ μὴν αἰτίᾳ τῆς ἐντολῆς συνέβη :—

κζ΄ Περὶ συνηγόρων. ἀνά(γνωθι) βι. ε΄ τι. β΄ ἀπὸ τοῦ π΄ κεφ. σὺν τοῖς ἑξῆς κεφ. φι:

Μηδεὶς τὴν ἑτέρου δίκην ἀγοραζέτω· πρὸ γὰρ μέλλει γενέσθαι συνήγορος εἰ βούλεται· καὶ μὴ χρηματαδοσίαις τὴν ἀγωγὴν συνελκέτω. ἐν τῷ ϛ΄ τῷ κεφ. μετὰ προκατάρξιν ὁ συνήγορος μὴ ἀποκινείσθω πρὸ τοῦ τέλους τῆς δίκης· εἰ μὴ κατὰ φθόνησιν ἔχθρας ἢ νόσου ἢ ἑτέρας ἀναγκαίας παρεμπιπτούσης αἰτίας. ἀνά(γνωθι) καὶ βι. θ΄ τι. ι΄ κεφ. ι΄ καὶ τι. ια΄ θέματος σὺν ἑξῆς κεφ. φι. οὐ μόνον ἐνάγων ἀλλὰ καὶ ὁ ἑτεροπλοῦς ἐκ προσώπου τοῦ ἀπολιμπανομένου δίδωσι τὴν ἱκανοδοσίαν ὁ συνήγορος. ἀνά(γνωθι) καὶ βι. να΄ τι. λ΄ κεφ. θ΄ σὺν ἑξῆς φι. Ἐὰν ὁ συνήγορος μου χρήμασιν ὑπὸ φθορᾶς καταδικασθῆναι ἀναγκάζηται, κελεύομεν προστεθέα φι. καὶ οὔτε αὐτὸς ἀπαιτεῖ ἀποδίδωσιν· αἰτίας τῆς ἐκκειμένης αἰτίας, κρατεῖ τὸν ἐστὶν ὁ λαβών. καὶ κεφ. κθ΄. ἀνά(γνωθι) καὶ βι. ξ΄ τι. να΄ κεφ. λ΄ θέμα ζ΄ σὺν ἑξῆς φι. ὁ συνήγορος τὰ τῆς δίκης προδιδοὺς δικαιώματα, δι' ἧς ἐξ αὐτῶν, μεταλλίζεται. τίμιος δὲ δημεύεται εἰς τὸ ἥμισυ. καὶ δηλικῶς ἐξορίζεται:

κη΄ Περὶ ἐξορίστων. ἀνά(γνωθι) βι. ξ΄ τι. να΄ κεφ. γ΄ θέμα β΄ σὺν ἑξῆς φι:

Οἱ μὴ παραδοθέντες τῇ ἐξορίᾳ, ἀλλ' ἐν ἑτέροις διεισκομένοι τόποις, ἢ μὴ ἀπιόντες εἰς τὴν ἐξορίαν, ἀντὶ τῆς ἐξορίας προσκαίρου, διηνεκῆ ὑφίστανται. ἀντὶ δὲ διηνεκοῦς ἐξορίας, περιορισμόν· ἀντὶ δὲ περιορισμοῦ κεφαλικὴν τιμωρίαν. καὶ κεφ. λ΄ σὺν ἑξῆς φι. ὁ προσκαίρως ἐξοριζόμενος, ἐὰν ἀποφύγῃ, διηνεκῶς ἐξορίζεται· ὁ δὲ διηνεκῶς ἐξορισθείς, μεταλλίζεσθαι· ὁ δὲ μεταλλισθείς, ἀποφεύγων, ἀποκεφαλίζεται. καὶ ὁ προσκαίρου φυλακὴν φυγών, διηνεκῶς φυλάττεται· ὁ δὲ διηνεκῆ φεύγων, μεταλλίζεται· ὁ δὲ μέταλλον φυγών, ἐσχάτως τιμωρεῖται. καὶ κεφ. με΄ καὶ νϛ΄. καὶ βι. ε΄ τι. να΄ θέματος σὺν ἑξῆς α΄ κεφ. φι. ὁ ἐξόριστος οὐ δημεύεται· ὁ περιορισμένος, ἐλευθερίας οὐ χωρίζεται:

κθ΄ Περὶ ἐξωπροίκων. ἀνά(γνωθι) βι. κθ΄ τι. α΄ κεφ. ϛ΄ θέμα γ΄ σὺν ἑξῆς φι:

Τὰ ἐξώπροικα οὐ γίνονται τοῦ ἀνδρός, εἰ μὴ ἐπὶ τούτῳ δοθῶσιν αὐτῷ. καὶ λυομένου τοῦ γάμου κατὰ νόμους ἀπαιτοῦνται. καὶ οὐδὲ τῆς ἐπὶ τῇ προικὶ ἀγωγῆς. εἰ δὲ περὶ αὐτῶν ἀσφαλίζεται. δηλοῦν αὐτὰ ἐκδοθῆναι εἰς τὸν ἄνδρα αὐτοῦ, κἂν ἀσφαλὴς ἐστι. τὸ θεῖον τοῦ αὐτοῦ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ τὸ παραδοθῆναι αὐτῷ. ὁμοίως οὐ γίνονται αὐτοῦ. διὰ γὰρ τὸ μὴ ἀρνεῖσθαι αὐτὸν ἀσφαλίζεται, καὶ ὡς ἐπὶ παντὶ ὁμολογεῖ τὴν φυλακὴν αὐτῶν, εἰ μὴ ἴσως κατέχειν αὐτά. καὶ μὴ ἀποδιδοὺς, ἐνάγεται τῇ περὶ παραθήκης ἀγωγῇ καὶ τῇ περὶ συναλλαγῆς. εἰ δὲ μὴ ἀνεδέξατο τὴν φυλακήν, εἰ μὴ ἐπὶ τῷ ἀποκλεῖσαι παρεκράτησεν. ἡ περὶ ἀποκρυβέντων πραγμάτων ἀγωγὴ κινεῖται. λέγεται δὲ παρὰ τοῖς ἄλλοις, τὰ παράφερνα πεκουλίων. ἀνά(γνωθι) καὶ βι. λ΄ τι. α΄ κεφ. οα΄ σὺν ἑξῆς φι. Ἐὰν τὰ ἐξώπροικα τ

ε´

γυναικὸς ὁ ἀνὴρ δαπανήσῃ, ἐκ τῆς διωρισμένης ἐκδόσεως· οὐκ ἐνάγεται ὁ κληρονόμος αὐτοῦ· καὶ μὴ μόνον εἰς ὃ γέγονε πλουσιώτερος. εἰ δὲ παρῃτησάμην αὐτῆς ἤγουν πάντα τὰ ἐξωπροίκια ἀναγκάζεται ἀποκαταστῆσαι:

Περὶ ἐξοπλισμοῦ ἀγροῦ τε καὶ οἴκου, καὶ ἐργαστηρίου. ἀνάγνωθι β´ μα´ τί. ι´. Περὶ δὲ εὑρήσεως ἔνθα περὶ μετάλλων. Περὶ ἐπαγγελλομένων ἔργον τι ποιεῖν ἐν πόλει, ἢ χρήματα διδόναι. ἀνάγνωθι β´ νδ´ τί. ιγ´. ζήτει νόμος ἐν φ. α´ κεφ. φι´: λ´

περὶ ἐξελάσεως διαφόρους ἐν τῷ περὶ ζημίας:

Ὁ ἐπαγγειλάμενος πόλει ποιεῖν ἔργον ἢ διδόναι χρήματα, εἰ μὲν ἀπὸ τῆς ἀφορμῆς θέας, οὐκ ἐνέχεται τέως. οὐ πάντως δὲ ὁ ἐπαγγειλάμενος ἐνέχεται. εἰ μὲν γὰρ διὰ τὸ ψηφισθῆναι αὐτῷ τιμὴν ἢ διά τινα ἑτέραν εὔλογον αἰτίαν ἐπαγγέλληται, κατέχεται. εἰ δὲ χωρὶς αἰτίας, οὐ κατέχεται. εἰ μὴ τοῦ ἔργου ἤρξατο. ἄρχεσθαι δὲ δοκεῖ θεμέλιον θεὶς ἢ καθαίρων τὸν τόπον. ἢ ἐὰν παραδοθῇ αὐτῷ ὁ τόπος. ἢ ἐὰν ὕλας ἀποθῆται ἢ τὰς δαπάνας. εἰ δὲ καὶ χρήματα ἐπαγγέλληται καὶ ἡ πόλις θαρροῦσα τοῦ ἔργου ἐνήρξατο. ἐν δὲ τῷ ϛ´ κεφ. σύμφωνον ἐστὶ δύο συναίνεσις καὶ συνθήκη. ἡ δὲ ἐπαγγελία, μόνου τοῦ ἐπαγγελλομένου ὑπόσχεσις. καὶ ἐὰν διαλείπων ὑπεξέλθῃ, τὸ χρέος ἀπαιτεῖται. εἰ δὲ καὶ μὴ διαλείπων ἤρξατο δὲ τοῦ ἔργου, ἀναγκάζεται πληρῶσαι. ὁ ἐπαγγειλάμενος πρᾶγμα τῇ πόλει καὶ δοὺς, οὐ δύναται μεταμελούμενος, ἀναλαβεῖν αὐτό:

τί ἐστι σύμφωνον καὶ τί ἐπαγγελία:

Περὶ ἐρωτήσεων καὶ ἐπερωτώντων, καὶ ἐπερωτωμένων. ἀνάγνωθι β´ κα´ τί. θ´. ζήτει νόμος ἐν φ. α´ κεφ. φι´: λϛ´

Ὁ συνθέμενος τινὶ ἐπερωτήσας ἑαυτῷ δοθῆναι, δύναται καὶ ἀλλαχοῦ κινεῖν, οὐ μέντοι ἀγωγὴν τὴν τοῦ ἐναγομένου καὶ τοῦ ἐνάγοντος, σκοποῦντες τὸ διαφέρον. διὸ καὶ αὔξει καὶ μειοῦται τὸ ποσόν. ἐν δὲ τῷ ϛ´ κεφ. ἐπὶ ἑτεροιότητος πραγμάτων· οἷον ἐνταῦθα ὁμολογεῖ πέτρον ἢ παῦλον τῶν ἐκ δύο ζητουμένων ὁ ἐναγόμενος ἔχει τὴν ἐπιλογὴν ὅσον βούλεται παρασχεῖν. τοῦ ἑνὸς δὲ φθειρομένου, τὸν ἕτερον ἀναγκάζεται παρασχεῖν. ἐπὶ δὲ τῆς τῶν τόπων ἑτερότητος, ἐπιλογὴν ὁ ἐναγόμενος ἔχει καταβαλεῖν ἔνθα βούλεται. μὴ καταβάλλοντος δὲ αὐτοῦ, ἀπαιτεῖ ὁ ἐνάγων, ὅπου θέλει. εἰ δὲ μετὰ ἑτερότητος τῶν πραγμάτων καὶ τῶν τόπων, ὁ ἐνάγων ἔχει τὴν ἐπιλογὴν· οἷον καὶ ὅπου βούλεται ἀπαιτεῖν. ἀνάγνωθι καὶ β´ κϛ´ τί. δ´. καὶ τί. ε´ κεφ. κθ´ καὶ λ´ καὶ λα´. καὶ κεφ. ξι´ τί. δ´. καὶ κεφ. πζ´ τί. ϛ´. καὶ κεφ. ϛ´ τί. ϛ´ καὶ ζ´. καὶ κεφ. ρϛ´ ἐν φ. φι´. Ἡ ἐπερώτησις ἢ φυσικῶς, ἢ πολιτικῶς λύεται. φυσικῶς μὲν, διὰ καταβολῆς. ἢ ὅτε φθαρῇ τὸ ὁμολογηθὲν πρᾶγμα χωρὶς ἐνθυμήσεως τοῦ ἐπερωτηθέντος. πολιτικῶς δὲ διὰ ἀποχῆς. ἢ ὅταν εἰς τὸ αὐτὸ περιστῇ πρόσωπον τὸ δίκαιον τοῦ ἐπερωτῶντος καὶ τοῦ ἐπερωτηθέντος. ἀνάγνωθι καὶ β´ μγ´ τί. α´. ζήτει νόμος ἐν τῷ ε´ κεφ. τί. γ´ ἐν φ. φι´. Τῶν ἐπερωτήσεων αἱ μὲν δικαστικαί εἰσιν. αἱ δὲ πραιτώρειαι. αἱ δὲ καὶ αὐταὶ καὶ δικαστικαὶ καὶ πραιτώρειαι.

ἀλλὰ συναινετικαί· δικαστικαὶ μέν εἰσιν, αἱ μόνως ἐκ τοῦ ὀφφικίου τοῦ δικαστοῦ ἁρ-
μόζουσαι· ὡς ἡ περὶ τοῦ δόλου ἀσφάλεια. πραιτωρεῖαι δέ, αἱ ἀπὸ τοῦ πραίτωρος·
ὡς ἡ περὶ μελλούσης ζημίας κινουμένη ἀσφάλεια. πραιτωρείας δὲ μόνον, καὶ τὰς ἀεδι-
κίας. κατ' αὐτὰς δὲ δικαστικαὶ καὶ πραιτωρεῖαι· ὡς ἡ περὶ τῶν πραγμάτων τῶν ἀνή-
βων φυλακή, καὶ ἡ περὶ τοῦ διπλασίου. συναινετικαὶ δὲ ἐπερωτήσεις εἰσίν, αἱ ἀ-
*τί ἐστιν ἐπερώτησις.* πὸ συμφώνου γινόμεναι. ἐν τῷ ῷ ς' κεφ. ἐπερώτησίς ἐστι σύνθεσις ῥημάτων, δι' ὧν
ἀποκρινόμενος πρὸς τὴν ἐπερώτησιν ποιεῖν τι ἢ δοῦναι. ἐὰν ἐπερωτήσω τὸ κεφ. καὶ
ἐκ τοῦ μὴ καταβληθῆναι ποινήν, καὶ ὁ εἷς τῶν κληρονόμων μὴ καταβάλῃ, βεβαιοῦται
καὶ τῶν ἄλλων ἡ ποινή. ἐν τῷ ῷ ιζ' κεφ. ἐπερώτησις τῆς προαιρέσεως ἠρτημένη τοῦ
ὁμολογοῦντος, οὐκ ἔρρωται. ἐν τῷ ῷ κς' κεφ. αἱ αἰσχραὶ ἐπερωτήσεις, ἀνίσχυροί εἰσιν·
ὡς ὅταν τις ὁμολογῇ φόνον ποιεῖν ἢ ἱεροσυλίαν. ὅτι ἐὰν ὦσιν ἐκ τοιούτων ἁρμόζει.
ἐν τῷ ῷ λδ' κεφ. ἐὰν ἐπερωτήσω τὸ κατὰ φύσιν μὴ δυνάμενον γενέσθαι· ἄπρακτος
ἡ ἐπερώτησις. ὥσπερ ὅτε ἐπερωτῶ τὸ μὴ δυνάμενον δοθῆναι· εἰ μὴ ἄρα περὶ τοῦ ἐπε-
ρωτηθέντα λέγομεν τὸ μὴ δυνηθῆναι δοῦναι. εἰ δὲ καὶ ὁ νόμος κωλύει γενέσθαι τὸ ἐπε-
ρωτηθέν, ἄπρακτος ἡ ἐπερώτησις. ὡς ὅταν ὁμολογήσω λαβεῖν τὴν ἀδελφήν μου. ἐν
τῷ ῷ λς' κεφ. ὅτε τις περὶ τοῦ συμφώνου καὶ δόλου ἐπερωτηθῇ. εἰ καὶ μὴ ἀπὸ τοῦ ἀντι-
δίκου, ἀλλ' ἐξ αὐτοῦ τοῦ πράγματος ἡ ἀπάτη, ἔγκλημα τοῦ δόλου παραγραφή. ἐν
*περὶ ὑπεξουσίων.* τῷ ῷ με' κεφ. ἐὰν ἐπερωτήσῃ ὁ ὑπεξούσιός μου, ἐγὼ δοκῶ ἐπερωτᾶν. καὶ ὥσπερ ὁ αὐ-
τεξούσιος. οὕτω καὶ ὁ ὑπεξούσιος ἐπερωτᾶν δύναται. ὅτε μέλλει τελευτᾶν ὁ ὑπεξούσι-
ος υἱὸς εἰ καὶ μὴ γινώσκῃ τοῦ πατρός, αὐτῷ πρὸς ποιεῖ τὴν ἐπερώτησιν. ἐν τῷ ῷ να' κεφ. ἐ-
*περὶ ὑπερθέσεως.* ὰν μὴ γενομένης ὑπερθέσεως ὁ δοῦλος οὗ ἐπερωτήθην ἀποθάνῃ, οὐκ ἐνέχομαι εἰ μὴ
διὰ τὸ αὐτὸν ἔφθασα ἢ δι' ἐμὲ ἐπείγεται πρὸς τὸ ἀποθανεῖν αὐτόν. ἐὰν ὁ ἐπερωτηθεὶς ὑπερ-
θεσιν ποιήσῃ. διηνεκῆ ποιεῖ τὴν ἐνοχὴν καθ' ἑαυτοῦ καὶ κατὰ τῶν αὐτοῦ διαδόχων ἐκ τῶν
ἐπιτιμίων· ὅθεν καὶ ἀποθανόντα τὸν δοῦλον κρατῶς ἀπαιτεῖται καὶ δίδωσιν ἐπ' αὐτῷ
ἐκτίμησιν καὶ ἀνακαινίζει τὴν ἐπ' αὐτῷ ἐνοχήν. ὁ δὲ ποιήσας ὑπερθεσιν καὶ ὕστερον προ-
*περὶ ἀσαφῶν.* σφέρων τὸ ἐπερωτηθέν, λύει τὴν ἐνοχήν. ἐν τῷ ῷ ξε' κεφ. ὁ συμβαλλόμενος ἢ συστά-
σει τῆς ἐνοχῆς εἰ μὴ φανερῶς ἐκφωνηθῇ περιηγεῖσθαι πιστεύεται· τὴν γὰρ ἀσάφειαν
ὡς ἐπὶ πολὺ ὑπὲρ τοῦ ὁμολογήσαντος ἑρμηνεύομεν. ἐν τῷ ῷ ρη' κεφ. οὐκ ἔρρωται
ὁμολογία τῆς βουλήσεως ἠρτημένη τοῦ ἐπερωτωμένου. ἐν τῷ ῷ ρνθ' κεφ. θέμ. γ'. τη-
νικα ὁμολογία μεταξὺ παρόντων γράφεται. πιστεύεται ἠκολουθηκέναι ἡ ἐπερώτησις κἂν
μὴ ἐγράφη· ὅτε πολλοῖς συμφώνοις μία ἐπερώτησις καὶ ὁμολογία ὑποβάλλεται.
δοκεῖ περὶ ἑκάστου αὐτῶν ἡ ἐπερώτησις γίνεσθαι. ἀπὸ καὶ β' καὶ γ' ἐν ᾧ διαλαμβάνει)

περὶ ἐπιπωλήσεως δούλων. οὕτινος ἐν τῷ ιδ' κεφ. φη. ὁ δοῦλος ὁ, ἤτοι ἐμοί, ἤτοι αὐτῷ ἤτοι τῷ συνδούλῳ. ἤτοι ἀπροσώπως ἐπιπωλήσει, ἐμοὶ προσποιεῖται. αὐτ. καὶ τ. δ' ἐν ᾧ διαλαμβάνεται περὶ προτιμήσεων ἐπιπωλήσεων. αὐτ. καὶ τ. ε'. οὕτινος ἐν τῷ ε' κεφ. φη. ἐκδικεῖται τις ἀπὸ ψιλῆς ἐπαγγελίας κατέχεται. εἰ μέντοι προωμολογήσεν ὅτι ἐμὴ ποιῆσαι ποινὴν δίδωμι ὁ συνάξιον τὸ ἐπαγγελθέν. παραβαίνων τὴν ἐπαγγελίαν. δίδωσι τὸ πρόστιμον. ἐν δὲ τῷ θ' κεφ. ἐάν τις διαθάνατον ἢ σωματικὴν αἰτίαν δεδικασμένος ὡμολόγησε ἐναγόμενος, ἔχει παραγραφήν. εἰ δὲ διὰ τοιοῦτον οὐ μὴν αὐθαίρετον αἰτίαν ὡμολόγησε, κρατεῖται. εἰ δὲ διὰ τὸ μὴ κατηγορηθῆναι ἐγκληματικῶς, οὐκ ἔρρωται. ἐν δὲ τῷ ι' κεφ. πᾶσα ἐπιπώλησις ἢ ἔκδοσις ἢ ἐνυποθήκη ἤτοι μισθὴ καὶ τῷ κληρονόμους καὶ κατακληρονόμων περιπίπτει. καὶ μηνύματα ἔχουσιν αὐτῶν καὶ μή. ὅ δὲ τοῖς προσώποις ἐπετέλεσται, δηλαδὴ καὶ τοὺς κληρονόμους ποιεῖται. καὶ οὐχὶ τὰ ἀκείβειᾳ τοιούτων προσέχειν. αὐτ. καὶ τ. ς'. οὕτινος ἐν τῷ α' κεφ. φη. ἐὰν συμφωνήσωσι τινὲς ὥστε τὸν προτελευτῶντα τῷ ἑτέρῳ διδόναι τὴν ἰδίαν οὐσίαν, ἄκυρον τὸ τοιοῦτον. ἀνάγνωθι καὶ τὸ να' τ. δ' κεφ. ζ' θ' τ.:—









## περὶ ἐπιβούλων τῶν κατὰ οἱουδήποτε τόπου ἤτοι κατὰ τῆς βασιλ. ἤτοι κατὰ τῆς πολιτείας. ἢ τοῦ στρατοῦ. ἢ τῶν ἀρχόντων αὐτῶν μελετησάντων. ἢ στασιασάντων. ἢ προδοσίαν τινὰ ποιησάντων. ἢ πρὸς τοὺς πολεμίους αὐτομολησάντων. ἢ γράμματα στειλάντων. ἢ ἐρεθισάντων στρατιώτας πρὸς στάσιν καὶ θόρυβον. ἢ προδιδόντων κάστρα. ἢ αὐτεπιβουλευόντων. ἢ συνωμοσίαν ποιούντων. ἢ βλαπτόντων λόχος. ἢ διὰ τὸ καὶ μὴ διὰ τῆς πόρτης εἰσιόντων. καὶ τινὲς αὐτῶν ὑπόκεινται τῷ τῆς ἱεροσυλίας ἐγκλήματι. καὶ τινὲς τῷ τῶν φονευτῶν. αὐτ. ἐ ξ' τ. λς'. οὕτινος ἐν τῷ α' κεφ. φασίν:—

**Ο** περὶ τῶν ἐπιβούλων νόμος. ὅμοιός ἐστι τῷ περὶ ἱεροσυλίας, καὶ ἐνέχεται αὐτῷ. ἐν δὲ τῷ ιζ' κεφ. ἐπὶ τῆς καθοσιώσεως καὶ οἱ συνειδότες βασανίζονται. ἐμοὶ φανερούς ἐλέγχους ἔχουσιν. ἐν δὲ τῷ κ' κεφ. οἱ ἁμαρτηκότες καθοσιώσιν, καὶ σὺν τῇ ζωῇ τῇ ἐνέχονται, καὶ δημεύεται ἡ οὐσία αὐτῶν. αὐτ. καὶ τ. να' κεφ. λδ' ἐν τῷ φη. οἱ αὐτόμολοι καὶ οἱ τὰς ἡμῶν βουλὰς τοῖς πολεμίοις ἀπαγγέλλοντες. καίονται ἢ φουρκίζονται. καὶ κεφ. λς' ἐν τῷ φη. ὁ τὸν πολέμιον φεύγοντα ἐν δόλῳ ὑποδεξάμενος, πειρασθήσεται. ὁ δὲ εἰδὼς αὐτὸν εἶναι πολέμιον καὶ ἐπὶ πολὺ ἀναδεχόμενος κρύπτεσθαι, ἐξορίζεται. καὶ κεφ. νθ' ἐν τῷ φη. ὁ τοὺς βαρβάρους ναῦς κατασκευάζειν διδάσκων, κεφαλικῇ τιμωρίᾳ ὑπόκειται. αὐτ. καὶ τ. νβ' κεφ. ιε' ἐν τῷ φη. ἐάν τις ἐπὶ τυραννίδι ἐλεγχθῇ δημοσίου ὑπομένει. οἱ μὲν ἔχοντες αὐτὸν πράγματα καὶ διαλαλοῦντες ἐν τῇ βασιλίδι πόλει. ἐκ τῶν ὁπλωμένων. ἐ δὲ μὴ τοὺς

λϛ΄ ποιήσουσι, κατὰ τῶν πραγμάτων τὸ ἑξαπλάσιον πρέχον):

Περὶ ἐπιβολῶν. Ἔστι δὲ ἐπιβολή, ἐπίδοσις ἀπόρου κλάσεως πρὸς κληρονόμους ἢ συντελεστάς, καὶ ὁμοχώρους καὶ ὁμοσκήνους. ἀνάγνωθι β΄ νϛ΄ τ΄ ια΄ κεφ΄ ϛ΄ ἐν τῷ φθάσαντι:

Εἴποτε δὲ συμβαίη ἐπιβολὴν οἱασδήποτε κλάσεως ὁμοδούλων ἢ ὁμοκήνσων γενέσθαι, ἐξ ἀπόρου τοῦ ἔχοντος κεκτημένου, τὸν τὴν ἐπιβολὴν δεχόμενον ἀπαιτεῖσθαι ὑπὲρ αὐτῆς τὰ δημόσια, ἐξ οὗ παρεδόθη αὐτῷ ἡ ἐπιβαλλομένη κτῆσις. μὴ ἄλλως δὲ τὴν ἐπιβολὴν γίνεσθαι, εἰ μὴ ἔγγραφον περὶ τούτου κέλευσις γένηται παρὰ τῶν τῆς ἐπαρχίας ἀρχόντων. καὶ ψῆφος αὐτοῦ προσῇ δηλοποιοῦσα τὸν ὀφείλοντα δέξασθαι τὴν ἐπιβολήν. Εἴποτε δὲ συμβαίνη διὰ τὸ ὀλίγον οἱασδήποτε κλάσεως ἢ μὴ φαίνεσθαι ἢ πρὸς τὴν τῶν δημοσίων καταβολὴν μὴ ἀρκεῖν, ὥστε διὰ τοῦτο τὴν τῆς ἐπιβολῆς ἀνάγκην γενέσθαι. κελεύομεν παρεξαίρεμα ταύτην παραδίδοσθαι τοῖς ὁμοδούλοις ἢ ὁμοκήνσοις χωρία ἐγκειμένοις. μετὰ πάντων τῶν ἐν αὐτῇ διακειμένων γεωργιῶν καὶ πεκουλίων αὐτῶν καὶ ἐνθηκῶν καὶ καρπῶν καὶ ζώων καὶ πάσης ἄλλης ἐξοπλίσεως καὶ ἀμελιοράσεως ἔνδον διακειμένης. Εἰ δὲ ἢ τὸ πρότερον τὸ ὀφεῖλον αὐτὴν κατὰ τοὺς νόμους ὑποδέξασθαι μὴ εὑρεθῇ. ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ ὑπερτεθῆναι τὴν ἐπιβολὴν συμβαίη. κελεύομεν ὑπομνήματα γίνεσθαι παρὰ τῶν τῆς ἐπαρχίας ἀρχόντων δηλοῦνται τὴν ποιότητα καὶ κατάστασιν τῆς αὐτῆς κλάσεως καὶ πάντα τὰ ἐν αὐτῇ διακείμενα, καὶ οὕτως αὐτὴν οἱ προκείμενοι, εἴτε οὖν ἐξάκτορες ἢ βίνδικες ἢ ταξεῶται, παραλαμβάνουσιν. ὥστε εἰ μετὰ ταῦτα εὑρεθῶσιν οἱ ὀφείλοντες αὐτὴν κατὰ τοὺς νόμους δέξασθαι. μὴ ἄλλως τοῦτο γίνεσθαι. εἰ μὴ τὰ τῆς προφάσεως τῶν ἐξακτόρων ἢ βινδίκων ἢ ταξεωτῶν χρόνου ἢ ἐπὶ τούτῳ γενομένου τῷ παραλαμβάνοντι ἀποκατασταθῇ. ἀνάγνωθι καὶ τὸ κ΄:

λζ΄ Περὶ ἐπιδίκων τουτέστιν, ὧν ἡ δεσποτεία φιλονεικεῖται. ἀνάγνωθι β΄ κζ΄ τ΄ α΄ βιβλίου ἐν τῷ δ΄ κεφ΄ φ΄. ἀνάγνωθι καὶ ὑ ριθ΄:

Ἐὰν τῆς ἠργμένης τῆς δίκης μεταξὺ ἑτέρου ἢ τὰς ἀγωγὰς ἢ τὰ πράγματα οἱῳδήποτε τρόπῳ. εἰ μὲν οἶδεν ὁ λαμβάνων ἐπίμαχον αὐτό, οὐ μόνον τὸ πρᾶγμα ἀναδίδωσιν. ἀλλὰ καὶ τὸ τίμημα οὐ λαμβάνει. οὐ μὴν οὐδὲ ὁ πωλήσας αὐτὸ κερδαίνει. ἀλλὰ τῷ δημοσίῳ καταβάλλεται. εἰ δὲ ἀγνοεῖ ἀκύρου γενομένου τοῦ συναλλάγματος, οὐ μόνον τὰς τιμὰς ἀναλαμβάνει, ἀλλὰ καὶ ἕτερον ἄλλο. τιμωρούμενος τοῦ πράτου ὡς δόλεον. πάντων τῶν ἐπὶ τούτοις γινομένων συμβολαίων ἀκύρων ὄντων ὑπεξῃρημένων τῶν εἰς προῖκα διδομένων. ἢ προγάμου δωρεᾶς ἢ διαλύσεων ἢ διανεμήσεων ἢ εἰς λεγάτων ἢ ἀποκαταστάσεις. ἢ κληρονομίαν ἢ λαμβανόντων. εἰ δὲ ϛ΄ κεφ΄ π΄ δ΄.

ἐπεὶ ἔξεστι τῷ ἐπιδίκῳ τῷ καθιεροῦν· καὶ ὁ τοῦτο ποιήσας, δίδωσι τὸ διπλοῦν τῷ ἀντιδίκῳ αὐτοῦ. εἰ δὲ παρὰ δυνατωτέρῳ ἀντιδίδωσι αὐτοῦ. εἰ δὲ παρὰ δυνατωτέρῳ ἀντιδίκῳ αὐτοῦ προσφύγῃ :- ἀνάγνωθι νεαρὰν οζ.

**Περὶ ἐπιόρκων. ἀνάγνωθι βιβλ. ξ τίτ. λ κεφ. δ ἐν ἀφορισμοῖς :-** λε'

Περὶ τῆς ἐπιορκίας τοῦ ὀμόσαντος ἐν συμβολαίῳ ἰδιωτικῷ αὐτοῦ εἶναι ὑπὲρ ὑπολ... θέλῃ. τὸ περὶ τοῦ ἐγκλήματος ἀργεῖ. καὶ πρὸς καιρὸν ἐξορίζεται. ἀνάγνωθι καὶ βιβλ. κβ τίτ. ε κεφ. ιθ ἐν ἀφ. ὁ ἐπὶ ζητήμασι κατὰ τοῦ βασιλέως ὀμόσας καὶ ἐπιορκήσας, ἐκπαιδεύεται(?). καὶ κεφ. μ ἐν ἀφ. οὐδεὶς κατὰ τοῦ θεοῦ ὀμόσας κινδυνεύει. ἱκανὸς γὰρ ὁ ὅρκος ἔκδικος εἰ τὸ θεῖον [illegible] τοῦ θεοῦ ἔχει. εἰ δὲ κατὰ βασιλέως κατὰ [illegible] θερμότητα ὀμόσεις, συγχωρεῖται :-

**Περὶ ἐπισκόπων καὶ πρεσβυτέρων αἰτιῶν καὶ προνομιῶν. ἀνάγνωθι βιβλ. γ τίτ. α θέματος(?) ἐν ἀφ. ϛ ἕως ζ κεφ. ἐν ἀφ. περὶ τῶν ζωνοθέντων(?) τῶν παρεχομένων παρὰ τῶν χειροτονουμένων ἐπισκόπων πρὸς τὴν ἔξοδον τῶν ἰδίων ἐπισκόπων ἢ μητροπολιτῶν κανονικῶν(?). ἐν τῷ α ια κεφ. ἐν ἀφ. :-** λϛ'

ἀνάγνωθι καὶ νεαρὰν ϛ κεφ. ξζ κεφ. ζ καὶ νεαρὰν ρκα ἐν ᾗ ἀφ. καὶ περὶ ζωνοθεντῶν(?) διδομένων παρὰ τῶν χειροτονουμένων. ἀνάγνωθι καὶ νεαρὰν ρλα κεφ. θ καὶ νεαρὰν ρλζ τοῦ [illegible] τίτ. ια κεφ. [illegible] καὶ ἐκκλησιαστικῶν πραγμάτων. ἀνάγνωθι καὶ τὸ μα κεφ. ἐν ἀφ. περὶ τοῦ μὴ ἔχειν γυναῖκα τὸν ἐπίσκοπον. ὁρίστης(?) καὶ τοῦτο ἐν τῷ περὶ κληρικῶν :-

Τοὺς δὲ θεοφιλεστάτους ἐπισκόπους καὶ μοναχοὺς ἐκ μηδενὸς νόμου ἐπιτρόπους ἢ κουράτωρας οἱουδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν. ἐν τῷ α ιγ κεφ. οὐδενὶ δὲ τῶν ἀρχόντων ἐξέσται τοὺς θεοφιλεστάτους ἐπισκόπους ἀναγκάζειν εἰς δικαστήριον παρίστασθαι ὑπὲρ τοῦ δοῦναι μαρτυρίαν. ἀλλ' ὁ δικαστὴς πεμπέτω πρὸς αὐτοὺς τινὰς ἐκ τῶν προσώπων τῶν ὑπηρετουμένων αὐτῷ. ἵνα προκειμένων τῶν ἁγίων εὐαγγελίων κατὰ τὸ πρέπον ἱεροῖς προσώποις εἴπωσιν ἅπερ γινώσκουσιν. ἄλλως δὲ ὑπὲρ οἱασδήποτε χρηματικῆς ἢ ἐγκληματικῆς αἰτίας ἐπισκόπους πρὸς ἄρχοντα πολιτικὸν ἢ στρατιωτικὸν ἄκοντα ἢ ἕλκεσθαι ἢ παρίστασθαι δίχα βασιλικῆς κελεύσεως συγχωροῦμεν. ἀλλὰ τὸν ἄρχοντα τὸν τοῦτο ἐγγράφως εἴτε ἀγράφως προστάξαι τολμήσαντα, μετὰ τῆς ζώνης ἀφαιρεῖσθαι. καὶ χρυσίου λίτρας κ ποινὴν καταβάλλειν κελεύομεν τῇ ἐκκλησίᾳ, ἧς ὁ ἐπίσκοπος διατηρῆσαι ἢ παραστῆναι προσετάχθη ὁ δηλωθείς(?). καὶ τὸν ἐκβιβάσαντα ὁμοίως μετὰ τῆς ζώνης ἀφαιρεῖσθαι καὶ βασάνοις ὑποβαλλομένου, καὶ ἐξορίᾳ παραπεμπομένου. ἐν τῷ α ια κεφ. ἀπαγορεύομεν δὲ τοῖς θεοφιλεστάτοις ἐπισκόποις τὰς οἰκείας καταλιμπάνειν ἐκκλησίας, καὶ εἰς ἄλλας ἐπαρχίας παραγίνεσθαι. εἰ δὲ καὶ ἀνάγκη τις τοῦ ποιῆσαι τοῦτο συμβῇ, μὴ ἄλλως ἢ μετὰ γραμμάτων τοῦ μακαριωτάτου αὐτῶν πατριάρχου ἢ μητροπολίτου· ἢ καὶ βασιλικὴν δηλαδὴ κέλευσιν τοῦτο ποιείτωσαν. οὕτω μέντοι ἵνα μηδὲ ἐκείνοις τοῖς ἐπισκόποις οἵτινες ὑπὸ τὸν μακαριώτατον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως καὶ πατριάρχην εἰσίν. ἐξεῖναι δίχα ἐπιτροπῆς αὐτοῦ

ἢ ἡμετέρας κελεύσεως, εἰς τὴν βασιλίδα πόλιν ἐλθεῖν. εἰ δὲ καὶ τοῦτον τὸν τρόπον ἐπί-
σκοπος οἱοσδήποτε τύπου ἀποδημήσῃ· μὴ πλέον ἑνὸς ἐνιαυτοῦ τὴν ἰδίαν καταλιμ-
πανέτω ἐκκλησίαν. εἰ δὲ ἀφ᾽ κγ᾽ κεφ. ἀλλ᾽ οὐδὲ οἰκείαις χερσὶν ἔξεστιν ἐπισκόπῳ
τινὰ πλήττειν. τοῦτο γὰρ ἀλλότριον ἐστὶν ἱερέων. ἀνάγνωθι καὶ β᾽ τίτ. γ᾽ κεφ. ι᾽ ἐν ᾧ φησιν. ἀ-
παγορεύομεν δὲ τοῖς ὁσιωτάτοις ἐπισκόποις πράγματα κινητὰ ἢ ἀκίνητα ἢ αὐ-
τοκίνητα ὅσα μετὰ τὴν ἐπισκοπὴν εἰς αὐτοὺς οἱῳδήποτε τρόπῳ περιῆλθον, εἰς ἰδίους
συγγενεῖς ἢ ἄλλα οἱαδήποτε πρόσωπα· οἱῳδήποτε τρόπῳ μεταφέρειν. εἰς αἰχμα-
λώτων δὲ ἀνάρρυσιν καὶ πτωχῶν ἀποτροφάς, καὶ εἰς ἄλλας εὐσεβεῖς αἰτίας ἢ
ὑπὲρ τοῦ συμφέροντος τῆς ἰδίας ἐκκλησίας ἐκ τούτων δαπανᾶν, ἄδειαν ἐχέτωσαν.
καὶ γὰρ ἐκ τῶν τοιούτων πραγμάτων μετὰ τὴν αὐτῶν εἰς τὴν αὐτοῦ περιουσίαν με-
νκ. κληρονόμους τούτων τὰς ἁγιωτάτας αὐτῶν ἐκκλησίας ὧν τὴν ἱερωσύνην εἶχον
διαφέρειν. ἐπ᾽ ἐκείνοις γὰρ μόνοις τοῖς πράγμασιν ἄδειαν αὐτοῖς τοῦ ἐκποιεῖν ἢ κα-
ταλιμπάνειν οἷς ἂν βουληθεῖεν συγχωροῦμεν. ἅπερ πρὸ τῆς ἐπισκοπῆς ἀπὸ διαδοχ-
θεῖσιν ἐσχηκότες ἢ μετὰ τὴν ἐπισκοπήν. ἀπὸ ἀδελφῶν καὶ ἄλλως αὐτοῖς συνημμένων εἰς αὐ-
τοὺς περιῆλθον. οἷς ἐξ ἀδιαθέτου δύνανται μέχρι τετάρτου βαθμοῦ διαδέχεσθαι.
ταῦτα δὲ ἅπαντα ἅπερ εἰρήκαμεν περὶ τῶν πραγμάτων τῶν μετὰ τὴν ἐπισκοπήν. καὶ ἐπὶ
τῶν εὐλαβεστάτων ὀρφανοτρόφων. καὶ πτωχοτρόφων καὶ νοσοκόμων. καὶ γεροντοκό-
μων. καὶ ξενοδόχων. καὶ πάντων τῶν ἄλλων διοικητῶν τῶν εὐσεβασμίων οἴκων κρα-
τεῖν θεσπίζομεν. ἐπὶ τοῖς πράγμασι τοῖς ἐν τῷ καιρῷ τῆς ἰδίας διοικήσεως μετὰ τὸν εἰρη-
μένον τρόπον εἰς αὐτοὺς περιερχομένοις. εἰ δέ τις ὁ ἐπίσκοπος ἢ κληρικὸς ἢ οἱουδήπο-
τε ἐκκλησιαστικοῦ βαθμοῦ ὑπηρέτης. ἢ ἐκκλησίας διακονίᾳ τετυχηκὼς ἄνευ δι-
αθηκῶν καὶ νομίμων διαδόχων. ἡ τούτων διαδοχὴ τῇ ἐκκλησίᾳ διαφερέτω ἐν
ᾗ ἐτύγχανε κεχειροτονημένος. ἀνάγνωθι καὶ β᾽ ς᾽ τίτ. κεφ. κη᾽ δὲ β᾽ καὶ τ᾽ κβ᾽ ἐν οἷς φησιν. ὅτι  ἀν. ἐν π ς.
δεῖ αὐτοὺς ὑπὲρ ἀδικουμένους τοὺς ἄρχοντας ἀκούειν ὧν τοῦ προσιόντος δίκαιον. συγ-
κινεῖν αὐτοὺς τοῦτο πράττειν. καὶ ἡνίκα τις ἐν ὑπονοίᾳ ἔχει τὸν ἄρχοντα. συνα-
κροατὴν τῆς δίκης λαμβάνειν τὸν ἐπίσκοπον. μὴ πειθομένου δὲ τοῦ ἄρχοντος κα-
ταμηνύειν περὶ αὐτοῦ τὸν ἐπίσκοπον τῷ βασιλεῖ. ἀνάγνωθι καὶ β᾽ ζ᾽ τίτ. ς᾽ κεφ. κε᾽ ἐν ᾧ φησιν.
ὅτι ἐὰν ὁ ἐπίσκοπος συγχωρήσῃ παραβαθῆναι τὸν νόμον καὶ μὴ μηνύσῃ, καὶ τῷ
θεῷ προσκρούει, καὶ βασιλικῆς κινήσεως πειραθήσεται: —

λζ᾽ Περὶ ἐπισκόπων καὶ τίνες δύνανται ἐπίσκοποι εἶναι, καὶ τίνες οὐ δύναν-
ται. καὶ πότε καὶ ἐν τίσιν ἐξωθοῦνται. καὶ περὶ τοῦ ποιεῖν αὐτοὺς ἀπο-
γραφήν. καὶ τίνες δύνανται παραιτεῖσθαι τὴν ἐπισκοπήν, καὶ πότε. καὶ

ε'

τίνες οὐ δύνανται, καὶ πότε συγχωροῦνται εἰς τοῦτο, καὶ πότε οὐ κωλύονται. ἀνάγ. β' λζ' τί. δ'. οὐδενὸς ἐν δ' β' κεφ. θεμ.:

Κωφὸς καὶ ἄλαλος οὐκ ἐστὶ ἐπίτροπος. εἰς τὸ θέμα ι' κεφ. θεμ. καὶ ὁ πάτρων ἐπίτροπος τοῦ ἀπελευθέρου· καὶ ὅτι πράξει εἰς περιγραφὴν αὐτοῦ δι' αὐτοῦ ἀναιρεῖται. εἰς τὸ θέμα ις' κεφ. ἄδηλος ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται. ἀνάγ. καὶ τί. β' οὐδενὸς ἐν θ' ιβ' κεφ. δηλωθέντι πράγματι ἢ αἰτίᾳ. ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται. οὔτε ὑπεξῃρημένων πραγμάτων. ἀλλὰ καὶ οὕτως δοθεῖσα ἡ δόσις ἀκυροῦται. πρὸς τὸ παρ' ὑπ' καὶ οὐ πράγματι ἢ αἰτίᾳ δίδοται. εἰς τὸ θέμα ιε' κεφ. οἱ κατὰ διαθήκας ἐαθέντες ἐπίτροποι οὐκ ἀπαιτοῦνται ἐγγύας. εἰς τὸ ὁ θέλει ἐξ αὐτῶν ἐγγύας ἐπιδοῦναι καὶ μόνος διοικεῖν. ἐπιλογὴ δέδοται τοῖς λοιποῖς διὰ τοὺς ἄρχοντας. ἢ δοῦναι τὰς ἐγγύας καὶ διοικεῖν. ἢ λαβεῖν τὰς ἐγγύας καὶ ἀναχωρεῖν τῆς διοικήσεως. εἰ δὲ πάντες ἀσφαλίζονται διοικοῦσιν οἱ πάντες. εἰς τὸ θέμα κα' κεφ. ὁ ἐκδιδοὺς ἑαυτὸν ἐπίτροπος ἐξκουσευσάμενος ἑαυτόν, ἐκπίπτει καὶ τῶν καταλειφθέντων ὑπὸ γὰρ αὐτοῦ. ἐὰν πρὸς τιμὴν αὐτοῦ καὶ οὐ χάριν τοῦ υἱοῦ καταλειφθῶσιν. ἀνάγ. καὶ τί. γ' ἐν ᾧ διαλαμβάνεται περὶ ἐξκουσάτων ἐπιτρόπου. ἀνάγ. καὶ τί. δ' οὐδενὸς ἐν τῷ ς' κεφ. θεμ. τὸ κεφ. λέγει πάντας τοὺς ἐπιτρόπους μείζονας εἶναι τῶν κε' ἐνιαυτῶν ἵνα καὶ τὰ πράγματα αὐτῶν ὑπόκειται. οὐδενὸς ἐντεῦθεν περιγράμματος γινομένου ταῖς κληρονομίαις ταῖς πατρωνικαῖς ἢ ταῖς συγγενικαῖς. ἀνάγ. καὶ τί. ε' οὐδενὸς ἐν τῷ κ' κεφ. θεμ. ε' θεμ. ἀγαθοὶ ἐπίτροποι ἀξιοπιστότεροι εἰσι πρὸς ἐπιτροπὴν καὶ οὐ δεῖ κατὰ ἀξιώματος. ἀνάγ. καὶ τί. ς' οὐδενὸς ἐν τῷ α' κεφ. θεμ. β' θεμ. ὅτι μήτηρ καὶ ἀπελεύθεροι ἐξ ἀνάγκης αἰτοῦσιν ἐπίτροπον τῷ ἀφήλικι. ἡ γὰρ μήτηρ ἐκπίπτει τοῦ κλήρου τοῦ παιδὸς ἀδιαθέτου τελευτήσαντος ἐὰν μὴ αἰτήσῃ. οἱ δὲ ἀπελεύθεροι διὰ κακίαν ἢ ἀμέλειαν μὴ αἰτήσαντες καὶ ἀντιγορεύονται καὶ σφοδρῶς κολάζονται. ἀνάγ. καὶ τί. ζ' οὐδενὸς ἐν τῷ α' κεφ. θεμ. ἐὰν μὴ πιστῶς διοικήσωσιν οἱ ἐπίτροποι καταδικάζονται. κἂν ἔτι διὸ ποθεῖ τοὺς αὐτοὺς εἶναι. διὰ γὰρ τῶν βιούτων, οὐκ ἐναλλάσσεται τὸ κοινοῦ νόμιμον. οὔτε δύνανται ἐκ τούτων τῶν ῥημάτων ἀπαιτεῖν τι ὡς ἀπὸ λειπεῖν, δύναται δὲ ῥητῶς αὐτοὺς καταλιμπάνειν τὴν συμβαίνουσαν αὐτοῖς ἐκ τῆς ἐπιτροπῆς ζημίαν. εἰς τὸ θέμα ε' κεφ. ἐὰν χωρὶς δικαίου αἰτίας ὁ ἐπίτροπος μὴ ποιήσῃ καταγραφήν, ὡς δόλου ἁμαρτάνων ὑπόκειται ἀπὸ ἐνδίκου ὅρκου εἰς τὸ διαφέρον. πρὸ τῆς ποιήσεως δὲ αὐτῆς διοικεῖν οὐδὲν ὀφείλει. εἰ μὴ δὲ ταμιείας ὑπερθέσεως ἀνεχόμεθα. ἀνάγ. καὶ β' λη' τί. ε' κεφ. λς' ἐν ᾧ θεμ. μὴ ἀπαιτεῖσθαι δὲ τῶν πραγμάτων ὁ ἐπίσκοπος. εἰ μὴ πρότερον ἀπογραφὴ γένηται. εἰ

ἀνάγ. καὶ τὸ ... ς' κεφ. ὅπου
... γὰρ ... τὸν βασιλέα τῆς
συγκλήτου προτιμᾶσθαι καὶ εἰς
τὸ ἐπιτροπεύειν:

περὶ τῶν μὴ ποιούν-
των ἀπογραφήν:

μέλλετε ἄρα οἱ τὴν οὐσίαν παραπέμψαντες εἰς τοὺς ἀνήβους· αὐτοὶ τὴν ἀπογραφὴν ἐκκό-
λυθεν γενέσθαι· ὁ δὲ μὴ ποιήσας ἀπογραφήν, καὶ ὡς ὕποπτος ἀποκινείσθω καὶ ἀτι-
μούσθω· μὴ δὲ ἀπὸ βασιλικῆς ἀντιγραφῆς συγγνωσθῆναι δυνάμενος· αὐθ. καὶ τ. ιε'
κεφ. δ' ἐν τῷ φι. ὁ ἐπίτροπος μὴ ποιήσας ἀπογραφήν, ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ.
ὁμοίως δὲ καὶ μὴ προφέρων τὰ δικαιώματα ἐν αὐτῇ γὰρ τούτῳ δόλον δοκεῖ ποιεῖν.
ὅτε τὰ εὑρεθέντα ἐν τῇ οὐσίᾳ συμβόλαια κρύπτει. ἐὰν δὲ μὲν πρὸ καταρξιν τοῦ ἐπιτρό-
που τελευτήσαντος οἱ κληρονόμοι μὴ πληρώσωσι τὸ δικαστήριον, τῆς γὰρ τῶν ἐπιτρόπων ἀ-
πάτης· ὑπόκεινται καὶ αὐτοί, τῷ ἐνδίκῳ ὅρκῳ. ὁ τοῦ ἐπιτρόπου κληρονόμος οὐ κατέ-
χεται [illegible] μὴ γενομένην ἀπογραφήν, πλὴν ἑτέρῳ τρόπῳ ἐνάγεται. ἐπειδὴ γὰρ ὁ ἐπί-
τροπος δόλον ἔδοξε ποιεῖν. τῆς ἀπογραφῆς μὴ γενομένης, ὡς ἀπὸ δόλου τοῦ ἐπι-
τρόπου κατέχεται ὁ κληρονόμος. αὐθ. καὶ β' λζ' τ. ε' κεφ. λ' ἐν τῷ φι. ὁ ἔνοπλος στρα-
τιώτης στρατευόμενος· οὐ δὲ ἐπίτροπος οὐδὲ κουράτωρ δύναται χειροτονηθῆναι. εἰ δὲ
καὶ καταπλαγὴν διοικήσει. κατέχεται τῇ περὶ πραγμάτων διοικήσεως ἀγωγῇ. ὁ δοῦ-
λος ἐπίτροπος ἢ κουράτωρ οὐ δύναται δοθῆναι. αὐθ. καὶ β' γ' τ. α' κεφ. ια' ἐν τῷ φι. τοὺς
δὲ θεοφιλεστάτους ἐπισκόπους καὶ μοναχούς, ἐκ μηδενὸς νόμου ἐπιτρόπους ἢ κου-
ράτορας οἱουσδήποτε προσώπου γίνεσθαι συγχωροῦμεν. τοὺς δὲ πρεσβυτέρους καὶ δια-
κόνους καὶ ὑποδιακόνους τῷ δικαίῳ καὶ μόνῳ τῆς συγγενείας εἰς ἐπιτροπὴν ἢ κου-
ρατορίαν καλουμένους, τὴν τοιαύτην λειτουργίαν ὑποδέχεσθαι συγχωροῦμεν. εἰ μέντοι γε
ἐντὸς δ' μηνῶν ἀριθμουμένων ἐξ οὗ ἐκλήθησαν παρὰ τῷ ἁρμοδίῳ δικαστῇ. ἐγγράφως
φανερώσωσι τὸ τοιοῦτο λειτούργημα οἰκείᾳ προαιρέσει καταδέξασθαι. καὶ τοῦτο ὡς εἰ-
κὸς αὐτῶν τοῦτο ποιησάντων μηδένα ἐκ τούτου περὶ ἄλλην ἐπιτροπὴν ἢ κουρατορίαν προ-
κειμένα [illegible]. αὐθ. β' λ' τ. α' κεφ. ιη' ἐν τῷ φι. οὐδὲ ἐγκαλεῖσθαι τοὺς ἡγεμόνας
ἀλλὰ τὰς παραιτήσεις ἐμπροθέσμως προβάλλεσθαι. καὶ γὰρ τῆς ἐκβαλλούσης αὐτὰς
ψήφου ἐγκαλεῖσθαι. ἔχει δὲ εἰς τὸ εἰπεῖν τὰς προφάσεις παραιτήσεως ὅλης τῆς ἡγεμονίας
ἢ μέρους αὐτῆς. ὁ μὲν ἐν τῇ αὐτῇ πόλει ὤν, ἢ ἐντὸς ρ' μιλίων, ἡμέρας ν'. ὁ δὲ ἐκτὸς
ρ' μιλίων. κ' μίλια δίδοται αὐτῷ καθ' ἡμέραν. καὶ ἔξωθεν λ' ἡμερῶν πρὸς δικαιολο-
γίαν. ὥστε μέχρι ψηφιζομένου διὰ τῆς ὁδοῦ καὶ τῶν λ' δύνασθαι πλέον ἔχειν τῶν ν'
ἡμερῶν, οὐ μὴν ἧττον. ἀριθμούμεναι δέ, ἀφ' οὗ γνῷ δεδόσθαι. καὶ κεφ. μς' ἐν τῷ φι.
ὁ εὐνοῦχος ἐπίτροπος ἀπόλυσιν οὐκ ἔχει. καὶ κεφ. ν' ἐν τῷ φι. αἱ πεντήκοντα ἡμέ-
ραι διὰ ἀπολύσεων ἄρχονται τρέχειν μετὰ τὸ γνῶναι ὁ ἐπίτροπος τὴν ἀπόφασιν τοῦ ἄρχον-
τος ἢ τὴν διαθήκην τὴν ποιοῦσαν αὐτὸν ἐπίτροπον. καὶ κεφ. ξς' ἐν τῷ φι. ξένου ἔθνου
μεσοῦ [illegible] ἡ [illegible]. ὅτε ἡνίκα τις προσέλθῃ εἰς ἐπιτροπὴν τινὸς ἔχουσα ἀ-

περὶ ἐπισκόπων καὶ μοναχῶν καὶ κληρικῶν :-

αὐθ. καὶ η' ο' ἐν τῷ φι. τοῦ δὲ μὴ ἀναγκάζεσθαι αὐτοὺς τὰ τῶν κ[illegible] νέων [illegible] αὐτάρκεις :-

περὶ εὐνούχων :-

γονέας ἢ ἀδελφοῦ ἢ ἀδελφοπαίδων, δύναται ἀπολύειν ἑαυτὸν ὁ λόγου ἔχων αἰτίαν
περιληφθῶσιν. ἵνα μὴ ἀναγκασθῇ διὰ τὴν ἐπιτροπὴν ἀναγκαίαν δίκας λέγειν κατὰ τοῦ ὀρφα-
νοῦ πρὸς τὸ οὕτω πλησιάζον πρόσωπον. Καὶ κεφ. σα΄ τοῦ αὐτοῦ τίτλου. Οἱ ἐπίτροποι. ὀφείλουσι
κελεύεσθαι ἢ ἀπολύεσθαι. πρὶν ἄρξωνται τὰ πράγματα διοικεῖν. ἐὰν δὲ ἄρξωνται, οὐκέτι δύ-
νανται ἑαυτοὺς εἰ μὴ ἀπὸ ῥητῶν αἰτιῶν. ὡς ὅταν διὰ πρᾶγμα δημόσιον ἀποληφθῶσιν.
ἀνάγ. καὶ ὁ λζ΄ τ. ξ΄ οὐδενὸς ἐν τῷ α΄ κεφ. φη. ὁ ἐπίτροπος ἐκ δὲ γνοὺς ἑαυτὸν ἐπίτροπον εἶναι
καὶ ἐμπροθέσμως μὴ αἰτήσας ἐξκουσατεύονα, ἀναγκάζεται διοικῆσαι, μὴ διοικῶν γὰρ κιν-
δυνεύει. Ἐν τῷ αὐτῷ ια΄ κεφ. φη. τὰ παρὰ τοῦ ἐπιτρόπου γινόμενα, βέβαιά εἰσι. Καὶ τὸ παρ'
αὐτοῦ νομίμως πραθὲν τέλεον βέβαιον. οὐκ ἐκδικεῖ ὁ νέος. ἡ δὲ κακῇ πίστει γενομέ-
νη πρᾶσις, οὐκ ἔρρωται. Ἐν τῷ αὐτῷ ιδ΄ κεφ. ἐὰν γενόμενος ὁ ἐπίτροπος μὴ ἐναγάγῃ τοῖς
χρεώσταις, καὶ ἐν τούτῳ ἀπορρήσωσιν. ἐνάγεται εἰς τὸ μὴ ἀπαιτηθὲν χρέος. Ἐν τῷ αὐτῷ λβ΄
κεφ. τὴν αὐτὴν ἐπιμέλειαν οἱ ἐπίτροποι καὶ οἱ κουράτωρες χρεωστοῦσιν, ὅσην ἐπιμελὴς οἰ-
κοδεσπότης ἐν τοῖς ἰδίοις καλῇ πίστει ποιεῖται. Ἐν τῷ αὐτῷ να΄ κεφ. ἐὰν ὁ ἐπίτροπος ἀμελήσῃ
περὶ τὴν ἀπαίτησιν τῶν παλαιῶν χρεῶν, ὑπόκειται τῷ κινδύνῳ. Καὶ ἐὰν μείζονας τόκους
ἔλαβε, διδῶσιν αὐτοὺς μὴ διδοὺς ἀντέχοντος τῶν χρεῶν. ἐκχωρεῖται δὲ τὸ ἴσον τῶν χρεῶν αἰτί-
ας. Ἐν τῷ αὐτῷ οθ΄ κεφ. ἐὰν ὁ ἐπίτροπος τὰ ὀφείλοντα ἐν ἀποθήκῃ κεῖσθαι πράγματα ἐπερ-
θῆναι, ἐφύλαξεν ἐν τῷ ἰδίῳ οἴκῳ, συνέβη δὲ ταῦτα ἐμπρησθῆναι. ἐνάγεται ὡς ἀπὸ ἐγ-
κλήμ. ἀνάγ. καὶ τὸ θ΄ οὐδενὸς ἐν τῷ ε΄ κεφ. φη. ἐὰν ἐκ τῶν χρημάτων τῶν κηδεμονευομένων
ὀνόματι οἰκείῳ δανείζωσιν. ἢ ἀγοράσωσιν οἱ κηδεμόνες. οὐ τέλειον δανειστὴν καὶ ὁλό- ἐνδιάμενον ἰσχυρόν·
κλαν ἀγωγὴν ἐκδικοῦσαν τὸ ἴδιον ἔχουσιν οἱ νέοι. ἀνάγ. καὶ τὸ ι΄ οὐδενὸς ἐν τῷ ζ΄ κεφ. φη.
Καὶ διὰ μεγάλην ἀμέλειαν, ὡς ὕποπτος ἀποκινεῖται, ἀλλὰ γὰρ δόλου περιλαμβάνεται.
Ἐν τῷ αὐτῷ ιθ΄ κεφ. δύναται δὲ τοὺς ὑπόπτους ἀποκινεῖν καὶ ἀνιόντες καὶ συγγενεῖς καὶ ἑτε-
ρικοὶ καὶ αὐτοὶ ὧν τὰ πράγματα διοικοῦνται εἰ μὴ ἄνηβοι εἰσίν. Ἐν τῷ αὐτῷ κβ΄ κεφ. ὁ ὕ-
ποπτος κατηγορηθεὶς, εἰ μὲν διὰ δόλον, ἀτιμοῦται. εἰ δὲ διὰ ἀμέλειαν, οὐκ ἀτιμοῦται. ἀνάγ.
καὶ τὸ ια΄ οὐδενὸς ἐν τῷ α΄ κεφ. Εἴ τις ὑπεύθυνον ἔχει τὸν νέον ἢ τὰ αὐτοῦ πράγματα,
τοῦτο μὴ δὲ προσεῖναι πάντη ὡς εἰς τὴν αὐτοῦ κηδεμονίαν. καὶ ὁ παρὰ τῶν νόμων κληθεὶς
τ. τὸ γράμμα οὐ προσέξει κατὰ ἑαυτοῦ κύριος αὐτοῦ τελῶν. καὶ ὧν τὸν αὐτοδίκου πρα-
γμάτων γινόμενος. διὰ ταῦτα γὰρ κακῶς ὁ νομοθέτης. ὥστε ἐν προφανέστατα δῆλος
ἐστὶν ὁ γινόμενος κηδεμὼν αὐτὸς ὑπεύθυνος ὢν τοῖς τοῦ νέου δικαίοις. οὐδὲ ἐκεῖ-
νος κηδεμονεύεται μήποτε ἢ γραμματείου ἐκκλέψαι. ἢ ἄλλας ἀποδείξεις ὅλας ἀ-
φανίσῃ τῷ νέῳ. καὶ ἡ κηδεμονία γένοιτο τούτῳ τῶν οἰκείων πραγμάτων ὄλεθρος. Ἐν
τῷ αὐτῷ λ΄ κεφ. ἐπειδὴ δὲ ὁρῶμεν τοὺς κηδεμόνας ὅτι οὐ μνήμην ἔχουσι, πρὸς κηδεμο- περὶ κηδεμόνων καὶ τόκων·

ε΄

νίαν δυσκόλως ἰόντας. τοῖς γὰρ πολλοῖς ὅτι βούλονται τῶν κηδεμονευομένων ἀσε-
βῶς εἰς ἑαυτοὺς ἕλκειν τὰ πράγματα, ἐξαρπάζουσί τε καὶ ἐπιδεχόμενόν ἐστιν. ὃ μὲν γὰρ μάλι-
στα τὸ τῶν κηδεμόνων δύσκολον εἶναι πρᾶγμα, διὰ τὴν τῶν δανεισμάτων ἀνάγκην. θε-
σπίζομεν μηδεμίαν ἀνάγκην ἐκ νόμων καθεστάναι τοῖς κηδεμόσι τὰ τῶν νέων χρήματα
δανείζειν. ἀλλ' ἀσφαλῶς ἀποτίθεσθαι καὶ φυλάττειν αὐτούς· κάλλιον οὖν ἐπὶ τοῖς ἀρ-
χαίοις αὐτοῖς ἀσφάλειαν μένειν. ἢ τῇ τῶν τόκων ἐλπίδι καὶ τῶν ἀρχαίων ἐκπεσεῖν. καὶ
κινδυνεύειν γὰρ τὸν κηδεμόνα ἢ μὴ δανείζει. αὐτὸς δὲ δανείζει, κινδυνεύειν ἀπολέ-
σαι ἴσως ἐπὶ τοῖς χρέεσι γινομένης. εἰ μέντοι αὐτὸς ἑκὼν δανεῖσαι βουληθείη. ἴσως
ἐπὶ δόσει τόκων συγχωρῶν. ἢ ἐπ' ἄλλαις τοῖς αὐτῷ νομιζομέναις ἀμφοτέραις τοῖς-
ἀσφαλείαις. τηνικαῦτα γὰρ ἐχέτω τὸ τῶν δύο μηνῶν καθ' ἕκαστον ἔτος ἐνδόσιμον. τοῦ-
το ὅπερ οἱ νόμοι χαρακτηρίζοντες καλοῦσιν· ἴσω δὲ τὸν τοῦ δανείσματος κίνδυνον, ἐφ' ἑαυ-
τῷ παντὸς γενησόμενον. εἰ μὲν γὰρ οὖν ἔχει προσόδους αὐτάρκεις, ὁ κηδεμονευόμενος
τούτοις δαπανάτω. εἰ δὲ πλείους εἰσὶ τῶν αὐταρκῶν, τὸ πλέον ἀποτιθέσθω. εἰ δὲ και-
τοι πολλάκις ἡ τοῦ κηδεμονευομένου οὐσία τυγχάνει. τηνικαῦτα ἐκ νόμου μόνου δανεί-
ζειν ὁ κηδεμὼν ἀναγκαζέσθω. ὅθεν πρὸς τὴν διοίκησιν ἀρκεῖ τῷ νέῳ καὶ τῶν αὐτοῦ
πραγμάτων. τὸ δὲ περιττόν, ἀσφαλῶς ἀποτιθέσθω. ἐξέστω δὲ αὐτῷ, ὡς ἀκριβέστατα πάσῃ
περισκέψασθαι. ἐφ' ἵνα ὡς εἰκὸς εὕρῃ ἀσφαλῶς δυνηθῇ πρόσοδον ὠνήσασθαι τῷ
νέῳ ἐκ τῶν περιττευόντων χρημάτων. ὀλίγων γὰρ δημοσίων φόρων ὑπευθύνων. πρα-
γμάτων δὲ ἐχέτω ἐμπορίαν καὶ δαψιλῆ τὴν πρόσοδον οὖσαν. διδοὺς γὰρ αὐτῷ παρρησίαν
καὶ τοῦτο πράττειν ἐπιτρεψάμενοι ὡς ἕνεκεν τούτων ἀμελήσειν, ὅτε ἀσφαλεῖς ταύτης ὁ-
ψεται κίνδυνος. εἰ δὲ τοσοῦτον μόνον ἔχει τὸ τοῦ νέου χρυσίον ὁπόσον τέως μόλις-
αὐτόν τε καὶ τοὺς αὐτοῦ τρέφειν, καὶ τὴν ἄλλην αὐτοῦ παρέχειν τοῦ βίου διοίκησιν ἀρκεῖν.
τηνικαῦτα ὁ τῆς ἀνάγκης λόγος ἡμᾶς καὶ πρὸς τοῦτο ἥκει, τῶν κηδεμόνων ἀφορών-
των εἰς θεόν. καὶ οὕτω ποιουμένων τὰς διοικήσεις, ὥσπερ ἐπὶ τοῖς ἑαυτῶν πράγμα-
σι. καὶ γὰρ βουλόμεθα ἡνίκα κελεύει ψῆφος παραδιδόναι τὴν κηδεμονίαν τῷ πρός-
τῷ τὴν παρέχοντι καὶ ὅρκον αὐτῷ προσεπιτεθῆναι τῶν θείων ἁπτομένου λογίων. ὡς
οὐ διὰ πάσης ἰὼν ὁδοῦ τὸ συμφέρειν τῷ νέῳ πράξει, ὅπερ οὐκ ἐξαίρεσιν τῶν λογισ-
μῶν αὐτόν οὐδὲ τῆς τοῦ νόμου τάξεως. ἀσφαλέστερόν τε ποιήσει πρὸς τὴν τῶν πραγμά-
των διοίκησιν. εὐλαβέστερον ὡς περὶ αὐτὰ διὰ τὴν τοῦ ὅρκου μνήμην γινόμενον. αὐ.
καὶ βι. λ. τι. ιζ. κε. γ. σύμφωνον. ἐὰν ὁ ἐπίτροπος μέλλει δανείσαι δυνατοῖς ἑτέροις πρα-
κτόροις. μήτε αὐτὸς ἐᾶσαι δυνατὸν κτῆμα. τόκους οὐκ ἀπαιτεῖται. αὐ. καὶ βι. λζ. τι. η. κε.
ς. σύμφωνον. ἐὰν ὁ ἐπίτροπος οἰκείῳ ὀνόματι δανείσῃ τὰ ὀρφανικὰ χρήματα, τοὺς

ε'

τόκους οὓς ἤλαβεν ἀναγκάζεται παρέχειν. ἐὰν καὶ τῶν λοιπῶν γραμμάτων ὁ ἀνή-
βος ὁ ἐπιγινώσκει τὸν κίνδυνον. ἐὰν τὰ ὀφείλοντα πρὸς ἀγορασίαν ἀκινήτων ἀποτεθῆ-
ναι ἀπέθετο, τόκους αὐτῶν οὐκ ἀπαιτεῖται. εἰ δὲ μήτε παρὰ τοῦ πραίτωρος ἐκελεύσθη
μήτε ἀπέθετο ὀρφανικοὺς δίδωσιν. εἰ δὲ παρασύρει ὁ πραίτωρ γενέσθαι τὴν ἀπόθε-
σιν, ὁ ὀφείλων ἀπαιτεῖσθαι. ὁ δὲ ἢ μὴ ἀποθεὶς ἢ βραδέως ἀπόθηται, νομίμους δίδω-
σι τόκους. ὥσπερ ποιεῖ ἐπὶ τοῦ ἀρνουμένου ὁ ἐπίτροπος ἔχειν τὰ πρὸς ἀποθήκην τοῦ ἀ-
νήβου. τῶν διεσκορπισμένων παρὰ τῷ πατρὶ αὐτοῦ χρημάτων, ὀρφανικοὺς δίδωσι τόκους. ὅτε
οὖν συγχρῶνται τοῖς χρήμασιν ὅτε ἀρνοῦνται ἔχειν καὶ καταδικασθῆ. ὅτε ἀποθέσθαι
ποιῆσαι παρεῖται τὴν ἀπόθεσιν. ὅτε ἀρνησάμενος ἔχειν ἀναγκασθῆ τοῦ ἀνήβου ἐπὶ νομίμοις
δανείσασθαι τόκοις. ὅτε τοὺς χρεώστας ἀπαιτήσει, νομίμους δίδωσιν ὀρφανικοὺς τόκους.
ἀπὸ δὲ τῶν λοιπῶν αἰτιῶν πρὸς τὴν τῆς ἐπαρχίας συνήθειαν, τοὺς ἀπὸ τέλους ἑκατοστῆς ἢ τοὺς
ἐλαφροτέρους. καὶ κεφ. ζ τοῦ αὐτ. τιτ. οὐ παρέχει δὲ τοὺς τόκους ὁ ἐπίτροπος ἀπαιτεῖ-
ται. ἀλλ' ἔχει δύο μηνῶν ἐνδόσιμον. ὅπερ οὐκ ἔχουσιν οἱ τοῖς χρήμασι συγχρησάμε-
νοι. εἰ δὲ καὶ τοὺς ἀπαιτηθέντας τόκους οἱ κηδεμόνες συγχρῶνται, καὶ αὐτῶν διδόασι
τόκους. ἐὰν ὁ ἐπίτροπος μὴ ποιήσῃ ὕποπτον τὸν συνεπίτροπον αὐτοῦ, καταδικάζε-
ται ὑπὲρ αὐτοῦ· καὶ δίδωσι τόκους οὓς ἀναγκάζεται παρέχειν ὑπὲρ τῆς ἰδίας διοική-
σεως. καὶ κεφ. η τοῦ αὐτ. τιτ. ὁ ἐπίτροπος καὶ μετὰ τὸ παύσασθαι τῆς ἐπιτροπῆς δίδωσι τό-
κους ἕως οὗ τοὺς λόγους ἀποδῷ. καὶ κεφ. ιε τοῦ αὐτ. τιτ. ὅτε οἰκείῳ ὀνόματι ὅτε τοῦ ἀνή-
βου δανείσει ὁ ἐπίτροπος τὰ ὀρφανικὰ χρήματα τῆς ἀτελοῦς ἡλικίας τοῦ ἐπιτροπευομένου
μόνης ἐπιλογὴ δίδοται, ἢ τῷ νέῳ· ἢ πάντα καταδέξασθαι τὰ γράμματα, ἢ πάντων ἀ-
ποστῆναι. καὶ κεφ. ξα τοῦ αὐτ. τιτ. ὁ ἐπίτροπος δανείζων οἰκείῳ ὀνόματι τὰ ὀρφανικά, οὐ
δοκεῖ αὐτοῖς συγκεχρῆσθαι. μετὰ τὸ πληρωθῆναι τὴν ἐπιτροπήν, ὀρφανικοὺς δίδωσι τό-
κους ὁ ἐπίτροπος τῶν χρημάτων, οἷς συνεχρήσατο. καὶ κεφ. ξς τιτ. γ. ὁ ἐπίτροπος δια-
πωλήσας μὴ δαπανήσας. ὅτε δὲ τὰ ὀρφανικὰ μήτε ἀκίνητα ὠνησάμενος, ἐὰν μὴ δύ-
νηται τὸ ἀξιόπιστον ἑαυτῷ περιποιήσασθαι, τιμωρεῖται. βιβ. καὶ τὸ λη τιτ. ια κεφ. α τοῦ αὐτ. τιτ.
μετὰ τὴν ἥβην ὑπερτιθέμενος ὁ ἐπίτροπος ἀποδοῦναι τὴν ἐπιτροπήν, καὶ αὐτὸς καὶ οἱ
ἐγγυηταὶ αὐτοῦ ἐπὶ τοῖς τόκοις καὶ τοῖς καρποῖς τοῦ μεταχρόνου ἐνέχονται. βιβ. λη τιτ. ιζ
κεφ. α τοῦ αὐτ. τιτ. γράφει τὸ νόμιμον τῆς διατάξεως καὶ ἑρμηνεύον ἡμῶν ἐν τῷ ζ τιτ. τοῦ περὶ ἐπι-
τροπῆς μονοβίβλου. ὅτι ὁ ἐπίτροπος ἢ ὁ κουράτωρ τῶν χρημάτων ἅτινα εἰς ἰδίαν χρῆ-
σιν ἔστρεψε, νομίμους τόκους παρέχει τουτέστιν ἡμιεκατοσταίους. βιβ. καὶ τὸ κε τιτ.
γ κεφ. α τ. δ τοῦ αὐτ. τιτ. εἰ ἐν δικαστηρίῳ κατὰ τοῦ ἐπιτρόπου ἀπόφασις ἐξενεχθῆ, μέ-
χρι ψήφου δίδωσι τόκους ὁ ἐπίτροπος. εἰ δὲ ἔξωθεν δικαστηρίου, μέχρι τῆς τῶν χρη-

τοὺς λεγομένους πουπιλλαρίους τουτέστι τοὺς ἀπὸ τέλους ἑκατοστῆς

ὅτι ἡμιεκατοσταίους τόκους δίδωσιν ὁ συγχρησάμενος τοῖς χρήμασι

μάτων ἀποκαταστάσεως. εἰ μὴ ἄρα τοῦ νέου ὑπὲρ τελειουμένου κινῆται, ὁ ἐπίτροπος ἐκ
πωλείτω τὰ πράγματα, καὶ σφραγῖδας ἀποτιθέται. ἐκδότε γὰρ, οὐ δίδωσι τοῦτον. ἀνάγνωθι καὶ τὸ
κα΄ τίτ. ϛ΄ κεφ. δ΄ τοῦ αὐτοῦ βιβλίου. ὁ ἐπίτροπος καὶ ὁ φροντιστὴς καταβάλλοντες οὐκ ἀναλαμβάνου
σιν· εἴτε οἴκοθεν, εἴτε τοῦ ἀνήβου ἢ τοῦ διαστάτου καταβάλλουσι. καὶ κεφ. νβ΄ καὶ ιζ΄ ἐκ
ξβ΄ τοῦ αὐτοῦ βιβλίου. ἐπίτροπος πλέον καταβαλὼν δανεισταῖς καὶ μὴ λογισάμενος αὐτὰ τῷ
ἀνήβῳ αὐτὸς ἀναλαμβάνει. καὶ κεφ. ξγ΄. ἀνάγνωθι καὶ τὸ λη΄ τίτ. β΄ κεφ. ε΄ τίτ. ἐν ᾧ διαλαμβά
νει περὶ τοῦ ποιεῖν λόγους τοὺς ἐπιτρόπους. ὁμοίως ἐν τῷ α΄ κεφ. βιβλ. εἴτε ποιεῖσθαι ἀπὸ
οὐκ ἔξεστιν ὁ ἐπίτροπος. εἴτε μὴ ποιησόντα ἀπὸ ἔδει. ἐνέχεται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ.
χρεωστεῖ ἐλευθερίαν καὶ δούλου καὶ ἐπιμελεῖσθαι ὅταν ἐν τοῖς ἰδίοις πράγμασιν. ἐνέχε
ται γυναικῶν τῷ ὀρφανῷ ποιοῦντι ἁπλῶς δωρεὰν ἢ θανάτου αἰτίᾳ. ἐν τῷ δὲ β΄ κεφ.
εἴτε ὀφείλει τρέφειν τὴν μητέρα τοῦ ἀνήβου. εἴτε καὶ αὐτὸς πολυέξιν ἐστὶ ποιεῖν. καὶ αὐτὴ
πάνυ ἄπορος. οὐκ ὀφείλει δοῦναι γαμικὴν αὐτῇ δοῦναι. ἐν τῷ δὲ κε΄ κεφ. ἐὰν ἐπι
στῇ ὁ τοῦ ἀνήβου χρεώστης ἀρξαμένου χρείαν τοῦ ἐπιτρόπου, ἐὰν τυχὸν αὐ
τοῖς αὐτοῦ ὑπερτέρων γεγόνασιν ἄποροι. τῷ ἐπιτρόπῳ κινδυνεύεται ἡ ἀπορία. ἐν τῷ δὲ
λ΄ κεφ. εἴτε κινδύνου τῶν ἐπιτρόπων ἢ κουρατόρων. ἢ ζημιωθῶσιν ἢ μὴ κερδάνωσιν
οἱ νέοι. δύνανται αὐτοὺς ἀπαιτεῖσθαι τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ. ἐν τῷ δὲ λα΄ κεφ. οὐκ
ἀντέχεται ἡ τῶν ι΄ ἢ τῶν κ΄ ἐνιαυτῶν παραγραφῇ. ἐὰν ὁ σῶμα μὴ ἔγγυ ἐπιδώσεις ἢ διὰ
ἀμελαθείας χρέους καὶ ἀποχῆς ἀναιρεθῇ ἡ ἀγωγή, δύναται τὸν κεχρεωστημένον ἀ
παιτεῖν. ἐν τῷ δὲ λε΄ κεφ. τὴν κατὰ τῶν ἐπιτρόπων ἀγωγὴν, καὶ κληρονόμοις καὶ κατὰ κληρο
νόμων ἁρμόζει. ἀνάγνωθι καὶ τὸ δ΄ τοῦ αὐτοῦ βιβλίου. περὶ ἐναντιώσεως ἐπιτρόπων καὶ περὶ τῶν
παρ' αὐτῶν δαπανηθέντων. ἀνάγνωθι καὶ τὸ ε΄ τοῦ αὐτοῦ βιβλίου. περὶ τῆς κινουμένης ἀγωγῆς κατὰ
τῶν ἀμφιβαλλομένων εἶναι ἐπιτρόπων, καὶ διοικούντων τὰ πράγματα. ἀνάγνωθι καὶ τὸ
ϛ΄ τοῦ αὐτοῦ βιβλίου. περὶ πλειόνων ἐπιτρόπων. ἀνάγνωθι καὶ τὸ η΄ τοῦ αὐτοῦ ἐν ᾧ διαλαμβάνεται περὶ ἐπιτρό
πων δοθέντων παρὰ στρατηγοῦ καὶ ὅτι συνδέονται ὑπὲρ αὐτῶν οἱ στρατηγοί. ὁμοίως
ἐν τῷ θ΄ κεφ. βιβλ. οἱ στρατηγοὶ καὶ τοὺς τόκους ἀποδιδόντες. ἐπειδὴ ὁμοίως τοῖς ἐπιτρό
ποις ἐνάγονται καὶ εἰ τὰ ἀπαιτήματα ἐκανόνισαν ποινὰς τόκου μὴ ἀπαιτεῖσθαι. ἀνάγνωθι
τὸ θ΄ τοῦ αὐτοῦ διαλαμβάνεται περὶ ἐπιτρόπων καὶ πότε δύνανται λαμβάνειν χρέος ὀρ
φανικὸν, ἢ ἐκποιεῖν τὰ τῶν ἀνήβων ἀκίνητα χωρὶς ἀποφάσεως δικαστικῆς. ἔπο
[περὶ ἐκποιήσεως πραγμάτων ἀφηλίκων: ιζ]
τε μὴ ἄνευ ἀποφάσεως. ὁμοίως ἐν τῷ α΄ κεφ. βιβλ. τὰ ἀκίνητα τοῦ νέου καὶ προάστεια ἢ
τὰ περὶ τὰ ἄστει αὐτοῦ, οὐκ ἐκποιεῖται εἰ μὴ ῥητῶς ὁ πατὴρ ἐν διαθήκῃ ἢ κωδικίλ
λοις τὴν ἐκποίησιν ἐπέτρεψεν. εἰ δὲ χρέος ὑπόκειται καὶ μὴ δύναται ἐκ τῶν ἄλ
λων ἀποδοθῆναι πραγμάτων. ὁ πραίτωρ σκοπεῖ πότερον πραθῆναι, ἢ ὑποτεθῆναι

ὀφείλει. σωζομένης τῆς αἰτίας τῶν ἀνήβων ἐὰν ζῷα ἁρπαγέντα δίχα τοῦ πραίτωρα. Ἐν
δὲ τῷ λ' κεφ. τοῦ η' τιτ. ἡ αὐτὴ μετὰ διαπιπράσκειν τοῦ ἐπιτρόπου οὐ μὴν ἀρεστὸς ὁ λόγος ἐστιν
αἰτία ἐξ ἧς δυνατὸν καὶ ἀκίνητα πράγματα πραθῆναι· πάντα γὰρ δεῖ φυλάττεσθαι
πρὸς τὴν κατασκευὴν τῆς τῶν ἀνήβων περιουσίας· μάλιστα δὲ οἱ οἰκέται φυλαττέσθωσαν οἱ
τινες ἴσασι τὰ καταλελειμμένα. εἰ γὰρ χρηστοὶ οἱ ἐπίτροποι εἰσίν, ἐναντιοῦνται παντὶ δόλῳ
μεμελετημένῳ κατὰ τοῦ ὀρφανοῦ. εἰ δὲ πονηροί εἰσι, μέλλουσιν ὕστερον ἐν τῇ δόσει τοῦ ἐπι-
τροπικοῦ λόγου βασανιζόμενοι ἐμφανίσαι τὴν ἀλήθειαν. τῶν γὰρ οἰκετῶν σωζομένων, οὐ
δὲ περὶ τὰς ἀπογραφὰς ῥᾳδιουργεῖται· οὐδὲ ὑποκλέπτονται ἐσθήματα ἢ μαργαρῖται.
ἢ ἄλλα τινὰ τῆς οὐσίας. φορητὸν γάρ ἐστι μᾶλλον πρὸς τοὺς δεσπότας ζημιοῦσθαι τοὺς οἰκέ-
τας, ἢ παρὰ τοῖς ἐξωτικοῖς δουλεύειν. εἰ δέ γε φύγωσιν, ἡ φυγὴ τοῖς ἐπιτρόποις ἐπι-
γραφήσεται· οἵτινες ἢ ῥᾳθυμήσαντες, ἢ σκληρότερον αὐτοῖς προσενεχθέντες, αἴτιοι
γεγόνασι τῆς φυγῆς. κρεῖττον γὰρ φυλάττεσθαι τοὺς οἰκέτας. ἐπειδὴ τοίνυν οὐδενὸς ἐμποδί-
ζοντος μέλλει διασπᾶσθαι ἡ οὐσία, ἀλλ' οὐδὲ τοὺς οἴκους τῶν ἀφηλίκων ἐπιτρέπει ὁ νόμος
ἐκποιεῖν. ἄτοπον γὰρ τῶν ἐκείνου τὸν οἶκον ἐν ᾧ ἐτελεύτησεν ὁ πατήρ, ἐν ᾧ ὁ ἀφῆλιξ ηὐξήθη,
ἐν ᾧ πολλάκις αἱ τῶν προγόνων εἰσὶ κατεσκευασμένες εἰκόνες πιπράσκεσθαι. ἁπλῶς οὖν ὡς ἐγκε-
φαλαίῳ μὴ μόνον οἱ ἀγροί, ἀλλὰ καὶ οἱ οἶκοι καὶ πάντα τὰ ἀκίνητα φυλαττέσθωσαν τοῖς
ἥττοσιν. ἀλλὰ μὴ δὲ προφάσει διορθώσεως καταλυέσθω οἶκος καὶ πιπρασκέσθωσαν
αἱ ὗλαι. οὐ μὴν μόνον τὰ ἀναμφιβόλως πλείω ἀπειλοῦντα καὶ δεόμενα διορθώσε-
ως. εἰ δέ γε ὁ πατὴρ τοῦ ἀνήβου ἢ ἕτερος προαπέλυσας ἐπ' αὐτοῦ τὴν οἰκίαν κληρονομ-
ἀρξάμενος κατασκευάζειν ἢ ἀνακαινίζειν μέρος τοῦ οἴκου ἐτελεύτησε. χρὴ τὸν ἐπίτροπον
περὶ τούτου διαμαρτυρίαν χρῆσθαι. μηδὲ σοῦν τῶν κατασκευῶν ἐκποιεῖσθαι πράγμα-
τα ἀφηλίκων, δίχα ἀποφάσεως κριτοῦ. προεξητασμένης ἑκάστοτε πράξεως καὶ φυ-
λαχθῆναι μὴ δυναμένης. καὶ ζήτει περὶ τούτου τὸ γ' κεφ. τοῦ ὀρφανοῦ. ἀνάγνωθι καὶ τὸ πγ'
ια' καὶ ις' τοῦ αὐτοῦ ἐν τῷ ια' κεφ. τιτ. Ὁ μὴ διοικήσας ἐπίτροπος, ἐὰν μὴ ὕποπτός ἐστιν
ὁ διοικήσας, οὐκ ἐνάγεται. εἰ δὲ ὕποπτός ἐστιν ἐνάγεται διότι ὡς ὕποπτον οὐκ ἀπε-
κίνησε τὸν συνεπίτροπον. ἀνάγνωθι καὶ τὸ ια' καὶ ιθ'. ἀνάγνωθι καὶ βιβ. ξ' τιτ. λζ' κεφ. β' ἐν τῷ Φλ. Ὁ
ἐπίτροπος ἢ κουράτωρ ἀγαγόμενος τὴν νέαν πρὸ τοῦ κε' ἐνιαυτοῦ· μὴ πρὸ τοῦ πρὸς
αὐτῆς μνηστευθεῖσαν αὐτῷ ἢ ἀφοσιωθεῖσαν ἢ ἐν διαθήκῃ ὀνομασθεῖσαν, ὁ τελευταῖον ποι-
εῖ, καὶ ὑπόκειται μοιχείᾳ. ἀνάγνωθι καὶ τὸ νδ' κεφ. π' ἐν τῷ Φλ. Ἐὰν τις χρείας ἐπιτροπὴν
ὀρφανοῦ δημοσίᾳ, κατὰ τὸν δημόσιον τὴν κατὰ τοῦ ἐπιτρόπου ἀγωγὴν κινεῖ ὁ ὀρφανός.
καὶ τὸ νζ' ἐν τῷ Φλ. Ἐὰν ὁ ἐπίτροπος τὴν πρὸ αὐτοῦ ἐπιτρόπου μείνην κόρην φθείρῃ, πε-
ριορίζεται καὶ πᾶσα ἡ οὐσία αὐτοῦ δημεύεται. καὶ τὸ μάλιστα ἐκείνην τὴν ἑκουσίαν ὁ

θέλει ἐπιτροπεύειν· ἢ ἵνα μὴ ἁρπάζωσιν οἱ νόμοι τὰ ποθούμενα ἐπιτηδεύσασι :—

λη' **Περὶ ἐπιτροπευούσης μητρὸς καὶ διοικούσης τὰ τῆς θυγατρὸς πράγματα. ἀνάγνωθι βιβλ. κε' τίτ. β' κεφ. ξ' ἐν τῷ θεμ. :—**

ἀνάγνωθι περὶ προτιμήσεως ἐπιτρόπου ἐν τῷ πρ. β' τίτ. ἐν τῷ δ' φύλλῳ. ὅτι κατὰ τὸν βαθμὸν καὶ τὴν τάξιν καθ' ἣν πρὸς τὴν κληρονομίαν καλοῦνται καὶ τὸ λειτούργημα τῆς ἐπιτροπῆς ὑπηρετοῦν. εἰ ἄρρενες καὶ τῆς τελείας ἡλικίας τυγχάνουσι. καὶ ὑπὸ μηδενὸς νόμου κωλυόμενοι τὴν ἐπιτροπὴν ὑπηρετοῦν μή. γυναῖκας ἁρμοζούσας αὐτοῖς κέκριται. ταῖς γὰρ γυναιξὶ ὁ νόμος ἀπαγορεύει τὸ τῆς ἐπιτροπῆς ὑπηρετεῖν λειτούργημα πλὴν ἐὰν μὴ μήτηρ ἢ μάμμη ᾖ. ἐν ὑπομνήματι ἀπαγορεύουσι γάμοις ἑτέροις ἐπιβοηθεῖν τοῦ ἠπειρωτικοῦ δόγματος. ἀνάγνωθι ἐν τῷ ἰδ' ἐν τῷ θεμ. περὶ ἐπιτροπευούσης μητρός. καὶ ἐν τῷ ρνε' :—

Ἐὰν μὲν μήτηρ ἐπιτροπεύουσα παιδὸς καὶ ὑπερβᾶσα τὴν ἐπαγγελίαν δευτερογαμήσῃ, μὴ ἀποδοῦσα αὐτῷ πρότερον ἐπιτροπῆς καὶ τοὺς λογισμοὺς προσάγουσα, οὐδὲν ὅμως ἧττον καὶ ἡ διάδοχος καὶ τὰ τοῦ ἑτέρου ἀνδρὸς πράγματα. ἀνάγνωθι καὶ βιβλ. κς' τίτ. ε' κεφ. πγ' ἐν τῷ θεμ. Ἐὰν γυνὴ μετὰ θάνατον τοῦ ἀνδρὸς τὰ τῆς θυγατρὸς αὐτῆς διοικῇ πράγματα, ἵνα διὰ ἀρμοστοῦ πραγμάτων πωλήσῃ, καὶ τὸ τίμημα λάβῃ καὶ ἀποσχέσῃ, οὐκ ἠδικοῦσα ὑπερβαίνουσιν οἱ ἀρμοσταὶ πράγματα. Ἐὰν ἄνδρες τῆς κόρης εἶναι τὰ πράγματα δεδώκασι τοῖς ἱεροῖς, ἃ καὶ τὰ μέγιστα πολλῷ χρόνου διῴκησε τὰ πράγματα αὐτῆς· καὶ ἀνδρεία ἦν κατεστήσασιν. ἀνάγνωθι καὶ βιβλ. λζ' τίτ. ιβ' ἐν τῷ θεμ. περὶ τοῦ ἔχοιεν ἢ καὶ εἶεν αὐτοῖς ἐπιτήδειοι καὶ μετὰ ὅρκον ὑπέχειν ὡς οὐ δευτερογαμήσουσιν. ὑποκεῖσθαι δὲ αὐτοὺς τοῖς ἐπιτροπικοῖς λογισμοῖς. ἅμα μέντοι δευτέροις αὐτὴν ὁμιλήσειν γάμοις, δεῖ ἐξωθεῖσθαι τῆς ἐπιτροπῆς :—

λθ' **Περὶ ὑποπλαγέντων ἢ διεξιόντων κινδυνευόντων. ἀνάγνωθι βιβλ. νς' τίτ. γ'. οὗτινος ἐν τῷ θεμ. γ' κεφ. φησίν :—**

Ἐν δὲ κινδύνῳ, δεῖ καὶ τὰς ἡλικίας ἀπογράφεσθαι, τὰς ἐν καιρῷ τῆς ἀπογραφῆς. ἀνάγνωθι καὶ τίτ. ιδ' οὗτινος ἐν τῷ α' κεφ. θεμ. ς' φησί. Ἐὰν ἐξισωτὴς ἢ λογοθέτης ἐκδημήσει, ἢ ἴσως καὶ χάριν ἐπράχθη· οὐ μόνον τῆς ἀξίας ἐκπίπτει· ἀλλὰ καὶ τετραπλάσιον τὸ τέλος δίδωσι. τετραπλάσια δὲ παρέχει καὶ ἀπὸ ἑκάστου πραγμάτων ἐπαρχικῶν. ὁ βαίως ἐχέτω τὴν τιμὴν ὁ λαβὼν ἀπὸ τοῦ ἐξισωτοῦ μὴ ἀπαιτούμενος λοιπάδας τοῦ παρελθόντος χρόνου. εἰ δέ τις ἐκδικεῖ αὐτὴν ὡς ὑποκειμένην, ἢ ἑτέρῳ τρόπῳ κινεῖ δικαστήριον μὴ δι' ἑαυτοῦ ἢ διά τινος προσώπου. καὶ λοιπὸν οὐ νικᾷ, τὰς δαπάνας τῆς ζημιώσεως δίδοσθαι δεῖ κατέχοντι αὐτήν, ἐντὸς ἐξ μηνῶν κινεῖν τὴν ἀρμοδίαν ἀγωγήν. ἐν δὲ τῷ β' κεφ. οἱ νεμόμενοι δημόσια χωρία ἀναδεχέσθωσαν τὰ ἄπορα. εἰ δὲ μὴ βούλονται. ἐξελαυνέσθωσαν καὶ τῶν ἰδίων· ὅπως ἂν πάντα οἱ κτήτορες ἔχοιεν. ἐν δὲ τῷ ις' κεφ. μηδεὶς τῶν κτητόρων ὑπὲρ τῆς ἐν ἑτέρᾳ ἐνορίᾳ οὔσης καταδεχέσθω :—

μ' **Περὶ ἐργολάβων ἐστὶ δὲ ἐργολάβος, ὁ χρήματα δεδωκὼς ἐπὶ τῷ ἐκχωρηθῆναι ἀγωγήν. ἀνάγνωθι βιβλ. ια' τίτ. α' κεφ. πα' ἐν τῷ θεμ. :—**

Ὁ τὴν ἐργολαβήσας τὴν ἀλλοτρίαν δίκην, κακῶς ἀπαιτεῖ πληρωθῆναι τὰ ὑποσχεθέντα ἐπὶ ταύτῃ τῇ αἰτίᾳ· οὐδὲ γὰρ ἔχει τὴν περὶ τούτου ἀγωγήν. ὁ μέντοι κατὰ τὸν ὑπὲρ

τινος δικαζόμενος, δύναται τὰ γινόμενα δαπανήματα λαβεῖν. καὶ κεφ. πγ΄ ἐν συναφ. φη. τοῦ μὴ πλέον λαμβάνειν τὸν ἐργολαβήσαντα, τουτέστι τὴν ἀλλοτρίαν δίκην ἐκχωρηθέντα, ὧν δέδωκε χρημάτων, καὶ τὰ ἀνήκοντα αὐτοῖς τόκου. ἀνάγνωθι καὶ ιε΄ τίτλ. α΄ κεφ. λα΄ συναφ. φη. οἱ ἐργολάβοι ἰδίαις ὕλαις κτίζοντες ποιοῦσιν αὐτὰς περιεχόμενα τοῦ δεσπότου τοῦ ἐδάφους:

**Περὶ ἑρμαφροδίτων. τουτέστι τῶν ἐκ μονομεροῦς [illegible] τὴν κατασκευὴν ἐχόντων. ἀνάγνωθι βιβ. ϛ΄ τίτλ. κα΄ κεφ. α΄. καὶ βιβ. τίτλ. δ΄ κεφ. ηβ΄ συναφ. φη:**

Ἐν τοῖς ἑρμαφροδίτοις καὶ οἱ μείζονες ὁλοτελῶς ἀποληφθέντες, ἀποκαθίστανται:

**Περὶ εὐνούχων. καὶ περὶ τοῦ μὴ εὐνουχίζεσθαι ῥωμαῖον. ἀνάγνωθι βιβ. ιθ΄ τίτλ. α΄ κεφ. οα΄ ηβ΄ συναφ. φησιν:**

Ἡ διάταξις κελεύει· ὥστε μηδένα ῥωμαῖον εὐνουχίζεσθαι· μήτε ἔξω τοῦ ῥωμαϊκοῦ ἐδάφους. μήτε ἀγοράζειν μηδένα τῶν εὐνουχισθέντων ῥωμαίων. ἀλλὰ καὶ τὸν εὐνουχίσαντα καὶ αὐτὸν τὸν ἀγοράσαντα καὶ τὸν συμβολαιογράφον τὸν συγγράψαντα τὸ τοιοῦτον συμβόλαιον. καὶ τὸν τελώνην τὸν κομισάμενον τέλος ἐπὶ τούτῳ τιμωρεῖσθαι. τὰ δὲ βάρβαρα ἀνδράποδα τὰ εὐνουχιζόμενα ἔξωθεν τοῦ ῥωμαϊκοῦ ἐδάφους, ἐξέστω πᾶσι τοῖς ἐμπόροις καὶ ἀγοράζειν καὶ πιπράσκειν. ἀνάγνωθι καὶ βιβ. ξ΄ τίτλ. γ΄ κεφ. κϛ΄ συναφ. φη. ὁ εὐνουχίσας παῖδα καὶ ποιήσας τομίαν [illegible]. τῇ περὶ ὕβρεως ἀγωγῇ [illegible] ὑπόκειται καὶ τῷ περὶ ἐγκλήματι τῷ ἀπὸ [illegible] νόμου τοῦ [illegible]. ἀνάγνωθι καὶ βιβ. λ΄ τίτλ. α΄ κεφ. νβ΄ συναφ. φη. ὁ εὐνοῦχος ὄνομα ἐστὶ γενικόν· τέμνεται δὲ εἰς εἴδη. οἱ μὲν γὰρ αὐτῶν εἰσὶ σπάδοντες· οἱ δὲ καστράτοι· οἱ δὲ θλιβίαι. καὶ σπάδοντες εἰσίν· οἵτινες διά τι πάθος ἢ ψύξιν ἐνοχλοῦνται τοῖς γονίμοις μορίοις. παιδοποιεῖν κωλύονται. τούτου δὲ ἀπαλλαγέντες, παιδοποιοῦσι. θλιβίαι δέ, οἵτινες ὑπὸ τῆς τροφοῦ ἢ τῆς μητρὸς τυχόν, ἐθλίβησαν τῶν διδύμων ὑπέστησαν. καστράτοι δὲ εἰσίν, ἐφ' ὧν τέτμηνται τὰ μόρια τῶν γεννητικῶν μορίων. καὶ ὁ μὲν καστράτος καὶ ὁ θλιβίας θέσιν τινά οὐ λαμβάνουσιν· ἐπεὶ οὐδὲ παιδοποιεῖν δύνανται· οἱ δὲ σπάδοντες λαμβάνουσιν· ἐπειδὴ τούτων ἐλπὶς ἐστὶ τοῦ πάθους ἀπαλλαγέντα δύνασθαι παιδοποιεῖν:

**μα΄**

ἀνάγνωθι καὶ τὴν ρκϛ΄ νεαρὰν φη. ὅτι ἄνδρες εἰσὶν οἱ εὐνουχισθέντες τοῦτο τὸ πάθος ὃ πεποιήκασι· καὶ τὰ πράγματα αὐτῶν τῷ δημοσίῳ προσκυροῦσθαι καὶ κακώσεις ἐν ἔργῳ πέμπεσθαι. καὶ εἰ ἤδη ἀνδ. μέχρι πλείονος. εἰ δὲ γυναῖκες ὦσι καὶ αὐτὰς τιμωρεῖσθαι καὶ τὰ πράγματα αὐτῶν τῷ δημοσίῳ προσκυροῦσθαι καὶ εἰς ἐξορίαν πέμπεσθαι. τοὺς δὲ εὐνουχισθέντας εἰ δοῦλοι εἰσίν, ἐλευθερίας τυγχάνειν. ἰστέον δὲ ὅτι τὸ κεφ. τοῦτο οὐ κεῖται ἐν τοῖς βασιλικοῖς: :Ν.

α'

✠ ἀρχὴ σὺν θεῷ τοῦ ζ' στοιχείου :-

Περὶ ζημιωσάντων τετραπόδων καὶ ἀλόγων ζώων· οἷον ἵππου λακτίζοντος· ἢ βοὸς κερατίζοντος· ἢ κυνὸς δάκνοντος· καὶ λοιπῶν· ἀνάγνωθι β' ιθ' τ' ι' κεφάλαιον λ' σύμφωνον :-

Ὁ κύνα ἄγριον ἢ κάπρον· ἢ ἄρκον· ἢ λύκον· ἢ πάνθηρα· ἢ λέοντα· ἢ ἕτερον βλαπτικὸν ζῷον λυμαινόμενον ἢ μὴ οὕτως δεδεμένον ὥστε μὴ δύνασθαι βλάπτειν ἔχων ἐν δημοσίᾳ παρόδῳ· καὶ αὐτὸς ἐλεύθερος ἐκ τούτου τελευτήσει· σ' νομίσματα δίδωσιν· εἰ δὲ μὴ ἀπέθανεν ἀλλ' ἐβλάβη, ὅσον τὸ φαινόμενον ὁ δικαστὴς καταδικάζεται· ἐπὶ δὲ λοιπῶν πραγμάτων διπλῆν δίδωσι τὴν ζημίαν· ἀνάγνωθι καὶ τὸ κ' τ' δ' κεφ. ιγ' σύμφωνον. Ἐὰν ἀποδύσω δοῦλόν τινα καὶ ἀπὸ ψύχους ἀποθάνῃ, ἐπειδὴ τοῖς ἐσθήμασιν, ἁρμόζει ἡ περὶ κλοπῆς ἀγωγὴ εἰς τὸ διπλοῦν· ἐπὶ δὲ ἀνδραπόδῳ, ἡ τοῦ διπλοῦ ἀπαίτησις ἁρμοζομένης καὶ τῆς ἐγκληματικῆς κατα[illegible]. Ἐὰν ἀλλότριον σκεῦος ἔρριψα εἰς βυθόν, οὐκ ἐπὶ τῷ κερδᾶναι· ἀλλὰ διὰ τὸ ζημιῶσαι τὸν δεσπότην· ἐνέχομαι εἰς τὸ διπλοῦν· οὐ μὴν τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἢ τῷ ἀκουιλίῳ. Ἐὰν ἀκρόδρυα ἀπὸ τοῦ ἐμοῦ ἀγροῦ πέσῃ, τὰ καταβοσκηθέντα αὐτά, χώρα τῇ ἰν φάκτουμ· οὐ μὴν τῇ περὶ νομῆς πραγμάτων· ἐπειδὴ μὴ εἰς τὸν τοῦ ἀλλοτρίου ἐβόσκηθη, οὔτε τῷ ἀκουιλίῳ χώρα. ἀνάγνωθι καὶ τὸ ξ' τ' β' οὕτινος σύμφωνον ἀκ. Ἐὰν τετράποδον ζημιώσῃ τινά, δίδοται ἀγωγὴ ἐπὶ ἐκδόσει τοῦ ζῴου, ἢ τῇ ἀποκαταστάσει τῆς ζημίας· καὶ ἁρμόζει ἡνίκα τὸ ζῷον ἀγριότητι κινηθὲν ἔβλαψεν· οἷον λακτίσας ἵππος [illegible] ἢ βοῦς [illegible] κερατίζων [illegible]· εἰ δὲ διὰ τὴν θέσιν τοῦ τόπου ἢ διὰ τὴν ἀπειρίαν τοῦ ἡνιόχου, ἢ τὸ πολὺ βάρος ἡ ζημία γένηται· μᾶλλον ὁ νόμος ὁ [illegible] τῆς τὸ διπλοῦν ἀπαιτῶν· ἐξομολογίας δὲ τὸ ἁπλοῦν ἁρμόζει. Εἰ δὲ καὶ κύων ἀγόμενος ἀποφύγῃ διὰ τὴν ἰδίαν ἀγριότητα καὶ βλάψῃ· εἰ μὲν ἠδύνατο κρατεῖσθαι ὑπὸ ἄλλου ἀσφαλέστερον, ἢ οὐκ ἔδει αὐτὸν διελθεῖν [illegible] τοῦ τόπου, ἡ περὶ [illegible] ἀγωγή· καὶ ἐνάγεται ὁ τὸν κύνα κρατῶν· ἢ ὁ ἐρεθίσας αὐτόν. Γενικῶς γὰρ τότε ἁρμόζει ἡ κατὰ ζῴου βλάψαντος ἀγωγή, ὅτε παρὰ τὴν φύσιν κινηθὲν τὸ θηρίον ἔβλαψεν· εἰ γὰρ ἀπὸ πόνου ὁ ἵππος λακτίσει, ἁρμόζει ἡ ἰν φάκτουμ ἀγωγή· καὶ ὁ τύψας ἢ τραυματίσας τὸν ἵππον ἐνάγεται τῇ τοῦ διπλοῦ ἀπαιτήσει· ἐπειδὴ μὴ τῷ ἰδίῳ σώματι ἐζημίωσεν. εἰ δὲ αὐτὸ καταπεσεῖν ἢ κατακλιθῆναι λακτίσαν, χώρα τῇ ἀγωγῇ. εἰ δὲ τετράποδον ἕτερον ἐρεθίσει τετράποδον, ὀνόματι τοῦ ἐρεθίσαντος κινεῖται. εἰ δὲ ἰδίῳ σώματι βλάψει τὸ τετράποδον, ὅτε διὰ ἑτέρου πράγματος τυχόν

ζ'.

τῆς ἁμάξης· χώρα τῇ ἀκουιλίῳ· ἐπὶ δὲ τῶν κατὰ φύσιν ἀγρίων οὐ κινεῖται. ἐὰν δὲ ἄρ-
κος ἀποφυγοῦσα βλάψῃ, οὐ κατέχεται ὁ πρὶν δεσπότης· ἐπαύσατο γὰρ δεσπόζειν ἀπο-
φυγούσης τῆς θηρός· καὶ ὁ φονεύσας αὐτὴν δεσπόζει τοῦ σώματος. ἐὰν δύο κριοὶ ἢ βόες
συμβάλλωσιν· εἰ μὲν ὁ ἀπαιτῶν ἀπέθανε, χωλάζει ἡ ἀγωγή· εἰ δὲ ὁ ἄλλος, κινεῖται·
καὶ ἢ ἐκδίδοται ὁ ἀπαιτῶν, ἢ ἀποθεραπεύεται ἡ ζημία. καὶ ἐπὶ τῆς κατὰ τοῦ βλά-
ψαντος ζῴου ἀγωγῆς, ἡ ζημία τῇ κεφαλῇ ἀκολουθεῖ· καὶ ὁ νῦν δεσπόζων, οὐ μὴν ὁ ἐν τῷ
καιρῷ τῆς βλάβης ἐνέχεται. εἰ δὲ πρὸ τῆς προκαταρξέως ἀποθάνῃ τὸ ζῷον, σβέννυται
ἡ ἀγωγή. ἐκδοῦναι ἐστί, τὸ παραδοῦναι τὸ ζῷον πρεῖον. ἐν δὲ τῷ ς' κεφ. ὁμοίως φησὶν
ἐν τῷ ιε' κεφ. τοῦ δ' τοῦ αὐτοῦ β'. ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται
εἰς τὴν δαπάνην τῆς ἰατρείας, καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας· οὐ μὴν τῆς ἀμορφίας· σῶμα γὰρ
ἐλεύθερον, οὐ διατιμᾶται. ἐν δὲ τῷ λ' κεφ. ἐὰν ἵππος ὀσφρανθῇ φορβάδα, ἢ λακτίσῃ
τινά, ὁ δεσπότης αὐτῆς ἐνάγεται. ἀλλὰ καὶ ἐν τῷ τίτλῳ ἐν τῷ η' κεφ. φη. ὁ ἰατρὸς ἀπεί-
ρως τεμὼν δοῦλον, ἢ τῷ μισθωτῷ ἢ τῷ ἀκουιλίῳ ἐνέχεται. καὶ ὁ ἀπείρως δοὺς
φάρμακον καὶ ὁ καλῶς τεμών, καταλιπὼν δὲ τὴν ἰατρείαν. καὶ ὁ ἡμιονηγὸς ἐὰν δι' ἀ-
πειρίαν ἢ ἀσθένειαν οὐκ ἐκράτησε τῶν ἡμιόνων, οὐ γὰρ ὀφείλει τις ἀποπειρᾶσθαι ποιεῖ-
σθαι γινώσκων· ἢ ὀφείλων εἰδέναι τὴν ἰδίαν ἀσθένειαν ἐπιζήμιον, ἄλλοις γενομένην.
τὸ δ' αὐτὸ καὶ περὶ ἱπποδρόμου. ἐν δὲ τῷ κα' κεφ. ἐὰν ἐγὼ θέλων καῦσαι τὸν οἶκόν μου πῦρ
ὑποβάλω, καὶ καυθῇ ὁ τοῦ γείτονος, ἐνέχομαι τῷ ἀκουιλίῳ, καὶ τοῖς ἐνοίκοις
διὰ τὰ πράγματα αὐτῶν τὰ καυθέντα. ἐὰν ὁ φουρνάριος δοῦλος τοῦ ἐνοίκου ἀ-
ποκοιμηθῇ καὶ καυθῇ ὁ οἶκος, χώρα τῇ μισθωτῷ. ἐὰν ἄλλος τοὺς ὑπηρετοῦντας
ἐπεξέλατο, ὁ δὲ ἄλλος ὑπέβαλε τὸ πῦρ, ἑκάτερον ἐνέχεται. ἐὰν πλησίον τοῦ κοινοῦ
τοίχου φοῦρνον ἔχῃς, οὐ χώρα τῷ ἀκουιλίῳ, ὥσπερ οὐδὲ ἐπὶ ἑστίας. εἰ δὲ καυθῇ ὁ τοῖ-
χος, ἰμφάκτουμ ἁρμόζει. πρὸ δὲ τῆς ζημίας ὁ εὐλαβούμενος αὐτήν, ἐπερωτᾷ τὴν ἀσφά-
λειαν τὴν περὶ μελλούσης ζημίας. ἐὰν δοῦλος τοῦ μισθωτοῦ καύσῃ τὸ ἐποίκιον, χώρα τῇ
μισθωτοῦ καὶ τῷ ἀκουιλίῳ. καὶ τῆς μιᾶς κινουμένης, ἀργεῖ ἡ ἄλλη. ἔξεστι δὲ τῷ μισθω-
τῷ δοῦναι ὑπὲρ θεραπείας τῆς ζημίας τὸν καύσαντα, ἐὰν αὐτὸς ἔσφαλται ἐκ ῥᾳθυμίας· ἐπεὶ
τότε ἐνάγεται κακοῖς χρώμενος. τὰ αὐτὰ καὶ περὶ ἐνοίκων. ἐν δὲ τῷ κε' κεφ. ὁ
πλήξας δούλην ἢ φοράδα, καὶ παρασκευάσας ἀμβλῶσαι, ὑπόκειται τῷ ἀκουιλίῳ.
καὶ ὁ ὑπερφορτώσας ναῦλα καὶ ἐκ τούτου φθείρας μηκὸς αὐτῆς καὶ ὁ πλοῖον τρυπή-
σας. καὶ ὁ ἄωρον τεμὼν ἐλαίαν ἢ λίνον ἢ ἄμπελον· εἰ μέντοι πέπειροι ἦσαν οἱ καρ-
ποί, ἀργεῖ· οὐδὲν γὰρ ἐζημίωσε τὸν δεσπότην, εἰ μὴ ἄρα τὰς σταφυλὰς ἔρριψε χα-
μαὶ καὶ διεφθάρησαν· ὁ δὲ τρυγήσας, καὶ τὰς γενομένας δαπάνας, δοῦναι χρή.

δεσπότη. Εἰ δὲ ξυλοκόπτει τὰς καρποφόρους ἀπὸ τοῦ δένδρου (ἢ φυτά). ἐνέχεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσι-
ον ἀγωγῇ· τὸ αὐτὸ καὶ ἐπὶ ὕλης. ἐφαρμόζει ἡ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγή. καὶ
ἡ κατὰ τῶν δεξαμένων κλοπιμαῖα ὡς γεγονότων. Εἰς δὲ τῷ λ΄ κεφ. Ἐὰν φαμιλία βλάψῃ ἢ
κλέψῃ. τούτων δίδωσιν ὁ δεσπότης. ὅσον εἰ ὁ ἐλεύθερος ζημιώσας ἐδίδου. ἵνα
μὴ ἐξ ἑνὸς ἁμαρτήματος, ὅλης τῆς φαμιλίας ὁ δεσπότης στερηθῇ. Εἰς δὲ τῷ λα΄ κεφ. Εἴ
τις κλέψας τινὸς ἐξουσίαν ἔχοντος ἀπελάσαι ζημιώσας ὅσον ὁ ἐλεύθερος, ὁ κλέψας
ἐνάγεται. Ἐὰν ζῴου μου περὶ οὗ ἐνάγομαι, τὴν πρὸ αὐτοῦ γενομένην ζημίαν φονεύσῃς,
οὐ γίνεται ἡ καταδίκη πρὸς τὴν τιμὴν τοῦ ζῴου. ἀλλὰ πρὸς ὃ ἔμελλον τὴν ζημίαν κατα-
δικάζεσθαι. μὴ δυνάμενος δὲ νόξαν ἐκδοῦναι τὸ ζῷον. Εἰς δὲ τῷ λε΄ κεφ. Τὴν φο-
ράδα μου βοσκομένην ἐν ἀγρῷ σου ἐκ τοῦ τόπου ἀπήλασας, καὶ ἤμβλωσεν. ἐὰν ἐ-
πλήξας ἢ ἐπὶ τοσοῦτον σφοδρῶς ἤλασας, ἐνέχῃ τῷ ἀκουιλίῳ. ὁ γὰρ ἀλλότριον ζῷον
βοσκόμενον ἐν τοῖς ἰδίοις ἀγροῖς, οὔτε ἀποκλείειν αὐτό, οὔτε σφοδρῶς ἐλαύνειν
ὀφείλει. ἀλλ᾽ ὡς ἴδιον. ἐχέτω γὰρ ἀγωγὴν κατὰ τοῦ δεσπότου, περὶ ὧν ὡς εἰκὸς ἐζημίωται.
Εἰς δὲ τῷ μς΄ κεφ. ὁ διὰ καπνοῦ φονεύσας ἢ φυγαδεύσας ἀλλοτρίας μελίσσας, ὑ-
πόκειται τῇ τὸ διπλοῦν ἀπαιτούσῃ ἀγωγῇ. ὁ ἀκουίλιος, ἀδίκου ἐπιζητεῖ ζημίαν.
Εἰ δέ τις ἐμπρησμοῦ γινομένου, διὰ τὸ σῶσαι τὸν ἴδιον οἶκον καταστρέψει τὸν τοῦ
γείτονος, ἀργεῖ ὁ ἀκουίλιος. εἴτε τὸ πῦρ ἔφθασεν, εἴτε προεσβέσθη. ἀν. ε΄ τ. α΄. τοῦ
τινος ἐν τῷ α΄ κεφ. Ἐὰν ἐκχυθῇ τι ἢ ἐκριφῇ κατὰ δημοσίας προόδου ἢ ὅπου τινὲς κατὰ συνήθειαν
ἴασι. ἐκτίνεται καὶ ζημία, ἐνάγονται οἱ ἐνοικοῦντες, εἰς τὸ διπλοῦν τῆς ζημίας. Εἰ δὲ
τελευτήσει ἐλεύθερος ἄνθρωπος, ἡ καταδίκη ν΄ νομισμάτων γίνεται. Εἰ δὲ μὴ ἀπέθανεν ἀλλ᾽ ἐβλά-
βη δὲ ὅσον δόξει τῷ δικαστῇ δίκαιον εἶναι. Εἰ δὲ δοῦλος ἀγνοοῦντος τοῦ δεσπότου
ποιήσει, ἁρμόζει εἰς τὸ ἐκδοθῆναι τὸν δοῦλον ὑπὲρ τῆς ζημίας, καὶ ἀδιά-
φορον εἴτε δημόσιος εἴτε ἰδιωτικός ἐστιν ὁ τόπος. μόνον δὲ τὸ πλῆθος ἐκεῖθεν
παρέρχεται. Εἰ δὲ συνήθως ἦν ἐν ἑσπερινῷ καιρῷ μὴ παριέναι τὸ πλῆθος ἐκεῖθεν, ὁ δὲ ἐκρίπτων
ἀνεύθυνός ἐστιν. ἡ τοιαύτη ἀγωγή, οὐ κατὰ τοῦ δεσπότου τοῦ οἴκου, ἀλλὰ κατὰ τοῦ οἰκοῦν-
τος εἰς τὸ διπλοῦν ἁρμόζει καὶ χωρὶς ἀμελείας καὶ ἀρνήσεως. ὁ δὲ ἀκουίλιος, ἑκα-
τέρου ἐπιζητεῖ. Ἐὰν ἀπὸ οἴκου ὑπεξουσίου ἐκχυθῇ, αὐτὸς ἐνάγεται, καὶ οὐχ ὁ πατὴρ
ἐκ τοῦ πεκουλίου τοῦ παιδὸς δίδωσι τὴν ζημίαν. οὐ γάρ ἐστι συνάλλαγμα, ἀλλὰ ἐκ
τοῦ ἁμάρτημα. Εἰς δὲ τῷ δ΄ κεφ. ὁ ἔχων ἐν ἐξώσῃ κρεμάμενόν τι ἔνθα πρό-
οδός ἐστι τοῦ πλήθους ἢ τινὲς ἴασιν, ὅπερ πίπτον δύναται βλάψαι, ἐνέχεται ἰν-
φάκτουμ εἰς ι΄ νομ. Εἰ δὲ δοῦλος ἀγνοοῦντος τοῦ δεσπότου ποιήσει, νοξαλία δί-
δοται. Ἐὰν σκεῦος ζωγράφου ἢ σανὶς ἐξ ὑπερῴου πεσὸν βλάψῃ τὸν παριόντα.

ζ

ἢ κεράμου ἀπὸ στέγης ἐρριμμένου, οὔτε λίαν ἐμφανῶς ἁρμόζει· τουτέστιν ἐνάγεται τῇ περὶ τῆς γενομένης ζημίας. ἐπειδὴ μὴ ἀπὸ ἔξωθεν ἐνάγεται τῇ περὶ τῆς γενομένης ἐπαγωγῇ, ἡ περὶ τούτου ἀγωγὴ καθολική ἐστι· καὶ ἁρμόζει διαδόχοις· οὐ μὴν κατὰ κληρονόμων· ποινάλια γάρ ἐστιν. οὐ μόνον πρὸς πόλεις καὶ κώμας, ἀλλὰ καὶ πρὸς τὰς ὁδοὺς δι' ὧν τὸ πλῆθος παρέρχεται, ἀνήκει τὸ διάταγμα. χώραν δὲ νόμῳ ὅτε ἐν ἡμέρᾳ πέσῃ, οὐ μὴν ἄρα καὶ ἐν νυκτὶ πάροδος γίνεται. ἐν τῷ δ΄ ε΄ κεφ. ὁ ἔνοικος καὶ ὑπὲρ τῆς οἰκίας ἀμελήσας καὶ τῶν αὐτοῦ ἀπολογεῖται. ἀν(άγνωθι) καὶ τὸ κϛ΄ κεφ. θ΄: ϛ

Περὶ ζητήσεως, ἤτοι ἐξετάσεων. καὶ πότε καὶ τίνας δεῖ ἐμβασάνως ἐξετάζεσθαι. ἀν(άγνωθι) βι(βλίον) ξ΄ τίτ(λον) ν΄. ὁ τίτλος ἐνταῦθα α΄ κεφ(άλαια) φα΄:

Ὁ ὑπὸ δὲ τῆς ζητήσεως ἀπὸ βασάνων ἄρχεσθαι. τότε γὰρ οἱ δοῦλοι βασανίζονται· ὅτε καὶ ὕποπτος ἐστὶν ὁ κατηγορούμενος, καὶ ὑπάρχει τεκμήρια. ὥστε μόνην τὴν τῶν δούλων ἐλλείπειν κατάθεσιν. πρῶτον γὰρ βασανίζονται οἱ ὕποπτοι· καὶ δι' αὐτῶν δυνατὸν γνωσθῆναι τὸ ἀληθές. οὐ δεῖ γὰρ φέρεσθαι τινὰς ἀπὸ τοῦ οἴκου τοῦ κατηγόρου πρὸς ζήτησιν. ἐν τῷ α΄ κεφ. οὐ δεῖ πιστεύειν ταῖς καταθέσεσι τῶν κρινομένων, εἰ μὴ καὶ ἀπόδειξις διδάσκει τὸν δικαστήν. οὐκ ἀκούεται ὁ κατήγορος ἀποθέσθαι θέλων τὸ τίμημα τοῦ δούλου. ὥστε βασανισθῆναι αὐτὸν παρὰ τοῦ δικαστοῦ. ζητήσεως οὔσης περὶ δημοσίων ζητημάτων, καὶ οἰκέται βασανίζονται. ἐπειδὴ οἱ δόντες τῇ κατὰ τοῦ δημοσίου πειρατῇ, εἰς κεφαλὴν τιμωροῦνται. οὐ δεῖ τὸν ἐξετάζοντα ὀνομαστὶ ἐπερωτᾶν· εἰ ὁ δεῖνα φόνον ἐποίησε. τοῦτο γὰρ ὑποβαλεῖν ἐστιν. ἀλλὰ τίς τὸν φόνον ἐποίησεν. διὰ τὴν ἰταμότητα ἢ τὴν δειλίαν τῶν βασανιζομένων· οὔπω ποτὲ δεῖ πιστεύειν ἢ ἀπιστεῖν ταῖς καταθέσεσιν αὐτῶν οὔτε ταῖς τῶν ἐχθρῶν. ἀλλὰ τῆς αἰτίας διαγινωσκομένης. ἐν τῷ ε΄ κεφ. οἱ συλληφθέντες μετὰ τῶν αὐτοὺς παραδεδωκότων, οὐκ ἀδιαφόρως πιστεύονται λέγοντες. ἀλλὰ τῆς αἰτίας διαγινωσκομένης. ὁ αὐθαιρέτως ὁμολογήσας περὶ ἁμαρτήματος, ἀκεραίως οὐ πιστεύεται· πολλάκις γὰρ ἢ φόβῳ ἢ ἑτέρᾳ αἰτίᾳ καθ' ἑαυτοῦ πλάττεται. ὅθεν ἐὰν ὁ δοῦλος φοβούμενος ὑποστρέψαι πρὸς τὸν δεσπότην, πλάσεως καθ' ἑαυτοῦ εἴπῃ καὶ ἐν καταδίκην τῆς αἰτίας διαγινωσκομένης, ἠλευθεροῦνται τῆς ποινῆς καὶ διὰ τῆς τάξεως πιπράσκεται. ἐφ' ᾧ μὴ ὑποστρέψαι πρὸς τὸν δεσπότην, καὶ τὸ τίμημα δίδοται τῷ δεσπότῃ διαφέρει. ἐν τῷ θ΄ κεφ. ὁ ἥττων τῶν ιε΄ ἐτῶν οὐχ ὑφίσταται ἐμβασάνους ζητήσεις. πάντες οἱ ἀγόμενοι πρὸς μαρτυρίαν, ἐν τῇ πρὸς βασιλέα φερομένῃ καθοσιώσει τοῦ πράγματος, ἀπαιτοῦνται βασανίζονται· οὔτε ὁ τοῦ πατρὸς δοῦλος κατὰ τοῦ υἱοῦ, οὔτε ὁ τοῦ υἱοῦ κατὰ τοῦ πατρὸς βασανίζεται. ἐν τῷ ι΄ κεφ. ὁ ὁμολογήσας περὶ ἑαυτοῦ, καθ' ἑτέρου οὐ βασανίζεται· πολλοῦ τοῦ αὐτοῦ ἁμαρτήσαντος, ἐκ τῶν δειλοτέρων καὶ ἁπαλωτέρας ἡλικίας ὄντων. ἄρχεσθαι δὲ τῆς ζητήσεως, ὅτε προφανέσι τεκμηρίοις ἤλεγκται ὁ κατηγορούμενος, ἐστὶ·

ιε

ϛ

τέρου δύναται βασανίζεσθαι. μάλιστα ἐὰν καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα αὐτοῦ τὴν βάσανον ὑποφέρῃ. βι. ξ' τι. ιζ' κε. μὴ ὄντων τεκμηρίων. οὐδὲ τὸν κατηγορούμενον βασανίζεσθαι. ἀλλ' ὁ κατήγορος ἀποδεικνύει, ἢ κινδυνεύει. οἱ μάρτυρες οὐκ ἀεὶ βασανίζονται πρὸς ἔλεγχον τοῦ ψεύδους ἢ τῆς ἀληθείας αὐτῶν, εἰ μὴ ὅτε [illegible] λέγονται τῇ ὑποθέσει. ὁ δοῦλος καὶ αὐθαιρέτως λέγῃ κατὰ τοῦ δεσπότου οὐ πιστεύεται. οὔτε κατὰ τοῦ γενομένου δεσπότου καὶ πωλήσαντος αὐτὸν ὁ δοῦλος βασανίζεται. οὔτε ὁ δεσπότης αὐτοῦ ἐπὶ τὸ βασανισθῆναι προφέρει δὲ καὶ αὐτὸν ἐρωτᾶσθαι. βι. ξ' τι. ια' κε. πρὸ μιᾶς ἡμέρας δηλοῦσθαι μέλλειν ἐξέτασιν γίνεσθαι. ἵνα μὴ οἱ κατηγορούμενοι ἐκ τοῦ αἰφνιδίου καταπλήττωνται καὶ τὰ μέγιστα δύνανται ἐν παντὶ καιρῷ δι᾽ ἀνακρίσεως αὐτῶν καὶ ἐπιτρέπεται καὶ ἐπαναλύεται ἡ ζήτησις.

ἀνάγ. ἐλαττ. ποινῶν: βι. δ' λγ' κε. θε. γ'. ὁ τοῦ αὐτοῦ δοῦλος ἐρωτᾶται περὶ ἰδίας πράξεως. εἰ καὶ συμβάλλεται τῷ δεσπότῃ ἡ βλάβη αὐτοῦ ἡ ἐπερώτησις, δεχόμεθα αὐτόν. ἀνάγνωθι καὶ τὰ εἰρημένα ἐν τῷ περὶ δούλων ἐμβαθύνως ἐξεταζομένων:

γ' Περὶ ζυγοστατῶν τῶν τὰς ἐκκομιδὰς ὑπεχομένων. ἀνάγ. β' νς' τι. ια' κε. ιγ' ε' ια' ε' ιε' ἐν οἷς φησιν:

Τοὺς ἐν δικαίῳ σταθμῷ δέχεσθαι τὰ καταβαλλόμενα, ἐχούσης τῆς λίτρας οβ' νο. καὶ τὸν μὴ ἀπαιτηθέντα ποσότητα ἐκδανείζει ἢ ἄλλως ζητεῖσθαι αὐτή:

✠ ἀρχὴ σὺν θεῷ τοῦ η στοιχείου:

α' Περὶ ἡμερῶν ἀπράκτων ἤτοι σχολαζουσῶν. καὶ τίνες ἐν αὐταῖς τιμωροῦνται ἢ τῆς φυλακῆς οὐκ ἐκβάλλονται. καὶ τίνες οὐ τιμωροῦνται ἢ τῆς φυλακῆς ἐκβάλλονται. καὶ ὅτι ἡ ἡμέρα ἀπὸ ς' ὥρας τῆς νυκτὸς ἄρχεται. ἀνάγ. β' ζ' τι. ιζ'. οὕτως ἐν τῷ α' κε. φη':

Ἐν τῷ καιρῷ τοῦ θέρους καὶ τῆς τρύγης οὐδεὶς ἀναγκάζεται δικάζεσθαι. εἰ δὲ θέλουσιν ἢ ἐθελονταὶ ὁ δικαστὴς αὐτοὺς προσκαλέσεται. ἐὰν δὲ παρῶσιν αὐτοὶ καὶ ἑκουσίως δικαζομένοις ψηφίσεται, ἔρρωται. εἰ δὲ ἀπουσιν ἀνίσχυρος ἡ ψῆφος καὶ χωρεῖ ἐκκλήτου. εἰ δὲ μέλλει φθείρεσθαι ἡ ἀγωγή, ἀναγκάζεται συνελθεῖν μέχρι τοῦ προκατάρξασθαι οὐ μὴν περαιτέρω. βι. ζ' ιθ' κε. καὶ οἱ δικασταὶ πάντες καὶ οἱ δῆμοι τῶν πόλεων, καὶ οἱ τεχνῖται πάντες ἐν τῇ κυριακῇ ἀργείτωσαν. γεωργοὶ δὲ μόνοι ἐν τῇ ἡμέρᾳ ταύτῃ γεωργείτωσαν. ἐπειδὴ πολλάκις συμβαίνει αὐτὴν ἐπιτηδειοτέραν εὑρεθῆναι πρὸς ἀσφαλ

ἄστυ· ἢ πρὸς τὴν τῶν ἀμπέλων γεωργίαν· καὶ ἄλλο ποῦ ἐστιν αὐτοὺς κωλύεσθαι τῆς ἐν τούτοις ἀέ-
ρων ἀπολαύειν εὐκαιρίας. Ἐν τῷ δ΄ κβ΄ κεφ. ἐν τῇ τεσσαρακοστῇ τοῦ πάσχα, μηδεμία παντε-
λῶς ἐγκληματικὴ δίκη γυμναζέσθω παρὰ μηδενὶ ἄρχοντι. Ἐν τῷ δ΄ κγ΄ κεφ. πᾶσα ἡ ἑβδο-
μὰς ἄπρακτος ἔστω· οἱ δὲ δύο μῆνες, καθ᾽ ἕκαστον ἔτος πρὸς ἀνάπαυσιν τοῦ καμάτου συγκε-
χώρηνται. τουτέστιν ὁ τοῦ θερισμοῦ καὶ ὁ τοῦ τρυγητοῦ. καὶ ἐν τῷ Ἰαννουαρίῳ μηνί,
αἱ ζωώδεις ἡμέραι ἔστωσαν ἄπρακτοι. καὶ ἡ γενεθλιακὴ ἑκατέρας Ῥώμης ἡμέρα· χρὴ γὰρ
ἐν τοῖς δύο τούτοις παλατίοις, ἀργεῖν τὰ δικαστήρια· ὡς ἐκ τῶν δύο τούτων πόλεων ἐπινο-
ηθέντα. Καὶ ζ΄ δὲ πρὸ τοῦ πάσχα ἡμέρ(αι) καὶ ζ΄ μετὰ τὸ πάσχα, καὶ αἱ τοῦ γενεθλίου τοῦ σ(ωτῆ)ρ(ο)ς ἡ-
μῶν. καὶ αἱ τῶν ἐπιφανείων. καὶ ὅτε μνήμη τοῦ πάθους τῶν ἁγίων ἀποστόλων γίνεται, ἄ-
πρακτοι ἔστωσαν. καὶ μηδεμία θέα ἐπιτελείσθω. καὶ τὴν κυριακὴν ὡς ὁμοίως ταύταις
ταῖς ἡμέραις προστάσσει τιμᾶσθαι. καὶ μὴ δὲ παρὰ τοῖς ἄρχουσιν ἢ χαμαιδικασταῖς ὑπο-
θέσεις γυμναζέσθω. καὶ ἡ ἡμέρα δὲ ἡ γενεθλιακὴ τοῦ βασιλέως. ἢ καθ᾽ ἣν ἀνηγορεύθη
βασιλεύς, ἄπρακτος ἔστω. Ἐν δὲ ταῖς ιε΄ πασχαλίαις ἡμέραις· μὴ δὲ περὶ δημοσίων συν-
τελειῶν μὴ δὲ περὶ ἰδιωτικῶν χρεῶν ὑπόμνησις παρεχέσθω τινί. Ἐν τῷ δ΄ κδ΄ κεφ.
πᾶσα πρᾶξις καὶ ἐπὶ δημοσίοις καὶ ἐπὶ ἰδιωτικοῖς, ἡσυχαζέτω ἐν ταῖς ιε΄ πασχαλί-
αις ἡμέραις· μόνη δὲ ἐλευθερία δούλων καὶ αὐτεξουσιότης παίδων γινέσθωσαν. ἐκ-
δ(ίδο)τ(αι) βούλεται τοὺς λῃστὰς καὶ τοὺς ἰσαύρους οὐ μόνον ἐν τῇ τεσσαρακοστῇ. ἀλλὰ ἐν οἵα-
δήποτε ἡμέρα τοῦ πάσχα ἐξετάζεσθαι. καὶ βασάνοις ὑποβάλλεσθαι. συγγνώσεται γὰρ
τὸ θεῖον ἡμῖν· πολλῶν ἀνθρώπων σωτηρίας ἐντεῦθεν ἀσφαλιζομένης. καὶ πολλῶν ἡσυχα-
ζομένων διὰ τῆς ἐπὶ ἐκείνοις ἐξετάσεως. Ἐν τῷ δ΄ κε΄ κεφ. τῇ πρώτῃ τῶν πασχαλίων
ἡμέρᾳ καὶ μετὰ βασιλικῆς ἰδικῆς ἐπὶ τούτῳ καταφοιτώσης κελεύσεως, πάντες οἱ ἐν φυλα-
καῖς ἀπολυέσθωσαν· πλὴν εἰ μὴ ἄρα ἱερόσυλός ἐστιν. ἢ μοιχός. ἢ παρθένων ἅρπαξ. ἢ τυμ-
βωρύχος. ἢ γόης. ἢ φονεύς. ἢ φαρμακός. ἢ μονήταν πλαστὴν καταδεξάμενος. ἢ πατρο-
κτόνος. ἢ κατὰ βασιλέως ἢ πόλεως μηχανησάμενος. Ἐν τῷ δ΄ κζ΄ κεφ. ἐν ταῖς ἀφωσι-
ωμέναις ἡμέραις εἰς τὴν τοῦ θεοῦ τιμήν, οὐ χρὴ θέαν ἐπιτελεῖσθαι. οὐδὲ ἀπαιτήσεις ἐν
αὐταῖς προβαίνειν. ὅθεν καὶ ἡ κυριακὴ οὕτω τιμάσθω. ὥστε μηδένα προβαίνειν ἐν
σεβασμίῳ ἐν αὐτῇ, μηδὲ ὑπόμνησιν μηδὲ ἐκτὸς ἀπαίτησιν. σιωπάτωσαν δὲ καὶ τοὺς τα-
ξεώτας καὶ τοὺς δικολόγους. καὶ μηδὲ τοὺς κήρυκας κεχρῆσθαι τῇ ζωηρᾷ φωνῇ-
μήτε δικάζεσθαι ἵνα· συμφωνίας δὲ καὶ διαλύσεις, καὶ ἐν κυριακῇ ποιεῖν ἐξέστω.
μήτε δὲ ἱππικὸν ἢ κυνήγιον ἐπιτελείσθω ἐν κυριακῇ. κἂν συμβῇ τὴν γενεθλια-
κὴν ἡμέραν τοῦ βασιλέως ἢ καθ᾽ ἣν ἀνηγορεύθη εἰς κυριακὴν ὑπαντῆσαι. ὁ ταῦτα πα-
ραβαίνων ἄρχων ἢ ταξεώτης. τῆς ζώνης ἐκπιπτέτω καὶ
δημευέσθω: ~

~

α΄

✠ ἀρχὴ σὺν θεῷ, τοῦ θ στοιχείου :–

Περὶ θεάτρων καὶ θυμελικῶν. ἀνάγνωθι βι. ιδ΄ τί. λε΄. οὗτινος ἐν τῷ γ΄ κεφαλαίῳ φησίν :–

Οἱ ἡνίοχοι Κωνσταντινουπόλεως μὴ ὑποκείσθωσαν τῷ ἐπάρχῳ τῆς πόλεως τιμωρεῖσθαι, εἰ μὴ περὶ αὐτὴν τὴν ἱπποδρομίαν ἁμαρτήσωσιν. ἐν τῷ δ΄ ε΄ κεφ. μηδεὶς τῶν ἀρχόντων ἀπὸ πόλεως εἰς πόλιν ἢ ἀπὸ ἐπαρχίας εἰς ἐπαρχίαν μετακομιζέτω ἵππους ἢ ἡνιόχους ἢ ὀρχηστὰς ἢ θηρία· δεῖ γὰρ ἑκάστην πόλιν τὴν οἰκείαν τέρψιν ἔχειν, ἐπεὶ ι΄ φολλίας κρίνεται :–

β΄

Περὶ θησαυρῶν εὑρισκομένων. ἀνάγνωθι βι. ιε΄ τί. α΄ κεφ. ξζ΄ ἐν τῷ φ :–

Ἐὰν εὕρω χρήματα ἐν τῷ ἀγορασθέντι παρ᾽ ἐμοῦ οἴκῳ, εἰ μὴ θησαυρὸς ἦν ἀλλ᾽ ἀπολέμενα χρήματα ἢ καταπεσόντα μὴ ληφθέντα ἀπὸ τοῦ κυρίου αὐτῶν, ἐκδικουμένου στ΄. ἀνάγνωθι καὶ τί. α΄ κεφ. ιε΄. ἀνάγνωθι καὶ βι. νς΄ τί. β΄ κεφ. γ΄ θέματι ι΄ ἐν τῷ φ. Ἐὰν ἐν δημοσίῳ τόπῳ ἢ βασιλικῷ ἢ ἀφωσιωμένῳ εἰς ταφὴν ἢ μνημεῖον θησαυρὸς εὑρεθῇ, τὸ ἥμισυ τῷ δημοσίῳ διαφέρει· ὁ δὲ ἀποκρύπτων τὸ διαφέρον τῷ δημοσίῳ μέρος, τὸν ὅλον θησαυρὸν ἀποδίδωσιν· οὐδεὶς δὲ μηνυτὴν ἑαυτοῦ εὑρηκέναι θησαυρὸν ἀναγκάζεται, εἰ μὴ μέρος αὐτοῦ τῷ δημοσίῳ διαφέρει :–

γ΄

Περὶ θυσιῶν. ἀνάγνωθι βι. α΄ τί. α΄ κεφ. η΄ ἐπὶ θέματι ιβ΄ ἐν τῷ φ :–

Οἱ περὶ τὰ διαφωσιωμένα θύοντες, ἅμα τοῖς κοινωνοῦσιν ἢ ὑπηρετησαμένοις, δημοσίᾳ τὴν ἐσχάτην ὑπομενέτωσαν ποινήν· τοὺς ἄρχοντας μετὰ ἀπόδειξιν ῥαθυμοῦντας
καὶ τῆς τάξεως ἀνὰ πεντήκοντα καταβαλλόντων λίτρας. καὶ κεφ.
ις΄. ἀνάγνωθι καὶ βι. ξ΄ τί. λθ΄ κεφ. ια΄ ἐν τῷ φ. ὅποι
ὧν ἔχων ἀπηγορευμένας θυ-
σ(ίας) κεφαλικῶς τιμωρεῖ(ται).
ἐν κεφ. κς΄ θέματι γ΄ :–

στοιχείου ι :–

α΄

✠ ἀρχὴ σὺν θεῷ, τοῦ ι στοιχείου :–

Περὶ ἱερῶν. ἀνάγνωθι βι. ια΄ τί. α΄ κεφ. ι΄ ἐν τῷ φησιν :–

Τὰ ἱερὰ πάντα τῷ δημοσίῳ ἢ τῷ βασιλικῷ ἐπ᾽ αὐτοῖς ἐλεύθερα δωρεὰν διαφορεῖ

Ι΄.

τῷ τῆς ἐκκλησίας τὰ ἐπιτετραμμένα διοικούσης. ἀνάγνωθι καὶ βι(βλίον) μϛ΄ τί(τλον) γ΄ κε(φάλαιον) ζ΄
ἐν τῷ πλάτει φησί. τὰ ἱερὰ ἤτοι ἅγια καὶ ἐν πόλεσι καὶ ἐν χωρίοις καθιεροῦνται. δημόσιος
δὲ τόπος παρὰ ἀκελεύστου βασιλέως, οὐ γίνεται ἱερός. καὶ κε(φάλαιον) η΄ ἐν τῷ πλάτει φησί. ὁ τόπος ἐν ᾧ
τὰ ἱερὰ ἀποτίθενται, οὐκ ἔστιν ἱερός. ἀλλὰ χρήσιμος τοῖς ἱεροῖς. καὶ μεταφερομέ-
νων τῶν ἱερῶν, ἢ ἀφιεροῦνται. καὶ οἱ νόμοι ἱεροί εἰσιν:

Περὶ ἱεροσυλίας. ἀνάγνωθι βι(βλίον) ξ΄ τί(τλον) με΄ κε(φάλαιον) β΄ ε΄ δ΄ ε΄ ϛ΄ ζ΄ η΄ ἐν τῷ πλάτει φησί: ε΄

Ἡ κατὰ τῶν ὑφαιρουμένων δημόσια ἢ ἱερὰ χρήματα καταδίκη τουτέστιν ὁ περιορισμός, μετὰ
πενταετίαν τοῦ ἁμαρτηθῆναι οὐ κινεῖται. καὶ κε(φάλαιον) ια΄ ἐν τῷ πλάτει φησί. ὁ ἐν θυσιαστηρίῳ ὢν
ἐν ἡμέρᾳ ἢ ἐν νυκτί, καὶ τῶν ἐν αὐτῷ ἱερῶν τι ἀφαιρούμενος, τυφλούσθω. ὁ δὲ ἔξω
τοῦ θυσιαστηρίου ἐν τῷ ἄλλου ναοῦ ἀφαιρούμενος, τυπτόμενος καὶ κουρευόμενος ἐξο-
ριζέσθω. καὶ κεφάλαιον ιε΄:

Περὶ ἱκανοδοσίας διδομένης ἐπὶ ἐκπληρώσει τῶν κριθέντων ἢ κρι- γ΄
θησομένων. καὶ τίνες ταύτην τὴν δόσιν λαμβάνουσι. καὶ περὶ τῶν
πρὸ αὐτῶν διδομένων ἐγγυητῶν τε καὶ ἐν τίσι, καὶ πότε καὶ ἐν τίνι
συνδεσμοῦνται. ἀνάγνωθι βι(βλίον) θ΄ τί(τλον) ι΄. ὅλον ἐν τῷ α΄ κε(φαλαίῳ) φησί:

Ἡ περὶ τῆς ἀποπληρώσεως τῆς καταδίκης ἱκανοδοσία, παρ' ἐγγυητῶν τοῦ ἐμφανισθῆναι
βεβαιοῦται. ἔχει δὲ πρὸς ὑπόθεσιν τοῦ ἐναγομένου, τὴν τετραμμένην εἰς ἔγγραφον. ἐν
δὲ τῷ ια΄ κε(φαλαίῳ). εἰ καὶ ἐν περικαταρξιν ἀποθάνῃ ὁ ἐκδικούμενος δοῦλος, οὐκ ἐλευθε-
ροῦνται οἱ τῆς ἐπὶ ἐκπληρώσει τῶν κριθέντων ἱκανοδόσεως ἐγγυηταὶ τοῦ ἐναγομένου
τὴν δίκην καταλιμπάνοντες. διαφέρει γὰρ αὐτὴν πληρωθῆναι καὶ διὰ τὴν ἀτελῆ τῆς
ἐκνικήσεως καὶ διὰ τοὺς καρπούς. ἀνάγνωθι καὶ τί(τλον) ια΄ ὅλον ἐν τῷ βι(βλίῳ) φησί. ἐπὶ τῆς
ἀσφαλείας τῆς ἱκανοδόσεως, οὐ σκοπεῖται τὸ κέρδος τοῦ ἐναγομένου ἢ τοῦ ἐνάγοντος.
ἀλλὰ τὸ διαφέρει τῷ στερηθῆναι, κύριον ἐπιτιμηθῆναι τὸ περιόν. ἐν δὲ τῷ κβ΄ κε(φαλαίῳ).
ἐὰν ἐν τῇ τῆς ἱκανοδόσεως μνήμη καὶ κληρονόμων καὶ διαδόχων μὴ γένηται. ὅμως
περιέχει. οὐ βεβαιοῦνται τὸ τοῦ δόλου κεφάλαιον κινουμένων αὐτῶν. εἰ δὲ καὶ ἐναντίον
περιγραφῆσαν βεβαιοῦνται:

Περὶ Ἰουδαίων. ἀνάγνωθι βι(βλίον) α΄ τί(τλον) α΄ κε(φάλαιον) ια΄ ἐν τῷ πλάτει φησίν: δ΄

Ἡ γυμνάζοντας τοὺς Ἰουδαίους ἐὰν οἱ χριστιανοὶ θορυβήσωσι καὶ διαρπάσωσιν, εἰς τὸ δι-
πλάσιον καταδικαζέσθωσαν. καὶ κε(φάλαιον) λγ΄ καὶ λδ΄ καὶ λε΄ ἐν τῷ πλάτει φησί. κατὰ τοὺς κοι-
νοὺς Ἰουδαῖοι ζαμέτωσαν νόμους. καὶ κε(φάλαιον) λϛ΄ ἐν τῷ πλάτει φησί. κατὰ τοὺς κοινοὺς νόμους, οἱ Ἰ-
ουδαῖοι πολιτευέσθωσαν, καὶ κινείτωσαν ἢ ἐναγέσθωσαν. εἰ δὲ κατὰ συναίνεσιν. περὶ
χρημάτων αἰτίας παρὰ Ἰουδαίοις δικάσωσι. ἐρρώσθω ὡς ἡ τοῦ νομίμου δικαστοῦ

ξίφος, καὶ παρὰ τῶν ἀρχόντων ἐκβιβαζέσθω. καὶ κεφ. λζ'. ἰουδαῖοι καὶ οἱ τούτων ἔξαρχοι, τὰς τιμὰς ἑαυτοῖς τῶν ἐθνῶν δεχέσθωσαν· κἂν τις ἕτερος ἐπιχειρήσῃ τοῦτο, τιμωρείσθω. καὶ κεφ. λθ' καὶ μ' ἐν ᾧ φησί. μηδεὶς βιαζέσθω τοὺς μηδὲν ἁμαρτάνοντας ἰουδαίους ἢ τὰς συναγωγὰς αὐτῶν ἢ τὰς οἰκίας καιέτω. ἐὰν δέ τι ἁμάρτωσι, παρὰ τῶν ἀρχόντων καταδικαζέσθωσαν· ἀλλὰ μὴ ἐξέστω κατὰ τοὺς τῆς χριστιανῶν θρησκείας ἰδιωτεύεσθαι. καὶ κεφ. μα' καὶ μβ' ἐν ᾧ φησί. ἰουδαῖοι χριστιανοὺς περιτέμνοντες ἢ περιτμηθῆναι ἐντελλόμενοι· δημευθέντες ἐξοριζέσθωσαν. καὶ κεφ. μγ' καὶ μδ' καὶ με' καὶ ν'. ἐν οἷς φασίν. ἰουδαῖος χριστιανὸν ἀνδράποδον μὴ ἐχέτω. μήτε κατηχούμενον περιτεμνέτω. μήτε ἄλλος αἱρετικὸς χριστιανὸν ἀνδράποδον ἐχέτω. καὶ κεφ. νζ'. ἀνάγνωθι καὶ βιβλ. ξ' τίτλ. λθ' κεφ. α' ἐν ᾧ φησί. τοῖς ἰουδαίοις ἐφεῖται τὰ ἴδια τέκνα περιτέμνειν. εἰ δὲ περιτέμωσιν ἕτερον. κεφαλικῶς τιμωροῦνται καὶ δημεύονται. ἀνάγνωθι καὶ τίτλ. να' κεφ. κε' ἐν ᾧ φησί. ἐὰν ἰουδαῖος πρὸς χριστιανισμὸν ἰδὼν, λίθων βολὰς ἢ ἑτέραν κινήσασι παρὰ ἰουδαίων ὑπομείνῃ, ὁ τοῦτο τολμήσας, ἅμα τοῖς μετέχουσι καιέσθω. καὶ κεφ. κς' ἐν ᾧ φησί. ἰουδαῖοι χριστιανοὺς περιτέμνοντες, ἢ περιτμηθῆναι ἐντελλόμενοι, δημευθέντες ἐξοριζέσθωσαν. ἐὰν ἰουδαῖος χριστιανὸν πρὸς τὴν οἰκείαν θρησκείαν ἀφελκύσαι τολμήσῃ· δημεύεται καὶ τὴν δι' αἵματος τιμωρίαν ὑφίσταται. πᾶς μὴ χριστιανὸς οἰκέτην ἔχων χριστιανὸν. λ' χρυσοῦ δὲ καταθήσει λίτρας τῷ δημοσίῳ, εἰς ἐλευθερίαν ἀναρπαζομένου τοῦ οἰκέτου:

ἀρχὴ σὺν θεῷ, τοῦ κ στοιχείου:

α' περὶ κακοτρόπων ἤτοι πειρατῶν καὶ δολίων τῶν τὸ ἑτέρῳ ὑποκείμενον ἢ πραθὲν εἰς ἴδιον καὶ ἀνδράποδον πρὸς ἕτερον μεταφερόντων· οἵτινες καὶ τῷ στελλιονάτους ὑπόκεινται ἐγκλήματι εἰς ἀντιβαδισταί. ἀνάγνωθι βιβλ. ξ' τίτλ. λ'. οὗτινος ἐν τῷ α' κεφ. φησίν:

Τὸ κεφ. τῶν πειρατῶν ἔγκλημα. οὔτε τοῖς πολιτικοῖς δικαστηρίοις, οὔτε ταῖς στρατιωτικαῖς ἀρχαῖς περιέχεται· οὔτε ἀνεμοποιοῦ. ἐξτραορδιναρίαν γὰρ ἐπεξήγησιν ἔχει. ἐν γὰρ τῷ β' κεφ. ὁ συνθέμενος τοῖς πολλοῖς τὰ αὐτὰ πράγματα. κατέχεται τῷ στελλιονάτους ἐγκλήματι. ἐνίοτε γὰρ ἐν πᾶσι καταβάλλων, ἀπαλλάττεται τοῦ ἐγκλήματος:

β' περὶ κανόνων διαφόρων νομίμων. ἀνάγνωθι βιβλ. β' τίτλ. γ'. οὗτινος ἐν τῷ α' κεφ. φησί:

Κανών ἐστι σύντομος τοῦ πράγματος ἀφήγησις καὶ σύνδεσμος· ὅστις ἅμα τῷ περι-

κ.

πλάττει, οὐ σημαίνει τὸ ὑποκείμενον. ὁ δὲ κανὼν ἐκ τῶν νόμων. οὐ μὴν ὁ νόμος ἐκ τοῦ κανόνος λαμβάνεται. ἐν τῷ δ' ις' κε. οὐκ ἔστι δικονικὴ πρᾶσις καταβαλλομένου τιμήματος. ἐν τῷ δ' νε' κε. οὐ δύναταί τις πλέον οὗ ἔχει δικαίου μεταθεῖναι εἰς ἕτερον. ἐν δὲ τῷ ρνβ' κε. θ' τ. [illegible]. ἐν τῷ ἀπαιτεῖν καὶ ἐκδικεῖσθαι, τὴν αὐτὴν ὡς ἐπὶ τὸ πολὺ τάξιν ὁ ἀγοραστὴς ἔχει τῷ πράτῃ. ἐν τῷ δ' μγ' κε. πολλῶν αἰτιῶν περὶ τὸ αὐτὸ συντρεχουσῶν τὴν μίαν τις κινεῖν ὀφείλει. ἐν τῷ δ' κβ' κε. ἐὰν δύο αἰτίαι προσκεῖνται· ἡ μὲν ἐπὶ τὸ ποσὸν μείζονα ἥττονα· ἡ δὲ ἀλεμποποιός, προτιμᾶται ἡ ἀλεμποποιός. εἰ δὲ δύο ἀλεμποποιοῦσι, κἂν διάφορον ἔχωσι ποσόν, ἰσονομίζονται. ἐν τῷ δ' ρπα'. περὶ τῶν ἀδυνάτων, οὐδεμία ἐστὶν ἐνοχή. ἐν τῷ δ' ρθ' κε. ὁ πλησιάζων τῇ ἰδίᾳ, ἐκλοπῆς καὶ ὕβρεως ἐστὶ δεκτικός. ἐν τῷ δ' ρπε' κε. οὔτε ζητῶν οὔτε μὴ ζητῶν ὁ ἄνηβος ἄνευ τῆς αὐθεντίας τοῦ ἐπιτρόπου προσδέχεται. ἐν τῷ δ' ρπς' κε. εἰ ἐκεῖνος ἐμποδίσει πληρωθῆναι τὴν αἵρεσιν, οὗ ἕνεκεν διαφέρει πληρωθῆναι αὐτήν, ἀντὶ τοῦ πεπληρωμένης ἐστίν. ὅπερ ἔστιν ἐπὶ ἐλευθεριῶν καὶ ληγάτων καὶ ἐνστάσεων καὶ ἐπερωτήσεων. ἐν τῷ δ' ος' κε. ὅτε περὶ ἀπάτης ζητεῖται, οὐ πολὺ προσμονοῦμεν τί οὐκ ἔλεγεν ὁ ἐνάγων. ἀλλὰ τί διὰ τοῦ ἐναγομένου ὁ ἐνάγων ἐνεποδίσθη. ἐν τῷ δ' οζ' κε. ἡ ἀπάτη καὶ ἀπόλεσμα καὶ σκέμμα ἐπιζητεῖ. ἐν τῷ δ' ριγ' κε. ὁ τοῖς κοινοῖς νομίμοις χρώμενος, οὐκ ἀπατᾶται. ἐν τῷ δ' ρμβ' κε. ὁ γινώσκων καὶ συναινῶν, οὐκ ἀπατᾶται. ἐν τῷ δ' ρπβ'. οὐ δεῖ ἀπαιτεῖσθαι δύναται πρὸ τοῦ καιροῦ καθ' ὃν τὸ χρέος τῶν πραγμάτων δύναται καταβάλλεσθαι. οὐ δὲ πρὶν ἢ πρὸ ἔλθῃ, ὁ ἐπὶ τῇ καταβολῇ ὁρισθεὶς καιρός. ἐν τῷ δ' ρπθ'. ἡ ἀπειρία τῇ ἀμελείᾳ συναριθμεῖται. ἐν τῷ δ' ρπγ'. οὐδὲ εἷς ἀπαιτεῖσθαι, ὁ καταλιπὼν ἔκγονον ταμεῖον. ἐν τῷ δ' ρλζ' κε. ἡ ἀπουσία τοῦ διὰ πρᾶγμα δημόσιον ἀπόντος, οὔτε αὐτῷ, οὔτε ἄλλῳ γίνεται ἐπιζήμιος. ἐν τῷ δ' ρξθ'. διὰ τῆς ἀποκαταστάσεως ῥητῶς, καὶ καρποὶ περιέχονται. κἂν μὴ τοῖς ῥητοῖς ἐμφωνῶνται. ἐν τῷ δ' ιγ' κε. ἐπὶ τῶν ἀσαφῶν, τὸ ἧττον ἐπιλεγόμεθα. ἐν τῷ δ' λδ' κε. καὶ ἐν τῇ ἐπερωτήσει καὶ ἐν τοῖς λοιποῖς συναλλάγμασιν, ἐκ δηλοῦν τὸ δόξαν τοῖς μέρεσιν. ἀκολουθοῦμεν δὲ ἐκ τοῦ κλίματος ἐν ᾧ γέγονε τὸ συνάλλαγμα. εἰ δὲ κατὰ τοῦτο ἄδηλον ἢ διάφορον. τότε δὲ ἤδη τοῖς ἀκολουθοῦμεν. ἐν τῷ δ' μ' κε. ἐπὶ τοῖς ἀσαφοῖς πράγμασιν κρεῖττόν ἐστιν λύειν τὴν ἀπαίτησιν, ἤπερ δὲ ἐπιζητεῖν κέρδος. ἐν τῷ δ' νς' κε. ἐν τοῖς ἀμφιβόλοις, τὸ φιλανθρωπότερον ἐπικρατεῖ. ἐν τῷ δ' ξε' κε. ἐὰν ἡ αὐτὴ φράσις δυσὶ νοήμασι ἁρμόζουσα ᾖ, δικαίῳ καὶ κινουμένῳ πράγματι ἐπικρατεῖ. ἐν τῷ δ' [illegible] κε. ἐν τοῖς ἀμφιβόλοις ἀφηγήσεσι, τὴν διάνοιαν δεῖ προσέχειν τοῦ ἀφηγουμένου. ἐν τῷ δ' ρια' κε.

περὶ ἀγοραστοῦ πράσεως.

περὶ αἰτιῶν.

περὶ ἀδυνάτων.

περὶ ἀνήβων.

περὶ ἀπάτης.

περὶ ἀπαιτήσεως.

περὶ ἀπειρίας.

περὶ ἀπαιδος.

περὶ ἀπόντος.

περὶ ἀποκαταστάσεως.

περὶ ἀσαφοῦς καὶ ἀμφιβόλων.

ἐν τοῖς ἀδιαφόροις τὸ ἐπιθανοῦν ἢ τὸ ἀληθῶς ἐπὶ τὸ πλεῖστον γινόμενον δεῖ σκοπεῖν. ἐν τῷ αὐτῷ
ρξδ κεφ. ἐν τοῖς ἀδιαφόροις, τὸ φιλάγαθον ἑρμηνεύομεν. ἐν τῷ αὐτῷ ρξζ. τὸ ἀμφίβολον σύμ-
φωνον καὶ τὸ πιθανόν ἐστιν. ἡ δὲ ἀμφίβολος ἐναγωγή, τὸ πρᾶγμα τοῦ ἐναγομένου οὐ κα-
ταβλάπτει. ἐν τῷ αὐτῷ ρπη κεφ. ἐν τοῖς ἀμφιβόλοις, τὸ συνηθέστερον δεχόμεθα. ἐν τῷ αὐτῷ
περὶ βασιλικῆς δωρεᾶς: ρπζ κεφ. ἐὰν ὁ βασιλεὺς τὰ αὐτὰ ἐπιμερίσῃ τινὶ ὡς προσόντα δωρήσηται, οὐκ ἔρρωται ἐπ-
αὐτῷ δέδωκε τὰ περὶ τῆς ἰδίας φιλοτιμίας διακείμενα. ἐν τῷ αὐτῷ πβ κεφ. τὰ ἐξ ἀρ-
περὶ βίας. χῆς βέβαια ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦνται. ἐν τῷ αὐτῷ ριζ κεφ. οὐδὲν οὕτως
περὶ βίας καὶ φόβου. ὑπεναντίον τῇ ἀληθεῖ πίστει, ὡς ἡ βία καὶ ὁ φόβος. ἐν τῷ αὐτῷ ρμβ κεφ. ὁ ποιήσας βίαν
ἢ τῷ περὶ βίας δημοσίας ἢ τῷ περὶ βίας ἰδιωτικῆς ὑποπίπτει νόμῳ. ἐν τῷ αὐτῷ ια κεφ. ὁ
περὶ βλάβης καὶ ὠφελείας: τὴν ὠφέλειαν ἔχων τοῦ πράγματος, καὶ τὴν βλάβην αὐτοῦ ἔχει. ἐν τῷ αὐτῷ ρλε κεφ. ὅτε
χωρὶς βλάβης οὐκ ἐνδέχεται γενέσθαι τι, τὸ ἧττον ἄδικον ἐπιλεγόμεθα. ἐν τῷ αὐτῷ
περὶ γάμου. λ κεφ. οὐ γάμον οὐ τὸ συγκαθεύδειν, ἀλλ' ἡ συναίνεσις ἀποτελεῖ. ἐν τῷ αὐτῷ ρϛγ κεφ.
ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐξὸν ἐξέστιν, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν. ἐν τῷ αὐτῷ οη κεφ.
περὶ γυναικῶν καὶ δικαίων: τὰ δίκαια τῶν γυναικῶν ἐπικρατέστερα. ἐν τῷ αὐτῷ ρμδ κεφ. τὰ δίκαια ταῖς γυναιξὶν ἐν-
περὶ γυναικῶν. σπαίνοντε. ἐν τῷ αὐτῷ ρη κεφ. θ τίτ. ε. ταῖς γυναιξὶν εἰς τὸ δικαιολογηθῆναι συγχωροῦμεν.
περὶ δικαστοῦ. οὐ μὴ συκοφαντοῦσαις. ἐν τῷ αὐτῷ ιε κεφ. ὁ περὶ πράγματος ἀγωγὴν ἔχων εἰς ἀπαίτη-
σιν αὐτὸ τὸ πρᾶγμα δοκεῖ ἔχειν. ἐν τῷ αὐτῷ κθ κεφ. ὁ ἐξ ἀρχῆς ἀνυπόστατον, οὐ βεβαι-
οῦται τῇ χρονίᾳ παραδρομῇ. ἐν τῷ αὐτῷ ροτ κεφ. ὁ τὴν ἑτέρου διαφόρων ὑπισχνούμενος ἢ τὸ
δίκαιον, τοῖς αὐτοῦ δικαίοις ὀφείλει κεχρῆσθαι. ἐν τῷ αὐτῷ λγ κεφ. διὰ περὶ κέρδους ἀ-
περὶ διαδίκων, τῶν ἐναγόντων καὶ ἐναγομένων: γωνιζομένων, χείρων ἐστὶν ἡ τοῦ ἐνάγοντος αἵρεσις. ἐν τῷ αὐτῷ να κεφ. διὰ τῆς περὶ κα-
τάξεως ὡς ἐπίπαν κρείττων ἡ αἵρεσις γίνεται τοῦ ἐνάγοντος. λοιπὸν τὸ ἁρμόζει κλη-
ρονόμοις καὶ τῷ κληρονόμῳ. ἐν τῷ αὐτῷ ρα κεφ. οὐδεὶς ἐκ τοῦ ἰδίου οἴκου ἕλκεται.
ἐν τῷ αὐτῷ ρκβ κεφ. προτιμῶνται μᾶλλον οἱ ἐναγόμενοι ἤπερ οἱ ἐνάγοντες. ἐν τῷ αὐτῷ ρν κεφ. ἐν
ἴσῳ ἁμαρτήματι, χείρων ἐστὶν ἡ αἵρεσις τοῦ ἐνάγοντος. καὶ ὁ νεμόμενος κρείττων ἐ-
στίν. ἐν τῷ αὐτῷ ρκε κεφ. ὁ εἰς κλῆρον καταδεξάμενος, ἀντὶ κληρονόμου ἐστίν. ἐν τῷ
περὶ διαδόχου. αὐτῷ ριε κεφ. ὁ διάδοχος ἐν πᾶσι τὸν τόπον ἐπέχει κληρονόμου. ἐν τῷ αὐτῷ οα κεφ. τὰ
περὶ διαθήκης. ἐν διαθήκῃ μὴ νοούμενα, ὡς μὴ γεγραμμένα ἐστίν. ἐν τῷ αὐτῷ ρπδ κεφ. τὰ ἐν
διαθήκῃ ἀλλήλοις ἐναντιούμενα, οὐκ ἔρρωται. ἐν τῷ αὐτῷ ρϛζ κεφ. τότε τὰ ἐν δια-
θήκῃ ἀποτελέσματα λαμβάνουσιν, ὅτε καὶ τὴν ἀρχὴν ἀνυπαίτιον ἐσχήκασιν.
περὶ δικαστοῦ. ἐν τῷ αὐτῷ ρξε κεφ. τὸ ἔξω τῆς δικαιοδοσίας ἐκ τοῦ δικαστοῦ γινόμενον, οὐκ ἔρ-
περὶ δικαίου. ρωται. ἐν τῷ αὐτῷ πξ κεφ. ἐν πᾶσι μέν, μάλιστα δὲ ἐν νόμῳ τὸ δίκαιον σκοπεῖται. ἐν τῷ
περὶ δόλου. αὐτῷ ρλβ κεφ. οὐδεὶς ἐκ τοῦ ἰδίου δόλου κρείττονα ποιεῖ τὴν ἰδίαν αἵρεσιν. ἐν τῷ αὐτῷ

ρ

ε

ιθ κεφ. δοῦλος οὐκ ἐνέχεται οὔτε ἐνοχοποιεῖται. ἐν τῷ αὐτῷ ρε κεφ. δοῦλος οὐκ ἐγκα-
λεῖται οἱαδήποτε αἰτίᾳ. ἐν τῷ αὐτῷ ρις κεφ. ὁ ἐνδουλωθεὶς οὐ διὰ τὸ χρεωστεῖσθαι δεσπο-
ζει. ἐπεὶ γὰρ νέμεσθαι οὐ δοκεῖ. ἐν τῷ αὐτῷ ρλη κεφ. διὰ τῶν δούλων κρείττων ἡ αἵρεσις τῶν
δεσποτῶν γίνεται· οὐ μὴν χείρων. ἐν τῷ αὐτῷ ρνβ κεφ. θέμ. ε. ἐπὶ τοῖς μὴ ἐχ... ἢ μὴ ..
ροις ἁμαρτήμασι συγχωροῦνται οἱ δοῦλοι πειθαρχοῦντες τοῖς δεσπόταις, ἢ τοῖς
ἐν τάξει δεσποτῶν οἷον ἐπιτρόποις καὶ κουράτωρσιν. ἐν τῷ αὐτῷ ςα κεφ. θέμ. γ. ἡ δου-
λεία χρεωστῶν, ἔοικε τῷ θανάτῳ. ἐν τῷ αὐτῷ π κεφ. δωρεά ἐστι τὸ χωρὶς ἀνάγκης διδόμε- περὶ δωρεᾶς.
νον. ἐν τῷ αὐτῷ ριζ κεφ. οὐκ ἐκποιεῖ ὁ μόνον τὴν νομὴν ἀποβαλλόμενος. ἐν τῷ αὐτῷ ρδ περὶ ἐκποιήσεως
κεφ. ἡ ἐλευθερία πρᾶγμα ἐστὶν ἀδιατίμητον. ἐν τῷ αὐτῷ ριθ κεφ. πλείον παντὸς πράγματος περὶ ἐλευθερ.
ἐστὶ ποθεινὴ ἡ ἐλευθερία. ἐν τῷ αὐτῷ ροε κεφ. ἀδήλου τῆς γνώμης οὔσης τοῦ ἐλευθεροῦν-
τος, ἡ ἐλευθερία ἀθετεῖται. ἐν τῷ αὐτῷ ρζ κεφ. οὐδὲ ἐν ἐγκλήματι ὑπομένει ὁ δυνάμε- περὶ ἐνοχῆς.
νος κωλύειν καὶ μὴ κωλύων. ἐν τῷ αὐτῷ ρος κεφ. ἕτερος δοκεῖ λαμβάνειν, ὅπερ κελεύσει- περὶ ἐντολῆς.
μος ἑτέρῳ δοθῇ. ἐν τῷ αὐτῷ ροη κεφ. ἀχρεῖός ἐστιν ὁ ἐπερωτώμενον τὸ μὴ δυνάμενον εἶναι περὶ ἐπερωτήσεως.
τινός· οὐδεμία γὰρ ἐπὶ τούτῳ ἐνοχὴ συνίσταται. ἐν τῷ αὐτῷ ρ..δ κεφ. εἴτε εὔπορος ἐστὶν περὶ ἐπιτρόπου.
ὁ ἐπίτροπος εἴτε ἄπορος· ὁ δόλος αὐτοῦ τὸν ὀρφανὸν οὐ βλάπτει. ἐν τῷ αὐτῷ ρ..θ κεφ. ὁ περὶ ζημίας καὶ
ἐξ οἰκείου ἁμαρτήματος ζημιούμενος, οὐ δοκεῖ ζημιοῦσθαι. ἐν τῷ αὐτῷ ς κεφ. οὐδὲ γίνε- κέρδους :–
σθαι τινὰ πλουσιώτερον ἐκ τῆς ἑτέρου ζημίας. ἐν τῷ αὐτῷ ρξζ κεφ. τὸ ἐκ ἀρνουμένου οὐ περὶ ἀρνουμένου.
δοκεῖ εἶναι. ἐν τῷ αὐτῷ μη κεφ. τὸ κατ' ὀργὴν ἢ θερμότητα γινόμενον, οὐκ ἔστι βέβαιον· ἕως μὴ περὶ τοῦ κατὰ θερμότητα ἢ ὀργὴν γινομένου :–
τοῖς αὐτοῖς ἐπιμείνῃ. ἐν τῷ αὐτῷ μα κεφ. οὔτε ἐνέχυρον οὔτε παραθήκη οὔτε πρᾶσις περὶ ἰδίου πράγματος.
οὔτε ἀγορασία οὔτε μίσθωσις, ἐπὶ ἰδίῳ πράγματι συνίσταται. ἐν τῷ αὐτῷ ροβ κεφ. οἱ ἰ-
διῶται τὰ τῶν ἀρχόντων πράττειν οὐ δύνανται. ἐν τῷ αὐτῷ ξ κεφ. ἔξεστιν ἑκάστῳ τὸ ἴδι- περὶ ἰδιωτῶν.
ον οἰκοδομεῖν ἀνανεοῦν, ἐφ' ὅσον ἕτερον ἄκοντα μὴ βλάπτει ἕως μὴ δίκαιον ἔχει. ἐν τῷ αὐτῷ ρν.. περὶ καινοτομιῶν.
κεφ. πᾶς νομικὸς κανὼν σφαλερός ἐστιν· ὀλίγαις γὰρ ἀνατρέπονται. ἐν τῷ αὐτῷ ρξθ περὶ κανόνων.
κεφ. οἱ μέλλεις ... καταδικαζόμενοι· οὐχ ἅπτονται ... ἔχουσιν ἵνα
μὴ πλημμελοῦσιν. ἐν τῷ αὐτῷ ρπδ κεφ. οὐδενὶ νόμῳ βεβαιοῦται ... φύσει τῶν πραγ-
μάτων ἐκκαλυμμένον. ἐν τῷ αὐτῷ λζ κεφ. ἐπὶ τῶν ἁμαρτημάτων, οὐκ εἰς τὴν ποινήν, ἀλλ'
εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται. ἐν τῷ αὐτῷ λγ κεφ. τότε εἰς τὸ περιελθὸν ὁ κλη-
ρονόμος ἐνάγεται· ὅτε οὐκ ἐξ οἰκείου δόλου, ἀλλὰ τοῦ τελευτήσαντος ἐνάγεται. ἐν
τῷ αὐτῷ νβ κεφ. οὐ δοκεῖ τις λαμβάνειν ὅπερ ἄλλῳ ἀποκατασταθῆναι ἀναγκάζεται. ἐν τῷ αὐτῷ
νη κεφ. ὁ κληρονόμος, τὸ αὐτὸ δίκαιον ἔχει ὅπερ ὁ τελευτήσας. ἐν τῷ αὐτῷ νη κεφ. οὐ
δοκεῖ τις λαμβάνειν. ἐν τῷ αὐτῷ ξα κεφ. κληρονομία ἐστὶν εἰς ὁλόκληρον διαδοχὴ τοῦ
δικαίου, ὅπερ ὁ διατεθέμενος εἶχεν. ἐν τῷ αὐτῷ οα κεφ. ὅπου ἡ κληρονομία ἐκεῖ καὶ

ἢ διὰ τὸ ἐπὶ τὰ χρέη τῆς γυναικός. ἐν τῷ αὐτῷ ρκζ' κεφ. οὐδεὶς πλέον οὗ ἔχει, ἐξ ἰδίας τῷ παρεπομένῳ κληρονομίᾳ. ἐν τῷ αὐτῷ ρκα' κεφ. ὅτε ἀπὸ δόλου τοῦ ληγατεύσαντος, εἰς τὸ πλῆθος ὁ κληρονόμος ἐνάγεται. ἀρκεῖ πρὸς ῥοπὴν πλήθους εἰς αὐτόν. ἐν τῷ αὐτῷ μζ' κεφ. ὁ κοινὸς τοῦ κοινωνοῦντος, οὐκ ἔστιν ὁ κοινωνός. ἐν τῷ αὐτῷ μθ' κεφ. ὁ μεμηνὼς καὶ ὁ ἄπαις, οὐδεμίαν ἔχει βούλησιν. ἐν τῷ αὐτῷ ξα' κεφ. τὰ νόμῳ συνιστάμενα, ἐναντίῳ νόμῳ ἀναιροῦνται. ἐν τῷ αὐτῷ ρλ' κεφ. τὰ παρὰ κανόνας νόμου γενόμενα οὐχ ἕλκεται εἰς ὅμοια. ἐν τῷ αὐτῷ ρμ' κεφ. οὐ πᾶν ὅπερ ἔξεστιν ἤδη καὶ εὐπρεπές ἐστιν. ἐν τῷ αὐτῷ ρνζ' κεφ. τὰ διὰ ἀνάγκην παρὰ κανόνα νόμου δεχθέντα, οὐχ ἕλκεται εἰς ὑπόδειγμα. ἐν τῷ αὐτῷ ρξγ' κεφ. οὐκ ἔστι κακόπιστος νομεὺς ὁ δεδωκὼς τίμημα. ἐν τῷ αὐτῷ ρξε' κεφ. ἐν ἴσῃ αἰτίᾳ κρείττων ἐστὶν ὁ νεμόμενος. ἐν τῷ αὐτῷ ρξη' κεφ. ὁ δόλῳ παυσάμενος νέμεσθαι, ὡς νεμόμενος καταδικάζεται. ἐν τῷ αὐτῷ ρλδ' κεφ. ὁ κατακτήσασιν ἀρχικὴν ἀγοράσας, κακόπιστος νομεύς ἐστιν. ἐν τῷ αὐτῷ ρς' κεφ. σχεδὸν ἐν πάσαις ταῖς ποινικαῖς αἰτίαις, καὶ ἡ ἡλικία καὶ ἡ ἄγνοια συντρέχουσιν. ἐν τῷ αὐτῷ ρνθ' κεφ. αἱ ποινικαὶ αἰτίαι προκαταρχθεῖσαι παραπέμπονται καὶ κληρονόμοις. ἐν τῷ αὐτῷ πβ' κεφ. ἐν τοῖς ἀμφιβόλοις τὰ ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα. ἐν δὲ τῷ ξς' κεφ. τὰ προσώποις ὑπάρχοντα προνόμια σβέννυνται αὐτοῖς. τὰ δὲ πράγματα ταῖς αἰτίαις. πρὸς πάντας μετέρχονται. ἐν τῷ αὐτῷ ξς' κεφ. ρςβ' κεφ. τὰ τοῖς πράγμασι διδόμενα προνόμια, οὐ μὴν τοῖς προσώποις, καὶ εἰς κληρονόμους διαβαίνει. ἐν τῷ αὐτῷ ξς' κεφ. τὰ σπανίως συμβαίνοντα οὐ καθολικῶς ἐν τοῖς πραττομένοις συναλλάγμασι καταλογιζόμεθα. ἐν τῷ αὐτῷ κζ' κεφ. ἀπὸ ἰδιωτικοῦ συμφώνου, τὰ νόμιμα οὐκ ἐναλλάσσεται. εἰ καὶ τὰ μάλιστα κατ' ἀρχὰς αἱ αἰτίαι ἀπὸ συμφώνου διαλλάσσονται ἢ αὐτῷ δικαίῳ ἢ διὰ παραγραφῆς. ἐν τῷ αὐτῷ με' κεφ. ὁ ἰδιωτικὸν σύμφωνον, οὐκ ἀναιρεῖ τὸ κοινοῦ νόμιμον. ἐν τῷ αὐτῷ οθ' κεφ. οὐδεὶς συμφώνου πρότερον ἀσφάλειαν ἑτέρῳ περιποιεῖ. ἐν τῷ αὐτῷ ρολ' κεφ. τῆς προβλήτου αἰτίας μὴ ἐρρωμένης, οὐδὲ τὰ παρακολουθήματα εἰς δύναμιν ἔρρωνται. ὁμοίως καὶ τὸ αὐτὸ ρκς' κεφ. ἐν τῷ αὐτῷ μς' κεφ. ἡ ἄδολος συμβουλή, οὐκ ἐνοχοποιεῖ. εἰ δὲ τις καὶ δόλου ἁρμόζει ἡ περὶ δόλου. ἐν τῷ αὐτῷ ρθ' κεφ. ὁ σιωπῶν, οὐ δοκεῖ ὁμολογεῖν. ἀλλ' ὅμως οὐκ ἀρνεῖται. ἐν τῷ αὐτῷ σθ' κεφ. τὰ διὰ τὸ συνήθη ἀμφισβήτησιν ἐντιθέμενα τοῖς συναλλάγμασι, οὐκ ἀναιρεῖ τὸ κοινὸν νόμιμον. ἐν τῷ αὐτῷ ροβ' κεφ. δυσχερῶς μέν, ὅμως δὲ τοῦ δικαίου ἀπαιτοῦντος, ἐναλλάσσονται συνήθειαι. ἐν τῷ αὐτῷ ξζ' κεφ. ὁ δίκαιον ὅπερ ἔχει εἰς τὸ μεταφέρεσθαι, οὐκ ἐν ἐκείνῳ ἄλλῳ. ἐν τῷ αὐτῷ κ' κεφ. τὰ λυπηρὰ δέον σχόλια καὶ τοῦ χρεὼς ἐπαυξάνει καὶ τὴν φύσιν αὐτοῦ μὴ φυλάττεσθαι εἰ

κ.

ὠθούντων δούλων· καὶ τὴν ἁρπαγὴν καὶ τὸν θόρυβον· καὶ τὸν ἐμπρησμόν· καὶ τὰ πλήθη-
τῶν ὑδάτων· καὶ τὴν ἐπέλευσιν τῶν λῃστῶν· οὐδεὶς ἐπιγινώσκει. Εὗρε δὲ φ. τ' κεφ. ὁ δυνάμε-
νος θέλειν, δύναται καὶ μὴ θέλειν. Εὗρε δὲ φ. α' κεφ. οὐ δοκεῖ θέλειν ὁ πειθαρχῶν πατρὶ καὶ δε-
σπότῃ. Εὗρε δὲ φ. ρνη' κεφ. ὁ ἔχων ἐξουσίαν δωρεῖσθαι πρᾶγμα καὶ πιπράσκειν, καὶ ἐκ-
χωρεῖν αὐτὸ δύναται. Εὗρε δὲ φ. πε' κεφ. ὁ ἄλογος καὶ μάταιος φόβος, οὐ συμβάλλεται.
Εὗρε δὲ φ. μβ' κεφ. ὁ ἀρνησάμενος χρεωστεῖν, οὐ κωλύεται καὶ ἑτέρᾳ δικαιολογίᾳ χρῆ-
σθαι ἐὰν μὴ νόμος ἐμποδίζει. Εὗρε δὲ φ. ξα' κεφ. ὁ δικαίαν ἔχων παραγραφὴν οὐκ ἔστι-
χρεώστης:

Περὶ καρπῶν καὶ τῶν κακῇ πίστει καρπωσαμένων.
ἀνα. β' θ' τ' γ' κεφάλαιον ξϛ':

Ὁ κακῇ πίστει νομεὺς οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι καὶ τοὺς καρποὺς οὓς ἔλαβεν· ἀλλὰ
καὶ οὓς ἠδύνατο λαβεῖν καρπούς· καὶ δίδωσι τοὺς μετὰ προκατάρξιν. Ταῦτα δὲ ὁ ἀγωγῇ μὲν
ἐπὶ τῆς ἀπαιτήσεως τῆς κληρονομίας· ἐπὶ ἐκδικήσεως γάρ, καὶ οἱ πρὸ καταρξέως καρποὶ κα-
ταφέρονται. εἰ δὲ καὶ τὴν βουλὴν ἔσχε οὗτος ἐπὶ κληρονομίᾳ· καὶ ὁ κληρονόμος αὐτοῦ εἰς τὸ ἐ-
λάττωμα αὐτοῦ ὑπεισιών, τὰ αὐτὰ ἀπαιτεῖται. ἀνα. καὶ β' ιε' τ' α' κεφ. μα' ἐν τῷ φ. Οἱ
ἠρτημένοι καρποί, μέρος εἰσὶ τοῦ ἀγροῦ. ἀνα. καὶ τ' λ' κεφ. ἐν τῷ φ. Εἰ ... φαίνεται ὁ
πεσὼν καρπὸς ἐκ τοῦ σοῦ ἀγροῦ ἐκ τῶν δένδρων μου, ἔχω τὴν ... ἀγωγὴν ἐπὶ
τὸ συναγαγεῖν τὸν καρπὸν ἐπὶ τρεῖς ἡμέρας· διδοὺς τὴν περὶ τοῦ μὴ βλάψαι ἀσφάλειαν.
Εἰ δὲ καὶ δόλῳ κατεβόσκησας αὐτόν, χώρα τῇ ... ἀγωγῇ. ἀνα. καὶ β' κ' τ' γ'.
... ἐν τῷ ε' κεφ. φησίν· καὶ προσοπτικὴ ἀγωγὴ κινεῖται· δίδοται μετὰ προκατάρξιν τὰ
πράγματα, καὶ οἱ μετὰ ταῦτα ληφθέντες καρποί, καὶ ὁ τόκος· οἷον γὰρ ἦν ἐν τῇ προ-
καταρξει τὸ πρᾶγμα, τοιοῦτον ὀφείλει δίδοσθαι. Εὗρε δὲ φ. ι' κεφ. ἡ γονὴ τῶν λεγατευθέντων
ἵππων δίδοται μετὰ προθεσμίαν, ὡς καρπός· ἡ δὲ γονὴ τῆς γονῆς, ὡς πρᾶγμα. ὥσπερ καὶ
ὁ τόκος τῆς δούλης. Εὗρε δὲ φ. κϛ' κεφ. ὥσπερ τὸ γάλα καὶ αἱ τρίχες καὶ τὸ ἔριον· οὕτω
καὶ ἡ γονὴ τῶν θρεμμάτων καρπός αὐτῶν ἐστι. καὶ δεσπότης αὐτῶν ὁ καλῇ πίστει νομεύς.
καὶ ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων· ὁ δὲ τόκος τῆς δούλης οὐκ αὐτοῖς, ἀλλὰ τῷ δεσ-
πότῃ τῆς δούλης διαφέρει. ὁ γὰρ ἄνθρωπος οὐκ ἔστι καρπός, ὡς τῆς φύσεως δι' αὐτῶν τοὺς
πάντας τοὺς καρποὺς. Εὗρε δὲ φ. μβ' κεφ. ὁ δαπανώμενον περὶ τὴν συλλογὴν
τῶν καρπῶν, μειοῖ αὐτούς. ἀνα. καὶ β' κ' α' τ' γ' κεφ. γ' ἐν τῷ φ. ὁ κακῇ πίστει καρπω-
σάμενος, ἐὰν ἐναχθῇ καὶ ἡττηθῇ, τῇ περὶ τοῦ πράγματος ἀγωγῇ. ἐπὶ μὲν τοῖς φαινο-
μένοις καρποῖς. δύναται τῇ περὶ αὐτῶν ἀγωγῇ ἐνάγεσθαι· δαπανηθέντων δὲ αὐ-
τῶν κατέχεσθαι, ὃ ἀπαιτεῖ κατὰ λόγον· ἀναγκαζόμενος τῇ τούτων ἀποκαταστάσει προ-
θαρχῆσαι:

λ΄

Περὶ καταμηνυόντων ἤτοι προσαγγελλόντων θησαυροὺς καὶ λοι-
πὰ τῷ δημοσίῳ ἀνήκοντα, καὶ τίνες κωλύονται καταμηνύειν. αὐτ(?)
βι(βλίον) ξ΄ τί(τλος) α΄ κεφ(άλαιον) ριζ΄:

Μήτε ὁ κάτοχος τῶν πραγμάτων, μήτε ἕτερος τῶν ἐν Κωνσταντινουπόλει ἢ ἐν ταῖς ἐπαρχίαις ἀρχόντων τὸν περὶ θησαυροῦ καταμηνύοντα προσδέχεται. εἰ δὲ περὶ ἐκείνου ἑτέρου προσαγγέλλει, ὑπὸ ἐπιτίμιον δὲ τοὺς οὐχ ἧττον πεντήκοντα λιτρῶν γίνεται. καὶ κωλύει σφραγὶς ἢ ἀναγραφὴ ἢ κηνυσμὸς ὁ τυχών, ὁ ἐπὶ τοῖς προσαγγελθεῖσι προσερχόμενος πράγμασι προδιαγεγραμμένος ἐγγράφου. ἀνά(γνωθι) καὶ βι(βλίον) νς΄ τί(τλος) ... ὁ βουλόμενος ἐν τῷ α΄ κεφ(αλαίῳ).

... ἐκ πολλῶν αἰτιῶν γίνεται προσαγγελία τῷ δημοσίῳ. προσαγγέλλει γάρ τις ἑαυτὸν ἢ ἕτερον ὅτι παρανόμως κληρονομεῖ, ὅτι τὴν τελευτὴν οὐκ ἐξεδίκησαν οἱ κληρονόμοι. ἢ ὅτι ἀνάξιός ἐστιν ὁ κληρονόμος. ἢ ὅτι κληρονόμος ὁ βασιλεύς. καὶ ἀπεκρύβη ἡ διαθήκη. ἢ οἱ κωδίκελλοι. ἢ ὅτι θησαυρόν τις εὗρεν. ἢ ὅτι πολέμιον πρᾶγμα παρὰ τοῦ δημοσίου ὀλίγου ἠγόρασεν. ἢ ὅτι ὑπερβολὴν ... ὁ δημόσιος. ἢ ὅτι ἀπέθανεν ὑποκείμενος ἐγκλήματι κεφαλικῷ. ἢ ὅτι μετὰ θάνατον ὑπόκειται. ἢ ὅτι ὁ δεῖνα καὶ τοὺς ... ἢ ὅτι καὶ τῆς ... ἀπέστη τις. ἢ ὅτι πρᾶγμα ὅπερ ... οὐδένα ... φιλονεικεῖται. ἢ ὅτι ἀπὸ ἰδιωτικοῦ συναλλάγματος ποινὴ τῷ δημοσίῳ κεκύρωται. ἢ ὅτι τὸ γένος ... κλεπτόμενον ... δημόσιον, ἢ τῶν ... καὶ ἀκληρονομήτων πραγμάτων προσαγγελία, τελευταία προσήκουσα. ἀρχομένη ἀφοῦ γένηται δῆλον μὴ ἔχειν τὸν ... κληρονόμον. ἢ δὲ τῶν ... ἢ ἁρμόζουσα καὶ ἐπὶ τοῖς πράγμασι τοῦ ... ἐγκλήματα ἀναζητουμένου ἄρχεται. ... ἢ ... τῷ δημοσίῳ ... προσκαταργεῖται καὶ ... προσδοῦναι. παρὰ τοῦ πρώην μηνυτοῦ, δύναται καὶ μετὰ τὴν ... προσαγγέλλεσθαι. ... κεφ(άλαιον) ... οὐ καταμηνύει. οὔτε οἱ ... οὔτε οἱ καταμεμφθέντες. τοὺς δὲ προσαγγελθέντας καὶ προκαταργηθέντας ... τῆς καταδίκης. πληροῦν δύναται μετὰ τὴν ... μέταλλον ἢ τὸ ἔργον μετάλλου ... καὶ ἀπεγραμμένοι καὶ στρατιῶται κωλύονται καταμηνύειν. ὅστις δὲ ἀπὸ ... κοινοῦ ἔχων μετὰ τοῦ δημοσίου πρᾶγμα, δύναται προσαγγέλλειν αὐτὸ καὶ ... ἀποδείξῃ ... ἴδιον οὐ κωλύεται. οὔτε οἱ γενόμενοι ἐπὶ ... ἢ κουράτορες ... προσκαλοῦνται πραγμάτων καταμηνύουσιν αὐτούς, ἀλλὰ ... ἢ ἑτέρα ... καταμηνύειν, κωλύονται. ... ὁ προσκουράτωρ μετὰ τοῦ ... τῶν προσκληθέντων οὐ κωλύεται. καὶ ὁ πολὺ πρᾶγμα οὐ καταμηνύει ... ἀλλὰ καὶ ποινὴν ... ἀξίαν τοῦ ἰδίου προσώπου. εἰ δὲ ... κεφ(άλαιον) ὁ μηνυτὴς βαρεῖται ταῖς ἀποδείξεσι, καὶ οὐχ ὁ καταμηνυόμενος πο-

(marg.) περὶ ... τοῦ δημοσίου ... καὶ ... κληρονομίαν ... τελευταῖαν ...

κ΄

θεν βιβ. ἀνάγ. καὶ τίτλου ζ΄. σύλινος ἐν τῷ ε΄ κεφ. ζήτει διὰ τὸ ζωντανεύου τοῦ δημοσίου παραγγέλλειν τὸν βουλόμενον. πᾶς δὲ καταμηνύσας καὶ μὴ ἀποδείξας, διὰ τοῦ ἄρχοντος σκληρῶς κολαζέσθω. ἐν τῷ δὲ ς΄ κεφ. ὁ δοῦλος τὸν δεσπότην καταμηνύων, εἰς ὑπόδειγμα πάντων τῶν δεδομένων αὐστηρότατα ἀποφάσει τιμωρείσθω καὶ ἀποδείξει, ὑπεξῃρημένου τοῦ ἐγκλήματος τῆς καθοσιώσεως. ἐν τῷ δὲ η΄ κεφ. οἰκέτης δὲ ἐπὶ δημοσίᾳ αἰτίᾳ, ἢ ἐπὶ ἄλλῃ τινὶ κατηγορῶν τὸν δεσπότην· ἐν αὐτῷ τῷ φθέγγεσθαι τὴν κατηγορίαν ἀποτεμνέσθω, ἢ καὶ σφήνεσιν κατὰ τοῦ δεσπότου. ἐν τῷ δὲ ς΄ θέμ. τοῦ αὐτοῦ κεφ. φη. ὅτι οἱ μηνυταὶ ἐνδείξωσι τὰ κρυπτευθέντα τὸ δέκατον μέρος τῶν παρασιωπηθέντων λαμβάνουσιν. ἀνάγ. καὶ β΄ ξ΄ τί. α΄ κεφ. ιε΄ ἐν τῷ φη. οἱ ποσῶς πεπλανημένα ἀπαιτοῦνται αὐτὰ ζητῆναι. οἱ δὲ συκοφάνται τιμωροῦνται: — περὶ δούλου: —

## Περὶ καταδικασθέντων. καὶ περὶ κεκριμένων πραγμάτων. ἀνάγ. β΄ θ΄ τίτ. γ΄. σύλινος ἐν τῷ α΄ κεφ. φη: — ε΄

Κεκριμένον λέγεται, τὸ ψήφῳ μαθεῖν δικαστικῆς ἐκείνους ἢ ἀπολύεται. ἐν τῷ δὲ ς΄ αὐτοῦ θέμ. ὁ καταδικαζόμενος δοῦναι, ἀπαιτεῖται παραχρῆμα. οὐ μὴν τὸ ἱκανὸν ποιῆσαι. πλὴν εἰ μὴ ἀπὸ μεγάλης καὶ ἀναγκαίας αἰτίας. καὶ τότε δὲ ἵνα ἐπιτηδείου δώσῃ ἐπαγγελλόμενον. ἐν τῷ δὲ β΄ κεφ. θέμ. θ΄. καταδεδικασμένος ἐστίν, ὁ νομίμως κατακριθείς. ἐν τῷ δὲ λγ΄ κεφ. ἐὰν ψευδεῖς ἐπιδῷσι παρασταθέντες μάρτυρας νικήσῃ, ἐκ αὐστηρῶς τιμωρεῖται, καὶ τὰ κριθέντα οὐ κρατεῖ. ἐν τῷ δὲ μα΄ κεφ. θέμ. γ΄. τοῖς ἀποδοῦσιν ἡ ψῆφος οὐ περικεῖν. ἐν τῷ δὲ ο΄ κεφ. ἡ δὲ κελεύει ἐκεῖ πάντα δικαστὴν ἐν τῇ ἀποφάσει ἑαυτοῦ, κελεύειν τὸν ἡττηθέντα διδόναι τὰ δαπανήματα πάντα τὰ ἐν τῷ δικαστηρίῳ γενόμενα ἐχόντως ἐξουσίαν αὐτοῦ τοῦ δικαστοῦ καὶ ὑπερβαίνειν τὴν δαπάνην ἕως τῆς δεκάτης μοίρας τῶν δαπανηθέντων. ἐὰν αὐτοῦ ἡ ἀναισχυντία τοῦ δαπανηθέντος μέρους, πρὸς τοῦτο παρακινήσῃ ὥστε τὰ ὑπὲρ τὰ δαπανήματα τῷ δημοσίῳ λόγῳ διαφέρειν. εἰ μὴ ὁ δικαστὴς τὴν τιμὴν τοῦ νενικηκότος μέρους βουληθῇ θεραπεῦσαι. μέρος δὲ ἐν ᾧ τῶν αὐτοῦ ἀφοσιοῖ, καταδικαζομένου μὴ μόνον τοῦ ἐνάγοντος, καὶ τοῦ ἐναγομένου. ὅτε πρόσφορος ἑκατέρῳ ἐστὶν ὁ δικαστής. ἀλλὰ καὶ τοῦ ἐνάγοντος ἀπρόσφορός ἐστιν, ἢ πλεῖον δὲ αὐτῷ ἐξεναντίας. μὴ δυνάμενος ἐκκλίνου τὸν δικαστὴν παραιτεῖσθαι. ὅτε ἄρχοντες ἄλλου δικαστοῦ. ὅτε θεοί διαιτηταί. ἔχουσι γὰρ οὗτοι ἐκβιβασὰς καὶ ἐπικλας. εἰ δὲ μὴ τοῦτο ποιήσοι ὁ δικαστής, αὐτὸς τὴν ζημίαν τοῦ τέλους ἀναγκάζεται θεραπεῦσαι τῷ νενικηκότι μέρει. ἐν τῷ δὲ οβ΄ κεφ. ἐὰν ὁ καταδικαστὴς ἀποδείκνυσιν ὅτι ὁ ἐνάγων αὐτὸν ἔλαβε παρά τινος τὸ πρᾶγμα ὅπερ ἤθελε κλαπῆναι. ὁ ἐναγόμενος τῇ ἀπαιτήσει τῆς καταδίκης.

Περὶ ὑπερθέσεως.

Τὰ ὑπὲρ τῶν ἐγκλημάτων καταδίκων τὰ μεταξὺ ἄλλων κριθέντα, ἀφ' ὧν ἑτέρους οὐ βλάπτει:

κηδεμῶν(?) αὐτῷ τέθεικεν αὐτῷ δι' ἄλλου προγραφήν. ἐν τῷ δ' π΄ δ΄ κεφ. ἐὰν ἐπὶ τῇ καταδίκῃ κειμένῃ ἀποθάνῃ(?), τὴν διαθήκην αὐτῶν ἀναγκάζεται προελθεῖν. ἐν τῷ δ' λε΄ κεφ. τὰ μεταξὺ ἄλλων κριθέντα, οὔτε ὠφελεῖν, οὔτε βλάβην ἐπιφέρουσι τοῖς μὴ παροῦσι. ὅθεν οὔτε ἑνὸς τῶν συγκληρονόμων καταδικαζομένου ὁ ἕτερος βλάπτεται. ἐν τῷ δ' λε΄ κεφ. καὶ ἐπὶ ἐγκλημάτων τὰ μεταξὺ ἄλλων κριθέντα, ἑτέρους οὐ βλάπτει. ἐν τῷ δ' λε΄ κεφ. τὰ κριθέντα ἐν δικαστηρίῳ καὶ ἐμπέσῃ ἑκάστῳ(?) τὴν αὐτὴν αἰτίαν, οὐκ ὀφείλουσιν ἐπὶ τοῦ ἑνὸς κρατεῖν. οὐ γὰρ δεῖ τοῖς μὴ παροῦσι προκρίματα γίνεσθαι ἐκ τῶν κριθέντων. ἐν τῷ δ' ρι΄ κεφ. ἐὰν ἐκ διαθήκης προσενεχθείσης ἐκείνων ὁ ἄρχων, μετὰ δὲ ταῦτα ἀναιρεθῇ(?) πλαστὴ ἐκείνη ἡ διαθήκη, κινεῖται ἄνωθεν τὸ δικαστήριον. μὴ ἀντεχομένης(?) τῆς ἀπὸ καταδίκης προγραφῆς. ἐν τῷ δ' λ΄ κεφ. π΄. χρέους τινὸς ἀπὸ πλαστῶν δικαιωμάτων καταδικασθῆναι, χρὴ ὑπερτεθῆναι τὸν τῆς ἀποφάσεως ἐκβιβασμόν. αὐτὸ καὶ β΄ να΄ τ΄ λ΄ κεφ. ιθ΄. καὶ β΄ ξ΄ τ΄ να΄ κεφ. β΄ θ΄ λ΄. ἐν ὀφφι. οὐ δοκεῖ καταδικάζεσθαι ὁ ἐγκεκλημένος(?), οὔτε ὁ καταδικασθείς, ἀπὸ τοῦ μὴ ἔχοντος δίκαιον καταδικάζειν. καὶ κεφ. ε΄ ἐν ὀφφι. οὔτε ἐξ ὑπονοίας οὔτε ἀπών τις καταδικάζεται. ἀλλὰ καὶ ὁ μὲν πολλὰς ἐπομνήσεις καὶ προθεσμίας μὴ προσαγόμενος(?). καὶ αὐτὸς δὲ μεγάλης ἐγκληματικῆς ποινῆς ἢ αἵματος ... κάλλιον γάρ ἐστιν ἀνεκδίκητα μένειν τὰ ἁμαρτήματα, ἢ τὸν ἀναίτιον καταδικάζεσθαι. ὁ δὲ κατὰ τρεῖς(?) ἀπών, καταδικάζεται, καὶ πλέον ἐὰν δόλῳ(?) ἐπὶ ἀπάτῃ τοῦ συκοφαντοῦ ...:

ς΄ αὐτὸ ἐν ρλ΄ κεφ. ιε΄:

## Περὶ καταδίκων δημευομένων ἢ συγχωρουμένων. αὐτὸ β΄ ξ΄ τ΄ γ΄ κεφ. κα΄ ἐν ὀφφι.:

Δέδεικται καὶ τοῦτο παρατεθεῖσθαι πρόνοιαν τὸ ἡνίκα τις ἄξιος φανῇ ποινῆς, ἐκεῖνον ... κολάζειν. τῶν δὲ πραγμάτων αὐτῶν μὴ προσάπτεσθαι. ἀλλὰ συγχωρεῖν ταῦτα τοῖς γένει καὶ τοῖς νόμοις καὶ τῇ κατ' ἐκείνους φέρεσθαι τάξει. οὐ γὰρ τὰ πράγματά εἰσι τὰ πλημμελοῦντα. ἀλλ' οἱ τὰ πράγματα κεκτημένοι. οἱ δὲ ἀντιστρέφουσι τὴν τάξιν, τοὺς ἀξίους ποινῆς ἀφιᾶσι. τὰ δὲ ἐκείνων ἀφαιροῦνται πράγματα, ἑτέρους ἀντ' αὐτῶν τιμωρούμενοι, οὓς ὁ νόμος ἴσως ἐπὶ τὴν ἐκείνων ἐκάλει διαδοχήν. αὐτὸ ε΄ β΄ ξ΄ τ΄ ξι΄. οὐδενὸς ἐν τῷ α΄ κεφ. ἐν ὀφφι. ἐάν τις μεμφθεὶς εἰς μέταλλον, μετὰ ταῦτα ἀνακληθῇ, καὶ πλούσιος γένηται μετὰ ταῦτα, οὐκ ἰσχύει(?) ... ὧν πρὸ τοῦ μετάλλου κεκτημένων(?) παρ' αὐτοῦ. ἐπεὶ ἄρα ἡ ἀρχαία αὐτοῦ οὐσία ἀποκαλεῖσθαι(?) αὐτῷ. ἐν τῷ δ' ια΄ κεφ. ἐὰν βασιλεὺς γενικῶς συγχωρήσῃ, ὑποστρέφουσι πάντες οἱ ἐξόριστοι καὶ οἱ προγεγραμμένοι(?). οὔτε τὰς ἀξίας τὰς ἰδίας ἀπολαμβάνουσιν. ἀλλὰ καὶ ἄτιμοι μένουσιν. ἐν τῷ δ' ιγ΄ κεφ. ὁ πρὸ ἐξορισθεὶς ἐν νήσῳ καὶ μὴ ἔχων παῖ

δας ὑπεξουσίους ἀποκαταστάσῃ τις, οὐκ ἀναλαμβάνει τὴν ἐπὶ τῶν παίδων ὑπεξουσιό-
τητα. ὁ θεῖος δὲ προσποιήσουσιν αὐτοῖς τὴν χρῆσιν τῆς μητρῴας κληρονομίας. ἐπειδὴ αὐτε-
ξούσιοί εἰσι. Τοῦτο δὲ νόησον, ἐὰν μὴ ἰδικῶς ἐν τῇ ἀποκαταστάσει μνήμη γένηται καὶ τῆς
κατὰ τῶν παίδων ἐξουσίας :

Περὶ καταλυομένων οἴκων. ἀνάγνωθι βι(βλίον) ιθ΄ τί(τλον) α΄ κεφ(άλαιον) μβ΄ ἐν ᾧ φη(σίν): ζ

Οὐκ ἔξεστι ἴδιον ἢ ἀλλότριον οἶκον ἢ ἐποίκιον καταλύειν. ἐπὶ τῷ πλέον κερδαίνειν.
ἢ ἐπὶ τῷ πραγματεύεσθαι. ἐπεὶ τότε ἀκυροῦται καὶ ἡ πρᾶσις. ὁ δὲ πρότερον τοῦ πρα-
τοῦ. ὁ δὲ ἀγοραστὴς διπλοῦν δίδωσι τὸ τίμημα τῷ δημοσίῳ, καὶ ἀναλαμβάνει τὸ τί-
μημα παρὰ τοῦ πράτου ἐὰν ἔτυχεν αὐτῷ δεδωκώς. ἀνάγνωθι καὶ βι(βλίον) νη΄ τί(τλον) ι΄ κεφ(άλαιον) ο΄. Ἐάν τις
διὰ ἐμπορείαν οἶκον ἢ μέρος αὐτοῦ καταλύσῃ, καὶ αὐτὸς ὁ ἀγοραστὴς ἕκαστος αὐτῶν
τὸ τίμημα τῷ δημοσίῳ δίδωσιν. εἰ μέντοι δημόσιον ἔργον μάρμαρα κίονες, νομίμως
μεταφέρονται. ἀνάγνωθι καὶ τί(τλον) ια΄ κεφ(άλαιον) β΄ φη(σί). περιφανοῦς χάριν οὐκ ἔξεστι τὰ οἰκήματα κατα-
στρέφεσθαι, καὶ κατὰ τὰ μάρμαρα ἀποσπᾶσθαι ἀπὸ οἴκου μέχρι εἰς ἕτερον οἶκον με-
ταφέρειν ἔξεστιν. ἐν ᾧ μὴ ὅρος ἐστίν. ἐπεὶ κεκώλυται διὰ τὴν εὐκοσμίαν τῆς πόλεως
καὶ τὴν πρόσοψιν. καὶ κεφ(άλαιον) ς΄ καὶ ζ΄ :

Περὶ κατηγορούντων τε καὶ κατηγορουμένων ἐγκληματικῶς. καὶ τί- η
νες δύνανται κατηγορεῖν ἐγκληματικῶς, καὶ τίνες οὐ δύνανται. καὶ ὅτι
ἕως τελείας ὀφείλει πληροῦν ὁ κατήγορος τὴν ἰδίαν κατηγορίαν. καὶ ὅ-
τι ὁ κατήγορος χωρὶς συγχωρήσεως ἀποστάς, ὑποπίπτει τῷ περὶ συκο-
φαντίας ἐγκλήματι. καὶ περὶ τῶν προδιδόντων τὴν ἰδίαν ὑπόθεσιν
κατηγόρων. καὶ περὶ τῶν κατηγορούντων ἐπισκόπων χειροτονουμέ-
νων. καὶ πότε δεῖ τοὺς κατηγορουμένους φυλακῇ ἐμβάλλεσθαι. ἢ στρα-
τιώταις παραδίδοσθαι. ἢ ἐγγυηταῖς ἢ ἑαυτοῖς καταπιστεύεσθαι. ἀνάγνωθι βι(βλίον) ξ΄ τί(τλον) α΄ κεφ(άλαιον) ζ΄ [illegible] φη(σί):

Περὶ τῶν κατηγορίαν τινὰ ποιούντων κατὰ τῶν μελλόντων χειροτονεῖσθαι ἐπισκόπου, ἢ
πρεσβυτέρου ἢ διακόνου. ἀνάγνωθι καὶ βι(βλίον) ξ΄ τί(τλον) α΄ [illegible] κεφ(άλαιον) [illegible] φη(σί). Ἐκεῖνός ἐστι προ-
δότης τῆς ἰδίας ὑποθέσεως καὶ τὰ ἀληθῆ ἐγκλήματα κρύπτων. ὁ συμπαίζων τῷ κατηγο-
ρουμένῳ, καὶ ἀποπροσποιούμενος τὰς οἰκείας ἀποδείξεις. προϊέμενος δὲ τὰς
πλαστὰς τοῦ κατηγορουμένου δικαιολογίας. καὶ ὁ τῆς κατηγορίας χωρὶς ἀπολύσεως
ἀφιστάμενος, τιμωρεῖται. εἰ καὶ δοκεῖ μηδὲν εἶναι τὸ κινούμενον. ὅμως χρήζει ἀπο-
λύσεως. διὰ γὰρ ἐπενεχθεῖσα κατηγορία τῇ αὐθεντίᾳ τοῦ δικαστοῦ, οὐ μὴν τῇ βουλήσει τοῦ
κατηγόρου, ὀφείλει ἀπαλείφεσθαι. εἰ δὲ [illegible] τῇ [illegible] τοῦ κατηγορουμένου, σβέν-
νυται τὸ ἔγκλημα, καὶ διὰ τοῦτο ἀφιστάμενος ὁ κατήγορος οὐχ ὑποπίπτει. εἰ μὴ ἄρα

τὸ κινούμενον καὶ εἰς κληρονόμους διαβαίνει· ὡς τὸ περὶ καθοσιώσεως καὶ περὶ ἀδικημάτων τῶν ἐν ἐπαρχίαις ἀρχόντων. Ἐν τῷ αὐτῷ λ΄ κεφ. ἐάν τις ἐναγόμενος ἀπολυθῇ, οὐ πάντως ὁ κατήγορος αὐτοῦ ὡς συκοφάντης τιμωρεῖται. εἰ μὴ ὁ δικαστὴς κρινεῖ αὐτὸν συκοφάντην αὐτὸν εἶναι. Ἐν τῷ αὐτῷ λδ΄ κεφ. ἡ διὰ κηδεμόνα κατηγοροῦντος τινὸς μὴ προσελθεῖν εἰς δικαστήριον ἐκκαλεῖται τὸν ἐναγόμενον. εἰ μὴ κἀκεῖνος περὶ ἀρχῆς ἐστὶν ὡς περὶ ἐξηγεύσεως. ἵνα τὸν τὰ ἀληθῆ διδάσκοντος καταδικασθῇ ὁ ἐναγόμενος. ἢ ἀποτυχὼν, αὐτὸς κινδυνεύσῃ.

περὶ προδιδόντος τὴν ἰδίαν ὑπόθεσιν δι' ἀδικήματα αὐτοῦ καὶ περὶ συνηγόρων :-

αὐτὸ καὶ τ. κς΄ τοῦ ξ΄ βιβλίου ἐν τῷ α΄ κεφ. διγ. ὁ ποικίλως κατηγορῶν, καὶ τὴν ἐξ ἰδίαν ὑπόθεσιν προδιδοὺς, δι' ἀδικήματα δὲ αὐτοῦ συναγωνιζόμενος. καὶ ὁ συνήγορος χρηματικὴν ἢ ἐγκληματικὴν δίκην προδιδοὺς, σφοδρῶς τιμωροῦνται. Ἐν τῷ αὐτῷ γ΄ κεφ. ὁ ἐγκαταλιπὼν ποινάλιον κατηγορίαν, οὐκ ἔστι ποινάλιον ἔγκλημα, δίδωσι δὲ ὁ τοῦτο πράξας, πέντε χρυσοῦ λίτρας. Ἐν τῷ αὐτῷ ε΄ κεφ. ὁ γινόμενος προδότης τῆς ἰδίας κατηγορίας ἐπὶ ποιναλίῳ ἐγκλήματι, τὴν τιμωρίαν ὑφίσταται ἣν ὁ ἐναγόμενος ἔμελλεν ὑποστῆναι. ἀνά-

περὶ δημοσίων δικαστηρίων :-

γνωθι καὶ τ. λ΄ τοῦ ξ΄ βιβλίου ἐν τῷ α΄ κεφ. διγ. οὐ πάντα τὰ ἐγκληματικὰ δικαστήρια δημόσιά εἰσιν, ἀλλὰ μόνα τὰ ἀπὸ νόμων δημοσίων καλούμενα. ὡς τὸ περὶ καθοσιώσεως. τὸ περὶ μοιχείας. τὸ περὶ ἀνδροφόνων καὶ φαρμακῶν. τὸ περὶ πατροκτονίας. τὸ περὶ κλοπῆς ἱερῶν καὶ δημοσίων. τὸ περὶ πλαστογραφίας. τὸ περὶ βίας ἰδιωτικῆς. τὸ περὶ βίας δημοσίας. τὸ περὶ δωροδοκίας. τὸ περὶ ἀρχόντων ἢ δικαστῶν ἢ καὶ συνέδρων, ἐν δίκῃ κεκλοφότων. τὸ περὶ ἀννώνας. Ἐν τῷ αὐτῷ γ΄ κεφ. ἡ δημοσία κατηγορία ἀναιρεῖται, προτελευτώντων τῶν ἐναγομένων. Ἐν τῷ αὐτῷ δ΄ κεφ. ὁ κατηγορηθεὶς ἀντικατηγορεῖν οὐ δύναται πρὶν ἐλευθερωθῇ. ὁ δὲ ἀπὸ καταδίκης τὴν πολιτείαν ἢ τὴν ἐλευθερίαν ἀπολέσας, προκατάρξασθαι κατηγορεῖν οὐ δύναται. τὴν δὲ προκατηρχθεῖσαν πρὸ καταδίκης πληροῖ. Ἐν δὲ τῷ ιθ΄ κεφ. ἐὰν πατὴρ κατηγορήσῃ τινὸς περὶ φόνου τοῦ παιδὸς αὐτοῦ καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινεῖν, οὐκ ἀτιμοῦται. Ἐν τῷ αὐτῷ κ΄ κεφ. ὁ λέγων ὅτι ἐπ' ἐμοὶ ἐνετείλατο ἁμαρτηθῆναι, οὐ φεύγει τὴν ἀπὸ τοῦ ἁμαρτήματος κατηγορίαν. κατέχεται δὲ καὶ ὁ συντυγχάνων αὐτῷ. Ἐν τῷ αὐτῷ κδ΄ κεφ. ὁ περὶ ἐγκλήματος κατηγορηθεὶς παρά τινος παρ' ἑτέρου περὶ τοῦ αὐτοῦ ἐγκλήματος οὐ κατηγορεῖται. ἐὰν δὲ ἐκ τοῦ αὐτοῦ ἐγκλήματος πολλαὶ αἰτίαι γίνωνται, δύναται παρὰ διαφόρων προσώπων κατηγορεῖσθαι. αὐτὸ καὶ τ. λδ΄ τοῦ ξ΄ βιβλίου ἐν τῷ α΄ κεφ. γυνὴ κεφαλικὸν ἔγκλημα οὐ κινεῖ· πλὴν ἐπὶ ἀναιρέσει γονέων ἢ παίδων ἢ πάππων ἢ τέκνων αὐτῶν ἢ ἐκγόνων. καὶ τῶν λοιπῶν καθ' ὧν ἄκουσα μαρτυρεῖν οὐκ ἀναγκάζεται. κινεῖ δὲ καὶ τὸν περὶ πλαστογραφίας νόμον. καὶ περὶ διαθηκῶν τῶν πατρῴων ἀπελευθέρων. καὶ τῶν μητρῴων. Ἐν τῷ αὐτῷ γ΄ κεφ. ὁ γραφὴν κατηγορίας ἀποτιθέμενος, ὀφείλει σαφηνίζειν καὶ τὸ ἁμάρτημα. καὶ τὸν χρόνον ἐν τῷ

κ'

μῆνα καὶ τὸν τόπον ἐν ᾧ ἡμαρτήθη τυχὸν ἡ μοιχεία· καὶ τὸ πρόσωπον περὶ τόπου. τὴν ἡμέ-
ραν δὲ τὴν ὥραν οὐκ ἀναγκάζεται λέγειν· ὀφείλει δὲ καὶ ὑπογράφειν· ἢ ἕτερος ὑπὲρ αὐ-
τοῦ, ἐὰν οὐκ οἶδε γράμματα. ἐὰν ἀποθάνῃ ὁ κατήγορος ἢ ἐξ ἄλλης αἰτίας μὴ δυνη-
θῇ κατηγορῆσαι, δύναται προσιὼν ὁ κατηγορούμενος αἰτεῖν ἀπαλειφθῆναι τὸ ὄνομα αὐ-
τοῦ καὶ ἕτερος αὐτὸν δύναται κατηγορεῖν ἐντὸς λ' ἡμερῶν ἀδιακόπων· οὕτως οὖν ὁ
λίβελλος ζωλάττεται· ὁ δὲ ἀνθομολογῶν περὶ τὰ τῶν ἄρχοντι δηλοῦν τὴν δὲ πλη-
ρῶσαι μοιχείαν πρὸς τὸν δε, εἰ τῷδε τῷ οἴκῳ ἐπὶ τῆς δε τῆς ὑπατείας καὶ μηνὶ τῷδε. ἐν τῷ
δὲ δ' κεφ. ὁ καταγνωσθεὶς ἐν δημοσίῳ δικαστηρίῳ, κατηγορεῖν οὐ δύναται· εἰ μὴ ἰδίαν ἀ-
δικίαν ἢ θάνατον ἐκδικήσειεν ἰδίων ἢ τοῦ πάτρωνος. ἐν τῷ δὲ θ' κεφ. χωρὶς τῶν κε-
κωλυμένων, οἱ ἄλλοι δύνανται κινεῖν τὰ δημόσια. κωλύονται δέ τινες διὰ φύσιν ἢ ἡλικί-
αν· ὡς γυνὴ καὶ ἄνηβος. ἄλλοι ὡς ἔνοπλοι στρατευόμενοι. ἄλλοι ὡς ἄρχοντες. ἄλλοι ὡς ἄ-
τιμοι ἢ αἰσχροκερδεῖς. καὶ λαβόντες ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι. καὶ οἱ δύο
κατηγορεῖν καθ' ἑτέρων ἐγγραψάμενοι. ἄλλοι διὰ τὴν αἵρεσιν αὐτῶν, ὡς ἀπελεύθεροι
τῶν πατρώνων. ἄλλοι διὰ ὑποψίαν συκοφαντίας, ὡς οἱ ψευδομαρτυρήσαντες. ἄλλοι
διὰ πενίαν· ὡς ὁ μὴ ἔχων ν' νο. οὐσίαν. οὗτοι δὲ πάντες ἐγκλήματα ἴδια καὶ φόνον τῶν
συγγενῶν ἐκδικεῖν δύνανται. παῖδες δὲ καὶ ἀπελεύθεροι βιαίως νομῆς ἐκβληθέντες,
παρὰ τοῦ πάτρωνος τὸ τῆς ἐγκλήμα τῆς βίας, οὐ δύνανται κινεῖν. εἰς δὲ τὸ ἀναλαβεῖν τὴν
νομὴν κινοῦσι. καὶ υἱὸς δὲ τὸ ἴδιον μέρος περὶ ὑποβολιμαίου κινεῖ, διὰ τὸ μὴ δεῖν αὐτὸν συγκλη-
ρονομεῖν· οὐ μὴν τὸ περὶ πλαστογραφίας. ἐν τῷ δὲ ιδ' κεφ. ἐάν τις ἀπόσχηται κατά τινος ἐγ-
κλήματος, ἐκεῖνος δὲ βαρύτερον ἔγκλημα ἀντεπαγάγῃ αὐτῷ, χρὴ πρότερον τὸ βαρύτερον
ἔγκλημα κινεῖσθαι, ὀφείλει πρότερον ἐξετάζεσθαι εἰ τυχὸν περὶ αὐτοῦ ὅτι ἐπεξέρχεται τὸ ἐγ-
κλήματι. ἵνα μὴ ἐκ τούτου καταφρονῶσιν οἱ ἐναγόμενοι, ἢ κλέψωσι διαστήματα ἵνα ἢ θῶ-
σι καὶ μὴ παραγινόμενοι, καὶ ἐξ ἀπορρήτου μὲν τιμωροῦνται). καὶ τὰ δαπανήματα πάντα
ἀποτινώσκουσι. ἐν τῷ δὲ ις' κεφ. ἀδελφὸς κατὰ ἀδελφοῦ κινήσας δημόσιον ἔγκλη-
μα ἐξορίᾳ ὑπόκειται. δύναται γυνὴ καὶ ὑπὲρ τοῦ ἰδίου παιδὸς κινῆσαι δημόσιον ἔγκλη-
μα. ὁ ἄτιμος, οὐ δύναται δημόσιον ἔγκλημα κατηγορεῖν. ἐν τῷ δὲ ιζ' κεφ. ὁ διάγων
ἐν οἴκῳ τινός, οὐ δύναται κατ' αὐτοῦ ἔγκλημα κινῆσαι. εἰ δὲ τι χρηματικὸν κεκέρδηκε).
καλῶς κινεῖ περὶ τούτου. δύναταί τις κινῆσαι καὶ κατ' ἀδελφῆς ἢ ἀδελφοῦ ἔγκλημα. ὁ ὢν
ὑπὸ κατηγορίαν ἐγκλήματος, ἢ μεῖζον ἢ ἔλαττον ἔγκλημα δύναται ἀντικινεῖν· εἰ μὴ
πρότερον ἀποκαταστήσει ἑαυτὸν τοῦ ἐγκλήματος τοῦ ἐπενεχθέντος αὐτῷ. δύναται δὲ
καὶ ἐν τῷ μεταξὺ τῶν ἐναγόντων αὐτὸν, ἐγγράφως ἀποθέσθαι. ἐν τῷ δὲ ιη'
κεφ. ἐάν τις οἰκέτης ἢ δοῦλος τινὸς ὤν, ἢ υἱὸς δούλης, βουληθῇ κατὰ τοῦ δεσπότου ἐν-

πῶς ζωλάττεται ἡ ἀσφάλεια ἐπὶ τῶν ἐγκλημάτων·

νόμου ἔγκλημα κινηθῇ ὑπεξῃρημένου δηλονότι τοῦ τῆς καθοσιώσεως, αὐτοὺς ἐν τῇ ἀρχῇ τῆς κατηγορίας, σιδήρῳ τιμωρεῖσθαι. καὶ ἀπηλεύθερος κατὰ τοῦ πάτρωνος ἢ δοῦλος κατὰ δεσπότου αὐτοῦ κινήσας δημόσιον ἔγκλημα, διὰ σιδήρου τιμωρεῖται. ἀνάγνωθι καὶ τὸ λθ' τοῦ τίτλου ἐν τῷ α' κεφ. φ. ὁ ἄρχων διασκοπείτω πότερον ὁ κατηγορούμενος ὀφείλει φυλακῇ ἐμβάλλεσθαι, ἢ στρατιώταις παραδίδοσθαι ἢ ἐγγυηταῖς ἢ ἑαυτῷ καταπιστεύεσθαι. τοῦτο δὲ γίνεται, ἐκ τῆς ποιότητος τοῦ ἐγκλήματος ἢ διὰ τὴν τιμὴν ἢ τὴν περιουσίαν τοῦ ἐναγομένου, ἢ τὴν ἀξίαν αὐτοῦ, ἢ διὰ τὸ μηδὲν αὐτὸν ἡμαρτηκέναι. ἐν τῷ δὲ γ' κεφ. ὁ ἔχων ἐγγυητάς, οὐ δεσμεῖται εἰ μὴ βαρύ ἐστι τὸ παρ' αὐτοῦ ἁμαρτηθέν, ὡς μήτε ἐγγυηταῖς μήτε στρατιώταις ὀφείλειν αὐτὸν παραδοθῆναι. ἐν τῷ δὲ ις' κεφ. μηδεὶς ἐπὶ ἐγκλήματι κατηγορούμενος ἐμβαλλέσθω τέως εἰς δεσμωτήριον, πρὶν ἂν ἐλεγχθῇ. εἰ δὲ καὶ ἐνδιατρίψας ἐστὶ μὴ προσδεισάσθω, πρὶν ὁ ἐνάγων ἐγγράφηται. ἐγγραφομένου γὰρ ἐνάγοντος. τὸ ἐλέγχειν αὐτὸν ἢ παραστῆναι ἢ γίνεσθαι ἀναζητούμενον λαμβάνοντα ὑπόθεσιν εἰς τὸ διαλυθῆναι τὰ κατ' αὐτὸν ἀρκουσῶν ἡμερῶν. πλὴν οὐχ ὑπὲρ τὸν ἀριθμὸν λ'. ἐν τῷ δὲ ιθ' κεφ. ὁ τελέσας ὅτι οἵῳ δήποτε ἐγκλήματι γίνεται ἔνοχος. διελεγχθεὶς τὸν κατηγοροῦντα εἶτε ἐκ τῶν δημοσίων προσώπων παραπεμφθῇ. παραχρῆμα γινέσθω ἡ ἐξέτασις. ἐὰν δὲ χρεία μικρὸν ὑπερτεθῆναι, ἢ διὰ τὴν ἀπουσίαν τοῦ κατηγόρου ἢ διὰ τὸ μὴ εἶναι συνηγόρους. μὴ ἐν μέσῳ ὀπταέσθω αὐτῷ βάσανος. μὴ δὲ τὰ σίδηρα αὐτοῦ ἔστωσαν στενότερα. ἢ ἐγκλειέσθω ἐν τῷ ἐσωτέρῳ μέρει τῆς φυλακῆς. ἀλλὰ μεταλαμβανέτω τοῦ φωτός· καὶ ἡνίκα ἐπαυγάσῃ νὺξ ἐν τοῖς φιλανθρωποτέροις τόποις τῶν φρουρᾶς χρὴ αὐτὸν ἀναλαμβάνεσθαι. καὶ φαινομένης ἡμέρας ἐκβάλλεσθαι καὶ λαμβάνειν τοῦ ἡλιακοῦ φωτός. ἵνα μὴ πολλάκις καὶ ἀναίτιος ὢν, ἐν ταύταις ταῖς βασάνοις φονευθῇ. μὴ ἐξέστω δὲ τοῖς φυλάττουσιν ἀπανθρώπως αὐτοῖς κεχρῆσθαι. ὁ γὰρ ἄρχων εἰς τὴν σφαγὴν αὐτὴν κινδυνεύσει. ἐὰν μὴ τούτους παραχρῆμα ἀποτέμῃ τοὺς τῆς φυλακῆς πεπιστευμένους. ἀνάγνωθι καὶ τὸ ξδ' ἐν τῷ φ. περὶ τῶν συγχώρησιν αἰτούντων κατηγόρων. οὐδενὸς ἐν τῷ γ' κεφ. φ. ἐὰν τὶς ὅλως μὴ ἀξιωθῇ κατηγορῆσαι. οὐ δύναται αὐτὸν συγχώρησιν. εἰ δέ τις ἀγαθῶς νομίζων γεγονέναι τὸ ἔγκλημα ἐκίνησε καὶ ὕβρισται ὁ ἐναγόμενος. οὐ κωλύεται συγχώρησις εἰ μὴ ἄρα αὐτὸς ὁ ὑβρισθεὶς συναινέσοι. εἰ μὲν οὖν τί γε ὕβρισται. τότε δύναται ἐντὸς τριάκοντα ἡμερῶν τῆς κατηγορίας ὁ ἐνάγων μεταμέλεσθαι. μετὰ δὲ τὰς τριάκοντα ἡμέρας εἰ μὴ ἄρα συναινοῖ ὁ ἐναγόμενος, οὐ δύναται. εἰ μὲν οὖν τί γε καὶ μάρτυρες προενεχθέντες ἐβασανίσθησαν. τότε κἂν ἀμφότεροι συναινέσωσιν. οὐ χρὴ δοθῆναι τὴν συγχώρησιν. ἐν τῷ δὲ λ' κεφ. ὁ βασιλεὺς

περὶ κατηγορουμένου εἰ χρὴ αὐτὸν φυλακῇ ἐμβάλλεσθαι: —

περὶ τῶν αἰτούντων συγχώρησιν κατηγόρων: —

καὶ ὅτι ἐν τῷ κατηγορεῖν δύναται ὁ ἐνάγων ἐντὸς ἡμερῶν λ' μεταμέλεσθαι. μετὰ ταῦτα, εἰ μὴ καὶ ὁ ἐναγόμενος συναινεῖ: —

κε´

παρέχων τὴν συγχώρησιν. τὴν τοιαύτην ἐγκληματικὴν μὲν ποιεῖ συγχωρηθῆναι· τὴν δὲ ἄλλως τὴν ἐν φόνῳ παρεχομένην τοῖς δημοσίοις ἐγκλήμασιν οὐ συγχωρεῖ. ἀνάγνωθι καὶ τὸ ξε´ ἐν τῷ βιβλ. ὁ κατήγορος τινὸς ἐγκληματικῶς ἢ δουλείας ὀφείλει πληροῦν τὴν ἰδίαν κατηγορίαν. εἰ δὲ ῥαθυμήσας καὶ ἐν τῇ προθεσμίᾳ ἡμέρᾳ μὴ παραστῇ ἢ ὑπερτεθῇ, εἰς τὸ τέταρτον τῆς οὐσίας τιμωρείσθω γινόμενος καὶ ἄτιμος. ἡ ἐγκληματικὴ δίκη ἐντὸς δύο ἐνιαυτῶν πληρούσθω· ψηφιζομένη ἀπὸ τῆς ἡμέρας τῶν ἐγγράφων παρεχομένων τῶν ἀναγκαίων ἑκατέρῳ μέρει προθεσμιῶν. τούτων δὲ τῶν χρόνων παρελθόντων ὁ κατήγορος ὁ ῥαθυμήσας, ὑποστήτω τὴν τιμωρίαν τὴν ἀπὸ τῶν νόμων ὡρισμένην. εἰ δὲ ἀτελής ἐστιν, ἐξοριζέσθω. εἰ μὴ ἄρα ἐν τῷ μεταξὺ ἀλλήλοις συγχώρησιν. ἀνάγνωθι καὶ τὸ ξε´ τοῦ τίτ. ἐν τῷ α´ κεφ. βιβλ. ὁ ἐγγραψάμενος καὶ ἐπιγνοὺς δεδωκὼς καὶ ποιήσας τινὰ καταδεχθῆναι, καὶ χωρὶς συγχωρήσεως ἀποστάς. ὑποπίπτει τῷ περὶ συκοφαντίας ἐγκλήματι:

Στ´ ὁ ἐγγραψάμενος καὶ ἐπιγνοὺς δεδωκὼς ὑποπίπτει τῷ περὶ συκοφαντίας ἐγκλήματι. χωρὶς συγχωρήσεως ἀποστάς:

δ´

## Περὶ καινοτομιῶν ἤτοι καινοῦ ἔργου γινομένου ἐν οἱῳδήποτε τόπῳ, εἴτε δημοσίῳ εἴτε ἰδιωτικῷ· ὅτι ἡ καινοτομία τινός. καὶ πότε καὶ πῶς ὁ καινοτομῶν παραγγέλλεται. ἀνάγνωθι ιε´ τίτ. τῶν κη´ ἢ ἐν τῷ βιβλ.:

Περὶ τείχους.

Ὁ βλάπτων τεῖχος ἢ διὰ τοῦ καὶ μὴ διὰ τῆς πόρτης δοτῶν· κεφαλικῶς ὡς πολέμιος τιμωρεῖται. ἀνάγνωθι καὶ τὸ β´ τίτ. ιε´ ἐν τῷ βιβλ. οὐκ ἔξεστι διὰ χειροποιήτου ἔργου μεταφέρειν τὸν ποταμόν, πλὴν ἔξεστι κατὰ τῆς ἰδίας ὄχθης ποιεῖν ἔργον. ὥστε μὴ βλάπτειν τὸν ποταμὸν τοὺς ἀγρούς. ἀνάγνωθι καὶ τὸ β´ τοῦ τίτ. ἐν τῷ α´ κεφ. βιβλ. τοῦ ποταμοῦ ὁδοῦ δημοσίας παρεντεθειμένης, οὐκ ἐμποδίζεται ἡ δουλεία τοῦ μονοπατίου ἢ τῆς προόδου τοῦ ὕδατος. ἡ δὲ τοῦ ἐμβάλλειν δοκούς, ἢ ἐξώστην ποιεῖν ἢ ἐπιπέμπειν ὕδωρ ἢ σταλαγμοὺς κεράμου, ἐμποδίζεται. δεῖ γὰρ ἐλεύθερον εἶναι τὸν ὑπερκείμενον ἀέρα τῷ δημοσίῳ. ἐν δὲ τῷ η´ κεφ. οὐ δύναται τὸν κοινὸν τοῖχον ὁ εἷς τῶν κοινωνῶν καταλύειν ἢ ἀνανεοῦν. ἐν δὲ τῷ ια´ κεφ. ὁ ποιῶν τι πρὸς βλάβην τοῦ γείτονος. τὸ εἶδος ἐκ τὴν κατάστασιν τὴν ἀρχαίαν φυλάττειν ὀφείλει. ἐν δὲ τῷ ιβ´ κεφ. ὁ δουλείαν ἐπιθεὶς τοῦ μὴ ὑψωθῆναι, δύναται δένδρον ἔχειν ὑπὲρ τὸ ὕψος· εἰ μή τι ἀπὸ ψεως συνεστη δουλεία καὶ ἐμποδίζουσι τὰ δένδρα. οὐ δύναται. ἐν δὲ τῷ ιγ´ κεφ. οὐκ ἔξεστι τῶν κοινωνῶν ἐν τῷ ἰδίῳ οἴκῳ ποιοῦντι βαλανεῖον. τοὺς καπνούχους ἐπιθεῖναι τῷ κοινῷ τοίχῳ ἢ τοίχου ἰδίου. μαρμαρῶσαι δὲ καὶ γράφειν τὸν κοινὸν τοῖχον ἔξεστι. καὶ ἐὰν ὁ γείτων καταφέρων τὸν οἶκον ἐπερωτηθῇ τὴν προσδοκωμένην ζημίαν, οὐκ ἀποτίνυται πλέον τὰ ἐπιτερπῆ ἢ αἱ ζωγραφίαι. ἐν δὲ τῷ ιθ´ κεφ. ἐν ... τινα τῷ κοινῷ τοίχῳ οὐκ ἔξεστι. βαλανεῖον μέντοι πλησίον τοῦ κοινοῦ οἴκου ἔχειν, οὐκ ἐ-

Περὶ ποταμοῦ:

Περὶ κοινοῦ τοίχου:

Ἐκ τῶν διατάξεων, περὶ διαφόρων καινοτομιῶν:

Πρὸς τούτοις ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν, τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω. μηδὲ ἀφαιρείσθω τὰ φῶτα, ἢ τὴν ἄποψιν τῶν γειτόνων. εἰ μὴ ἄρα δουλείαν ἔχει κατὰ σύμφωνον, ἢ ἐπερώτησιν παραχωρηθεῖσαν αὐτῷ, ἢ ἐπὶ τρόπου ὃν βούλεται τὸ παλαιὸν ἀνακαινίζειν σχῆμα. ὁ γὰρ τοιαύτην ἔχων δουλείαν, ἀκωλύτως ἃ βούλεται οἰκοδομείτω, εἰ καὶ βλάπτει τοὺς γείτονας. ἐπειδὴ τοῦτο κατὰ τὸ σύμφωνον καὶ τὴν ἐπερώτησιν αὐτῷ ἐπιτέτραπται. ἡνίκα δὲ δύο οἶκοι ἀντικρὺ ἀλλήλων εἰσί, χρὴ αὐτῶν μεταξὺ ιβ´ πόδας εἶναι· ἀρχομένους, ἀπὸ τοῦ ἐπικειμένου τοῖς θεμελίοις οἰκοδομήματος, καὶ μέχρι παντὸς τοῦ ὕψους φυλαττομένου, ἔξεστιν ἑκάστῳ εἰς ὅπερ βούλεται ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον. καὶ θυρίδας ἐν αὐτῷ παρακυπτικὰς ἢ φωταγωγοὺς κατασκευάζειν· εἴτε νέον οἰκοδομῶν, εἴτε παλαιὸν οἶκον ἀνασκευάζων. ἢ τὸν ἐκ πυρὸς διαφθαρέντα:

κωλύῃ), καὶ ὑγρασίας δέχηται· εἰ μὴ ἄρα διὰ τῆς συνεχοῦς ὑγρασίας βλάπτηται. ἔξεστι γὰρ καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἔχειν ὕδωρ. καμάραν ἀπὸ τειχῶν ἔξεστιν ἔχειν πλησίον τοῦ κοινοῦ τοίχου ἐὰν οὕτως ἐσκευάσθη· ὥστε καὶ τοῦ τοίχου καταιρουμένου ἵστασθαι· καὶ τῇ ἀνοικοδομῇ αὐτοῦ μὴ ἐμποδίζειν. ἐν τῷ δʹ φʹ κʹ κεφ. σκάφας ἐπιθεῖναι τῷ κοινῷ τοίχῳ δύναμαι· ἀποκινεῖσθαι γὰρ δύναμαι. οὐκ ἔξεστι τῷ δουλεύοντι κλείειν ἔνθα ἀπέπιπτεν ὁ σταλαγμὸς ἤρξατο τῶν κεράμων, καὶ ὑψοῦν δύναται. ὁ σταλαγμοῦ ἔχων δουλείαν καὶ χθαμαλώτερον τὸν οἶκον ποιεῖν, καὶ ἀποβαίνειν εἰς τὰ ἴδια· οὐ μὴν προβαίνειν εἰς ἕτερον τόπον τοῦ δουλεύοντος. γενικῶς γὰρ κρείττονα τὴν αἵρεσιν δύναται ποιεῖν τοῦ δουλεύοντος· οὐ μὴν χείρονα, εἰ μὴ τὸ ἐναντίον ἐν τῷ συνίστασθαι τὴν δουλείαν ἠρέσθη. ἐν τῷ δʹ φʹ καʹ κεφ. ὁ ἔχων τὰ ἀνώγεα, τοῖς ἰδίοις ἐπικείσθω ὅτι θέλει· μὴ βαρῶν μέντοι τὰ κατώγεα ὑπὲρ δύναμιν. ἐν τῷ δʹ φʹ λζʹ κεφ. ὁ μὴ ἔχων δίκαιον φυλάττεσθαι θυρίδων, οὐ δύναται τυφλὸν τοῖχον ἀνοίγειν καὶ ποιεῖν θυρίδας. ἐν τῷ δʹ φʹ ληʹ κεφ. κἂν ὡς ἐν τῷ ἐμῷ οἴκῳ ἀνοίγω πυλῶνα, οὐ μὴ ἐμποδίζω ταῖς δουλείαις τοῦ γείτονος. ἀνάγνωθι καὶ τὸ ἑξῆς ἐν τῷ ηʹ κεφ. χωρὶς δουλείας, οὔτε ὁ κάτω δύναται καπνοῦ ἐπιπέμπειν τῷ ἄνω, οὔτε ὁ ἄνω τὸ ὕδωρ ἢ τὸ ἄλλο τῷ κάτω. ἐπὶ τούτων γὰρ ἔξεστιν ἐν τοῖς ἰδίοις τι ποιεῖν, ἐφ' ὅσον μηδὲν εἰς τὸν ἀλλότριον ἐπιπέμπειν· ὅθεν κωλύεταί τις λίθον ἐν τῷ ἰδίῳ τέμνειν. καὶ τὰ κλάσματα κωλύει εἰς τὸν ἀλλότριον [illegible]. ἔξεστι δὲ καπνοῦ ἐλαφροῦ οἷον ἀπὸ ἑστίας ποιῶν ὥστε καὶ καθέζεσθαι καὶ λούεσθαι ἐν τοῖς ἰδίοις. καὶ οὐ δύναται συνιστᾶν δουλείαν εἰς τὸ ταύτην γίνεσθαι ἢ μὴ γίνεσθαι. ἐπὶ δὲ τοῦ καπνοῦ τοῦ λοιποῦ δουλεία συνίσταται. ἐν τῷ δʹ φʹ θʹ κεφ. ὁ ἔχων ὁδὸν κωλύει τὸν σκάπτοντα ἐν αὐτῇ [illegible]. καὶ ὁ ἔχων σταλαγμὸν κεράμων. ἐὰν διὰ τοῦ κτίσματος ἐμποδίζηται. εἰ δὲ μήπω ἐκτίσθη, δύναται καὶ ὁ πλατεῖαν ὁδὸν καὶ ὁ χρῆσιν ἔχων κινεῖν τὴν περὶ συναλλάγματος ἀγωγήν. ἐν [illegible] ὁ δὲ ἔχων τὸ μονοπάτιον καὶ τὴν πρόσοδον, κινεῖ τὴν περὶ συναλλάγματος ἀγωγήν. ὁ δὲ τὴν χρῆσιν ἔχων ἐπειδὴ ἀπόλλυται ἡ χρῆσις, κινεῖ τὴν περὶ δόλου ἀγωγήν. ἐν τῷ δʹ φʹ ιηʹ κεφ. ἐὰν ὁ γείτων κοπρῶνα ποιήσῃ παρὰ τὸν τοῖχόν μου καὶ ὑγρανῇ αὐτόν, εἰ μὲν ἐν δημοσίῳ τόπῳ ἐτέθη, τὴν περὶ πραγμάτων ἀγωγὴν κινῶ. εἰ δὲ ἐν ἰδιωτικῷ, τὴν περὶ δουλείας ἀγωγήν. εἰ γὰρ ἐβλάβην, κινῶ τὴν περὶ ζημίας ἀγωγήν. ἀνάγνωθι καὶ τὸ ζʹ τοῦ [illegible] κεφ. οὐδεὶς κωλύεται βουλόμενος ὑψῶσαι· εἰ μὴ ἄρα ἐβάρησεν ἑαυτῷ δουλείαν τοῦ μὴ ὑψοῦν. ὁ δὲ ἐν ἀλλοτρίῳ τοίχῳ ἀνοίξας θυρίδα οἰκείοις δαπανήμασιν αὐτὴν ἀναφράττει. ἐν τῷ δʹ φʹ ιαʹ κεφ. ὁ συμφωνήσας ἐπὶ τῷ αἴρεσθαι [illegible] ὥστε ἐξεῖναι αὐτῷ περιιέναι διὰ τοῦ ἀγροῦ

[Margin notes:]

περὶ σκάφας.

σ. τουτέστιν ἐν ὅλος τοῦ σταλαγμοῦ τῶν κεράμων.

τουτέστι τῇ προόδῳ αὐτοῦ: –

ηʹ ἐστάς

περὶ ἀπόψεως θαλάσσης.

Ἀπὸ τῶν μέντοι τοῦ γείτονος, δεκατέσσαρας μόνον ἀπαιτοῦσι πόδας, μὴ ἀφαιρείσθω. ἐὰν ἐξ οὗ τις ὁρᾷ τὴν θάλασσαν, ἑστὼς ἐν τοῖς ἰδίοις οἴκοις ἢ καὶ καθήμενος ἐν αὐτοῖς, καὶ μὴ ἀναγκαζόμενος περιστρέφειν ἑαυτὸν εἰς πλάγιον ἐφ' ᾧ ἰδεῖν θάλασσαν. δένδρων μέντοι ἐκ παρατάσεως οὐ φυλάττεται ἀπόψις. καὶ ὅτε δὲ μὴ τούτους [illegible] πλάγιας, οἰκοδομήσῃ τις τὸν ἑαυτοῦ οἶκον, ἢ καὶ πλέον ἔχει τῶν ιβʹ ποδῶν τὸ [illegible] τῆς πλατείας μέσον, μὴ ἀφαιρείσθω τὸ πρόσωπον. καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέσθω. οὐδὲ γὰρ ἐπὶ βλάβῃ τοῦ δημοσίου τοὺς ιβʹ πόδας ὁ νόμος διατάξεις. ἀλλ' ὥστε μὴ στενώτερον τῶν ιβʹ ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα. ὅτε δὲ πλατύνεται τὸ τῆς ῥύμης ἢ τῆς πλατείας μέσον, μηδὲν ἔξω τοῦ ἀφαιρεῖσθαι. ἀλλὰ τῇ πολιτείᾳ ἐᾶσθαι τὰ οἰκεῖα: –

ἐν

Ἐὰν δὲ παρὰ τῶν ὅλων τῶν οἴκων, ὅπερ δηλονότι ὁ μεταξὺ αὐτῶν καθαρὸς ἀὴρ στενότερος ᾖ τῶν δώδεκα ποδῶν, μηδενὶ αὐτῶν ἔξεστι παρὰ τὸ παλαιὸν σχῆμα ἐν τῷ ἰδίῳ οἴκῳ ἐνεῖδος ποιεῖν. εἰ μέντοι δεκαπόδες ἦσαν ἐν μέσῳ, καὶ μὴ ἧττον ἔσται, προκυπτικὰς εἰ μὲν ἔξεστιν αὐτῷ ποιεῖν τῷ κτίζοντι, ἤγουν μὴ πρότερον ἔχων αὐτάς :

φωταγωγοὺς δὲ ἔξεστιν αὐτῷ ποιεῖν, ἀπὸ ἓξ ποδῶν τοῦ ἐδάφους ἀνοιγομένας. μηδενὸς δυναμένου ποιεῖν ψευδοπάτιον ἐν τῷ ἰδίῳ οἴκῳ. καὶ διὰ τοῦτο τὴν φωταγωγὸν θυρίδα κατασκευάζειν προκυπτικήν. καὶ αὐτῷ δὲ τῷ θέματι ἐὰν ᾖ σύμφωνον ἢ ἐπερώτησις παραχωρητικὴ δουλεία, φυλαχθήσεται δουλεία αὐτῷ ἢ διάταξις. ὅτε δὲ ὁ ἐμπρησθεὶς οἶκος ἀνανεοῦται ἢ ὁμοίως πρότερον ἐν κτίζεται. Εἰ δὲ διάταγμα ὅληται ἢ δι' ἄλλην αἰτίαν φθαρεὶς γενόμενος ἀνανεοῦται, ἐὰν ἑκατὸν ποδῶν ἐν μέσῳ ἔχῃ διάστημα, ἔξεστιν ἀκωλύτως κτίζειν τῷ βουλομένῳ. εἰ δὲ τὴν ἐπιθεωρίαν ἀπόψιν ἀφαιρεῖται τοῦ γείτονος :

αὐτοῦ ἐπὶ τὴν οἰκείαν ὕλην ἅπαξ κατὰ ε΄ ἐνιαυτούς, καὶ μήτε δι' ἑαυτοῦ μήτε διὰ τοῦ διαφέροντος αὐτῷ τὴν δουλείαν ἐξεκάθηρε ἐπὶ κ΄ ἐφεξῆς ἔτη ἀπολλύει παντελῶς τὸ παρακωρηθὲν αὐτῷ δίκαιον. μηδεὶς δὲ οὕτω κτιζέτω ὡς ἐμποδίζειν ἐντεῦθεν τῷ ἀνέμῳ εἰς τὸ ἀχώνιον τοῦ γείτονος ἐμβάλλοντι. ἀλλὰ τὰ τούτων ἐν τῷ α΄ κεφ. Τὰ εἰς δημοσίαν ὁρῶντα χρῆσιν, οἷον ὁδοὺς δημοσίας, καὶ περιόδους ἕκαστος ἀπαιτεῖ διὰ τοῦ ὀνομαζομένου παραγγέλματος. Ἐν τῷ αὐτῷ α΄ κεφ. Ὁ ἐν δημοσίῳ τόπῳ κτίσας, τῷ νομίμῳ παραγγέλματι ὑπόκειται. Καὶ ὅλως πᾶς ὁ πράττων μηδὲν ἐν δημοσίῳ τόπῳ ποιεῖν ἢ εἰσπέμπειν ἐπὶ βλάβῃ τοῦ τόπου. ἀναιρούμενος ἢ δόγμα συγκλήτου ἢ βασιλικὴ κέλευσις ἐπιτρέπει. Ἐν τῷ αὐτῷ ε΄ κεφ. Οἱ δημόσιοι τόποι τῇ χρήσει τῆς πόλεως οὐ τοῦ καθ' ἕκαστον ὑπουργοῦσι. καὶ ὅτι δημόσιος τόπος ἐστὶν ἔδαφος· οἰκία· ἀγρός· ὁδός· πάροδος δημοσία. Ἐν τῷ αὐτῷ ς΄ κεφ. Ὁ ἀκωλύτως κτίσας ἐν δημοσίῳ, οὐχ ὑπόκειται τῷ νομίμῳ παραγγέλματι· κωλυτικὸν γάρ ἐστιν οὐκ ἀποκαταστατικόν, καθαιρεῖ μέντοι αὐτὸ ὁ φροντίζων τῶν δημοσίων ἔργων. εἰ δὲ μὴ βλάπτει τὸ κτισθέν, τέλος ἐπιτίθησιν αὐτῷ. εἰ δὲ ὁ τόπος ἱερός ἢ καὶ κτισθῇ, ἀποκαθίσταται. λέγεται ὁ πράττων ἐν ὁδῷ δημοσίᾳ ἢ παρόδῳ ποιεῖν τι ἢ εἰσπέμπειν ἐπὶ βλάβῃ αὐτῆς κωλύεται. Ἐν τῷ αὐτῷ ζ΄ κεφ. Βλάβη ἐστὶ τὸ τὴν χρῆσιν τῆς ὁδοῦ φθαρῆναι· ἤγουν κοιλωθῆναι ἢ τραχεῖαν ἢ στενὴν ἢ ξηρὰν, καὶ ὁ γέφυραν ἢ ὅλην ἐν δημοσίᾳ ὁδῷ ποιῶν, ἐν αἰτίαις βλάπτων. τὸ δὲ παράγγελμα τοῦτο, καὶ διηνεκές καὶ δημοτικόν ἐστιν. ἡ δὲ καταδίκη εἰς τὸ διαφέρον τοῦ κινοῦντος. Ἐν τῷ αὐτῷ η΄ κεφ. ὁ μηδενὸς κωλύοντος ἐν δημοσίῳ κτίσας, ἀναγκάζεται καθαιρεῖν διὰ τὴν ἐκ ταύτης ἀμορφίαν. Ἐν τῷ αὐτῷ ιβ΄ κεφ. Τῶν ἐργαστηρίων μηδεὶς προτιθέτω ἢ μὴ κναφεὺς ἱμάτια ἢ τέκτων τροχούς· ὥστε καὶ ὅλως ἄμαξαν παριέναι. μὴ ἐάσωσιν οἱ ἀστυνόμοι μάχας ἐν ταῖς ὁδοῖς. μηδὲ κόπρον ἐμβάλλειν. ἢ νεκρὰ ἢ δέρματα ἐκρίπτειν· καὶ ἀστοὺς βιαζομένους. εἰ ἐν ἀγρῷ μετὰ ἀνανεώσεως χώραν ποιεῖς τὴν ὁδόν. οὔτε ὅσον πλατῦναι οὔτε μακρῦναι. οὔτε ὑψωθῆναι οὔτε χθαμαλωθῆναι δύναται αὐτὴν ἀνανεῶν. οὐδὲ στρωθῆναι λίθῳ ἢ ἀποστρωθῆναι. τοῦτο τὸ παράγγελμα καὶ διηνεκές ἐστι καὶ δημόσιον. καὶ ἔχει δίκην εἰς τὸ διαφέρον τοῦ κινοῦντος. Ἐν τῷ αὐτῷ ιγ΄ κεφ. ἡ δημοσία ὁδός, τῇ ἀχρηστίᾳ οὐκ ἀπόλλυται. ἀνάγνωθι καὶ τίτ. ι΄. ἐν τῷ διαγράμματι περὶ περατείας. Τῶν δὲ τούτων ἐν τῷ α΄ κεφ. Ὅ τε δικαίως ὅ τε ἀδίκως τειχίζει. κωλύειν αὐτὸν ἔξεστι. Καὶ λοιπὸν ὁ παρακωλυθεὶς αὐτὸν ἀφιστάναι εἰς τὸ συγχωρηθῆναι τὴν ἀδίκου κώλυσιν. Τὸ δὲ περὶ τῆς καινοτομίας παράγγελμα ἐπὶ τοῖς μέλλουσιν ἔργοις ἁρμόζει. Εἰ γὰρ ἤδη γέγονε τὸ ἔργον βίᾳ ἢ λάθρα πραχθέν, ἢ τὸ περὶ τόπου σεβασμίου ἢ τὸ περὶ τόπου ἱεροῦ ἢ τὸ περὶ ποταμοῦ δημοσίου ἢ τὸ περὶ

Περὶ δημοσίου τόπου :

Περὶ ὁδοῦ.

Εἰ δέ τις ἀπὸ ματζείου, ἢ ἀφεδρῶνος, ἢ ἀπὸ κλιμακτῆρος, ἢ ἀπὸ διαβατικῶν τῶν λεγομένων περιόδων, ἢ ἀπὸ βασκυνίων, ἀπόψιν ἐπιθεωρίας ἔχει, τὴν τοιαύτην ἀπόψιν, ἐὰν ἐντὸς ρ΄ ποδῶν οἰκοδομεῖν, ἀκωλύτως ἀφαιρεῖται. ἤγουν ιβ΄ πόδες ὦσι μεταξὺ τῶν δύο οἴκων. εἰ δὲ καὶ σύμφωνον ἐστιν ἐπιτρέπον τινὶ τὴν οἰκοδομίαν, κρατείτω τὸ σύμφωνον, εἰ καὶ βλάπτει τὸν γείτονα περὶ θεωρίας τῆς ἀπόψεως. ὅτε αὐτὸς ὁ νῦν δεσπόζων τοῦ οἴκου συνεφώνησεν, ὅτε οἱ προκτησάμενοι αὐτοῦ τοῦ οἴκου. οὐ γὰρ προσοικείως τὰς ὑπαρχούσας τινὶ δουλείας, διὰ τῶν καινῶν νόμων ἀφαιρεῖσθαι :

Περὶ περατείας ὁρίσεις καὶ ἐνδείξεις περὶ αὐτῆς :

ὀρθῆς δημοσίας. χώραν ἔχει. καὶ χωρὶς ἄρχοντος προκαταγγέλλεις. καὶ οἰκείῳ ὀνόματι καὶ ἀλλοτρίῳ. καὶ παντὶ καὶ πᾶσι καὶ ἀποῦσι καὶ ἀγνοοῦσι καὶ ἄκουσιν ὁ προκαταγγέλλων. γίνεται ἐναντίον. καὶ ἐὰν ὁ προκαταγγελθεὶς κτίσῃ χωρὶς προτροπῆς, διὰ νόμου προκαταγγελίᾳ καθαιρεῖ τὸ ἔργον. ἐν τῷ δ' κεφ. Κοινοῦ νεμομένης ἐν τῷ δημοσίῳ τόπῳ, προκαταγγέλλειν ἔξεστιν ἑκάστῳ τῶν πολιτῶν. συμφέρει γὰρ τοῖς πολίταις, ὑπὸ πολλῶν δικαιοῦσθαι. ἐν τῷ δ' κεφ. Ὅταν γίνεται τὸ ἔργον, ὀφείλεις προκαταγγέλλειν. εἴτε ἤδη οἰκοδομεῖ, εἴτε ἄρχεται, καὶ μετὰ τὴν διακοπὴν προκατάγγελε. πάντα γὰρ ἐν τῷ ἔργῳ προσόντι κακῶς προκαταγγέλλεται. εἴτε διὰ τὸ ἔργον πάρεστιν. εἴτε διὰ τὸν δεσπότην. Ἐοὺ διαφερόμεθα τίς ἢ ποίας αἱρέσεως ἐστὶν ὁ προκαταγγελθείς. ἢ δοῦλος. ἢ γυνή. ἢ παῖς. ἢ κόρη. πᾶσι τοῖς προσοῦσιν, ὀρθῶς προκαταγγέλλεται· ἵνα μέντοι δύνηται ἀπαγγεῖλαι τῷ δεσπότῃ. ἐν τῷ ἔξωθεν τοῦ ἔργου, τῷ δεσπότῃ τις προκαταγγέλλει, οὐκ ἔρρωται. ἐν αὐτῷ γὰρ δεῖ τῷ ἔργῳ προκαταγγέλλειν. ἵνα εὐθέως ὁ προκαταγγελθεὶς, ἀναχωρήσῃ. ἐπεὶ τί συμβαίνει ἐν ὅσῳ ἔρχεται πρὸς τὸ ἔργον τὴν ἄγνοιαν αὐτοῦ γινόμενον, πρὸς τὸ προκατη-μα γίνεσθαι. ἐν τῷ ϛ' κεφ. Ἐάν τις βούληται ἐν τῷ ἐμῷ κτίζειν ἢ ἐμβάλλειν ἢ ἐφαπλοῦν. συμφέρει ἡ διὰ τοῦ πρίονος ἢ διὰ λίθου βολῆς κωλύειν αὐτόν. ἐὰν δέ τις ἐν τοῖς ἰδίοις τόποις ῥεῖθρον ὕδατος ἢ ἀνορθοῖ τε, προκαταγγέλλειν οὐ δύναται.

Ἐπὶ τῶν λοιπῶν τῶν ἔργων παρέχεται ἡ προκαταγγελία, ἐν οἷς ἡ κατάθεσις ἐπιφέρει κίνδυνον. ὁ προκαταγγέλλων ὀμνύουσιν, ἐπὶ οὐκ ἐν συκοφαντίαν προκαταγγέλλει, ἐπιφέρεται ὁ ὅρκος καὶ αὐθεντίαν τοῦ πραίτωρος. ὁ προκαταγγελόμενος, ἀναχωρεῖν ὀφείλει τοῦ ἔργου, ἕως ἂν ἀσφαλίσηται ἢ αἰτήσῃ συγχώρησιν. καὶ εἴτε κτίσει κακῶς, ὅτι παρέχει δίκαιον τοῦ κτίζειν. ὀφείλει γὰρ τὸ πρὸ τῆς προκαταγγελίας ἔργον κατὰ διαγραφὴν μετρεῖσθαι. ἐν τῷ κ' κεφ. Ἐάν τις μετὰ τὸ προκαταγγελθῆναι ἐποικοδομήσῃ ἀντὶ τῆς συγχωρήσεως, ἢ μὴ δεδωκὼς ἱκανά. τὸ μετὰ τὴν προκαταγγελίαν γεγονὸς ἔργον καθαιρεῖ. καὶ ἔχει δίκαιον τοῦ κτίζειν. ἐν τῷ κε' κεφ. Ἐὰν ὁ προκαταγγελθεὶς πωλήσῃ τὸν οἶκον, καὶ ὁ ἀγοράσας κτίσῃ, αὐτὸς ἐνέχεται. οὐ γὰρ προσώπῳ, ἀλλὰ πράγματι γίνεται ἡ προκαταγγελία. διὸ προκαταγγελίας γενομένης, ὁ νεμόμενος ἐνέχεται. ἐν τῷ λε' κεφ. Ἐάν τι γίνεται κοινῷ δημοσίῳ ποταμῷ ἢ ὄχθῃ αὐτοῦ, μέχρι δεκαετίας ἡ ἀσφάλεια δίδοται. ἀνάγνωθι καὶ τὸ ια' τίτλου ἐν τῷ ζ' κεφ. θ'. τὰ ἰδιωτικὰ κτίσματα. ιε' ποδῶν διΐστασθαι. ἀνάγνωθι. ἀπέχειν ἀπὸ τῶν δημοσίων οἰκημάτων. ὥστε μήτε τὸ δημόσιον κινδυνεύειν, μήτε αὐτὰ τὰ ἐκδεδέναι τοῦ λοιποῦ. ἐν τῷ θ' κεφ. Ἐὰν ἔξωθεν ποιῇ τις ἢ ἐποικοδομῇ. ι' ποδῶν ἀπέχειν τῶν ἰδιωτικῶν. τῶν μέντοι δημοσίων ιε'. ἐν τῷ καὶ παραβαίνει τις καὶ τὸ ἔργον καταλυθήσεται. καὶ ὁ οἶκος τῷ ἡμετέρῳ ταμείῳ προσκυρωθήσεται. ὁ ἀνανεῶν οἰκί-

περὶ τοῦ μέτρου τοῦ ὀφειλομένου φυλάττεσθαι παρὰ τῶν κτιζόντων ἢ φυτευόντων. ἀνάγνωθι τοῦ τίτλου ιε' ἐν τῷ φ. Ἐάν τις διὰ μέσου ὁδοῦ ἢ τειχ. παρὰ χωρίων ἀλλοτρίων ὀρύττειν, τὸ ὅριον μὴ παραβαινέτω. ἐὰν τείχιον ἀπολιμπανέτω ποδὸς α'. ἐὰν οἴκημα ποδῶν β'. ἐὰν τάφρον ἢ βόθρον ὀρύττῃ· ὅσον τὸ βάθος εἶναι τοσοῦτον ἀπολιμπανέτω. ἐὰν φρέαρ, ἕνα πόδα φρέαρ περιϋπάρχῃ τοῦ τείχους ἐκ τοῦ ἔργου βλάπτεται. ἐπὶ ὅσον τὸ βάθος. ὀφείλει ἀποφυτεύειν. ἐὰν δέ τις ἐν ἀγρῷ βούλοιτο κτίσαι. ἔξω βολῆς ἀπὸ τοῦ ἀγρογείτονος ἀπέχειν, ὀργυιάς. ἐλαίαν καὶ συκῆν θ' ποδῶν ἀπὸ τοῦ ἀλλοτρίου φυτεύειν. τὰ δ' ἄλλα δένδρα ε' ποδῶν:

κ'.

μὴ παρεξέτω τὸ ἀρχαῖον σχῆμα, ἢ μὴ δίκαιον τοιοῦτον ἐκτήσατο κατὰ τοῦ γείτονος. Πᾶς δὲ κτίζων, ιβ' ποδῶν ἀπεχέτω, καὶ ὅσον βούλεται κτιζέτω, καὶ θυρίδας ποιείτω· μὴ μέντοι ἀπὸ τὴν θάλασσαν ἀφαιρείσθω ἐξ ὀρθοῦ ἢ ἐκ πλαγίου ἀβιάστως τυγχάνουσαν. κήπων μέντοι καὶ δένδρων μὴ εἶναι δουλείαν. Εἰ δέ τις κτίζοι ἐν στενωπῷ τὸ πλάτος ἔχοντι τῶν ιβ' ποδῶν, μηδὲν ἔξωθεν περιφερέτω, ἵνα μὴ στενοῖ τὸ δημόσιον. Εἰ δὲ ἥττονα τῶν ιβ' ποδῶν, κατὰ τὸ παλαιὸν σχῆμα κτιζέτω, μὴ ὑψῶν ἢ θυρίδας ποιῶν παρακυπτικάς, εἰ μὴ πρότερον εἶχεν αὐτάς. Φωταγωγοὺς δὲ ἐξέστω ποιεῖν. Εἰ δὲ ι' ποδῶν εἰσιν ἐν μέσῳ, καὶ τότε ἀπὸ ς' ποδῶν τοῦ ἐπάνω, ὥστε μὴ ψευδοπάτιον γίνεσθαι· ἢ τὰ συμφωνηθέντα φυλαττέσθω. Εἰ δὲ καὶ οἰκία μέλλει ἀνανεοῦσθαι, ἐξέστω τῷ πρώτως κτίζεσθαι. ρ' ποδῶν ἔχουσα καὶ θαλάσσης ἀπὸ τὴν λυμαίνεσθαι, ἐξ ὀρθοῦ ἢ ἐκ πλαγίου ἀβιάστως· οὐ μὴν ἀπὸ μαγκιπείων ἢ ἄλλων ὄντων. ὁμοίως κἀνταῦθα τὰ συμφωνηθέντα φυλαττέσθω. ὥστε δὲ καὶ τὰ σολάρια τὰ λοιπὰ ῥωμανίσια γίνεσθαι. Εἰ ι' ποδῶν ἀπέχουν ἀπ' ἀλλήλων· εἰ δὲ μὴ δύναται, ἐκ παραλλαγῆς γινέσθωσαν. Εἰ δὲ ι' ποδῶν ὁ στενωπὸς ἦν μόνον, μηδεὶς ποιείτω σολάριον. Τὰ δὲ γινόμενα ιε' ποδῶν ἀπεχέτω τοῦ ἐδάφους· καὶ μὴ ἐχέτωσαν κάτωθεν κίονας λιθίνους ἢ ξυλίνους ἢ τοίχους, ὥστε ἢ τὸν ἀέρα ἀποφράττεσθαι ἢ τὴν δημοσίαν ὁδὸν ἀδικεῖσθαι. μήτε δὲ κλίμακες γινέσθωσαν εἰς τὸν στενωπόν, ἀνάγουσαι ἐπὶ τὰ σολάρια, ἐπειδὴ γὰρ ῥᾷον ἐπικρατεῖται τοῦ πυρὸς ἡ συμφορά. Εἰ δὲ ταῦτα παραβαθῇ, καὶ ὁ δεσπότης τοῦ οἴκου καὶ ὁ ἀρχιτέκτων καὶ ὁ ἐργαζόμενος ζημιωθήσονται. Ἐν δὲ τῷ ι' κεφ. Τὰ δὲ μέτρα ὅσα δοκιμάσει ὁ τῆς πόλεως ἔπαρχος, γινέσθωσαν ἴσα τῷ ὅπου πᾶσιν αὐτὰ φυλάττουσι. Ἐν δὲ τῷ ια' κεφ. Εἰ δέ τις κτίζοντα ἐμποδίσαι βουλόμενος δίκην αὐτῷ λάχῃ, ἔστω ἐφ' ἕνα ἐπακολουθεῖν. Εἰ δὲ ὁ τῶν μειζόνων ἀρχόντων τὴν διάγνωσιν ἤτοι παρεγγύημα σκοπεῖσθαι δὲ καὶ μὴ ἀναμένειν τὰς κυρίας. Καὶ λοιπὸν ἐὰν εὑρεθῇ ὁ ἐμποδίζων, τὴν ζημίαν ἀποτισάτω αὐτῷ· μὴ δὲ παραγράφεσθαι δυνάμενον τὸν φόρον τοῦ ἐπάρχου. Ἐν δὲ τῷ ιβ' κεφ. Θεσπίζομεν πανταχοῦ τῆς τὰ αὐτὰ κρατεῖν πλὴν τῆς ἀπὸ ψιλῆς τῆς θαλάσσης· ἐκείνη γὰρ μόνη Κωνσταντινουπόλει καὶ τῇ ταύτης περιοικίδι κρατεῖν. Ἐν δὲ τῷ ιγ' κεφ. Περὶ τῶν μεταξὺ γινομένων ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως περὶ τὰς τῶν οἴκων οἰκοδομάς· ἀναλλαγὰς ἐπανορθοῦσθαι δίκαιον ἡγησάμεθα. ἐπειδὴ γὰρ ῥᾳδίως μέχρις διεστάναι τοὺς οἴκους ἀλλήλων ἡ ζήνωνος διάταξις λέγει· καὶ ἡμεῖς δὲ τοῦτο νομοθετήσαμεν. ἐπεὶ ἔσπαται δὲ ἔστε ἐπὶ ταύτης τῆς βασιλίδος πόλεως μὴ δύνασθαί τινα ρ' ποδῶν ἐντὸς κωλύειν θαλάσσης ἀπὸ τὴν περιοικίδα χαρίεσθαι· ἐξεῖναι δὲ ἴσως ἐν ἐκ πλάτους μέχρι

περὶ σολαρίων.

Ἐὰν δέ τις στενὸς ὢν ὁ τόπος, ἐν μέσῳ μὴ πλάτος ἔχῃ ἀπὸ ιβ' ποδῶν, μηδεὶς ἔξω, ἐκ μηδετέρου μέρους σολάρια ποιείτω, ἢ τοίχους κατασκευαζέτω. καὶ εἰ δὲ δέκα ποδῶν ὄντων ἐν μέσῳ κατασκευάζεται σολάρια, ἀπεχέτω τοῦ ἐδάφους εἰς ὕψος ιε' ποδῶν, μὴ ὑποτεθειμένων αὐτοῖς κιόνων λιθίνων ἢ ξυλίνων, ἢ τοίχων κατασκευαζομένων, ἐπὶ τὸ βαστάζειν τοὺς ἐξώστας, ἢ τὰ σολάρια· ἵνα μὴ ὁ ὑποκείμενος ἀὴρ τοῖς σολαρίοις στενοχωρῆται διὰ τῶν κιόνων ἢ τῶν τοίχων· καὶ αἱ ῥύμαι γίνωνται στενότεραι. μήτε δὲ κλίμακας ἀπὸ τοῦ στενωποῦ ποιείτωσαν ἀναγούσας ἐπὶ τὰ σολάρια· ἵνα μὴ γίνωνται συνεχέστερον ἐμπρησμοὶ τῶν οἰκοδομημάτων συνεχῶς. ἢ ὅπερ μὴ γένοιτο συμβαίνοντος, δυσχερῶς καὶ σβέννυνται. Εἰ δὲ παρὰ τὴν διάταξιν, ἢ σολάριον, ἢ κλίμαξ γένηται, ἐν αὐτῷ τῷ γινομένῳ ἐκκοπτέσθω· ἐ' δέκα χρυσίου λίτρας ζημιούσθω ὁ τοῦ οἴκου κύριος· καὶ ὁ ἀρχιτέκτων ἢ ἐργολάβος, ἑτέρας δέκα λίτρας ζημιούσθω· ὁ δὲ τεχνίτης ὁ ἐργαζόμενος, ἢ πένης ὤν, μὴ δυνάμενος τὸ τῆς ζημίας καταβαλεῖν, τυπτόμενος ἐξοριζέσθω τῆς πόλεως :—

÷ ἐκκλήτους.

τὰς ἐμπροθέσμους ἡμέρας :—

περὶ θαλάσσης νδ' ξγ' :—

περὶ σολαρίων.

Τὰ καλούμενα σολάρια, μὴ ἀπὸ μόνων ξύλων, καὶ λίθων οἰκοδομείσθω· ἀλλὰ κατὰ τὸ καλούμενον ῥωμανισίων σχῆμα. ἐὰν δὲ ἀντικρὺ ἀλλήλων ὦσι δύο σολάρια, δέκα ποδῶν τὸ ἐν τῷ μεταξὺ φυλαττέσθω διάστημα. Εἰ δὲ ὁ τόπος στενὸς ὤν, οὐκ ἔχει τὸ τῶν δέκα ποδῶν διάστημα, μὴ γινέσθω ἀντικρὺ ἀλλήλων σολάρια· ἀλλ' ἐκ παραλλαγῆς :—

τὰς ἀπόψεις αὐτοῖς ἀνεῷχθαι καὶ μὴ ταύταις κωλύειν, πλὴν ἀλλὰ καὶ τοῦτο πα-
ράδοξόν τι πρὸς μεμηχάνηνται τέχνῃ. τινὲς γὰρ τῶν ρ' ποδῶν καταλιπόντες μέσον
καὶ βραχύ τι τούτῳ προσθέντες· εἶτα οἰκοδομοῦσιν ἔνδοθεν οὐδὲν ἕτερον ἔχοντες·
ἀλλὰ κατὰ πρόσωπον παραπέτασμα προβάλλοντες. καὶ ἐπειδὰν ἀφέλωνται τὴν τῆς θαλάσ-
σης ἀπόψιν. ὑπὸ πᾶσαν ἐξουσίαν καὶ οὐ μαχόμενοι τῷ νόμῳ, διὰ τῶν ρ' ποδῶν
διάστημα ἐνοικοδομοῦσιν ἀκωλύτως. καὶ ἐπειδὰν τοῦ ζητουμένου τύχωσι, κα-
θαιροῦσιν ἔνδον τὸ διὰ τὴν χρείαν αὐτοῖς ἐπινενοημένον. καὶ οὕτω τὸ χρῆμα σο-
φισάμενοι. πάσης τέρψεως ἀλλοτρίας τὰς τῶν κεκτημένων καθεστᾶσιν οἰκίας. ὅπερ
τοῦ λοιποῦ γίνεσθαι κατ' οὐδένα βουλόμεθα τρόπον. ἀλλ' ὅστις βούλοιτο τοιοῦτόν τι σχε-
διάσαι καὶ κακουργῆσαι μὴ τι αὐτὸ πραττέτω. ἀλλ' ὑπὲρ τῶν τοιούτων ἀληθέ-
σι, ρ' πόδας ἀφεστὼς χωρείτω τῆς οἰκοδομίας ποιεῖν. ὡς ἀναγκαίας αὐτῷ καὶ ἀπα-
ραιτήτους ἐσομένας μὴ μόνον διὰ τὴν τοῦ γείτονος ἐπιβουλὴν διὰ τοῦτο σχεδιάζοντα τοί-
χους καὶ ὑπὲρ ἐπὶ τῆς γραφῆς τὴν τοιαύτην ἐκείνας σημασίαν, τὴν ἀφαίρεσιν τῆς
ἀπόψεως ἁρπαζέτω. ἐν τῷ αὐτῷ ια' κεφ. ὁ ἐπὶ θαλάσσαν ἐντὸς ρ' ποδῶν οὐ τὰ ἀπό-
ψεις, οὐ μόνον καθαιρεῖσθαι, ἀλλὰ καὶ ἐκπλαισίου ὀφλεῖν ἐπιτίμιον ἀνακαινοτομῶν. τοῦ γὰρ
περιελθόντος ὁ πρώην τύπος, φυλάττων τὴν Ζήνωνος διάταξιν. καὶ τὴν νεαρὰν ὁρμηνεύ.
ἀνάγνωθι ἐν τῷ ιβ' τίτλῳ τοῦ αὐτοῦ ϛ' κεφ. ὁ κτίσας ἐν δημοσίῳ τόπῳ καὶ βλάπτων τὴν πό-
λιν, καταβαλλέτω αὐτὸ μὴ ἔχων χρόνου παραγραφὴν μηδὲ εἰ βασιλεὺς ἐπέτρεψεν
αὐτῷ κτίσαι. ἐν τῷ αὐτῷ ιθ' κεφ. ὁ χωρὶς βασιλικῆς ἐπιτροπῆς γενόμενον ἢ στοὰν
περικλείσας, ἀποδιδότω τοῦτο, τῷ μεταλαβόντι τοιοῦτο τελματῶδες ποιῆσαι. περὶ τεσσαρά-
κοντα λίτρας πρὸς τὸ ταμεῖον. ἐν τῷ αὐτῷ κβ' κεφ. μηδενὶ ἐξέστω πολλοὺς κίονας ἀ-
ποφράττειν ἐκ σανίδων ἀπὸ τοῦ μιλίου ἕως τοῦ καπετωλίου. ἀλλὰ τὰ τοιαῦ-
τα ἐργαστήρια, πλάτος ἔχειν ἓξ ποδῶν ἔσω τοῖς τείχοις ἐπὶ τὴν πλατεῖαν, ὕψος δὲ
ἑπτά. διὰ δὲ τεσσάρων κιόνων παρόδους εἶναι ἐπὶ τὴν πλατεῖαν, κοσμεῖσθαι δὲ ἀ-
πὸ μαρμάρων τὰ τοιαῦτα ἐργαστήρια βουλόμεθα. διά τε τὴν εὐπρέπειαν τῆς πόλεως
καὶ τοὺς βαδίζοντας. ἀνάγνωθι καὶ τὸ ιε', ἐν ᾧ διαλαμβάνει περὶ τῆς ὡς ἀπὸ πλησμονῆς
ὑδάτων καινοτομίας. τοῦ αὐτοῦ τίτλου α' κεφ. ἐάν τινα βλάπτῃ τὸ ὄμβριμον ὕ-
δωρ, διὰ τῆς ἐπὶ ὕδατος πλησμονῆς ἀγωγῆς ἀποστρέφεται. ὄμβριμον δὲ ὕδωρ
ἐστί, τὸ ἀπὸ τοῦ ὑετοῦ κινούμενον κἂν ἄλλο μίγνυται. αὕτη δὲ ἡ ἀγωγὴ ἁρμόζει τοῦ τε χειρο-
ποιήτου ἔργου γενομένου μήπω τὸ ὕδωρ ἔβλαψεν, ἀλλ' ἐπίκειται βλάπτειν. εἰ δὲ
μὴ γείτονος ἔργον ἀλλὰ ἡ φύσει ῥέον τὸ ὕδωρ βλάπτει, οὐχ ἁρμόζει. ἐὰν τῆς
λίμνης ὑποβλυζούσης ἐστὶν τὸ ὕδωρ εἰς τὸν ἀγρόν μου ῥεῖν καὶ ποιεῖ αὐτὸν ἴσα

περὶ ὑδάτων καινο-
τομίας. ἀνάγνωθι καὶ τὸ
περὶ δουλείας: ϛ

κʹ.

θαι. εἶτα πληθυνθὲν ὑπὸ τοῦ ὀμβρείου ὕδατος βλάψῃ τὸν τοῦ γείτονος ἀγρόν, διὰ ταύ-
της τῆς ἀγωγῆς ἀναγκάζομαι περιελεῖν τοῦ γείτονος ἀγροῦ τὸ ἔργον. τὰ γὰρ χειροποίητα ἔργα
εἰ μὴ διὰ γεωργίαν γίνεται, ἐκβάλλουσι τὴν περὶ ὕδατος πλησμονῆς ἀγωγήν. ὁ μέντοι
ποιῶν αὔλακας δι' ὧν τὸ ὕδωρ ἐκφέρεται, κατέχεται. ἔργου γινομένου εἴτε ἄνω-
θεν τὸ ὕδωρ εἴτε εἰς τὸ κάτω φέρεται, χώρα τῇ ἀγωγῇ. οὐ μέντοι ὃ κατὰ φύσιν ῥέει. ἐ-
ὰν ἀπὸ πολιτικῶν οἰκημάτων ῥέον ὕδωρ βλάπτῃ οἴκημα ἢ ἀγρόν, οὐ χώρα τῇ ἀγω-
γῇ ταύτῃ, ἀλλὰ τῇ περὶ δουλειῶν. ἐὰν περιέλῃ ὁ γείτων παλαιὸν ἔργον, καὶ τὸ ὕδωρ ἐκ τοῦ
τοῦ φυσικοῦ ῥέον βλάπτῃ τὸν ὑποκείμενον ἀγρόν, οὐ χώρα τῇ περὶ ὕδατος πλησμο-
νῆς ἀγωγῇ. ἀεὶ γὰρ τοῖς ὑποκειμένοις ἀγροῖς ἐπίκειται δουλεία τὸ ὑποδέχεσθαι τὸ
φυσικῶς ῥέον ὕδωρ ἐκ τῶν ὑπερκειμένων. ἐὰν δὲ διὰ τὸ περιαιρεθῆναι τὸ ἔργον
σφοδρότερον ἄρξηται ῥεῖν, ἢ ἀθροίζεσθαι, χώραν ἔχει. ἀμέλει συμφωνοῦσιν ἀεὶ ἵ-
να ἕκαστος ἔχῃ παλαιὸν μέτρον ἐν τῷ ἀγρῷ αὐτοῦ, ἔξεστι δὲ γείτονι ποιεῖν περιχω-
μα ἢ φράγμα. ἀλλ' οὐκ ἔστι σύμφωνον ὁ κάτω τῷ ἄνω δουλεύει καὶ βλάπτεται.
ὠφελεῖται γὰρ τὴν λιπαρότητα τῆς γῆς αὐτοῦ δεχόμενος. ἐν κεφαλαίῳ τρία ἐστὶ
καθ' ἃ δουλεύει ὁ κάτω ἀγρὸς τῷ ἄνω· νόμος. φύσις τοῦ τόπου. καὶ παλαιότης, ἥτις
ἀντὶ νόμου παραλαμβάνεται. ἐν τῷ δʹ λ κεφ. ἐὰν ποταμὸν διοχετεύσας μου
οὐ διὰ βλάβην του ἀποστρέψω, καὶ ἐκ τούτου βλαβῇ ὁ ἀγρός σου, οὐκ ἔχεις κατ' ἐμοῦ
τὴν περὶ ὕδατος πλησμονῆς ἀγωγήν. οὔτε ὁ δεσπότης τοῦ δουλεύοντος ἀγροῦ εἰς
τὸ ὑποδέχεσθαι τὸ ὕδωρ κατὰ τοῦ δεσπότου τοῦ δουλευομένου, εἰ μὴ ἀμέτρως ἐνδο-
θεν βλάπτεται. ἐν τῷ δʹ ε κεφ. ἡ περὶ ὕδατος πλησμονῆς ἀγωγὴ τότε ἁρμόζει. ὅτε τις
ἔργον ἐν τῷ ἰδίῳ ἀγρῷ ποιεῖ. κἂν δημόσιος αὐτὸ δέχηται τόπος. εἰ δέ τις ἐν δημο-
σίῳ τόπῳ ποιήσει ἔργον, ἀρκεῖ. καὶ ἑαυτὸν μεμφέσθω μὴ προνοήσας ἑαυτοῦ. δι-
ὰ τῆς περὶ μελλούσης ζημίας ἀσφαλείας. ἐν τῷ δʹ κα κεφ. οὐκ ἔξεστι τῷ γείτονι ποιεῖν ἔρ-
γον δι' οὗ αἱ λίμναι ἢ αὔξουσιν ἢ μειοῦνται. ἀνάγνωθι καὶ τὸ ιε τοῦ τίτλου ἐν τῷ α κεφ. φι. λέ-
γει ὁ πραίτωρ μηδὲν ἐν τῷ ποταμῷ ἢ τῇ ὄχθῃ αὐτοῦ ποιήσῃς ἢ ἐμβάλῃς δι' οὗ ὁ
πόρος τοῦ ποταμοῦ ἢ τοῦ πλοὸς καταβλάπτεται. ἀνάγνωθι καὶ τὸ ιζ τοῦ τίτλου ἐν τῷ τ κεφ.
φι. εἰ ὁ [illegible] ἐν τῷ τείχει μου κονιάματα ἢ [illegible] ἔχει. κακῶς κινοῦ-
νται ταῦτα ἀφαιροῦνται. ἀνάγνωθι καὶ τὸ κ ἐν ᾧ διαλαμβάνει. περὶ τῶν λάθρα ἢ βίᾳ ποι- περὶ τῶν λάθρα ἢ βίᾳ· ζ
ούντων τι καινόν. τίτλος ἐν τῷ ζ κεφ. φι. ὅσοι κωλύουσι καινοτομεῖν καὶ τῇ ὑπα-
ρεσίᾳ νέων περιεργίᾳ. καὶ τὸ περὶ βίας ἢ λάθρα κατέχεται, οὐ μὴν ἐκ περιχώρη-
σιν δοκεῖ λάθρα ποιεῖν. ἐν τῷ δʹ ιβ κεφ. μαθὼν τὸ καινοτομοῦντος ἢ διενεργοῦν-
τος. ἀλλ' ἐπίσης τοῦ δεσπότου ἢ τοῦ πραγματευτοῦ ἀποδεχομένου, ἑκατέροις ὑποκεῖ-

δοῦναι τὸ δαπάνημα ἢ ἀποκαταστῆσαι τὸ γείτονος. εἰ δὲ μὴ ἠθέλησεν ὁ μαθὼν τὰς ἐπι-
τεθέντα κατέχεται. ὁ δεσπότης δὲ εἰς τὸ ἀναγκάζεσθαι. εἰ δὲ καὶ δοῦλός μου ἀγνοοῦντός μου
κοινοβιακοῦ καὶ πωλήσω ἢ ἀπελευθερώσω αὐτόν, εἰς ἀναξίωσιν μόνον ἐνάγομαι.
ὁ δὲ ἀγοραστὴς, ἢ εἰς τὸ δοῦναι εἰς νόξαν, ἢ εἰς τὸ δαπάνημα τῆς ἀποκαταστάσεως. καὶ
ὁ οἰκέτης δὲ ἠλευθερωθεὶς εἰς τοῦτο ἐνάγεται. ἐν τῷ δὲ ιζ' κεφ. καὶ ἰδιωτικὸν καὶ ἐν ἱε-
ρῷ τόπῳ ἢ μνημείῳ κοινοῦ τεθῆναι, χώρα δὲ νομίμῳ παραγγέλματι. αὐτόθι καὶ τὸ ξζ'
μὲ κεφ. ιβ' ἐν τῷ φι'. κατέχεται δὲ δεσποτικοῦ λάβους καὶ ὁ ξύπνου τὸ τεῖχος, καὶ ὁ ἀ-
φαιρούμενός τι ἐξ αὐτοῦ :—

ι' περὶ τείχους :—

## Περὶ κεκωλυμένων ἐξάγεσθαι. αὐτόθι β' ιβ' τί. α' κεφ. περὶ γ' ἐν τῷ φι' :—

Ἀκόνας σιδήρου. καὶ σίδηρον. καὶ ἅλας. καὶ σῖτον. ἄνευ κεφαλικοῦ κινδύνου-
τοῖς βαρβάροις πωλεῖν οὐκ ἔξεστι. καὶ κεφ. κ' ἐν τῷ φι'. οἱ πραγματευταὶ οἱ παρ' ἡμῶν ἀ-
γοράζουσιν ἐκ τῶν βαρβαρικῶν φορτίων, μὴ παρεχέτωσαν χρυσόν, ἀλλ' ἕτερα εἴδη διδό-
τωσαν. ὁ δὲ μὴ τοῦτο ποιήσας, κολασθήσεται. καὶ ὁ ἄρχων δὲ ὁ τὸ πταῖσμα τοῦτο μὴ
ἐμποδισάμενος, πρόδηλός ἐστιν ὡς τοῦτο συγκρύπτων τὸ ἁμάρτημα. καὶ οὐ μό-
νον μὴ διδόναι χρυσὸν τοῖς βαρβάροις, ἀλλὰ καὶ τὸν ὄντα παρ' αὐτοῖς ἀφαιρεῖν.
αὐτόθι καὶ β' ιθ' τί. α' κεφ. σα' ἐν τῷ φι'. οἱ ἀγοράζοντες ὅπλον ἢ σίδηρον παρὰ
φθέντα, σεμνοὶ εἰσὶν, δημευέσθωσαν. οἱ δὲ ἐκπωλήσαντες κεφαλικῇ ὑποβαλλέσθωσαν
τιμωρίᾳ. καὶ κεφ. σ' ἐν τῷ φι'. μηδεὶς βαρβάροις παρὰ φαινομένοις πρεσβευταῖς
νομένοις, ὅπλα πιπρασκέτω ἢ ἐργασμένα ἢ ἀνέργαστα. μὴ δὲ σίδηρον ὅλως.
ὁ δὲ παρὰ ταῦτα ποιήσας τὰ δημευέσθω καὶ κεφαλικῇ ὑποκείσθω τιμωρίᾳ. ἀνά-
γνωθι τὰ εἰρημένα ἐν τῷ περὶ ἀσεβῶν :—

ια' 

## Περὶ κηπουρῶν. αὐτόθι β' νε' τί. ια' κεφ. β' ἐν τῷ φι' :—

Θεσπίζομεν ὥσπερ ὁ κηπουρὸς παραλαμβάνει τὸν κῆπον παρὰ τοῦ ἐκμισθοῦντος, οὕτως αὐ-
τὸν καὶ αὐτὸν παραδιδόναι. εἰ δὲ λάχανον εἶχεν ἡνίκα ὁ κηπουρὸς αὐτὸν παρελάμβα-
νε καὶ διατίμησις γένηται τούτου. ὁμοίως καὶ ὅτε παραδίδωσι τὴν ἀμοιβὴν διατίμησιν τοῦ
λαχάνου μόνου λαμβάνειν. εἰ δὲ οὐκ εἶχε, ἀλλὰ ψιλὸν παρελάμβανε τὸν κῆπον, εἴτε ἐ-
χουλακώπευσεν, εἴτε καὶ μή. οὕτω καὶ τὴν αὐτὴν παραδιδόναι γίνεσθαι. καὶ ἁπλῶς οὕτω
τηρεῖσθαι τὴν τοιαύτην τάξιν, ἐπὶ δὲ παραδιδόντι κηπουρῷ. ὁποῖα γέγονεν ἡνί-
κα παρελάμβανε. μηδεμιᾶς ἑτέρας δηλουμένης ἐκ δεσπότου βλάβης. εἰ δὲ τις τὴν χέρ-
σον ἐκδοίη, ὁ δὲ αὐτὴν ἐξημερώσεται, τὴν ὑπὲρ τῆς ἐξημερώσεως κομίζεσθαι μι-
σθόν, καὶ τὴν τοῦ ὄντος ἐν αὐτῇ λαχάνου διατίμησιν :—

ιβ' 

## Περὶ κεχρεωστῶν καὶ κεχρεωμένων, καὶ τίνες οὐκ ἐνέχονται τῇ ἀγωγῇ

κ΄

Περὶ τῶν ἐνεχύρου διδομένων, καὶ τίσιν οἱ δεσμούμενοι ἐνέχονται.
ἀν(άγνωσμα) β ιγ΄ τ(ίτλος) α΄. ὁ αὐτὸς ἐν τῷ ε΄ κεφ(αλαίῳ) θ(έματι) ε΄ φ(...):

Ὁ τῷ κεχρημένῳ ἄλλως χρησάμενος οὐ μόνον τῇ ἀγωγῇ τῇ περὶ τοῦ ἐνεχύρου διδομένου ὑπόκειται, ἀλλὰ καὶ τῇ περὶ κλοπῆς ἐνέχεται. εἰ γὰρ χρήσω σοι πυκτίον μου, ἐπαγγειλαμένου σου ἐν αὐτῷ τοῦ χρεώστου σου ἀσφαλίσασθαι καὶ τὸ ἀπαιτεῖν αὐτά. εἰ τὸ ἐπὶ τούτῳ δέδωκα, ἐνέχομαί σοι τῇ ἀγωγῇ τῇ περὶ τοῦ ἐνεχύρου διδομένου. εἰ δὲ μὴ δέδωκα ἐπὶ τούτῳ, μήτε ἐνδόσιν τοῦ γραφέντος ἐποίησας. ἔχω κατὰ σοῦ τὴν ἀγωγὴν τὴν κινουμένην κατὰ τῶν ἐνέχυρα λαβόντων. καὶ τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγήν. ὥσπερ καὶ τοῦ χρησαμένου ἄλλως τῷ χρησθέντι ἵππῳ ἢ ἐσθῆτι. εἰ δὲ φ(ησὶ) κεφ(άλαιον). Ἐὰν μὴ ἑτέρας τῆς πρὸ ὀλίγου παραχρήσηται, οὐκ ἐνέχεται, εἰ μὴ ἀμελῶς αὐτοῦ γεγονέναι. εἰ δὲ φ(ησὶ) ιζ΄ κεφ(άλαιον). ὁ ἐπὶ τοῦ κεχρημένου πράγματος καὶ ἀμελῶς ἐπιζητεῖται, ὅταν τις ἐπιμελέσατο ἐν τοῖς οἰκείοις παρέχεται πράγμασιν. οὐ μὴν τὰς συμφορὰς ἃς οὐ δυνατὸν ἀντιστῆναι· ναυάγια τυχὸν ἢ καταπτώσεις, ἢ θάνατον μὴ κατὰ δόλον αὐτοῦ ἢ ἐπιθυμίαν συμβάντα, ἢ λῃστῶν ἢ πολεμίων ἐπιδρομήν, εἰ μὴ λαβὼν ἐπὶ τῷ χρήσασθαι ἐν τῷ οἴκῳ ἀπήγαγεν ἐπὶ ξένης. οὐδὲ τὴν φυγὴν τῶν μὴ εἰωθότων φυλάττεσθαι δούλων. εἰ δὲ μέλλοντός σου καὶ τοὺς φίλους ἑστιᾶν παρά σοί τι δέδωκα ἀργύριον, χρεωστεῖς ἀμελήσαντα οἷαν ἐπὶ τοῦ ἐνεχύρου καὶ τοῖς περιεργαστοῖς. ὁ ἐνδόσιν χρήσας ὑπαίτιος τοῦ ἐν αὐτοῖς ἐγκληθέντος ἐγκληθεὶς ἐνέχεται. ὁ χρησάμενος ἐναγόμενος τῇ περὶ τοῦ ἐνεχύρου διδομένων κινουμένῃ ἀγωγῇ, δύναται τὸ κεχρεωστημένον αὐτῷ ἀντικαταλογίσασθαι. εἰ δὲ πλεῖόν ἐστιν, ὁ δικαστὴς οὐ προσδέξεται τὸ ἀντέγκλημα. εἰ δὲ φ(ησὶ) η΄ κεφ(άλαιον) θ(έμα) δ΄. ἐὰν ἵππον σοι χρήσω πρὸς τὸ ἀπελθεῖν ἕως τινὸς τόπου, καὶ χωρὶς ἀμελείας σου χεῖρον ἐν τῇ ὁδῷ γένηται, οὐχ ὑπόκεισαι. ἀν(άγνωσμα) καὶ β΄ ο β΄ τ(ίτλος) α΄ κεφ(άλαιον) λγ΄. καὶ ε ξ΄ τ(ίτλος) ιβ΄ κεφ(άλαιον) λη΄ ἐν τῷ φ(...). ὁ τὸ χρησθὲν αὐτῷ ὑποζύγιον μακρότερον ἐπαγαγών, ἢ ἐφ᾽ ἑτέρῳ πράγματι ἄκοντος τοῦ δεσπότου χρησάμενος κλοπὴν ποιεῖ:

Περὶ κλεπτοτελωνήματος. ἀν(άγνωσμα) β νς΄ τ(ίτλος) α΄ κεφ(άλαιον) ιβ΄ καὶ ιδ΄ καὶ ις΄ καὶ ιζ΄ θ(έμα) γ΄ ἐν τῷ φ(...): ιγ΄

Ἐάν τις κατὰ πλάνην καὶ οὐ κατὰ πάθην εἰς κλεπτοτελώνημα ἐμπέσῃ, διπλοῦν δίδωσι τὸ τέλος, καὶ οὐ φανεροῦνται αὐτοῦ τὰ φορτία. καὶ κεφ(άλαιον) ιη΄. ἀν(άγνωσμα) καὶ τ(ίτλος) δ΄ κεφ(άλαιον) δ΄ ἐν τῷ φ(...). ὁ βουληθεὶς ἀποκρύψαι τι τῶν ἰδίων φορτίων, διὰ τὸ μὴ δοῦναι τὸ τέλος, καὶ φωραθεὶς ἀπόλλυσι τὸ φορτίον. ὁμοίως δὲ κἂν οἰκέτης ἦν οὗ ἀπέκρυψεν, ἐμπίπτει τῆς αὐτοῦ δεσπότου. εἰ δὲ ἀποκρύψας τὸν οἰκέτην ἐλευθερώσει αὐτόν, ἐπειδὴ ἅπαξ ἁρμόζει τὴν ἐλευθερίαν, οὐκέτι δύναται αὐτὸν ὁ δημόσιος ἀφαιρεῖσθαι. ἐ

ξ

κεφ. ϛ΄ ἐν τῷ ϛ΄ βιβλίῳ. περὶ ληστείας παρακολουθούσης· οὐκέτι ζητεῖται ὁ δημόσιος τῆς κλοπῆς ἐγκαλῶν ἢ τὸ ἴδιον ὅπως ἡ τοῦ κοιμηθέντος. ἀλλ' οὐδὲ περὶ τῆς ληστείας ἐν ᾧ μὴ φαίνεται τὸ πρᾶγμα μηδὲ κεκλεμμένον κρύπτεται· ἀλλὰ ἀπὸ τελευτῆς τυχών. καὶ κεφ. ε΄ ἐν τῷ αὐτῷ βιβλίῳ. εἰ δὲ εἷς τῶν κληρονόμων τὸ κοινὸν κλεπτόμενον ὡς ἴδιον πρᾶγμα, τὰ μέρη τῶν λοιπῶν οὐκ ἀφαιροῦνται :—

ιδ΄ — ἐν τῷ κ΄ τίτλῳ τοῦ ιη΄ βιβλίου περὶ ἀποκλήρωσιν φορ. ἀλλ' ἐν τῷ κ΄ τίτλῳ κεφ. τὸ ε΄ ἐν τῷ αὐτῷ βιβλίῳ. τοῦ μὴ ἐξεῖναι τοῖς γονεῦσιν ἀποκλήρους ποιεῖν τοὺς παῖδας· εἰ μὴ ἀχαριστοῦσι ἀποδειχθεῖεν. μήτε τοῖς παισὶ τοὺς ἰδίους γονεῖς. ἐν τῷ ριζ΄ κεφάλαιον α΄ :—

## Περὶ κληρονομίας καὶ ἐνστάσεως ἀνιόντων καὶ κατιόντων, καὶ κουφευομένων· καὶ περὶ ἀποκλήρων ἢ ἀμνημονεύτων ἐάσαντων ἢ τελευτῶν ἀχαριστῶν ἢ ἄλλως πως· καὶ περὶ τῶν τῆς ἀχαριστίας αἰτιῶν καὶ περὶ ζωῆς φορᾶς. ἀλλ' β΄ λετ΄ η΄. ἐν τούτῳ ἐν τῷ α΄ κεφ. βιβλ. :—

Ὀνομαστὶ ἀποκλήρους ποιεῖν ἐστι, τὸ εἰπεῖν τὸ ὄνομα ἢ τοῦ χρηματίσαντος (ἢ δοκοῦντος ὅμοια) ἢ τὸ ἐπώνυμον. ἐν τῷ ‹λ΄› κεφ. τοὺς ὑπεξουσίους δεῖ γράφειν κληρονόμους ἢ ἀποκλήρους. οἱ δὲ ἀμνημόνευτοι γινόμενοι, ἀνατρέπουσι τὴν διαθήκην εἰ μὴ ἐν αἰχμαλωσίᾳ εἰσίν. ἐν τῷ ‹λη΄› κεφ. θεσπίζομεν μὴ ἐξεῖναι παντελῶς πατρὶ ἢ μητρί, ἢ πάππῳ ἢ μάμμῃ, ἢ προπάππῳ ἢ προμάμμῃ τὸν ἴδιον υἱὸν ἢ θυγατέρα ἢ τοὺς λοιποὺς παῖδας ἀμνημονεύτους καταλιμπάνειν ἢ ἀποκληρονόμους ἐν τῇ ἰδίᾳ ποιεῖν διαθήκῃ, εἰ μὴ ὀνομαστὶ τὰς τῆς ἀχαριστίας αἰτίας ἐγγράψοιεν. ἐν τῷ ‹λθ΄› κεφ. διαλαμβάνει τὸ μὴ ἐξεῖναι μήτε τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀμνημονεύτους καταλιμπάνειν. ἢ καθ' οἱονδήποτε τρόπον τῶν ἰδίων πραγμάτων ἐν οἷς ἐξουσίαν ἔχουσι διατίθεσθαι. τούτους παντελῶς ἀλλοτρίους ποιεῖσθαι. εἰ μὴ τὰς αἰτίας τῆς ἀχαριστίας τοῖς ἰδίοις ἐγγράψοιεν καὶ αὐτοὶ διαθήκαις. ἃς τινας αἰτίας ὀνομαστὶ ἐν τῷ περὶ ἀχαριστίας τίτλῳ προειρήκαμεν. ἀλλ' καὶ τῷ ‹θ΄› ἐν τῷ διαλαμβάνεται περὶ ἐνστάσεως καὶ ὑποκαταστάσεως. ἐν τούτῳ ἐν τῷ α΄ κεφ. βιβλ. ἔνστασίς ἐστι· πρὸς τὸ τῆς κληρονομίας κύριος εἶναι. ἐν τῷ ‹β΄› κεφ. οἱ κληρονόμοι δίκαιοι εἰσὶ διάδοχοι. καὶ ἐὰν μὴ δέξηται αὐτοὺς ὁ διαθέμενος, ἐξ ἴσου καλοῦνται. ἐν τῷ ‹ιγ΄› κεφ. ἐνιστάμενος πρὸς τὸν καὶ τοὺς ἀδελφοπαῖδάς μου· εἰ μὲν εἶπον ἐξ ἴσων μερῶν, πάντες ἐξ ἴσου κληρονομοῦσιν. εἰ δὲ μὴ εἶπον. πρὸς τὸ ἥμισυ λαμβάνει καὶ οἱ ἀδελφόπαιδες τὸ ἥμισυ. ἡ τέσσαρες τὴν κληρονομίαν, εἰς ιβ΄ διαιρεῖσθαι. καλοῦνται λίτρα. δύναται δὲ ὁ διαθέμενος, καὶ εἰς πλείους καὶ εἰς ἥττους αὐτὴν διελεῖν. ἐν τῷ ‹λϛ΄› κεφ. ἡ δεσποινα τοῦ ἐπὶ μοιχείᾳ αὐτῆς κατηγορουμένου δούλου, ἀπρακτεῖ πρὸς τὸ ἐλεύθερον γράφειν ἐλεύθερον ἢ κληρονόμον. ἐν τῷ ‹με΄› κεφ. ‹δ΄›. ὁ ὁποιονδήποτε βαθμοῦ γραφεὶς ἐνστατὸς ἢ ὑποκατάστατος, ἐὰν μὴ κληρονομήσῃ τὸ μέρος αὐτοῦ πᾶσι προς τὸν κληρονομίαν μέρη προσαύξει. εἰ μὴ τινι ἦν ζωννύμενος. τότε γὰρ ζωννυμ…

τινές φασιν ὀνομαστὶ κύριον. χρηματίσαντος τὸ πατρῴου. ἐπώνυμον τὸ ἐκ συμβεβηκότος. οἷον εἰπεῖν, ὁ γραμματικός. ὁ ἐπίτης. ὁ χωλός :—

τί ἐστιν ἔνστασις.

περὶ δούλου κατηγορουμένου ἐπὶ μοιχείᾳ τῆς δεσποίνης :—

κ'

μέρει προσαύξει. ἐν τῷ δὲ ϛ' τοῦ νϛ' κεφ. αἱ χάριν ἀμειβόμεναι ἐνστάσεις, οὐκ ἔρρωνται. οἷον
Πέτρος ἐξ ὅλου μέρους γραφέσθω μοι κληρονόμος. ἔστω μου κληρονόμος. οὐ δὲ αἱ εἰς τὸν
παρελθόντα χρόνον γινόμεναι ἐνστάσεις. οἷον ἐξ ὅλου μέρους ἔγραψέ με Πέτρος κλη
ρονόμον, ἐκ τούτου ἔστω μου Παῦλος κληρονόμος. οὐ μόνον δὲ εἰς τὸ πρόσωπον
τοῦ διατιθεμένου, ἀλλὰ καὶ εἰς ἕτερον γίνεται ἡ χάριν ἀμειβομένη ἔνστασις. οἷον ἐ
ὰν Πέτρος γράψῃ Παῦλον κληρονόμον, ἔστω μου κληρονόμος. ἐν τῷ δὲ ᾱ τοῦ ξϛ' κεφ.
Εἰ καὶ ἐν κωδικέλλοις κληρονομία οὐ δίδοται. ὅμως ἐν αὐτοῖς δυνατὸν τὸ ὄ
νομα τοῦ κληρονόμου σαφηνίζειν. ὅταν ἐν διαθήκῃ εἴπω κληρονόμος ἔστω ὃν
ἂν ἐν τοῖς κωδικέλλοις ποιήσω κληρονόμον. καὶ ὁ βιοῦ τὸν τρόπον ταῖς ἐν τῇ δι
αθήκῃ διανεμηθείσαις ιβ' οὐγκίαις λαμβάνει. ἂν καὶ τὸ ἓν οὐδενὸς ἐν τῇ διαθήκῃ ἐκ
φθῇ. οἱ κληρονόμοι ἢ ἔνσταλοι ἢ ὑποκατάστατοι λέγονται. ἡ δὲ ὑποκατάστασις ἢ ἁ περὶ ὑποκαταστάσεως.
πλῆ ἐστιν. ὡς τὸ εἰπεῖν ἐὰν μὴ κληρονομήσῃ Πέτρος, ἔστω Παῦλος κληρονόμος.
ἢ διπλῆ. οἷον θέλε κληρονομήσας θέλε κληρονομήσας, ἄνηβος ἀποθάνῃ. ἐν τῷ δὲ
ᾱ τοῦ ε' κεφ. τοῖς ὑπεξουσίοις παισὶν ὑποκαθιστῶμεν, ἄρρεσι μὲν ἕως ιδ' ἐτῶν. θη
λείαις δὲ ἕως ιβ'. καὶ ἐκγόνοις καὶ κυοφορουμένοις ὑποκαθιστῶμεν. ὅτε μὴ
ὑπὸ τῶν ἰδίων γονέων προλαμβάνονται. καὶ μέλλουσιν εἰς τὴν ἐξουσίαν αὐτῶν
μεταπίπτειν. ἐν γὰρ τούτῳ ἔστι, δεῖ αὐτοὺς γράφεσθαι κληρονόμους, ἢ ἀποκλη
ρους γίνεσθαι. ἐπεὶ ἐπαναβαίνοντες εἰς τὸ πρόσωπον τῶν γονέων, ῥήσσουσι τὴν θ'
∴ αὐτεξουσιότητα, καὶ συναφανίζεται ἡ ὀρφανική. καὶ ἐξωτικῷ ἀνήβῳ δύναμαι ∴ αὐτεξουσιότητα,
ὀρφανικῶς ὑποκαταστῆσαι, ἐὰν γὰρ θελήσωμεν αὐτοῦ. ἐν τῷ δὲ ᾱ τοῦ λα' κεφ. πολλοὺς
βαθμοὺς ὑποκαταστάσεων, δυνατὸν ποιεῖν καὶ ὕστερον διὰ λόγου ἀναγκαῖον. καὶ αὐ
τοὺς ἀλλήλοις. καὶ ἑκάστῳ ἕνα καὶ πολλοὺς ἑνὶ καὶ ἕνα πολλοῖς. ἐν τῷ δὲ ᾱ τοῦ λζ'
κεφ. ἔχων τις δύο ἐκγόνους, τὸν ἕνα ὑπεξούσιον καὶ τὸν ἄλλον αὐτεξούσιον, ὁ
βουλόμενος αὐτοὺς ἐξ ἴσου ποιῆσαι κληρονόμους καὶ ἀλλήλοις ὀρφανικῶς ὑ
ποκαταστῆσαι. ἐπειδὴ τοῦ ἑνὸς ὄντος αὐτεξουσίου τοῦτο ποιεῖν οὐκ ἠδύνατο. τὸν
μὲν ὑπεξούσιον, ἔγραψεν ἐξ ὁλοκλήρου. λεγάτον δὲ παρ' αὐτοῦ τῷ ἑτέρῳ γινομέ
νῳ ἐφήβῳ κατέλιπε τοῦ ἡμίσεως μέρους. καὶ ὑποκατέστησεν ὀρφανικῶς τῷ
ὑπεξουσίῳ τὸν ἕτερον. δυνατὸν ἕτερον μὲν ἰδιωτικῶς, ἕτερον δὲ ὀρφανικῶς ὑ
ποκαθιστᾶν. ἐν τῷ δὲ ᾱ τοῦ λθ' κεφ. οἱ ἀλλήλοις ὑποκαθιστάμενοι, πρὸς ἀναλογίαν
τῶν ἰδίων μερῶν λαμβάνουσι τὰ τῶν ἀπογινομένων μέρη. ἐὰν ἀξιώσῃ τινὰ
ἀνήβου ὁ πατὴρ ἀποκαταστῆσαι τινὶ τὴν κληρονομίαν ἀνήβου τελευτήσαντα, ἀναγκά
ζεται ὁ ἐξ ἀδιαθέτου κληρονόμος τοῦ ἀνήβου παρακαταθῆναι τὸ φιδεϊκόμισσον.

ἀποκαταστῆσαι τὸ φιδεικόμισσον. τὸ αὐτὸ γάρ ἐστι καὶ ἐπὶ ἐφήβου. ταῦτα ἐρρῶται ἡ
τοῦ πατρὸς διαθήκη. εἰ γὰρ ἀνίσχυρος. οὔτε ὡς κωδίκελλος κρατεῖ. εἰ μὴ ῥητῶς ὁ διαθέ-
μενος εἴπῃ. ἐπὶ δὲ τῆς φιδεικομισσαρίας ἀποκαταστάσεως, μόνα τὰ τοῦ πατρὸς· οὐ
μὴν καὶ τὰ τοῦ παιδὸς ἀποκαθίστανται. ἐὰν τινὰς συνημμένως εἰς μέρος γράψω,
καὶ εἰς τὸ ἄλλο ἑτέρους συνημμένως· καὶ εἴπω τοῖς κληρονόμοις μου ἀλλήλοις
ὑποκαθιστῶ, τὸ τοῦ ἀποθνήσκοντος μέρους, οἱ δύο συνημμένοι λαμβάνουσι.
τούτων δὲ μὴ διϊσταμένων, οἱ ἄλλοι καλοῦνται. ἐν δὲ τῷ δ΄ κεφ. θ΄ ιγ΄. ἐὰν
τὴν γαμετήν μου γράψας κληρονόμον ὑποκαταστήσω αὐτῇ τοὺς ἐμοὺς ὑπεξου-
σίους. ἀκυρουμένης τῆς ἐνστάσεως, αὐτοὶ ὡς ἐκ διαθήκης ἔρχονται κληρονό-
μοι. οὐ γὰρ πάντα, ἀλλὰ μόνος ὁ βαθμὸς ἐν ᾧ ἀπεναντιοῦνται γεγόνασιν ἀκυ-
ροῦνται. οἱ κληρονόμοι ὑποκαθιστάμενοι ἐφ᾽ αὐτῷ πρὸς τὰ τῆς ἐνστάσεως
μέρη καλοῦνται εἰς τὴν ὑποκατάστασιν. ἐν δὲ τῷ μγ΄ κεφ. ἐὰν ἔχων παῖδα νό-
μιμον καὶ φυσικοὺς ἑτέρους, κληρονόμους αὐτοὺς γράψω καὶ ὑποκαταστήσω ἀλλή-
λοις, ἰδιωτικὴ ἐστίν. οὐ γὰρ δυνάμεθα φυσικοὺς ὀρφανικῶς ἀποκαθιστᾶν.
ἐὰν ἀλλήλοις οἱ κληρονόμοι ὑποκατασταθῶσι καὶ ἀποθανόντων τινῶν ἕτερος πα-
ραιτήσηται τὸ μέρος αὐτοῦ. μόνοι οἱ περιόντες λαμβάνουσιν αὐτό. αὐτὰ καὶ τὰ
ἐν ᾧ διαλαμβάνεται περὶ φιδεικομισσαρίων ἀγώγων ἀποκαταστάσεως. οὐδε-
νὸς ἐν τῷ η΄ κεφ. τοῦ κληρονόμου διαλαβουμένου προσῆλθεν. ἐὰν ὁ φιδεικομισ-
σάριος λέγῃ κινδύνῳ τοῦ κληρονόμου. ἀναγκάζεται καὶ οὐ παραιτεῖ-
ται. ὅτε ὕποπτος ἐστὶν ἡ κληρονομία, εἴτε ἐστίν. καὶ οὐ περιεργαζόμεθα διὰ
ποίαν αἰτίαν φοβεῖται προσῆλθεν ὁ κληρονόμος. ἐν δὲ τῷ θ΄ κεφ. καὶ ὁ ἐν μέσῃ οὐ-
σία ἢ αὐθεντείᾳ γραφόμενος κληρονόμος, παρὰ κινητοῦ ἢ πόρνης καὶ ἀξιούμενος
ἀποκαθιστᾶν, ἀναγκάζεται. ἐν δὲ τῷ ια΄ κεφ. ἐν τῇ ἀποκαταστάσει τῆς κληρονομίας, οἱ καρ-
ποὶ οὐ φέρονται εἰ μὴ ὑπερθέσεις γεγόνασιν ἢ ῥητῶς αὐτοὺς ἐπέτρεψεν ἀποκαταστῆσαι. λογί-
ζεται δὲ εἰς φαλκίδιον. ὁ γὰρ ἀξιῶν ἀποκαταστῆναι κληρονομίαν, ἐκεῖνο δοκεῖ λέγειν. ὅ-
περ ὑπάρχει τῆς κληρονομίας. οἱ δὲ καρποὶ οὐ τῇ κληρονομίᾳ, ἀλλὰ τοῖς πράγμασι
λογίζονται. ἐν δὲ μετὰ τὸ τελευτῆσαι ὁ κληρονόμος ἀξιωθῇ τὸ μέρος τῆς κληρονομίας
ἀποκαταστῆσαι. τὸ μετὰ τοῦ καθόλου ἐχρῆν ἔχειν ἐκ τοῦ ζῶντι κληρονόμου παρακρατεῖ. ὅθεν
δὲ καὶ τὴν οἰκίαν ἣν ἔστησεν παρακατέχειν, ἀποκαθίστησιν. ἐν δὲ τῷ λβ΄ κεφ. ἐν τῇ ἀποκατα-
στάσει τῆς κληρονομίας καὶ οἱ τόκοι καὶ τὰ ἐνοίκια ὡς καρποὶ καταφέρονται. ἐξουδετε-
ροῦσι δὲ τῶν λοιπῶν χρεῶν δὲ ὑποφέρουσιν ἢ καὶ ἐνοικοῦσιν ἢ μόνα κεχρεωστημένων.
καὶ οὓς ἐχρῆν ἔχειν ὁ κληρονόμος μὴ ποιήσας περὶ τὴν ἀποκατάστασιν ὑπέρθεσιν, οὐκ

κ´.

ἀπαιτεῖσθαι. ἐν δὲ τῷ οἷα νομίζει ἡ κληρονομία ἐπιστρέφει· ὅτι ἣν ἀποκαταστάσαι ἀξιωθεὶς
ἀποκαταστῆναι, ὀφείλει ἀπαιτεῖσθαι. Κατὰ ταῦτα καὶ περὶ ὧν ὁ διατιθέμενος ἐπαρράσιε τὸ
κοινὴ ἀγροὺς ἐγεώργησεν. εἰ γὰρ αὐτὸς ὁ κληρονόμος ἐδαπάνησεν ἢ ἐγεώργησεν, ἐπειδὴ
ἰδίῳ κινδύνῳ δανείζει καὶ δαπανᾷ περὶ τὴν γεωργίαν· οὐδὲν τούτων ἀποκαθίστησι
τῷ φιδεικομμισσαρίῳ μὴ ποιήσας ἐπερώτησιν. Ἐν δὲ τῷ φμα´ κεφ. Ἐὰν μέρος κληρονο-
μίας ἀφήσωμαι τῷ αὐτοῖς αἰτοῦσιν οὐκ ἔχω. Ἐν δὲ τῷ φμε´ κεφ. ὅτε κληρονομία μέλ-
λει ἀποκαθίστασθαι καὶ ἀπολιμπάνεται ὁ ἀξιωθεὶς αὐτῆς, αἱ κινδυνεύουσαι τῷ
χρόνῳ φθαρῆναι αἰτίαι παρὰ τοῦ κληρονόμου περικατάρχονται. εἰ δὲ καὶ ὁ υἱὸς δια-
σκέπτεται ἢ ὀφείλει κινηθῆναι. Κατὰ τὸ τῶν πρὸς διαθήκας τὴν ὑπεξουσιότητα, ὁ τετελευ-
μένος ἐνάγεται περὶ τῶν δανείων. Ἐὰν παρὰ ἀξιωθεὶς ἀποκατασταθῆναι διὰ γάμου γινομέ-
νῳ αὐτεξουσίῳ πολλὰ περὶ περιγραφὴν τῆς ἀποκαταστάσεως ποιήσῃ, ἐπειδὴ ἀσφα-
λῶς οὐ δίδοται διὰ τὸ τῷ ὑπεξουσίῳ τοῦ λόγου. ἀναγκάζεται ὁ ὑπεξούσιος ὅτε τὴν
κληρονομίαν ἀποκατασταθῆναι κατὰ μηδὲν ἔχειν ἐπὶ αὐτὴν δίκαιον ἐφόδιον ὁ υἱὸς περίεστι.
Καὶ ἔοικεν ὁ υἱὸς ἐν τούτῳ στρατιώτῃ εἰς τὸ ἐνάγειν τοῖς χρεώσταις καὶ ἐνάγεσθαι· πενό-
μενος δὲ τὰ περὶ ἐκτῶν καρπῶν καὶ προσόδων τῆς κληρονομίας ἀποστρέφει. Ἐν δὲ
τῷ υς´ κεφ. Ἐὰν ἀξιωθῇ χωρὶς τῶν καρπῶν ἀποκατασταθῆναι μετὰ θάνατον κληρονο-
μίαν, οὐ δύναται τοὺς τόκους τῶν κληρονομιαίων θεραπαινῶν λαβεῖν, οὔτε τὰς
γονὰς τῶν θρεμμάτων ὡς ἔχειν ὑποβληθῆναι τῇ αἰτίᾳ, ἐπειδὴ τῶν ὑπὸ ἡμέραν ἀπο-
καταστάσεων· ὅτι τόκους ἢ καρποὺς ἢ μισθοὺς κτημάτων περὶ τῆς ἡμέρας λαβὼν ὁ
κληρονόμος, εἰς φαλκίδιον λογίζεται. Ἐν δὲ τῷ φοα´ κεφ. Ἐν κωδικέλλοις γινομένη
ὀρφανικὴ ὑποκατάστασις. ἣ καὶ ἄκυρος ἐστὶ διὰ τὸ μὴ δύνασθαι κληρονομί-
αν ἐν κωδικέλλοις δίδοσθαι ἢ ἀφαιρεῖσθαι· ὅμως ὡς ἀποκατάστασις ἰσχύει. Εἰ δὲ
δύο ὄντες οἱ ὑποκατάστατοι ἀμοιβαδὸν ἀλλήλοις ὑποκατέστησαν· κρατεῖ καὶ ἐνταῦθα ἀπο-
καταστάσει ἡ ὑποκατάστασις. Καὶ τοῦ ἑνὸς τελευτήσαντος, ὁ ἕτερος ὁλόκληρον ἀπαιτεῖ
τὸ φιδεικόμμισσον. ἀνάγνωθι καὶ τὸ ιβ´ ἐν ᾧ διαλαμβάνεται περὶ αἱρετικῶν ἐνστάσεων. οὐ
τινος ἐν τῷ θ´ κεφ. αἱ περὶ τὰς ἐσχάτας αἱρέσεις συγχωροῦνται, ὡς τὸ μὴ ἀναρρύ-
σασθαι τὸν περὶ ἀπὸ αἰχμαλωσίας· ἢ μὴ θρέψαι περὶ ἢ πάτρωνα. Ἐν δὲ τῷ ιδ´ κεφ.
αἱ παράνομοι καὶ καταγέλαστοι αἱρέσεις περιαιροῦνται τῶν ἐνστάσεων καὶ τῶν λεγάτων. ἐ
χωρὶς αἱρέσεως ταῦτα παρέχονται. Ἐν δὲ τῷ ιε´ κεφ. ἡ παράνομος αἵρεσις ἐπικλασθεῖ
τὰ ὑπεξουσίῳ γάμου, ἄκυροι τὴν διαθήκην ὡς μὴ οὖσα ἐξουσιαστική. τὰ γὰρ βλάπτοντα
τὴν εὐσέβειαν ἢ τὴν ὑπόληψιν ἡμῶν ἢ τὴν αἰδῶ. καὶ ἁπλῶς τὰ περὶ τοὺς ἀγαθοὺς τρό-
πους· οὐδὲ ποιεῖν ὀφείλομεν δύνασθαι ποιεῖν. Ἐν δὲ τῷ κς´ κεφ. τὸ χωρὶς αἱρέσεως ἐν διαθήκῃ

περὶ αἱρέσεων: ζ

γραφέντι κληρονόμῳ, οὐ δύναται ἐν κωδικίλλοις αἵρεσις ἐπιτίθεσθαι διὰ τὸν
κανόνα τὸν λέγοντα· κληρονομία ἐν κωδικίλλοις οὔτε δίδοται οὔτε ἀφαιρεῖται.
ἐν τῷ δ' τοῦ λ' κεφ. ὁ γραφεὶς ὑπὸ αἵρεσιν πρὸ τῆς μερ. κληρονόμος, τὴν ἐὰν δὲ εἰσε-
ξαδέλφῳ ταμιευθῇ, πληροῦται πάντως τὴν αἵρεσιν· οὐ γὰρ αἴτιος ἐστὶν ὁ ταμιεὺς ὁ μὴ
ἀρεσκόμενος ἐμποδίζει. ἀνάγνωθι καὶ τὸ ιε' ἐν ᾧ διαλαμβάνεται περὶ ἐνστάτων ὑποκα-
ταστάτων. οὗτινος ἐν τῷ κ' κεφ. φησί· τὴν τῆς ἀπαιδίας αἵρεσιν, καὶ ὁ ἀπελεύθερος υἱ-
ὸς ἀποκλείει. καὶ αὐτὸς γὰρ υἱὸς νοεῖται ἐὰν δέχηται περὶ αὐτοῦ ἐπὶ ὁ διατιθέμε-
νος. ἐν τῷ δ' ιη' κεφ. ὁ κωλυόμενος κληρονομεῖν, μηδὲ διὰ οἰκέτου κληρονομί-
αν προσποιείσθω. ἐν τῷ δ' κγ' κεφ. ἐάν τις γράψῃ κληρονόμους ἐξ ἀνίσων -
μερῶν, καὶ ἀμοιβαδὸν αὐτοὺς ἀλλήλοις ὑποκαταστήσῃ· μὴ συμφωνήσῃ δὲ τὸ μέ-
ρος τῆς ὑποκαταστάσεως· οὕτω κρατοῦνται εἰς τὴν ὑποκατάστασιν, ὡς ἐκλήθησαν ἐν
τῇ ἐνστάσει. ἐν τῷ δ' κη' κεφ. πολλῶν ἐνσταθέντων κληρονόμων, καὶ ἀλλήλοις ὑπο-
καταστάντων, τὰ τῶν παραιτουμένων μέρη καὶ ἄκουσι προσκυρούσθω τοῖς τὴν
κληρονομίαν καταδεξαμένοις. ἐν τῷ δ' λθ' κεφ. ἡ διάταξις λέγει· ὅτι αὐτῷ δὲ γραφῆ-
ναι κληρονόμος ὁ δοῦλος ἢ καὶ μὴ προστεθῇ αὐτῷ ἡ ἐλευθερία, σιωπηρῶς αὐ-
τὴν ἔχει. οὐ κοινὸν ὡς ἐν ἐλευθερίᾳ γραφεὶς κληρονόμος, ἀνεχώρως ἠλευθερώθη. ἐ-
οὐ προσποιεῖται τὴν κληρονομίαν τῷ λεγαταρίῳ, ἀλλὰ γίνεται ἐλεύθερος καὶ κλη-
ρονόμος. ἔγραψέ τις τὸν δοῦλον ἐν διαθήκῃ δίχα ἐλευθερίας κληρονόμον. ἐν
κωδικίλλοις δὲ κατέλιπεν αὐτῷ τὴν ἐλευθερίαν. λέγει ἡ διάταξις ὅτι ἔδοξε διὰ τῆς ἐνστά-
σεως καὶ τὴν ἐλευθερίαν ἔχειν ἐν διαθήκῃ. καὶ οὐ δεόμεθα αὐτῆς τῆς ἀμφισβητή-
σεως, περὶ τοῦ εἰ γίνεσθαι ἐκ τῶν κωδικίλλων ἐλεύθερος. ἀλλὰ γὰρ ἐκ τῆς διαθήκης
ἠλευθερώθη. εἰ μέντοι λεγάτον ἢ φιδεικόμισσον δίχα ἐλευθερίας καταλειφθῇ. οὐ
δοκεῖ σιωπηρῶς ἐν τῷ λεγάτῳ καὶ ἡ ἐλευθερία δίδοσθαι τῷ οἰκέτῃ. ἀνάγνωθι τὸ
ια' οὗτινος ἐν τῷ α' κεφ. φησί· ὁ δυνάμενος κτᾶσθαι πᾶσαν τὴν κληρονομίαν,
ἐκ μέρους κληρονομεῖν οὐ δύναται. καὶ ἐκ πολλῶν μερῶν ἐν τῇ αὐτῇ διαθήκῃ
γραφείς, οὐ δύναται τινὰ καταδέχεσθαι, τινὰ παραιτεῖσθαι. ἐν τῷ δ' ιε' κεφ. ἐλέγχ-
εσθαι κληρονομίαν ὁ πρὸ τῶν τελευτῆς κληρονόμος. τοῦτο δὲ οὐκ ἐκ τοῦ φανεροῦ, ἀλλ'
ἐκ τοῦ λογισμοῦ τοῦ χρήσαντος κρίνεται. ὁ γὰρ διοικεῖ σέβεται ἢ φυλακτικὸν ποιοῦ-
ντι τῇ κληρονομίᾳ, τυχὸν θάπτων τὸν διαθέμενον ἢ τρέφων τοὺς δούλους ἢ τὰ κτή-
νη. ἢ πιπράσκων τὰ εὔφθαρτα, ἢ μισθῶν ἢ ἀνορθῶν ἴσως ἐπὶ προνοίᾳ ἐὰν τὸ
διασκεπτόμενος ἢ τοῦ ὑποκαταστάτου ἢ τοῦ ἐξ ἀδιαθέτου, οὐ δοκεῖ ἐλέγχεσθαι τὴν
κληρονομίαν. τινὲς γὰρ οὐκ ἀκαίως κληρονόμοι ἐκδιαφθείρονται λέγοντες ὅτι

κ'

τῶν ὡς κληρονόμοι χρείζουσιν· ἀλλὰ δικαίως [illegible] αὐτῶν ἢ εἰς ἴδια. τὸ δὲ
ἕως κληρονόμος ἐξ ἀπείλησε, τουτέστιν ὅπερ εἰς ἐξωτικὸν οὐ διαβαίνει κληρονόμον. οὐ
δοκεῖ ἐγχειρίζειν τὴν κληρονομίαν, τυχὸν γὰρ ἀπείλησεν ὑπάρχουσι πατρῴους ἀπελευθέρους.
ἐπειδὴ καὶ δανεισταῖς ἰδίων ἀπαίτησις ἁρμόζει· καὶ μάλιστα τοῦ μέλλοντος χρόνου. οὔτε
θάπτων ἐν τοῖς κληρονομιαίοις τάφοις, ὑποβάλλεται τοῖς δανεισταῖς. ἐν τῷ δ' ιε' κεφ. ἐγ-
χειρίζει τὴν κληρονομίαν ὁ τῷ κληρονομιαίῳ πράγματι ὡς κληρονομιαίῳ χρώμε-
νος. τὸ δὲ ἐγχειρίζειν τὴν κληρονομίαν τῆς ἐνεργείας, οὐ τοῦ πράξει καθυπεξούσιος ὢν
[illegible] τῆς κληρονομίας. ἐξ αὐτῶν γὰρ αἰτιῶν προσκαιρούμενοι οὐδὲν ἀνύουσιν. ἐνταῦθα αὐτὸν οὔτε
ἐγχειρίζων τὴν κληρονομίαν ἀνύει. ἐν τῷ δ' κθ' κεφ. ὁ κληρονόμος ὁλοκληρούντ-
ως καὶ διάδοχός ἐστι. εἰς αὐτὸν αἱ ἀγωγαὶ μετέρχονται. ἐν τῷ δ' λ' κεφ. δύο ἀναγκαίων ὄν-
των μετὰ τὸ ἀποστῆναι τοῦ ἑνὸς ὁ ἄλλος καταδεχόμενος, οὐ δύναται παραιτεῖσθαι μὴ πᾶ-
σιν ὑποκεῖσθαι τοῖς βάρεσιν. ἐν τῷ δ' ξς' κεφ. ὁ ἐκ πολλῶν μερῶν μόνος γραφεὶς κλη-
ρονόμος, οὐ δύναται ἕνα παραιτεῖσθαι μὴ πᾶσιν ὑποκεῖσθαι τοῖς ἢ καὶ ἐν [illegible] ὑπο-
καταστάτου [illegible]. τὸ αὐτὸ κἂν μόνος ἐγράφη. ἐν τῷ δ' ξζ' κεφ. ψιλὴ τὸ ἐγχειρίζειν τὴν κληρο-
νομίαν κἂν μὴ ἅπτηται κληρονομιαίου πράγματος· ὅθεν ἐὰν ἐνέχυρον ἐν τῇ κληρονο-
μίᾳ ὂν ἢ ἀλλότριον πρᾶγμα ὡς κληρονομιαῖον κατάσχῃ, ἐγχειρίζειν τὴν κληρονομίαν δο-
κεῖ. ἐν τῷ δ' ο' κεφ. ὁ υἱὸς καταβαλὼν χρέος κληρονομιαῖον ἔδοξε κατὰ τὸ αὐτίκα αὐτὸ με-
[illegible] καταδέχεσθαι τὴν τοῦ πατρὸς κληρονομίαν. ἐν τῷ δ' οα' κεφ. ἐὰν ὑπεξουσίῳ καταλειφθῇ
κληρονομία, ὁ πατὴρ [illegible] αὐτοῦ ἐγχειρίσῃ τῇ κληρονομίᾳ, οὕτως ἐστὶν ὡς ἂν
αὐτὸς ὁ υἱὸς [illegible] τοῦ πατρὸς καταδέξατο τὴν κληρονομίαν. ἐν τῷ δ' οθ' κεφ. ὁ μείζων [illegible] πε-
[illegible] ἅπαξ καταδεξάμενος τὴν τοῦ πατρὸς κληρονομίαν. οὐ γὰρ παραιτεῖσθαι δύναται τὴν κλη-
ρονομίαν ἅπαξ καταδεξάμενος. οὐ γὰρ φεύγει τὰς τῶν δανειστῶν ἐναγωγὰς ἐκ τοῦ λέ-
γειν ὅτι ὁ ἀδελφὸς βίαν αὐτῷ ἐποίει. καὶ ἁρμόζει τὸ μέρος αὐτοῦ [illegible] τὴν διαθήκην. ἀλλ'
ἐνάγεται κατὰ τὰ μέρη τῆς κληρονομίας. ἀνάγνωθι καὶ τὸ ιε' θέμα ἐν τῷ α' κεφ. ὁ ἐνστά-
της ὑποκατάστατος, οὐ δύναται παραιτεῖσθαι τὴν ἔνστασιν καὶ κληρονομεῖν ἀπὸ τῆς
ὑποκαταστάσεως. ἐν τῷ δ' κ' κεφ. [illegible] ὑπεξουσίων γεγραμμένων κληρονό-
μων. καὶ [illegible] γεγονότος καὶ [illegible] κατὰ τῆς διαθήκης ἐναντί-
ωσιν. ἐὰν ἐξ ἀδιαθέτου [illegible], πᾶσι διδόασι τὰ λεγάτα. ἐν τῷ δ' κς' κεφ. καὶ ὁ
μὴ γεγραμμένος κληρονόμος ἐὰν συμπαίξας τοῖς γεγραμμένοις μόνος ἐξ ἀδιαθέ-
του νέμηται, δίδωσι τὰ λεγάτα. ἐν τῷ δ' κθ' κεφ. ὁ παραιτησάμενος [illegible]
ἐξ ἀδιαθέτου, τὰς [illegible] δίδωσιν. αὐτοὶ γὰρ γίνονται ἀπελεύθεροι. ἀνάγνωθι
ἐν τῷ [illegible] περὶ κληρονομίας [illegible]. [illegible] ἐν τῷ α' κεφ. [illegible]

S.

ὅτι ἀνήβῳ συνάψει ὁ ἀποθανὼν μετὰ ιϛ´ ἡμέρας ἢ ἥττονας ἢ καὶ πλείονας ἢ κήρυκτα
ἐκπέμπεται ὅτι τοὺς κληρονόμους αὐτῆς τῆς διασκέψεως δίκαιον. αὐτ. καὶ τὸ
ιϛ´ τ. κεφ. ϛ´ ἐν ὑπ. φη. ἐν τῷ διαγνωσθῆναι συνυποδεῖσθαι τὸ χρόνου τῆς διασκέψεως. ὥστε
μήποτε μὴ ἧττον ἔλθῃ τὰς ρ´ ἡμέρας. ἐάσθε δὲ μὴ ἀρκοῦντος τοῦ προσδοθέντος χρόνου δί-
δοται δεύτερος, τοῦτο δὲ ἀπὸ μεγίστης αἰτίας. καὶ κεφ. δ´ ἐν ὑπ. φη. ἐὰν ὀνόματι ἀνήβου
διάσκεψις αἰτῆται, κωλύεται ἡ ἐκποίησις τῶν πραγμάτων. ὁ δὲ κωλυόμενος ἐκποιεῖν,
οὐδὲ κατὰ μέρος κινεῖν δύναται. καὶ κεφ. ζ´ ἐν ὑπ. φη. διασκεπτόμενος ὁ υἱός, ἐκ τῆς κλη-
ρονομίας ἀποτρέφεται. αὐτ. ε´ τοῦ ια´ τ. κεφ. ιγ´ ἐν ὑπ. φη. ὅτε κληρονομία πρός τινα
ἤτε ἐκ διαθήκης ἤτε ἐξ ἀδιαθέτου καλεῖ, εἴτε ἐξ ὁλοκλήρου εἴτε ἐκ μέρους. ὃ
ἐξ ὀρθῆς οὐδ᾽ καταδέξασθαι βούλεται τὴν κληρονομίαν. καὶ ἤτοι διαφανερωσάτω τοῦτο
ποιοῦν καὶ ἑαυτῷ ἐμμείξει ἵνα μηδ᾽ ὕστερον ταύτην ἀποπέμψηται. οὐ δὲ μᾶς χρῆσθαι
ἀπογραφῆς ὅτι πᾶσι τοῖς δανεισταῖς ἐλευθεραίοις κατέχεται ὡς τῆς κληρονομίας
αὐτῷ ἐξ οἰκείας βουλήσεως ἐμπατήσας. αὐτ. καὶ τ. κ´ οὐδενὸς ἐν τῷ α´ κεφ. φη. θεσπίζομεν

περὶ ἀναγκαίας ... αὐτ. ιη´ ρξ´. ·ϛ

τοὺς βουλομένους τὰ οἰκεῖα πράγματα τοῖς παισὶ διδόναι ἢ πάντα ἢ καί τινα αὐτοῦ κατὰ τι-
πὴν ἐξαίρετα. ταῦτα μάλιστα ἐξ ἐνιαυτοῦ ἂν λέγειν ἐν τῇ διαθήκῃ. καὶ ἀναμφισ-
βήτως διδόναι τοῖς παισὶ τὴν ἐλευθερίαν ἀφῆκαν. εἰ δὲ τοῦτο οὐ πράττοι, διαλύνας
ἀναγκαῖαι αἱ πολλαὶ περιστάσεις αὐτοῖς ἀλλ᾽ ἐξ ἐπινεμήσεως ποιήσασθαι τῶν πραγμά-
των. ἀλλ᾽ ἂν διανεμηθῆναι βουληθῇ, καὶ ὑποσημήνασθαι πάντας ἢ αὐτὸν ἢ τοὺς
παῖδας ἅπαντας ὑπογράψαι προσομολογεῖν ὧν μεταξὺ τὰ πράγματα διαιρεῖ. κἂν
λείπῃ τῶν πραγμάτων δοῦναι πίστιν ἀναμφισβήτητον. καὶ τὸ ὑπ᾽ αὐτοῦ γινόμενον σχῆ-
μα κύριον ἔστω καὶ ἰσχυρόν, καὶ ἑτέρας οὐ δεόμενον ἀσφαλείας. αὐτ. ε´ μετὰ τ.
δ´ ἐν ὑπ. ἐπεὶ φημισμοῦ διαλαμβάνεται. ἐν δὲ τῷ α´ καὶ ε´ τοῦ αὐτοῦ κεφ. φη. ὁ
μὴ βουλόμενος ὑποστῆναι ἢ παραιτήσασθαι τὴν κληρονομίαν. ἐντὸς ἐνιαυτοῦ ὀφεί-
λει τοῦτο ποιεῖν καὶ πληροῦν ἐκ παντὸς τρόπου τὴν γνώμην τοῦ τελευτήσαντος. εἰ δὲ
τῆς ἐκκλήσεως διαγνωστικῆς ὑπομνήσεως ἐνιαυτοῦ ὅλου ἥκοντος μὴ πράττων τοῦτο, ὁ προ-
περιελάχθη. ἀμελεῖς ἐκείνων ἂν ὧν ἀναγκαστικῶς ἐκ τοῦ νόμου λαμβανόντων, ὡς
πλείονα δὲ ἢ καθόσον ὁ νόμος αὐτῷ δίδωσι γέγραπται κληρονόμος τὸ ὑπ᾽ αὐτοῦ
λαμβάνειν ὁπόσον ὁ νόμος αὐτῷ δίδοσθαι, κατὰ τὴν τάξιν τῶν ἐξ ἀδιαθέτου μοίρας
συγχωρεῖ. τὸ δὲ ἄλλο σύμπαν ἀφαιρεῖσθαι. εἰ δὲ μὴ ἂν ἰσότητα πρόσωπον, καὶ τὸ πρὸς
τελευτήσαντος τοῦ ῥηθέντος οὐ πληρωθέντος χρόνου. οὐδὲ θεσμῷ λήψεται τῶν κατα-
λειφθέντων αὐτῷ. ἀρχὴν δὲ τοῦ ἐνιαυτοῦ φη. δίδοσθαι τὴν ἐκδικαστικῆς ὑπομνήσεως
ψήφου. ἀνήβοις δὲ καὶ ἥττοσιν, οὐδὲν ὁ προρρηθεὶς προκείμενος νόμος. αὐτ. ε´ τ. ζ´

κʹ

ὄντος ἐν τῷ α΄ κεφ. τοῦ τίτ. τῆς διαθήκης ἐναντιώσεως αἰτουμένης, οἱ αὐτεξούσιοι- μόνοις τοῖς ὑπεξουσίοις συντελοῦσι. καὶ διὰ τοῦτο ἐὰν ἀποθάνῃ καταλιπὼν οὐσίαν τετρακοσίων νο. καὶ δύο παῖδας ὑπεξουσίους καὶ δύο αὐτεξουσίους διηνεκῶς κληρονομεῖ ἕκαστος τῶν παίδων, ρ΄ λαμβάνει. ὁ δὲ τῶν αὐτεξουσίων ἕκαστος ἐκ τῆς τρία μέρη ποιεῖ. καὶ τὸ μὲν τρίτον, αὐτὸς λαμβάνει. τὸ δὲ δίμοιρον, οἱ ὑπεξούσιοι. Ἐν δὲ τῷ ε΄ κεφ. ὁ αὐτεξούσιος καὶ αἰτήσει τὴν κατὰ τῆς διαθήκης τοῦ πατρὸς ἐναντίωσιν. οὐ συντελεῖ τὴν προῖκα ἣν ὑπὲρ τῆς οἰκείας ἐπιδέδωκε θυγατρός· αὐτῆς γὰρ ἐστιν ἡ οὐσία καὶ οὐ τοῦ ἐπιδεδωκότος. ἐν δὲ τῷ ιε΄ κεφ. τοῦ τίτ. ἐὰν ὑπῇ ἔκγονος καὶ ἐκγόνη ἐκ τοῦ αὐτοῦ πατρὸς ἐκ θέτου, ἡ ἐκγόνη τὴν προῖκα μόνῳ τῷ ἀδελφῷ αὐτῆς συντελεῖ. ἐὰν δὲ ᾖ αὐτεξουσία, καὶ τὰ λοιπὰ αὐτῆς πράγματα συντελεῖ αὐτῷ. εἰ δὲ καὶ ἔσχεν ἀδελφὸν ἐκ θέτου καὶ τοῖς ἐξ ἑτέρου θείου ἀνεψιοῖς συντελεῖ. αἱ δὲ ἀπὸ διαφόρων πατέρων ἔκγονοι, καὶ ἀλλήλοις καὶ τῷ θείῳ συντελοῦσιν. αἱ δὲ ἀπὸ τοῦ πατρὸς, μόναις ἀλλήλαις προικὸς συντελουμένης, ὑπεξαιροῦνται τὰ περὶ αὐτὴν γινόμενα ἀναγκαῖα δαπανήματα, οὐ μὴν τὰ λοιπά. Ἐν δὲ τῷ ιζ΄ κεφ. τὸν αὐτεξούσιον υἱόν μου ἔγραψα κληρονόμον. ἀπόκληρον ποιήσας τὴν θυγατέρα μου, ἡ κινήσασα τὴν περὶ διαθήκης μέμψιν. τὸ ἥμισυ τῆς κληρονομίας ἔλαβεν, οὐ συντελεῖ αὐτῇ ὁ υἱός. καὶ αἱ δοθεῖσαι γὰρ ἐν τῇ τοιαύτῃ διαθήκῃ ἐλευθερίαι ἔρρωνται. Ἐν δὲ τῷ ιθ΄ κεφ. ἐὰν ἔχων δύο παῖδας, τὸν ἕνα ἐξ αὐτῶν αὐτεξούσιον ποιήσῃ, τὸν δὲ ἕτερον μένειν ἔχων ὑπεξούσιον. καὶ τελευτήσῃ κληρονομῶν ὁ αὐτεξούσιος ἐκ τῆς παρὰ τοῦ πραίτωρος διδομένης τοῖς ὑπεξουσίοις καὶ αὐτεξουσίοις διακατοχῆς. ἀναγκάζεται ὅσα ἐκτήσατο μετὰ τὴν αὐτεξουσιότητα οὐκ ἔμελλε δὲ ἔχειν εἰ ἔμεινεν ὑπεξούσιος. ἀλλὰ πατρὸς προσεῖναι τουτέστι τὰ ἐκ τοῦ πατρὸς δωρηθέντα καὶ τὴν χρῆσιν τῶν καρπῶν συνεισενεγκεῖν τῷ ἀδελφῷ τῷ ἰδίῳ. εἰ δὲ καὶ ἀμνημονευθεὶς γένηται καὶ ἔλθῃ ὡς ἀπὸ τῆς κατὰ διαθήκης ἐναντιώσεως διακατοχῆς. πάλιν ἀναγκάζεται συνεισενεγκεῖν. ἐὰν δὲ γραφῇ κληρονόμος καὶ ὡς κληρονόμος καταλάβῃ μέρος τῆς οὐσίας, καὶ οὕτως ἀναγκάζεται τὰ ἴδια αὐτοῦ δὴ συνεισενεγκεῖν. εἰ μὴ ἄρα ἐν τῇ διαθήκῃ αὐτὸ ἰδικῶς ἐκέλευσεν. ὥστε αὐτὸν μὴ συνεισενεγκεῖν καὶ κληρονομεῖσθαι. Ἐν δὲ τῷ κα΄ κεφ. πατὴρ προικίζων τὴν ἰδίαν θυγατέρα, σύμφωνον ἐνέθηκεν ἐν τῷ προικῴῳ συμβολαίῳ τοιοῦτον. ὥστε αὐτὴν ἀρκεσθῆναι τῇ προικὶ καὶ μηκέτι ζητεῖσθαι ἀπὸ τῶν πατρῴων πραγμάτων, ἀλλ' ἀπελθεῖν τελευτήσαντος αὐτοῦ. λέγει οὖν ἡ διάταξις ὅτι ἀκυρούσθω τὸ τοιοῦτον σύμφωνον, καὶ οὕτω γὰρ κληρονομεῖ τὸν πατέρα ἀδιάθετον. ἀναγκάζεται δὲ τὴν προῖκα τὴν ὑπὲρ αὐτῆς δοθεῖσαν συνεισενεγκεῖν τοῖς ἀδελφοῖς αὐτῆς τοῖς μέχρι τοῦ πατρὸς ὑπεξουσίοις. ἐν

περὶ συνεισφορᾶς.

περὶ τῆς κατὰ τῆς διαθήκης μέμψεως:

ἡ περὶ ἐναντιώσεως κινεῖται κατὰ τῆς διαθήκης:

τὸ ὦ κζ' κε'. οἱ αὐτεξούσιοι παῖδες ἐκεῖνα συνεισφέρουσι τοῖς ἀδελφοῖς τοῖς ἰδίοις,
ὅσα εἶχον ἐν καιρῷ τῆς τελευτῆς τοῦ ἰδίου πατρός. τὰ δὲ μετὰ ταῦτα ἐπικτηθέντα, οὐ συνεισ-
φέρουσιν. ἀποχαιρετίζει δὲ καὶ ἐκ τούτων τῶν πραγμάτων τῶν ὄντων ἐν καιρῷ τῆς
τελευτῆς τοῦ πατρός, ὅσα ἐξεδαπάνησαν. τὴν γὰρ καθαρὰν οὐσίαν ἑαυτῶν, συνεισφέρουσιν. ἐν
τῷ φ' λς' κε'. ὁ νόμιμος τῆς διατάξεως, τοιοῦτός ἐστιν. ἵνα μηδὲν τῶν ἀπροσποιή-
των συνεισενεχθῇ. ἀλλ' ὥσπερ ποτὲ τὸ ἰδιόκτητον πεκούλιον, μὴ προσποιούμενον
οὐδὲ συνεισφέρεται. τὸν αὐτὸν τρόπον ἐκεῖνο πάντα τὰ ἀπροσποίητα οὐ συνεισφέρου-
σι. σήμερον τοίνυν οὐδὲν ἕτερον συνεισφέρουσι τοῖς ἰδίοις ἀδελφοῖς οἱ παῖδες οἱ αὐ-
τεξούσιοι. εἰ μὴ μόνον τὰ ἀπὸ πραγμάτων γονικῶν ἐπ' αὐτοὺς ἐλθόντα. τοῦτο γὰρ ἔμελλον
καὶ οἱ ὑπεξούσιοι προσποιεῖσθαι. ἐν τῷ φ' λζ' κε'. κἀκεῖνο δὲ καλῶς ἔχειν ᾠήθημεν
ὧδε περιλαβεῖν τῷ νόμῳ. τῶν γὰρ ἐμπεριεχόντων νόμων βουλομένων ἐπὶ τῶν συνεισ-
φορῶν. εἰ ἐκ διαθήκης χωρεῖς τελευτήσωσιν οἱ γονεῖς, τὰς συνεισφορὰς κατὰ τὴν αὐ-
τῶν δύναμιν γίνεσθαι. εἰ δὲ ἐπὶ διαθήκης μηδὲν ὑποθέντες περὶ αὐτῶν. μὴ χώ-
ραν ταῖς συνεισφοραῖς γίνεσθαι. ἀλλὰ καὶ τὰ πράγματα ἔχειν τὰ κατὰ προῖκα τυχὸν ἢ
κατ' ἕτερον τρόπον δεδόμενα, καὶ τῶν κατ' αὐτῆς ἡμερῶν ἀντιλαμβάνεσθαι. ἡμεῖς δὲ
θεσπίζομεν μὴ εἶναι παντελῶς τοιαύτην περίληψιν. ἀλλ' εἴτε ἀδιάθετος τελευτήσοι-
τό τε ἐπὶ διαθήκαις. ἐπειδὴ γὰρ ἀκολουθεῖ μήποτε ἐκλαθόμενος τῶν δεδομένων
ἢ ὑπὸ τῆς ἐν τῷ θανάτῳ ταραχῆς στενοχωρούμενος. οὐκ ἐμνήσθη τοῦ παντελῶς
εἰπεῖν τὰς συνεισφορὰς καὶ τὴν ἐκεῖθεν ἰσότητα. κατὰ τὸ ἤδη διατεταγμένον. εἰ μὴ
ῥητῶς ἐπισκήψειεν αὐτὸς βούλεται μὴ γίνεσθαι συνεισφοράν. ἀλλ' ἔχειν τὸν ἀναγ-
καζόμενον ἐκ τοῦ νόμου συνεισενεγκεῖν, καὶ τὸ ἤδη δεδομένον, καὶ τοῖς ἐκ δι-
αθήκης κεχρῆσθαι δικαίοις. πάντων τῶν ἐμπεριεχόντων περὶ συνεισφορῶν ἡ-
μῖν νομοθετημένων, ἐπὶ τῆς ἑαυτῶν μενόντων ἰσχύος. κἀκεῖνο δὲ νομοθετεῖν δεῖ τὸ
ἀναγκαιότατον ᾐτούμεθα ἐν πολλοῖς καὶ ἀμυθήτοις πράγμασι ζητούμενον. ἐπει-
δὴ δέδωκε γάρ ποτε προῖκα ἀνὴρ τυχὸν ὑπὲρ παιδὸς ἰδίας. ἡ δὲ τοιαύτη ἐπιδέδω-
κε τῷ ἀνδρί. καὶ ἐτελεύτησεν ὁ ἀνὴρ ἄπορος. εἶτα τοῦ πατρὸς ἢ τῆς μητρὸς τελευτη-
σάντων ἀπαιτεῖται καὶ τὰ πράγματα συνεισενεγκεῖν τὴν ἑαυτῆς προῖκα. ἢ περὶ τοῦ τὸ λα-
βεῖν. εἰ ἐξ ὅλου ὁ ἀνὴρ εὐπόρως ἔχοι, τὸ πρᾶγμα πανταχόθεν εὔλυτόν ἐστιν. εἰ δὲ
οὐδενὸς ἑτέρου κυρία καθίσταται ἐκείνη πλὴν ἢ τῶν ἀγωγῶν τῶν κατὰ τοῦ ἀνδρός. αἱ
δὲ ἄποροι καθεστήκασι, καὶ ἀνατρέπουσι τῇ γυναικὶ ὡς ἤδη ἐπιδέδοται προῖκα
ὑπὲρ αὐτῆς ἢ δὲ τὴν ἀγωγὴν συνεισφέροι. μηδὲν ἔχουσα παντελῶς ἀπολήψεσθαι
νόμον. τὸ πρᾶγμα ἡμῖν ἄξιον ἐνομίσθη. καὶ ἴσμεν ἤδη ἐν πολλαῖς κρίσεσιν

κ'

ἀπαιτῆσαι αὐτὸ κελεύει καὶ τὴν γυναῖκα ἀναγκάσαι τὸ συνοικεῖν, ἐπειδὴ τὴν προῖκα ἤ-
τι λογίζεσθαι τὴν ὑπὲρ αὐτῆς δεδομένην ἐξ ἧς οὐδὲν αὐτῇ γέγονε παντελῶς ἀποτέ-
λεσμα, ἐν αὐτοῖς πράγμασιν ἀπολαβεῖν. ἡμεῖς δὲ ἐξ ἑτέρων νόμων βοηθοῦμεν τῷ
πράγματι· ἐπειδὴ γὰρ δεδώκαμεν ταῖς γυναιξὶν αἵρεσιν τοῦ συνεστῶτος τοῦ γάμου
εἰ κακῶς τὰ πράγματα ὁ ἀνὴρ διοικεῖ, καταλαμβάνειν αὐτὰ τοῦ διοικεῖν κατὰ τὸν
πρέποντα λόγον. καὶ καθάπερ ἡ ἡμετέρα λέγει διάταξις· ἕως αὐξάνουσα τὴν ἡλικίαν
ἡλικίαν ἡ γυνὴ καθεστήκοι, ἑαυτῇ μέμψιν ἐπαγέτω τὸ δήποτε ἄρτι τοῦ ἀνδρὸς
ἀρξαμένου κακῶς τὴν περιουσίαν διέρχεσθαι, μὴ καταλαβοῦσα καὶ ἐβοήθησεν ἑαυ-
τῇ· οὕτω γὰρ ἂν ἔμελλεν ἔχειν ἐν τῷ τῆς ζωῆς φορᾶς λόγῳ, τὰ οἰκεῖα πράγματα παν-
ταχόθεν ἀκέραια· καὶ ἐν τῷ πρὸ τοῦ τὴν ζωῆς φορὰν ποιεῖσθαι. εἰ δὲ ὑπεξού-
σια καθεστήκοι, καὶ γνώμῃ τοῦ πρὸς γονέως τοῦ πατρὸς οὐ δύναται. εἰ μὲν προ-
σήκοντα τὰ πράγματα ἀπαιτεῖ καὶ ἐξεκομίσθη εἰς τὸ συναινέσει αὐτῆς τὰ-
πράγματα λαβεῖν τοῦ συνεστῶτος ἔτι τοῦ γάμου καὶ τοῖς δευτέροις αὐτὰ καιροῖς φυ-
λάξαι καὶ τὸ τότε πρᾶξαι τῇ φύσει οὐκ ἐδόκει ἄδικον. μὴ κινδυνεύειν αὐτὴν ἐν
τῇ ζωῆς φέρεσθαι γυμνὴν τὴν ἀγαθὴν τὴν κατὰ τὸ ἀπόρου ἀνδρὸς πραγμάτων
καὶ τὴν ἐπιβάλλουσαν αὐτῇ μοῖραν ἐκ τῶν πατρῴων λαμβάνειν. ἀν[illegible]
ἃ οὐδενὸς ἐν τῷ ις' κεφ. φι'. Ἐάν τις γινώσκων μὴ ἀνήκειν ἑαυτῷ τὴν κληρονομί-
αν πωλήσῃ, οὐ τὰ τιμήματα, ἀλλ' αὐτὰ τὰ πράγματα καὶ τοὺς καρποὺς ἀπαιτεῖται.
ἐπὶ λοιπὸν δὲ ὁ ἐπιζητῶν ἐστὶ κατὰ τοῦ κακοπίστου νομέως ἐστὶ τὸ κινηθῆναι ἀμφοῖς
ἐκτήσατο τὰ πράγματα μετὰ τῶν καρπῶν ἀπαιτεῖται· ἢ τὰς τιμὰς μετὰ τόκων. τὰ αὐ-
τὰ καὶ περὶ τοῦ νομίζοντος ἑαυτὸν ἀγαθοῦ νομέα. καὶ δίκαιον διάδοχον. καὶ τοῦ
νομίζοντος ἑαυτῷ κληρονομίαν ἀποκαλεσθῆναι. Ἐν τῷ δὲ φι' κεφ. Εἰ ἐφθάρη-
σαν ἢ μετεπράθησαν τὰ πράγματα, δίδωσιν ὁ νομεὺς τὰς τιμάς. ὁ δὲ κακόπιστος εἰ
μὲν σώζονται τὰ πράγματα, πρὸς ἃ θέλει αὐτὰ ἀναγκάζεται. μὴ δυνάμενος δὲ λα-
βεῖν αὐτὰ παρὰ τοῦ ἀγοραστοῦ, τῷ ἐκδικίας ὅρκῳ ὑπόκειται. εἰ δὲ ἐφθάρησαν ἢ ἐ-
μετεπράθησαν, τὴν ἀληθῆ τιμὴν δίδωσιν. εἰ γὰρ εἶχε τὸ πρᾶγμα ὁ ἐνάγων ἐπώλει
αὐτὸ καὶ οὐκ ἀπώλλυε τὸ ἀληθὲς τίμημα. Ἐν τῷ δὲ φκ' κεφ. Ἐὰν καὶ τὸ τίμημα
καὶ τὸ πρᾶγμα ἔχει ὁ νομεὺς τυχὸν ἀγοράσας αὐτὸ ἐπὶ τῆς κακοπίστου νομέ-
ως, ἐπιλογὴν ὁ ἐνάγων ἔχει ἢ τὸ τίμημα ἢ τὸ πρᾶγμα ἀπαιτεῖσθαι. ὁ δὲ κακόπι-
στος νομεὺς ἄδικον ἔχει καὶ χεῖρον γινόμενον τὸ πρᾶγμα δοῦναι. καὶ ὅπερ ἐκ
τῆς τιμῆς ἐκέρδανε, κἂν γὰρ ἀλλότριον πωλήσῃ, δίδωσι τὸ τίμημα. Ἐν τῷ δὲ
φκα' κεφ. αἱ γοναὶ τῶν θρεμμάτων, αὔξουσι τὴν κληρονομίαν. ἤγουν αἱ γοναῖς.

Ἐν τῷ δ΄ τοῦ λζ΄ κεφ. Ἐὰν δοῦλοι ἢ θρέμματα μετὰ τὴν προκατάρξιν φθαρῶσιν, ὁ ἐκ κα-
λῇ πίστει νομεὺς, οὐ κατέχεται. ὁ δὲ κακῇ πίστει δίδωσιν ὅσον ἔμελλεν ὁ ἐνάγων ἔχειν.
εἰ τὸ πρᾶγμα ἀποκατέστη αὐτῷ. τυχὸν γὰρ ἐπώλησε. τὸ αὐτὸ καὶ ἐπὶ τῆς ἀγωγῆς
τῆς κινουμένης ἐπὶ τῶν καθέκαστα κινητῶν ἀκινήτων καὶ αὐτοκινήτων. Ἐν τῷ [illegible] να
κεφ. Οἱ κακῇ πίστει νεμηθέντες οὐκ ἀπαιτοῦνται τοὺς [illegible] κληρονομιαίων χρημάτων
προκατάρξεως ὥσπερ οὐδὲ καρποὺς τῶν πραγμάτων, ἐμπλουτῶσι πλουσιώτεροι.
Ἐν τῷ [illegible] τῆς προκατάρξεως χρόνου, καρποὺς τῶν μὴ πραθέντων ἀγρῶν ἀπαιτεῖται.
οὐχ ὅσους ἔλαβεν, ἀλλ᾽ ὅσους ἠδύνατο λαβεῖν. Καὶ τόκους τῶν πραθέντων πραγμάτων
ἀπὸ τοῦ καιροῦ τῆς προκατάρξεως ψηφιζομένους. Ἐν τῷ [illegible] ξ΄ κεφ. Ἡ τῶν κληρο-
νομιαίων ἀπαίτησις, κινεῖται κατὰ τῶν ὡς κληρονόμων ἢ ὡς μὴ ἀγαθῇ διακα-
τοχῇ νεμομένων. οὐκ ἀποκλείεται δὲ αὕτη ἡ τῶν ι΄ ἢ κ΄ ἐνιαυτῶν παραγραφῇ. ἐ-
πειδὴ ἀναμεμιγμένα ἔχουσιν αὕτη καὶ αἱ προσωπικαὶ ἀγωγαί. αἵτινες οὐκ ἀναι-
ροῦνται τῇ τῶν ι΄ ἢ κ΄ ἐνιαυτῶν παραγραφῇ. οἱ δὲ μήτε ὡς κληρονόμοι μήτε ὡς ἅρ-
παγες νεμόμενοι, οὐ κατέχονται τῇ τῶν κληρονομιαίων ἀπαιτήσει. ἀλλὰ τῇ περὶ
τῶν καθέκαστα κινουμένῃ ἀγωγῇ. εἰ μήτε διαπραξάμενοι [illegible] μήτε μακροῦ
χρόνου παραγραφὴν ἐπιλαβόντες. Ἐν τῷ [illegible] ξα΄ κεφ. οὐδεὶς [illegible] ἀπαιτεῖ τινὰ λέ-
γων πόθεν νέμεται. ὁ δὲ τὴν τῶν κληρονομιαίων ἐκδίκησιν κινῶν μόνος. [illegible]
ἀπαιτεῖ τὸν νεμόμενον ὅπου ἢ ὡς νομίζων ἑαυτὸν κληρονόμον, ἢ ὡς ἅρπαξ, ἢ
μήτε ἐξ ἄλλου τίτλου κατέχει τὴν κληρονομίαν. ἀνάγνωθι τὸ β΄ τιτ. τοῦ [illegible] κεφ.
[illegible]. Εἰ μὲν εἰς ὁλόκληρον ἐστὶ κληρονόμος, εἰς ὁλόκληρον κινεῖ κἂν ὁ νομεὺς ἐν
ἑνὶ πράγματι. Εἰ δὲ μερικὸς ἐστὶ κληρονόμος, μερικῶς ἐνάγει, κἂν ὁ νομεὺς πᾶσαν
[illegible] κληρονομίαν. Εἰ δὲ [illegible] νέμονται. καὶ [illegible] λέγουσι μερικῶς κληρονομεῖν. ἐνάγε-
ται αὐτῶν ἕκαστος τῶν νομέων, ἀνὰ μέρος ἐνάγει. Εἰ δὲ καὶ ὁ νομεὺς καὶ ὁ ἐνάγων
νέμονται, καὶ ἕκαστος αὐτῶν λέγει εἰς τὸ ἥμισυ κληρονομεῖν, κινοῦσι κατ᾽ ἀλλήλων.
Εἰ δὲ μὴ φιλονεικοῦσι πρὸς ἀλλήλους περὶ τοῦ κλήρου. τὸ διαιροῦν τὴν φαμιλίαν τοῦ
κλήρου δικαστήριον ἁρμόζει. Ἐὰν δὲ ὁ συγκληρονόμος μου τὸ ἁρμόζον μοι μέρος
νέμηται καὶ τὸ λοιπὸν ἐξωτικὸς καὶ τὰ τοῦ ἐξωτικοῦ [illegible] κινεῖται. ἀνάγνωθι καὶ τὸ
[illegible] ἐν τῷ [illegible] κεφ. πᾶσα κληρονομία δυναμένη ἀπαιτεῖσθαι. διαιρεῖται δὲ
ἀπὸ τοῦ διαιροῦντος τὴν φαμιλίαν τοῦ κλήρου δικαστηρίου. ἁρμόζει δὲ τῷ ὑποθετηθέντι ἀνή-
βῳ ἐπὶ τῷ διδομένῳ [illegible] οὐσίας τοῦ ὑποθετήσαντος. οὔτε γὰρ γίνεται κληρονόμος,
ἢ ἀγαθὸς νομεύς. Ἐν τῷ [illegible] κεφ. ὁ εἰς τὸ πλέον κληρονομῶν, τὰ δικαιώματα τῆς
κληρονομίας κατέχει. Καὶ δίδωσι τοῖς ἄλλοις ὁμολογῶν ὡς [illegible] χρεωστεῖται. [illegible]

Περὶ τῶν κληρονομιαίων διαιρέσεων. [illegible] πρὸς [illegible] τὰ τῆς κληρονομίας [illegible] δικαιώματα: —

κ.

αὐθεντικὰ προκομίζει. Εἰς πάντας ἐκείνου κληρονόμους, καὶ οὐ συμφωνοῦσι ἵνα
δὲ ἔχειν αὐτά, κληρούσθωσαν, ἢ καταξιώσωσιν ἕνα ἢ ψῆφον. Περὶ ἑταίρων ἡ συναφὴ ἀποδέ
χεται. τὸ γὰρ τὸ πρᾶγμα τὸ ἀρχειακὸν σῶον οὐκ ἀποδέχεται. Εἰς τὸ ιζ' κεφ. ὁ ὑ
πεξούσιος κληθεὶς τοῦ πατρὸς γενόμενος ἔνοχος, ὑπεξαιρεῖ τὸ χρέος. Καὶ ἐὰν δανεισά
μενος εἰς πρᾶγμα τοῦ πατρὸς δαπανήσῃ. Εἰ δὲ εἰς τὸ πεκούλιον γένηται ἔνοχος, τὸ πε
κούλιον ὑπεξαιρεῖ καὶ τὴν προῖκα τῆς αὐτοῦ γαμετῆς. εἰς ἃ ἐπιγινώσκουσι τὰ βάρη
τοῦ γάμου, καὶ ἀσφαλίζεται δικαστικῶς τοὺς συγκληρονόμους. δύναται γὰρ ἐνα
γεσθαι τῇ περὶ προικὸς ἐπὶ τῇ ἀναδόσει συμφωνίᾳ. Εἰς τὸ ιδ' κεφ. ἐὰν πλέον τοῦ
μέρους μου λάβω παρὰ τῶν κατεχόντων ἐμοῦ καὶ τοῦ ἀδελφοῦ μου, ἐκ τῶν κοινῶν
προσόδων ἢ τῶν ψηφισθέντων ἡμῖν χορηγεῖσθαι διατροφῶν. οὐ κινεῖ ὡς ὁ ἀδελφός
μου κινεῖ με ὡς πλείω μου λαβόντα. Εἰς τὸ ιε' κεφ. ὁ αὐτεξούσιος υἱὸς οὐ λογίζεται
εἰς τὸ μέρος αὐτοῦ τὸ χορηγηθὲν αὐτῷ παρὰ τοῦ πατρὸς ἐπὶ ξένης ἀναγινώσκοντι. εἰ
δὲ μὴ δηλωθῇ ὅτι ὡς δανείζων ἐχορήγησε καὶ οὐ δίδοσθαι. Εἰς τὸ να' κεφ. ἐν
τῷ διαιροῦντι τὰ κοινὰ καὶ τῷ διαιροῦντι τὸν κλῆρον χώρᾳ ἐὰν δυσχερὴς ἢ ἐδαφοῦ
ἀδύνατος ἐστιν ἡ διαίρεσις τοῦ πράγματος ἑνὶ προσκυροῦται καὶ καταδικάζεται
τῷ ἄλλῳ. Εἰς τὸ νγ' κεφ. ἐκ προκατάρξεως οἱ ἀδελφοὶ δύνανται καθ' ἑαυτοὺς διε
λέσθαι τὴν κληρονομίαν καὶ οὐκ ἀναιρεῖται. ἡ γὰρ αὐτῶν ἐστιν ἀφανής. Εἰς τὸ
νζ' κεφ. ἐὰν ὑπεξουσίῳ ὄντι τῷ παιδὶ καὶ ἀποστελλομένῳ στρατεύεσθαι, γίνεται παρὰ τοῦ
πατρὸς δωρηθῶσι, καὶ ἰδιόκτητον πεκούλιον ἐστί, καὶ οὐ συνεισφέρονται τοῖς ἀδελ
φοῖς. Εἰ δὲ ἀκίνητα ὅπερ ἐδωρήθη, οὐκ ἐστιν ἰδιοκτήτου πεκουλίου. εἰ δὲ ἄλλα
ὅθεν ὁ παῖς κλητεύεται προφάσει τῆς στρατείας, κἂν ἀκίνητα ὦσι συναριθμοῦνται
τῷ ἰδιοκτήτῳ πεκουλίῳ. Εἰς τὸ ξδ' κεφ. τὰ κληρονομιαῖα χρέα οὐ καταφέρονται
εἰς τὸ διαιροῦν τὰ κοινὰ δικαστήριον. διαιρεῖται γὰρ ἀπὸ τοῦ νόμου πρὸς τὰ κληρο
νομιαῖα χρέη. Εἰς τὸ ξε' κεφ. ἐν τῷ διαιροῦντι τὸν κλῆρον δικαστηρίῳ, καταφέ
ρεται καὶ τὰ παγανικὰ πεκούλια τῶν παίδων, ἐκ τῶν τοῦ πατρὸς πραγμάτων. ἐὰν δὲ
εἷς ἐκ τούτων ἐξ ἐξουσίας ὢν τοῦ πατρὸς ἀγνοοῦντος αὐτοῦ καὶ συναινέσαντος καταδι
κασθῇ. ὀφείλει λαβεῖν παρὰ τῶν συγκληρονόμων αὐτοῦ τὸ ἴσον ἐκ τοῦ πεκουλίου. ὁ
συμπραχθεὶς καταδικασθῇ τούτοις· οἷς καὶ αὐτὸς συνήλλαξεν. Εἰς τὸ ξς' κεφ. δύ
ο τινὲς ἀδελφοὶ μεταξὺ ἀλλήλων διαιρούμενοι τὰ πατρῷα πράγματα, οὐκ ἐπε
ρωτῶνται ἀλλήλοις περὶ ἐκδικήσεως τῶν ἑκάστῳ ἐπιλαχόντων πραγμάτων. με
τὰ ταῦτα πράγματος ἐκνικηθέντος, ὀφείλει ὁ ἕτερος κατὰ τὸ ἀνάλογον αὐτῷ μέρος
ποιεῖσθαι τὸ ἀξίωμα τῷ τὴν ἐκδίκησιν ὑπομείναντι. Εἰς τὸ ξζ' κεφ. ἡ κατὰ ζωὴν

περὶ διαιρέσεως κλήρου: ζ

ζ

ζ

νεσιν γινομένη διαίρεσις, ἐὰν καὶ παράδοσις παρακολουθήσῃ· δεσπότην ἑκά-
στου ποιεῖ τῶν ἐπιλαχόντων αὐτῷ πραγμάτων· ἐὰν δὲ μὴ γένηται παράδοσις, ἀ-
νάγκη κινηθῆναι τὸ διαιρούμενον τοῦ κλήρου δικαστήριον, ἵνα ἐκεῖ διαιρεθῇ τὰ ἀ-
πὸ τῆς κληρονομίας ἐπίκοινα πράγματα. ἐν δὲ τῷ ϛ΄ κεφ. ἐὰν ὁ πατὴρ τῶν ἰδίων
πραγμάτων διέλῃ τινὰ μεταξὺ τῶν παίδων, τινὰ δὲ μὴ διελὼν ἐτελεύτησεν ἀ-
διάθετος ἢ καὶ διαθέμενος, ὁ δικαστὴς τὰ ἐξ διαιρεθέντα ὡς ἐμέρισεν ὁ πα-
τήρ, τὰ δὲ ἀδιαίρετα πρὸς ἀναλογίαν τῶν νομίμων μερῶν ὀφείλει διαιρεῖν :—

ιε΄ Περὶ κληρονομίας ὀρφανῶν καὶ ἐν ἄλλῳ περὶ ῥημάτων :— Περὶ παλλακῶν καὶ παίδων αὐτῶν καὶ φυσικῶν παίδων :—

Περὶ κληρονομίας παίδων γνησίων τε καὶ νόθων, καὶ ἐκ νόθων γινομέ-
νων γνησίων. καὶ παλλακῶν γνησίων γινομένων τῇ τῶν προικώων συμβο-
λαίων ποιήσει. ἀπὸ β΄ λβ΄ τί. α΄. ὅντινος ἐν φ΄ β΄ κεφ. φ :—

Θεσπίζομεν εἴ τις γαμετὴν οὐκ ἔχων γνησίαν, πρὸς θεράπαιναν οἰκείαν σχοίη κα-
τά τινα ἐπιεικῆ γνώμην καὶ δὴ καὶ παιδοποιήσειεν ἐξ αὐτῆς ἐν δουλικῇ καθε-
στώσης. ὕστερον δὲ ἐλευθερίᾳ τιμήσει τὴν θεράπαιναν καὶ τὸν γάμον βεβαιώσειεν.
ἐπεὶ καὶ γαμικὰ συμβόλαια συντάξαι. καὶ οἱ γενόμενοι παῖδες μετὰ ταῦτα ἢ
καὶ μὴ γενόμενοι· ἵνα τὰ ἑκατέρας ἡμῶν διατάξεως συλλάβοιμεν θέματα, ἔστω-
σαν γνήσιοι οἱ παῖδες ὑπεξούσιοι. καὶ ἐξ ἀδιαθέτου κληρονόμοι τοῦ τελευ-
τήσαντος. φαμὲν δέ, τοὺς πρὸ τῶν προικώων τεχθέντας. τῶν δούλων δίκην τε-
θνάναι κατὰ τὸ προειρημένον ἀξίωμα. καὶ τοὺς μετὰ ταῦτα τῶν προικώων ποιήσεως,
τῷ γνησίῳ αὐτοὺς χαριζομένων. ἀπὸ καὶ τὸ β΄ ὅντινος ἐν φ΄ α΄ κεφ. φ. ὅτι ὁ παῖ-
δας ἔχων τελείους νομίμους μὴ δύνασθαι αὐτὸν τοῖς φυσικοῖς παισὶ μετὰ τῆς ἐκ-
παλλακῆς πλεῖον μιᾶς οὐγκίας καὶ τῇ μητρὶ αὐτῶν καταλιμπάνειν ἢ δωρεῖσθαι.
εἰ δὲ παλλακὴ μόνη εἴη ταύτῃ τὸ ἡμιούγκιον καταλιμπάνεσθαι ἢ δωρεῖσθαι. εἰ
δὲ παλλακὴ μόνη εἴη ταύτῃ μέντοι παῖδας οὐκ ἔχει γνησίους, ἢ τινὰ τῶν ἀνιόντων
τοῖς ἀνάγκη νόμου καταλιμπάνειν μέρος τῆς οἰκείας περιουσίας πρὸς τοὺς διατε-
θεμένους, ἄδεια ἔστω. καὶ ἐξ τὰς ιβ΄ γο γράφειν τοὺς φυσικοὺς παῖδας κλη-
ρονόμους. εἰ δὲ ἔχοιεν τινὰς τῶν ἀνιόντων τὴν νόμιμον αὐτοῖς καταλιμπανέ-
τωσαν μοῖραν. τὸ δὲ λοιπὸν εἰς τοὺς φυσικοὺς παῖδας παρὰ περιττὸν ἄδειαν ἐ-
χέτωσαν. ἀδιαθέτων δὲ τελευτώντων τοὺς φυσικοὺς παῖδας ἔχοντας· β΄ μόνας
γο ἔχειν τοὺς παῖδας ἅμα τῇ μητρὶ μεριζομένας. ὥστε ἑνὸς παιδὸς μέρος ἐ
τὴν μητέρα λαμβάνειν. ταῦτα δὲ φαμέν, εἰ μιᾷ παλλακῇ συνοικῶν, παῖδας ἐξ αὐ-
τῆς ἔχοι. εἰ γὰρ ἐκκεχυμένα τὰ τῆς ἐπιθυμίας αὐτοῦ γένηται, καὶ ἄλλας ἐπ᾽ ἄλ-
λαις ἐπεισάγει πορνευομένας, πόρρω τοῦ νόμου καλεῖσθαι καὶ νόθους. ἐξ ἀ-

κ΄

διαθέτου, ἐπεὶ οὐδὲν αὐτοῖς ὑπάρχειν. ἀποδέχεσθαι δὲ μόνον περὶ τῶν γνησίων κατὰ τὸ πρέπον καὶ πρὸς τὸ τῆς οὐσίας μέτρον, ἐφ' ὧν δηλονότι οἱ φυσικοὶ παῖδες καλοῦνται. ἐπὶ τούτων καὶ αὐτοὶ δι' ἑτέρου τρόπου τοὺς γονεῖς ἀνατρέφεσθαι:

## Περὶ κληρονομίας ἀνιόντων καὶ κατιόντων καὶ λοιπῶν συγγενῶν τῶν ἐξ ἀδιαθέτου κληρονομεῖν δυναμένων. καὶ τίνες καλοῦνται πρῶτοι. καὶ τίνες δεύτεροι. καὶ καθεξῆς. καὶ τίνες ἐκπίπτουσι τῆς κληρονομίας. καὶ πότε. καὶ περὶ τῆς παρ' αὐτῶν αἰτουμένης διακατοχῆς. καὶ περὶ τῶν ἀξιωθέντων ἀποκατασταθῆναι τινὶ κληρονομίαν ἢ μέρος αὐτῆς ἢ φιδεϊκόμμισσον. ἔτι περὶ γυναικὸς καὶ ἀνδρὸς ἀλλήλους κληρονομούντων. ἀρχὴ βι. μδ΄ τί. α΄ κε.

Ὁ ἀξιούμενος ὑπεξουσίοις ὑπὸ αἵρεσιν ἀποκαταστῆσαι κληρονομίαν, οὔτε βουλομένοις αὐτοῖς δίδωσι πρὸ τῆς προθεσμίας. ἀποκαταστῆναι ἑκὼν γὰρ ἔτι μεταξὺ αὐτεξουσίους αὐτοὺς γενέσθαι, καὶ ἑαυτοῖς κτᾶσθαι, ἢ τινὰς ἀποθανεῖν, καὶ τοῖς λοιποῖς τὸ ὅλον περιγενέσθαι. καὶ κεφ. ρλ΄ καὶ ρκδ΄ καὶ ρκε΄ ἐν τῷ φι. Ἐὰν γυνὴ τοὺς παῖδας τοὺς ἰδίους γράψασα κληρονόμους ἀξιώσῃ τὸν πατέρα αὐτῶν ποιῆσαι αὐτοὺς αὐτεξουσίους, δοκεῖ τοῦτο κελεύειν δὲ γενομένοις αὐτοῖς αὐτεξουσίοις ἀποκαταστῆσαι τὴν κληρονομίαν. καὶ διὰ τοῦτο δὲ εἴποτε αὐτῶν αὐτεξουσίων γινομένων, ὑπόκειται τῇ ἀποκαταστάσει. καὶ κεφ. ρκς΄ καὶ ρλα΄ ἕως ρλδ΄ καὶ ρλε΄ καὶ ρμ΄ ἐν τοῖς φι. Εἴ τις τὸν υἱὸν τὸν ἴδιον κληρονόμον ἐνεστήσατο, καὶ τὸ τῆς ἀποκαταστάσεως βάρος μετὰ τὸν θάνατον ὑπέβαλε, μὴ ἄλλως τοῦτο δοκεῖ διαλυθῆναι. εἰ μὴ δὲ ὁ υἱὸς αὐτοῦ χωρὶς ἀπογονῆς τὴν ζωὴν τὴν ἰδίαν κατέστρεψε. μὴ μόνον δὲ τὸν υἱὸν γράφων κληρονόμον. ἀλλὰ καὶ θυγατέρα ἐξ ἀρχῆς ἢ ἔκγονον ἢ ἐκγόνην ἢ προέκγονον ἢ ἄλλην ἐφεξῆς ἀπόγονον καὶ ταύτην τῷ τῆς ἀποκαταστάσεως μετὰ τὴν τελευτὴν βάρει ὑπέβαλε, μὴ ἄλλως τοῦτο ἔσεσθαι δοκεῖ. εἰ μὴ οὗτοι οἵτινες τῇ ἀποκαταστάσει βαρηθέντες εἰσί, χωρὶς υἱῶν ἢ θυγατέρων ἢ ἐκγόνων ἀρρένων ἢ προεκγόνων τὸν βίον τελευτήσωσιν· ἵνα μὴ δόξῃ ὁ τελευτήσας τὰς ἀλλοτρίας διαδοχὰς τῶν ἰδίων προθεῖναι. καὶ κεφ. ρμα΄ καὶ τ΄ β΄. καὶ κεφ. μα΄ καὶ ξ΄ καὶ ξζ΄ καὶ ξη΄ ἕως ο΄ ἐν τῷ φι. γράψας τὴν θυγατέρα μου κληρονόμον, οὕτως εἶπον. ἀξιῶ σε θύγατερ ἐὰν καὶ [illegible] ἄλλα τέκνα, ὅμως πατρὸς ὡς παιδίου, πλέον τε καταλίπῃς. δοκεῖ πᾶσι τοῖς ἐξ αὐτῆς ἀποκατασταθῆναι τὴν κληρονομίαν ἐξ ἴσου. πλέον δὲ παρέξω ὅτῳ ἂν ἡ θυγάτηρ βούληται. καὶ κεφ. πα΄ ἕως πβ΄ καὶ πγ΄ καὶ τ΄ γ΄ κεφ. η΄. καὶ κεφ. ια΄ ἕως ιβ΄ καὶ λα΄ ἕως λγ΄ καὶ λε΄ ἐν τῷ φι. Ἐὰν τῷ πατρὶ τῆς μητρός μου κελεύσω αὐτῷ καὶ ἀξιώσω αὐτὸν ἀποκαταστῆσαι τῇ γαμετῇ μου, ὁ μηδὲν ἐκ τῆς διαθήκης μου ἐκέρδανεν, οὔτε τελευτᾷ, οὐκ ἡ ἀποκατάστασις ἔρρωται. κἂν ὁ [illegible] μετὰ τὴν ἑαυτοῦ τελευτὴν ἐν ὑπομνήσει ἢ [illegible]

ἀνάγνωθι καὶ τὸ πα΄ ἐν τῷ φι. περὶ κληρονομίας ἀδελφῶν ἀσεβῶν καὶ ἑτεροθρήσκων. ἀνάγνωθι καὶ τὸ ρη΄ ἐν τῷ φι. περὶ κληρονομιῶν ἀποκαταστάσεων. ἐν τῷ ρκζ΄ ἐν τῷ φι. ὅτι οἱ ἀδελφόπαιδες ἅμα τοῖς θείοις κληρονομοῦσι. ἐν τῷ ρνθ΄ φι. περὶ ἀποκαταστάσεως ἀσφαλοῦς γινομένης: ις΄

ζήτει ρις΄ φι.

ὅτι προεκβάσεως τῆς αἱρέσεως. ἀνάγνωθι καὶ τὸ ρη΄ ἐν τῷ φι. περὶ κληρονομίας ἀνιόντων καὶ κατιόντων καὶ ἐκ πλαγίου:

καλῶς ἔθετο μηδὲν ὑπεναντίον τῆς βουλήσεώς μου ποιεῖν. καὶ κεφ. λϛ καὶ λζ καὶ λθ καὶ
σθ καὶ ρϛ. καὶ τίτλ. δ κεφ. κ. ἀνάγνωθι καὶ β με οὐδενὸς ἐν τῷ α τ. κεφ. αφι. τέλειος ἐξάδελφος
του διαδοχὴ ἁρμόζει ὅτε καὶ ἔστιν ἐκ διαθήκης ἢ ἡ κατὰ τῆς διαθήκης. εἰ δὲ καὶ τῶν καιρῶν
ἐνδιαλλαττομένων περιλειφθῇ ἡ ἐκ διαθήκης, ἄρχεται ἡ ἐξ ἀδιαθέτου. ὁ γὰρ περιλειπό-
μενος, οὐκέτι δύναται αὐτὴν αἰτῆσαι. ἐπεὶ τοῖς παισὶ πρώτοις ἐκ διαθήκης ἢ κατὰ
τῆς ἐναντιώσεως ἁρμόζει. οὕτως ἐξ ἀδιαθέτου, ἡ ἐκ τοῦ δικαίου τῶν παίδων. παῖδας δὲ
νοοῦμεν ἐξ ἴσου ἐπὶ τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως. φυσικοὺς γὰρ καὶ θετούς. τοὺς δὲ θε-
τούς, ἕως ἂν ὦσιν ὑπεξούσιοι. αὐτεξούσιοι γὰρ γινόμενοι, οὐκ ἔχουσι διακατοχήν. ἐν δὲ
τῷ α κεφ. καὶ μὴν κατασκευάσας ἐναλλαγήν, σώζεται τοῖς παισὶ τὰ ἐξ ἀδιαθέτου χωρὶς τῶν θε-
τῶν. αὐτοὶ γὰρ αὐτεξούσιοι γινόμενοι καὶ τὸ ὄνομα τῶν παίδων ἀπολλύουσιν. εἰ δὲ τὸν
φυσικόν μου υἱὸν αὐτεξούσιον ποιήσω καὶ υἱοθετήσομαι αὐτόν, καὶ πάλιν αὐτεξούσιον ποι-
ήσω, μένει τὰ τῶν παίδων δίκαια. ἐν δὲ τῷ ζ κεφ. τῷ λόγῳ τοῦ οἴκου κληρονομοῦσιν οἱ
γονεῖς τῶν παίδων. οἱ δὲ παῖδες τῶν γονέων καὶ φυσικῷ λόγῳ καὶ τῇ τύχῃ τῶν γονέων.
ἐν δὲ τῷ ιε κεφ. γνήσιοι εἰσὶν ὑπεξούσιοι υἱοὶ καὶ θυγατέρες, φυσικοὶ καὶ θετοί. τῶν ὑ-
πεξουσίων περιγίνεται ὁ δημόσιος. ὅτε ὁ πατὴρ αὐτῶν μετὰ θάνατον ἐπὶ τυραννίδι
κατακριθῇ, καὶ ὁ τοιοῦτος υἱὸς τὸ δίκαιον οὐκ ἔχει τῶν τάφων. ἐν δὲ τῷ κβ κεφ. αἱ
θήλειαι ὑπεξούσιαι οὐκ ἔχουσιν. οὔτε παύονται ἔχειν διὰ ἐναλλαγῆς κατασκευάσεως. ἐν
δὲ τῷ κϛ κεφ. ἐὰν εἴπω ἐν τῷ πεκουλίῳ τῆς θυγατρός μου μηδὲν αὐτὴν πλέον ἐπι-
ζητεῖν τῆς κληρονομίας μου, οὐκ ἔρρωται. τὰ γὰρ ἰδιωτικὰ συμβόλαια οὐ περικρατοῦσι τῶν
κοινῶν νομίμων. ἐν δὲ τῷ κζ κεφ. ἡ γυνὴ τοῦ νομίμου καὶ τοῦ πορνογενοῦς αὐτῆς παι-
δὸς κληρονομεῖ. οἱ παῖδες τοῦ ἀποθανόντος, ἀποκλείουσι τὴν αὐτοῦ μητέρα. εἴτε ὑπε-
ξούσιοι εἰσίν, εἴτε φυσικοὶ αὐτεξούσιοι. ὁ γὰρ θετὸς αὐτεξούσιος τι ἀποκλείεται τὴν μητέρα
τοῦ ἀποθανόντος, ὅτε καὶ φυσικός ἐστι παῖς. τυχὸν γὰρ πάππος αὐτοῦ υἱοθετήσατο.
ἐὰν περιλείψηται τὴν κληρονομίαν ὁ ὑπεξούσιος, λαμβάνει χώραν ἡ μήτηρ τοῦ ἀπο-
θανόντος. ἐν ἑτέρῳ δὲ πρὸ τοῖς πολεμίοις ἐστὶν ὁ υἱὸς ἢ ἐπίζεται τελευτῆσαι, τὸ δίκαιον
τῆς μητρὸς ἀναβάλλεται. ἐν δὲ τῷ κη κεφ. ἀπειπόντος ὁ υἱὸς τῇ μητρῴᾳ κληρονομίᾳ, περιὴν
ὑπεισέρχονται τὴν κληρονομίαν οἱ ἀδελφοὶ αὐτῆς ἢ οἱ ἄλλοι συγγενεῖς. ἐξουσίαν ἔ-
χει ἐν τοῖς ἐνιαυτοῦ μεταμελέσθαι. καὶ αὕτη γὰρ ἡ διακατοχή, ἐνιαυσιαία ἐστίν. ἐν
δὲ τῷ κθ κεφ. ὁ τὰ φυλάττεται μητρὸς ὑποσης καὶ ἀδελφοῦ ὁμοπατρίων τῶν τῆς ολ
τῶν φυσικοῦ, ταῦτα κρατεῖ καὶ θετῶν ὑπὸ τῶν. ἐν δὲ τῷ λβ κεφ. ἡ μήτηρ μὴ αἰτήσα-
σα ἐπίτροπον τοῖς παισί, οὐ κληρονομεῖ ἑαυτοῦ ἐὰν ἄνηβος τελευτήσῃ. εἰ δὲ ἔφη-
βος γενόμενος τελευτήσει, κατὰ πᾶσαν αὐτοῦ κληρονομεῖ. ἐν δὲ τῷ λϛ κεφ. σέβεσθαι

περὶ παίδων φύσει καὶ θέσει: ζ

περὶ θετοῦ ἀδελφοῦ.

περὶ μητρὸς δευτερογαμούσης ὕβριν καὶ αἰτίαν περὶ δευτερογαμιῶν.

κ΄

νὴ μηδαμῶς τὴν θρησκείαν τῷ πρώτῳ ἀνδρὶ ἐξ οὗ παῖδας ἢ θυγατέρας οὐκ ἔτι ἔχει τῇ
τῶν γάμων ἐπιθέσει προφέρειν, ἐκ τοῦ φανερωθέντος νομίμου ἄτιμος ἔστω. εἰ δὲ καὶ τοῦ βίου
τὸν ποικίλον βασιλικῇ δωρεᾷ αὐτῇ συγχωρήσει· οὕτω μέντοι ὥστε τοὺς παῖδας ἔχειν πάντων
τῶν ὑποστάσεων αἵτινες ἦσαν ἐν καιρῷ τῶν γάμων. τὴν μέντοι τοῦ ἔτους τὴν ἡμίσειαν τῶν ἐγγύων
ἢ τῇ θυγατρὶ ἢ τοῖς υἱοῖς ἢ ταῖς θυγατράσι δωρήσηται μὴ δὲ περὶ καταλαμβανούσης τῆς γεννήσεως.
ἀλλὰ καὶ τελευτῶντος ἑνὸς τῶν παίδων, τοὺς περιόντας ἀδελφοὺς λαμβάνειν τὸ μέρος αὐ-
τοῦ. ἐὰν δὲ πάντες ἄπαιδες τελευτήσωσι, τῆς σκληρᾶς τύχης πρὸς τὴν μητέρα αἱ προγαμιαῖαι
πάσης ἐξ ἀδιαθέτου ὑποστρέφουσιν. ἐν τῷ αὐτῷ λα κεφ. ὁσάκις μὴ κληρονομήσαντος υἱοῦ ἰδί-
ου ἢ θυγατέρας ἐξ ἀδιαθέτου· ἐξ οὗ καὶ δευτερογαμήσασα μετὰ τὴν τοῦ παιδὸς τελευτήν, μενέ-
τω τέως ἔχουσα τὸ ἐξ αὐτῆς περιελθὸν κέρδος. ἐὰν δὲ δευτερογαμήσῃ τὰ ἐξ ἔξωθεν ἐκ τοῦ
υἱοῦ περιελθόντα πράγματα ἐχέτω. ὅσα δὲ ἐκ τῆς τοῦ πατρὸς οὐσίας ἐκ τοῦ υἱοῦ ἦλθον, τούτων
τὴν χρῆσιν ἐχέτω. τὴν δὲ δεσποτείαν φυλαττέτω τοῖς ἀδελφοῖς καὶ ταῖς ἀδελφαῖς τοῦ
τελευτήσαντος παιδός. τοῦτο γὰρ κρατεῖ καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων ἅπερ ἐκέρδα-
νεν παρὰ τοῦ πρώτου ἀνδρὸς ἡ δευτερογαμήσασα γυνή. ἐν τῷ αὐτῷ λε κεφ. ἐὰν ἡ μήτηρ ἐπαγ-
γελλομένη μὴ δευτερογαμεῖν καὶ ἐπιτροπεύσῃ τοῦ ἰδίου παιδός. εἶτα δευτερογαμήσῃ,
μὴ κληρονομείτω τοῦ υἱοῦ ἀνήβου τελευτῶντα. μὴ δὲ ἐὰν ὑποκατάστατος ἐδόθη αὐτῇ παρὰ
τοῦ πατρός, εἰ μὴ ἄρα πρότερον καὶ ἐπίτροπον αὐτῷ αἰτήσῃ καὶ ἀποκαταστήσῃ τὰ ἐκ τῆς ἐπι-
τροπῆς χρεωστούμενα. ἐὰν γυνὴ τελευτήσῃ ἐπὶ ἀδελφοῖς ὁμοπατρίοις καὶ μητρὶ ἢ θυγα-
τρί, ἡ θυγάτηρ αὐτὴν κληρονομεῖ. ἐν τῷ αὐτῷ λη κεφ. θεσπίζομεν ἵνα μήτε ἐκ διαθήκης μή-
τε ἐξ ἀδιαθέτου. μήτε ἀπὸ δωρεᾶς ἐν ζωῇ γινομένης νομίμων παίδων ὑπόντων τῇ ποτε
τε παντελῶς ἐκ τῶν ἐνδόξων μερῶν εἰς τοὺς πορνογενεῖς ἔρχεσθαι. ἐπειδὴ ἐν ταῖς γυναιξί-
ταῖς εὐγενέσι καὶ ἐνδόξοις. ἀρίστη ἡ τῆς σωφροσύνης φυλακὴ ἐξαιρέτως χρέος
ἐστί, καὶ ὄνομα μάχεσθαι τοὺς πορνογενεῖς. πάνυ ἄδικον. πάνυ σφοδρόν. καὶ τῶν ἡμετέρων
καιρῶν ἀνάξιον κρίνομεν. καὶ τοῦτον τὸν νόμον αὐτὴ ἡ σωφροσύνη ἐν διαπαντὸς ἐπι-
μελεῖται κρίνομεν. ἀξίως κατορθοῦσθαι. ἐὰν δὲ παλλακὴ ἐλευθέρας τύχης ὑπάρχουσα, υἱὸν
ἢ θυγατέρα ἀπὸ θεμιτῆς ζώσης πρὸς αὐτὸν ἢ ἐλευθέρου γινομένης ἔτεκε. τούτους μετὰ
τῶν νομίμων παίδων εἰς τὰ μητρῷα ἔρχεσθαι πράγματα ἅτινα αὐτῇ νομίμως δικαίως ἐν
ἰδίᾳ οὐσίᾳ ἐκτήσατο οὐδεὶς φθόνος ἐστίν. ἐν τῷ αὐτῷ μβ κεφ. πᾶς καλούμενος εἰς κληρονο-
μίαν ἀνήβου, ἐὰν εὑρεθῇ μὴ αἰτήσας αὐτῷ ἐπίτροπον ἐντὸς ἐνιαυτοῦ οὐ δύναται αὐ-
τοῦ ἀνήβου τελευτήσαντος κληρονομῆσαι. εἴτε ἐξ ἀδιαθέτου βούλεται ἔρχεσθαι. εἴτε ὡς ἀπὸ
ὑποκαταστάσεως τῆς κατὰ ἀνήβου. ἐν τῷ αὐτῷ μγ κεφ. ὁ πάτρωνος τοῦ προγόνου ἐξ ἀδι-
αθέτου οὐ κληρονομεῖ. ἐν τῷ αὐτῷ νβ κεφ. ἐὰν ὁ αὐτῆς τελευτήσῃ ἀδιάθετος καὶ μὴ ἔχων-

ἐν τῷ αὐτῷ κεφ. τίτλ. ια κεφ. ις ὁμοί-
ως αὐτὴν τιμωρεῖσθαι νομοθετεῖ
ἡ χήρα τις πρὸ τοῦ ἐπιτηρεῖσθαι
τρίτον γαμούσης. ἐπισφαλὲς ἐν τῷ
περὶ δευτερογαμούντων:

τελευτῶντα
περὶ τοῦ μὴ αἰτούντων
ἐπιτρόπων ἐπὶ τόπου:
περὶ αὐτῆς:

πόθεν ἐκλήθησαν συγγενεῖς καὶ περὶ τῶν θείων :–

συγγενεῖς ἐξ ἀδιαθέτου, ἐκεῖνοι ἄλλων ἀντὶ τοῦ κληρονομεῖν. Εὑρ. δὲ ϛ´ τί. κεφ. ε´.
ἡ συγγενικὴ κληρονομία, μόνως ἐστὶ περιουσία. συγγενεῖς δὲ λέγονται ὡς ἐξ ἑνὸς τεχ-
θέντες. ἢ οἳ τὴν κοινὴν ἀρχὴν τῆς γενέσεως ἐσχήκασιν. Εὑρ. δὲ ια´ κεφ. βαθμοὶ οἱ συγγενεῖς
καλοῦνται καὶ οἱ τοῦ αὐτοῦ ὄντες βαθμοῦ ἅμα πάντες. Εὑρ. δὲ ιζ´ κεφ. ἡ προσγενομέ-
νη διαθέσεως συγγένεια, ἀπόλλυται τῇ αὐτεξουσιότητι. ὅθεν ἐὰν ὁ θεῖός μου ἀδελφὸς
ὢν τοῦ πατρός μου, ἐντὸς ρ´ ἡμερῶν αὐτεξούσιος γένηται, ἀποκλείει τὴν διαδοχήν. οὐ γὰρ
μόνον ἐν τῷ καιρῷ τῆς τελευτῆς. ἀλλὰ καὶ τῷ τῆς διαδοχῆς δεῖ φυλάττεσθαι τὴν συγγέ-

περὶ ἀνεψιοῦ :–

νειαν. Εὑρ. δὲ ιη´ κεφ. ἡ τοῦ ἀνεψιοῦ κληρονομία, οὐκ ἀνήκει τοῖς κατὰ περισσὸν συγγενέ-
σιν. οὐ γὰρ ἔχει περιττὰ μέρη αὐτοῦ καὶ τοῖς ὁμομητρίοις ἀδελφοῖς δίδοται ἡ συγγενι-
κὴ βοήθεια. Εὑρ. δὲ κ´ κεφ. τὸ κατηγορηθῆναί με τοὺς συγγενεῖς μου, οὐκ ἀποκλείει με τῆς
συγγενικῆς βοηθείας. Εὑρ. δὲ κβ´ κεφ. οἱ πορνογενεῖς καὶ τὴν κατὰ μέσα μητέρων ἐξ ἀδι-
αθέτου διαδέχονται. Εὑρ. δὲ κδ´ κεφ. ὁ δυνάμενος ἐκ πολιτικοῦ δικαίου ὡς συγ-
γενὴς κληρονομεῖν, οὐκ ἀποκλείεται τῇ τῶν ρ´ ἡμερῶν προθεσμίᾳ. αὕτη γὰρ ἐπὶ τῶν

περὶ ἐκγόνου τουτέστιν οἱ ἐκ τοῦ ἑνὸς ἀδελφοῦ λαμβάνουσι τὸ ἥμισυ. καὶ οἱ ἐκ τοῦ ἄλλου τὸ ἥμισυ :–

διακατοχῶν ἔστιν ὡρισμένη. Εὑρ. δὲ κε´ κεφ. οἱ ἔκγονοι ἐκ τῶν δύο παίδων ἐὰν μέ-
λωσιν ἴσοι περὶ τὰ ἀριθμῶν, ἀλλ᾽ ἐκ μὲν τοῦ ἑνὸς πλείονες, ἐκ δὲ τοῦ ἑνὸς ἥττονες ὁ-
μοίως καλοῦνται. καὶ ὥσπερ ἐὰν ἐξίσης μερίζονται τὴν τοῦ πάππου κληρονομίαν.
Εὑρ. δὲ κϛ´ κεφ. ἐὰν τελευτήσῃ ἐπὶ γυναικὶ καὶ ἐκγόνῳ ἐξ υἱοῦ προτελευτήσαντος, ὁμοί-
ως ἑκάτεροι κληρονομοῦσιν. Εὑρ. δὲ κη´ κεφ. ἐὰν τελευτήσῃ ἀδιάθετος ἐπὶ παι-
σὶ φυσικοῖς καὶ παισὶ θετοῖς, ὁμοίως πάντες κληρονομοῦσιν. Εὑρ. δὲ λ´ κεφ. ὁ ἐξ
ἐλευθέρας καὶ δούλου συλληφθεὶς, πορνογενής ἐστιν. ὅθεν καὶ ὁ πατὴρ ἐλευθερωθεὶς καὶ
ἀποκαταστὰς εἰς τὴν ἀξιωματικὴν τάξιν καὶ τελευτήσας, οὐ δύναται
αὐτὸν οὗτος ὁ υἱὸς κληρονομεῖν. Εὑρ. δὲ λβ´ κεφ. ἐὰν τελευτήσῃ τις περιούσης καὶ
καταλιπὼν παῖδας ἢ ἐκγόνους ἢ προεκγόνους. ἀμέσως αὐτοὶ λαμβάνουσι τὴν μερί-
δα τὴν ἀναμφίβολον καὶ περὶ ἐκγόνων φυλάττεσθαι θεσπίζομεν. Εὑρ. δὲ λγ´ κεφ.

τουτέστιν εἰς τὰ αὐτὰ διακατοχήν :–

θέ. ἡ καὶ θέ. φη. ἐὰν ἀδελφὸς ἀδελφῷ τοῦ ἀναβόλαιᾳ ὑποκαταστῇ ρ´ ἡμέρας ἔχει. καὶ
διὰ δουλουμένου ἁρμόσει μοι διαδοχὴ γονέως μου. ἢ παιδός μου. ἐν ἑαυτῷ ἔχω. Εὑρ. δὲ
λδ´ κεφ. καὶ ἐπὶ τῆς τὴν διαθήκην ἐναντιωθέντος καὶ ἐπὶ πάσης διαδοχῆς, ἐνι-
αυτὸς ἀνιοῦσι καὶ κατιοῦσιν ἀρκεῖ. Εὑρ. δὲ λϛ´ κεφ. περὶ τῶν ἐξ ἀδιαθέτου κλή-
σεις ἐστὶν, ἢ τῶν κατιόντων. ἢ τῶν ἀνιόντων εἰσί. ἢ τῶν ἐκ πλαγίου, τετάρτη. ἢ τοῦ ἀνδρὸς
καὶ τῆς γυναικός. ἐὰν μὴ ἐστὶ διαθήκη, ἢ ἐστι μέν, οὐκ ἔλαβε δὲ ἐξ αὐτῆς ἢ κατ᾽ αὐτῆς δι-

περὶ βαθμῶν συγγενῶν. καὶ τίνες καλοῦνται σὺν θέσει καὶ καθεξῆς πρὸς τὴν κληρονομίαν :–

αδοχή. Εὑρ. δὲ ϛ´ τί. διαλαμβάνεται περὶ βαθμῶν συγγενῶν. περὶ τῶν προειρημένων ἐν δὲ
ἡ κεφ. τοῦ αὐτοῦ ϛ´ τί. φη. ἐπειδὴ παρὰ τοῦ γένους ἐξ ἀδιαθέτου διαδοχή. εἰσί

συνείρεται τάξεσι· τουτέστι τῆς τε τῶν ἀνιόντων καὶ τῆς τῶν κατιόντων, καὶ τῆς τῶν ἐκ πλαγίου.
πρῶτον εἶναι διατυποῦμεν τὴν τῶν κατιόντων διαδοχήν. εἴ τις τοίνυν τῶν κατιόντων ὑ- περὶ κατιόντων.
πῆρχε τῷ ἀδιαθέτως τελευτῶντι οἵας δήποτε φύσεως ἢ βαθμοῦ· εἴτε ἐξ ἀρρενογονίας εἴτε
ἐκ θηλυγονίας καταγόμενος, καὶ εἴτε αὐτεξούσιος εἴη, πάντων τῶν ἀνιόντων καὶ τῶν ἐκ-
πλαγίου συγγενῶν προτιμάσθω· κἂν γὰρ ὁ τελευτήσας ἑτέρου ὑπεξούσιος ἦν· ὅμως τοὺς
αὐτοῦ παῖδας οἵας δήποτε ἂν ὦσι φύσεως ἢ βαθμοῦ, καὶ αὐτῶν τῶν γονέων προτιμᾶ-
σθαι κελεύομεν ὧν ὑπεξούσιος ἦν ὁ τελευτήσας ἐπ᾽ ἐκείνοις δηλαδὴ τοῖς πράγμασιν.
ἅτινα κατὰ τοὺς ἄλλους ἡμετέρους νόμους, τοῖς πατράσιν οὐ προσπορίζεται· ἐπεὶ γὰρ τῇ χρή-
σει τῶν πραγμάτων τούτων ὧν ὀφείλουσι προσπορίζεσθαι ἢ φυλάττεσθαι· τοὺς περὶ τού-
των ἡμετέρους νόμους τοῖς γονεῦσι φυλάττομεν· οὕτω μέντοι, ὥστε εἴπερ τούτων τῶν κα-
τιόντων παῖδας καταλιπόντα τελευτῆσαι συμβαίη· τοὺς ἐκείνου υἱοὺς ἢ θυγατέρας ἢ
τοὺς ἄλλους κατιόντας εἰς τὸν τοῦ ἰδίου γονέως τόπον ὑπεισιέναι· εἴτε ὑπεξούσιοι
τῷ τελευτῶντι· εἴτε αὐτεξούσιοι εὑρεθεῖεν. τοσοῦτον ἐκ τῆς κληρονομίας τοῦ τελευτή-
σαντος λαμβάνοντας μέρος ὅσοι δήποτε ἂν ὦσιν· ὅσον αὐτῶν ὁ γονεὺς ἂν περιὼν ἐ- // ὅσοι
κομίζετο· ἥντινα διαδοχὴν κατὰ στίρπα, ἐξ ἴσης ἡ ἀρχαιότης ἐκάλεσεν. ἐπὶ ταύτης
γὰρ τῆς τάξεως τὸν βαθμὸν ζητεῖσθαι οὐ βουλόμεθα· ἀλλὰ μετὰ τῶν υἱῶν καὶ τῶν θυγα-
τέρων τοὺς ἐκ προτετελευτηκότος υἱοῦ ἢ θυγατρὸς ἐγγόνους καλεῖσθαι θεσπίζομεν. οὐ-
δεμιᾶς ζητουμένης διαφορᾶς· εἴτε ἄρρενες εἴτε θήλεις εἶεν· καὶ εἴτε ἐξ ἀρρενο-
γονίας εἴτε ἐκ θηλυγονίας καταγόμενοι· εἴτε ὑπεξούσιοι· εἴτε αὐτεξούσιοι τύχωσι· καὶ ταῦτα
μὲν περὶ τῆς τῶν κατιόντων διαδοχῆς ἐτυπώσαμεν· ἀκόλουθον δὲ εἶναι νομίζομεν καὶ
περὶ τῶν ἀνιόντων διατάξασθαι· ὅπως ἂν καὶ αὐτοὶ τῇ τῶν κατιόντων κληθεῖεν διαδο-
χῇ. εἰ τοίνυν ὁ τελευτήσας κατιόντας μὴ καταλίποι κληρονόμους· πατὴρ δὲ ἢ μήτηρ περὶ ἀνιόντων.
ἢ ἄλλοι γονεῖς αὐτοῦ ἐπιζῶσι, πάντων τῶν ἐκ πλαγίου συγγενῶν τούτους προτιμᾶ-
σθαι θεσπίζομεν· ἐξῃρημένων μόνων ἀδελφῶν καὶ ἀδελφοπαίδων ἐξ ἑκατέρου γονέ- οἱ λεγόμενοι ἀμφιθαλεῖς ἀδελφοί:-
ως συναπτομένων τῷ τελευτήσαντι· ὡς διὰ τῶν ἑξῆς δηλωθήσεται. εἰ δὲ πολλοὶ τῶν ἀνι-
όντων περιεῖσι, τούτους προτιμᾶσθαι κελεύομεν· οἵτινες ἐγγύτεροι τῷ βαθμῷ εὑρεθεῖεν·
ἄρρενάς τε καὶ θηλείας· εἴτε πρὸς πατρὸς εἴτε πρὸς μητρὸς εἶεν. εἰ δὲ τὸν αὐτὸν ἔχουσι βαθμόν,
ἐξ ἴσης αὐτοῖς ἡ κληρονομία διαιρεθήσεται· ὥστε τὸ μὲν ἥμισυ λαμβάνειν πάντας
τοὺς πρὸς πατρὸς ἀνιόντας ὅσοι δήποτε ἂν ὦσι. τὸ δὲ ὑπόλοιπον ἥμισυ, τοὺς πρὸς μητρὸς
ἀνιόντας ὅσους δήποτε ἂν αὐτοὺς εὑρεθῆναι συμβαίη. εἰ δὲ μετὰ τῶν ἀνιόντων εὑρεθῶ- περὶ ἀδελφῶν καὶ ἀδελφοπαίδων:-
σιν ἀδελφοὶ ἢ καὶ ἀδελφόπαιδες ἐξ ἑκατέρου γονέως συναπτόμενοι τῷ τελευτήσαντι·
μετὰ τῶν ἐγγυτέρω τῷ βαθμῷ ἀνιόντων κληθήσονται. εἰ καὶ πατὴρ ἢ μήτηρ εἶεν, διαι-

ρουμένης εἰς αὐτοὺς δηλαδὴ τῆς κληρονομίας κατὰ τὸν τῶν προσώπων ἀριθμόν· ἵνα ἐκ τῶν
ἀνιόντων καὶ τῶν ἀδελφῶν ἕκαστος ἴσην ἔχοι μοῖραν· ἀλλὰ καὶ οἱ ἀδελφόπαιδες
τὴν μοῖραν τοῦ ἰδίου γονέως λαμβάνωσιν. οὐδεμίαν χρῆσιν ἐκ τῶν υἱῶν ἢ θυγατέ-
ρων μοίρας ἐν τούτῳ τῷ θέματι δυναμένου τοῦ πατρὸς ἑαυτῷ παντελῶς ἐκδικεῖν.
ἐπειδὴ ἀντὶ ταύτης τῆς χρήσεως, μέρος αὐτοῖς τῆς κληρονομίας καὶ τῆς δεσποτείας δίκαι-
ον διὰ τοῦ παρόντος δεδώκαμεν νόμου. οὐδεμιᾶς φυλαττομένης διαφορᾶς μετα-
ξὺ τῶν προσώπων τούτων· εἴτε θήλειαι εἴτε ἄρρενες εἶεν οἱ πρὸς τὴν κληρονομίαν
καλούμενοι. καὶ εἴτε δι᾽ ἄρρενος ἢ θήλεος προσώπου συνάπτονται. καὶ εἴτε αὐτεξού-
σιος εἴτε ὑπεξούσιος ἦν, οὗ διαδέχονται. ὑπόλοιπόν ἐστιν· ἵνα καὶ τὴν τρίτην δεί-
ξωμεν τάξιν, ἥτις ἐκ πλαγίου καλεῖται· ἵνα καὶ τούτου τοῦ μέρους διατυπωθέντος,
πανταχόθεν ὁ νόμος τέλος εὑρεθῇ. εἰ τοίνυν ὁ τελευτήσας μήτε κατιόντας μήτε ἀ-
νιόντας καταλίποι. πρώτους πρὸς τὴν κληρονομίαν καλοῦμεν τοὺς ἀδελφοὺς καὶ
τὰς ἀδελφὰς τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ τῆς αὐτῆς μητρὸς τεχθέντας. ὁμοίως δὲ καὶ
τοὺς ἀδελφόπαιδας οὓς καὶ σὺν τῶν πρώην πρὸς τὴν κληρονομίαν ἐκαλέσαμεν. τού-
των δὲ μὴ ὑπόντων. ἐν δευτέρᾳ τάξει ἐκείνους τοὺς ἀδελφοὺς πρὸς τὴν κληρονομίαν
καλοῦμεν· οἵτινες ἐξ ἑνὸς γονέως συνάπτονται τῷ τελευτήσαντι· εἴτε διὰ τοῦ πατρὸς μό-
νου εἴτε διὰ τῆς μητρός. καὶ εἰ τῷ τελευτήσαντι ἀδελφοὶ ὑπάρχουσι καὶ ἑτέρου ἀδελ-
φοῦ ἢ ἀδελφῆς προτελευτησάντων παῖδες, κληθήσονται πρὸς τὴν κληρονομίαν οὗτοι
μετὰ τῶν πρὸς πατρὸς καὶ πρὸς μητρὸς θείων ἀρρένων τε καὶ θηλειῶν καὶ ὁποῖοι δήποτε ἂν
ὦσι, τοσοῦτον ἐκ τῆς κληρονομίας λήψονται μέρος. ὅσον ὁ τούτων γονεὺς ἔμελλε
λαμβάνειν εἰ ἔζησεν. ὅθεν ἀκόλουθόν ἐστιν ἵνα εἰ τυχὸν ὁ προτελευτήσας ἀδελφὸς οὗ
οἱ παῖδες περίεισι. δι᾽ ἑκατέρου γονέως τῷ νῦν τελευτήσαντι προσώπῳ συνήπτετο.
οἱ δὲ περιόντες ἀδελφοί, διὰ τοῦ πατρὸς μόνου τυχὸν ἢ τῆς μητρὸς αὐτῷ συνήπτοντο προτιμῶν-
ται οἱ τούτου παῖδες τῶν ἰδίων θείων, κἂν τρίτου ὦσι βαθμοῦ. εἴτε πρὸς πατρὸς εἶεν
οἱ θεῖοι. εἴτε πρὸς μητρός, καὶ εἴτε ἄρρενες εἴτε θήλειαι. ὥσπερ ὁ αὐτῶν γονεὺς προετιμᾶ-
το εἰ περιῆν. καὶ ἐκ τοῦ ἐναντίου. εἰ δὲ ὁ περιὼν ἀδελφὸς ἐξ ἑκατέρου γονέως συνά-
πτεται τῷ τελευτήσαντι· ὁ δὲ προτελευτήσας δι᾽ ἑνὸς γονέως συνήπτετο. τοὺς τούτου παῖ-
δας τῆς κληρονομίας ἀποκλείομεν, ὥσπερ καὶ αὐτὸς εἰ περιῆν ἐξεκλείετο. τὸ δὲ τοιοῦ-
το προνόμιον ἐνταῦθα τῇ τάξει τῆς συγγενείας, μόνοις παρέχομεν τοῖς τῶν ἀδελφῶν
ἀρρένων ἢ θηλειῶν υἱοῖς ἢ θυγατράσιν· ἵνα εἰς τὰ τῶν ἰδίων γονέων ὑπεισέλθωσιν.
οὐδενὶ δὲ ἄλλῳ παντελῶς προσώπῳ ἐκ ταύτης τῆς τάξεως ἐρχομένῳ τοῦτο τὸ δί-
καιον συγχωροῦμεν. ὅπου γε τοίνυν τοῖς τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς παισὶ τοιοῦτο

περὶ ἀδελφῶν ἐξ ἀδελφοπαίδων κληρονόμων :-

οἱ λεγόμενοι ἑτεροθαλεῖς ἀδελφοί :-

κ΄

πρὸ νόμου δεδώκασιν, ἵνα τοὶ τῶν γονέων ὑπάρχοιεν τόποι μόνοι. τοὺς δ᾽ ὄντ-
ας τῶν ἐκ πρώτου καὶ δευτέρου βαθμοῦ πρὸς τὴν κληρονομίαν καλοῦνται. ἐκεῖνο
πρόδηλον ἐστὶν ὅτι τῶν τοῦ τελευτήσαντος ἀρρένων τε καὶ θηλέων εἴτε πρὸς πατρὸς εἴτε
πρὸς μητρὸς ἐπίσης προσκαλοῦνται. εἰ καὶ ἐκεῖνοι τοῦ ὁμοίου συγγενικοῦ βαθμοῦ ἔχοιεν.
εἰ δ᾽ οὔτε ἀδελφοὺς οὔτε παῖδας ἀδελφῶν εἰς ἐρήμωσιν ὁ τελευτήσας καταλείπει.
πάντας τοὺς ἐφεξῆς ἐκ πλαγίου συγγενεῖς πρὸς τὴν κληρονομίαν καλοῦμεν. μετὰ τὴν
τάξιν ἑκάστου βαθμοῦ προτιμῶσιν. ἵνα οἱ ἐγγύτεροι τῷ βαθμῷ, αὐτοὶ τῶν βαθμῷ
προτιμῶνται. εἰ δὲ πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ εὑρεθῶσι μετὰ τὸ τῶν προσώπων ἀ-
ριθμὸν μεταξὺ αὐτῶν ἡ κληρονομία διαιρεθήσεται ὅπερ κατὰ κεφαλὴν ἢ τὸ προ-
σωπικῶς οἱ ἡμέτεροι λέγουσι νόμοι. οὐδεμίαν δ᾽ εἶναι βουλόμεθα διαφορὰν ἐν οἵᾳ
δή ποτε διαδοχῇ ἢ κληρονομίᾳ μεταξὺ τῶν πρὸς τὴν κληρονομίαν καλουμένων ἀρ-
ρένων ἢ θηλέων οἳ πρὸς τὴν κληρονομίαν κοινῶς ὡς εἰκὸς καλοῦνται. εἴτε διὰ ἄρ-
ρενος, εἴτε διὰ θήλεος προσώπου συνάπτονται τῷ τελευτήσαντι· ἀλλ᾽ ἐπὶ πάντων τῶν
διαδοχῶν τὴν ἐξ ἀρρενογονίας τε καὶ θηλυγονίας διαφορὰν, ἀργὴν κελεύομεν. εἴτε
διὰ θήλυ προσώπου, εἴτε δι᾽ αὐτεξουσιότητα, ἢ ἑτέρου οἱουδήποτε τρόπου τοῖς προ-
τέροις διεσκοπεῖτο νόμοις. καὶ πάντας διχάζοντος ταύτας διαφοράς. μετὰ τοῦ τῆς ἰ-
δίας συγγενικοῦ βαθμοῦ εἰς τὴν ἐξ ἀδιαθέτου τῶν συγγενῶν διαδοχὴν ἔρχεσθαι κελεύομεν.
εἰ δ᾽ ὡς [illegible] διαλαμβάνεται περὶ μερικῶν ὑπάρξεων καὶ τῶν ἀπὸ μερικῆς συγγε-
νείας καλουμένων. οὕτινος ἐν τῷ [illegible] κεφ. τὰ πράγματα τὰ κέρδη εἰς τοὺς παῖδας
προσήκοντα τοὺς ὄντας ὑπεξουσίους τοῦ ἰδίου πατρὸς. διαφέρεται ὥσπερ ὥστε αὐτὸν
ἔχειν μόνον τὴν χρῆσιν. τὴν δὲ δεσποτείαν αὐτῶν τοῖς παισὶ διαφέρειν. ταῦτα δ᾽ ἅπου
δὴ καὶ ἐπιτηδεύσαι ποιεῖσθαι περὶ τὸ πρᾶγμα τοῦ πατρὸς καὶ τὰς αἰτίας τῶν παίδων
ἐκβιβάζειν ἐν δικαστηρίῳ, καὶ διὰ ἑαυτῶν καὶ διὰ ἑτέρων, ἐπὶ τὸ δαπανᾶν ἐκ
τῶν καρπῶν. ἐὰν δέ ποτε ζητηθῶσι τότε ἐκ τούτων τῶν πραγμάτων ἐκποιηθῇ ὀ-
φείλει ὁ πατὴρ ἐστὶν πλὴν λαβεῖν τοῦ πατρὸς. ὡς δυναμένων ὅτε ἂν βουληθῶσι τῶν
παίδων, τὸ πρᾶγμα διεκδικεῖσθαι. εἰ δ᾽ ὡς τ κεφ. ἐὰν τε περιούσης τῆς μητρὸς συμ-
βῇ τοὺς παῖδας αὐτεξουσίους γενέσθαι πρὸ τοῦ πατρὸς. μετὰ ταῦτα δ᾽ ἡ μήτηρ τελευτήσῃ.
κελεύει ἡ διάταξις πρὸς τὸ μέρος τῶν παίδων γεγόνασιν αὐτεξούσιοι. τινὲς δ᾽ ἔμει-
ναν ὑπεξούσιοι. καὶ οἱ ὑπεξούσιοι προσπορίζονται ὥσπερ τὴν χρῆσιν τοῦ μέρους
αὐτῶν. καὶ ἐν τῶν αὐτεξουσίων ἑαυτοῦ παίδων τὴν χρῆσιν κερδαίνεται. καὶ ὅτε δή-
ποτε ποιεῖν τοὺς παῖδας αὐτεξουσίους πατὴρ καταλέγει τὸ ἥμισυ μέρος τῆς προσπο-
ριζομένης αὐτῷ ἐξ αὐτῶν. ταῦτα μὲν περὶ τῶν παίδων. ἐὰν δ᾽ ἔκγονοι ὦσι, μετὰ

περὶ μερικῶν ὑπάρξεων καὶ
παίδων ὑπεξουσίων τε καὶ αὐ-
τεξουσίων. καὶ περὶ τῆς προσπο-
ριζομένης ἐκ τῶν διαφερόντων
τοῖς πράγμασι χρήσεως ἢ καὶ
δεσποτείας περὶ τὸ διατετα-
γμένον ἢ μὴ διατεταγμένων:

ζεται μὲν τῶν ἐκγόνων τῶν τελευτησάντων ἀπὸ παιδὸς ὑπεξουσίου, καὶ λαμβάνει μόνην
τὴν χρῆσιν· καὶ ὅτε δήποτε ποιῶν ἕνα ἐξ αὐτῶν αὐτεξούσιον, ἐχέτω τὸ κέρδος τὸ
ἐκ τῆς αὐτεξουσιότητος. ἐὰν δὲ ὦσιν ἔκγονοι τελευτήσαντες ἐξ αὐτεξουσίου υἱοῦ ἢ ἀπὸ
θυγατρὸς τελευτήσαντες, ἢ πρὸ αὐτοῦ γενόμενοι αὐτεξούσιοι ζώσης ἔτι τῆς μάμμης· πά-
λιν πρὸς ἀναλογίαν λαμβανέτω τὴν χρῆσιν. ἐὰν δὲ τῶν ἐκγόνων τινὲς ὦσιν ὑπεξού-
σιοι, τινὲς δὲ αὐτεξούσιοι, τότε ὡς ἔφημεν καὶ ἐπὶ τῶν παίδων καὶ τῶν λαγχανόντων
τοῖς ὑπεξουσίοις ἐχέτω τὴν χρῆσιν· καὶ μὲν τῶν αὐτεξουσίων πρὸς ἀναλογίαν αὐ-
τῶν μεριζέσθω. τὰ δὲ αὐτὰ ἐπὶ ἐκγόνων θεσπίζομεν. Ἐν δὲ τῷ λ΄ κεφ. πάλαι ἀμ-
φισβητήσεις ἐτύγχανον περὶ αἱρουμένου. τοίνυν φανερῷ καὶ γενικῷ νόμῳ θε-
σπίζομεν ὡς τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων. μηδεμιᾶς οὔσης διαφορᾶς εἴτε ἐν τῷ
πρώτῳ γάμῳ ὁ πατὴρ ἐξ οὗ τοὺς υἱοὺς ἔσχε διαμεμένηκεν, ἐβουλήθη εἴτε μὴ ἐγγαμῆσαι τοῖς
παισὶν ἐπισπᾶται τῶν νόμων οἵτινες περὶ μητρῴων πραγμάτων ἐξενέχθησαν, τὴν
ἰδίαν ἔχουσι τὴν ἰσχύν. οἱ πατέρες τοίνυν τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων καὶ εἰς
δευτέρους μετέβησαν γάμους ἀναμφιβόλως ἔχειν ὀφείλουσι, καὶ οὐδεμίαν τοῖς
παισὶν ἢ τοῖς οὖσι δήποτε ἐκ προσώπου αὐτῶν ὀφείλουσι. καὶ οὐδεμίαν τοῖς-
παισὶν ἢ τοῖς οὖσι δήποτε ἐκ προσώπου αὐτῶν κατὰ τῶν πατέρων ἀναιρῶ τὴν φωνὴν
ἢ αἰτίασιν τινὰ δύνασθαι ἁρμόζειν. Ἐν δὲ τῷ ε΄ κεφ. εἰς περὶ τὰ ἀπὸ μειζόνος συγγενοῦς
ἁρμόζοντα τοῖς παισὶ τοῖς ὑπεξουσίοις προσπορίζονται τοῖς πατράσιν· οὕτω καὶ
τὰ ἀπὸ γαμικῆς αἰτίας κερδαινόμενα ἀπὸ τῶν ὑπεξουσίων. οὐ προσπορίζονται
αὐτοῖς, ἀλλὰ μένει ἡ δεσποτεία αὐτῶν παρὰ τοῖς παισίν. Ἐν δὲ τῷ ς΄ κεφ. ὅσα ὁ πατὴρ
πρὸ τῶν γάμων δίδωσιν ὑπὲρ παιδὸς ἢ εἰς προῖκα ὑπὲρ θυγατρὸς παρέχει. τούτων
λυομένων τῶν γάμων ἐὰν τὸ σύμφωνον οὕτω συμβῇ, προσπορίζονται αὐτῷ, ἵνα μὴ
οἱ πατέρες ὀκνηρότεροι γίνονται εἰς τὸ παρέχειν ὑπὲρ τῶν παίδων. ὅσα δὲ ἑτέρα ἐκ τῆς
γυναικὸς ἔλθωσιν εἰς τὸν ἄνδρα ἢ ἐκ τοῦ ἀνδρὸς εἰς τὴν γυναῖκα, τούτων τὴν χρῆσιν
ἐχέτω ὁ πατήρ. τὴν δεσποτείαν δὲ ἐχέτω τὸ ὑπεξούσιον πρόσωπον. ἐὰν δὲ ὁ πατὴρ εὐ-
τακτῶν ἐβουλήθη αὐτεξούσιον ποιῆσαι τὸ ὑπεξούσιον πρόσωπον, κατεχέτω ἐκ τού-
των τῶν πραγμάτων ὥσπερ ἐκ τῶν μητρῴων εἴρηκας τὸ ἥμισυ τῆς χρείας. Ἐν δὲ
τῷ ζ΄ κεφ. ὅσα ἀπὸ γαμικῆς δωρεᾶς κερδαίνουσιν οἱ ὑπεξούσιοι. τελευτησάντων
τῶν αὐτῶν ἐπὶ πᾶσι τοῖς παισὶν αὐτῶν ἁρμόζουσι καὶ οὐ δὲ προσπορίζονται
ἐξ αὐτῶν τοῖς πάπποις τουτέστι τοῖς πατράσι τῶν τελευτησάντων. ἐὰν δὲ τελευτή-
σωσιν ἐπὶ πατρὶ καὶ πάππῳ. ὁ πατὴρ αὐτῶν τοῦ πάππου προτιμᾶται καὶ αὐτὸς τὰ
μητρῷα αὐτῶν καὶ τὰ ἀπὸ γαμικῆς αἰτίας κέρδη κληρονομεῖ. τῆς χρείας ἔτι μὲν τοῦ

περὶ προσπορειζομένων καὶ μὴ προσπορειζομένων:–

γρ. αἰτίας

κ΄

τις τοῖς θέμασι τῷ πάππῳ ἐν ὅσῳ περίεστι φυλαττομένης. Ἐν τῷ δ΄ η΄ κεφ. γυνὴ τις κερ-
δάνασα ἀπὸ μνηστῆρος, ἤγουν διὰ τὸ μνηστὴρ ἐν πολλοῖς ἄνδρα νομίζεσθαι, καὶ ὀφείλου-
σι τὰ ἐξ αὐτοῦ κέρδη ἀπροσπόριστα εἶναι. ἀντελέχθη δὲ αὐτῇ ὁ ἀδελφὸς αὐτῆς ὁ ὁμο-
πάτριος. διὸ ἡ διάταξις, ἀνδρὸς μέμνηται ἰδικῶς καὶ γυναικός. καὶ τοῦτο αὐτὸ γράφουσα
ἡ διάταξις λέγει. ὅτι καὶ τὰ ἀπὸ μνηστῆρος ἢ μνηστῆς κέρδη, ὥσπερ τὰ ἀπὸ γαμικῆς αἰτίας
οὐ προσπορίζονται. Ἐν τῷ δ΄ ι΄ κεφ. Εἴτε ὑπεξούσιος ἡ ἐν τῇ τοῦ ἰδίου πατρὸς ἡ ἐν τῇ τοῦ
πάππου ἡ ἐν τῇ τοῦ προπάππου ὑπεξουσιότητι τυγχάνων ὁτιποτε ἑαυτῷ προσεκτήσα-
το. μὴ ἐκ τῆς ἀποκαταστάσεως τοῦ γένους ὑπεξούσιός ἐστιν. ἀλλ' ἐξ ἄλλων οἱωνδήποτε αἰ-
τιῶν αἰτίας ἀπὸ εἰληχυίας τῆς τύχης ἢ ἀπὸ καμάτων ἰδίων εἰς αὐτὸν φέρονται. ταῦτα
τοῖς ἰδίοις γονεῦσιν οὐκ εἰς ὁλόκληρον, ἀλλ' ἕως μόνης τῆς χρήσεως προσπορίζεται. τῆς
δεσποτείας ἐν αὐτῷ διαμενούσης κατὰ μίμησιν τῶν μητρῴων πραγμάτων. καὶ τῶν ἀπὸ
γαμικῆς δωρεᾶς τοῖς ὑπεξουσίοις προσποριζομένων ὑπεξῃρημένων τῶν στρατιωτι-
κῶν πεκουλίων. τῶν δὲ τὴν χρῆσιν τὸν πατέρα ἢ πάππον ἢ πρόπαππον ἔχειν οἱ παλαι-
οὶ συγχωροῦσιν. ἐν τούτοις γὰρ οὐδὲν καινίζομεν, ἀλλὰ τὰ παλαιὰ ἄθικτα παραφυλάτ-
τομεν τοῦ αὐτοῦ παραφυλαττομένου καὶ ἐν τούτοις τοῖς πεκουλίοις. ἅτινα οἱονεὶ στρα-
τιωτικά ἐστι, κατὰ μίμησιν τοῦ στρατιωτικοῦ πεκουλίου. ἐχέτω γὰρ ὁ πατὴρ εἰς τὰ ἄλλα
πράγματα ἅπερ ἀνωτέρω ἀπηριθμήσαμεν. τελείαν ἐξουσίαν τοῦ κεχρῆσθαι καὶ ἀπο-
λαύειν καὶ διοικεῖν τὰ πράγματα κατὰ τὸν εἰρημένον τρόπον κληθέντα. καί τι ἀπὸ τῆς χρή-
σεως αὐτῶν ὅπερ ἢ ὁ πάππος ἢ ὁ πρόπαππος συναγάγῃ. ἐχέτω ἐξουσίαν ὃν τρόπον
ἐπιθυμεῖ τοῦτο διατεθῆναι. καὶ εἰς ἄλλους κληρονόμους παραπέμπειν. ἢ ἐὰν ἐκ
τῶν καρπῶν τούτων τῶν πραγμάτων κινητὰ ἢ ἀκίνητα ἢ αὐτοκίνητα κτήσηται. καὶ ταῦ-
τα οἵῳ τρόπῳ βούλεται ἐχέτω καὶ παραπεμπέτω εἰς ἄλλους μεταφερέτω. εἴτε ὀρφα-
νούς. εἴτε παῖδας ἰδίους. εἴτε οἱονδήποτε πρὸς τρόπον. Ἐν τῷ δ΄ ιγ΄ κεφ. εἴτε ἐκ τοῦ
βασιλέως ἢ τῆς αὐγούστης δωρεὰν κτήσεως ἐν ὑπεξουσιότητι τυγχάνων, ἐχέτω ταῦτα ὡσαύ-
τως πράγματα παντὸς προσπορισμοῦ ἀπολυόμενα. μὴ δὲ τούτων τὴν χρῆσιν ὁ πατὴρ
ἐκδικείτω. ἀλλὰ κατὰ μίμησιν τοῦ ἰδιοκτήτου ἢ τοῦ στρατιωτικοῦ πεκουλίου. πᾶσαν
ἐξουσίαν ἐν τούτοις οἱ ὑπεξούσιοι ἐχέτωσαν. ὥσπερ γὰρ ἡ βασιλικὴ τύχη πάσας ὑπε-
ρέχει τὰς ἄλλας. οὕτω χρὴ καὶ τὰς βασιλικὰς δωρεὰς ὀφείλειν ἔχειν ὑψηλόν. τουτέστιν ὕ-
ψος ἔχειν ὑπερβαῖνον. Ἐν τῷ δ΄ ια΄ κεφ. πάντων σχεδὸν τῶν πραγμάτων ἡ χρῆσις προσ-
πορίζεται τοῖς πατράσι. τὴν δεσποτείαν ἔχουσιν οἱ παῖδες, χωρὶς τῶν ἐκ τῶν πραγμά-
των τοῦ πατρός. Ἐν τῷ δ΄ ε΄ κεφ. τοῦ τ΄ θέ. παρανόμου ὄντος τοῦ γάμου, οὔτε ἡ ἐκ τοῦ αὐ-
δρὸς καὶ τῆς γυναικὸς διαδοχὴ ἁρμόζει. οὔτε κληρονομίαν ἐκ διαθήκης ἢ ἀλλοτί-

κερδαίνειν δύναται. πρὸς δὲ τὸ ἁρμόζεσθαι τὴν διαναβάθμησιν(?), γαμετὴν αὐτὴν εἶναι δεῖ ἐν καιρῷ τῆς τελευτῆς. εἰ γὰρ παρηκολούθησε διαζύγιον, κἂν ἐστὶν ἄκυρον, οὐκ ἔχει χώραν ἡ διαδοχή. ἄκυρον δὲ λέγεται τὸ μὴ γινόμενον κατὰ τὴν τῶν νόμων παρατήρησιν.

περὶ γυναικὸς καὶ ἀνδρός.

ἀνὴρ καὶ γυνὴ ἐξ ἀδιαθέτου ἀμοιβαδὸν ἑαυτοῖς εἰς ὁλόκληρον κατὰ τὸ ἀρχαῖον νόμιμον ὑποστηρίζεσθαι(?) ὁσάκις ἄρα γε παντελῶς ἀνιόντων ἢ κατιόντων ἢ συγγενῶν νομίμως ἡ φυσικὴ διαδοχὴ, τοῦ δημοσίου ἀποκλειομένου. εἰ γὰρ ἔστι τι διαλαμβάνει τοῦτο καὶ τοὺς ἀρμενίους τοῖς ῥωμαίων ἀκολουθεῖν νόμοις. οὗτινος ἐν τῷ ε' κεφαλαίῳ φησί·

περὶ τῶν ἐκ δύο(?) καὶ ἐπιτεθεισῶν(?) γάμων.

Θεσπίζομεν τοὺς ἀγράφως κατὰ διάθεσιν γαμικὴν γυναῖκα λαβόντας, καὶ παῖδας ἐξ αὐτῆς ποιήσαντας, χηρεύοντας δὲ τοῦ πρὸς αὐτὴν γάμου συμβῆναι αὐτοὺς καὶ ἑτέραν ἀγαγέσθαι γυναῖκα μετὰ προικώων συμβολαίων· καὶ ἐξ αὐτῆς ὁμοίως ποιήσασθαι παῖδας· μηδὲν περὶ τὴν πατρῴαν κληρονομίαν τοῖς ἐκ τῆς ἀπροίκου γαμετῆς τεχθεῖσι παισὶ πρόκριμα γίνεσθαι· ἀλλὰ μετὰ τῶν ἄλλων παίδων τῶν ἐκ τῆς δευτέρας τεχθέντων γαμετῆς τῆς μετὰ προικώων συμβολαίων συνοικησάσης, εἰς τὸν τοῦ πατρὸς καλεῖσθαι κλῆρον· οἷα καὶ ἐκ μόνης διαθέσεως δυναμένου τοῦ γάμου συνίστασθαι· ὅπερ ὁμοίως κρατεῖν βουλόμεθα, εἰ καὶ πρότερον μετὰ προικώων συμβολαίων συναφθῇ τις γαμετῇ, μετ' ἐκείνην δὲ ἑτέραν ἀγάγηται μόνῃ γαμικῇ διαθέσει. ἀνάγνωθι καὶ τὸ ε' τίτλου ῑ κεφαλαίου ι' συνάφειαν φησί. περὶ τῆς διαδοχῆς τῶν ἐπισκόπων· καὶ κληρικῶν καὶ ξενοδόχων καὶ ὀρφανοτρόφων. ζήτει καὶ ἐν τῷ περὶ ἐπισκόπων τίτλῳ:

ιζ' **Περὶ κληρονόμων ἐνεχομένων ἐκ τῶν πλημμελημάτων τῶν τελευτησάντων. καὶ μὴ ἐναγόντων καὶ ἐναγομένων, ὑπὲρ τῶν κληρονομιαίων πραγμάτων. καὶ περὶ τῆς τούτων ἐκδικήσεως καὶ ἀπαιτήσεως. ἀπὸ τῶν τελευτώντων(?), ζήτει καὶ ἐν τῷ περὶ... ζήτει καί. ἀνάγνωθι βιβλίου ιε' τίτλου α' κεφαλαίου ι' καὶ να' καὶ νε' καὶ ξε' θέματος β'. καὶ τίτλου δ' κεφάλαιον ιβ' θέμα ε'. ἀνάγνωθι καὶ β' κδ' τίτλου ζ'. οὗτινος ἐν τῷ β' κεφαλαίῳ φησί:**

Κἂν ὁ δημόσιος ἔστιν χρεωστούμενος, ἡ ἐκ προσωπικῆς ἀγωγῆς κατὰ πάντων τῶν κληρονόμων ἁρμόζει τοῦ χρεώστου· ἡ δὲ ὑποθηκαρία κατὰ τοῦ διακρατοῦντος τὰ ἐνέχυρα.

περὶ χρεῶν κληρονομίαι.

ἐν δὲ τῷ ζ' κεφαλαίῳ περὶ χρεῶν· οἱ κληρονόμοι κατέχονται οὐχ οἱ λεγατάριοι. εἰ δὲ μετὰ προκατάρξιν ὁ ἁμαρτήσας τελευτήσει, εἰς ὁλόκληρον προσκρέμεται ἡ ἀγωγὴ κατὰ τῶν αὐτοῦ κληρονόμων. ἐὰν δὲ πρὸ καταρξεως, εἰς μόνον τὸ περιελθὸν ἐνάγονται. οὐ γὰρ δίκαιόν ἐστιν ἐξ ἀλλοτρίας ζημίας κερδαίνειν τοὺς κληρονόμους:

ιη' **Περὶ κληρικῶν ἱερέων τε καὶ λοιπῶν τῶν ἐν ἐκκλησίαις κατὰ βαθμόν**

ἀνάγνωθι καὶ τὴν ρκα' συνάφειαν καὶ περὶ χρεωστῶν καὶ προνομιῶν αὐτῶν. καὶ τὴν ρλζ' καὶ τὴν γ' συνάφειαν περὶ ἀ... τῶν κληρικῶν φησί. καὶ τὴν ζ' ἀπὸ τοῦ α' κεφαλαίου φησί περὶ τῆς χρεωστῶν αὐτῶν καὶ περὶ διανομιῶν(?). καὶ τὴν ις' ἐκ τῆς νς' συνάφειαν περὶ τῶν διδομένων ἐμφανιστικῶν παρὰ τῶν χειροτονουμένων κληρικῶν τῆς μεγάλης ἐκκλησίας. καὶ τὴν νζ'. καὶ τὴν ρκα' ἀπὸ τοῦ ε' κεφαλαίου:

κ

καταλεγομένων· ἀν(άγνωθι) ϛ' τ(ίτλον) α'. ὁ τελευταῖος (?) ἐν τῷ αὐτῷ ια' κεφ. :—

Τοὺς μὴ ἀναγκάζεσθαι αὐτοὺς ἐπιτρόπους ἢ κουράτωρας γίνεσθαι. ἀλλ' οὐδὲ ἐκλήπτορα τελῶν ἢ ἀπαιτητὴν δημοσίων συντελειῶν ἢ μισθωτὴν κτημάτων ἢ ἀλλοτρίων κτημάτων ἢ κουράτωρα οἴκου· ἢ συνηγόρους δίκης ἢ ἐγγυητὴν ἐπὶ τούτων τῶν αἰτιῶν ἐπίσκοπον ἢ οἰκονόμον ἢ ἄλλου κληρικοῦ οἱουδήποτε βαθμοῦ· ἢ μοναχοῦ ἰδίῳ ὀνόματι ἢ τῆς ἐκκλησίας ἢ τοῦ μοναστηρίου ὑπεισιέναι συγχωροῦμεν· ἵνα μὴ διὰ ταύτης τῆς προφάσεως, καὶ τοῖς ἁγίοις οἴκοις ζημία γένηται· καὶ αἱ θεῖαι ὑπηρεσίαι ἐμποδίζονται. Ἐν δὲ τῷ αὐτῷ κε' κεφ. Κληρικοὺς δὲ οὐκ ἄλλως χειροτονεῖσθαι συγχωροῦμεν, εἰ μὴ γράμματα ἴσασι, καὶ ὀρθὴν πίστιν καὶ βίον σεμνὸν ἔχουσι. καὶ οὐδὲ παλλακὴν οὐδὲ φυσικοὺς ἢ ἔχουσιν ἢ ἔσχον παῖδας, ἀλλ' ἢ σωφρόνως βιοῦντας. ἢ γαμετὴν νόμιμον καὶ αὐτὴν μίαν καὶ πρώτην ἐσχηκότας ἢ ἔχοντας· καὶ μὴ δὲ χήραν μὴ δὲ διαζευχθεῖσαν ἀνδρός, μὴ δὲ ἄλλως τοῖς νόμοις ἢ καὶ τοῖς θείοις κανόσιν ἀπηγορευμένην. Ἐν δὲ τῷ αὐτῷ λ' κεφ. Καὶ γενικῶς νομοθετοῦμεν μηδενὶ ἐξεῖναι ἐν οἱῳδήποτε ἐκκλησιαστικῷ βαθμῷ καθεστῶτι ἀναχωρεῖν ἐξ αὐτοῦ καὶ κοσμικὸν γίνεσθαι, ἐπισταμένων τῶν οὕτω ποιούντων, ὅτι καὶ τῆς ὡς εἰκὸς ἐπικειμένης αὐτοῖς ζώνης ἢ ἀξίας ἢ στρατείας γυμνωθήσονται καὶ τῇ τάξει τῆς ἰδίας πόλεως προσκυρωθήσονται. Ἐν δὲ τῷ αὐτῷ λα' κεφ. ἄλλου δὲ κληρικοῦ οἱουδήποτε βαθμοῦ διδόναι τι ἐκείνῳ ὑφ' οὗ χειροτονεῖται ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ συγχωροῦμεν. μόνας δὲ παρέχειν αὐτοὺς τὰς συνηθείας τοῖς τῷ χειροτονοῦντι ὑπηρετουμένοις κατὰ τὸ ἔθος κομιζομένοις ἑνὸς ἐνιαυτοῦ διάρια μὴ ὑπερβαινούσας. Ἐν δὲ τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ ἐν ᾗ καταβάλλεται τὴν θείαν πληροῦσα λειτουργίαν, καὶ μηδὲν παντελῶς τοῖς ἰδίοις συγκληρικοῖς διδόναι ὑπὲρ τῆς ἰδίας ἐμφανείας· μὴ δὲ διὰ ταύτην τὴν αἰτίαν τὰ ὑπὲρ τῶν ἰδίων προσαμενόντων ἢ τοῦ ἄλλου μερικοῦ αὐτῶν ἀποστερεῖσθαι. ἀλλὰ μὴ δὲ ξενοδόχου ἢ πτωχοτρόφου ἢ νοσοκόμου, ἢ ἄλλου οἱουδήποτε εὐαγοῦς οἴκου διοικητὴν, ἢ οἱονδήποτε ἐκκλησιαστικοῦ φροντίσματος χειρίζοντα διδόναι τι ἐκείνῳ ὑφ' οὗ προβάλλεται· ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ τῆς ἐμπιστευθείσης αὐτῷ διοικήσεως. ὁ δὲ παρὰ ταῦτα ἀπὸ διετίας ποιῶν ἢ διδοὺς ἢ λαμβάνων· ἢ μεσίτης γινόμενος τῆς ἱερωσύνης ἢ τοῦ κλήρου· ἢ τῆς ἐμπιστευθείσης αὐτῷ οἱασδήποτε διοικήσεως γυμνωθήσεται. τῶν δεδομένων ἐκδικουμένων τῷ εὐαγεῖ τόπῳ. οὗτινος τὸ τοιοῦτο πρόσωπον τὴν χειροτονίαν ἢ φρόντισμα ἢ διοίκησιν ἔλαβεν. εἰ δὲ κοσμικὸς εἴη ὁ λαμβάνων ἢ μεσίτης γινόμενος, τὸ δοθὲν διπλοῦν ἀπαιτηθήσεται. καὶ τῷ εὐαγεῖ τόπῳ ἐν ᾧ τὸ τοιοῦτο πρόσωπον τὴν διοίκησιν ἢ τὴν χειρο

περὶ ζώνης (?)

τινὰ ἢ τὴν φρουρὰν διαλαβεῖν παρεχέσθω. Ἐν τῷ δ' λόγῳ κεφ. τοῖς δὲ πρεσβυτέροις καὶ διακόνοις καὶ ὑποδιακόνοις, καὶ πᾶσι τοῖς ἄλλοις τοῖς ἐν κλήρῳ τεταγμένοις μὴ ἔχουσι γαμετὰς κατὰ τοὺς θείους κανόνας· ἀπαγορεύομεν καὶ ἡμεῖς κατὰ τὴν τῶν αὐτῶν κανόνων δύναμιν γυναῖκά τινα ἐν τῷ ἰδίῳ οἴκῳ ἐπείσακτον ἔχειν· δίχα μητρὸς καὶ θυγατρὸς καὶ ἀδελφῆς καὶ τῶν ἄλλων προσώπων ἅτινα πᾶσαν ὑποψίαν ἐκφεύγει.

περὶ ἐπισκόπου :–

Ἐπίσκοπος δὲ μηδεμίαν παντελῶς γυναῖκα ἔχειν ἢ μετ' αὐτῆς οἰκεῖν συγχωρεῖται. εἰ δὲ ἀποδειχθῇ τοῦτο μηδαμῶς φυλάξας, τῆς ἐπισκοπῆς ἐκβαλλέσθω· αὐτὸς γὰρ ἑαυτὸν δείκνυσιν ἀνάξιον τῆς ἱερωσύνης. Ἐν τῷ δ' λόγῳ κεφ.

περὶ διακονίσσης.

διακόνισσαν δὲ οὐδενὶ τρόπῳ μετὰ ἀνδρὸς ἐξ οὗ δύναται ἀσέμνου βίου ἀναφαίνεσθαι ὑποψίαν οἰκεῖν συγχωρεῖται. εἰ δὲ ταῦτα μὴ παραφυλάξει· ὁ ἱερεὺς ὑφ' οὗ τέτακται ὑπομιμνησκέτω ταύτην ἵνα πᾶσι τρόποις ἐκβάλῃ τὸν τοιοῦτον ἄνδρα ἐκ τοῦ ἰδίου οἴκου. εἰ δὲ τοῦτο ὑπερθέσθαι πειράσαι· τῆς ἐκκλησιαστικῆς ὑπηρεσίας καὶ τῶν ἰδίων διαρίων ἀλλοτριουμένη, ἐν μοναστηρίῳ παραδιδόσθω· κἀκεῖ παντὸς τοῦ τῆς ἰδίας ζωῆς χρόνου διαγέτω. τῶν πραγμάτων αὐτῆς, εἰ μὲν παῖδας ἔχοι, μεταξὺ αὐτῆς κἀκείνων κατὰ τὸν ἀριθμὸν τῶν προσώπων διαιρουμένων· ἵνα τὸ ἁρμόζον τῇ αὐτῇ γυναικὶ τὸ μοναστήριον λαμβάνον ταύτην ἀποτρέφοι. εἰ δὲ μὴ ἔχοι παῖδας· πᾶσα ἡ αὐτῆς περιουσία μεταξὺ τοῦ μοναστηρίου ὅπου ἐκβάλλεται, καὶ τῆς ἐκκλησίας ἐν ᾗ πρότερον ἐτέτακτο ἐξ ἴσης μοίρας διαιρείσθω. ἀνάγνωθι καὶ τὸ β' καὶ τὸ δ' :–

ιθ'

περὶ κλοπῆς γενομένης ὑπὸ ἐλευθέρων τε καὶ δούλων. καὶ περὶ τῶν κλοπιμαίων. καὶ περὶ τῆς βασιλικῆς γενομένης κλοπῆς. καὶ περὶ τῆς ἐν πανδοχείῳ ἢ καπηλείῳ γινομένης. καὶ περὶ τῆς τῶν κληρονομιαίων κλοπῆς. καὶ τῆς γινομένης εἰς σάκκους ἢ ἐσθῆτας. τουτέστι τῶν ἐνδυομένων αὐτοὺς κλεπτῶν. ἀνάγνωθι β' θ' τί. γ' κεφ. να' ἐν τῷ φ. :–

περὶ κλοπῆς καὶ τοῦ τιμήματος αὐτῆς· ἀνάγνωθι καὶ τὸ περὶ ῥημάτων [illegible] :–

Ἐν τῇ ἀγωγῇ τῇ περὶ κλοπιμαίων, εἰς τὸ πᾶν ὁ ἀνὴρ τῇ γυναικὶ καταδικάζεται, ἀναφ- λῆμμα γάρ ἐστιν. ἀνάγνωθι καὶ β' ιε' τί. β' κεφ. ια' ἐν τῷ φ. Οὐ συλληφθέντα παρὰ τῷ κατηπίστευεν ἐκ τῆς κλοπιμαίας, διὰ τῆς πουβλικιανῆς ἀπαιτεῖσθαι κἂν μὴ ἐνεμήθη αὐτοῦ. ἐπεὶ δὲ κληρονόμῳ τοῦ κλέπτου οὐχ ἁρμόζει. ἐάν τε καὶ μὴ τὸ ὕστερα, ἀλλ' ἐδε- ῥήθησαν ἡ κλοπιμαία ἔχω ἐπὶ τῷ παρ' ἐμοὶ συλληφθέντι καὶ τεχθέντι ἐξ αὐτῆς τὴν πουβλικιανήν. ἐὰν ἐν τῷ κινεῖν ἀγνοῶ τὴν μητέρα κλοπιμαίαν, ἐξ ὧν γὰρ αἰτιῶν ἐδυνάμην διαζευχθεῖσαν κεκτῆσθαι τὴν μητέρα εἰ μὴ κλοπιμαία ἦν, ἐκ τῶν αὐτῶν αἰτιῶν διαζευχθεὶς κέκτημαι τὸ τεχθέν, ἀγνοῶν τὴν μητέρα κλοπιμαίαν. ἀνάγνωθι καὶ β' τί. δ' κεφ. θ' καὶ ιζ' ἐν τῷ φ. Ἐάν τις κατηπίστευε ἀγορασθῆναι δοῦλον κλοπι-

κ΄

μηδὲν ἐνέπεσεν· οὐκέτι ὁ τοιοῦτος κλοπιμαῖος καὶ δύναται διὰ τῆς χρήσεως
δεσποσθῆναι. ἀνάγνωθι καὶ βιβλίον ξ΄ τίτλος ς΄ ἀπὸ τοῦ ιθ΄ κεφαλαίου ἐν ᾧ φησί· ὁ ἀγοράσας κλοπιμαῖα καὶ
ἀπαιτούμενος εἰπὼν τὸν πεπρακότα, οὐκ ὀφείλει λέγειν ὅτι αὐτὸν οἶδα ὅστις ἐστί· παρερχό-
μενος γὰρ τῆς πεπρακέναι αὐτὰ καὶ ὥδευσεν, ἀλλ' ὀφείλει λέγειν τὸν κλέπτην. ἐν
δὲ τῷ κ΄ κεφαλαίῳ· ὁ λαβὼν χρήματα ἐφ' ᾧ διακομίσαι τινί, καὶ τινα ἐξ αὐτῶν παρακα-
τασχὼν καὶ ... αὐτοῖς, κλοπὴν ἁμαρτάνει. ἐν δὲ τῷ κα΄ κεφαλαίῳ· ἐὰν μὴ ἀ-
γνωμονοῦντός τινος περὶ τὰς ζωὰς ... · ὁ ἀπαιτητὴς ἥρπασε πράγματα καὶ πέπρακε,
κλοπὴν ἁμαρτάνει. ἐν δὲ τῷ κε΄ κεφαλαίῳ· ἐὰν μὴ ἀγνωμονοῦντός τινος περὶ τὰς ζωὰς
... ὅθεν καὶ εἰς τὸ διπλοῦν κατέχεται αὐτὸς καὶ οὐχ ὁ ἀγοράσας ἀπὸ τῆς
χρήσεως δεσπόζει τὸ πρᾶγμα. ἐν δὲ τῷ κε΄ κεφαλαίῳ· ἡ ... ἡ κλέψαντα τὰ πράγμα-
τα τοῦ ἰδίου προγόνου, κληρονόμος ἐνάγεται εἰς τὸ διπλοῦν. ἐν δὲ τῷ κθ΄ κεφαλαίῳ· ἡ ... περὶ
κλοπῆς ἀγωγὴ κατὰ κληρονόμων οὐ παραπέμπεται· ἡ δὲ ἀγωγὴ ἡ ἀπαιτοῦσα τὸ
κλαπὲν πρᾶγμα κατὰ παντὸς νεμομένου ἁρμόζει. ἀντιγέγραπται δὲ ἡ ἀγωγὴ περὶ τι-
νος δικαιώματος κλέψαντος καὶ τηρήσαντος. ἀνάγνωθι καὶ τίτλος ι΄ διαλαμβάνοντα περὶ
τῆς τῶν κλοπιμαίων ἀπαιτήσεως· ... ἐν τῷ ιβ΄ κεφαλαίῳ φησί· δοῦλος ἐξ ἄλλου
κλέπτων· ἐνάγεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγῇ μετὰ τὴν ἐλευθερίαν, οὐ μὴν
καὶ τῇ ἀπαιτούσῃ τὸ κλαπέν· εἰ μὴ ψηλαφητὸς ἐλεύθερος ὤν. ἐν δὲ τῷ ιζ΄ κεφαλαίῳ· ἐὰν
πρὶν ἢ παραδοθῇ τὸ πρᾶγμα ὁ κλέπτης συμβῇ ἀπολέσθαι, τῷ κλέπτῃ κινδυνεύει
τοῦ. ἀνάγνωθι καὶ τίτλος ια΄ ... ἐν τῷ β΄ κεφαλαίῳ φησί· καὶ ὁ δούλην κλέψας καὶ διαφθεί-
ρας τὸ πρόσωπον αὐτῆς ἢ τὸ σῶμα, ἐνέχεται καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν καὶ τῇ τῶν
φθειρόντων οἰκέτας. ἀνάγνωθι καὶ τίτλος ιβ΄ ... ἐν τῷ ε΄ κεφαλαίῳ φησί· τῆς κλοπῆς δύο εἰσὶν εἴ-
δη· φανεροῦ καὶ ἀφανοῦς. φανερὸς κλέπτης ἐστὶν ὁ μετὰ τοῦ κλοπιμαίου πράγμα-
τος ἐξ οἱουδήποτε προσώπου συλλαμβανόμενος, πρὶν ἢ τὸ πρᾶγμα ἀποκομίσῃ
ἔνθα προέθετο ἐν τῇ ἡμέρᾳ· εἴτε ἐν δημοσίῳ εἴτε ἐν ἰδιωτικῷ τόπῳ. εἰ δὲ ἀ-
πήγαγεν αὐτὸ ἔνθα προέθετο, καὶ λοιπὸν συλληφθῇ μετ' αὐτοῦ, οὐκ ἔστι φανε-
ρὸς κλέπτης. ἐν δὲ τῷ ζ΄ κεφαλαίῳ· δοῦλος καὶ μετὰ ἐλευθερίαν κρατούμενος οὐκ ἔστι
φανερὸς κλέπτης· τὸ κρατηθῆναι τὸν κλέπτην ποιεῖ αὐτὸν φανερόν. εἰ γὰρ κλέ-
πτοντά με ἐν τῷ οἴκῳ σου θεωρῶν κρύψῃς ἑαυτὸν ἵνα μὴ φονευθῇς, οὐκ εἰμὶ
φανερὸς κλέπτης. εἰ δὲ ἀποδιώξας με κρατήσεις, καὶ τὸ κλοπιμαῖον ῥίψας ἔ-
φυγον, φανερὸς κλέπτης εἰμί. καὶ οὐ διαφέρει οὔτε ὁ δεσπότης συνέχει ἢ ἕτερον
ἢ καὶ πλείων. ἐν δὲ τῷ ις΄ κεφαλαίῳ· οὔτε ἡμεῖς κατὰ τῶν ὑπεξουσίων ἡμῶν ἔχομεν τὴν
περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγήν· οὔτε αὐτοὶ καθ' ἡμῶν. ἐν δὲ τῷ κς΄ κεφαλαίῳ.

περὶ ἀγοράσαντος κλοπιμαῖον. ἀνάγνωθι καὶ τίτλος α΄ κεφαλαίου ρς΄ ὅπου εὑρήσεις περὶ ... πράγματος.

σημείωσαι. περὶ δούλης :

κλέψας

περὶ τοῦ φανεροῦ κλέπτου καὶ περὶ ἀφανοῦς :

ἀσφραγίστων ὑποκλαπέντων· οὐ μόνον τὸ τίμημα τῶν χαρτῶν, ἀλλὰ καὶ τὰ περιεχόμενα
αὐτοῖς διπλασιάζεται. καὶ ὁ κλέψας ἀποχήν, εἰς τὸ διαφέρον ἐνέχεται τὸ διπλοῦν.
οὐ διαφέρει δέ, ἐὰν ἐστράφη ἡ καταβολὴ δείκνυται. ὁ δὲ μὴ ἀποκινήσας ἀλλὰ πα-
λύψας τὸ δικαίωμα· οὐ μόνον τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ, ἀλλὰ καὶ τῇ
ἀκουιλίῳ ἐνέχεται. ἐν δὲ τῷ λα' κεφ. υἱὸς καὶ δοῦλος, καὶ ταμιευτὴς οὐχ ὑπόκειται τῇ

*περὶ νυκτερινοῦ κλέπτου. ἀν. καὶ τὸ ι' τίτ. τὸ κεφ. ζ' ἐν τῷ φη'. ὅτι . . . . κλέπτην ἔξεστι φονεύειν ἀλλὰ τὸν ἀκουσίως ἑαυτὸν διεκδι-κοῦντα:*

περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ. ἐν δὲ τῷ να' κεφ. τῆς ποινῆς καταβληθείσης,
σώζεται ἡ τοῦ κλαπέντος ἐκδίκησις. καὶ τοῦ κλαπέντος πράγματος καταβληθέν-
τος· σώζεται ἡ περὶ κλοπῆς εἰς τὸ διπλοῦν ἀγωγή. τὸν νυκτερινὸν κλέπτην τὸν ἔξω
πόλεως ἔξεστι φονεύειν, κἂν στρατιώτης ἐστί. τὸν δὲ ἐν πόλεσιν οὐκ ἔξεστι φονεύειν
εἰ μὴ ἐὰν ἄλλως διαφυγεῖν τὸν κίνδυνον ὁ φονεύσας οὐκ ἠδύνατο. τὸν δὲ ἡμερ-
ινόν, οὐκ ἔξεστι φονεύειν, εἰ μὴ ἀκούσιον ἐπιφέρεται. πάντα δὲ τὰ κλαπέντα τῇ
τοῦ ἀκουσίου προσηκόντως δίδονται. ἐπὶ ἑκατέρου δὲ δεῖ τὸν τῇ κραυγῇ δια-
μαρτύρεσθαι. οἱ ἐν νυκτὶ κλέπτοντες, αὐστηρῶς κολάζονται. μέχρι τοῦ πρὸς καὶ

*περὶ τῶν ἐν βαλανείοις κλεπτόντων καὶ ἀμυνομένων διεκδικούντων:*

ἐν εἰς δημόσιον ἔργον ἐμβληθῆναι. τὸ αὐτὸ καὶ ἐν βαλανείοις κλεπτόντων. εἰ
δὲ οἱ κλέπται ἢ οἱ διορύσσοντες, ἢ οἱ παραπλήσιοι διεκδικοῦσιν ἑαυτοὺς ἀμυνόμε-
νοι, καὶ μηδένα πλήξωσιν διὰ ξίφους, μεταλλίζονται. οἱ δὲ ἐν ἡμέρᾳ σχοι-
νίζονται. ὁ δὲ ἐν ἡμέρᾳ κλέπτων· εἰ μὲν φανερὸς κλέπτης ἐστίν, εἰς τὸ τετραπλάσιον ἐνά-

*περὶ ἡμερινοῦ κλέπτου:*

γεται. εἰ δὲ ἀφανής, εἰς τὸ διπλάσιον. καὶ τὸν οἷον δήποτε σίδηρον ἐπιφερόμενον,
ἀκινδύνως τις φονεύει. καὶ ὁ φόβῳ τοῦ μὴ ἀποθανεῖν ἀναιρῶν τὸν κλέπτην, οὐχ ὑπό-
κειται ποινῇ. εἰ μὴ δυνάμενος αὐτὸν καταλαβεῖν ἀνεῖλεν. ὁ γὰρ τοιοῦτος, καὶ τῷ περὶ αὐ-
θεντῶν φόνων νόμῳ ὑπόκειται. ἀν. καὶ τὸ ιγ' τίτλον ἐν τῷ α' κεφ. φη'. ὁ ἐν διαθήκῃ ἐ-

*περὶ κληρονομιαίων:*

λευθερωθείς, ἐὰν πρὸ ὑποστάσεως τῆς κληρονομίας κλέψῃ τὴν κληρονομίαν· εἰς τὸ
διπλάσιον οὐκ ἐνέχεται. ἵνα ἁρμόσῃ αὐτῇ ἡ ἀγωγή, δεῖ ζῶντος ἐκκλέπτειν καὶ
δόλου τοῦ ἀπελευθέρου. ἀν. καὶ τὸ κθ' τίτλον ἐν τῷ α' κεφ. φη'. διὰ ταύτης καὶ κατὰ
πατρῴου κινεῖται τὸ περὶ ἀποσυλήψεως κληρονομιαίων πραγμάτων ἔγκλημα.
ἐν δὲ τῷ β' κεφ. εἴτε οἱ ἐλευθερωθέντες ἐνάγονται τὸ περὶ ἀποσυλήψεως κληρονομι-
αίων πραγμάτων ἔγκλημα· εἴτε οἱ μεταλλάρχιοι οὐ χρὴ προσαγαγεῖν κολάσεως ἀ-
ποστρέφεσθαι αὐτοὺς τῶν καταγελοθέντων αὐτοῖς μετάλλων ἢ τῶν καταχωσθέντων αὐτοῖς
ἐλευθερίων. ἀν. καὶ τὸ μα' τίτ. δ' κεφ. κθ' ἐν τῷ φη'. ἐάν τινι μεταλλευτῇ μέρος τινῶν
πραγμάτων καὶ τινα ἐξ αὐτῶν πραγμάτων κλέψῃ, ἀπὸ τῆς οὐσίας. δηλονότι τὴν ἐπὶ
τῷ μέρει τῶν αὐτῶν πραγμάτων ἀγωγὴν ἀπόλλυσιν. ἀν. καὶ τὸ ξ' τίτ. ε' κεφ. κζ' ἐν τῷ φη'.

*περὶ φαμιλ.:*

Ἐὰν ἡ φαμιλιάριος κλέψῃ καὶ μὴ θέλω ἐκδοῦναι αὐτούς· τοῦτον διδώμι τὸν

κ΄

ἔσται κλέψας ἐνοχώτερος τουτέστι τὸ διπλοῦν καὶ τὴν τοῦ πράγματος διατίμησιν. εἴτε
ἐν λήμμασιν· εἴτε διὰ τῆς ἐκδόσεως τινῶν τῶν συμμαρτυρησάντων. καὶ οὐκ ἐνάγονται περὶ
τῶν λοιπῶν. ἀνάγν. καὶ τ. ιε΄ δεύτερος ἐν τῷ ε΄ κεφ. φη΄. Ἐὰν πολλῶν κλεψάντων ἡ ζημία
ταύτην. ὀνόματι τοῦ ἑνὸς κινηθῇ κατὰ τὸ δεσπότου. ἐπὶ τούτων ὀνόματι τῶν ἀλλων
ἐπέχεται ἡ ἀγωγή, ἕως οὗ ἐν τῷ πρώτῳ δικαστηρίῳ ὁ ἐνάγων δυνηθῇ λαβεῖν ὅσον
ἐλεύθερον κλέψαντα προσῆκεν ἔχειν. τουτέστι καὶ τὴν ποινὴν τοῦ διπλοῦ. καὶ τὸ
ἁπλοῦν τοῦ πράγματος. εἰ δὲ ἀπορεῖ εἶεν. οἱ τοῦτο πεπραχότες λυπούμενοι ἐξο-
ριζέσθωσαν. ἐὰν δὲ οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις ἐπὶ κλοπῇ ἑάλωσι γεγονότες
δοῦλοι. καὶ ἐλευθεροῦνται οὐ μόνον αὐτοὶ. ἀλλὰ καὶ ὁ ἀγοράσας τινὰ τῶν κλεψάντων.
καὶ αὐτὸς ὁ κλέψας ἐλευθερούμενος. ἀνάγν. καὶ τ. ια΄. δεύτερος ἐν τῷ α΄ κεφ. φη΄. Ἐὰν
κλοπὴ γένηται ἐν καπηλείῳ ἢ ἐν πανδοχείῳ πραγμάτων ὄντων ἐν αὐτοῖς. εἴτε συμβουλῇ καὶ
συνεργίᾳ τοῦ προεστῶτος. ἐξουσίαν ἔχει ὁ κλαπεὶς ἢ τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον
ἀγωγὴν κινῆσαι κατὰ τοῦ κλέπτου. ἢ τὴν πραιτωρίαν κατὰ τοῦ προεστῶτος τοῦ καπηλείου.
εἰ μέντοι τὴν φυλακὴν τοῦ πράγματος ὁ κάπηλος ἀνεδέξατο. αὐτὸς ἔχει τὴν περὶ κλο-
πῆς εἰς τὸ διπλάσιον ἀγωγὴν καὶ οὐχ ὁ δεσπότης, ὀνόματι ἐλευθέρου καὶ δούλου ἀλλο-
τρίου εἰς ὁλόκληρον ἐνάγεται. τὸν ἴδιον δὲ δοῦλον εἰς νόξαν ἐκδιδοὺς, ἐλευθεροῦται. Ἐ-
τῶν πρὸς ὑπουργίαν τοῦ καπήλου ὄντων ἐν αὐτῷ καὶ τῶν ἐκεῖ διηνεκῶς οἰκούντων
ἐπιγινώσκει τὰ ἀποτελέσματα ὁ κάπηλος. οὐχὶ μὴν τῶν παροδευόντων. οὐ γὰρ αὐτοὺς
ἀποσείσασθαι δύναται ὁ πανδοχεύς. ἀνάγν. καὶ τ. κβ΄ κεφ. ζ΄ ἐν τῷ φη΄. οἱ ἀπὸ σάκκων
κλέπτοντες, ἢ διαρπάζοντες ἀλλότρια διὰ τὸ κλέψαι ὑποποιοῦντες. ὑπὲρ τοὺς
κλέπτας τιμωροῦνται. καὶ ἢ πρὸς καιρὸν δίδονται εἰς δημόσιον ἔργον. ἢ ἐν παιδευτηρίῳ(?)
καὶ ἀποκλείονται. ἢ προσκαίρως ἐξορίζονται. ἀνάγν. καὶ τ. κη΄ κεφ. α΄ ἐν τῷ φη΄. οἱ τοὺς ἀν-
θρώπους ἐκδύοντες ὡς χαλεπώτεροι τῶν κλεπτῶν. εἰς δημόσιον ἔργον προσκαίρως
ἢ διηνεκῶς ἐμβάλλονται. οἱ δὲ τιμιώτεροι προσκαίρως ἀποκινοῦνται τοῦ ἀξιώ-
ματος ἢ τῆς αὐτῶν πατρίδος ἐξορίζονται. ἔνθα γὰρ πραγμάτων νόμων ἰδικὴ ποινὴ
οὐχ ὥρισται. ἔξεστι τῷ δικάζοντι ἐπιτάττειν ἣν βούλεται. περὶ τῶν μὴ δυναμένων
ἐνάγεσθαι τῇ περὶ κλοπῆς ἀγωγῇ. προκεῖται ἐν τῷ περὶ κλοπῆς ἀφαιρέσεως πραγμά-
των. καὶ περὶ κλοπῆς γενομένης ἐν τοῖς τῷ δημοσίῳ διαφέρουσι. προκεῖται ἐν τῷ
περὶ δημοσίου :

Περὶ κοχλοκλεπτῶν. ἀνάγν. β΄ τ. ις΄ τοῦ νδ΄ καὶ περὶ ὀξυβάφων διαμε-
βαίνει. δεύτερος ἐν τῷ ε΄ κεφ. φη΄ :

Ἐπειδὴ οἱ κατολικοὶ τῶν ἱματίων πραγμάτων ἔχουσι καὶ οἱ βαφεῖς καὶ οἱ ζῶναι κ...

Περὶ ἀπόρων κλεπτῶν :
Περὶ τῆς γενομένης κλοπῆς ἐν καπηλείῳ ἢ ἐν πανδοχείῳ :
Περὶ τῶν ἐκδυόντων ἀνθρώπους :

κ΄

ἄγροι πολλὰ διέφθειραν καὶ ἐκακούργησαν. τοῦτο δὲ γέγονεν ἐκ τοῦ γενέσθαι αὐτοὺς ἐν πενταετίαν. διὰ τοῦτο συνορῶμεν τοῦ λοιποῦ μὴ γίνεσθαι οὕτω τινά. ἐπεὶ ἧς κεφαλικῶς ὁ τοιοῦτος τιμωρηθήσεται. Εἰς δὲ τὸ ια' κε. ἐὰν κοχυλευτὴς στρατεύσηται ἢ ἀξίωμα τύχῃ, οὐδὲν ἧττον τῇ οἰκείᾳ ἀποδοθήσεται τύχῃ. εἰς δὲ ὁμοεθνὸς τῆς ῥαβεπταὶ τοῦ ἔθνη τινά, ἀναδιδότω αὐτά:-

ιά Περὶ κοινωνίας καὶ λύσεως αὐτῆς. καὶ περὶ κοινοπραξίας. καὶ περὶ δαπανημάτων γινομένων παρὰ κοινωνοῦ. βιβλ. ιβ' τιτ. α'. ὅτινος ἐν τῷ α' κε. ...:-

Συνίσταται κοινωνία ἢ διηνεκῶς τουτέστιν ἕως οὗ ζῶσιν. ἢ πρὸς καιρὸν ἢ ἀπὸ καιροῦ. ἢ ὑπὸ αἵρεσιν. Εἰς δὲ τὸ β' κε. ἐν τῇ κοινωνίᾳ τὰ πράγματα παραχρῆμα τῶν συναλλασσόντων πάντα γίνεται κοινὰ ὡς σιωπηρῶς παραδεδομένα, πλὴν τῶν χρεῶν. Εἰς δὲ τὸ γ' κε. ἐὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία καὶ κληρονομία καὶ λεγάτα καὶ δωρεαί, καὶ πᾶν κέρδος τῇ κοινότητι προσπορίζεται. ἡ καὶ δόλου καὶ ἀπάτης γινομένη κοινωνία. οὐκ ἔρρωται. τούτοις γὰρ ἡ ἀγαθὴ πίστις ἐναντιοῦται. Εἰς δὲ τὸ δ' κε. συνίσταται κοινωνία πραγμάτων καὶ δι' ἔργου. καὶ διαλύεται ἀπαγορεύσει. θανάτῳ. καταστάσει. ἐναλλαγῇ καὶ ἀπορίᾳ. συνίσταται καὶ ἐπὶ πᾶσι τοῖς πράγμασι. καὶ ἐπὶ πράγματα. καὶ ἐπί τινι. καὶ ἐφ' ἑνὶ πράγματι. καὶ μεταξὺ τῶν ἄνισον οὐσίαν ἐχόντων. ὁ γὰρ πενέστερος ὡς ἐπίπαν τὸ λεῖπον ἀναπληροῖ διὰ τῆς σπουδῆς αὐτοῦ. Εἰς δὲ τὸ ζ' κε. ἐὰν ἁπλῶς γένηται κοινωνία καὶ μὴ λεχθῇ ἐπί τινι, δοκεῖ συνίστασθαι ἐπὶ τῷ πορισμῷ τουτέστιν ἐπὶ τῷ περιγινομένῳ πόρῳ καὶ κέρδει ἀπὸ πράσεως καὶ ἀγορασίας. καὶ μισθώσεως. καὶ ἐκμισθώσεως. Εἰς δὲ τὸ ιζ' κε. ἐὰν ἀπαγορεύσω τῷ ἀπολιμπανομένῳ, ὅπερ κτήσομαι ἕως οὗ μάθῃ, κοινὰ γίνεται. ἡ δὲ ζημία μόνου ἐμοῦ ὁρᾷ. τὸ δὲ κέρδος τοῦ κοινωνοῦ αὐτοῦ μόνου ἐστὶ καὶ ζημία κοινή. ἐν τῇ συστάσει τῆς κοινωνίας οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν. κατὰ φύσιν γὰρ τῆς κοινωνίας, ὁ παρὰ καιρὸν ἀπαγορεύσας ἐνέχεται. Εἰς δὲ τὸ κε' κε. τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα ἐπιγινώσκει ὁ κοινωνός. κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησεν. οὐ γὰρ συμψηφίζεται τὸ κέρδος ἢ ἁμάρτημα. Εἰς δὲ τὸ κθ' κε. ἐὰν μὴ λεχθῇ τὰ μέρη, ἴσα ἐστί. δυνατὸν δὲ συμφωνεῖν τὸν μὲν ἔχειν ἓν μέρος. τὸν δὲ β' ἢ τρία. ἐὰν μέντοι πλέον ἐστὶ τῇ κοινωνίᾳ ἢ ἐν χρήμασιν ἢ ὑπουργίᾳ. ἢ ἑτέρῳ τινί, καὶ ἵνα τις μὴ ζημιοῦται μέν, τοῦ δὲ κέρδους ἐστὶ κοινωνός. ἐὰν τοσαύτη ἐστὶν ἡ ὑπουργία ὅσον ἡ ζημία. ἐὰν μόνος πλεῖ ἢ ξενιτεύῃ ἢ κινδυνεύῃ. οὕτω δύναται συμφωνεῖν. ὥστε τὸν μὲν μόνην τὴν ζημίαν. τὸν δὲ τὸ κέρδος οἰκειοῦσθαι. Εἰς δὲ τὸ λβ' κε. ὅτε μὲν ἀπὸ συναινέσεως γένηται κοινωνία, χωρεῖ ἡ περὶ κοινωνίας ἀγωγή. ὅτε δὲ χωρὶς συναινέσεως. κοινοπραξία ἐστίν. Εἰς δὲ τὸ μγ' κε. ὁ κοινωνὸς ...

ἡ διαφορὰ κοινωνίας καὶ κοινοπραξίας:-

κ′.

ἐπὶ τῶν κοινωνῶν πραγμάτων καὶ ἡ περὶ κλοπῆς καὶ ἡ περὶ ἀγωγὴ συνέχεται· καὶ οὐκ
ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα. Ἐκ δὲ τῶν μετὰ κεφ. ὁ κοινωνὸς ἀπὸ δόλου συνέχεται. ἐὰν δὲ τέχνην
ἢ ὑπηρεσίαν συνθέμενος εἰσάγειν τῇ κοινωνίᾳ ὑπέσχετο, καὶ ἀπὸ ἀμελείας συνέχεται. ἔδοξε
τὰ μικρὰ ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει. ὅθεν τὰ ὁδευθέντα διατετιμημένα θρέμματα.
Εἰ μὲν ὑπὸ λῃστοῦ ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία. Εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐκδικῶν
αὐτὰ ζημιοῦται· ἅτε δὴ τὴν φυλακὴν ὁ δεξάμενος διατετιμημένα. Καὶ ἄρχεται ἡ
περὶ κοινωνίας ἀγωγή. Ἐὰν ἐπὶ κοινωνίᾳ ἐδόθη ταῦτα βόσκεσθαι, ἐὰν ὁ κοινωνὸς ἐπὶ
κοινῇ ἀποδημίᾳ ἐμπορείᾳ περιέπεσε λῃσταῖς καὶ ἀπώλεσεν ἴδια χρήματα ἢ
περιπατεῖ ἄλλως ἢ δι᾽ ἄλλην ἐμπορίαν οὐκ ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώ-
σκει ὁ κοινωνὸς καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. ταὐτὸ ἔστι καὶ πλέον μετὰ τῆς
πραγματείας ἐδαπάνησε καὶ ἐζημιώθη. ὅλεγωεις ναυαγήσας οἰκέται ἢ πραγματεῖα φέ-
ρεσθαι. εἰ καὶ τὰ μάλιστα ὁ αὐτεξούσιος οὐ συμφέρεται ταῖς ὑπεξουσίων τὰ ἀπόστρα- περὶ ἀδελφῶν κοινωνῶν
τα περιγινόμενα, καὶ τὰ στρατιωτικά· ἐπειδὴ δὲ καὶ ὑπεξούσιος ἦν οὐ περιεσπούδαζεν
αὐτὰ ὁ πατήρ. ὅμως ἐὰν ἀδελφοὶ κοινωνίαν συνθῶνται, καὶ ταῦτα κοινοποιοῦνται. Ἐν
δὲ τῷ ιϛ κεφ. ὁ κοινωνὸς ὑπερτιθεμένου τοῦ ἄλλου ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον· ἐπιλο-
γὴν ἔχει ἢ τὰ δαπανηθέντα λαβεῖν μετὰ τόκου ἑκατοσταρίων μηνῶν μετὰ τὴν ἀνανέωσιν. ἢ
ἔχει περὶ τὴν ἀνανέωσιν πρὸς τὸν ὁμοίως τὸ ἀπαίτησιν. ἢ καὶ τὸν οἶκον δεσπόζειν μετὰ
τὴν τετράμηνον. ἢ μᾶλλον διὰ τῆς περὶ κοινωνίας ἀγωγῆς λαβεῖν τὸ διαφέρον. ἴσως γὰρ οὐ
βούλεται ἔχειν τὸν οἶκον· διὰ τοῦτο τετράμηνον προσωρίσατο ὁ νόμος. ἐπειδὴ μετὰ αὐτὴν δεσπό-
ζει τὴν δεσποτείαν δίδωσι τῷ ἀνανεώσαντι· ὁ πάντων τῶν πραγμάτων κοινωνός, πάν-
τα κοινοποιεῖ. Καὶ τὰ ἀπὸ τῆς περὶ ὕβρεως ἀγωγῆς καὶ τοῦ ἀκουϊλίου. εἴτε τὸ διάφορον
τοῦ. εἴτε τὸ διπλοῦν αὐτοῦ ἔλαβε. οὐ κοινοποιεῖ δὲ τὰ ἐξ ἀπηγορευμένων αἰτιῶν. Εἰ δὲ
καταδικασθῇ τῇ περὶ ὕβρεως ἀγωγῇ ἢ ὡς μὴ πράξας φόνον. Εἰ μὲν ἀδίκως κατε-
δικάσθη, ἐκ τοῦ κοινοῦ δίδοται. Εἰ δὲ δικαίως, μόνος ζημιοῦται. ὅπερ δὲ ἀπὸ κλοπῆς ἢ
ἑτέρου πλημμελήματος λάβοι χρή, οὐ χρὴ κοινοποιεῖσθαι· αἰσχρὰ γάρ ἐστιν ἡ τῶν ἁμαρτημά-
των κοινωνία. Εἰ δὲ οὐ συνεισήνεγκεν αὐτό, κοινοποιεῖται καὶ οὐκ ἀναλαμβάνει αὐτό
δηλονότι καταδικασθῇ. εἴτε γὰρ ἀγνοοῦντος τοῦ κοινωνοῦ ἐσπάταλεν αὐτὸ τῇ κοινότητι, μό-
νον αὐτὸ λαμβάνει. εἰ δὲ γινώσκοντος, καὶ τὴν ποινὴν λαμβάνει. Ἐκ δὲ τῶν ιϛ κεφ. θανά-
τῳ λύεται ἡ κοινωνία, καὶ οὐκ ἔρρωται σύμφωνον διαβαίνειν αὐτὴν εἰς κληρονόμους.
δηλονότι ἐπὶ δημοσίων χρεῶν. καὶ τοῦτο μετὰ λογισμοῦ δεῖ σκοπεῖν. ὁ γὰρ ὅλως διὰ τὴν
ὑπουργίαν τοῦ τεθνεῶτος ταῦτα συνέστη. Καὶ χωρὶς αὐτοῦ διοικεῖσθαι οὐ δύναται. Ἐκ δὲ
τῶν κα κεφ. τοῦ κέρδους ὁ κοινωνὸς οὐ δίδωσι τόκον, δηλονότι ἀπὸ ὑπερθέσεως ἐζήτει

δῶς. ἐπεὶ δὲ τοῦ κληρονόμου τοιοῦτον οὐδὲν λέλεκται. λύεται γὰρ ἡ κοινωνία. καὶ ὁ κοινω-
νὸς δὲ πλείων οὐ χρεωστεῖ, ἄλλως διαφέρειν δίδωσι. Ἐὰν ὁ κοινωνὸς ἀνελέσας φείδουσι
τοῖς πεπονημένοις δούλοις τραυματισθεῖσιν ἐξ αὐτῶν· οὐ λαμβάνει τὴν δαπάνην τῆς ἐπιμελείας
διὰ τῆς περὶ κοινωνίας ἀγωγῆς· οὐ γὰρ περὶ τὴν κοινωνίαν, ἢ καὶ διὰ τὴν κοινωνίαν ἐδα-
πανήθη. Ἐν τῷ βιβλίῳ νθ κεφ. θ΄ θέμ. γ΄. Εἰ μὲν πάντες ἀπαγορεύουσιν οἱ κοινωνοί, λύεται ἡ κοι-
νωνία. Εἰ δὲ ὁ εἷς ἀπαγορεύσει, αὐτὸς μὲν τοῖς ἄλλοις· οὐ μὴν δὲ αὐτῷ οἱ ἄλλοι ὑποκείν-
ται. Εἰ δὲ κατὰ δόλον ἀπαγορεύσει ἵνα κληρονομίας εἰς αὐτὸν ἐπενεχθείσης. ἡ γὰρ τῆς
κληρονομίας ζημία τοῦ ... αὐτοῦ ἔσται. τὸ δὲ κέρδος κοινόν. Εἰ δὲ μετὰ τὴν ἀπαγόρευσιν εἰς αὐ-
τὸν ἦλθεν ἡ κληρονομία, οὐ κοινοποιεῖται. Εἰ δὲ καὶ ἐπὶ πρᾶσιν πραγμάτων ἐκοινώνη-
σε, καὶ βουλόμενος αὐτὰ ἀγοράσαι ἀπαγορεύσεις, ἐνέχεται· ὅτι δὲ διαφέρονται.
Εἰ δὲ ὡς ἀπρεπῶς τῇ ἀωρίᾳ ἀπαγορεύσει ὁ κοινωνός, ἐνέχεται. Τὸ δὲ συμφέρον
τῇ κοινωνίᾳ καὶ οὕτω καὶ ἕνα τῶν κοινωνῶν σκοποῦμεν· εἰ μὴ δὲ μὲν περὶ τοῦτο
ἐν ᾧ συνίστασθαι τὴν κοινωνίαν συνέδοξε. καὶ ὁ πρὸ τοῦ συνδόξαντος χρόνου ἐπὶ
τῇ κοινωνίᾳ ἀπαγορεύων. τοῦ μὲν ἐπισυμβαίνοντος κέρδους, οὐδὲν λαμβάνει· δί-
δωσι δὲ τὸ μέρος τῆς ἐπιγινομένης ζημίας. εἰ μὴ ἐξ ἀνάγκης ἀπηγόρευσε. μὴ πληρώ-
σιν δὲ τοῦ χρόνου, ἔξεστιν ἀπαγορεύειν καὶ δι᾽ ἑτέρου. Ἐν τῷ βιβλίῳ ξζ κεφ. Οὐδεμία κοι-
νωνία εἰς ἄπειρον συνίσταται. Ἐν τῷ βιβλίῳ ξε κεφ. Ὁ κοινωνὸς ἀπὸ ἀμελείας καὶ ῥᾳθυμίας
ἐνέχεται· οὐ χρεωστεῖ δὲ μεγίστου ἐπιμέλειαν. ἀλλ᾽ οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν.
Ἐν τῷ βιβλίῳ ξς κεφ. Ἐὰν πάντων πραγμάτων τουτέστι καὶ ἐπὶ τοῖς μέλλουσι γένηται κοι-
νωνία. καὶ αἱ κληρονομίαι κοινοποιοῦνται. Εἰ δὲ καὶ ἐπὶ πάσῃ δαπάνῃ καὶ παν-
τὶ κέρδει γένηται καὶ τὸ δοθὲν εἰς προῖκα τῶν παίδων τοῦ ἑνός, παρὰ πάντων λογίζονται. Ἐν
τῷ βιβλίῳ οε κεφ. Τὰ ἀδικήματα τῆς κοινωνίας ὁ κοινωνὸς οὐκ ἐνέχεται. ὑπὲρ ὧν ὁ κοινωνὸς αὐ-
τὸς ἐδαπάνησε, εἰ μὴ εἰς τὸ κοινὸν ἦλθε τὰ χρήματα. ἀνάγν. καὶ β΄ ιζ΄ τ΄ α΄ κεφ. ζ΄. ἀνάγν. ἑβδ-
μη τοῦ ια΄ τ΄ κεφ. γ΄ θέμ. Ἐὰν ὁ κοινωνὸς εἰς ἀνανέωσιν οἰκίας ἐδαπάνησεν. οὐκ
ἀναγκαίως ἔξω τῶν διατεταγμένων βοηθεῖται. εἰ δὲ μόνος ἐκτίσας καὶ μὴ ἔχων
τὸ ἀναλογοῦν μέρος ἐν τῇ συστάσει. εἰς ὁλόκληρον τὴν δεσποτείαν αὐτοῦ ἐν ᾧ ἐλέγετο
μένος παρῆλθεν. εἰ μὴ ἄρα ἕτερος οὐκ ἐνεποδίσθη τῇ καταβολῇ: —

κβ΄ Περὶ κοινῶν πραγμάτων καὶ διαιρέσεως αὐτῶν καὶ διαπράξεως. ε΄
Περὶ τὴν ὀφειλὴν κοινῆς δικαιώματα. ἀνάγν. β΄ ιβ΄ τ΄ β΄. ὅτι ἐν τῷ ι΄ κεφ. θέμ.: —

Τοῦ κοινωνοῦ βλάψαντος τὸ κοινὸν πρᾶγμα, καὶ ὁ κληρονόμος αὐτοῦ ἐνέχεται. ἐ-
καὶ τὰ μάλιστα κατὰ κληρονόμων οὐχ ἁρμόζει ὁ ἀκουΐλιος. Ἐν τῷ βιβλίῳ ιθ κεφ. ὁ κοινὸς πυ-
λεὼν τοῦ οἴκου, ἄκοντος ἑνὸς τῶν δεσποτῶν οὐ διαιρεῖται ἐν ᾧ μέσον ἐστὶν ἑτέρου τόπος.

Ἐν τῷ ῥ τίτ. κβ κεφ. Ἐὰν ὀνομαστὶ μου καὶ τοῦ ἑτέρου κτίσω τοῖχον, κοινὸς γίνεται. Εἴτε ὡς ἀναγκαζόμενος τὸ μέρος τῆς δαπάνης. εἴτε καὶ χάριν ἔπραξα. Ἐν τῷ τίτ. λα κεφ. Εἰ μὴ δύναται διαιρεθῆναι τὰ πράγματα καθ' ὑποθηκαστικοὺς ἐνὶ προσκυροῦσθαι. Ἐὰν δὲ εἷς τῶν δικαζομένων πένης ὢν μὴ δύναται ὑποθηκαστικὸν φερέσθω καὶ ἐξαγκὸς ὀφείλων ὑποθηκαστικοὺς ἐπὶ τῷ πράγματι ποιήσασθαι. Ἀνάγνωθι τίτ. γ. τοῦ τίτλου ἐν τῷ ε κεφ. Ὁ ἄρχων δοκιμαζέτω περὶ τῶν κοινωνῶν, ὅταν λέγῃ τὰ ἐπίκοινα συμβόλαια. Ἐν τῷ τίτ. κ κεφ. Ἐὰν ἡ γινομένη μεταξὺ ἡμῶν τῶν δούλων ἐπὶ τοῖς ἐπικοίνοις πράγμασι διαίρεσις καταγραφθῆ ἢ μελετηθῇ τῆς νομῆς πέρας ἐδέξατο· ἀνανεοῦσθαι τὰ τῆ ἀμοιβαῖα πίστει περαιωθέντα οὐ δύναται. Ἀνάγνωθι καὶ βιβ. ιε τίτ. α κεφ. ιε ἐν τῷ φ. Ἐάν τις τὸ ἐπίκοινον τὸ κοινὸν ἔδαφος οἰκοδομήσῃ, τῶν τε κοινωνῶν δοκεῖ κοινωνεῖν ἔστιν. κἂν ὁ εἷς ἐκ τῶν ἄλλων κινήσῃ περὶ τοῦ μέρους τοῦ οἴκου, ὀφείλει προσφέρειν τῷ κτίσαντι τὰ δαπανήματα. Ἀνάγνωθι καὶ βιβ. ις τίτ. δ κεφ. π ἐν τῷ φ. Ὁ ἐπίκοινος οἰκέτης πάντα πρὸς πορίζει πρὸς τὰ τῆς δεσποτείας μέρη ὑπεξῃρημένου ἐκείνου, ὅσα κατακτήσηται ἑνὸς τῶν δεσποτῶν ἐπερωτᾷ. Ἀνάγνωθι καὶ βιβ. ιζ τίτ. α κεφ. λθ. Ἀνάγνωθι καὶ βιβ. ιθ τίτ. η κεφ. οτ καὶ ολ καὶ οε καὶ ος ἐν τῷ φ. Οὐ δύναται ὁ κοινωνὸς τὸ ἴδιον μόνον μέρος ἐκδικεῖν· οὐ μὴν καὶ τὸ τοῦ πεπρακότος καὶ ἐναγόμενος εἶναι :—

Περὶ κολλήκου. ἀνάγνωθι βιβ. ξ τίτ. μς κεφ. α ἐν τῷ φ. :— κγ

Ἐάν τις στρατιώτης ἢ ἱερεὺς ἐν τινι πόλει τὴν φρουρὰν τοῦ βασιλέως ἔχηται, καταδικάζεται τὸ ὀ ἓν καὶ ἀτιμοῦται. Καὶ ἐὰν διήξῃ ἕτερον ἀποκαθίστασθαι εἰς τὴν ποινὴν οὐ κάνα λαμβάνει :—

Περὶ κομμερκίου. ἀνάγνωθι βιβ. νς τίτ. δ. τοῦ τίτλου ἐν τῷ ς κεφ. φ. :— κδ

Πάντα τὰ ἰδιωτικὰ πράγματα τελωνεῖσθαι. καὶ μηδεὶς προσφερέτω τύπον κατά τινα τρόπον προστασίας τὸν ἀπαλλάσσοντα αὐτὸν τοῦ τέλους. ἀλλ' εἴτε ἔμπορός ἐστιν, εἴτε μετὰ φέρει φορτίου διδότω τέλος. ὑπεξῃρημένων τῶν ναυάρχων. οὗτοι γὰρ ἡνίκα ἑαυτοῖς ἐμπορεύονται, τοῦ τέλους εἰσὶν ἀπηλλαγμένοι. Ἐν τῷ τίτ. η κεφ. ὅσα οἱ πρεσβεύονται τῶν ἀλλοφύλων ἐθνῶν ἐπιφερόμενοι πιπράσκονται. εἴτε ἀπὸ τοῦ ἔθνους αὐτῶν πρὸς ῥωμαίους ἢ ἑαυτοῦ, τελωνεῖσθαι. Ἐν τῷ ἀπὸ ῥωμαίων ἐπὶ τὰ οἰκεῖα βαστάζουσιν, ἔσωσαν ἀτελῶντα :— Περὶ κοττιστῶν ἢ κυβευτῶν. ἀνάγνωθι βιβ. ς τίτ. α κεφ. γ ἐν τῷ φ. :— κε.

Τὸ ἐκκαλύπτεσθαι τὸν κύβον ἢ διὰ τοῦ κόττου, τὴν περὶ φυλακὴν τῶν ἐπισκόπων περιαιρεῖσθαι ἢ διάλαξις καὶ διὰ τῶν ἑρμηνέων αὐτῆ προσώπων οὓς ἂν δέοι σωφρονίζειν κελεύουσα. ἀνάγνωθι καὶ βιβ. ξ τίτ. η τοῦ τίτλου ἐν τῷ α κεφ. φ. ὁ δείξας ἢ ζημιώσας τὸν παρ' ᾧ γίνεται κύβος. ἢ ἐν τῷ κυβεύειν ἐξ αὐτοῦ κλέψας. οὐκ εὐθύνεται. ὁ δὲ πράκτωρ διασκο

Περὶ διανομῆς πραγμάτων κοινῶν :—

πρὸ τὰ περὶ τοῦ ἀναγκάζοντος ἵνα κυβεύσῃ. ἀκινδύνως οὐ μόνον οἱ κυβεύοντ(ες) ἐν
ἀλλὰ καὶ ἕκαστος ὁπουδήποτε καὶ ὁτεδήποτε τὸν ὑποδοχέα τύπτει καὶ ζημιοῖ. ἐν
δὲ τῷ οἴκῳ καὶ ἐν τῷ καιρῷ τοῦ κύβου μόνον ἔξεστιν ἀπ' αὐτοῦ κλέπτειν καὶ ὁ κλέ-
ψας οὐκ ἐνάγεται τῶν κυβευόντων. ὁ ἀναγκάζων ἵνα κυβεύσῃ ἢ τιμωρεῖται. ἢ εἰς λιθοτο-
μίαν πέμπονται. ἢ δημοσίᾳ φρουρᾷ βάλλεται :–

κϛ´ Περὶ κουρατώρων. καὶ τίνες καλοῦνται κουράτωρες. καὶ περὶ πρωτοκου-
ρατώρων. ἀνα. βι. ιζ´ τί. ε´ κε. α´ ἐν διαφ. :–

Ἐγνωσμένον (?) κουράτωρα πατὴρ οὐ δύναται καταλιπεῖν τοῖς ἑαυτοῦ παισί. τούτοις δίδωσιν ἀ-
κολούθως καὶ ἡ περὶ τούτου διάταξις νομοθετοῦσα λέγει. ὁ δὲ κουράτωρ μετὰ διαθήκης
πατρὸς οὐκ ὀρθῶς δίδοται. εἰ δὲ ὁ δοθεὶς καὶ δοὺς ἑαυτὸν ἀνυποστάτως διδόσθαι θέ-
μενος ἐθελοντὴς διοικήσῃ τὰ πράγματα. ἡ κατὰ τῶν διοικούντων ἀλλότρια κινουμένη ἀ-
γωγὴ ἁρμόζει καὶ κατὰ τοῦ πειρῶντος καὶ κατὰ τῶν κληρονόμων αὐτοῦ. καὶ κεφ. ιζ´. ἀνά-
γνωθι βι. λζ´ τί. ε´ βι. λϛ´ τί. ε´ δίγεστον (?) ἐν τῷ ιθ´ κεφ. φι. ἡ δὲ γυνὴ οὐ κουρατορεύει. ἐν δὲ τῷ λ´ κεφ. ὁ
ἔνοπλον στρατείαν στρατευόμενος. οὐδὲ ἐπίτροπος οὐδὲ κουράτωρ δύναται καταστῆναι.
εἰ δὲ καὶ κατὰ πλάνην διοικήσει. κατέχεται τῇ περὶ πραγμάτων διοικήσεως ἀγωγῇ. ἐν
δὲ τῷ λϛ´ κεφ. δοῦλος ἐπίτροπος, ἢ κουράτωρ, οὐ δύναται δοθῆναι. ἀνά. καὶ τί. ϛ´ ἐν τῷ
ζ´ δίγεστον (?) ἐν τῷ ζ´ κεφ. φι. ὁ κληρονόμος τοῦ κουράτορος μὴ ὀχλοῦντος ἑτέρου προβληθῆ-
ναι καταβάλλει τόκους. καὶ ὑπὲρ τῶν παρ' αὐτῷ ἀποκειμένων χρημάτων. ἐν δὲ τῷ η´ κεφ.
οὐκ ἀναγκάζεται ὁ κουράτωρ τῷ μαινομένῳ (?) τοὺς λόγους ἀποδοῦναι τῆς ἰδίας διοι-
κήσεως. ἐν δὲ τῷ ξ´ κεφ. ἐὰν κουράτωρ ὁμολογήσῃ προῖκα ὑπὲρ (?) τῆς κουρατωρευομέ-
νης. καὶ χρεώστης ἀναφανεὶς εὑρεθῇ μὴ ἔχουσα ταῦτα ἡ οὐσία οὐ βοηθεῖται. ἐν τοῖς ὀρ-
φανικοῖς γὰρ συναλλάγμασιν ἑκουσίως ἐρωτώμενος καὶ ἐνοχοποιῶν ἑαυτόν, οὐ βοηθεῖται.
εἰ δὲ καὶ (?) μεταβολὴν ταύτην τὴν οὐσίαν ἔχων ὡμολόγησεν ἢ ἔδοξε διορθώσασθαι (?) ἢ διὰ
τοῦ δόλου ἐνέχεται. εἰ δὲ μὴ ὡς δωρούμενος ὡμολόγησεν, ἔχει τὴν γυναῖκα ἔνοχον καὶ
ζημιωθέντος (?) τοῦ γάμου καὶ μὴ λύσει. ἀνά. καὶ τί. η´ ἐν θ´ καὶ ι´ καὶ ια´. διαλαμβάνουσι
γὰρ καὶ αὐτοὶ μερικῶς περὶ κουρατώρων. ἀνά. καὶ βι. λη´ τί. α´ καὶ β´ καὶ γ´ καὶ ζ´ καὶ θ´
καὶ ι´ καὶ ιβ´ καὶ ιγ´ καὶ ιε´ καὶ ιθ´. ὁμοίως γὰρ καὶ ἐν αὐτοῖς διαλαμβάνεται μερι-
κῶς περὶ κουρατώρων :–

κζ´ Περὶ κλινοβατῶν. ἀνά. βι. ξ´ τί. λζ´ κεφ. οζ´ ἐν διαφόροις :–

Οἱ ἰσοβολούμενοι (?) ἢ ὅσοι κλινοβατοῦσι κεφαλοκοπτοῦνται :–

κη´ Περὶ κωδικίλλου. ἀνά. βι. λϛ´ τί. α´. δίγεστον (?) ἐν τῷ α´ κεφ. φι. :–

Κωδίκιλλός ἐστιν ἐλλιποῦς διαθήκης γνώμης διατεθειμένου ἀναπλήρωσις. ἐν

# Κ'

Τὸ δὲ ιγ' κεφ. Καὶ διαθήκης μὴ ὑπούσης, δύναταί τις πρὸς αὐτοὺς ἐξ ἀδιαθέτου ποι-
ῆσαι κωδίκελλον. Καὶ ἐὰν μὴ τὴν ποίησιν αὐτοῦ τελευτῆ ὁ κληρονόμος, δίδωσι ταῦτα αὐ-
τῷ. οὐ γὰρ ῥήγνυται ἐπιγεννήσει ὑπεξουσίου. Οἱ παρὰ τῆς διαθήκης κωδίκελλοι, οὐκ ἰσχύ-
ουσιν εἰ μὴ βεβαιωθῶσιν ἐν αὐτῇ ἢ μεταγενεστέρῳ κωδικέλλῳ. ἢ ἄλλως ἀναδειχθῇ ὁ-
διαθέμενος βουληθεὶς αὐτοὺς ἐρρῶσθαι. δύνανται δὲ οἱ κωδίκελλοι διὰ μεταγενεστέρας
ἀναξέπεσθαι βουλήσεως. Πολλοὺς κωδικέλλους δύναταί τις ποιεῖν. καὶ μήτε ἀναγκάζεσθαι σφρα-
γίζεσθαι αὐτοὺς μήτε ὑπογράφεσθαι. κἂν ἐν τῷ βεβαιοῦν αὐτοὺς ἐν τῇ διαθήκῃ εἴπῃ μὴ
ἄλλως αὐτοὺς ἐρρῶσθαι εἰ μὴ σφραγισθῶσι καὶ ὑπογραφῶσι. τὰ γὰρ πρῶτα διὰ τῶν
μεταγενεστέρων ἀναιρεῖται. Ἐν δὲ τῷ η' κεφ. ὁ βεβαιῶν ἐν διαθήκῃ κωδικέλλους ἐὰν δοὺς
ἑαυτὸν εἰς θέσιν τοῦτο ποιήσῃ. Καὶ ὕστερον αὐτεξούσιος γενόμενος ἀποθάνῃ, ἔρρωται. Καὶ ἡ
διαθήκη γὰρ ἔρρωται. Κυοφορουμένου δὲ ἐπιτικτομένου καὶ τηλικοῦτος ἡ διαθήκη ῥήγνυ-
ται, οὐ μὴν οἱ κωδίκελλοι. Ἐν δὲ τῷ ιη' κεφ. Ἐν κωδικέλλοις οὐ δίδοται κληρονομία. οὔ-
τε ἐν αὐτοῖς διαθήκη βεβαιοῦται. Ἐάν τις ἀγνοῶν ἐγκυμονοῦσαν τὴν αὐτοῦ γαμετήν, κωδίκελλον
πρὸς τὸν ἤδη τεχθέντα ποιούμενος καταστρώσῃ τινάς, καὶ τεχθῇ ὁ κυοφορούμενος. μόνος
ὁ πρῶτος λαμβάνει τὰς ἡσυχείας. ἀγοράζων τὰ μέρη παρὰ τοῦ τεχθέντος, οὕτως γὰρ οὐδὲν λαμβάν-
ει. Ἐν δὲ τῷ ιε' κεφ. οὐδεὶς δύναται ἐν κωδικέλλοις γράφειν τινὰ ἐξωτικὸν κληρονόμον.
ἢ ὑποκατάστασιν ποιεῖν. ἀνάγνωθι καὶ τὸ λε' τίτ. κεφ. ιγ' ἐν φ. ὁ κωδίκελλος καὶ αἱ λοι-
παὶ γραφαὶ ὅπως δήποτε γενόμεναι, πρὸς τὴν πεπλήρωσιν ἐμφανιζέσθωσαν τῆς δια-
θήκης. ἀνάγνωθι καὶ τὸ κεφ. ξβ' ἐν φ. Εἰ καὶ ἐν κωδικέλλοις κληρονομία οὐ δίδοται.
ὅμως ἐν αὐτοῖς δύναται τὸ ὄνομα τοῦ κληρονόμου σαφηνίζειν. ὅταν ἐν διαθήκῃ εἴπῃ
κληρονόμος ἔστω ὃν ἂν ἐν τοῖς κωδικέλλοις ποιήσω κληρονόμον καὶ ὁ τοιοῦτος τελευ-
τῶν τοῖς ἐν τῇ διαθήκῃ διανεμηθείσαις ιβ' οὐγκίας λαμβάνει. ἀνάγνωθι καὶ τὸ ια' κεφ. οα'
ἐν φ. Ἐν κωδικέλλοις γινόμεναι ὀρφανικαὶ ὑποκαταστάσεις. εἰ καὶ ἄκυρός ἐστι διὰ τὸ
μὴ δύνασθαι κληρονομίαν ἐν κωδικέλλοις δίδοσθαι ἢ ἀφαιρεῖσθαι. ὅμως ὡς ἀπο-
κατάστασις ἰσχύει. Εἰ δὲ δύο ὄντες οἱ ὑποκατάστατοι ἀμοιβαδὸν ἀλλήλοις ὑποκατέστη-
σαν. κρατεῖ καὶ ἐν τῇ ἀποκαταστάσει ἡ ὑποκατάστασις. Καὶ τοῦ ἑνὸς τελευτήσαντος, ὁ ἕ-
τερος ἀπαιτεῖ τὸ φιδεικόμισσον. Καὶ κεφ. ογ' ἐν φ. ἀδιάθετος τελευτῶν ἐποίησε
κωδικέλλους, ἐν οἷς οὕτως εἶπεν. ἀνήκουσιν οὗτοι οἱ κωδίκελλοι πρὸς τὴν γαμετήν μου
καὶ τὴν θυγατέρα μου, καὶ παρακαλῶ ὑμᾶς καλῶς ἔχω ὑμῖν ἢ ὑμεῖς ποιήσετε. Τὸ ἥμισυ
τοῦ κλήρου λαμβάνει ὡς ἐξ ἀποκαταστάσεως ἡ μήτηρ. ἐὰν καὶ ἡ μήτηρ ἐπιτρόπως ἐστὶ κοι-
νοποιῆσαι τὴν οὐσίαν αὐτῆς. ἀντὶ τοῦ εἰπεῖν τοὺς υἱοὺς αὐτοῦ γράψας κληρονόμους, ἠξί-
ωσε τὸν ἕνα τελευτῶντα πρὸ τοῦ εἰκοστοῦ ἐν ἀπαιδίᾳ, τοῖς λοιποῖς ἀποκαταστῆσαι

τὸ μέρος αὐτοῦ. περὶ τὰ μέρη τῆς κληρονομίας τῶν λοιπῶν γίνονται αὖθις αἱ ὑποκαταστάσεις. ἀνάγνωθι καὶ τίτ. ις΄ κεφ. λα΄:-

ἀρχὴ σὺν θεῷ τοῦ λ στοιχείου:-

## Περὶ λεγάτων. ἀνάγνωθι βιβλ. μδ΄. οὐδενὸς ἐνδιαθ. α΄ τίτ. κεφ. α΄ θέμα:-

λε΄

Περὶ ὧν λάθρα ἔρρηται ἐν τῷ περὶ βίας. ἀνάγνωθι καὶ ν΄ τίτ. α΄ κεφ. τοῦ α΄ ἐν τῷ θέματι. ὅτι ἀναγκάζονται τὴν τοῦ διατεθεμένου βούλησιν πληροῦν:-

Ἐὰν λεγάτον ἢ κληρονομία ὑπεξουσίῳ παιδὶ ἢ δούλῳ καταλειφθῇ, δυνατόν ἐστιν ἀπὸ τοῦ πατρὸς ὃ τοῦ δεσπότου φιδεικόμισσον καταλιμπάνεσθαι. ἐλοιπὸν δὲ καὶ ἐξωτικῷ καταλειφθῇ τὸ λεγάτον, προθέσμου τῶν ὑπεξουσίων ἤγουν τοῦ τὸ λαμβάνειν δοκεῖ. ὁ δὲ τοῖς ὑπεξουσίοις καταλειφθὲν τὸ φιδεικόμισσον τοῖς πρὸς ποιεῖσθαι τὸ λεγάτον ἢ τὴν κληρονομίαν ἐπεὶ ἢ τῷ δεσπότῃ, τὸ λεγάτον ἐν προθέσμου αὐτῶν ὧν περ ὑπὲρ ἢ τοῦ δεσπότου ἤγουν τὸ φιδεικόμισσον λαμβάνειν. φησὶν οὖν ὁ Ἰουλιανὸς· ὅτι ἐάν τις ὑπεξούσιον τινὰ γράψῃ κληρονόμον, καὶ ἀξιώσῃ τὸν πατέρα αὐτοῦ δοῦναι φιδεικόμισσον, ἐάν τις ἐξωτικὸς τοῦ ἀξιώσει δοθῆναι, περιγράφει τὸ φαλκίδιον. ἐν προθέσμῳ γὰρ τοῦ παιδὸς τοῦ γραφέντος κληρονόμου ὀφείλεται. εἰ δὲ ὡς αὐτῷ ὑπεξουσίῳ ἀξιώσειεν αὐτὸν δοῦναι τὸ φιδεικόμισσον τυχὸν ὅτε μέλλει τελευτᾶν, οὐ περιγράφει φαλκίδιον ὁ πατήρ, ἢ υἱὸς τοῦ πατρὸς κληρονόμος. οὔτε γὰρ ἐν προθέσμῳ τοῦ παιδὸς δοκεῖ γενέσθαι ἀποκατάστασις τοῦ ἐγγραφέντος κληρονόμου, οὔτε δὲ ὁ πατὴρ ὡς κληρονόμος ἀποκαθίστησιν, ἀλλ᾽ ὡς πατὴρ τοῦ κληρονόμου. ὁ δὲ μὴ ὡς κληρονόμος ἀποκαθιστῶν, οὐ περικατέχει φαλκίδιον:-

Λεγάτον ἐστὶ δωρεὰ ἐν διαθήκῃ καταλειφθεῖσα. Εἰς τὸ θέμα ι΄ κεφ. Ἐπὶ πολλοῖς λεγατευθέντος ἅπαξ ὁ ἐπιλέγεσθαι δυνατόν. Εἰς τὸ θέμα ζ΄ κεφ. τὸ λεγατευθὲν τῷ δουλωμένου δυνάμενον παραιτεῖσθαι. Ἐὰν μέρος τοῦ λεγατευθέντος ἀγροῦ ἐκποιήσῃ ὁ διαθέμενος, τὸ λοιπὸν μόνον δίδοται. Ἐπειδὴ καὶ ἐὰν εἰς αὐτὸ προσθήσῃ αὔξει τὸ λεγάτον. Εἰς τὸ θέμα ια΄ κεφ. Ἐὰν γράψω κληρονόμον ὑπεξούσιον ἢ λεγατεύσω αὐτῷ, καὶ ὡς βαρῶ τὸν πατέρα ἢ τὸν δεσπότην αὐτοῦ λεγάτῳ. Καὶ ἐάν τις ἐξωτικοῦ ἐπιτρέψω τὴν κληρονομίαν ἀποκαταστῆσαι περικρατεῖ ἐν προσώπου τοῦ υἱοῦ φαλκίδιον. Εἰ δὲ αὐτῷ τῷ υἱῷ εἶπον ἀποκαταστῆσαι, οὐ περικρατεῖ. Εἰ δὲ τὸν πατέρα παρεκάλεσα, τὸ περιερχόμενον εἰς αὐτὸν μετὰ θάνατον ἀποκαταστῆσαι τῷ υἱῷ. Καὶ ζῶντος αὐτοῦ ὁ υἱὸς ἀποθάνῃ, τὸ πᾶν ὁ πατὴρ περικρατεῖ. Εἰς τὸ θέμα ιδ΄ κεφ. Ἐὰν πρᾶγμα ἡνωμένως δυσὶ λεγατευθῇ, ὧν ὁ εἷς οὐκ ἦν ἐν φύσει, μόνον τὸ ἥμισυ ὁ περιὼν λαμβάνει. Εἰς τὸ θέμα ις΄ κεφ. Ἐὰν λεγατευθῇ ἐμοὶ καὶ κυοφορουμένῳ μὴ τεχθέντος τοῦ κυοφορουμένου, τὸ πᾶν λαμβάνω. Καὶ εἶπεν ὁ διαθέμενος ἀνὰ ἴσου τὰ μέρη λαβεῖν ἡμᾶς. Εἰς τὸ θέμα κα΄ κεφ. Ἐὰν πολλοῖς λεγατευθῇ καὶ μὴ λεχθῇ, μέρος ἐξ ἴσου λαμβάνουσιν. Ἐὰν ὁ ἔχων δύο δούλους λεγατεύσει τὸν ἕνα, καὶ μὴ δηλοῦται ποῖον, ὁ λεγατάριος ἐκλέγεται ὃν ἐπιλοιπὸν. ἀγέλης λεγατευθείσης, ἐν τὰ προσλειφθέντα λαμβάνει ὁ λεγατάριος. εἰ δὲ καὶ μειωθῇ, καὶ εἰς ἕνα βοῦν περιστῇ, λαμβάνει αὐτὸν ὁ λεγατάριος, εἰ καὶ ὁ παντελὴς εἶναι ἀγέλη. Καὶ οἴκου γὰρ λεγατευομένου καὶ καιομένου, λαμβάνει τὸ ἔδαφος. Εἰς τὸ θέμα κγ΄ κεφ. Ἐὰν προσθήσῃ ὁ διαθέμενος μετὰ τὴν διαθήκην τῷ λεγατευθέντι ἀγρῷ μέρος ἐξ ἑτέρου ἀγροῦ ἢ ἐκ τοῦ λεγατευθέντος ἑτέρῳ ἀγρῷ μέρος προσκυρώσῃ. τῷ λεγαταρίῳ δὲ ἡ καὶ ἡ μείωσις καὶ ἡ αὔξησις, ὡς ἐπὶ τῆς προσχώσεως. οὐ κατακλείουσι γὰρ ἐστὶ τὰ ὀνόματα τῶν ἀγρῶν καὶ τῶν οἴκων, ἀλλὰ περὶ τὴν βούλησιν τῶν διατεθέντων. δῆλον πρᾶγμα ἐὰν λεγατευθῇ καὶ ἀπόληται, ὁ λεγατάριος ζημιοῦται. εἰ μὴ δόλος ἢ ῥαθυμία γέγονε, τοῦ κληρονόμου ἢ ὑπερθέσεως τὸ μὴ δοθῆναι ἐνθαπτ. Εἰς τὸ θέμα κδ΄ κεφ. Ἐὰν μέρος οὐσίας λεγατευθῇ, ἐπιλογὴν ὁ κληρονόμος ἔχει. ἢ τὸ μέρος τῶν πραγμάτων δοῦναι, ἢ τὴν ἀποτίμησιν αὐτῶν. τῶν μὲν

# λ΄

τι ἀδιαιρέτων, πάντως τὸ τίμημα δίδωσιν. Ἐν τῷ δ΄ κθ κεφ. Ἐὰν πολλοὺς ἔχων Πέτρ-
ληγατεύσω Πέτρον, καὶ μὴ δηλοῦται ποῖον, ὁ κληρονόμος ἔχει τὴν ἐπιλογήν. Ἐν τῷ δ΄
λ κεφ. Ἐὰν οἱ μὲν ζευγνύμενοι ὦσιν, οἱ δὲ διεζευγμένοι, προσώπου ἑνὸς ὑπερέχουσιν οἱ ζευ-
γνύμενοι. Ἐὰν τὸ αὐτὸ πρᾶγμα πολλάκις μοι ἐν τῇ αὐτῇ διαθήκῃ ληγατευθῇ, ἅπαξ μόνον
ἢ τὸ πρᾶγμα ἢ τὴν ἀποτίμησιν λαμβάνω. Εἰ δὲ ἐν διαφόροις διαθήκαις· ἀπὸ μὲν τῆς μι-
ᾶς τὸ πρᾶγμα, ἀπὸ δὲ τῆς ἄλλης, τὸ τίμημα λαμβάνω. Ἐὰν δυσὶ κοινῶς ληγατευθῇ πρᾶγ-
μα, ὧν ὁ εἷς κληρονόμος ἐστίν, οὐ κατὰ τὸ αὐτὸ ἀφ᾽ ἑαυτοῦ ληγατεύεται, ἀλλὰ τοῦτο τῷ
συλληγαταρίῳ ἁρμόζει. Εἰ γὰρ καὶ δυσὶ κληρονόμοις γραφῶσιν, ὁ μὲν εἰς τὸ ια΄. ὁ δὲ
εἰς τὸ α΄. ληγατευθῇ πρᾶγμα, ὁ μὲν εἰς τὰς ια τὸ κληρονομῶν, ια τὸ ἔχει τοῦ ληγάτου.
ὁ δὲ ἕτερος α΄. Εἰ δὲ ληγατάριος γένηται κληρονόμος ἑνὸς τῶν κληρονόμων, ἀποθνή- ιβ΄ τὸ ληγατευθέν
σκει τὸ ληγάτον αὐτῷ. Ἐν τῷ δ΄ λα κεφ. Ἐὰν ἀλλότριος δοῦλος ληγατευθῇ μοι καὶ ἐλευθερώσῃ
αὐτὸν ὁ δεσπότης αὐτοῦ, οὐδὲν κομίζεται. Ἐν τῷ δ΄ λβ κεφ. Δούλου γενικῶς ληγατευθέντος,
οὔτε ὁ κάλλιστος οὔτε ὁ χείριστος δίδοται. οὔτε γὰρ δύναται τὸν τοιοῦτον ἐπιλέξασθαι. Ἐν
τῷ δ΄ λδ κεφ. Ὁ ληγατάριος, οὐ δύναται μέρος καταδέξασθαι καὶ μέρος παραιτήσασθαι. Τῶν Ἐν ὁμοίως φησὶ ἐν τῷ ιδ κεφ. τοῦ βιβ.
δὲ κληρονόμων τοῦ ληγαταρίου ὁ μὲν δύναται καταδέξασθαι τὸ ἴδιον μέρος, ὁ δὲ παραιτή-
σασθαι. Ἐν τῷ δ΄ λε κεφ. Ἐὰν ὁ ληγατευθεὶς δοῦλος ἢ ἐν φυγῇ ἢ μακρὰν ἄπεστιν, ὁ κληρο-
νόμος αὐτὸν ἰδίοις ζητεῖ δαπανήμασι. τοὺς καρποὺς δίδωσιν ὁ κληρονόμος οὐχ οὓς
ἔλαβεν, ἀλλὰ καὶ οὓς ὁ ληγατάριος ἠδύνατο λαβεῖν. Τὸ αὐτὸ καὶ περὶ ὑπηρετικῶν δούλων
καὶ μαθητῶν ὑποζυγίων καὶ πλοίων ἐνοικίων. Ἐπὶ δὲ τόκων, ὁ δικαστὴς ἀκολουθεῖ τῷ
ἔθει τοῦ κλίματος. Μετὰ δὲ ὑπόθεσιν, καὶ τὴν φθορὰν τοῦ ληγατευθέντος ἐπιγινώσκει ὁ κλη-
ρονόμος. ὥσπερ ἐν τῇ ἐπερωτήσει μετὰ τὴν ὑπόθεσιν ἐὰν τὸ πρᾶγμα φθαρῇ, δίδοται ἡ διατίμη-
σις. Καὶ ὅσα ἠδύνατο προσπορισθῆναι διὰ τοῦ ληγατευθέντος. τυχὸν κληρονομία ἢ λη-
γάτον, ἢ ἕτερον. πάντα τὰ περιλαβόντα τῇ τοῦ ληγατευθέντος πράγματα ὁ κληρονόμος δί- περὶ τόκους :—
δωσιν. Ἐὰν ἔχω δύο ὁμωνύμους ἀγροὺς ληγατεύσω τὸν ἕνα, καὶ μὴ δηλοποιήσω, ὁ ἐλάτ-
των δίδοται, ἐὰν μὴ τὴν ἐναντίαν μου γνώμην δείξῃ ὁ ληγατάριος. Ἐν τῷ δ΄ λς κεφ. Ἐὰν ἀλλό-
τριον πρᾶγμα ληγατευθῇ μοι οὗτινος τὴν κτῆσιν οὐκ ἔχω οὔτε δύναμαι αὐτοῦ νεμηθῆναι,
τὸ τίμημα λαμβάνω. Ἐν τῷ δ΄ νς κεφ. Αἱ χάριν ἀπατημένως γραφαὶ καὶ ἐν ταῖς κληρο- περὶ ἀπατημένως :—
νομίαις καὶ ἐν τοῖς ληγάτοις οὐκ ἰσχύουσιν. οἷον, ἐξ οὗ ἂν με γράψῃ πρὸς κληρονόμον,
ἔστω μου κληρονόμος. Ἐν τῷ δ΄ νθ κεφ. Ἐὰν κατὰ μέρος ὅλος ὁ ληγατευθεὶς οἶκος ἀνανε-
ωθῇ, ὡς μηδὲν ὑπεῖναι τῆς προτέρας ὕλης, ἔρρωται τὸ ληγάτον. Εἰ δὲ καταστρέψῃ αὐτὸν ὁ
διαθέμενος καὶ ἄλλον ἀντ᾽ αὐτοῦ κτίσει, ἔσβεσται. εἰ μὴ ἑτέρως ἐνενόησεν. Ἐν τῷ δ΄ ξγ
κεφ. οὐ κατὰ τὸ ἐπιζητεῖ ὁ κληρονόμος δοῦναι τὴν τιμὴν τοῦ ληγατευθέντος ὁπόσους λέ-

Ἐὰν πολλούς τις ἔχων οἰκέτας Στίχους ὀνομαζομένους, ἀορίστως εἶπε ἀδήλως ληγατεύσῃ Στίχον, ὃν ἂν ἐπιλέξηται ὁ κληρονόμος, τοῦτον λαμβάνει ὁ ληγατάριος. Εἰ μὴ ἄρα δῆλον ἐστὶ περὶ ποίου ἐνόησεν ὁ διατάξας. ταῦτα δὲ νόει ἔνθα ἰδικῶς Στίχον ἐκληρονόμησε ἐκ ὀνόματος. τουτέστιν ἀνωνύμως. Εἰ γὰρ πολλούς τις ἔχων οἰκέτας, ἰδικῶς οἰκέτην ληγατεύσει ὀνόματι μὴ προσθείς, τότε ὁ ληγατάριος ἔχει τὴν ἐπιλογήν. ὡς ὁ Ἀφρικανὸς ἐν τῷ ρζ΄ τῶν παραδόσεων :—

Τῶν μὴ δίκαιον εἶναι χωρισθῆναι αὐτά. οὐ γὰρ ἐπὶ μόνων αὐτῶν συλλαμβάνεσθαι ἐδέχθη ὡς ἀνωτέρω. Ἐν τῷ αὐτῷ ξϛ΄ κεφ. Ἐὰν ληγατεύσωσι τὰ νομίσματα ἅτινα χρεωστεῖ μοι πέτρος, καὶ εὑρεθῇ μηδὲν χρεωστῶν, ἄχρηστον τὸ ληγάτον. Εἰ δὲ καὶ χρεωστοῦντα αὐτὸν ἀπῄτησα, σβέννυται. Εἰ δὲ καὶ χρεωστεῖ μόνας τὰς ἀγωγὰς ἐκχωρεῖ ὁ κληρονόμος. Εἰ δὲ ληγατεύσωσι οὕτως ληγατεύω σοι ἅτινα χρεωστεῖ αὐτῷ, καὶ τύχῃ μηδὲν χρεωστῶν. Εἰ δὲ μὴ προσέθηκα ποσόν, ἄχρηστον τὸ ληγάτον. Εἰ δὲ εἶπον τὰ βιβλία ὅσα ἔρραψαν. τὸ δὲ γὰρ ἐπὶ πρωτικὸς ληγατευομένης κρατεῖ. Ἐν τῷ αὐτῷ οζ΄ κεφ. Δύναται ὁ ὑπεξούσιος υἱός, τὴν ἐκ κληρονομίας τοῦ πατρὸς παραιτήσασθαι, τὸ δὲ ληγάτον καταδέχεσθαι. Εἰ μὴ ἄρα ἢ ἐξεφώνησεν, ἢ ἐγνώρισεν ὁ πατὴρ μὴ θέλειν αὐτὸν χωρὶς τῆς κληρονομίας λαβεῖν τὸ ληγάτον, καὶ ὁ αὐτεξούσιος γὰρ δύναται τοῦτο ποιεῖν. Ἐν τῷ αὐτῷ οη΄ κεφ. Ὁ δεσπότης ἐκ τῆς διαθήκης αὐτῆς τὸ ληγάτον ἀπαιτεῖται. οἱ μὲν πρὸ καταρχὴν καρποὶ καὶ τόκοι καὶ τὰ προσποριζόμενα ληγατευθέντι δούλῳ ἀποκαθίσταται τῷ ληγαταρίῳ. Ἐν τῷ αὐτῷ οθ΄ κεφ. Ἐὰν ληγατεύσωσι χρήματα, καὶ ἀξιώσωσι δοῦλον ἀλλότριον ἐλευθερωθῆναι καὶ ἀπέθανεν, ἢ ὁ δεσπότης αὐτὸν οὐ πιπράσκει, κερδαίνει τὸ ληγάτον. Ἐν τῷ αὐτῷ πα΄ κεφ. Ἐὰν ἐνστῶσι τοῦ πενθερίου κληρονόμου, καὶ ληγατεύσωσι τὸ μέρος τῆς κληρονομίας, ὑπεξαιρεῖ καὶ τὴν κεχρεωστημένην αὐτῷ περὶ ἐμοῦ προῖκα, καὶ τὰ ἄλλα χρέα. Ἐν τῷ αὐτῷ πδ΄ κεφ. Ἐὰν ζῶντος τοῦ διαθεμένου φύγῃ ὁ ληγατευθεὶς δοῦλος, κινδύνῳ καὶ δαπάνῃ μὲν τοῦ ληγαταρίου ἐπανέρχεται. Εἰ γὰρ ληγατευθεὶς ἔφυγεν ἐάσει ὑπὸ τοῦ διαθεμένου, δίδωσιν ὁ κληρονόμος. Ἐὰν ληγατευθῇ δοῦλος, τὴν ἐπιλογὴν ὁ ληγατάριος ἔχει· καὶ ὁ δυνάμενος διὰ θεὸν αὐτὴν χρήσασθαι, μετὰ ... κινδύνῳ τοῦ κληρονόμου καὶ ἀποθνήσκει καὶ χειροτονεῖται ὁ ληγατευθεὶς δοῦλος. Ἐὰν δὲ ὡς χειροτονούμενον αὐτὸν δώσῃ, μένει ἐνεχόμενος. Ἐν τῷ αὐτῷ πϛ΄ κεφ. Ἐὰν ἀξιωθῇ ὁ κληρονόμος δοῦναί μοι ὃν βούλεται δοῦλον, οὐκ ὀφείλει δοῦναί μοι τὸν χείριστον. Ἐὰν δὲ ἐν ἀδήλῳ κλέπτην μοι δῷ, καὶ ὑποστῶ περὶ αὐτοῦ κλοπήν, ἐνάγεται περὶ δόλου αὐτῇ καὶ ἀναγκάζεται ἄλλον δοῦναι καὶ τοῦτον ὡς εἰς τὴν ζημίαν ἐκδοῦναι. Ἐν τῷ αὐτῷ ρβ΄ κεφ. Οἱ κηλωσ... δίκαιος ἐπὶ τὸ καταλυθῆναι ληγατεύεται. Ἐν τῷ αὐτῷ ρε΄ κεφ. ληγάτον ἐστι μείωσις τῆς κληρονομίας. Ἐν τῷ αὐτῷ ριβ΄ κεφ. Ἐὰν ἄχρηστον καταλειφθῇ ληγάτον καὶ οἱ κληρονόμοι ἐν ἀδήλῳ αὐτὸ καταβάλωσιν, οὐκέτι δύνανται αὐτὸ ἀναλαμβάνειν. Ἐν τῷ αὐτῷ ριϛ΄ κεφ. Ἐὰν κτήματα ὑποκείμενα ληγατευθῶσιν, ὁ κληρονόμος ἀναγκάζεται ταῦτα ἀναρρύσασθαι. μάλιστα δὲ καὶ τὴν τιμὴν ... κατάστασιν αὐτῶν, ἢ εἰ γνοὺς ... ἠπίστατο, ἔμελλεν αὐτῶν ἑτέρῳ ληγατεύειν. Ἐν τῷ αὐτῷ ... πρὸ τοῦ δανειστοῦ, ὁ κληρονόμος ἀναγκάζεται δοῦναι τῷ ληγαταρίῳ τὴν διατίμησιν αὐτῶν. Ἐν τῷ αὐτῷ ρλβ΄ κεφ. Καὶ ἐν

λ'

ἐπιστολῇ ἐν οἱῳδήποτε λιβέλλῳ, καὶ ἀγράφως καὶ νεύματι, ληγάτον καταλιμπάνεται. ἐν
τῷ δ' βιβλ. ρλε' κεφ. ἐὰν ὑπεξουσίῳ καταλειφθῇ ληγάτον ὃ ὁ πατὴρ παραιτήσηται, αὐτὸς δύναται
ὁ ὑπεξούσιος αὐτὸ ἀπαιτῆσαι. ἐν τῷ δ' βιβλ. ς' τ' κεφ. γ' φ. ἐὰν ἐκ τοῦδε τοῦ πίθου ληγατευθῶ
σιν δέκα κεράμια, καὶ μὴ ἔχῃ τοσαῦτα, τὸ εὑρισκόμενον λαμβάνω. ἐν τῷ δ' ι' κεφ. ἐ
ὰν μετὰ τὴν διαθήκην ἑνωθῶσι τὰ ληγατευθέντα ἀγροὶ καὶ ἡνωμένος αὐτὰ νέμηται, οὐ λε
γαταρίῳ διαφέρει. ἐν τῷ δ' ιβ' κεφ. χρημάτων ληγατευθέντων καὶ τῆς κληρονομίας ἀπορού
σης, εἰ καὶ μὴ καταλειφθῶσι χρήματα, δίδωσιν αὐτὰ ὁ κληρονόμος. ἐν τῷ δ' ιζ' κεφ. ἐὰν
ληγατευθῶσι [illegible], καὶ ἀξιωθῶσιν ἀποκατασταθῆναι αὐτὰ πέραν, καὶ πρὶν ἀποθάνῃ τοῦ
διατεθειμένου πέρας, οὐ αὐτὰ κερδαίνει. εἰ μὴ ἄρα ὡς ὑπουργοῦσι μόνον ἐξεχώρησαν.
ταῦτα καὶ περὶ χρεωστῶν καρπῶν ληγατευθέντων. ἐν τῷ δ' κα' κεφ. ἐὰν ἀνὴρ θέλων ἀποδε
δωκέναι τῇ γαμετῇ αὐτοῦ τὴν προῖκα, καὶ βουλόμενος αὐτῇ ληγατεῦσαι εἴπῃ ἀναδο
θῆναι πράγματα, αὐτῇ τοῦ δοθῆναι προσλαμβανομένου. ἐν τῷ δ' κβ' κεφ. τὰ χρεωστικὰ αἱρέσεως
ἢ ἡμέρας ληγατευόμενα, ἀπὸ τῆς ὑποστάσεως τῆς κληρονομίας δίδοται. ἐν τῷ δ' λγ'
κεφ. ἐὰν ἀγροῦ ληγατευθέντος μετὰ πάντων τῶν ἐν αὐτῷ περιεχομένων, καὶ τὰ ἐν αὐτῷ ἀνδρά
ποδα περιέχεται. τὰ ἰδικῶς ληγατευόμενα καὶ χρεωστικὰ δόλου τοῦ κληρονόμου μὴ εὑρισκό
μενα, ἐν τῇ οὐσίᾳ οὐκ ἀπαιτοῦνται. οἱ κληρονόμοι πρὸς τὰ κληρονομιαῖα μέρη διδόασι
τὰ ληγάτα, μὴ βαρούμενοι ἐκ τῶν ἀλλήλων ἀπορίας. ἐν τῷ δ' λδ' κεφ. ἐὰν τοῦ ληγατευθέν
τος οἴκου ὁ δοῦλος ὢν μετὰ τῆς κληρονομίας δηλῶνται οἱ τοῦ διατεθειμένου κληρονόμοι πρὸς
τὸ [illegible] ὡς μάρτυρες. οὐκ ἐκπίπτω εἰ μὴ δειχθῇ ὅτι ὡς ἀποστερούμενος ἐποίησε τοῦτο.
ἐν τῷ δ' λθ' κεφ. ἐὰν τοῦ ἀγροῦ μου τὸ ἥμισυ ληγατεύσω σοι, καὶ πέρα τὸ ἥμισυ, πάλιν τὸ
τὸ ὅλον, καὶ ἀθυρόσῃ τὸ οἱονδήποτε μέρος, τοῖς ἄλλοις πρὸς τὰ μέρη αὐτῶν αὔξει. ἐν τῷ δ'
μη' κεφ. [illegible] τοῦ ληγατευθέντος μοι βοός, οὔτε τὴν βύρσαν, οὔτε τὰ κρέας λαμβάνω.
ἐν τῷ δ' ξγ' κεφ. ὁ ληγατευθεὶς πεκούλιον, καὶ αὔξει καὶ μειοῦται πρὸς τὰ γενόμενα ἢ
ὑπεξαιρούμενα. ἐὰν τέθριππον ληγατευθῇ μοι, καὶ ἀποθάνῃ ὁ καλλιστεύων ἐν αὐ
τοῖς, σβέννυται τὸ ληγάτον εἰ μὴ πρὶν ἢ ὁ διατεθειμένος ἀνεπλήρωσε τὸ τέθριππον. ἐν τῷ
δ' ξθ' κεφ. ἐὰν ληγατευθῇ μοι τὸ μέλλον ἐκ μισθίας λαβεῖν, καὶ ἀγοράσω αὐτὴν ἐπὶ τὴν
πρᾶξιν μου, οὐ δοκῶ ἀπὸ κέρδους ἔχειν τὸ ληφθέν. διὸ πρὸς ἀναλογίαν τῶν δοθέντων παρ'
ἐμοῦ ὑπὲρ τῆς αὐτοῦ μέρος, ὁ εἰς λαβεῖν μετὰ τὴν αὐτοῦ τιμὴν ὁ δικαστής. ἐν τῷ δ' ο' κεφ. ἐ
ὰν γράψας πρός με ἐπιστολὴν ἐφ' ᾧ μετὰ θάνατον τὸ ἀνοιγῆναι ἔχουσαν οὕτως, ἐσδέναι
σε βούλομαι. ὅτι ἐδωρησάμην σοι ἑκατὸν νομίσματα ἐρρῶσθαι τὸ ληγάτον. εἰ καὶ μὴ πρὸς
τὸν κληρονόμον, ἀλλὰ πρὸς ἐμὲ διηγεῖται. ἐν τῷ δ' πδ' κεφ. τῶν ληγάτων καὶ τῶν ἀπὸ
κατασκευῶν, τοὺς τόκους ἐξ ἐκείνου τοῦ καιροῦ ἐν ᾧ ἡ δίκη προκατήρχθη δύνασθαι

περὶ πρισκοῦ λεγατευθέντος

πότε δίδονται χρεωστικὰ αἱρέσεως ληγάτα

ξ

ὅμοιος ἐστὶ καὶ ἐν τῷ πζ' κεφ.



.γ.

ἀπαιτηθῆναι φανερόν ἐστιν. ἀλλὰ καὶ οἱ καρποὶ τῶν πραγμάτων καὶ οἱ μισθοὶ τῶν δούλων οἵτινες κεκληρονόμηνται ἐκ διαθήκης ὁμοίως παρέχεσθαι ὀφείλουσιν. ἐν τῷ δὲ ιζ΄ τοῦ κεφ. ζ΄ φη· ἀπὸ στρατιωτικῆς διαθήκης καὶ ὁ περιουσιασμένος λαμβάνει λεγάτον. ἐν τῷ δὲ κα΄ κεφ. σβέννυται τὸ λεγάτον τοῦ πράγματος ἐξ ἐπικερδοῦς αἰτίας διεισκομισμένου πρὸς τῷ λεγαταρίῳ. εἰ μὴ τὴν τιμὴν ἀπῄτησεν αὐτοῦ λαβὼν ὁ διαθέμενος. ἐν τῷ δὲ μβ΄ κεφ. ἐὰν λεγατευθῇ τῇ γυναικί μου ὅσα ὀνόματι αὐτῆς διέπεμπε, περιέχει καὶ ἐσθῆτα καὶ ἀργύρεια καὶ κόσμια. καὶ ὅσα ὀνόματι τῶν γυναικῶν τῆς διαλυσικῆς χρείας διεπέμπετο καὶ οὐκ τῆς κοινῆς. εἴτε πρὶν ἀπάγεσθαι γαμετὴν ἢ μετὰ ταῦτα διέπεμπε. ἐν τῷ καὶ τὰ ἀπὸ τῶν ἐνεχύρων πραγμάτων τῆς χρήσεως αὐτῆς μεταπεμφθέντα περιέχεται. καὶ τὰ δὲ ἅπερ καὶ ὅσα ὀνόματι αὐτῆς διέπεμπε. δηλῶ καὶ τὰ πλεῖον τῶν εἰρημένων διὰ ταύτης ἕνεκεν αἰτίας διέπεμπε. ἐν τῷ χωρὶς τοῦ καὶ συνδέσμου εἶπεν ἅπερ τῆς λόγου αὐτῆς διέπεμπε. ἐκ πάντων τῶν εἰρημένων ἀνωτέρω πραγμάτων, μόνα σημαίνω τὰ χάριν αὐτῆς διαπεμφθέντα. ἐν τῷ δὲ μη΄ κεφ. ἐὰν ρ΄ βιβλία λεγατευθῶσιν, οὐκ ἀριθμὸς βιβλίων, ἀλλὰ ρ΄ τεύχη δίδονται. ἐν τῷ δὲ νϛ΄ κεφ. τῷ λεγάτῳ τῶν ἀρνῶν, οἱ μήπω τὸν ἐνιαυτὸν πληρώσαντες δηλοῦνται. ἐν τῷ δὲ νη΄ κεφ. τῷ λεγάτῳ τῶν θεραπαινίδων, καὶ αἱ δοῦλαι περιέχονται. καὶ τῶν δούλων ὡς ἐπὶ τὸ πλεῖον αἱ δοῦλαι. αὐτὸ γὰρ τὸ ἀρρενικὸν ὄνομα, καὶ τὸ θῆλυ ὡς ἐστὶ δηλωτικόν. ἐν τῷ δὲ ξα΄ κεφ. τῷ δὲ τῶν θρεμμάτων λεγάτῳ τὰ ἀγεληδὸν βοσκόμενα τετράποδα περιέχεται ἐν οἷς καὶ οἱ χοῖροι, ὑποζυγίων λεγατευθέντων, οἱ βόες οὐ περιέχονται. τῷ λεγάτῳ τῶν ἵππων καὶ φοράδες περιέχονται. οὐ μὴν τῷ τῶν προβάτων οἱ ἀρνοί. ἐκ τῆς χρήσεως ἑκάστου τὸ ποῦ δηλοῖ ἕως πότε εἰσὶν ἀρνοί. ἐν τισι γὰρ τόποις, ἕως ὅτε κείρωσιν ἀρνοὶ νομίζονται. ἐν τῷ δὲ ξδ΄ κεφ. ἀγροῦ μετὰ τῶν ἐνθηκῶν οὐδὲν ἐν αὐτῷ λεγατευομένου. καὶ τὰ ἀνδράποδα τὰ ἐν τῷ διατίθεσθαι ἐκεῖσε ὄντα δίδονται. τὰ δὲ ὕστερον προστεθέντα ὅτε ῥητῶς εἶπεν ὁ διαθέμενος. ἐν τῷ δὲ ξε΄ κεφ. οὐ κακῶς ἀναχωροῦμεν τοῖς σημαινομένοις τῶν λέξεων, εἰ μὴ πρόδηλόν ἐστιν ἕτερον ἐνθυμηθῆναι τὸν διαθέμενον. ἐὰν τοὺς νεωτέρους λεγατεύσῃ, τοῦ δικαστοῦ ἐστι σκοπεῖν περὶ ποίων ἐνενόησε. ἐν γὰρ ταῖς διαθήκαις, οὐ φυλάττομεν τοὺς ἀκριβεῖς ὅρους. οὔτε γὰρ οἱ διαθέμενοι ταῖς κυριολεξίαις κέχρηνται. ὅμως μέχρι τότε νεώτερος ἐστιν ὅτι τὴν ἐφήβου ἡλικίαν ἐξεληλυθώς ἐστιν, οὐ μετὰ τῶν γερόντων ἄρχεται εἶναι. ἐν τῷ δὲ ξθ΄ κεφ. ὅταν τοὺς ἰδίους δούλους λεγατεύσῃ τις. τοὺς πλήρει δικαίῳ δούλους, οὐ τοὺς αὐτοῦ λέγει. καὶ τοὺς καλῇ πίστει δουλεύοντας αὐτῷ καὶ οὓς ὑπέθετο ἢ ἐνεχείρωσεν ἢ ἐμίσθωσεν. οὐ μὴν τοὺς κατὰ χρῆσιν αὐτῷ διαφέροντας οὔτε οὓς ἐνέχυρον ἔλαβεν. ἐν τῷ τὰ σωματέμπορος ἦν ὁ οὕτω λεγατεύσας, τὰ πράγματα οὐ περιέχεται, φορτία γὰρ καὶ οἱ δοῦλοι νοοῦνται. ἐν τῷ δὲ οε΄ κεφ. ...

περὶ ἀρνῶν :-

περὶ θρεμμάτων :-

λ΄

λων ληγατευομένων καὶ δοῦλαι περιέχονται· καὶ παίδων, αἱ παιδίσκαι· οἰκετικόν τε καὶ
τοῦ γυναικείου ληγατευομένου. καὶ παρθένοι περιέχονται· ἐπὶ τῷ ἀνδρῶν. οἱ παῖδες. τῷ
ληγάτῳ τῶν θρεμμάτων, καὶ οἱ βόες καὶ τὰ λοιπὰ νωτοφόρα περιέχονται· βουκολίου δὲ λεγομέ- περὶ θρεμμάτων
νοι βόες οὐ μὴν αἶγαι προβάτων ἢ αἰγῶν. τῷ ληγάτῳ τῶν προβάτων, οὔτε ἀρνοὶ οὔτε κρι-
οὶ περιέχονται· τῷ μέντοι τῶν προβάτων αἶγαι περιέχονται. Ἐν τῷ δὲ ργ΄ κεφ. ὅτε εἰς οὕτως ἢ περὶ τοῦ ἢ ζῶντος
ζῶσαν ἢ ληγάτον ἢ ἀποκατάστασιν ἢ ἐλευθερίαν ἢ ἐπιτροπὴν ἔγραψεν οὕτως· ἢ ὅταν ἀνα-
βιώσωμαι κληρονόμος· ἢ τῷδε ἢ τῷδε δίδωμι καὶ ληγατεύω· ἢ δίδοσθαι βούλομαι· ἢ
τόνδε καὶ τόνδε ἐλεύθερον ἢ ἐπίτροπον εἶναι βούλομαι ἢ κελεύω. καὶ ἔδοξε τὸ ζῶντός με,
τοῦ ἢ. ἀλλὰ τὸ καὶ δεηθῆναι· ἵνα δόξῃ συμπλέκειν καὶ τὸ ἐπιτρόπῳ εἶναι προσυνηνεγκόμενος
καὶ μᾶλλον τῇ προδιατάξει ἵνα καὶ τὸ πρῶτον περὶ ἐπιτρόπου ἰσχύει καὶ τὸ δεύτερον μὴ
ἐκβάλλῃ· οὐ τόποι γὰρ λέγουν χάριν ἐν ἐνομίμῳ προσαπτήματι τοῦ βίᾳ ἢ λάθρα. ὁ ἢ περὶ τοῦ βίᾳ ἢ λάθρα
ζῶντος αὐτίκα καὶ φανερῶς κεῖται· οὕτως ἐν πᾶσι τοῖς τοιούτοις θέμασιν εἴτε ἐν-
στάσεων εἴτε ληγάτων εἴτε ἀποκαταστάσεων, εἴτε ἐλευθεριῶν· εἴτε ἐπιτροπῶν τοῦτο ἐστὶ
νοητέον. καὶ ἑκάτεροι ἔρχεσθωσαν ἴσως τῷ προσληφθέντι· ἑκάτεροι τὰ ληγάτα ὁ-
μοίως λαμβανέτωσαν. αἱ ἀποκαταστάσεις, εἰς ἑκατέρων μεριζέσθωσαν. ἡ ἐλευθερία ἑ-
κατέρῳ λαμβανέτω. τῷ τοῦ ἐπιτρόπου οἱ δύο λειτουργοῦσιν ὀφφικίῳ. Ἐν τῷ δὲ ρλη΄ κεφ.
τῇ ἀναφορᾷ τῆς τοῦ ἰλλουστρίου συντόμως ἀποκρινόμενοι· διορίζομεν τὸ τῆς φαμι- περὶ φαμιλίας
λίας ὄνομα, ταύτην ἐγνωκέναι μόνην· τοὺς ἀνιόντας καὶ κατιόντας καὶ πάντας τοὺς
συγγενεῖς καὶ τὴν ὑπόστασιν καὶ τοὺς ἀπελευθέρους καὶ τοὺς πάτρωνας καὶ τοὺς δού-
λους, διὰ ταύτης τῆς προσηγορίας σημαίνεσθαι. καὶ εἴ τις ἐν τῇ ἰδίᾳ διαθήκῃ ἀποκα-
τάστασιν τῇ ἰδίᾳ φαμιλίᾳ καταλίπῃ μηδεμιᾶς ἰδίας προσθήκης περὶ τίνων ῥητῶν
προσώπων γενομένης μὴ μόνον τοὺς συγγενεῖς, ἀλλὰ καὶ τοὺς ἄλλους ἀγνοούντων τοῦ γαμ-
βροῦ καὶ τὴν νύμφην. καὶ τοῦτο γὰρ ἡμῖν φιλάνθρωπον εἶναι δοκεῖ, εἰς τὴν ἀποκα-
τάστασιν καλεῖσθαι οὕτως. ἐὰν ὁ γάμος θανάτῳ τοῦ παιδὸς ἢ τῆς θυγατρὸς διαλυθῇ.
μηδενὶ τρόπῳ δυνηθήτωσαν ὁ γαμβρὸς ἢ ἡ νύμφη τῶν παίδων ζώντων εἰς τὴν τοιαύ-
την ἀποκατάστασιν κληθῆναι· ὁπότε ἀναμφιβόλως αὐτοὺς προσλαμβάνουσι. καὶ
τοῦτο δηλαδὴ κατὰ τάξιν γίνεσθαι· ἵνα μετ' αὐτοὺς οἱ ἀπελεύθεροι ἔχωσι τὸ τοιαύ-
την ἰσχύουσαν. καὶ εἴ τις πρᾶγμα ἀκίνητον τινὶ ληγατεύσει. ἢ ἀποκατάστασιν κατα-
λίπε καὶ ἐκώλυσεν ἐκποιηθῆναι αὐτὸ προστεθεικὼς ἵνα ἐὰν τὸ πρᾶγμα πρὸς
ποιεῖσθαι, ἐν ἄλλοις δὲ τέθεικε τὸ ὄνομα τῆς φαμιλίας, ἀλλὰ τοῦ ὑποστάσεως ... νο-
σθαι. δηλονότι καὶ οἱ δοῦλοι καὶ τὰ ἄλλα πράγματα, ἐν τῇ οὐσίᾳ ἑνὸς ἑκάστου εἶναι
νομίζονται. Ἐν τῷ δὲ ... διαλαμβάνει περὶ ἐλησίων ληγάτων. οὐδενὸς ἐν τῷ κεφ. περὶ ἐλησίων

φηʹ. Ἐὰν ἐντὸς τῆς προθεσμίας τοῦ ἐνιαυτοῦ ὅτε ἔδει με γεωργῆσαι ὑπερθέσιμον ποιήσῃ ὁ-
κληρονόμος, εἰ καὶ μετὰ ταῦτα συγχωρήσει με γεωργῆσαι, ὑπὲρ ὅλου τοῦ ἐνιαυτοῦ κα-
τέχεται. καὶ ἐπὶ ὑπηρεσιῶν δούλων. ἐὰν μὴ εὐθέως πέμψῃ τὸν δοῦλον, ἀλλὰ μετὰ
τὴν ἕκτην ὥραν, ὑπὲρ ὅλης τῆς ἡμέρας ἀπολογεῖται. ἐν τῷ δʹ ιζʹ κεφ. ἐὰν ἐπιδο-
θῆναί σοι δέκα νο ἐπὶ λʹ ἔτη, καὶ ἀποθάνῃς ἐντὸς μεταξύ, ὁ κληρονόμος σου λαμ-
βάνει τοῦ λειπομένου χρόνου· εἰ μὴ δείξῃ ὁ βαρηθεὶς ὅτι μέχρι μόνης τῆς ζωῆς σου ἠθέ-
λησε δοθῆναι. ἐν τῷ δʹ κζʹ κεφ. ἐάν τις ληγατεύσῃ πρᾶγμα καὶ μετὰ ταῦτα ὑπο-
θῇ τὸ πρᾶγμα, ἔτι ἰσχύει τὸ ληγᾶτον· ὅθεν ἐὰν ὁ ληγατάριος ἐπιλέξηται ἐκ τοῦ-
κληρονόμου τὴν προσωπικὴν ἀγωγὴν, τουτέστι τὴν ἐκ διαθήκης βοήθειαν, ὁ κληρο-
νόμος ἀναγκάζεται τὸ πρᾶγμα ἐλευθερῶσαι παρὰ τοῦ δανειστοῦ. ἐν τῷ δʹ κηʹ κεφ. δοῦ-
λος ἐν διαθήκῃ τοῦ δεσπότου μὴ δοθεὶς ἐλευθερίᾳ (?), ληγᾶτον ἢ ἀποκαταστάσεις κα-
ταγραφὲν οὐκ ἰσχύει· εἰ καὶ μετὰ θάνατον τοῦ διαθεμένου τὴν ἐλευθερίαν τρόπῳ τινὶ
ἐκτήσατο. ἐν τῷ δʹ λγʹ κεφ. ὁ ἅπαξ ὁ κληρονόμος καταβάλλει τὰ ληγᾶτα ὀφείλει ἀπαι-
τῆσαι τοὺς ληγαταρίους ἀσφαλίσασθαι διὰ τὴν ὅτι ἐὰν ἐκδικηθῇ ἡ κληρονομία, ἀ-
ποκαταστήσουσιν αὐτῷ τὰ ληγᾶτα. ἐὰν δὲ πλαστὴ φαίνηται εἶναι ἡ διαθήκη, ἐν τῷ με-
ταξὺ οὔτε δίκαιον ἐστὶ καταβληθῆναι τὰ ληγᾶτα. ἐν τῷ δʹ λδʹ κεφ. ὅτε τὸ ἀλλότριον
τις πρᾶγμα καταγράφει, εἰ μὲν εἰδὼς καὶ ἀπὸ ληγάτου καὶ ἀποκαταστάσεως· παρὰ ἐ-
κείνου ὅστις τὸ ληγᾶτον ἢ τῆς ἀποκαταστάσεως ἠξιώθη δύναται ἀπαιτηθῆναι. εἰ
δὲ ἴδιον εἶναι ἐνόμισεν, οὐκ ἄλλως ἰσχύει τὸ καταγραφέν. εἰ μὴ ἄρα ἐτύγχανε προ-
σώπῳ, ἢ γαμετῇ ἢ ἄλλῳ τοιούτῳ προσώπῳ ἔδωκε φέρνην ἔμελλε ληγατεύειν. κἂν ἠ-
πίστατο τὸ πρᾶγμα ἀλλότριον εἶναι. ἐν τῷ δʹ λεʹ κεφ. ἐάν τις ληγατεύσῃ ἐν διαθή-
κῃ πράγματα τῇ φυλακῇ, καὶ ἐπιζητήσας μετὰ τὴν διαθήκην αὐτοῦ τὰ πράγματα πα-
ρέθηκεν εἰς πεῖραν (?), ὑπὲρ τῆς φυλακῆς· μετὰ ταῦτα δὲ ἐπώλησε· οὐκέτι δύναται ὁ ληγα-
τάριος τὸ ληγᾶτον ἀπαιτῆσαι. ἐν τῷ δʹ λςʹ κεφ. ὁ ἅπαξ ὁ κληρονόμος καὶ ληγᾶτον ἔχων ἐν
τῇ διαθήκῃ καὶ ἐξαιρέτως τῆς κληρονομίας αὐτοῦ λαβεῖν τὸ καταγραφὲν αὐτῷ ληγᾶτον.
ἐν τῷ δʹ μηʹ κεφ. ἐὰν ὁ ληγατάριος κρύψῃ τὴν διαθήκην, καὶ μετὰ ταῦτα τοῦτο εἰς τὸ

περὶ ἀποκρυψάντων διαθήκην: ζ

φῶς ἀναφανῇ, παντὶ τρόπῳ κωλυτέον ἵνα κερδάνῃ· ἵνα μὴ λάβῃ κέρδος τῆς ἰδί-
ας πανουργίας αὐτὸς ὅστις τὸν κληρονόμον ἠβουλήθη τῆς κληρονομίας ζημιῶσαι· ἀλλὰ
τὸ τοιοῦτον ληγᾶτον ἐκείνου μὲν ἀφαιρείσθω· μενέτω δὲ παρὰ τῷ κληρονόμῳ ὡς
μὴ γεγραμμένον· ἵνα ὅστις ὀφείλειν βλάπτειν ἄλλον ἐνόμισεν, αὐτὸς τῆς ἰδίας
ζημίας αἰσθάνεται τὸν τρόπον. ἐν τῷ δʹ ετʹ διαλαμβάνεται περὶ χρεῶν καὶ ὑπουρ-
γῶν ληγατευθέντων. ἐν τῷ δʹ ετʹ. περὶ δούλου ληγατευθέντος. ἐν τῷ δʹ ζτʹ. περὶ περι-

κος αὐτῷ ληγατευθείσης. τίτλος ἐν τῷ ιε΄ κεφ. κεκανόνισται μετὰ πραγμάτων ἐνεχυρασμέ-
νων ληγατευθέντων ἀναγκάζεται τὸν κληρονόμον ἐλευθεροῦν αὐτά. εἰ μὴ ῥητῶς ὁ διατιθέμε-
νος εἶπεν. ἐν τῷ δὲ η΄ τίτλῳ διαλαμβάνει περὶ τῶν κατ' ἐπιλογὴν ληγατευομένων. τίτλος ἐν
δὲ α΄ κεφ. φη. ἐὰν ἐπιλογὴν δούλων ληγατεύσωσι, τρεῖς λαμβάνεις κατ' ἐπιλογήν. ἐν δὲ
δὲ γ΄ κεφ. φη. ἐὰν ρ΄ κεραμίων οἴνου ληγατευθῇ ἐπιλογή καὶ ἐπιλέξωμαι ὄξος, οὐκ εἶναι
φθείρεται ἡ ἐπιλογή. εἰ μὴ ὅπερ ἐπελεξάμην εἶχεν ὁ διαθέμενος ἐν ἀριθμῷ οἴνου.
ἀλλὰ τοῦτο ὅτε μὴ ἐξαπατώμενος ἐπελεξάμην. ἐν τῷ δὲ ιγ΄ κεφ. ἐὰν πρὸ τῆς ἐπιλογῆς ἐ-
λευθερώσῃ δοῦλον ὁ κληρονόμος. εἰ μὲν αὐτὸν ὁ ληγατάριος ἐπιλέξηται, αὐτὸν λαμβά-
νει. εἰ δὲ ἄλλον, μένει ἐλεύθερος. ἐν τῷ δὲ ιθ΄ κεφ. ἐὰν ἐπιλέξηται ὁ ληγατάριος, οὐκέ-
τι δύναται μεταμελόμενος ἕτερον ἐπιλέγεσθαι. ἅπαξ γὰρ δὲ εἶπον, τῆς δεσποτείας αὐτοῦ
γίνεται τὸ ἐπιλεγέν. ἐν τῷ δὲ θ΄ τίτλῳ διαλαμβάνεται περὶ σίτου οἴνου καὶ ἐλαίου ληγατευ-
θέντων. τίτλος ἐν τῷ ζ΄ κεφ. φη. οἴνου ληγατευομένου καὶ τὸ ὄξος περιέχεται ὅπερ ὁ δια- περὶ σίτου οἴνου καὶ ἐλαίου :
θέμενος εἶχεν ἀριθμῷ οἴνου: ἐν τῷ δὲ γ΄ κεφ. ἐὰν ρ΄ κεραμίους οἴνου ληγατεύσω
καὶ μὴ καταλίπω οἶνον ἀναγκάζεται ὁ κληρονόμος ἀγοράσαι καὶ δοῦναι οἶνον. οὐ
μὴν τὸ ὄξος ὃ εἶχον ἐν ἀριθμῷ οἴνου. οἴνου ληγατευομένου, καὶ οἱ κέραμοι περι-
έχονται. οὐχ ὡς μέρος ὄντες τοῦ οἴνου ὥσπερ τὰ ἐμβλήματα τῶν ἀργυρέων –
σκευῶν καὶ τὰ πώματα τοῦ οἴνου. οὐ μὴν οἱ πίθοι καὶ μάλιστα οἱ κεχωρισμένοι. ἢ
διὰ τὸ μέγεθος δυσχερῶς μεταφερόμενοι. οὔτε οἱ ἀσκοί. αἱ δὲ βοῦττες περιέχονται
εἰ μὴ ἀπέκειντο ἤτοι ὡς ἐξοπλισμὸς τοῦ ἀγροῦ. ἐν τῷ δὲ ε΄ κεφ. ἐὰν ῥητὸν οἴνου πο-
σὸν ἐκ τοῦ γεννωμένου ἐν τῷ δεῖνι ἀγρῷ ληγατεύσω, καὶ μὴ γένηται τοσοῦτος. οὐδὲν
πλέον τοῦ γενομένου λαμβάνεις. ἐν τῷ δὲ ς΄ κεφ. ἐὰν εἴπω δοθῆναι τὸν ἐν κεραμίοις
ἢ κάδοις οἶνον, καὶ τὰ ἀγγεῖα περιέχονται. καὶ ἐὰν τὸν οἶνον μετὰ τῶν κεραμίων ληγα-
τεύσω καὶ τὸν ἐν πίθοις δοκῶ ληγατεύειν. ὥσπερ ἐὰν πάντας τοὺς δούλους μου μετὰ
τῶν πεκουλίων αὐτῶν ληγατεύσω, καὶ οἱ μὴ ἔχοντες πεκούλια δίδονται. ἐν τῷ δὲ ζ΄ κεφ.
ἐὰν εἴπω τῇ γυναικί μου λαβεῖν οἶνον ἔλαιον μέλι. ἀλλ' ὅμως καὶ μὴ προσθήσω τὸ πο-
σόν, ὅσον ἐκ τούτων τῶν εἰδῶν κατέλιπον λαμβάνει. ἐν τῷ δὲ ια΄ κεφ. ἐκεῖνα τὰ ἀγγεῖα
τῷ ληγάτῳ τοῦ οἴνου περιέχεται. ὅσα διὰ τὴν πρὸς τὸν χρῆσιν αὐτῶν ἔχουσιν, ὡς οἱ κέ-
ραμοι καὶ οἱ κάδοι. οὐ μὴν τὰ δι' ἀνάγκης ἐπὶ τούτοις φυλάττεσθαι. ἐν τῷ δὲ ι΄ περὶ παρασκευῆς καὶ ἐξοπλισμοῦ :
τίτλῳ διαλαμβάνεται περὶ παρασκευῆς καὶ ἐξοπλισμοῦ καὶ τῶν πρὸς ὑπηρεσίαν
ληγατευομένων. τίτλος ἐν τῷ β΄ κεφ. φη. ἀγροῦ μετὰ ἐξοπλισμοῦ ληγατευομένου ἔτι
τὰ ἐκποιουμένου, οὐ γὰρ ὁ ἐξοπλισμὸς δίδοται. ἐν τῷ δὲ α΄ κεφ. δύο εἶχον ἀγροὺς
συνεζευγμένους, καὶ βόας μένοντας μετ' ἐν τῷ ἑνί ἐν τῷ δὲ ἄλλῳ ἐργαζομένους. ἐὰν

τοὺς ἀγροὺς διαφόροις ληγατεύων κατεσκευασμένους, οἱ βόες ἔνθα κάμνειν εἰώ-
θασιν ἀκολουθοῦσιν. ἐν τῷ δ΄ ε΄ κεφ. ἐὰν ληγατεύσωσιν ἀγροῦ μετὰ τοῦ ἐξοπλισμοῦ
καὶ πωλήσῃ τὸν ἀγρόν, οὐ δύναται ἐκδικεῖν τὸν ἐξοπλισμόν. ἐν δὲ τούτῳ ληγα-
τευθέντος ἀγροῦ καὶ τοῦ ἐξοπλισμοῦ, ἢ ἀγροῦ κατεσκευασμένου, δύναται τὰ ἀγρεῖα
περιέχεσθαι· ὅσα ἐπὶ τὸ γενέσθαι, καὶ συλλεγῆναι καὶ φυλαχθῆναι τοὺς καρποὺς πα-
ρεσκεύασται. καὶ ἕνεκεν μὲν τοῦ γενέσθαι εἰσίν· οἱ γεωργοῦντες καὶ οἱ προεστῶτες αὐ-
τῶν καὶ οἱ δεδαμασμένοι βόες, καὶ τὰ διὰ τὸ κοπρίζειν ὄντα θρέμματα. καὶ τὰ
πρὸς γεωργίαν ἐργαλεῖα· οἷον ἄροτρα· ἄμμαι· δρυΐαι· σκαλίδες· δρέπανοι κλα-
δευτικοί· δίκελλαι καὶ τὰ τοιαῦτα. ἐπὶ δὲ τοῦ συλλεγῆναι τοὺς καρποὺς εἰσί, ληνοί·
κόφινοι· δρέπανοι θεριστικοί· δρέπανοι χόρτου· κάρταλοι. πρὸς δὲ φυλακὴν
πίθοι, βουτίδες. εἰσὶ δὲ τὰ οἰκήματα τοῦ ἀγροῦ ἐξοπλισμὸς ἐστί. καὶ τὰ μέσαυλα φυλάτ-
τοντες καὶ οἱ τηροῦντες ταῦτα, τοῦ ἐξοπλισμοῦ εἰσίν. εἰ δὲ ἄλση ἔχει δασέα, καὶ οἱ
τούτων φύλακες. εἰ δὲ καὶ κτήνη καὶ βοσκὰς ἔχει, περιέχονται αἱ ἀγέλαι καὶ οἱ ποιμένες.

περὶ πεκουλίου:~

καὶ οἱ τὰ κτήνη φυλάττοντες. ἐν τῷ δ΄ ια΄ διαλαμβάνεται τὸ περὶ πεκουλίου ληγατευθέν-
τος. οὐδενὸς τίτλ. α΄ κεφ. θ΄. ἐὰν οἰκέτης ληγατευθῇ μετὰ τοῦ πεκουλίου τελευτήσῃ
ἢ ἐλευθερωθῇ ἢ ἐκποιηθῇ, σβέννυται τὸ τοῦ πεκουλίου ληγᾶτον. αἱ γὰρ προσθῆκαι
(συναιροῦνται) τοῖς πρωτοτύποις. ἐν τῷ δ΄ ιβ΄ κεφ. ἐὰν ὁ μετὰ τοῦ πεκουλίου ληγατευ-
θεὶς δοῦλος πρὸ τοῦ διαθεμένου τελευτήσῃ, σβέννυται τὸ τοῦ πεκουλίου ληγᾶτον. τὸ
μέντοι μετ' αὐτοῦ οὐ σβέννυται. τὸ ἐναντίον δέ, ἐὰν δοῦλος ἐλευθερούμενος ληγα-
τευθῇ.

περὶ κελλαρικοῦ:~

ἐν δὲ τῷ ιβ΄ τίτ. περὶ κελλαρικοῦ ληγατευθέντος φησίν· οὐδενὸς τίτλ. γ΄ κεφ. α΄.
κελλαρικοῦ ληγατευομένου, πάντα τὰ βρώσιμα καὶ τὰ πόσιμα περιέχεται· ἅπερ
ὁ διαθέμενος ὑπέθετο εἰς λόγον ἑαυτοῦ καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ,
καὶ περὶ αὐτὸν φαμιλίας καὶ φίλων. καὶ ὅσα καθ' ἑαυτὰ βρωθῆναι ἢ ποθῆναι οὐ δύναται·
ἔλαιον· γάρον· ἅλμην· μέλι καὶ τὰ ὅμοια. καὶ τὸ βρώμιον λεγόμενον ληγατευθῇ, ταῦτα περιέχει.
καὶ οἱ ζῶντες ἰχθύες μετὰ τοῦ ἰδίου ἀγγείου. ποσίμων δὲ ληγατευομένων, τὰ ἐν ἀγγείοις
οἴνου ὄντα παρὰ τῷ διαθεμένῳ περιέχεται. κελλαρικοῦ δὲ καθόλου ληγατευομέ-
νου, καὶ τὸ ὄξος περιέχεται, εἰ μὴ ἐπὶ κατασβέσει ἐμπρησμοῦ ὑπέθετο. καὶ
ὅπερ ἦν διὰ τὴν χρῆσιν τῶν φίλων αὐτοῦ ἢ τῶν προσφύγων ἢ παίδων τῶν περὶ αὐ-
τὸν καὶ τῶν ὑπουργούντων αὐτῷ. καὶ τοῖς φίλοις αὐτοῦ. καὶ τῶν ζώων. οὐ μὴν
διὰ τὴν ἀγροικικὴν φαμιλίαν. οὔτε τὰ διὰ τὰ ἐν τῷ ἀγρῷ ἐργαζόμενα ἢ μισθοῦ
ἐργαζόμενα. καὶ τὰ ὄσπρια καὶ ὁ σῖτος καὶ ἡ κριθή. καὶ τὰ ξύλα καὶ οἱ ἄνθρα-
κες· οἱ μὴ ἐκποιηθέντες, ἀλλ' εἰς χρείαν τοῦ διαθεμένου ὄντες καὶ ὁ λίβανος. ὅ.

λ΄.

ὁ πρὸς τὴν χρῆσιν τὴν οἰκιακὴν κηρός. καὶ τὰ μύρα. καὶ οἱ ἀποπολισμένοι χάρται.
καὶ πρὸς τὰ λογοθέσια συγγραφῆναι ἐκτραπέντες. καὶ τὰ σύσσημα πάντα. καὶ τὰ
ἄγγεα. οὐ μὴν οἱ πίθοι κατὰ τὴν εἰρημένην ἀπὸ οἴνου διάστιξιν. οὐδὲ τὰ ἐνδοὺς δοσ-
τέσ ἢ τὸ ὀστρέιον βάλλεται. ἐν δὲ τῷ π΄ τίτλῳ περὶ οἰκοσκευῆς λεγατευθέντος. τοῦ ἑνδεκάτου
ἐν τῷ α΄ κεφ. φησί. οἰκοσκευή ἐστιν. ὁ οἰκιακὸς ἐξοπλισμὸς τοῦ δεσπότου. ὅθεν οὔ-
τε τὰ ἀργύρια, οὔτε τὰ ἐσκευασμένα χρυσία. οὔτε ἡ ἐσθὴς περιέχεται. τουτέστι
τὰ κινητὰ ἄψυχα. οἷον τράπεζα τραπεζοφόροι. οἵας τραπέζας ἔχουσι δελφῖνες.
τυβήλια. σκαμνία. κλῖναι καὶ ὅσαι ἠργυρωμέναι. στρώματα. προσκεφάλαια.
σκεύη ὑδρηλά. χερνιβόξεστα. κανδηλάβρα. λύχνοι. τρύλαι. χαλκᾶ σκεύη τὰ -
πᾶσιν εἰς ὑπηρεσίαν προκείμενα. καὶ μὴ ἰδιαζόντως ἀφωρισμένα τινὶ τόπῳ,
κάμπτραι καὶ ἁρμάρια τὰ μὴ ἕνεκεν βίβλων ἢ ἐσθῆτος ἢ ὅπλων ἐκτραπέντα.
ταῦτα γάρ, οὐκ εἰσὶ τῆς οἰκοσκευῆς. ὥσπερ οὔτε αὐτὴ ἡ ἐσθὴς ἢ τὰ βιβλία ἢ τὰ ὅ-
πλα καὶ τὰ ὑάλινα σκεύη τὰ πρὸς βρῶσιν καὶ πόσιν. καὶ τὰ ὀστράκινα καὶ ὅσα
βαρύτιμα. εἰσὶ δὲ καὶ ἀργυραῖ κλῖναι ἠργυρωμέναι ἢ κεχρυσωμέναι. ἢ καὶ ὁλάργυ-
ροι. καὶ διάχρυσοι καὶ διάλιθοι. σκεύη μύρινα καὶ κρυστάλλινα. καὶ ἄλλης τιμι-
ωτέρας ὕλης. ἐὰν δὲ ἐκ τοῦ ἀργυρίου ἀνήκονται ἢ ἀργυρᾶ κανδηλάβρεια, τῷ ἀργυ-
ρῷ περιέχεται. καὶ ἡ πλάνη γὰρ τοῦ χρωμένου, νόμον ποιεῖ. ἐν δὲ τῷ ς΄ κεφ. οἰκο-
σκευή ἐστιν, ἐξοπλισμὸς τοῦ οἰκοδεσπότου. πραγμάτων ἐκτρεπομένων πρὸς τὴν
καθημερινὴν αὐτοῦ χρῆσιν. μὴ μεταπιπτόντων εἰς ἕτερον ὄνομα τυχὸν εἰς κηρα-
σικόν. ἢ ἄργυρον ἢ ἐσθῆτα ἢ κόσμια. μὴ γὰρ ὥσπερ εἰς ἐξοπλισμὸν τοῦ ἀγροῦ ἢ
τοῦ οἴκου ὅλου. τὴν γὰρ χρῆσιν καὶ οὐ τὴν ὕλην αὐτῶν περιεργαζόμεθα. εἴτε πολυ-
τελῆ ἐστιν, εἴτε μή. καὶ εἰς τὰ ἀμφιβαλλόμενα τὴν γνώμην τοῦ διαθεμένου προ-
σέχομεν. εἰ δὲ τινὶ ὁμολογουμένως ἄργυρον ἢ ἐσθῆτα ὡς οἰκοσκευὴν λεγατεύσει,
οὐκ ἔρρωται. οὐδὲ γὰρ δοκεῖ λέγειν ὁ μὴ τῷ κυρίῳ χρώμενος ὀνόματι. ἐν δὲ
τῷ ζ΄ κεφ. ἐὰν λεγατεύσω τῇ γυναικί μου οἶκον μετὰ παντὸς αὐτοῦ τοῦ δικαίου καὶ ἐ-
ξοπλισμοῦ καὶ οἰκοσκευῆς. τὰ μὲν τῆς οἰκοσκευῆς ὄντα ἀργύρεια, λαμβάνει.
οὐκέτι δὲ καὶ τὰ πρὸς βρῶσιν καὶ πόσιν εἰ μὴ τοῦτο ἠβουλήθη. ἐν δὲ τῷ ι΄ κεφ.
τὰ τὸ ὕδωρ ἀναβλύζοντα χαλκᾶ σκεύη καὶ τὰ λοιπὰ πρὸς τὴν χρῆσιν καὶ οὐ χρῆ-
σιν ὄντα τῆς οἰκοσκευῆς οὐκ εἰσί. τὰ μέντοι μύρινα καὶ ὑάλινα σκεύη τὰ πρὸς
τὸ πίνειν καὶ ἐσθίειν τῆς οἰκοσκευῆς εἰσίν. ἐν δὲ τῷ ιβ΄ κεφ. τῷ λεγάτῳ τῆς οἰκο-
σκευῆς, ἡ οἴκησις ἐν ᾗ ἀπόκειται οὐ περιέχεται. τῷ δὲ λεγάτῳ τῆς οἰκοσκευῆς τοῦ ἀ-
γροῦ ὁ ἐξοπλισμὸς αὐτοῦ οὐχ ὑπόκειται. εἰ μὴ ῥητῶς ὁ διαθέμενος εἴπῃ. ὥσπερ

περὶ οἰκοσκευῆς :

περὶ τροφῶν:

οὔτε τῷ ληγάτῳ τοῦ οἴκου, ὁ ἐξοπλισμὸς αὐτοῦ ἢ ἡ οἰκοσκευή. Ἐν τῷ δ' ιγ' κεφ.
Περὶ τροφῶν ληγατευθέντων. Οὐδενὸς ἐν τῷ ε' κεφ. φη'. Ταῖς διατροφαῖς καὶ ἡ τρο-
φὴ καὶ ἡ ἐσθὴς καὶ ἡ οἴκησις περιέχεται. Ἐν τῷ δ' ιδ' κεφ. φη'. Ἐὰν ἀνήβοις ληγα-
τεύσω διατροφὰς καὶ μὴ δηλώσω ἕως πότε, ἕως ἡβήσωσι λαμβάνουσιν αὐτάς. ἕως
ὅτε ζῶσι λαμβάνουσιν. Ἐν τῷ ζ' Εἶτα μέχρι τῆς ἥβης· ἐπὶ μὲν ἄρρενι, ἕως τοῦ ιη' ἔτους.
ἐπὶ δὲ θηλείᾳ, ἕως τοῦ ιδ' λαμβάνει. Διαμένουσι δὲ τῶν διατροφῶν, εἰ λαβόντες
οὕτως ἡ ἥβη δείκνυται. Ἐὰν εἴπω διδόναι αὐτὰ ζῶν ἐνιαυτῶν, καὶ διάφορος ἐστὶν
ἡ δόσις. τοῖς ἐν καιρῷ τελευτῆς μου δεῖ προσέχειν. Ἐν τῷ δ' ις' κεφ. Ὁ εἷς τῶν
κληρονόμων κἂν ὀνόματι πάντων διατροφὰς ἀξιωθῇ, καὶ οἱ κληρονόμοι αὐ-
τῷ ὑπόκεινται. Ἐν τῷ δ' ιε' τ. περὶ χρυσοῦ, ἀργύρου, κοσμίων, μύρων, καὶ ἀν-

περὶ χρυσοῦ, ἀργύρου, κοσμίων, μύρων καὶ ἀνδριάντων:

δριάντων ληγατευθέντων. Οὐδενὸς ἐν τῷ ιθ' κεφ. φη'. Τῷ ληγάτῳ τοῦ χρυσοῦ τὰ μό-
νον κεχρυσωμένα οὐ περιέχονται. οὔτε τὰ ἐν τῷ ἀργύρῳ χρυσᾶ ἐμβλήματα.
δακτύλιοι μόνοι χρυσοῖ περιέχονται. Τῷ ληγάτῳ τοῦ ἀργύρου οὔτε ἡ ἀργυρᾶ κλίνη.
οὔτε ὁ ἄλλος τῆς οἰκοσκευῆς ἄργυρος περιέχεται. εἰ μὴ καὶ ταῦτα ὁ διαθέμενος
εἶχεν ἐν ἀριθμῷ ἀργύρου, οὐδὲ ὁ τῶν μουλῶν κόσμος. ὅτε μὴ ἐν τῷ ἀργυ-
ρείῳ ἀπόκειται. οὔτε ἀργυραῖ κανδηλαῦραι ἢ λυχνία ἢ ζῶα ἀργυρᾶ ἐν τῷ οἴ-
κῳ κείμενα. οὔτε τὸ ἀργυροῦν ἔσοπτρον. εἰ μὴ εἶχεν αὐτὸ ἐν ἀριθμῷ ἀργύρου
ἢ [illegible]. Ἀργύρου ἐσκευασμένου ληγατευθέντος, τὰ σκεύη περιέχονται· οὐ
μὴν ἡ οἰκοσκευή. σκευῶν δὲ ληγατευομένων, οὐ μόνον τὰ ποτῶν καὶ βρώσεων
δεχόμενα περιέχεται, ἀλλὰ καὶ τὰ ὑποβαλλόμενα τοῖς σκεύεσι. καὶ σκεύη

περὶ μύρων:

πλουτικά. Ἐν τῷ δ' κα' κεφ. Μύρων ληγατευομένων, οὐ μόνον τὰ διαπάττειν, ἀλλὰ
καὶ τὰ δι' ὑγρῶν ἀλειφόμενα περιέχεται. Ἐν τῷ δ' κη' κεφ. Ἐσκευασμένος ἄργυρος
ἐστίν, ὁ μὴ ὢν ἐν βώλῳ ἢ λάμναις ἢ σφραγῖσι ἢ οἰκοσκευῇ ἢ κοσμίῳ ἢ ἐν
κόσμῳ. Ἐὰν ληγατεύσω τὸ πρὸς χρῆσίν μου ἄργυρον ἢ ἐσθῆτα ἢ οἰκοσκευήν, ἐ-
κεῖνος δηλοῦται· ᾧ μὲν εἰς τὴν τροφήν μου ἐκεχρήμην. οὐ μὴν ᾧ μὲν οὐκ ἀχε-
ρῶς ἐκεχρήμην. ἀλλ' ὅσα κέχρηνται εἰς τὰς κοινὰς διοικήσεις. οἷον τράπεζαι καὶ

περὶ γυναικείου κόσμου:

τοιαῦτα σκεύη. Ἐν τῷ δ' λβ' κεφ. θέμ. ζ'. Κόσμου γυναικείου ληγατευθέντος, οὔτε χρυ-
σᾶ κόσμια οὔτε λίθοι, οὔτε δακτύλιοι, οὔτε ἐσθὴς περιέχεται. ἀλλ' ὁ τῶν πρὸς
τῶν λουτρῶν. ὡς θέμ. β' τοῦ λγ' κεφ. τοῦ περὶ τῶν βαλανείων ἄργυρος. Ἐν τῷ δ'

περὶ χρέους ἀφέσεως:

ις' τ. περὶ ἀφέσεως χρεῶν ληγατευθείσης. Οὐδενὸς ἐν τῷ α' κεφ. Καθὼς ὁ δανεί-
στης ληγατεύει τῷ χρεώστῃ τὸ ἐνέχυρον καὶ ἀναλαμβάνει αὐτὸ πρὶν καταβάλῃ
τὸ χρέος. οὕτως δοκεῖ καὶ τὸ χρέος ἐν τούτῳ ληγατεύεσθαι. εἰ μὴ καὶ ἑτέρως

λ΄

δοθῇ. ἐν τῷ αὐτῷ η΄ κεφ. ἐὰν μόνῳ τῷ α΄ χρεώστῃ ληγατεύσω κοινοῦ χρέους. οὐ διαβαίνει τὸ
ληγάτον εἰς τοὺς κληρονόμους αὐτοῦ. ἐν τῷ αὐτῷ λβ΄ κεφ. ἡ πλασὴ ἀπαρίθμησις. οὐδέποτε βλά-
πτει τὰ ληγάτα. διὰ τοῦτο καὶ ἐάν τις ληγατεύσῃ δίδωμι ᾧ ὀφείλω ρ΄ νο. ἃ χρεωστῶ αὐτῷ. κἂν μὴ
χρεωστῇ, ἔρρωται τὸ ληγάτον ὡς ἀπὸ ἀριθμήσεως. ἐν τῷ αὐτῷ λγ΄ κεφ. ἐάν τις προῖκα ληγα-
τεύσῃ, δῆθεν προστιθεὶς μνημονεύσει, καὶ μὴ ὑπούσης προικός, ἔρρωται τὸ ληγάτον. εἰ δὲ
οὕτως εἴπῃ, τὴν προῖκα δίδωμι καὶ ληγατεύω. ἀναγκάζεται ἡ γυνὴ δεῖξαι πόσην δεδω-
κε προῖκα. ἐν τῷ αὐτῷ ιζ΄ τίτ. περὶ ἀφαιρέσεως καὶ μεταφορᾶς, καὶ ἀποκαταστάσε-
ως ληγάτων. οὗτινος ἐν τῷ αὐτῷ ιη΄ κεφ. θεμ. ἐὰν ὅπερ ἐληγατεύθη ἑτέρῳ διορθωθῇ, σβέν-
νυται τὸ ληγάτον. καὶ οὐ κεχρήμεθα τῇ διαιρέσει τῇ λεγούσῃ. ὅτι εἰ μὲν ἐξ ἀναγκαστικῆς ἐξε-
ποιήθη, μένει τὸ ληγάτον ἐρρωμένον. εἰ δὲ περιαιρέσεως, σβέννυται. διὸ οὐδὲ
ἐκεῖνον διορθοῦται. ἐν τῷ αὐτῷ ιη΄ τίτ. περὶ πραγμάτων ἀμφιβόλων ληγατευομένων. ἐπὶ
εἰ ἀφανῶν προσώπων. οὗτινος ἐν τῷ αὐτῷ ιβ΄ κεφ. θεμ. ὁσάκις ἐν διατάξεσιν ἢ προγρα-
φαῖς ἀμφιβάλλεται φράσις. τὴν πρὸς σύστασιν τοῦ ὑποκειμένου πράγματος δέ-
χεσθαι χρή, καὶ οὐ τὴν πρὸς ἀναίρεσιν. ἐν τῷ αὐτῷ κγ΄ κεφ. τὰ ἀμφιβόλως ἢ πε-
πλεγμένως ἐν διαθήκῃ γραφόμενα. φιλαγάθως ἑρμηνευτέον, πρὸς ὅπερ πιθανόν ἐστιν ἐνθυ-
μηθῆναι τὸν διαθέμενον. ἐν τῷ αὐτῷ κς΄ κεφ. ἐὰν ἐκ πολλῶν δούλων ἕνα θελήσω ἐλευ-
θερωθῆναι, καὶ μὴ δηλώσω ποῖον. οὐδεὶς ἐλευθεροῦται. ἐν τῷ αὐτῷ ιθ΄ τίτ. περὶ αἱρέσεως ληγά-
των καὶ διαλλαγῆς αἰτίας καὶ τόπου αὐτῶν. οὗτινος ἐν τῷ αὐτῷ δ΄ κεφ. θεμ. αἱ ἀδύνατοι αἱ-
ρέσεις, ἐν ταῖς διαθήκαις, ὡς οὐδενός εἰσιν. ἐν τῷ αὐτῷ ιδ΄ κεφ. ἐὰν ληγατεύσω σοι καιροῦ
γάμου σου θέλοντος ὁ ἐγαμήθη πληροῦται ἡ αἵρεσις εἰ καὶ μήπω εἰσῆλθεν εἰς τὸ κουβού-
κλιον τοῦ ἀνδρός. οὐ γὰρ γάμον οὐ τὸ συγκαθευδῆσαι, ἀλλ᾽ ἡ συναίνεσις ποιεῖ. ἐν τῷ
αὐτῷ ιη΄ κεφ. θεμ. ε΄. αἱ αἰσχραὶ αἱρέσεις ἐκχωροῦνται. καὶ ὡς ἐπὶ τὸ πλεῖστον ὁ ὅρκος.
ἐν τῷ αὐτῷ κ΄ κεφ. ἐν ταῖς κληρονομίαις καὶ ληγάτοις καὶ ἐλευθερώσεσιν αἱ τε πεπλη-
ρωμένης ἐστὶν ἡ αἵρεσις ὁσάκις ἐκεῖνος ᾧ τινι διέφερεν αὐτὴν πληρωθῆναι διεκώ-
λυσε τὴν πλήρωσιν αὐτῆς. ἐν τῷ αὐτῷ κζ΄ κεφ. ἐὰν πρέσβει καὶ μειρακίῳ ληγατεύσω ρ΄ ν. εἰ
συναφθῶσιν ἀλλήλοις πρὸς γάμον καὶ συμβῇ τὸν ἕνα πρὸ τῆς ἀνοίξεως τῆς διαθή-
κης ἀποθανεῖν, λάβοι ὁ ἕτερος τὸ δύο τὸ ληγάτον. εἰ γὰρ πρεσβύτερος καὶ ὁ μὲν εἷς προτελευτήσει συνα-
φθῆναι. ὁ γὰρ ἄλλος ἐβίωσεν ἐκ μόνου τοῦ προτεθνηκότος τὸ μέρος ἀφαιρεῖται. ἐν τῷ
αὐτῷ κθ΄ κεφ. ἡ πλασὴ διάληψις. οὔτε ληγαταρίοις οὔτε κληρονόμοις βλάπτει. οἷον. ἐὰν
γυνὴ ἢ ἀδελφοῦ ὀνομάσω τὸν μὴ ὄντα. εἰ γὰρ καὶ πολλοὶ περὶ τὸ ὄνομα τοῦ φίλου
κοῦσιν, ὁ δὲ νοῦς περὶ ἑαυτοῦ τοῦ διαθεμένου ἐνθυμηθῆναι, λαμβάνει τὸ ληγάτον. ὁ
δὲ καὶ ἀπελευθέροις ληγατεύσῃ καὶ μετὰ ταῦτα τύχωσί τινες αὐτῶν ἀξίας τινός, οὐκ

περὶ ἀφαιρέσεως καὶ μεταφορᾶς:

περὶ ἀμφιβόλων:

περὶ αἱρέσεως:

ἀπολλύουσι τὸ λεγάτον. καὶ γὰρ ἂν δὶς διὰ τὸ αὐτὸ περιποιηθῇ, οὐ μὴν ἡ αἵρεσις αὐτῇ ἀμάσεται. Εἰς δὲ τὸ λγ' κεφ. Ἐὰν δοῦλον οὐκ ἠδυνάμην ἐλευθερῶσαι λεγατεύσωσι ἐπὶ τὸ ἐλευθερωθῆναι. καὶ τὸ λεγάτον λαμβάνει, καὶ οὐκ ἀναγκάζει ἐλευθερωθῆναι. τότε γὰρ ὀφείλει μετὰ παταρχὴν τῷ διαθεμένῳ, ὅτε μηδὲν ἐκ τοῦ γινομένου συμβαίνει παράνομον. ἐλευθ. δὲ τὸ λεγάτον ἐπειδὴ κέρδος περιγράφει ἐν τῷ δούλῳ ἢ παρὰ τοῦ ἐμοῦ κληρονόμου. Εἰς δὲ τὸ λζ' κεφ. Τὰ αἱρετικὰ λεγάτα μετὰ τὴν ἔκβασιν τῆς αἱρέσεως κεχρεώστηνται. ὅθεν οὔτε μεταφέρεσθαι ἐν τῷ μεταξὺ δύνανται. Εἰς δὲ τὸ μα' κεφ. Ἐὰν λεγατεύσωσι ὅτε εἰς τὸν ιε' ἐνιαυτὸν ἥξῃς, οὐχ ἅμα τῷ ἐπιβῆναι τοῦ ιε' ἔτους τὸ λεγάτον ἀπαιτεῖς. Εἰς δὲ τὸ νβ' κεφ. Ἐὰν ἀξιωθῇς τινὶ δοῦναι καὶ λαβεῖν ἄλλον, οὐ δύνασαι τὸ ἐδίδους, λαβεῖν τὸ ἥμισυ τοῦ ἄλλου. Εἰ δὲ πολλοῖς ὑπὸ τὴν αὐτὴν αἵρεσιν καταλειφθῇ, ἕκαστος διδοὺς τὴν ἀναλογίαν, λαμβάνει τὸ ἁρμόζον αὐτῷ. ὡς γὰρ ὁ εἷς οὐ δύναται διαιρεῖν τὴν αἵρεσιν. οὕτως οὐδὲ οἱ ὑποκείμενοι αὐτῷ, αὐτῇ γὰρ ἑνὸς προσώπου περιλαμβάνεται. Εἰς δὲ τὸ νς' κεφ. αἱ αἱρέσεις, εἰς τέσσαρα διαιροῦνται. ἢ εἰς τὸ δοῦναι, ἢ εἰς τὸ ποιῆσαι, ἢ συμβῆναι, ἢ μὴ δοῦναι ἢ μὴ ποιῆσαι ἢ μὴ συμβῆναι. Καὶ αἱ μὲν ἔχουσαι δόσιν ἢ ποίησιν, προσώποις ἥνωνται. ἢ τοῦ λεγαταρίου ἢ ἑτέρου. αἱ μέντοι ἀπαιτοῦσαι τὸ συμβῆναι, τύχης ἤρτηνται. τὰ οὖν ἔχοντα αἵρεσιν ἐν δόσει ἢ ἐν ποιήσει, πληροῖ ὁ κληρονόμος διαδεχόμενος τὸν τοιοῦτον λεγατάριον. Εἰς δὲ τὸ ρβ' κεφ. ἡ πολλοῖς προσώποις ἐπικλασθεῖσα αἵρεσις. οἷον ἵνα ποιήσωσιν, ἢ μὴ πάντες ποιήσωσιν, οὐ πληροῦται. Εἰς δὲ τὸ ρε' κεφ. Κατελείφθη κόρῃ τινὶ λεγάτον. οὕτως, τυχὸν ὅτε γένηται ιε' ἐνιαυτῶν. καὶ γενομένη τοῦ τοῦ χρόνου ἐντὸς ἐτελεύτησε μηδέπω τὸ λεγάτον ἀπαιτήσασα. λέγει οὖν ἡ διάταξις ὅτι κἂν μὴ ἀπήτησε τὸ λεγάτον, ὅλως δὲ γέγονεν ἐκείνης τῆς ἡλικίας· παρέπεμψεν αὐτὸ ἐπὶ τοὺς ἰδίους κληρονόμους. Εἰς δὲ τὸ κ' κεφ. περιέχεται ποίαις ἡμέραις τὰ λεγάτα προχωρεῖ. οὗτινος ἐν τῷ κβ' κεφ. φησί. τὰ μὴ ἔχοντα ἡμέραν λεγάτα, παραχρῆμα χρεωστεῖται. εἰ δὲ προσκεῖται χρόνος. ἐὰν δῆλος καὶ ἐλαχίστα μακρός, ἴσως γὰρ εἶπον ῥητῶς. παραχρῆμα μὲν ἡ προχώρησις γίνεται. ἡ δὲ ἀπαίτησις, μέχρι τοῦ χρόνου ὑπερτίθεται. Εἰ δὲ ἄδηλος ἐστὶν ἡ ἡμέρα. τυχὸν γὰρ εἶπον ὅταν ἡβήσῃ ὅταν γαμήσῃ ὅταν ἄρξῃ. ἐὰν μὴ ἐκβῇ ἡ αἵρεσις, οὐ γίνεται προχώρησις. Εἰ δὲ ὑπὸ αἵρεσιν ὑφ' ἣν ἐτέθη τὸν κληρονόμον λεγατεύσωσι, χωρὶς αἱρέσεως ἐστὶ τὸ λεγάτον. ὥσπερ ὅτε τὸ λεγάτον. ὥσπερ ὅτε λέγω· πέτρος ἐὰν κληρονομήσῃ μου, δότω παύλῳ. Εἰς δὲ τὸ πς' κεφ. Ἐὰν λεγατεύσωσι ὅτε γένῃ ιδ' ἐτῶν, καὶ πρὸ τῶν ιδ' τελευτήσῃς. οὐ παραπέμπεις. οὐ γὰρ μόνος χρόνος, ἀλλὰ καὶ αἵρεσις ἐστίν. ἢ ἐὰν γένῃ ιδ' ἐτῶν.

Περὶ τοῦ καιροῦ τῆς τῶν λεγάτων προχωρήσεως: ς

λ΄

τὸ αὐτό ἐστι καὶ εἶπον ἐν τῷ ἑξῆς. Εὑρ(ήσεις) δὲ κα΄ τ(ίτλον) περὶ ἀσφαλείας τῆς γινομένης παρὰ τοῦ κλη- περὶ ἀσφαλ(είας)
ρονόμου τοῖς ληγαταρίοις. τοῦ αὐτοῦ ἐν τῷ α΄ κεφ(αλαίῳ) φη(σί)· πᾶς κληρονόμος οἱασδήποτε ἀξίας
ἢ ὑποκαταστάσεως δίδωσι τοῖς ληγαταρίοις ἐγγύας, ὅτε δίδωσι καὶ ποιεῖ ὅπερ ὁ διαθέ-
μενος ἐκέλευσεν ἐμπεριεχόμενος, καὶ περὶ δούλου ἐπερωτᾶται. ὥσπερ γὰρ αὐτός ἐστι τῆς
κληρονομίας ἐν ὀνόματι, οὕτως ὀφείλει καὶ τὸ ληγατάριον ἀσφαλίζεσθαι. εἰ δὲ μὴ ἀσφαλί-
σεται, πέμπεται εἰς νομὴν ὁ ληγατάριος, καὶ τοῖς κληρονόμοις τῶν ληγαταρίων δίδοται
ἡ ἀσφάλεια, καὶ προκουράτωρσιν αὐτῶν. καὶ ἐὰν γὰρ δούλῳ ληγατευθῇ, τῷ ἔχοντι αὐτὸν
ὑπεξουσίῳ ἡ ἀσφάλεια δίδοται. καὶ οἱ διάδοχοι τῶν κληρονόμων, καὶ ὁ καθ' ὁμάδα
ἀποκατάστασιν λαμβάνων. καὶ ὁ διάδοχος γινόμενος κληρονόμος δίδωσι τὴν ἀσφάλειαν.
ἐὰν δὲ ὁ ληγατάριος ἢ ὁ ἀποκατάστασιν λαμβάνων μὴ ὀχλήσας περὶ τῶν ἐγγυητῶν προ-
καταρξηται περὶ τοῦ ληγάτου, ἀργεῖ ἡ ἀσφάλεια. Εὑρ(ήσεις) δὲ κβ΄ τ(ίτλον). περιέχεται πότε ἀσφαλί-
ζεται ὁ κληρονόμος τοῖς ληγαταρίοις, καὶ πότε οὐκ ἀσφαλίζεται. τοῦ αὐτοῦ ἐν τῷ γ΄ κεφ(αλαίῳ) φη(σί)·
ἐὰν ὁ λαβὼν τὴν ἀσφάλειαν λέγει τοὺς ἐγγυητὰς ἀπόρους εἶναι, καὶ ζητεῖ ἄλλους αὐτῷ
δοθῆναι, οὐκ ἀκούεται, εἰ μὴ ἄρα καινόν τι συνέβη. ἴσως τῶν ἐγγυητῶν ἀποθανόντων
ἢ αἰφνιδίως ἀπορησάντων. Εὑρ(ήσεις) δὲ ἐν τῷ α΄ κεφ(αλαίῳ) τοῦ δ΄ τ(ίτλου). ἐὰν μὴ ἐξ μῆνας τοῦ συμβάντος προ-
σελευσθῆναι τὰ ἄρχοντα ὑποτεθῇ, τὴν ἀσφάλειαν δοῦναι ὁ κληρονόμος, καὶ εἰς νομὴν
τῶν ἰδικῶν αὐτοῦ πραγμάτων οἱ ληγατάριοι πέμπονται καὶ καρποῦνται ἕως οὗ τὸ
ληγᾶτον αὐτοῖς δοθῇ. τὸ δὲ ληγατευθὲν χώραν ἔχει ἐπὶ παντὸς χρεωστοῦντος ἀποκατά-
στασιν, κἂν ὁ διατιθέμενος ἐκώλυσε τὴν ἀσφάλειαν. διὰ τὴν ἐπὶ τῇ καταβολῇ γενο-
μένην ὑπόθεσιν. οἱ δὲ ἐξ μῆνες συνεχῶς ἀεὶ ἀριθμοῦνται. Εὑρ(ήσεις) δὲ ἐν τῷ ιβ΄ κεφ(αλαίῳ). εἰ ἐξ ἐμπρ-
ακτου ληγατευθὲν πρᾶγμα, οὐ δίδωσι δὲ ὁ κληρονόμος. ἢ ὀφείλων ἀσφαλίσασθαι οὐκ
ἀσφαλίζεται. πέμπεται ὁ ληγατάριος εἰς νομὴν πάντων τῶν τῆς κληρονομίας πραγμά-
των. Εὑρ(ήσεις) δὲ κγ΄ τ(ίτλον) περὶ τῶν ἀπὸ διαθήκης ἀναλεγομένων ληγάτων. τοῦ αὐτοῦ ἐν τῷ
α΄ κεφ(αλαίῳ) φη(σί)· οὐ μόνον ληγάτων ἐκπίπτει ὁ κινῶν κατὰ τῆς διαθήκης, ἀλλὰ καὶ πάντων
τῶν ἀπὸ γνώμης τοῦ τελευτῶντος καὶ τῆς διανομῆς τὰ τοῦ ἀδήλου ὑποκαταστάσε-
ως. Εὑρ(ήσεις) δὲ κδ΄ τ(ίτλον) περὶ τῶν νεμομένων τὸ ληγατευθὲν ἄνευ βουλῆς τοῦ κληρονόμου.
Εὑρ(ήσεις) δὲ κε΄ τ(ίτλον) περὶ τῶν διὰ χρησεως δεσποζομένων ληγάτων. τοῦ αὐτοῦ ἐν τῷ α΄ κεφ(αλαίῳ) φη(σί)·
ὡς ληγᾶτον διὰ τοῦ χρᾶσθαι δεσπόζω. ὁ καὶ ζητεῖ φημι εἰς ληγᾶτον. οὐ μὴν ὁ ὑπεξού-
σιον ληγατευθῆναί μοι. ὡς οὐδὲ εἰς νομὴν ἀγοράζει ὁ μὴ ἰδὼν. Εὑρ(ήσεις) δὲ κς΄
τ(ίτλον). περὶ τῶν ἐπὶ παραγραφῇ τῶν ληγαταρίων παρεκβαινομένων κληρονομιῶν. τοῦ αὐ-
τοῦ ἐν τῷ α΄ κεφ(αλαίῳ) φη(σί)· ἐάν τις καλούμενος ἐξ ἀδιαθέτου γραφεὶς δὲ κληρονόμος,
ἐπίτηδες παραιτήσηται τὴν κληρονομίαν ἐπὶ τὸ κληθῆναι ἐξ ἀδιαθέτου ἐμμὴ

δοῦναι τὰ λεγάτα. ὅτι ὑπόκειται τοῖς λεγάτοις καὶ ταῖς ἐλευθερίαις. τοῦτο γὰρ δῆλον.
ἡ δὲ διάταξις, ἕτερόν τι λέγει. ὅτι ἐάν τις ἔνσαλος ὤν, ἐπὶ τὸ βλάψαι τοὺς λεγαταρίους
ἐπίτηδες πωλήσῃ(?) τὴν οὐσίαν. ἵνα ἔχῃ ἡ κληρονομία πρὸς τὴν ὑποκατάστασιν, πάν
τα τὰ λεγάτα καταβάλλει. ἐὰν δὲ χρήματα λαβὼν πωλήσῃ τὴν οὐσίαν, αὐτὸς δίδω
σι τὰ λεγάτα. ἐν τῷ δ' κζ' τ(ίτλῳ). περὶ ἀγωγῆς προσωπικῆς τε καὶ ὑποθηκαρίας ἀπαι-
τούσης τὸ λεγάτον καὶ περὶ ἐπιλογῆς τῶν λεγατευθέντων δούλων καὶ ἀποκαταστάσε
ως αὐτῶν. ἐν τῷ δ' κη' τ(ίτλῳ). περὶ τῶν ὑπὸ τύπον λεγάτων. οὗτινος ἐν τῷ κη' τ(ίτλῳ) ἐν
τῷ α' κε(φαλαίῳ) φη(σίν). ὁσάκις ὑπὸ τύπον καταλιμπάνεται τινὶ λεγάτον, τυχὸν ἐπὶ τὸ τελέσαι(?) ποι
ῆσαι, λαμβάνει μὲν τὸ λεγάτον. πλὴν ἐὰν ὁ τύπος ἀδύνατος, ἀπόλλυσιν αὐτό. ὁ γὰρ τύ
πος, τὰ τῆς αἱρέσεως ἀποτελέσματα ἐν τοῖς λεγάτοις καὶ ἀποκαταστάσεσιν. ἐὰν
δὲ καταλειφθῇ τινὶ λεγάτον ἐπὶ τὸ γαμηθῆναι πρὸς τινα, καὶ τὸ μὲν λεγάτον ἔλαβεν. ὁ δὲ
πρὸς ὃν οὐκ ἀνέχεται αὐτὴν γαμηθῆναι. οὐκ ἀναγκάζεται τὸ λεγάτον ἀναδοῦναι. οὐ
δὲ γὰρ αὐτὴ ἐνεπόδισε τῇ αἱρέσει. ἐν τῷ δ' κθ' τ(ίτλῳ). περὶ τῶν ὑπὸ αἵρεσιν ἢ ἡμέραν
λεγατευθέντων. οὗτινος ἐν τῷ α' κε(φαλαίῳ) φη(σίν). ἐάν τις καταλείψῃ τινὶ λεγάτον ὑπὸ αἵρε
σιν τὴν ἐὰν ὁ κληρονόμος ἅπαις τελευτήσῃ, τελευτήσῃ δὲ οὗτος ἐπὶ ζῶντι(?) ἀποδο
τάτος(?), ἀδύνατος ἡ αἵρεσις. ἰδοὺ γὰρ ἐπὶ παισὶν ἐτελεύτησε, καὶ ἄχρηστον ἐστὶ τὸ λε
γάτον. ἐπεὶ ἄλλη τοῦ τελευτήσαντος βούλησις φανερῶς ἀπεδείχθη. ἐν τῷ δ' λ' τ(ίτλῳ)·
περὶ λεγάτων ὑπὸ αἵρεσιν καὶ χωρὶς αἱρέσεως καταλειφθέντων. καὶ τινες ἀδυνάτου
σης τῆς αἱρέσεως λαμβάνουσι τὰ λεγάτα διὰ τὸ τὴν αἵρεσιν ἀδύνατον εἶναι καὶ φη(σίν). ὅτε δὲ τὸ
ποιῆσαι τινὶ ἡ ὁδός(?), ἐβάρησε τὸ λεγάτον. καὶ δύναται τὸ ἔργον δι' ἑτέρου γενέσθαι.
πληροῦσθαι τοῦτο διὰ τοῦ κερδαίνοντος τὸ λεγάτον. καὶ ὅτι ἐὰν τῶν συγκληρονομουμέ-
νων ἐστὶ τὸ ἀδύνατον μέρος, ἐκ τῶν διηρημένων, προστεθῇ τοῖς συγκληρονόμοις
ἢ λεγαταρίοις μετὰ τῶν ἐν αὐτῷ βαρῶν. οὐδὲ γὰρ ἐνδέχεται φη(σὶ) τὸν καταδεξάμενον
μέρος κληρονομίας, τὸ ἕτερον μέρος αὐτῆς παραιτήσασθαι. ἐν τῷ δ' λα' τ(ίτλῳ) περὶ ἱκα
νοδοσίας διδομένης τοῖς λεγαταρίοις παρὰ τοῦ κληρονόμου, περὶ τῆς καταστάσεως.
οὗτινος ἐν τῷ ζ' κε(φαλαίῳ) φη(σί). τῷ μὲν κληρονόμῳ δυνατὸν συγχωρηθῆναι τὴν τῆς ἀσφαλεί(ας)
τοῦ λεγάτου καὶ τῆς ἀποκαταστάσεως ἱκανοδοσίαν ἣν παρέχει περὶ τοῦ καλῶς χρή
σασθαι τῇ χρήσει τῶν καρπῶν. καὶ ἡνίκα πρὸς καιρὸν(?) ἀποκατασταθῇ τὸ πρᾶγμα.
ἀπὸ τοῦ β' μα' τ(ίτλου) α' ἐν τῷ φη(σί) καὶ περὶ φαλκιδίου. οὗτινος ἐν τῷ α' κε(φαλαίῳ) φη(σίν). ἔξεστι κα
ταλιπεῖν μέχρι τοῦ ὀκταουγκίου. τὸ γὰρ τετραούγκιον, τῷ γεγραμμένῳ κληρονό
μῳ φυλάττεται. ἐν τῷ δ' κγ' κε(φαλαίῳ). ὁ τόκος τῆς λεγατευθείσης δούλης περὶ τῆς προ
χωρήσεως τῷ κληρονόμῳ ἁρμόζει, καὶ λογίζεται αὐτὸ εἰς τὸ φαλκίδιον, καὶ τοὺς

καρπούς αὐτοῦ. ἐν τῷ ͵ λ΄ κεφ. οἱ λεγατάριοι λαμβάνουσι. ὤφειλον ἐγγύας διδόναι
περὶ τοῦ περιττῶς ὡς εἰκὸς αὐτοῖς διδομένου. εἰ καὶ τὰ μάλιστα τῷ ὑποκεῖσθαι ἀναλήψει.
ἀλλ' οὖν δίκαιός ἐστι μήποτε ἀπορήσωσιν ἐλπιζομένων ἁρμόζειν τῶν αἱρετικῶν λεγάτων.
ἤτοι ἐν τῇ ὀρφανικῇ ὑποκαταστάσει. ἀνάγνωθι καὶ τὸ β΄ τοῦ τίτλου ἐν τῷ α΄ κεφ. φαλ. ὅτε ἀμφι-
βάλλεται εἰ ἐγχωρεῖ ὁ φαλκίδιος, δίδωσιν ὁ λεγατάριος ἐγγύας τῷ κληρονόμῳ περὶ
τοῦ περιττοῦ. καὶ ὅτε δόλου οὐ ποιεῖ. ἀσφαλίζεται οὐδὲ ὅτε ἐν τῇ ὀρφανικῇ, ὅτε ἐν τῇ αὐ-
θεντικῇ κέλευσιν. εἰς τὴν ἐξ ἀμφοτέρων προσκρατεῖσθαι φαλκίδιον. καὶ ἐὰν μὴ λάβωσι τὴν
ἀσφάλειαν οἱ ἐπίτροποι, ἐνέχονται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ τοῖς ὑποκαταστάτοις. ἐ-
ὰν δὲ καὶ τὴν αἰτήσῃ, ἡ τοιαύτη ἐπερώτησις βεβαιοῦται. ἐὰν χωρὶς αὐτοῦ ἁρμόσῃ ὁ φαλ-
κίδιος. ὅτε τῶν λεγάτων τὰ μέν ἐστι χωρὶς αἱρέσεως, τὰ δὲ ὑπὸ αἵρεσιν. ὁλόκληρα δί-
δοται χωρὶς αἱρέσεως προερχομένης τῆς περὶ τοῦ περιττοῦ ἀσφαλείας. ἀναγκαῖον δέχεσθαι αὐ-
τὴν δίδοσθαι. καὶ γὰρ δύναται τὸ περιττὸν ἀναλαμβάνεσθαι. ὅμως συμβαίνει ἀπορῆ-
σαι τὸν λαβόντα. ἔχει δὲ χώραν καὶ ἐπὶ τῶν θανάτου αἰτίᾳ δωρεῶν ἡ τοιαύτη ἀσφάλεια.
ἔστι δὲ καὶ ὅπου ἀναιρεῖται τυχὸν μεγάλου χρέους. μετὰ ταῦτα φανέντος, ἢ αἱρετι-
κῶν κληρονομιῶν ἁρμοζόντων. ἐν γὰρ ὑπεξαιρέσει, διὰ τὸ μὴ αὐτῶν τὰ λεγάτα δί-
δοται. ἀνάγνωθι καὶ τὸ νγ΄ τοῦ δ΄ ἐν ᾧ διαλαμβάνεται περὶ πλοίου λεγατευομένου. τοῦ τίτ-
λου ἐν τῷ β΄ κεφ. φαλ. ἐὰν ἰδικῶς ναῦν λεγατεύσῃ, καὶ κατὰ μέρος ἀνανεωθῇ πάν-
των τῆς αὐτῆς τρόπεως μενούσης. κεχρεωστεῖται τῷ λεγαταρίῳ. ἀνάγνωθι καὶ τὸ ζ΄ τοῦ ε΄ κεφ.
λζ΄ καὶ ν΄ καὶ να΄ καὶ νβ΄ καὶ π΄ ἐν τῷ φαλ. ὁ λεγάτου ἐκεῖ ἀπαιτεῖται ἔνθα ἡ κληρο-
νομία διάκειται. ἀνάγνωθι καὶ τὸ ιε΄ τοῦ α΄ κεφ. νς΄, καὶ τοῦ α΄ κεφ. ἐθῆ λ΄, καὶ τὸ ις΄ τοῦ α΄ κεφ. μβ΄
μγ΄ καὶ τὸ β΄ καὶ ζ΄ καὶ θ΄. ἀνάγνωθι καὶ τὸ κγ΄ τοῦ γ΄ κεφ. γ΄ ἐν τῷ φαλ. ἐὰν ἐκ ψήφου καὶ τὴν τε-
ταγμένου ὑπερθέσιν ποιήσῃ ὁ κληρονόμος περὶ τὴν καταβολὴν τοῦ λεγάτου, τὰ μέχρι
ψήφου καρπὰ δίδωσι τῷ λεγαταρίῳ. ἀνάγνωθι καὶ τὸ κζ΄ τοῦ α΄ κεφ. ς΄:

περὶ λειτουργιῶν καὶ τίνες ἐκ τῶν λειτουργιῶν ἀναγκάζονται καὶ πότε. τίνες δὲ β΄
οὐκ ἀναγκάζονται, ἀλλ' ἔχουσιν ἀλειτουργησίαν. ἀνάγνωθι τὸ να΄ τοῦ α΄ καὶ τὸ
β΄. τοῦ τίτλου ἐν τῷ δ΄ κεφ. φαλ.:

Ο μήτε ἀρχαιόγονος ὢν μήτε μέτοικος, μήτε οἰκῶν ἐν τῷ τόπῳ τινί, ἀλλὰ κεκτημένος οἶκον
ἢ ἀγρόν, οὐκ ἀναγκάζεται λειτουργεῖν. ἐν τῷ ε΄ κεφ. ὁ οἰκῶν ἐν τῇ πειθοῖ τῆς ῥωμαίως,
ἢ ἐν ἑτέρᾳ τινὶ πόλει ὡς μέτοικος ἀναγκάζεται λειτουργεῖν. ἀνάγνωθι καὶ τὸ γ΄ τοῦ τίτλου
ἐν τῷ β΄ κεφ. φαλ. τοὺς μείζονας τιμὰς πράξαντας, οὐ χρὴ εἰς ἥττονας ἄγεσθαι. συν-
ηθῶς γὰρ ὑβρίζεσθαι. ἀνάγνωθι καὶ τὸ δ΄ τοῦ τίτλου ἐν τῷ β΄ κεφ. φαλ. οἱ στρατευόμενοι ἐν τοῖς στρα-
τοπέδοις οὐ λειτουργοῦσιν. αἱ δὲ γυναῖκες αὐτῶν λειτουργοῦσιν. οὐ δύναται ὁ πατήρ

τὸν ὑπεξούσιον ἀφαιρεῖσθαι κωλυομένου εἰς λειτουργίαν. εἰ μὴ ἔχῃ ἐξκουσατίονα.
ὁ γὰρ μὴ συναινῶν τῷ πατρὶ ταῖς λειτουργίαις, τοῦ υἱοῦ εἰς τὸ μὴ ἐνέχεσθαι τὴν οὐσίαν
αὐτοῦ συμβάλλεται. Ἐν τῷ δ' ε' κεφ. τοῖς μεταξὺ τῶν δημοσιωνῶν στρατιωτῶν ὑ-
πόκειται παντί. Καὶ ἔστιν οὐσιακὴ λειτουργία. ὁ ἔχων ε' παῖδας ὑπεξουσίους, οὐκ
ἀναγκάζεται κατ' αὐτῶν ὑπὲρ τῶν ε' λειτουργεῖν. Ἐν τῷ δ' ε'. τὰ λειτουργήματα, ἢ προσω-
πικά ἐστιν ἢ οὐσιακά. τῶν δὲ οὐσιακῶν, οὐδεμία ἐξκουσατίων ἀπαλλάττει. τὰ
δὲ οὐσιακά, διττά ἐστι. τινὰ γὰρ ἐπιφέρεται τοῖς κεκτημένοις ἀκίνητα. εἴτε ποιη-
ταί εἰσιν, εἴτε μή. τινὰ δὲ μόνοις τοῖς πολίταις καὶ τοῖς ἔχουσι κατοίκησιν. Ἐν δὲ
τῷ η' κεφ. ὁ λειτουργῶν τι, καὶ τι μὴ ἐπικλᾶται. οὐ μὴν δὲ πρὸ τοῦ τελειῶσαι ἐπι-
κλᾶται λειτουργία. Ἐν τῷ δ' ι' κεφ. ἡ ἐπὶ τέκνοις καὶ ἀπογόνοις τινὸς ἀλειτουρ-
γησία τοῖς ἐπὶ τῆς φαμιλίας αὐτοῦ ἁρμόζει. Ἐν τῷ δ' ια' κεφ. ὁ ὑπεξούσιος ἰδιώ-
της καὶ ἄκων τὸν πρὸς αὐτοῦ κινδύνῳ τοῦ ὀνομάσαντος κατέχεται. Ἐν τῷ δ' ιβ'
κεφ. οὐ δύναταί τις ἀπροαιρέτως εἴξασθαι λειτουργίαν ἢ τιμήν. ἀνάγνωθι καὶ τὸ ε' τοῦ τίτλου ἐν τῷ δ'
β' κεφ. θεμ. ἡ τοῦ σώματος ἀσθένεια ἤτοι ἀκρατισμός, ἀτέλειαν δίδωσι λειτουργι-
ῶν. τῶν μόνης σωματικῆς λειτουργίας δεομένων, οὐ μὴν φροντίδος ἢ δαπάνης.
τούτων γὰρ εἰ μὴ ἐξ αἰτίας δεδοκιμασμένης, οὐδεὶς ἀπαλλάττεται. Ἐν τῷ δ' ζ'
κεφ. οἱ ἔχοντες ἀτέλειαν πολιτικῶν, τὰς ἐξ ἀπροόπτου γινόμενα διατεθα-
πάντων στρατιωτῶν, καὶ ὡς προτρέπονται. οὐκ εἰσὶ δὲ τὰ κ' συνάγεσθαι. Ἐν τῷ δ' θ' κεφ.
τῶν συναπτομένων τοῖς πράγμασι λειτουργιῶν, οὐδὲν ἀπαλλάσσει προνόμιον. ὡς
ἐπὶ τῶν δημοσίων καὶ ὁδοστρωσιῶν καὶ ἀγγαρειῶν καὶ μιτάτων. τούτων γὰρ ἐκ
τῶν ὁμοίων. μόνη ἰδικὴ βασιλέως ἀπαλλάσσει φιλοτιμία. Ἐν τῷ δ' ιε' κεφ. καὶ οἱ
ἐπιτυχόντες ἀλειτουργησίας πολιτικῶν λειτουργημάτων, τὰς χρηματικὰς λειτουργί-
ας ἀναγκάζονται ὑφίστασθαι. χρηματικὴ δὲ λειτουργία ἐστὶ καὶ τὸ ἀναγκάζεσθαι στρα-
τιώτας ὑποδέχεσθαι. Ἐν τῷ δ' ιθ' κεφ. καὶ οἱ γέροντες ὄντες, ἀναγκάζονται τὰς
χρηματικὰς λειτουργίας ὑφίστασθαι. Ἐν τῷ δ' κα' κεφ. τὰς χρηματικὰς λειτουρ-
γίας, καὶ γυναῖκες ἀναγκάζονται λειτουργεῖν. ἀνάγνωθι καὶ τὸ ϛ' τίτλου ἐν τῷ α' κεφ. θεμ.
ἡ προσώποις διδομένη ἀτέλεια, οὐ διαβαίνει εἰς κληρονόμους. εἰ δὲ γένει ἢ ἀπογό-
νοις δοθῇ, οὐχ ἁρμόζει τοῖς ἀπὸ θηλυγονίας. Ἐν τῷ δ' ι' κεφ. αἱ δοθεῖσαι γενικῶς
ἀλειτουργησίαι τινὶ ἐπὶ τὸ διαβῆναι εἰς τοὺς ἀπογόνους αὐτοῦ, διηνεκῶς τοῖς
διαδεχομένοις ἁρμόζουσιν. Ἐν τῷ δ' λ' κεφ. οἱ ἱερεύοντες δημοσίᾳ, ἀτέλειαν ἔ-
χουσι. σχεδὸν γὰρ ὁμοίως τοῖς ἄρχουσιν, ἡ ἀρχαιότης ἐτίμησε τοὺς ἱερέας. ὁ
δὲ εἰς τὴν ἱερατείαν ὑποφεύγων, πρὸ τοῦ μὴ λειτουργῆσαι, οὐκ ἐξκουσατεύεται.

÷ διακεκάσθαι τοῦ λέγειν οὐ χρὴ
τὴν διαπέμπουσαν τῆς λειτουρ-
γίας προσφέρειν πρὸς τὸ
μὴ λειτουργῆσαι :-

λʹ

μάλιστα δὲ μὴ σκυλμοῦ σώματι ἀλλὰ δαπάνῃ ὑποκείμενον τὸ λειτούργημα· καὶ ὥσπερ
ἐστὶ τῶν ὀφειλόντων λειτουργεῖν, οὐδὲ προσέχειν καὶ τὴν νόσον τῆς πόλεως. ἐὰν δέ ποτε
περὶ τῶν ἐτῶν διαλυποῖ. βιβλ. λʹ τιτ. εʹ κεφ. ὁ ἔχων ιεʹ παῖδας, πάντων λειτουργημά-
των ἀπαλλάττεται. ἀνάγν. καὶ τὸ ζʹ τοῦ αὐτοῦ ἐν τῷ ϛʹ κεφ. φη. μηδεὶς ἐχέτω ἐξκουσατί-
ωνα οἰκοδομουμένων τειχῶν, ἢ ζωνῆς ἢ ἄλλων ἔργων. βιβλ. λʹ τιτ. λθʹ κεφ. δύο ἐκ
τοῦ αὐτοῦ οἴκου εἰς λειτουργίαν οὐ καλοῦνται· διὰ τοῦτο παῖς ὑπεξούσιος καὶ ὁ πατὴρ
ἅμα οὐ λειτουργοῦσι. πατὴρ δὲ καὶ παῖς αὐτεξούσιος δύνανται λειτουργεῖν. ἀνάγν. τὸ ηʹ
καὶ τὸ αʹ τοῦ αὐτοῦ ἐν τῷ ηʹ κεφ. φη. ὁ πρεσβεύσας, οὐ δὲ περὶ τῆς αὐτῆς αἰτίας αὖθις ἐντὸς
τοῦ ὡρισμένου χρόνου πρεσβεύειν ἀναγκάζεται. ὁ πρεσβεύσας πρὸς βασιλέα ἤ
τε ἐν Ῥώμῃ ἤ τε ἐν ἐπαρχίᾳ διάγοντα, διετίας ἔχει ἄδειαν. βιβλ. δʹ τιτ. ιʹ κεφ. ἐὰν
πρεσβευτὴς ἀποθάνῃ πρὶν ὑποστρέψῃ, τὰς δαπάνας οὐκ ἀναδίδωσιν. ἀνάγν.
καὶ τὸ νεʹ τ. αʹ κεφ. ηʹ ἐν τῷ φη. ἐάν ποτε ἄδειαν ἐδωρήσατό τινι, οὐδὲν ἧττον
ἀναγκασθήσεται ζητεῖν. ἀνάγν. καὶ τὸ ϛʹ τ. ηʹ τοῦ αὐτοῦ ἐν τῷ ζʹ κεφ. φη. ὁ εἰς πεῖραν
φησὶ τῶν δημοσίων βασιλέων ἀντιγραφὴν λαβὼν, μὴ ἀφιέσθω. ζητείτω γὰρ πάντως
ζητεῖν τὰ δημόσια. βιβλ. δʹ τιτ. ιʹ κεφ. μηδεὶς περὶ νόμου ἄξια προβαλλόμενος,
μὴ ζητείτω· ἀλλὰ πάντως πρὸς ἀναλογίαν ὧν ἔχουσι κτημάτων ζητείτωσαν.
καὶ τὸ ιεʹ ἀπὸ τοῦ ιζʹ κεφ. βιβλ. δʹ τιτ. ιηʹ κεφ. φη. οἱ ἀεὶ οἱ ἰδιωτικοὶ τοῦ βασιλέως,
ἀτελεῖς ἔστωσαν ῥυπαρῶν λειτουργιῶν. μὴ ἔτι δὲ οἱ μισθωταὶ αὐτῶν ἢ οἱ γεωργοὶ βα-
ρεῖσθωσαν τῶν ὡρισμένων· ἤ τε οὖν ὑπὲρ τὸν κανόνα ὑπομενέτωσαν. βιβλ. δʹ τιτ. καʹ
κεφ. μηδεὶς ἐξαιρείσθω τῶν βαρῶν τούτων· οἷον γεφυρῶν καὶ ὁδοποιϊῶν μὴ
δὲ ἐκκλησιαστικὸς οἶκος ἢ βασιλικὸς ᾖ· ἐπειδὴ οὐδὲ ῥυπαρὰ ἐστὶ ταῦτα. ἀνάγν. τὸ ιζʹ
κεφ. λθʹ. ἀνάγν. καὶ τὸ ϛʹ κεφ. [illegible] ἐν οἷς φη. κληρικὸς ἢ οἰκέτης αὐτοῦ περὶ κληρικῶν
μὴ βαρείσθω κλήσεσι ζωοτροφίας. μὴ δὲ μιτάτα διδότωσαν, ἀπὸ διαγραφῶν
καὶ ῥυπαρῶν λειτουργιῶν. καὶ ἐξτραορδιναρίων κἂν ἐμπορεύωνται οἱ κληρι-
κοὶ μὴ παιδῶν καὶ γαμετῶν ἔστωσαν ἀτελεῖς. οἱ ἐν ταῖς ἐπαρχίαις κληρικοὶ
μὴ μόνον τὰ ἀλλότρια, ἀλλὰ μὴ δὲ τὰ ἴδια κτήματα ἐξκουσατευέτωσαν. τῶν ζω-
γράφων καὶ τῆς αὐτῶν μεταχειρίσεως. πᾶς κληρικὸς ἄρχει καὶ τῶν ὀστιαρίων,
προσκοπεῖν ἐξκουσατευέσθω λειτουργιῶν. ἀνάγν. καὶ τὸ εʹ τ. αʹ κεφ. ιʹ φη. μὴ
δὲ ἀπὸ θρόνου ἐπισκόπου ἢ ἀρχιεπισκόπου προστάξεως σεκρετικοὶ οἶκοι εἰς
δικαιϊκοὺς οἴκους ἢ κληρονόμους ἢ ἐκκλησιαστικὰ μεταγέσθω, ὡς ἐλλειπόντων
δηλονότι τῶν εἰς ἀεὶ θνητοὺς σωματίων. ἀνάγν. καὶ τὸ γʹ κεφ. βʹ ἐν τῷ φη. πρὸς τὸ εὐσεβεστάτων
ζωῆς καὶ πασῶν τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ τῶν ἄλλων σεβασμίων οἴκων

τὰς κλήσεις· μήτε γὰρ ἐν ταῖς λειτουργίαις μήτε ἐξτραορδιναρίας διατελέσαι ὑπομένουσιν.
εἰ μέντοι ὁδοστρωσίας, ἢ γεφυρῶν οἰκοδομάς, ἢ ἀνανεώσεως χρεία γένηται· κα-
τὰ μέρος τοῦ ἀναλόγου τῶν ἄλλων κτητόρων τὸ τοιοῦτον ἔργον πληροῦσιν· ἡνίκα ὑπὸ σκηνὴν κε-
λεύηται πόλιν· ὑφ᾽ ἣν καὶ τὸ τοιοῦτον γίνεται ἔργον:

γ΄ Περὶ λειψάνων ἁγίων· καὶ περὶ λειψάνων τῶν τιμωρηθέντων καταδίκων.
ἀνάγ. β΄ α΄ τ. α΄ κεφ. ε΄ σύμφωνον φησίν:

Μήτε μοναχὸς μήτε ἕτερός τις ἐν δημοσίῳ τόπῳ ἢ ἐν ᾧ θεᾶται ἐπιτηδεύει, σαν ἐπι-
βαλλέτω ἢ λείψανον ἅγιον. ἀνάγ. καὶ β΄ ε΄ τ. α΄ κεφ. δ΄ φη. μηδεὶς λείψανα ἁγίων πω-
λείτω. ἀνάγ. καὶ β΄ ξ΄ τ. ξθ΄ συμφ. φη. τὰ λείψανα τῶν τιμωρηθέντων ἀνοσίως αἰτη-
σῶσι καὶ ἐπὶ τόπης οὐκ ἔξεστι θάπτειν. ἔθος οὐκ ἐπιτρέπεται ὡς ἐπὶ τῆς
καθοσιώσεως. καὶ τὰ ὀστέα καὶ ἡ κόνις τῶν καέντων, εἰς ταφὴν αἰτοῦνται:

δ΄ Περὶ λῃστῶν. ἀνάγ. β΄ ξ΄ τ. να΄ κεφ. λθ΄ β΄ συμφ. φη.:

Οἱ περιβόητοι λῃσταὶ ἐν οἷς ἥμαρτον τόποις φουρκίζονται:

✠ ἀρχὴ σὺν θεῷ, τοῦ μ στοιχείου:

α΄ Περὶ μαθηματικῶν. ἀνάγ. β΄ α΄ τ. α΄ κεφ. ιζ΄ σύμφωνον φησίν:

Οἱ μαθηματικοὶ τὰς οἰκείας βίβλους ἐπὶ ὄψεσι τῶν ἐπισκόπων καίοντες. οὕτω τῇ
ὀρθοδόξῳ θρησκείᾳ προσεισδέχονται. μετὰ μίαν ἐπανόδου πρὸς τὴν οἰκείαν πλά-
νην ἤγουν ... φυλάττοντες. μὴ ἀνεχόμενοι δὲ καὶ τῆς ῥώμης αὐτῆς καὶ τῆς ἐν σκέψῃ
πόλεως διὰ τούτου ἐκβληθήσονται. εἰ γὰρ μετὰ ταῦτα ἢ ἐν πόλει φανῶσιν ἢ ταῖς αὐ-
τῶν χρώμενοι διδασκαλίαις ἐξορίζονται. ἀνάγ. β΄ ξ΄ τ. λθ΄ κεφ. κς΄. ἀνάγ. ε΄ ν΄ δ΄ κεφ. α΄:

β΄ Περὶ μανδατώρων. ἀνάγ. β΄ κς΄ τ. α΄ κεφ. λθ΄ διγ. β΄ ε΄ κεφ. μθ΄ διγ. δ΄ συμφ. φησίν:

Ἐκ πολλῶν μανδατώρων τοῦ αὐτοῦ χρέους. ἐὰν ὁ εἷς ἀπαιτηθῇ καὶ ἐλευθερωθῇ. οἱ λοι-
ποὶ οὐκ ἐλευθεροῦνται· τῇ μέντοι καταβολῇ, πάντες ἐλευθεροῦνται. καὶ κεφ. ξη΄ διγ. β΄ καὶ
κεφ. πα΄ συμφ. φη. ὁ ἐπὶ τῷ μανδάτῳ αἰτιαθεὶς προστιθεὶς ἐστι. καὶ διὰ τοῦ τοῦ κατα-
βάλλει χρέους ἕνεκεν, ἀπαιτεῖ τὸν χρεώστην ἢ τοὺς κληρονόμους αὐτοῦ. οὐ μὴν κατὰ τῶν ἐνε-
χύρων κινεῖν δύναται. εἰ μὴ καταβαλὼν τὸ χρέος ὁ δανειστὴς αὐτῷ ἐκχωρήσει τὰς
ἀγωγάς. λοιπὸν γὰρ ἐξτραορδιναρίως βοηθεῖται καὶ περὶ αὐτῶν. καὶ κεφ. πη΄.
ἀνάγ. καὶ τ. β΄ συμφ. φη. περὶ τοῦ προτέρου κατὰ τῶν χρεωστῶν χωρεῖν τοὺς δανειστάς:

γ΄ Περὶ μανιχαίων. ἀνάγ. β΄ α΄ τ. α΄. ὁμοίως σύμφ. κε΄ κεφ. φησί:

ιγ΄

Ὁ μανιχαῖος ἐν ῥωμαϊκῷ τόπῳ διάγων ὀφθείς, ἀποτεμνέσθω. βιβ. α΄ τί. α΄ κεφ. κζ΄. Οἱ μανιχαῖοι παῖδας ἔχοντες ὀρθοδόξους ἐπ' αὐτοὺς καὶ μόνους ἐξ ἀδιαθέτου παραπεμπέτωσαν· μηδενὶ δὲ ἑτέρῳ ζῶντες ἢ τελευτῶντες ἐκποιείτωσαν παντελῶς· τῆς αὐτῶν οὐσίας εἰς τὸ δημόσιον περιϊσταμένης λοιπόν :–

Περὶ μαντέων. ἀνάγν. βιβ. ξ΄ τί. λθ΄ κεφ. κθ΄ ἐν τῷ φόνου :– ιδ΄

Μηδεὶς ἐρωτάτω τινὰ μαντικὴν ἐπαγγελλόμενον. οἱ δὲ χαλδαῖοι καὶ οἱ μάγοι, μηδὲ ἐν αὐταῖς ταῖς μαντείαις ἑαυτοὺς παρεχέτωσαν. ἀλλὰ καὶ κεφαλικῇ καὶ τῇ διὰ σιδήρου τιμωρίᾳ ὑποκείσθωσαν :–

Περὶ μαινομένων. ἀνάγν. βιβ. ξ΄ τί. α΄ κεφ. μϛ΄ ἐν τῷ φόνου :– ιε΄

Ὅτε ὁ ἄρχων τοὺς μαινομένους ἐν φρουρᾷ βάλλεται· ἐὰν μὴ διὰ τῶν συγγενῶν φυλαχθῆναι δύνανται, ἢ δεσμεῖται. εἰ δὲ φονεύουσι, δεῖ ζητεῖν μήποτε προσεποιήσαντο μαίνεσθαι. ἢ ἐν τῷ καιρῷ τῶν ἀνακωχῶν ἐφόνευσαν καὶ τιμωροῦνται. δεῖ δὲ καὶ τοῖς φύλαξιν αὐτῶν ἐπεξιέναι ἐὰν ῥαθυμοῦσιν. οὐ γὰρ μόνον διὰ τὸ μὴ αὐτοὺς βλαβῆναι φυλάττουσιν, ἀλλὰ καὶ διὰ τὸ μὴ βλάψαι ἄλλους. ἀνάγν. καὶ βιβ. ιε΄ τί. α΄ κεφ. ξ΄ ἐν τῷ φόνου. Ἐὰν νεμόμενος νήπιος ἢ μαινόμενος, φθείρῃ τι ἢ ἀπολέσῃ, ἀνεύθυνός ἐστιν. ἀνάγν. καὶ βιβ. να΄ τί. δ΄ κεφ. ιε΄ :–

Περὶ μαρτύρων ἐνυπολήπτων καὶ ἀτίμων, καὶ μαρτυριῶν. ἀνάγν. βιβ. ξ΄ τί. α΄ κεφ. β΄ ἐν τῷ φόνου :– ιϛ΄

Ἡ κατὰ δικαστὰς ἐν ἐπαρχίᾳ ἄρχοντας ἀτιμία, κωλύει μαρτυρεῖν. ἢ δικάζειν τὸν δι' ἀφορμὰς τῆς συγκλήτου ἀποκινηθέντα καὶ μὴ ἀποκαταστάντα. ἀνάγν. καὶ βιβ. κα΄ τί. α΄, οὗτινος ἐν τῷ α΄ κεφ. φησί. ἀξιοπίστους εἶναι δεῖ τοὺς μάρτυρας, καὶ παρέχονται ἐπὶ χρηματικοῖς καὶ ἐγκληματικοῖς οἱ μὴ κωλυόμενοι ὑπὸ νόμων ἢ ἐξκουσατευόμενοι. εἰ καὶ πλείονος ἀριθμοῦ μαρτύρων ὁ νόμος μνημονεύσει, τοὺς ἀρκοῦντας ὅμως οἱ δικασταὶ παραδεχέσθωσαν. ἵνα μὴ τῇ τῶν πλειόνων παρουσίᾳ σκύλλωνται. Ἐν δὲ τῷ ε΄ κεφ. ἐπὶ ἑκάστου μάρτυρος ὀφείλει ζητεῖσθαι πρότερον· ἄρχων, ἢ ἰδιώτης ἐστί, τίμιος καὶ ἄμεμπτος, ἢ ἄτιμος καὶ ἐπίψογος· εὔπορος ἢ ἐνδεής· ὥστε διὰ κέρδος τι πλημμελῆσαι. φίλος τοῦ πράττοντος ἢ ἐχθρὸς τοῦ καθ' οὗ πράττεται. ὅταν γὰρ ὑπονοίας ἐστέρηται, μαρτυρεῖ. ταῦτα δὲ περὶ τούτου διακρινεῖ ὁ δικαστής. καὶ εἰ ἁπλῶς μαρτυροῦσιν, ἢ μίαν μεμελετημένην ὁμιλίαν προσφέρουσι. εἰ πρὸς τὰς πεύσεις πιθανῶς ἀποκρίνονται. καὶ ποῖα τεκμήρια ὀφείλει προσδέχεσθαι. εἰ τὸ μέγεθος τῆς ἀποδείξεως ἑκάστου πράγματος, οὐκ ἐν παντί τε· ἀλλ' ὅσον ὡς ἐπὶ τὸ πλεῖστον. καὶ χωρὶς δημοσίων ὑπομνημάτων ἢ ἀκόλουθα δείκνυται ὡς ἐπὶ

τὸ πλέον· καὶ χωρὶς δημοσίων ὑπομνημάτων ἢ ἀληθῆ τὰ τῶν μαρτύρων, ποτὲ δὲ
διὰ τῆς ἀξίας καὶ αὐθεντίας· ἄλλοτε διὰ τῆς συμφώνου φήμης. καὶ ἁπλῶς παρὰ τοῦ
περὶ ἐκμαρτυρίων·
δικαστοῦ γνώμης ἤρτηται πιστεῦσαι καὶ μή· τοῖς μάρτυσι καὶ οὐ τοῖς ἐκμαρτυρίοις
πιστευτέον. αὐτοπροσώπως γὰρ ἐρωτᾶσθαι παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκλημάτων.
καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθέν, ἐξορίζεται. ἄλλη οὖν ἐστὶν ἡ αὐθεντία
τῶν παρόντων μαρτύρων· καὶ ἄλλη ἡ τῶν ἀναγινωσκομένων ἐκμαρτυρίων. ὁ
οὖν θέλων ἐπάγειν τοὺς μάρτυρας, δαπάνας αὐτοῖς δίδωσι. ἐν τῷ δ' δ κεφ. περὶ
βίας οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος ἢ παιδὸς αὐτοῦ. οὔτε ἄνηβος,
οὔτε ὁ δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς καὶ μὴ ἀποκαταστάς. ἢ ἐν δεσμοῖς
ἢ δημοσίᾳ φρουρᾷ βληθείς. οὔτε ὁ πρὸς τὸ θηριομαχῆσαι μισθώσας ἑαυτόν. οὔτε
ἡ φανερῶς πορνεύουσα ἢ ποιησαμένη ἐκ τοῦ σώματος. οὔτε ὁ ἐλεγχθεὶς ἢ κα-
ταδικασθεὶς λαβεῖν χρήματα ἐπὶ τὸ μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι. ἄκων οὐδεὶς
τίνες οὐ δύνανται μαρτυρεῖν·
μαρτυρεῖ ἐπὶ ἐγκληματικοῦ δικαστηρίου. κατὰ τοῦ ἰδίου πενθεροῦ ἢ γαμβροῦ ἢ
πατρυιοῦ ἢ προγόνου ἢ ἀνεψιοῦ ἢ ἀνεψιᾶς ἢ τῶν ἐξ αὐτῶν γεννηθέντων ἢ τῶν ἐν
δευτέρῳ βαθμῷ ὄντων. οὔτε κατὰ πάτρωνος ἢ πατρωνίσσης ἢ παίδων αὐτοῦ ἢ γο-
νέων αὐτοῦ ἢ γυναικὸς τοῦ πάτρωνος ἢ ἀνδρὸς πατρωνίσσης. οὔτε πάτρων ἢ πα-
τρώνισσα κατὰ ἀπελευθέρου. ἐν τῷ δ' ϛ κεφ. οὐκ ἔστιν ἀξιόπιστος μάρτυς ὁ κελευ-
σθεὶς δυνάμενος παρ' ἐμοῦ ἐπὶ τῷ μαρτυρῆσαι. ἐν τῷ δ' η κεφ. ὁ υἱὸς περὶ ἢ ὑπὲρ πατρὸς
οὐ μαρτυρεῖ. οὔτε οἷος δήποτε ἐν ἰδίῳ πράγματι. ἐν τῷ δ' ι κεφ. ἔνθα μὴ προσ-
τέθειται μαρτύρων ἀριθμός, ἀρκοῦσι δύο· ἡ γὰρ πληθυντικὴ σημασία, τὸν δυϊκὸν
ἀριθμὸν περιέχει. ἐν τῷ δ' ιγ κεφ. ὁ δ' ἐγκλήματι τῷ περὶ ἀδικίαν ἀρχόντων ἢ δικα-
στῶν καταδικασθείς, οὔτε ἐν διαθήκῃ οὔτε ἄλλως μαρτυρεῖ. ἐν τῷ δ' ιδ κεφ. οἱ
πλασταὶ ἢ ἐναντίως ἑαυτοῖς τοῖν δυοῖν μεροῖν μαρτυρήσαντες, ὑπὸ τῶν προσφό-
ρων ἀρχόντων τιμωροῦνται. πατὴρ καὶ υἱὸς ὑπεξούσιος καὶ δύο ἀδελφοὶ συνυ-
πεξούσιοι δύνανται μαρτυρεῖν ἐν τῇ αὐτῇ διαθήκῃ καὶ πράγματι. οὐδὲν γὰρ βλά-
πτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν. ἐν τῷ δ' ιϛ κεφ.
γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ. ἐν ἄλλοις δὲ μαρτυρίαν κέκτηται ἐν οἷς ἄνδρες οὐ
προσκαλοῦνται. ἐν τῷ δ' ιθ κεφ. κυρίου ἢ τοὺς ὁμοίους, χωρὶς βασάνων οὐ πι-
στεύονται. ἐν τῷ δ' κ κεφ. ἐὰν πάντες οἱ μάρτυρες τῆς αὐτῆς τιμῆς καὶ ὑπολή-
ψεως ὦσι καὶ ἐναντιωθῶσιν ἀλλήλοις. οὐ πάντως τὸ μεῖζον μέρος πιστευτέον.
ἀλλὰ τὸ συμβαῖνον τῇ φύσει τοῦ πράγματος· καὶ ὅπου οὐ ἔχθρας ἢ φαμιλίας
ἐστερημένον καὶ βεβαιούμενον ἀπὸ τῆς ψυχῆς τοῦ δικαστοῦ καὶ τεκμηρίων.

ς΄

οὔτε γὰρ τῷ πλήθει δεῖ προσέχειν· ἀλλὰ τῇ πίστει καὶ τῇ ἀξιοπιστίᾳ τῶν μαρτύρων. εἰς δὲ τὸ κβ΄ κεφ. ὁ καταλείψας ἢ διαμαρτυρήσας, οὐ μαρτυρεῖ κατ' αὐτοῦ. ὁ κατήγορος οἰκειακοὺς αὐτοῦ μάρτυρας οὐ δύναται παραιτεῖν. ὁ συντάξας (?) ἢ συμβιβάσας ἐν ὑποθέσει, οὐ μαρτυρεῖ ἐν αὐτῇ. εἰς δὲ τὸ κγ΄ κεφ. αἱ οἰκειακαὶ μαρτυρίαι ἀποδοκιμάζονται. εἰς δὲ τὸ κς΄ κεφ. οἱ μάρτυρες οἱ κατὰ χάριν ἢ δυναστείαν τινὸς μαρτυροῦντες, οὐ πιστεύονται. εἰς δὲ τὸ κζ΄ κεφ. οὐδεὶς ἀπαιτεῖται καθ' ἑαυτοῦ μάρτυρας παραιτεῖν· ἀλλὰ χρὴ τοὺς ἐναγόντας ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας. τοὺς δούλους μήτε ὑπὲρ τοῦ δεσπότου μήτε κατὰ τοῦ δεσπότου δύνασθαι ἐρωτηθῆναι, οὐκ ἀμφιβάλλεται. ὑπὲρ δὲ ἰδίου φόνου (?) δύνασθαι αὐτοὺς ἐρωτᾶσθαι, οὐκ ἀμφιβάλλεται. εἰς δὲ τὸ κθ΄ κεφ. οἱ ἀνιόντες καὶ κατιόντες κατ' ἀλλήλων, οὔτε βουλόμενοι δύνανται μαρτυρῆσαι. εἰς δὲ τὸ λ΄ κεφ. δεῖ τοὺς μάρτυρας πρότερον ὀμνύναι πρὶν ἢ μαρτυρήσωσιν. δεῖ δὲ τοῖς ἐπισημοτέροις μᾶλλον πιστεύειν. ἑνὸς δὲ μαρτυρία οὐκ ἔστι δεκτὴ ἐν οἱαδήποτε δίκῃ, κἂν συγκλητικὸς εἴη. εἰς δὲ τὸ λγ΄ κεφ. ἀπηγορευθέως (?) καὶ πάσχοντος, μήτε ὁρῶν μήτε ἀκούων μαρτυρείτω. εἰς δὲ τὸ λς΄ κεφ. ζητεῖται δὲ ἐν τῇ ἀποδείξει μαρτύρων εἰ ἐὰν μὴ ὦσι δικαιώματα πρὸς ἅπερ ἐπιτήδεια. εἰ δὲ εἰσὶ δικαιώματα, ἀρκούμεθα τοῖς μάρτυσιν. εἰ δὲ τὸ δικαίωμα βιβλίον ἐστίν, ὥστε αὐτὸ πάντων ἀρκεῖν· ἴσως γὰρ ὑπόμνημα δημόσιον ἐστί. τότε οὖν δεόμεθα μαρτύρων. ἐπιφέρει δὲ καὶ ἕτερον κεφάλαιον ἡ διάταξις βιβλίου τοῦτο. ἐάν τις ἐν ὑπομνήμασι καὶ ἐν συμβολαίῳ προσμαρτυρήσῃ, ἀνάγκην ἐχέτω πᾶσι τρόποις καὶ δίκης ἐπὶ τῷ πράγματι κινουμένης μαρτυρῆσαι. κἂν ἕτερον φέρων ἐπιγραφήν. εἰ γὰρ μὴ τοῦτο ἐποίει, βλάπτεται ὁ δεηθεὶς τῆς αὐτοῦ μαρτυρίας. εἰς δὲ τὸ λζ΄ κεφ. ἡ διάταξις κελεύει μὴ μόνον ἐν ταῖς ἐγκληματικαῖς δίκαις, ἀλλὰ καὶ ἐν ταῖς χρηματικαῖς ἕκαστον ἀναγκάζεσθαι μαρτυρεῖν. ἀπὸ ἐπίστασθαι μεθ' ὅρκου δηλαδὴ ἢ ὀμνύειν ὡς οὐκ ἐπίσταται. ὑπεξῃρημένων τῶν προσώπων, τῶν ἀπὸ νόμου κωλυομένων μαρτυρεῖν. καὶ τῶν ἰλλουστρίων, καὶ τῶν ὑπερβεβηκότων αὐτούς. ἢ μὴ ἐπιτήδειος γίνηται τόπος. καὶ δὴ τῶν ἐνδημούντων ἐν τῇ βασιλίδι πόλει, δεῖ κατὰ φωνῆς μαρτυρεῖν. εἰ δὲ ἀπολιμπάνοιντο, στέλλεσθαι τοὺς τῶν μερῶν ἐκδίκους (?). ἐφ' ᾧ καταθέσθαι ἅπερ ἐπίστανται ἢ ἐπομόσασθαι ἅπερ ἀγνοοῦσι. δηλονότι καὶ ἐπὶ τῆς ἐν ὑπομνήμασι μαρτυρίας τῶν αὐτῶν προσώπων ὑπεξῃρημένων. πάσας δὲ τὰς ἐπὶ τούτοις δαπάνας καὶ τὰς πραγματείας, ἀζημίους εἶναι τοῖς μάρτυσιν. εἰς δὲ τὸ λη΄ κεφ. ὁ προσάγων μάρτυρας ἐν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ' αὐτοῦ προφέρωνται, μὴ ἐχέτω ἐξουσίαν παραιτεῖσθαι αὐτοὺς ἰσχυρᾷ (?) ἀπεχθείᾳ, ἢ τὴν βιωτὴν (?). εἰ μὴ τὸ τε-

περὶ δούλων

περὶ ἀνιόντων καὶ κατιόντων

δηλονότι τῆς ζητήσεως (?)

H. ad Iustiniani Codicem post l. libertos. Cuiacius lib. observat. 3. cap. 13.

περὶ ἀναγκαζομένων μαρτυρεῖν

Ad Iustiniani Codicem tit. de testib. post l. nullum. idem Cuiacius

ἀποδείκνυσιν ἐν τῷ μεταξὺ ἢ ἔχθραν γενομένην αὐτῷ δεικνὺς τοῖς νόμοις. καὶ ποι-
οῦσιν ὑπόπτους τοὺς μάρτυρας, ἢ πολλάκις γὰρ εἰσὶ φανερῶς ἐπιλαμβανόμενοι χρη-
μάτων ἢ ὑποσχέσει γενομένην τὴν μαρτυρίαν. ἐξέστω αὐτῷ παραγγέλλεσθαι τοὺς μάρ-
τυρας. ἔτι δὲ καὶ δύναται ψευδῆ τὰ παρ᾽ αὐτῶν λεγόμενα δεῖξαι, καὶ τοῦτο ποιεῖν·
τοῦτο γὰρ μόνον ἔπειν ἡ διάταξις μὴ δύνασθαι αὐτοὺς παραγγέλλεσθαι. οὐ μὴν ἵνα καὶ
παντελῶς πιστεύωνται τῇ τούτων φωνῇ. ἐν τῷ δ´ λθ´ κε´. οἱ ἐγγράφως ὁμολογήσαντες
χρεωστεῖν, οὐκέτι χρεὼς ἀκούονται λέγοντες ἢ ὅλον τὸ χρέος ἢ μέρος αὐτοῦ καταβε-
βληκέναι ἀγράφως ἐπὶ μαρτύρων. ἐὰν οὖν μὴ πέντε μάρτυρες ἀξιόπιστοι πα-
ρῶσιν ἐν τῇ ἀγράφῳ καταβολῇ, καὶ ἐνωμότως καταθῶνται ὡς παρόντων αὐτῶν
κατεβλήθη τὸ χρέος ἢ κατάθεσις τῆς καταβολῆς παρὰ τοῦ δανειστοῦ γέγονεν. οὐ κα-
λῶς λέγεται ὁ πρὸς δεκάδος ὁ καταβολὴν ἄγραφον λέγων γεγονέναι. εἰδότες
οὖν ἅπαντες τοῦ νόμου τὴν δύναμιν, μὴ ἄλλως ἢ τὸ πᾶν χρέος καταβαλλέτω-
σαν ἢ μέρος αὐτοῦ. εἰ μὴ ἔγγραφος αὐτοῖς ἀπόδειξις γένηται. ἢ πέντε μάρτυρες
ἀξιόπιστοι μὴ εὐθὺς παρῶσι τῇ καταβολῇ ἢ τῇ καταθέσει. εἰ δὲ γένηται μὲν ἡ
ἀπόδειξις ἔγγραφος. ἐκ δὲ τύχης ἢ ἐμπρησμοῦ τυχὸν ἢ ναυαγίῳ
ἢ ἄλλως πως ἀπώλετο. ἐξέστω τότε τοῖς καταβεβληκόσιν ἀποδεικνύειν. εἰ ἀ-
πώλετο ἡ γενομένη αὐτοῖς περὶ τῆς καταβολῆς ἀσφάλεια καὶ μηδὲν ἐκ τῆς
περὶ αἱρετικῶν :-
τῆς ἀπωλείας ζημιούσθωσαν. ἐν τῷ δ´ μα´ κε´. τῶν αἱρετικῶν οἱ μὲν μανιχαῖοι ἢ
βορβορῖται ἢ ἕλληνες ἢ σαμαρεῖται ἢ μοντανισταὶ ἢ ἀσκοδρουγῖται ἢ ὀφῖται
ἢ οἱ τὴν ἰουδαϊκὴν θρησκείαν σέβοντες ἐν μηδενὶ μαρτυρείτωσαν. οἱ δὲ λοιποὶ πάντες
ἐν δικαστηρίῳ ἐξ ὀρθοδόξων ἔχοντες ἀντίδικον μὴ δεχέσθωσαν. ἐν δὲ τοῖς λοιποῖς
πᾶσι συναλλάγμασιν ἢ διαθήκαις ἢ δικαστηρίοις αἱρετικοὺς ἔχουσιν ἀντι-
δίκους, ἀδιαστάκτως μαρτυρείτωσαν. τὸ πλάτος χάριν τῶν ἀποδείξεων. ἐν τῷ
δ´ μα´. ἔτι δὲ καὶ ἤδη μηδεμίαν ἐπὶ χρέεσιν ἐγγράφοις, ἀγράφων καταβο-
λῶν ἀπόδειξιν διὰ μαρτύρων δέχεσθαι νενομοθετήκαμεν. πλὴν εἰ μὴ κατὰ τὴν ἐκεῖ-
σε ῥηθεῖσαν παρατήρησιν. ἣν δὴ καὶ κρατεῖν βουλόμεθα. ἀλλ᾽ οὖν καὶ νῦν τοῦτο
ἀνανεούμεθα. εἰ γὰρ ἐγγράφου ὄντος τοῦ χρέους καὶ ἀγράφου καταβολῆς προτεί-
νοιτο παρὰ τῶν δικαζομένων ἡ διὰ τῶν μαρτύρων ἀπόδειξις. τότε δεκτὴν αὐ-
τὴν παρὰ δικασταῖς εἶναι. ἡνίκα ἐπ᾽ αὐτὸ τοῦτο παραλαμβάνοιντο μάρτυρες. ὥ-
στε τῆς γενησομένης καταβολῆς ὅτε μέλλει τοῦτο γενέσθαι ἢ ἵνα καταβολὴ ἤδη. καὶ
τοῦτο ὁμολογεῖσθαι παρὰ τοῦ τὰ χρήματα λαβόντος μαρτυρήσωσιν ἄνδρες ἀ-
ξιόπιστοι καθεστῶτες ἢ καὶ ἐν μαρτυρίοις ἴσως ποιήσωσι φανερόν. ἐὰν δὲ μὴ

γίας ταύτας καὶ ἐκ τοῦ ἐπιτρέψαντος γενομένας μαρτυρίας· μηδενὶ παντάπασι λόγῳ κρατεῖν. καὶ τὰς
αὐτάς τινας ἀναπλάττειν μαρτυρίας· ὡς δῆθεν τινὰ χρέα παρατυχεῖν ἀκοῦσαι. τοὺς λέγοντας ἐλη
φέναι παρὰ τοῦ δεδανεικότος. ἢ ὀφείλειν ἐκεῖνῳ. αὗται γὰρ σαφῶς ἤδη ὕποπτοι καθεστᾶσι. οὐ
δενὸς ἄξιαι λόγου, ὁπότε καὶ τοιοῦτον ἐν τῷ δικάζειν φέρεται· ὡς καὶ τὸ πολλῶν χρεῶν
τῶν λεγομένων καταβάλλεσθαι. ταβουλλάριοι δύο μόνοι τοῦτο ἔφθασαν ἀπαγορεῦσαι. μάρτυ
ρος οὐδενὸς καὶ τοῦ χρέους ἐγγράφου τυγχάνοντος καὶ τοῦ καταθεμένου δῆθεν γρα
φὴν ἐπισαμένου καὶ δυναμένου. διοικήσεων γραμμάτων ταῦτα φανερὰ καθεστᾶσι. ὅπερ
ἐξ ἐκείνου μισθὸν λαμβάνειν. ἀφορμὴν τοῦ παρέχοντος ἔλλειψιν νόμου. καὶ αὖθις παρελθὼν τὶς ἕ
τερος τὸ εἶδος ἔοικος συκοφαντουμένῳ. καὶ ἐπὶ μαρτύρων δῆθεν καὶ ἐπὶ ταβουλλα
ρίων καταθέσθαι καθ᾽ ἑαυτοῦ χρέα. καὶ ὅλως μισθοῦ τοῦτο πράξας ἀπελθεῖν. ἕτερος δὲ
ὥσπερ ἀπαιτεῖν τὸ χρέος παρ᾽ ἑτέρου τινός, ὡς παρ᾽ αὐτοῦ δῆθεν ὁμολογηθέν. καὶ τοῦτο ὕστερον
ᾐδικῆσθαι. τοῦ θεοῦ τὰ τοιαῦτα μέχρι παντὸς οὐ συγχωροῦντος κατακρύπτεσθαι. οὔτε
οὖν ταῖς τοιαύταις πιστεύομεν μαρτυρίαις ἢ ταῖς τῶν ταβουλλαρίων καθάπερ εἴπομεν ἔφθη
μεν καταθέσεσιν. ἡνίκα γὰρ γραμμάτων ἐπιστήμονες εἰσιν οἱ καταθέσθαι λεγόμενοι, πα
ρ᾽ αὐτῶν καὶ γράφεσθαι. ἢ ἐν δικαστηρίῳ καταθέσθαι καὶ δοῦναι παρ᾽ αὐτοῖς πίστιν ἀναμφίβολον
τὴν ἑαυτῶν. οὔτε μόνον αὐτὰς τὰς ἀληθείᾳ λυμαινομένας συγχωροῦμεν. οὔτε ἔτι τοιοῦτο γε
νέσθαι στέργομεν. ἀλλ᾽ ἀπαιτοῦμεν τὸ καὶ παρακαλεῖσθαι παρὰ τοῦ παρέχοντος τοὺς μάρτυρας.
ὅταν τὸ χρέος. καὶ τοῦτο διὰ μαρτυρίας ἀποδείκνυσθαι. καὶ εἶναι καὶ αὐτοὺς τοῦτο διὰ τὸ
τῶν διαθηκῶν παρακεκλημένους καὶ ἀνυπολήπτους καθεστάναι. καὶ οὕτω τὸ πρᾶγμα δέ
χεσθαι τὴν ἐξ αὐτῶν ἀπόδειξιν. καὶ μὴ ἐκμαρτυρίας τοιοῦτον ποιῇ. μὴ καὶ μαρτύρων ἐχου
σαν καὶ μαρτυρίαν καὶ κατάθεσιν καὶ ὑπογραφὴν κρατεῖν. εἰ δὲ μὴ τοιοῦτοι καθεστᾶσιν περὶ ἐκμαρτυρίας
οἱ μάρτυρες ὁποίους ἐμπροσθεν εἰρήκαμεν. καὶ βασάνοις αὐτοὺς ὑποκεῖσθαι κελεύομεν.
εἰ δέ τινες καθαρῶς ἐναντίας φανεῖεν αὐτοῖς ἢ καὶ ἀλλήλοις φθέγξοιντο. τοὺς δικαστὰς μάλι
στα τούτῳ προσέχειν τῷ νόμῳ. καὶ ἐπειδὰν τὰ κυριώτερα τῶν μαρτυρουμένων τὰς ἐναντι
ότητας δέξοιντο. ἐκβάλλειν τὰς τοιαύτας μαρτυρίας τοῖς παρὰ τῶν ἀξιοπιστοτέρων καὶ πλεί
όνων προσέχοντας. εἰ δὲ ἐξεπίτηδες φανοῖεν κακουργοῦντες καὶ ἐντεῦθεν ἐμπίπτον
τες εἰς ἐναντιώσεις. μὴ δὲ ἀθώους αὐτοὺς καταλιμπάνειν ἐπεὶ μὴ κατὰ πλάνην ὡς εἰκός.
ἀλλ᾽ ἐξεπίτηδες τὰ ἐναντία δῆθεν λέγουσιν. εἰ δέ φασι μὲν κατὰ φύσιν. ἐπειδὴ δὲ πολλάκις
μάρτυρας παρασκευασάμενοι, καὶ τοσάκις τοῦτο πράξαντες. εἶτα ἐπειδὰν ἀποτάξοιντο
καὶ ἐκλάβοιεν τὰς μαρτυρίας. πειρῶνται πρὸς ἡμᾶς ἐνοχλεῖν καὶ βούλεσθαι καὶ τε
τάκις παραγαγεῖν μάρτυρας. θεσπίζομεν τοὺς ἡμετέρους δικαστὰς τούτοις μάλιστα προ
σέχειν. καὶ εἰ τετάκις ἤδη παρῆλθον οἱ μάρτυρες. καὶ παρὰ τοῦ τοὺς μάρτυρας παραγαγόν

τας καὶ ἀποδεξαμένου καὶ ἐκλαβοῦσι πάλιν αἰτοῦντι μάρτυρες. τούτους παντελῶς
μὴ προσίεσθαι. ὡς ὑποψίας οὔσης μήποτε παραγινομένου τῶν προτέρων καὶ ἤδη φα-
νερῶν τούτων διὰ τῆς μαρτυρίας γινομένων. ἐκεῖνος οὐ παραγωγῆς μαρτύρων. ἀλλὰ τῆς
τῶν ἔμπροσθεν ἢ οὐ μαρτυρηθέντων προσθήκης ἢ μαρτυρηθέντων διανορθώσεως δέοιτο
μέν. εἰ δὲ ὁ παραγαγὼν μὲν οὐκ ἐκλάβοι, οὐδὲ ἐντύχοι μαρτυρίαις. οὐδὲ αὐτὸς οὐδεὶς τῶν
συνηγόρων αὐτοῦ. ὁ δὲ ἀντιτεταγμένος ἐκλάβοι μόνος, καὶ ποιοῖτο παραγραφὰς οὐ μὴν
ταύτας ἐκδοίη τῷ τέως ἤδη ποιησαμένῳ τὴν τῶν μαρτύρων πρόσοδον. ὥστε μὴ διὰ τῶν πα-
ραγραφῶν μαθόντα τοῦ τούτους παραγαγόντα τὰ ἐλλείποντα ταῖς μαρτυρίαις ταῦτα προσ-
θεῖναι. τηνικαῦτα δοθέον καὶ τετάρτην παραγωγὴν μαρτύρων τῷ ταύτην αἰτοῦντι. προτέρου
ὅρκου διδομένου παρ' αὐτοῦ ὡς οὔτε ἐξέλαβεν. οὐδὲ ἐνέτυχε ταῖς μαρτυρίαις οὐδὲ
αὐτὸς οὐδεὶς ἢ συνήγορος ἢ ὅλως ὑπὲρ αὐτοῦ πράττων. οὔτε κατά τινα δόλον οὐδὲ
μηχανήν. οὐδὲ τέχνην τὴν τετάρτην παραγωγὴν αἰτεῖ ποιήσασθαι τῶν μαρτύρων. ἀλλὰ διὰ
τὸ μὴ δυνηθῆναι πρότερον ταῖς ἐπαγγελλομέναις χρήσασθαι μαρτυρίαις. καὶ ἔδει τοῦ-
το γίνοιτο. μηδὲ ἀκριβῶς ὑπὲρ τούτων δίδοσθαι βασιλικῆς καθάπερ ἔμπροσθεν ἦν. ἐκεῖνο
μέντοι τῶν ἀνωμολογημένων ἐστὶν ὡς εἰ καὶ ἅπαξ τις παραγάγοι μάρτυρας ἢ δὶς ἀπο-
τάξεται. καὶ ἐκλάβοι τὰς μαρτυρίας καὶ κατασκέψεται. ἢ τοῦ ἀντιτεταγμένου ποιήσαντος.
αὐτὸς τὰς παραγραφὰς ἐκλάβοι. κἀκεῖθεν μάθοι τὰ μεμαρτυρημένα. οὐκ ἔξεστι παντελῶς
αὐτῷ ἂν οὐδὲ μιᾷ παρ' ἑτέρᾳ χρήσασθαι μαρτύρων παραγωγῇ. οὐδ' ἂν ἴδοι τὰ τούτῳ κηδου-
σι προειρηθέντι. εἰ μέντοι τις φθάσει ἀπελθεῖν τὸ πρότερον πρὸς μαρτυρίαν αὐτῷ κα-
θεστάναι τυχὸν καὶ ὑπὸ αἰτίας τινὸς παρ' αὐτοῦ γενέσθαι, ἐξ οὗ δέξεται δέους ὡς ἐγκλημα-
τι μεταξὺ αὐτῶν κινεῖσθαι δίκη, μὴ πρότερον πρὸς μαρτυρίαν ὃ μέλλει τοῦτο δυσμενῶς
καὶ περὶ ἐγκλημάτων δικάζεσθαι. εἰ δὲ ἄλλως ἀπεχθὴς εἶναι λέγοιτο. ἢ καὶ αἰτιᾶσθαι
χρηματικῶς, πρότερον μὲν τὰ τῆς μαρτυρίας τῷ δὲ καιρῷ τῶν παραγραφῶν φυλάττεσθαι τὰ τῶν
τοιούτων ζητήσεων. ἐπειδὴ δὲ ἔθηκε μὲν νόμον ὥστε καὶ ἐπὶ χρηματικῶν δικῶν ἄκον-
τας μαρτυρεῖν ἐκείνων οὐκ ἀναγκαζομένων τὴν μαρτυρίαν νέμειν ὅσοι μεσῖται γεγόνα-
σιν αὐτοῖς. καί τινες ἀποχρῶνται τούτῳ καὶ μαρτυρίαν οὐ βούλονται νέμειν. θεσπίζο-
μεν ἐπὶ ἑκατέρου μέρους συναινοῦντος τῇ μεσιτείᾳ αὐτοῦ γενομένου μαρτυρεῖν. δύνασθαι παρὰ
τοῖς παρ' αὐτοῦ λεγομένοις. ἀναγκάζεσθαι αὐτὸν καὶ ἄκοντα τὴν μαρτυρίαν νέμειν. τοῦ
κωλύοντος διὸ περὶ αὐτὸν ἄκοντα μαρτυρεῖν ὁ πρότερος ἡμῶν οὐκ ἐβούλετο νόμος, διὰ
τῆς συναινέσεως ἑκατέρων τῶν μερῶν ἀνῃρημένου. καὶ τοῦτο δὲ πολλάκις πεπειράμε-
θα ἴσμεν ὥστε τινὲς ἢ παρὰ τοῖς τῶν ὑπάτων ἐκδίκοις. ἢ παρὰ τοῖς λαμπροτάτοις τῶν ἐπαρ-
χιῶν ἄρχουσιν. ἢ καὶ ὡς ἐκεῖ ἐνταῦθα παρὰ τῷ ἐνδοξοτάτῳ μαγίστρῳ τῶν κινδύνων δοι

ις´

ὄντες καὶ μεμφόμενοι ὡς παρὰ τούτου πεπονθότες τι παράνομον ἢ ἄλλως ἠδικημένοι ἢ ἐζημιωμένοι βούλονται μάρτυρας παραστήσασθαι· καὶ ἵνα μὴ ὕστερον ἀντιλεχθῇ αὐτοῖς· ὡς κατὰ μίαν μοῖραν τὰ πεπραγμένα γίνεσθαι δεῖ· κατ' ἐκεῖνον ἐν αὐτῇ τῇ πόλει καθεστῶτα ἔνθα αἱ μαρτυρίαι δίδονται ὑπομνησθέντα παρὰ τοῦ ἄρχοντος ἢ τοῦ ἐκδίκου παραγενέσθαι καὶ ἀκοῦσαι τῶν μαρτυριῶν· εἰ δὲ μὴ βουληθῇ παραγενέσθαι ἀλλὰ διαπτύσει· ὥστε ἐκ τοῦ ἑνὸς μέρους δίδοσθαι τὰς μαρτυρίας καὶ αὐτὰς βεβαίους εἶναι. Θεσπίζομεν τὰς τοιαύτας μαρτυρίας οὕτω κρατεῖν. ἐπειδὴ μὴ μονομερῶς τυγχάνουσιν· ἀλλ' ἐκ αὐτοῦ παρόντος γεγόνασιν· εἰ γὰρ παρεκλήθη καὶ ἦλθεν μὴ βουληθεὶς καὶ ἀκοῦσαι τῶν κατατεθειμένων, οὐκ ἐξ ἀπαραιτήτου τινὸς ἀνάγκης ἀφικέσθαι μὴ δυνάμενος· ἐν ἴσῳ τοῖς παραγενομένοις ἔσται· καὶ οὐδὲν ὄφελος ἐκ τοῦ αὐτοῦ προσώπου αὐτῷ γενήσεται· ἀλλὰ δοκείτωσαν ἐξ ἐναντίας γεγονέναι· ὅτε δὲ αὐτὰς ἁρμόσει ἐν αὐταῖς παραγράφεσθαι περὶ αὐτῶν, ἐξεῖναι τούτοις λέγεσθαι· μόνον τοῦ δοκεῖν αὐτὰς εἶναι μονομερεῖς διὰ τὴν αὐτοῦ προπέτειαν καὶ αὐθάδειαν μὴ παραγενομένου ταῖς μαρτυρίαις, ἀντιτίθεσθαι μὴ δυναμένου. ἀνάγνωθι καὶ βιβλ. κβ´ τίτ. α´ κεφ. οε´ καὶ οζ´. ἀνάγνωθι καὶ βιβλ. ξ´ τίτ. μα´ κεφ. κζ´ ἐν τῷ φθ´. Οἱ ἐναντία μαρτυροῦντες ἀλλήλοις καὶ ἐναντιούμενος τῇ οἰκείᾳ ὑπογραφῇ· καὶ ὁ δύο κατ' ἐναντία προσμαρτυρῶν, ὑπόκειται τῷ πλαστῷ:

Περὶ μεσεγγυητῶν. ἀνάγνωθι βιβλ. ιγ´ τίτ. β´ κεφ. ε´ καὶ ς´ ἐν τοῖς φ.: ζ´

Μεσεγγυητής ἐστι κυρίως, ᾧτινι πολλοί, εἰς ὁλόκληρον παρέθεντο πρᾶγμα ἐπὶ δήλῳ ὅρῳ τοῦ φυλάξαι καὶ ἀποδοῦναι. καὶ κεφ. ιζ´ ἐν τῷ φ. ὁ μεσεγγυητής, οὐχ εἷς μόνος· ἀλλὰ καὶ πολλοὶ παρατίθενται θελόντων αὐτοῖς γινομένης· καὶ δοκεῖ ἕκαστος εἰς ὁλόκληρον παρατίθεσθαι. τοὐναντίον δὲ ἐπὶ πολλῶν πρᾶγμα κοινὸν παρατεθειμένων. καὶ κεφ. ιη´ καὶ λη´. ἀνάγνωθι βιβλ. ξ´ τίτ. να´ κεφ. λδ´ θέμ. ε´:

Περὶ μεταθέσεως ἐνοχῆς. ἀνάγνωθι βιβλ. κς´ τίτ. δ´. οὗτινος ἐν τῷ β´ κεφ. φ.: η´

Πᾶν πρᾶγμα μεταφέρεται ἐὰν ἐπὶ τὸ μεταγαγεῖν ἐπερωτηθῶμεν· ἐπεὶ γίνεται δύο ἐνοχαί. ἐν δὲ τῷ ε´ κεφ. ἡ ὑπὸ ἡμέραν ἐνοχή, καὶ πρὸ τῆς ἡμέρας μεταφέρεται καὶ ὑπὸ ἡμέραν γίνεται ἐνοχῆς μετάθεσις· ἀλλ' οὐ κινεῖται πρὸ τῆς ἡμέρας ἢ περὶ τούτου συμφωνία. ἐν δὲ τῷ κε´ κεφ. ἐὰν ἀντ' ἄλλου δοθεὶς ὑπεύθυνος ὁ ἀγοραστὴς ὁμολογήσῃ κατὰ μετάθεσιν τῆς ἐνοχῆς ὅτι δοῦναι ἢ παρ' αὐτοῦ ἐκ τῆς ἀγορασίας ὀφείλει, οὐδετέρῳ τοῦ μέλλοντος χρόνου τόκους χρεωστεῖ:

Περὶ μετοίκων. ἀνάγνωθι βιβλ. να´ τίτ. β´. οὗτινος ἐν τῷ α´ κεφ. φ.: θ´

Ἐὰν ὁ γενόμενος μέτοικος ἐν τόπῳ τινὶ καὶ λειτουργίας ποιῶν εἰς ἑτέραν λειτουργίαν μετήνεγκε τὴν κατοικίαν ἑαυτοῦ· οὐκέτι ἀναγκάζεται ἐν ἐκείνῳ τῷ τόπῳ λειτουργῆσαι· τὸ γὰρ με-

ξ

ι΄ λαβεῖν τινὰ τὴν οἴκησιν τὴν ἐξ ἀρχαίου τοῦ γονέως αὐτοῦ οὐκ ἐναλλάσσονται· τὸ γὰρ μετοίκιον ἐναλλάσσεται:

Περὶ μετρητῶν ψευσαμένων περὶ τὸ μέτρον. ἀνάγνωθι βιβλ. ξ΄ τίτ. θ΄. οὗτινος ἐν τῷ α΄ κεφ. φησίν:

Ὁ μετρητὴς ψευσάμενος περὶ τὸ μέτρον τοῦ φιλονεικουμένου ἢ πιπρασκομένου ἀγροῦ, ὑπόκειται τῇ τοῦ διπλοῦ ἀπαιτήσει· οὐ γὰρ ἔστι μίσθωσις· ἀλλὰ καὶ ἀξιοῦσί τινες κινεῖν περὶ μισθώσεως ἀγωγήν. ὁ γὰρ διδόμενος τῷ μετρητῇ, οὐκ ἔστι μισθὸς ἀλλ᾽ ἀντίδωρον. ἀπὸ δόλου γενομένου ἐνέχεται καὶ μεγάλης ἀμελείας κἂν ἴσως ἐκεῖνος ἐνέχεται ἐκφωνήσας δι᾽ ἑαυτοῦ ἢ δι᾽ ἄλλου ἢ διὰ γραμμάτων. εἰ δὲ καὶ μετρητὴς ὁ ἐπιτραπεὶς μετρῆσαι ἑτέρῳ ἐπιτρέψει κἀκεῖνος δόλον ποιήσει· αὐτὸς ἐνέχεται ὡς διὰ τοῦτο καταπιστεύσας. εἰ δὲ φησὶν ε΄ κεφ. οὐ μόνον ἐπὶ ἀγροῦ χώραν ἔχει ἡ τοῦ διπλοῦ ἀπαίτησις· ἀλλὰ καὶ ἐπὶ λοιπῶν πραγμάτων· σίτου, οἴκου, οἴνου, σίτου· ξύλων καὶ λίθων· καὶ κατὰ μηχανικοῦ ψευσαμένου κατὰ ἀπαίτησιν ἁρμόζει. καὶ κατὰ τοῦ μὴ ὄντος μετρητοῦ ἀπαιτήσαντος δὲ περὶ τὸ μέτρον· καὶ ἀρχιτέκτονος καὶ ἐργολάβου καὶ ταβουλαρίου περὶ τὸν συμψηφισμὸν ἀπαιτήσαντος:

ια΄ Περὶ μεταλλιζομένων. ἀνάγνωθι βιβλ. ξ΄ τίτ. να΄ κεφ. θ΄ καὶ ια΄ ἐν οἷς φησιν:

Ποινὴ μετάλλου ἐστὶ τὸ καταδικασθῆναι τινὰ ἄσβεστον ποιεῖν ἢ θεῖον ὀρύττειν· καὶ κεφ. νϐ΄ ἐνταῦθα φησί· ὅστις εἰς μέταλλον ἢ κατὰ τῶν ἐγκλημάτων τῶν καταληφθέντων ποιότητα καταδικασθῇ, μηδαμῶς ἡ αὐτοῦ ὄψις ἐπιγραφέσθω· ὁπότε καὶ ἐν ταῖς χερσὶ καὶ ἐν ταῖς κνήμαις δύναται ἡ τιμωρία τῆς καταδίκης μιᾷ γραφῇ περιέχεσθαι· ὥστε ἡ ὄψις ἥτις πρὸς μίμησιν τῆς ὡραιότητος τῆς οὐσίας ἐστὶ πεπλασμένη, μηδαμῶς σπιλωθῇ:

ιβ΄ Περὶ μιτάτων ἤτοι ἀπλήκτων· καὶ τίνες οὐχ ὑπόκεινται αὐτοῖς. ἀνάγνωθι βιβλ. νζ΄ τίτ. β΄. οὗτινος ἐν τῷ β΄ κεφ. φησίν:

Ἑκάστη οἰκία, ὀφείλουσα παρέχειν μιτᾶτον, εἰς τρία μέρη διαιρείσθω· καὶ τὸ ἐξ αὐτῶν μέρος, ὁ δεσπότης ἐπιλεγέσθω εἰς ἰδίαν καταμονήν· καὶ τὸ ἄλλο ἐν ὁποῖον βούλεται ὁ στρατιώτης λαμβανέτω· καὶ τὸ ὑπόλοιπον τρίτον, ὁ δεσπότης παρεχέσθω. ἀλλ᾽ ἤγουν ἔσωθεν τῶν μιτάτων τὰ προσανακείμενα τῇ οἰκίᾳ προοίκια· εἰ μὴ ἄρα ὁ στρατιώτης ἐν τῷ ἐπιλεγέντι παρ᾽ αὐτοῦ τρίτῳ μέρει οὐκ ἔχει στάβλον· τότε γὰρ ὁ δεσπότης ὅθεν δήποτε αὐτῷ ὀφείλει παρέχειν. εἰ δὲ μὴ ἔχει, τὸ τέταρτον διδόσθω ἀπὸ τῶν προοικιῶν· οὐ γὰρ πάντως οἷον αὐτὸς ὁ στρατιώτης βούλεται· ἀλλ᾽ οἷον ἀπαιτεῖ ὁ ἀριθμὸς ὧν ὁ στρατιώτης ἐπάγεται ζώων. τῶν δὲ περισσοτέρων στρατιωτῶν ἀπαιτούντων μιτᾶτα· εἰ γὰρ ἰλλούστριος ἦν ὁ φθάνων μιτᾶτον μέλλει δέξασθαι, μὴ κέκτηται τὸ τρίτον τῆς οἰκίας, ἀλλὰ τὸ ἥμισυ διδόσθω αὐτῷ. τοῦ μὲν δεσπότου τῆς οἰκίας μερίζοντος, τοῦ δὲ ἄλλου ἐπιλεγομένου. εἰ δέ τις πλέον μέρος τῆς οἰκίας χο-

Leunclaius fol. 538.

τῷ μιτάτου λάβῃ. ὁ μὲν ἰλλούστριος ν̄ χρυσίου λίτρας προστιμάσθω· ὁ δὲ στρατιώτης τῷ μειούσθω τῆς στρατείας. ἐν τῷ δ´ τοῦ α´ κεφ· οἱ οἶκοι τῶν ἀφωρισμένων ὁπλοποιῶν οἱ ὁπουδήποτε ὄντες οὐχ ὑπόκεινται μιτάτοις. ἐν τῷ δ´ τοῦ ι´ κεφ· οἱ ἀρχιατροὶ τοῦ παλατίου καὶ τῆς ῥώμης, καὶ τῶν γραμμάτων διδάσκαλοι ὑπὲρ τῶν ὄντως ἀναγκαίων τεχνῶν καὶ γεωμετρικῶν μαθημάτων. οὐ μὴν ἀλλὰ καὶ οἱ τῆς ζωγραφικῆς διδάσκαλοι. ἐὰν μόνον δοκιμασθῶσι τῆς τῶν μιτάτων ὀχλήσεως ἐσονται ἐλεύθεροι. ἐν τῷ δ´ τοῦ κ´ κεφ· θεσπίζομεν ἵνα μηδεὶς ἐν οἱῳδήποτε βαθμῷ ἢ τύχῃ ἤτοι [illegible]. καὶ τὴν ἰδίαν ἐξκουσατεύων οἰκίαν ἐκδικάσῃ ἑαυτῷ μιτάτον ἐν ἀλλοτρίοις οἰκήμασι· διὰ τὸ πεσεῖν αὐτῷ προνόμιον τῆς στρατείας. τοῦτο δὲ κελεύει κρατεῖν οὐ μόνον ἐν Κωνσταντινουπόλει ἀλλὰ καὶ ἐν πάσαις ταῖς ἐπαρχίαις. οἱ δὲ ἰλλούστριοι πάντες εἴτε ζωσοι(?) εἴτε ἄζωσοι, μὴ ἐχέτωσαν ἐξκουσατίονα μιτάτων. εἰ δέ τις ζωσὸς ἰλλούστριος ὑπάρχων ἤτοι παρὰ βασιλέως μὴ ὑποδέχεσθαι μιτάτον, ἀποστερηθήσεται τοῦ δοθέντος αὐτῷ προνομίου. ἐὰν δὲ ἰδιώτης ἐστὶ ρ̄ λίτρας παρέχει τοῖς θείοις θησαυροῖς. ἡ αὐτή, ὁ εἰς τὸ μέσον τῶν ἐξκουσατευομένων οἰκημάτων μιτάτου. καὶ κεφ· ἵνα ὁ δὲ γενόμενος ὑπατικὸς ἢ πατρίκιος γ̄ οἴκους ἰδίους ἐξκουσατεύει ἀπὸ μιτάτων ἐν ᾧ [illegible] πάρεστιν. οἱ δὲ κληρονόμοι αὐτοῦ, εἴτε παῖδες εἶεν οἱ κληρονομοῦντες αὐτόν εἴτε πατὴρ εἴτε μήτηρ εἴτε ἔγγονοι εἴτε ἀδελφοὶ εἴτε ἀδελφαὶ εἴτε γαμεταί· β̄ οἴκους. εἰ δὲ ὑπατικὸς μόνον ἐστί, δύο ἥμισυ οἴκους αὐτὸς ἐξκουσατεύει. ἐν δὲ τελευτῇ οἱ κληρονόμοι αὐτοῦ, ἕνα ἥμισυ. τὸ δὲ αὐτὸ προνόμιον ἐχέτω καὶ ὁ μόνον γενόμενος πατρίκιος. οἱ δὲ ἀπὸ ἐπάρχων καὶ οἱ στρατηλάται, β̄ οἴκους μόνους ἐξκουσατεύουσιν. οἱ μὲν τούτων κληρονόμοι αὐτῶν, ᾱ οἶκον. οἱ δὲ μαγίστροι ἤτοι κυαίστορες, ᾱ ἥμισυ οἶκον. οἱ δὲ κόμητες τῶν δομεστίκων καὶ πριμικηρίων καὶ πρωτοχόων(?) καὶ ἰδικῶν. καὶ ὁ πριμικήριος τῶν νοταρίων ἀνὰ ᾱ οἶκον. οἱ δὲ κληρονόμοι αὐτῶν ἥμισυ οἶκον. τοὺς δὲ ὑπολοίπους ἀξιωματικοὺς τελεῖν, παρέχεσθαι τὰ μιτάτα. ἐὰν δὲ ἰλλούστριοι ὦσι μηδὲν πράξαντες τελευτήσωσι μηδὲ ἕνα οἶκον ἐξκουσατευέτωσαν. ὑπεξῃρημένων δηλαδὴ τῶν ἐργαστηρίων αὐτῶν τῶν ἐν ταῖς πλατείαις ἢ ἐν τοῖς στενωποῖς. μηδεὶς δὲ μήτε ἀπὸ θείου γράμματος, μήτε ἀπὸ πραγματικοῦ τύπου, ἐξκουσατευέτω ἑαυτὸν ἀπὸ μιτάτων:

ὅτι ἡ ἐνταῦθα αὐτὴ τοῦ καὶ ἐστίν:

## Περὶ μισθώσεως καὶ ἐκμισθώσεως καὶ μισθωτῶν καὶ μισθουμένων. καὶ ὅτι δεῖ τῶν πολιτικῶν οἰκημάτων σιωπηρῶς ἐπόχεσθαι(?) τὰ μισθώματα. αὐτὸ βι. ια´ τ´ α´ κεφ δ´. ε´ β´ ι´ τ´ β´ κεφ α´ δ´ β´. ε´ β´ ι´ ε´ τ´ γ´. ε´ β´ κ´ τ´ α´. οὕτω πάντα ἐν ᾧ κεφ ... : ιζ´

Ἐὰν συμφωνηθῇ τοῖς μισθουμένοις οἶκον ἀβλαβὲς ἐκ τοῦ πυρὸς καὶ τυχηρὰ γένηται καῦσις, οὐκ εὐθύνεται ὁ μισθωτός. εἰ δὲ κατὰ ἀμέλειαν αὐτοῦ ζημία ἐγένετο. εἰ

Ἐν τῷ αὐτῷ θ' κεφ. Ὁ μισθωσάμενος ἀγρὸν, οὐ κωλύεται ἐὰν θέλῃ, ὅτε χωρεῖς ἀπέλθῃς αὐ-
τοῦ λῦσαι αὐτὴν ἀφ' ἑαυτοῦ. ἀναλαμβάνει δὲ τοὺς μισθοὺς, οὓς ὑπὲρ τοῦ λειπομένου χρό-
νου δέδωκεν. ὁ ποιμὴν καὶ ὁ ῥάπτης καὶ ὁ κναφεὺς ἀπὸ ἀμελείας καὶ ἀπειρίας ἐνέ-
χονται. Ἐν τῷ αὐτῷ ια' κεφ. Ἐὰν συμφωνηθῇ μὴ ἔχειν πῦρ, καὶ σχῇ, ἐνέχεται δὲ καὶ ἀπὸ τύ-
χης ἐμπρησμὸς γένηται. ἑτέρου ἔστιν ὅτε συμφωνηθῇ πῦρ ἔχειν ἀβλαβές. Ἐν τῷ αὐτῷ ιβ'
κεφ. Ἐὰν συνεφώνησεν ὁ μισθωσάμενος μὴ ἔχειν ἐν τῷ οἴκῳ χόρτον καὶ ἔχῃ, εἶτα δοῦ-
λος αὐτοῦ ἢ ξένος ἐμβάλῃ πῦρ καὶ καύσῃ, χώρα τῇ περὶ τοῦ συμφώνου ἀγωγῇ. εἰ
δὲ καὶ ἁμαξάριος, φιλονεικῶν προλαβεῖν στρέψαι τὴν ἅμαξαν καὶ κλάσῃ τὸν δοῦ-
λον. ἐνέχεται τῇ περὶ τῆς μισθώσεως ἀγωγῇ. Ἐν τῷ αὐτῷ ιγ' κεφ. Ἐὰν λάβῃ τις ἐπὶ τῷ ἐγ-
κλεῖσαι ἢ γλύψαι λιθέαν καὶ κλασθῇ, εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου, χώρα τῇ περὶ τῆς
μισθώσεως ἀγωγῇ. εἰ δὲ ἀπὸ αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται, εἰ μὴ τὸν κίνδυνον ἀνε-
δέξατο. Ἐὰν μυιόβρωτον γένηται τὸ δοθὲν τῷ κναφεῖ, χώρα τῇ περὶ τῆς μισθώσεως ἀ-
γωγῇ. καὶ ἐὰν ἑτέρῳ τὸ ἑτέρου παράσχῃ, ἢ ἄλλο παλαιόν, κἂν ἐν ἀγνοίᾳ. Ἐν τῷ αὐτῷ ιδ'
κεφ. Ἐὰν ἀνεχομένου τοῦ δεσπότου μετὰ πλήρωσιν τοῦ χρόνου ὁ μισθωτὴς ἐπιμένοι,
καὶ χωρὶς ῥημάτων ἢ γραμμάτων ἀνανεοῦται τὸ συνάλλαγμα ὡς ἀπὸ νέας συναινέ-
σεως. ὅθεν ἐὰν ἐν τῷ μεταξὺ τελευτήσῃ ἢ μανῇ ὁ δεσπότης, οὐκ ἀνανεοῦται. Ἐν τῷ
αὐτῷ ιε' κεφ. πᾶσαν βιωτικὴν οὐ δυνατὸν ἀντιστῆναι, ὁ δεσπότης γινώσκει· οἷον τὴν ἀπὸ τῶν
ποταμῶν ἢ γεράνων ἢ ψαρῶν, ἢ κολοιῶν ἢ τῶν ὁμοίων, ἢ ἐπιδρομῆς πολεμίων.
ἢ ἐὰν ἀπὸ ὀλίσθου παντελῶς ἀρθῶσιν οἱ καρποί. οὐ μέντοι περὶ τῆς ζημίας τοῦ σπόρου
καὶ τοῦ μισθοῦ δίδωσιν ὁ μισθωτής. ὁμοίως ὁ μισθωτὴς ἐπιγινώσκει τὴν ἀπὸ τῆς ἐ-
ρυσίβης εἰς τὴν ἡμίσειαν ζημίαν, καὶ τὴν ἀπὸ τοῦ ἄνθους καύσωνος, καὶ τὸ περὶ τῶν παρ-
όντων στρατιωτῶν καὶ τὰ βλαβέντα ἀφαιρεθέν. καὶ ἐὰν σεισμοῦ ὁ ἀγρὸς ἀπόληται, ὡς
τὸ μηκέτι ὑπεῖναι. Ἐν τῷ αὐτῷ καὶ ὁ γεωργίτης ἀγρὸς ἄφνω καυθῇ, οὐ δίδοται τὸ μίσθωμα.
τὰ δὲ ἀπὸ αἰτίας τοῦ πράγματος συμβαίνοντα, πρὸς ζημίαν εἰσὶ τοῦ μισθωτοῦ. τυχὸν
ἐὰν οἶνος ὀξίσῃ, ἢ ἀγρὸς τις ἢ ἄλλη βοτάνη βλάψῃ, ἢ ὀλίγοι γένωνται καρποί. ἐπιγι-
νώσκει δὲ καὶ τὰ κατὰ συνήθειαν συμβαίνοντα καὶ διὰ τὴν παράδοσιν τῶν ἀμπέλων, οὐ
συγχωρεῖται. ἐάν τις ἐν ἐνιαυτῷ συγχωρήσῃ τῷ μισθωτῷ διὰ τὴν ἀφορίαν, καὶ εὐ-
φορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς γένηται, λαμβάνει τὸ συγχωρηθέν. τοῦτο γὰρ καὶ ἐπὶ
ἐμφυτευτικοῦ ἐστί· κἂν ὁ δεσπότης χρήσηται ῥήμασι δωρεᾶς. οὐ γάρ ἐστι δωρεά,
ἀλλὰ διάλυσις. ἐν τῷ ὕστερον ἐνιαυτῷ γέγονεν ἡ εὐφορία καὶ ἡ συγχώρησις τῶν πρώ-
των εὐφορηθέντων. ἐὰν οἶδεν ὁ μισθωτὴς, οὐ συγκοτίζεται. Εἰ καὶ ἐν ἀγνοίᾳ με-
μισθώσω πίθους κεκλασμένους καὶ ἐκχυθῇ ὁ οἶνος, εἰς τὸ διαφέρον ἐνέχομαι. Εἰ

ιε'

ἢ τόπον εἰς βοσκὴν μισθώσω καὶ ἐκεῖ ἐν αὐτῷ κακὴν βοτάνην βλαβῶσιν ἢ φθαρῶσιν τὰ θρέμματα, εἰς τὸ διαφέρον ἐνέχομαι. εἰ δὲ ἠγνόουν, οὐκ ἀπαιτῶ τὸν μισθόν. ἐὰν διὰ τὸν ἐνιαυτὸν μισθωσάμενος, ὅλον παράσχω τὸν μισθόν, καὶ πέσῃ ἢ καυθῇ τῷ ἕκτῳ μηνί, ἀναλαμβάνω τὸ λοιπόν· οὐ διὰ τὸ ἐπὶ τοῖς μὴ χρεωστουμένοις λόγου, ἀλλὰ διὰ τῆς κατὰ τὸν μισθωτὴν ἀγωγῆς. οὐ γὰρ κατὰ πλάνην, ἀλλ' ἐν πράγματι δέδωκα. ὥσπερ τις χρεωστῶν ἢ κατὰ πλάνην παράσχῃ τι, οὐκ ἔχει τὴν ἐκ τῆς μισθώσεως ἀγωγήν, ἀλλὰ μόνον τὴν ἐπὶ τοῖς μὴ χρεωστουμένοις λόγον. ἐὰν νοτάριος ἐπὶ μισθῷ παραμένῃ μοι, καὶ πρὸ τοῦ χρόνου ἀποθάνῃ, χρεωστεῖται τὸν μισθὸν τοῦ ἐνιαυτοῦ, εἰ μὴ ἐν ἄλλῳ τῷ ἐνιαυτῷ μισθὸν ἔλαβε παρ' ἑτέρου. ἐν τῷ αὐτῷ ιϛ' κεφ. περὶ νοταρείου

ὡς ἡ πρᾶσις καὶ ἡ μίσθωσις συνίσταται ὑπὸ αἵρεσιν, οὕτω καὶ δωρεὰς χάριν. φυσικῶς καὶ ἐν τῇ πράσει καὶ ἀγοραστῇ καὶ τῇ μισθώσει περιγράφουσιν ἀλλήλους ἐν τῷ ποσῷ, καὶ οὐκ ἐκ τούτου ἀναιρεῖται ἡ μίσθωσις, εἰ μὴ γέγονε δόλος. ἐν τῷ αὐτῷ κα' κεφ. β'.

ὁ μισθωτὸς πρὸ τῆς προθεσμίας ἐκβαλλόμενος παρ' ἐχθροῦ περὶ πάσης τῆς προθεσμίας ἐνάγει. καὶ ἀνέχεται αὐτὸν ὁ δεσπότης εἰς τοὺς ἑξῆς ἐνιαυτοὺς νεμηθῆναι. εἰ γὰρ ὑπῆρχεν ἑτέραν μίσθωσιν, καὶ πρὸς τὰς ἱκανὸς οὐκ ἔστιν· αὐτὸς δὲ οὐ δίδωσι τὸ μίσθωμα, λαμβάνει δὲ τὸ διαφέρον. εἰ δὲ πρὸς ὀλίγας ἡμέρας ἐκωλύθη καὶ οὐδὲν ἐβλάβη, οὐδὲν κουφίζεται· κινεῖται δὲ ἡ κατὰ τοῦ μισθωτοῦ ἀγωγή. καὶ ἐνθάδε φυλάττεται τὸ συμφωνηθέν· ὁ μισθώσας ἢ κωλύων ἐμμενηθῆναι τὸν μισθωτόν, ἢ ἕτερος δυνάμενος ὑπὸ τοῦ μισθωτοῦ κωλύεσθαι. ἐν τῷ αὐτῷ κδ' κεφ. ὁ μισθώσας ἀγρὸν ἢ οἶκον, ἐὰν ἐκποιήσῃ αὐτόν, ὁ ἀγοραστὴς συμφώνου ἐν τῷ ἀγοραστοῦ φυλάττειν τὴν μίσθωσιν· ἐπὶ τοῦτο κωλυόμενοι, κινοῦσι κατ' αὐτὸν τὴν διὰ τὴν μίσθωσιν ἀγωγήν. ἐν τῷ αὐτῷ κε' κεφ. ἀμισθάτου μισθωτοῦ ἔστιν, ἐὰν διαρρήξῃ αὐτὸν ὁ τείχων κόψῃ δένδρα. αὐτὸς τοίνυν ἐκκόπτων ὑπόκειται πρὸς τὴν ἐπὶ τῇ μισθώσει ἀγωγὴν καὶ τὴν περὶ τῶν δένδρων τῶν κλοπιμαίως ἐκτεμνομένων ἀγωγήν, καὶ τὴν περὶ βίας ἢ λάθρα. ἐν τῷ αὐτῷ κϛ' κεφ. ὁ ἐπὶ χρήμασι μισθωσάμενος τὴν συμβαίνουσαν τοῖς καρποῖς ἀμέτρως βλάβην ἐκ τῆς λεγομένης θεομηνίας, οὐκ ἐπιγινώσκει, ἀλλὰ τὴν μετρίαν. ὁ δὲ τοὺς καρποὺς μεριζόμενος μισθωτὴς, ὥσπερ δικαίῳ κοινωνεῖ· καὶ τὸ κέρδος καὶ τὴν ζημίαν συμμερίζεται τῷ δεσπότῃ. ἐν τῷ αὐτῷ λ' κεφ. ἐὰν μισθώσωμαι βαλανεῖον ἐπὶ τὸν ὅλον ἐνιαυτόν, καὶ καυθῇ τῷ ἕκτῳ μηνὶ τοῦ λειπομένου χρόνου, τὸν μισθὸν ἀναλαμβάνω. ὁ μισθωσάμενος δὲ ὅσον ἐπὶ τὸ βαστάσαι τὸ ὅλον, καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνάγεται τῇ περὶ τῆς μισθώσεως ἀγωγῇ. ὅστις δήποτε δὲ ἔβλαψε καὶ τὰ ἀκούσια ἤγουν χώρα καὶ μόνον τὸν ἀκολουθοῦντα τὸν ὅσον. ἐν τῷ αὐτῷ λα' κεφ.

ὁ μισθώσας τὰς ἰδίας ὑπηρεσίας, καὶ μὴ ἐμποδίσας ἐργάσασθαι, τοῦ χρόνου παντὸς
πε(ρὶ) ζημιώσεως :- ϛ λαμβάνει τὸν μισθόν· καὶ ὁ ζημιωθεὶς μὴ ἐμποδίσας τῇ διαγνώσει, οὐκ ἀναδίδωσι-
τὸ μίσθωμα. ἐν τῷ αὐτῷ ϛ΄ κεφ. ὁ λαβὼν μισθὸν ἐπὶ φυλακῇ πράγματος ἐκινδύνευσε
περὶ τὴν αὐτοῦ φυλακήν, χωρὶς τῆς ἐξ ἑτέρου γινομένης εἰς αὐτὸ βλάβης· εἰ μὴ ἄρα
ἠδύνατο φυλαχθῆναι. εἰ δὲ καὶ αὐτὸς ὁ φύλαξ βλάψει, αὐτῷ ἐνέχεται. ἐν τῷ αὐτῷ με
κεφ. ὁ μισθωσάμενος κινητὸν ἢ αὐτοκίνητον, καὶ μὴ ἀποδιδοὺς αὐτὸ τῷ ἐνδίκῳ
ὅρκῳ ὑπόκειται. ἐν τῷ αὐτῷ νβ κεφ. ἐὰν χωρὶς αἰτίας καταλίπῃ τὸν ἀγρὸν ὁ μισθω-
τὴς πρὸ συμπληρώσεως τοῦ χρόνου, δίδωσι τὸν ὅλου τοῦ χρόνου τὸν μισθόν, ἐφ᾽ ὅσον δια-
φέρει τῷ μισθώσαντι. ἐν τῷ αὐτῷ νθ κεφ. ἐὰν χωρὶς συμφώνου φυτεύσας ὁ μι-
σθωτὴς πλείονα περιποιήσῃ πρόσοδον, λαμβάνει τὰς δαπάνας, ἢ συλλογίζεται εἰς
τὸ μίσθωμα. ἐν τῷ αὐτῷ ξϛ κεφ. οὐδεὶς κεκώλυται τὸν ἀγρὸν οὗ ἐπὶ τὸ καρποῦσθαι
ἐμισθώσατο πάγιον καὶ αὐτὸς ἄλλῳ μεταμισθῶσαι. ἐν τῷ αὐτῷ ξζ κεφ. ὁ μισθωσάμενος
ἐπί τινα χρόνον, καὶ μετὰ τὴν τοῦ χρόνου συμπλήρωσιν ἐπιμείνας, δοκεῖ καὶ ἄλλον
ἐνιαυτὸν ἐπιμισθοῦσθαι. ὁ δὲ ἐκ τύχης αὐτοῦ τῷ συγχωρηθῆναι τοῦ χρόνου τῆς μισθώ-
σεως, οὐκέτι κατέχεται, εἰ μὴ ἄνωθεν μισθοῦται. ἐν τῷ αὐτῷ ξη κεφ. ἡ διάταξις βούλεται τὴν
ἀπὸ τοῦ οὐρανοῦ γινομένην ἀφορίαν, μὴ τῷ μισθωτῇ κινδυνεύεσθαι, ἀλλὰ τῷ δεσπότῃ.
εἰ μὴ τὸ ἐναντίον συναπεφώνηται ἢ τὸ ἔθος τοῦ κλίματος τοῦτο βούλεται. χρὴ μέντοι
πρὸς τὰς γινομένας ἐν εὐφορίᾳ τὴν συμβᾶσαν ἀφορίαν ἀναλογισθῆναι καὶ οὕ-
τως ἐπικουφισθῆναι τὸν μισθωτὸν μετὰ τὰς εὐφορίας τὴν ἀπολειπομένην βλάβην. ἐν
τῷ αὐτῷ ξθ κεφ. ἐάν τις πωλήσῃ ἀγρὸν ἔχων ἐν αὐτῷ μισθωτόν, οὐκ ἀναγκάζεται ὁ
ἀγοραστὴς συγχωρεῖν τῷ μισθωτῷ μένειν ἐν τῷ ἀγρῷ, εἰ μὴ ἄρα ἐπὶ τούτῳ συμφω-
νῶν ἠγόρασε. ἐν τῷ αὐτῷ οε κεφ. ἐφ᾽ ὅσον ὁ τῆς μισθώσεως παρεκτείνεται χρόνος, οὐ δύ-
ναται ὁ δεσπότης αὐξῆσαι τὸν κανόνα ἢ ἐκβαλεῖν τὸν μισθωσάμενον. τοῦ δὲ χρόνου
παραδραμόντος, δύναται τοῦτο ποιεῖν, εἰ μὴ ἄρα ἀνενεώθη ἡ μίσθωσις, ἢ ῥητῶς
ἢ σιωπηρῶς. ἐν τῷ αὐτῷ πα κεφ. οὐ δύναταί τις διὰ τοῦτο μόνον ἐκβάλλειν τὸν μι-
σθωσάμενον, ὅτι ἦλθεν ἕτερος πλείονα μισθὸν ἐπαγγελλόμενος παρέχειν. ἐν τῷ
αὐτῷ πε κεφ. στρατιώτης οὔτε μισθωτὸς οὔτε διοικητὴς οὔτε ἐγγυητὴς ἢ μανδάτωρ μι-
σθωτοῦ δύναται γενέσθαι· ἵνα μὴ καὶ αὐτὸς ἀπασχολῆται περὶ ταῦτα. καὶ βαρὺς ἔ-
σται τοῖς γειτνιῶσιν ἐκ τοῦ τῆς ζώνης προνομίου. ἐν τῷ αὐτῷ ϙβ κεφ. οἱ μισθωσάμενοι
πρᾶγμα καὶ μετὰ τὴν συμπλήρωσιν τῆς μισθώσεως μὴ ἀποκαθιστῶντες, πρὸ κα-
ταδίκης, ἀλλ᾽ ἀναμένοντες ἄχρι αὐθεντικῆς ἀποφάσεως· καὶ τὸ πρᾶγμα ἀπο-
διδόασι καὶ καταβάλλουσιν ἔξωθεν τὴν τοῦ πράγματος διατίμησιν. ἐν τῷ

ε΄

ὡ λε΄ κεφ. ἑκατέρῳ γὰρ ἔξεστι κατὰ τὸν μισθωτὴν καὶ τὸν μισθωσάμενον ἐξεῖναι ἐν
τῷ ἐνιαυτοῦ λύειν τὴν μίσθωσιν. καὶ ἐν Συρίᾳ καὶ ἐν πάσαις ταῖς ἐπαρχίαις καὶ μὴ
δὲ διδόναι πρόστιμον ὡς ἐκ παραβασίας εἰ μὴ ἐν ἀρχῇ τοῦ συναλλάγματος ἀπετά-
ξαντο ἰδικῶς διὰ τοιούτῳ συμφώνῳ ἢ ἀγράφως ὥσπερ. αὐτ. καὶ β. κε΄ τ. β΄ κεφ. λγ΄
καὶ ξα΄ φη. τὰ εἰσαχθέντα πράγματα ὑπὸ τοῦ μισθωσαμένου ὑπόκεινται. οὐ μόνον
ἐν ἑκατέρᾳ ῥώμῃ, ἀλλὰ καὶ ἐν πάσαις ταῖς ἐπαρχίαις τὰ αὐτὰ κρατεῖν βουλόμε-
θα. αὐτ. καὶ β. λ΄ τ. α΄ κεφ. μγ΄, καὶ β. νε΄ τ. η΄ καὶ ἐν δ΄ οἷς φη. περὶ παξιμονσηγίων μι-
σθωτῶν. αὐτ. β. νς΄ τ. α΄ κεφ. ἢ δ΄ γ΄, καὶ β. νη΄ τ. ι΄ ἐν ὅ φη. περὶ ὑπερώου κειμένου
ἐν τῷ μισθωθέντι ἐδάφει:

**Περὶ μισθοῦ παιδευτῶν ἤτοι διδασκάλων φιλοσόφων τε καὶ ἰατρῶν ἐλλογί- ιδ΄**
**μων. αὐτ. β. να΄ τ. ιδ΄. ὅτινος ἐν δ΄ α΄ κεφ. φη:**

Τοῖς παιδευταῖς μόνον τῶν ἐλευθερίων σπουδασμάτων. οἷον ῥήτορσι καὶ γραμματι-
κοῖς καὶ γεωμέτραις καὶ ἰατροῖς καὶ ἰατρίναις. καὶ ἑνὸς μέρους ἰατρείαν ἐπίσταται.
οὐ μὴν τοῖς ἐπᾴδουσιν ἢ ἐξορκίζουσιν. οὗτοι γὰρ οὐκ εἰσὶν ἰατροὶ κἂν ὠφεληθῆναι
τινὲς ἐξ αὐτῶν διαβεβαιοῦνται. περὶ μισθῶν, ἐξ ἐπαρχίας ὁ ἄρχων δικαιοδο-
τεῖ. οἱ δὲ φιλόσοφοι τοῖς παιδευταῖς οὐ συναριθμοῦνται. ὅτι μὲν γὰρ πρᾶγμα ἐστὶν ἱερόν,
καταφρονεῖν δὲ χρημάτων ὀφείλουσιν. οὐ μὴν δὲ τοῖς ἐξηγηταῖς τῶν νόμων δικάζειν περὶ
μισθῶν, διὰ τὸ μὴ ὀφείλειν τὴν τοιαύτην σπουδὴν ἀποτιμᾶσθαι χρήμασιν:

**Περὶ μνηστείας καὶ συστάσεως καὶ λύσεως αὐτῆς. καὶ περὶ τῶν ὀνόματι αὐτῆς ἡ ἐστὶ μνηστεία; ιε΄**
**γινομένων ἀρραβώνων καὶ δωρεῶν. αὐτ. β. κη΄ τ. α΄. ὅτινος ἐν δ΄ α΄**
**κεφάλαιον φησί:**

Μνηστεία ἐστὶ μνήμη καὶ ἐπαγγελία τῶν μελλόντων γάμων. ἐν τῷ δ΄ β΄ κεφ. καὶ ἡλικιῶται
νέοι γίνεται μνηστεία, μεταξὺ ἀπόντων. ἐὰν μόνοι γινώσκουσιν οἱ ἀπόντες ἢ δέχωνται
ἢ στέργωνται. ἐν τῷ δ΄ δ΄ κεφ. οἱ συναινοῦντες τῷ γάμῳ, καὶ τῇ μνηστείᾳ συναινοῦσιν. ἀεὶ
δὲ συναινεῖν ὁ πατὴρ δοκεῖ τῇ θυγατρί, εἰ μὴ ῥητῶς ἐναντιοῦται. ἐν τῷ δ΄ ε΄ κεφ. ἡ μανία
ἐμποδίζει τὴν μνηστείαν, ἐπιγινομένη δέ, οὐ λύει τὴν συστᾶσαν. ἐν τῷ δ΄ ζ΄ κεφ. ὁ πατὴρ τῆς
ὑπεξουσίας, δύναται περὶ μὲν διαζυγίου καὶ λύειν τὴν μνηστείαν. ἐν τῷ η΄ τὴν μνηστείαν
αὐτεξουσία γένοιτο ἡ θυγάτηρ, δύναται λοιπὸν ὁ πατὴρ τὴν ἤδη γενομένην κατάγειν
τὴν μνηστείαν. ὅθεν κατὰ λόγον προικὸς ἐπιδέδωκεν ἐν τῇ τοιαύτῃ μνηστείᾳ, οὐδὲ
ταύτην ἀναλαμβάνεσθαι δύναται. αὐτεξουσίας ὡς εἴρηται γενομένης τῆς κόρης. μετὰ γὰρ τὸ
αὐτεξουσιότητα καὶ ἡλικίαν ἡ κόρη κατὰ κοινὴν περὶ τούτου γνώμην καὶ τὸν μνηστευσά-
μενον συναπτομένη πρὸς γάμον, προῖκα τὰ ἐπιδοθέντα ποιεῖ, καὶ ἀποσπᾶν τὸ πρα-

ταῦτα ἀντιλαμβάνεσθαι. ἐν τῷ δ΄ θ΄ κεφ. ὡς ἐπὶ τοῦ γάμου· οὕτω καὶ ἐπὶ τῆς μνηστείας οἱ συναπτόμενοι συναινοῦσι. δηλαδὴ καὶ τὴν ὑπεξουσίαν συναινεῖν. ἐν τῷ δ΄ ιβ΄ κεφ. ὁ τὸ γινόμενον νοῶν, καὶ ὡς μνηστεύεται, τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ζ΄ ἐτῶν. ἐν τῷ δ΄ ιε΄ κεφ. ἡ ἄλλῳ μνηστευθεῖσα ἀπαγορεύσασα τὴν μνηστείαν καὶ ἄλλῳ γαμηθῆναι, οὐ κεκώλυται. ἐν τῷ δ΄ ις΄ κεφ. ὁ μνηστευσάμενος κόρην καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ, ὀφείλει ταύτην ἐντὸς ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγων, τὸν διετίας γάμον. εἰ δὲ ἐν ἀπουσίᾳ, εἴσω τριετίας. εἰ δὲ ὑπερθῆται, δύναται ἡ κόρη συνάπτεσθαι ἑτέρῳ. ἐν τῷ δ΄ ιζ΄ κεφ. ἐξ εὐλόγου αἰτίας καὶ πέραν τῆς διετίας ὑπερτίθεται ἡ μνηστεία, τυχὸν διὰ νόσον τοῦ μνηστῆρος ἢ τῆς μνηστῆς· ἢ θάνατον τῶν γονέων· ἢ διὰ κεφαλικὰ ἐγκλήματα· ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γινομένας. ἐν τῷ δ΄ κ΄ κεφ. οὐκ ἔξεστι(?) τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας ἧς ἄρχουσι μνηστεύεσθαι. εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ καὶ τοῖς γονεῦσιν αὐτῆς ἢ ἐπιτρόποις ἢ κουράτωρσιν παραιτεῖσθαι τὸν γάμον, καὶ κερδαίνειν τοὺς ἀρραβῶνας. τὸ αὐτὸ κρατεῖ τοῦτο(?) καὶ ἐπὶ υἱῶν καὶ ἐγγόνων καὶ συγγενῶν καὶ δομεστίκων καὶ συγκαθέδρων, κἂν ἐπὶ πάντων τῶν οἰκείων αὐτοῦ, ἐὰν ἐν σπουδῇ(?) τοῦ ἄρχοντος ἐμνηστεύσαντο. εἰ μέντοι καὶ μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφθῆναι αὐτῷ, ἔρρωται ὁ γάμος. ἀνάγνωθι καὶ τὸ ἐν ᾧ διαλαμβάνεται περὶ ἀρραβώνων μνηστείας. οὕτως ἐν τῷ δ΄ α΄ κεφ. ἀρραβῶνες ὀνόματι μνηστείας δοθέντων· ἐὰν ἐν τῷ μεταξὺ ὁ μνηστὴρ ἢ ἡ μνηστὴ τελευτήσῃ, τὰ δοθέντα κελεύομεν ἀποκατασταθῆναι. εἰ μὴ ἄρα αἰτίαν εἰς τὸ ἐπιτελεσθῆναι τοὺς γάμους ὁ τελευτήσας τὴν ἡλικίαν ἀρραβῶνας. εἰ δὲ καὶ ἥττων οὗτος συνήθων(?) ἡλικίᾳ ἢ ἴσος καὶ ἀρραβῶνας ἔλαβε, πάλιν τὸ διπλάσιον ἀναδιδότω. ἐὰν δὲ καὶ ἀφῆλιξ ἐστὶ καὶ αὐτὴ συννόμων(?) ἡλικίᾳ οὐκ ἤλασεν(?), αὐτὸ τὸ ἁπλοῦν ὅπερ ἔλαβεν ἀποκαταστῆσαι. εἰ δὲ καὶ παρ κόρης ἢ μητρὸς ἀρραβῶνας ἔλαβον ὑπὲρ θυγατρὸς τελείας οὔσης ἡλικίας, καὶ αὐτοὶ εἰς τὸ διπλάσιον καταδικάζονται(?) ἐπὶ δυναμένου περατῶσαι τὸν γάμον παραιτεῖσθαι ποιήσαι(?). εἰ δὲ καὶ ἀνυπόστατος μέλλει ὁ γάμος εἶναι, αὐτοὶ οἱ ἀρραβῶνες ἀναδιδόσθωσαν ἁπλοῖ. εἰ δὲ καὶ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι' εὐλόγου δὲ αἰτίαν παραιτεῖται· εἰ μὲν ᾔδεισαν καὶ πρὸ τῆς μνηστείας τὴν αἰτίαν, ἑαυτοὺς ἐγκαλείτωσαν διὰ τὸ τοιοῦτον ἐμνηστεύσαντο. εἰ δὲ ἠγνόουν ἢ πολλάκις ἡ αἰτία μετὰ τὴν μνηστείαν συνέβη, τὸ ἁπλοῦν ἀποδιδόσθω. ταῦτα δὲ καὶ ἐπὶ τοῦ μνηστῆρος λέγομεν, τοῦ τὴν μνηστείαν παραιτησαμένου. ἐν τῷ δ΄ γ΄ κεφ. μνηστείας μεταξὺ τινῶν κατὰ νόμον γινομένης. ὅτε ὁ μνηστὴρ εἰς μοναστήριον εἰσέλθῃ, ἀντιλαμβάνεται τὰ ὑπὲρ τῆς μνηστείας ἀρραβώνων ὀνόματι δεδομένα. ὅτε ἡ μνηστὴ τὸν μοναχικὸν βίον ἐπιλέξεται. ἐνδομ(?)

περὶ τοῦ χρυσίου τῆς μνηστείας, ἐπὶ τῷ μονάσαι. ὁμοίως ζήτει καὶ ἐν τῷ θ΄ κεφ. τοῦ α΄ τοῦ ε΄ ἐπὶ [illegible] περὶ καλουμένου(?) ... περὶ προγαμιαίας δωρεᾶς :

νου ἀποδίδοται, ἅτινα ὁμοίως ἀρραβώνων ὀνόματι ἐδίδοτο, τῆς ποινῆς ἑκατέρῳ μέρει
συγχωρουμένων. ἀλλὰ καὶ τὸ τρίτον αὐτῶν διαλαμβάνεται περὶ μνηστικῶν δωρεῶν. οὐδενὸς ἄλλου ἀ-
ξίου φη(σί). Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα βούληται τὸ συνοικέσιον τοῦτο γινόμενον
προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ μελλούσῃ αὐτῷ γαμεῖσθαι. εἰ καὶ δωρήσεται αὐτῇ πράγ-
ματα ἰδικῶς καὶ μετὰ ταῦτα δέξεται αὐτὰ παρ' αὐτῆς εἰς προῖκα. καὶ ἡ δωρεὰ ἰσχυρά ἐστιν,
ὡς πρὸ τοῦ γάμου γενομένη. καὶ ἡ προὶξ συνίσταται, ὡς ἐπὶ δόσεως προσηκούσης. ἐ-
ὰν δὲ γράψῃ μόνον ὅτι ὑπεδέξατο προῖκα, μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν ἀ-
παίτησις, τῶν μὴ ἐπιδοθέντων αὐτῷ πραγμάτων. εἰ γὰρ γαμετῇ τις ἐχαρίσατο, καὶ πα-
ρέδωκεν αὐτῇ τὰ δοθέντα, ἐμμονεύσῃ δὲ τῇ αὐτῇ βουλῇ μέχρι τέλους ζωῆς αὐτοῦ, ἐκ
μεταμελείας ἀναιρέπεται ἡ δωρεά. Ἐν δὲ τῷ ιβ κεφ(αλαίῳ). ὅτε ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς
μνηστῆς ἐπὶ τῷ γενέσθαι τοὺς γάμους. ταῦτα μὴ γινομένων τῶν γάμων ἀναδίδοται αὐ-
τῷ. Ἐν δὲ τῷ ε κεφ(αλαίῳ). Ἐάν τις γαμετὴν ἔχων. ἀπατήσῃ γυναῖκα ἑτέραν, ὡς δῆθεν οὐκ
ἔχων γαμετήν, καὶ μνηστεύσηται αὐτήν, καί τινα λόγῳ μνήστρων ἐπαγγέλληται αὐτῇ διδό-
ναι καὶ δῷ, μὴ παρακολουθησάντων τοῦ γάμου, οὐ δύναται ταῦτα ἀπαναλαβεῖν. εἰ γὰρ ἐγ-
νώκει μνηστεία συνέστη ὁ δὲ γάμος οὐκ ἐγένετο. χώραν ἐλάμβανεν ἡ τῆς ἀπαιτήσεως ἀγωγή. νυνὶ
δὲ ἡ τοῦ πράγματος ἀλήθεια, οὐ συνεχώρησε τὴν μνηστείαν συστῆναι. καὶ ἐξ ἀγνοίας οὔσης
τῆς τοῦ δεδωκότος αἰτίας. δέδωκε γὰρ ἐπὶ παρανόμῳ γάμῳ. ὁ ἐπὶ παρανόμῳ δὲ γάμῳ
οὐ χαρακτηρίζεται ἀπαίτησις. Ἐν δὲ τῷ ς κεφ(αλαίῳ). Ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τοῦ-
γάμου. εἰ μὲν ἐν τῷ οἴκῳ τῷ ἰδίῳ τῆς γυναικός, δοκεῖ πρὸς μνηστὴν ἡ δωρεὰ γεγονέναι. εἰ δὲ
ἐν τῷ οἴκῳ τοῦ ἀνδρός, πρὸς γαμετήν. καὶ διὰ τοῦτο οὐκ ἔρρωται. Ἐν δὲ τῷ ζ κεφ(αλαίῳ). ἡ γενο-
μένη παρὰ τοῦ πενθεροῦ πρὸς τὴν μνηστὴν τοῦ παιδὸς δωρεά, οὐ δὲ ἀπὸ τῆς αὐτογραφῆς
ἀναιρεῖται. Ἐν δὲ τῷ ι κεφ(αλαίῳ). Ἐὰν ὁ μνηστὴρ δωρήσηταί τινα τῇ ἰδίᾳ μνηστῇ, καὶ ὁ πενθε-
ρὸς αὐτοῦ δωρήσηται αὐτῷ τινά, μὴ γενομένων δὲ τῶν γάμων ὁ μνηστὴρ ἀφαιρεῖται ἅπερ ἐ-
δωρήσατο. οὐ καὶ ὡς ὁ πενθερὸς τὴν ἰδίαν δωρεὰν ἀναιρέπει. ἀλλὰ μᾶλλον ὀφείλει
τὰ ἁρπαγέντα παρὰ τοῦ μνηστῆρος ἀποτίνειν. Ἐν δὲ τῷ ιβ κεφ(αλαίῳ). ἡ πενθερὰ δύναται δω-
ρεῖσθαι τῷ ἰδίῳ γαμβρῷ ἢ μνηστῆρι τῆς ἰδίας θυγατρός, κἂν διαλυθῇ ὁ γάμος οὐκ ἀνα-
τρέπεται ἡ δωρεά. Ἐν δὲ τῷ ιγ κεφ(αλαίῳ). οἱ προγενέστεροι δανεισταὶ τοῦ ἀνδρὸς εἰ μὴ ὑποθή-
κας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ' αὐτοῦ πραγμάτων πει-
σαν. Ἐν δὲ τῷ ιε κεφ(αλαίῳ). Εἴτε αὐτεξούσιοι ὄντες γυναικὸς τῶν ἐχόντων αὐτοὺς ὑπεξου-
σίους, δωρήσηται ὁ ἀνὴρ τῇ γυναικὶ ἢ ἡ γυνὴ τῷ ἀνδρί. εἰ μὲν ὁ λαβὼν τὴν δωρεὰν ἐ-
νεπόδισε γενέσθαι τὸν γάμον. πᾶσι τρόποις ἀναδίδοται τῷ μνηστῆρι. ἐὰν δὲ ὁ δω-
ρησάμενος ἐνεπόδισε. πᾶσι τρόποις ἡ δωρεὰ μένει παρὰ τῷ ταύτην δεξαμένῳ προ-

Περὶ τοῦ ἔχοντα γαμετήν, καὶ μνηστευομένου ἑτέραν :

Περὶ ἐπιδομάτων ὑπεξουσίων μνηστῶν :

ζητῷ. Εἰ δὲ μὴ δέδωκεν ὁ μνηστήρ, ἐρωτηθεὶς δὲ ἐπηγγείλατο, ἀπαιτεῖσθαι αὐτήν. Ἐν δὲ τῷ ιϛ´ κεφ. Ἐὰν ἐφίλησεν ὁ μνηστὴρ τὴν μνηστὴν ἐν τῷ τῆς μνηστείας καιρῷ, καὶ μετὰ τοῦτο ἕνα τῶν ἀμφοτέρων τελευτῆσαι συμβῇ, τὸ ἥμισυ τῆς δωρεᾶς ἀναστρέφεται. καὶ τὸ ἥμισυ ἔχει ὁ ζῶν. εἴτε γὰρ ὁ μνηστὴρ ἀπέθανε, κατέχει τὸ ἥμισυ τῆς δωρεᾶς ἡ μνηστευθεῖσα, καὶ τὸ ἥμισυ ἀναδίδοται τῷ μνηστῆρι. τὸ δὲ ἕτερον ἥμισυ, μένει παρὰ τοῖς κληρονόμοις τῆς γυναικός. φιλήματος δὲ μὴ γενομένου εἴτε ὁ μνηστὴρ τελευτήσῃ, εἴτε ἡ μνηστή, πᾶσι τρόποις ἀναδίδοται ἡ δωρεά. ἢ τῆς μνηστῆς τελευτησάσης τῷ μνηστῆρι, ἢ τοῦ μνηστῆρος τελευτήσαντος τοῖς κληρονόμοις αὐτοῦ. ταῦτα μὲν περὶ τῶν ἐκ τοῦ μνηστῆρος τῇ μνηστῇ δωρηθέντων. ἐὰν δὲ ἡ μνηστὴ ἐδωρήσατο τῷ μνηστῆρι, καὶ συμβῇ ἕνα τούτων τελευτῆσαι, ἀναδίδοται πάντως ἡ δωρεά. τουτέστι μὴ ζητουμένου ἡμῶν, εἴτε γέγονεν εἴτε μὴ γέγονεν φίλημα; ἀνάγνωθι καὶ τίτ. ζ´ κεφ. ιε´ ἐν τῷ φητ. καὶ ἐπὶ τῇ διαλύσει τῆς μνηστείας, οὐ στέλλεσθαι διαζύγιον, καὶ οὕτω συντελεῖται. ἀνάγνωθι καὶ βιβλ. δ´ τίτ. α´ κεφ. η´ ἐν τῷ φητ. μνηστείας δὲ μεταξὺ τούτων γινομένης κατὰ νόμον εἴτε ὁ μνηστὴρ εἰς μοναστήριον εἰσέλθῃ, ἀναλαμβάνεται τὰ ἐκ τῆς μνηστείας ἀρραβώνων ὀνόματι δεδομένα. εἴτε ἡ μνηστὴ τὸν μοναχικὸν βίον ἐπιλέξεται. ἔνθα μόνον ἀποδίδωσιν. ἅτινα ὁμοίως ἀρραβώνων ὀνόματι ἔλαβε. τῆς ποινῆς ἑκατέρῳ μέρει συγχωρουμένης. ἀνάγνωθι καὶ βιβλ. ιε´ τίτ. β´ κεφ. ιβ´ ἐν τῷ φητ. ἐὰν μνηστήρ, μνηστῇ δωρήσηται δοῦλον καὶ πρὸ τοῦ κυρωθῆναι διαζεύξεως ὑποδέξηται αὐτὸν ἐν ποινῇ, καὶ λυθῇ ὁ γάμος, ἀποκαθίστησιν αὐτόν. ἀνάγνωθι καὶ βιβλ. λη´ τίτ. η´ κεφ. μβ´ ἐν τῷ φητ. ἐὰν ὁ μνηστὴρ χωρὶς ἀποφάσεως ἐδωρήσατο ἀγροὺς τῇ μνηστῇ, δεσπότης μένει, καὶ δύναται αὐτοὺς διεκδικῆσαι:

ἀνάγνωθι καὶ βιβλ. με´ τίτ. δ´ κεφ. η´ ἐν τῷ φητ. περὶ τῶν ἀπὸ μνηστῆρος κερδῶν ὅτι οὐ προσπορίζονται. εἰς προῦ… δὲ τὰ ἀπὸ γαμικῆς αἰτίας εὕρηται δὲ ἐν τῷ περὶ κληρονόμων:

ιϛ´ Περὶ μοιχείας καὶ πάσης τῆς κατ᾽ αὐτὴν ἐνοχῆς καὶ ἀτιμίας. ἀνάγνωθι βιβλ. ξ´ τίτ. λζ´. ὅλον. ἐν δὲ τῷ α´ κεφ. φησίν:

Ὁ γήμας τὴν ἐπὶ μοιχείᾳ καταδικασθεῖσαν, ὑπόκειται τῷ περὶ μοιχείας ἐγκλήματι. οὐ μὴν ὁ παρακουόμενος αὐτήν. Ἐν δὲ τῷ δ´ κεφ. ὁ λαβὼν ἐκ τῆς μοιχείας τῆς αὐτοῦ γυναικός, ἐνέχεται τῷ νόμῳ. καὶ ὁ τὴν ἐπὶ μοιχείᾳ φωραθεῖσαν μὴ ἀποπεμψάμενος, οὐ μὴν ὁ ἀναδεχόμενος ἁμαρτάνουσαν αὐτὴν διὰ τὸ ἀγανακτῆσαι ἐπὶ τῷ μόνῳ. οὐ κακῶς ὁ μοιχὸς ἀντιτίθησι τῷ ἀνδρί, ἐξ αὐτοῦ προαγωγοῦ γενομένου, τὴν μοιχείαν ἡμαρτ… οὔτε μὴν … κατηγορηθῆναι δύναται τοῦ ἀνδρὸς ὡς προαγωγοῦ αὐτῇ κατηγορεῖν. ἡ δὲ γυνὴ κατηγορουμένη ἀντιτίθεται τῷ ἀνδρὶ τὴν τῆς προαγωγείας παραγραφήν, ἐὰν τὴν … οὐκ ἠλευθέρωσε. δύναται δὲ ὁ δικαστὴς ὁ ἐξετάζων καὶ αὐτὸν ὡς προαγωγὸν καὶ χωρὶς κατηγόρου. ἐξόχως δὲ περὶ μοιχείας κατηγορούμενος, καὶ ἀντιτιθεὶς τῷ ἀνδρὶ τὸ προαγωγὸν αὐτοῦ γενέσθαι, ἐὰν τοῦ οὐκ ἠλευθέρωσε, οὔτε τὸν ἄνδρα ποινῇ ὑποβάλλει. Ἐν δὲ τῷ ι´ κεφ. λέγεται μὲν

με

μοιχεία, καὶ ἡ πρὸς παρθένον ἢ χήραν φθορά. Καὶ κυρίως μὲν μοιχεία μέν ἐστιν ἡ τῆς ὑπάν-
δρου· φθορὰ δὲ ἡ τῆς παρθένου καὶ χήρας. Ἐν δὲ τῷ ι' κεφ. ὁ δοὺς ἐν δόλῳ τὸν οἶκον αὐτοῦ ἢ τὴν
οἴκησιν, ἐπὶ τῷ γενέσθαι ἐκεῖ μοιχείαν, ἢ φθορὰν πρὸς ἄνδρα ἢ γυναῖκα· καὶ ὁ λαμβάνων τι
ὑπὲρ μοιχείας τῆς αὐτοῦ γυναικός, οἱασδήποτε αἱρέσεως ἐστίν, ὡς μοιχὸς τιμωρεῖται. Ἐν δὲ
κς' κεφ. ἐφεῖται τῷ πατρὶ οὐ μὴν τῷ ἀνδρί, πάντα μοιχὸν φονεύειν· πολλῷ δὲ μᾶλλον καὶ ἐνυ-
βρίζειν φονεύοντι, ἐν τῷ οἴκῳ ἐν ᾧ μένει καὶ μὴ συνοικεῖ αὐτῷ ἡ θυγάτηρ· καὶ ἐν τῷ οἴκῳ
τοῦ γαμβροῦ ἐὰν αὐτὸν ἐπ' ἔργῳ τῆς μοιχείας αὐτὴν καταλάβῃ, ἀρκεῖ δὲ αὐτὴν ὑπεξούσιον εἶναι,
ὅτε ἐφόνευε. κἂν ἐν τῷ καιρῷ τοῦ γάμου μὴ ἦν αὐτοῦ ὑπεξουσία. ἀλλαχοῦ δὲ φονεύειν
εἰ μὴ ἔνθα μένει, καὶ ἐν τῷ τοῦ γαμβροῦ, οὐ δύναται οὔτε ἐν τῷ ἰδίῳ οἴκῳ ἐν ᾧ μὴ μένει. ἅ-
μα δὲ τοὺς δύο φονεύειν ὀφείλει· οὐ μὴν τὸν μὲν νῦν, τὸν δὲ μεθ' ἡμέρας. εἰ δὲ ἐν ὅσῳ φονεύει
τὸν μοιχὸν ἔφυγεν ἡ θυγάτηρ αὐτοῦ μὴ προσποιησαμένου καὶ ἐπιδιώξας ἐκράτησε με-
τά τινας ὥρας, πάρεργον τοῦτο φονεύειν. τῷ δὲ ἀνδρὶ ἔξεστιν, ἐν μόνῳ τῷ ἰδίῳ οἴκῳ
φονεύειν, ἀλλ' οὐ πάντα· ἀλλὰ τὸν προαγωγὸν καὶ τὸν πρὸ τούτου δεξάμενον πρώην παιγνι-
κὴν τέχνην, ἢ τὸν ἐν σκηνῇ προελθόντα ἐπὶ τῷ ᾆσαι ἢ ὀρχήσασθαι· καὶ τὸν ἐν δημοσίῳ δικα-
στηρίῳ καταδικασθέντα καὶ μὴ ἀποκατασταθέντα· καὶ τὸν ἀπελεύθερον αὐτοῦ ἢ τῆς γυναικὸς
ἢ γονέων ἢ παίδων αὐτῶν· εἰ καὶ μέρος ἐπ' αὐτοῖς ἔχουσιν ἕτεροι, καὶ δοῦλον. Κελεύει
δὲ νόμος τὸν φονεύοντα τινὰ τῶν εἰρημένων, λύειν τὸν πρὸς τὴν γαμετὴν γάμον· ἀδιάφορον
δὲ εἴτε αὐτεξούσιος εἴτε ὑπεξούσιός ἐστιν ὁ πατήρ. εἴτε προαγωγός ἐστιν ὁ πατὴρ καὶ ὁ ἀ-
νήρ. εἴτε ἄλλως ἄτιμοι εἴτε καὶ ἡ γυνὴ ἄτιμος, ἔχουσι τὸ φονεύειν. κἂν ἄρχων ἐστὶν ὁ
μοιχός. ἐπειδὴ μέντοι τῶν γάμων ἐκδίκων, ἐφ' ᾧ δικαίῳ ἀνδρὸς δύναται κινεῖν. Ἐν δὲ
κδ' κεφ. ἐὰν ὁ ἀνὴρ εὕρῃ μοιχὸν ὃν οὐκ ἐφεῖται φονεύειν ἢ οὐ θέλει, δύναται παρακρατεῖν
αὐτὸν ἐπὶ κ' ὥρας συνεχεῖς. καὶ μάρτυρας ἐπάγειν τοὺς ὀφείλοντας ἐν τῇ κατηγορίᾳ
μαρτυρῆσαι, ὡς ἐν τῇ μοιχείᾳ συνελήφθη. εἰ δὲ ἀπολύσει αὐτόν, οὐκέτι δύναται κρατεῖν αὐ-
τόν. εἰ δὲ ἀποφύγῃ, δύναται ἐπανάγεσθαι καὶ φυλάττεσθαι τὰς κ' ὥρας. Ταῦτα ὁ πατὴρ
τῆς γυναικὸς δύναται ποιεῖν. συνεστῶτος τοῦ γάμου κατηγορεῖν ἕτερος οὐ δύναται τῆς γυναι-
κὸς εἰ μὴ πρότερον τοῦ ἀνδρὸς ὡς προαγωγοῦ κατηγορήσει. τὴν μέντοι παρὰ τοῦ ἀνδρὸς εἰσα-
χθεῖσαν κατηγορίαν, ἀνανεοῦν ἕτερος δύναται. Ἐν δὲ τῷ κη' κεφ. ὁ τὴν γυναῖκα κα-
ταλαβὼν ἐπ' αὐτοφώρῳ μοιχευομένην, καὶ τὴν μὲν παρακρατῶν τὸν δὲ μοιχὸν ἀπολύων, ὡς
προαγωγὸς τιμωρεῖται. καὶ ὁ τὴν ἐπὶ μοιχείᾳ ἢ ἐπὶ φθορᾷ παρθένου ἢ χήρας καταδικα-
σθεῖσαν λαμβάνων γαμετήν, τούτῳ τῷ νόμῳ ὑποπίπτει· οὐ μὴν ὁ τὴν ἐξ ἑτέρου κεφαλαίου
τοῦ περὶ μοιχείας καταδικαζομένην. καὶ ὁ κηδεστὴς διὰ μοιχείαν λαβὼν εἴτε ἀνήρ ἐστιν εἴτε
ἄλλος δὲ καταλαβεῖν ἀπολύων, οὐχ ὑπόκειται τῷ νόμῳ. πρὸς δὲ λαμβάνει ἀπὸ μοιχείας

Περὶ προαγωγῶν ὁμοίως
φη καὶ ἐν τῷ ια' καὶ ἐν τῷ ιβ'
κεφαλαίῳ : ς

τῆς αὐτοῦ γυναικός, ὁ λαμβάνων ἐπὶ τῷ πορνεύεσθαι αὐτήν. Ἐν δὲ· πλημμελοῦσαν αὐτὴν ἔρχεται,
οὐ διὰ πόθον, ἀλλὰ διὰ ῥᾳθυμίαν ἢ ἀμέλειαν ἢ ἀνεξικακίαν ἢ ἁπλότητα, οὐχ ὑποπίπτει
τῷ νόμῳ, ἀλλὰ τυπτόμενος ἐξορίζεται. Ἐν δὲ τῷ λ΄ κεφ. Ἐὰν ὡς κατηγορουμένης τῆς γυναι-
κὸς μὴ διωχθῇ, καὶ τοῦ μοιχοῦ ἐν τῷ αὐτῷ χρόνῳ κατηγορεῖται καὶ παρέλθῃ ἡ πενταετία,
ἢ ἐὰν ἔσω τῆς πενταετίας ἀποδημήσας καὶ μὴ ἐξήγηθῇ(?), ἢ συμπαίξῃ καὶ παρέλθῃ ἡ πεντα-
ετία, καὶ βούληται κατηγορεῖσθαι ἕτερος· ὑπεξαιρεῖται τῆς πενταετίας, ὁ εἰς τὴν πρώτην κατη-
γορίαν δαπανηθεὶς χρόνος. Ἀδιάφορον δὲ εἰ πρότερον τὸν μοιχὸν φονεύσει, ἢ τὴν θυγατέ-
ρα. Ἐν δὲ· μόνον τὸν ἕνα φονεύσας, ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ. Εἰ μὴ τυχη-
ρῶς συνέβη, βαρέως τοῦ ἑνὸς τραυματισθέντα διαφυγεῖν. Ἐν δὲ τῷ μδ΄ κεφ. Ἐάν τις
καταλάβῃ ἐν νυκτὶ μοιχὸν, ὃν ἔξεστι φονεύειν ἀκινδύνως, καὶ τοῦτον φονεύσῃ, οὐ τι-
μωρεῖται. Ἐν δὲ· καὶ παῖδες αὐτοῦ παρὰ τὸν πατέρα φονεύουσιν, ἀνεύθυνοι εἰσίν. Εἰ δὲ μὴ
κατ᾽ ἀκολουθίαν τοῦ νόμου τοῦτο ἐποίησε, συγγνώμης ἀξιοῦται, ὅτι καὶ ἐν νυκτὶ ἥμαρτε. Καὶ
ἀποπεπειραμένου ὁ διωχθείς, μόνον ἐξορίζεται. Ἐν δὲ τῷ με΄ κεφ. Ὁ μοιχὸς πενταετί-
αν ἔσω ἁμαρτηθεῖσα ἡ μοιχεία λέγεται ἥτις συναπλῶς ἀεὶ θρηνεῖται(?), κατηγορεῖσθαι οὐ δύ-
ναται. Ἐν δὲ τῷ μθ΄ κεφ. Περὶ τοῦ ἐγκλήματος τῆς μοιχείας συμφωνεῖν οὐκ ἔξεστιν. Καὶ τὸ
ἔγκλημα τοῦ κατηγόρου τὸ ἐπὶ πεπραχότος(?) καὶ τοῦ φεύγοντος τὴν τῆς ἀληθείας ζήτησιν
οὐκ ἔστιν· ὅστις δὲ τῷ ἀνδρὶ τῆς φθαρείσης ἠλευθέρωσε(?), τῇ ἀτιμίᾳ τοῦ νόμου τοῦ περὶ
μοιχείας κατέχεται. Ἐν δὲ τῷ νη΄ κεφ. Ἐάν τις μοιχείαν ἁμαρτήσῃ πρὸς ἐκείνην πρὸς ἣν
ἤδη πολλοὶ διεπόρνευσαν, οὐκ ἐγκαλεῖται περὶ μοιχείας. Ἐν δὲ τῷ ξγ΄ κεφ. Τὴν ἐν ἐργαστηρίῳ
προεστῶσαν· ποτὲ μὲν ἀκινδύνως, ποτὲ δὲ ἐπικινδύνως μοιχεύουσι. Εἰ γὰρ μόνον
δέσποινα ἦν τοῦ ἐργαστηρίου, ἄλλους ἔχουσα τοὺς ὑπηρετοῦντας τοῖς εἰσιοῦσιν, ἐπι-
κινδύνως ἡ πρὸς αὐτὴν μοιχεία. Εἰ δὲ αὐτὴ δι᾽ ἑαυτῆς ὑπηρέτει καὶ τὸν οἶνον παρέχει
τοῖς πίνουσι, τῇ εὐτελείᾳ(?) διὰ τὴν ἐσθῆτα(?) καὶ τὴν δουλικὴν ὑπηρεσίαν, οὔτε αὐτή,
οὔτε ὁ μετ᾽ αὐτῆς ἁμαρτάνων μοιχείας κρίνεται. Οἱ γὰρ νόμοι περὶ τῆς τῶν ὑποληπτῶν
γυναικῶν σωφροσύνης προενόησαν· οὐδένα λόγον θέμενοι τῶν οἰκετῶν καὶ εὐτε-
λῶν γυναικῶν. Ἐν δὲ τῷ ξζ΄ κεφ. Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι, ῥινοκοπεί-
σθωσαν. Οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τῶν τοιούτων ἀσεβημάτων γεγονότες, τυπτόμενοι καὶ
κουρευόμενοι, διηνεκῶς ἐξοριζέσθωσαν. Γυνὴ ὕπανδρος τῷ ἰδίῳ δούλῳ μοιχευ-
θεῖσα· αὐτὴ μὲν τυπτομένη καὶ κουρευομένη, ῥινοκοπείσθω. ἀπηλλοτριουμένη(?) δὲ καὶ
τῆς πολιτείας ἐξ ἀνάγκης(?), καὶ ἐκ πάσης τῆς οἰκίας ἐκ περιουσίας(?) περιουσί(?)· καὶ κλη-
ρονομείτωσαν αὐτὴν οἱ παῖδες αὐτῆς νόμιμοι· ἢ εἰ ζῶσιν(?) αὐτῆς· ἢ τις ἕτερος, ὃν ὁ
νόμος καλεῖ· διαιρουμένων αὐτῶν δικαίων(?). Καὶ ὅτε ὁ δοῦλος εὑρεθεὶς λαβὼν ἀ-

Ἡ δὲ τῆς περὶ μοιχείας ἀγωγῆς ἑξάμηνος κινεῖται. Ἐν δὲ τῷ ... κεφ. ὅτι οὐ περικλείεται τῷ χρόνῳ τούτῳ ἡ κατὰ βίαν γινομένη φθορὰ ἀνδρὸς γυναικί:-

Περὶ φθορᾶς ... μοιχείας ἁμαρτίας:-

Περὶ ποινῆς τοῦ μοιχοῦ:-

ιέ

πό της ὑποστάσεως αὐτῆς. ἔστω δὲ πᾶσιν ἔκδηλα τὰ κινηθέντα κατ' αὐτῆς τοῦ τετελευτηκότος,
καὶ τῇ τάξει τῶν προστεταγμένων. εἰ δὲ καὶ δοῦλος τις οὗτος ἀπηλέγξει, ὑπὲρ ἐλευθέρου γινέ-
σθω ἐλεύθερος, καὶ οἱ παῖδες αὐτῶν, ἐλεύθεροι γινέσθωσαν. ἀν. καὶ τ. μη' κεφ. ιγ' συνα-
φή. Ἐὰν δὲ ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀπαλλάξῃ αὐτήν. οὐ καὶ αὐτὴ καταδικασθῆ-
ναι, οὔτε ὁ γάμος ἔρρωται. ἀλλὰ καὶ κληρονόμον αὐτὴν γράψῃ ἢ αὐτὴ ἐκεῖ. διακωλύε-
ται ἡ κληρονομία. ἀν. καὶ τὸ ε' τ. ιθ' κεφ. ι' συναφ. Εἴ τις δὲ κατηγορηθεὶς ἐπὶ μοιχεί-
ᾳ προδοσίᾳ δικαστῶν ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ τὰς ἀπὸ τοῦ νόμου ποινὰς ἀπο-
φύγοι· καὶ μετὰ ταῦτα εὑρεθῇ τῇ γυναικὶ περὶ ἧς κατηγορήθη ἀδεῶς συναναστρεφό-
μενος. ἢ εἰς γάμον λαμβάνων αὐτήν, καὶ τοῦ συναλλάγματος τὸ ἄδεος. ἢ καὶ μετὰ
τὴν αὐτοῦ τελευτήν. οὐ δὲ τὸν γάμον ἐρρῶσθαι κελεύομεν, ἀλλὰ καὶ τὸν τοιοῦτον πλημμελή-
σαντα τιμωρεῖσθαι, εἰ καὶ πρότερον διέφυγεν. ὅμως ἄδειαν δίδομεν παντὶ δικαστῇ
καὶ συνέχειν αὐτούς, καὶ ταῖς βασάνοις ταῖς νομίμοις τιμωρίαις ὑποθεῖναι· μὴ δὲ μιᾶς
ἄλλης κατηγορίας ἢ ἀποδείξεως δεομένων, καὶ τὴν γυναῖκα σωφρονισθεῖσαν καὶ κα-
ρθεῖσαν μοναστηρίῳ ἐμβληθῆναι κελεύομεν, κατακλειομένην διὰ ὅλου τοῦ χρόνου τῆς οἰκείας ζωῆς.
τὴν ἐκείνου δὲ περιουσίαν κατὰ τὴν προειρημένην τάξιν διαιρεῖσθαι κινδύνῳ κατὰ τοὺς προ-
ειρημένους τοῖς κόμησι τοῖς περιβάλλουσι καὶ τοῖς κατὰ τὸν τόπον ἄρχουσιν. ἀν. καὶ β' ι' τ. β'
κεφ. β'. ἀν. καὶ β' κα' τ. β' κεφ. ζ' συναφ. Ἐπεὶ μοιχὸς ὁ ἀνὴρ νομίζει δύνασθαι τὴν
ἑαυτοῦ γαμετὴν ἐκβαλεῖν, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα
ἢ καὶ τὸν μοιχόν. καὶ ὑπὲρ τοῦ τῆς μοιχείας ἐγκλήματος φανερῶς ἀποδειχθέντος, τηνικαῦτα δι-
αζυγίου διαπεμπομένου. κελεύομεν ἐκείνας τὰς ποινὰς τοῖς ἁμαρτάνουσιν ἐπάγεσ-
θαι, ἃς οἱ νόμοι διαλαμβάνουσι. καὶ ἐκείνων τὰς νομίμους ὑπομενόντων ποινάς, οἵτι-
νες μετὰ τῆς ὑπουργοὶ τοῦ τοιούτου ἀσεβοῦς ἐγκλήματος γεγόνασιν. ἐκ τῆς οὐσίας δὲ τοῦ μοι-
χοῦ δεχέσθω γαμετήν, τὴν προῖκα καὶ τὴν προγάμου δωρεὰν αὐτὴν περισώζεσθαι ἢ τὴν
ἀπὸ τοῦ ἡμετέρου νόμου μοῖραν. ἣ προικῷα συμβόλαια μὴ παρηκολούθησαν. τὴν δὲ
λοιπὴν αὐτοῦ περιουσίαν, εἴτε εἰσὶ κατιόντες ἢ ἀνιόντες, ἕως τρίτου βαθμοῦ λαμβά-
νειν αὐτοὺς κατὰ τὰς τάξεις καὶ τοὺς βαθμούς. εἰ δὲ μὴ εἰσί τινες τούτων, τῷ δημοσίῳ
προσκυροῦσθαι ταύτας κελεύομεν. τὴν δὲ μοιχευθεῖσαν γυναῖκα ταῖς ἱκανῶς ὑποβαλ-
λομένην ποιναῖς. ἐν μοναστηρίῳ ἐμβάλλεσθαι. καὶ εἰ μὲν ἐντὸς διετίας, ἀναλαβεῖν αὐ-
τὴν ὁ ἀνὴρ βουληθείη, ἐξουσίαν αὐτῷ δίδομεν τοῦτο ποιεῖν καὶ συνοικεῖν αὐτὴν μηδέ-
να κίνδυνον ἐντεῦθεν δεδιότα. μήτε διὰ τῶν ἐν μέσῳ γινομένων καταβλα-
πτομένου τοῦ γάμου. εἰ δὲ ὁ προειρημένος χρόνος παρέλθῃ, ἢ ὁ ἀνὴρ πρὶν ἀναλαβεῖν
τὴν γυναῖκα τελευτήσει. κελεύομεν κείρεσθαι αὐτὴν καὶ τὸ μοναχικὸν σχῆμα λαμβάνειν

ἡ ρλα' κεφ. ια'. ἀν. καὶ τὸ ιβ' κεφ.

ἀν. καὶ τὸ περὶ λύσεως γάμου συναφ. ὅτι καὶ τὴν προῖκα τῆς γυναικὸς ὁ ἀνὴρ ἀποκερδαίνει.

καὶ οἰκεῖν ἐν τοῖς αὐτοῖς μοναστηρίοις ἐπὶ ὅλον τὸν χρόνον τῆς οἰκείας ζωῆς. καὶ εἰ μὲν ἔχοι κληρονόμους
τας, τὰ δύο μέρη λαμβάνειν αὐτοὺς τῆς περιουσίας αὐτῆς, κατὰ τὴν τῶν νόμων διαιρούμενα τά-
ξιν. τὸ δὲ λοιπὸν τρίτον μέρος τῷ μοναστηρίῳ ἐν ᾧ ἐμβάλλεται δίδοσθαι. εἰ δὲ καὶ οὐ τέκνα
μὲν ἔχοι, ἀλλ' ἀνιόντας, εὑρεθῶσι δὲ μὴ συμπράξαντες τῷ τοῦ βίου ταύτης ἀσεβήματι. τὸ τέταρτον αὐτοὺς
κατὰ τὴν τῶν νόμων τάξιν διαιρουμένας λαμβάνειν. τὰς δὲ τρεῖς δίδοσθαι τῷ μοναστηρίῳ ἐν ᾧ
εἰσέλθοι ἡ τοιαύτη γυνή. εἰ δὲ μήτε παῖδας μήτε ἀνιόντας ἔχοι ἢ καὶ ἀνιόντας ἔχοι
τῇ αὐτῇ ἀσεβείᾳ, πᾶσαν αὐτῆς τὴν οὐσίαν λαμβάνειν τὸ μοναστήριον ἐκεῖνο παραφυλατ-
τομένου ὥστε δηλονότι τῶν ἐνθεμάτων τῶν αὐτοῦ δεῖ τὰ σύμφωνα τὰ τοῖς γαμικοῖς συμβο-
λαίοις ἐμφερόμενα φυλάττεσθαι :—

Περὶ μοναστηρίων οἰκοδομῆς. καὶ περὶ μοναζόντων καὶ τῆς διαίτης αὐτῶν καὶ περινομίου. ἀνάγνωθι βιβλίον ε΄ τίτλον α΄ κεφάλαιον ια΄ ἐν τῷ Φωτίου :—

ιζ ἀνάγνωθι καὶ βιβλίον ε΄ καὶ ος΄ ἐν τῷ φ. περὶ τοῦ ὀφείλουσιν διακρίνεσθαι. ἐν βιβλίῳ ἐν τῷ φ. περὶ ... ὀφείλουσιν κρίνεσθαι. καὶ βιβλίον ε΄ κα. ἀπὸ τοῦ μθ΄ ἐν τῷ φ. καὶ περὶ τοῦ μὴ ἐξεῖναι τῶν ἐγκοσμικῶν ἀναστρεφομένων σχῆμα τι μοναχικοῦ ἢ ἀσκητείας περιάπτεσθαι ἢ κατὰ τοιούτους ... μιμεῖσθαι. καὶ βιβλίον ε΄ λγ΄ :—

Τοῦ μήτε ἐπίσκοπον ἢ κουράτωρα οἱουσδήποτε γίνεσθαι μοναχούς. ἀλλ' οὐδὲ ἐκλήπτορα ἢ ἀ-
παιτητὴν δημοσίων, συντελειῶν ἢ ἀλλοτρίων πραγμάτων. ἢ κουράτωρα οἴκου ἢ ἐντολέα δίκης
ἢ ἐγγυητήν. καὶ κεφ. ιζ΄ καὶ ιθ΄ καὶ κθ΄ καὶ λη΄ καὶ λθ΄ καὶ μ΄. ἀνάγνωθι βιβλίον δ΄ τίτλον α΄. διαλαμβά-
νει γὰρ ἐν τῷ α΄ κεφ. ὥστε τὸν οἰκοδομεῖν βουλόμενον μοναστήριον. προσκαλεῖσθαι τὸν ἐ-
πίσκοπον καὶ ποιεῖν σταυροπήγιον. ἐν δὲ τῷ β΄ κεφ. περὶ τοῦ γίνεσθαι τὸν ἡγούμενον οὐ κατὰ
βαθμόν, ἀλλ' ὃν πάντες οἱ μοναχοὶ ἐκλέξονται. ἐν δὲ τῷ γ΄ κεφ. περὶ τοῦ ἐντὸς τριῶν ἐνιαυ-
τῶν μὴ λαμβάνειν τὸ ἅγιον σχῆμα τὸν μονάζειν βουλόμενον, εἰ μὴ εὐλαβὴς καὶ δόκιμος ἐστίν. ἐν
δὲ τῷ δ΄ κεφ. τοῦ ἐν ἑνὶ οἴκῳ οἰκεῖν πάντας τοὺς μοναχοὺς καὶ καθεύδειν καὶ κοινῶς ἐσθίε-
σθαι. ἐν δὲ τῷ ε΄ κεφ. θέματι. ὅτι ἐὰν ἐπὶ αἱρέσει γάμου ἢ παιδοποιίας καταλειφθῇ τινι λεγάτον
ἢ κληρονομία, καὶ ὁ τοιοῦτος πρὸ τούτου μοναχὸς ἢ κληρικὸς γένηται, ἀνίσχυρός ἐστιν ἡ τοι-
αύτη αἵρεσις. εἰ μήτε πρὸς ἀνάρρυσιν αἰχμαλώτων ἢ τροφὴν πενήτων ἀφορίζεσθαι. ἐν
δὲ τῷ ι΄ κεφ. καὶ μέχρι τοῦ ια΄ κεφ. περὶ τῶν ἐπὶ τὸ μονάζειν διαλυόντων τὸν γάμον ἢ τὴν μνηστ.
ἐν δὲ τῷ ιβ΄ κεφ. περὶ γονέων καὶ παίδων μοναζόντων θέματι τὸ μὴ ὡς ἀχαρίστους αὐτοὺς ἀπο-
κλείεσθαι τῆς ἰδίας κληρονομίας. ἐν δὲ τῷ ιγ΄ κεφ. ἐὰν μοναχὸς καταλείψῃ τὸ ἴδιον μοναστή-
ριον καὶ εἰς ἄλλο ἔλθῃ, ἢ τινὰ πράγματα ἐν τῷ καιρῷ καθ' ὃν τὸ μοναστήριον κατέλιπεν ἔ-
χων φανῇ, τῷ πρώτῳ μοναστηρίῳ ἐν ᾧ ἐξ ἀρχῆς εἰσῆλθε, ταῦτα διαφέρειν κελεύομεν.
ἐν δὲ τῷ ιε΄ κεφ. ἐὰν μοναχὸς καταλείψῃ τὸ μοναστήριον, καὶ εἰς κοσμικὸν βίον μεθέξῃ,
τοῦτον τῆς στρατείας καὶ τῆς τιμῆς ἧς εἶχε, πρότερον γυμνωθέντα ἐκ τοῦ ἐπισκόπου τῶν τόπων
καὶ τοῦ τῆς ἐπαρχίας ἄρχοντος εἰς μοναστήριον ἐμβάλλεσθαι. καὶ τὰ πράγματα ὅσα εἶχε με-
τὰ ταῦτα δηλονότι, τῷ μοναστηρίῳ ἐν ᾧ ἐμβάλλεται διαφέρειν. εἰ δὲ καὶ πάλιν καταλείψει
τὸ μοναστήριον. τότε αὐτὸν ὁ ἄρχων τῆς ἐπαρχίας ἐν ᾗ ἂν εὑρεθῇ, κρατεῖν, καὶ τῇ ὑποκειμέ-

ιέ

νῃ αὐτῶν τάξει συναριθμείσθω. ἐν δὲ τῷ ιζ' κεφ. πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικῷ ἀνα-
στρεφομένοις, καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις ἀνδράσι τε καὶ γυναιξὶ καὶ
μὴν καὶ ταῖς πορνευσαμέναις ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ, ἢ ἀσκητείας
ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι. ἐπισταμένων πάντων τῶν τολμώντων. ἢ χρή-
σασθαι τῷ τοιούτῳ σχήματι. ἢ μιμεῖσθαι. ἢ ἐμπαίζειν οἱανδήποτε ἐκκλησιαστι-
κὴν κατάστασιν. ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται, καὶ ἐξορίᾳ παραδοθήσον-
ται. θεσπίζομεν μηδένα παντελῶς ἰδίαν ἔχειν οἴκησιν, μὴ δὲ τὸ καλούμενον κελλίον
ἔξω τοῦ μοναστηρίου, εἰ τυχὸν ὁ χρώμενος ὑπουργοῖς κατὰ τὸν διὰ θεωρείας τε καὶ
ἡσυχίας διαζῶν βίον. ἀλλ' ὅλως ὅσῳ πλειόνων ἀνδρῶν. μίαν εἶναι τὴν αὐτῶν συνέ-
λευσιν. καὶ συνερχομένων καὶ τὰ τῆς φύσεως ἔργα πραττόντων ὁπόσα ἄμεμπτά τε
καὶ ἀδιάβλητα καθέστηκε. καὶ κοινῇ μὲν ὡς εἴρηται σιτεῖσθαι. κοινῇ δὲ καθεύδειν.
Καὶ εἰ μὲν τοσοῦτον ἐστὶ τὸ πλῆθος ὅσον εἰς ἕνα οἶκον χωρεῖσθαι. εἰ δὲ τυχὸν δύο
ἢ τρεῖς οἴκους εἶναι τοὺς δεχομένους αὐτούς. μηδενὶ μέντοι παντελῶς ἴδιον ἔχειν
μηδέν, ἀλλ' ἐν κοινῷ ζῆν νύκτωρ τε καὶ μεθημέραν. ἵνα αἱ νύκτες αὐτοῖς τὴν αὐ-
τὴν ταῖς ἡμέραις ἔχοιεν παρατήρησιν. οὐ γὰρ καθεύδουσιν ἅπαντες ἀεί. ἀλλὰ πρό-
δηλον ὡς οἱ μὲν ἐν τῷ καθεύδειν εἰσίν. οἱ δὲ ἐγρηγόρασι, καὶ πάντως ἔσονταί τινες οἱ-
τοὺς καθεύδοντας ἐποπτεύοντες. μὴ πολλὰς δὲ ἔχειν τὰς εἰς τὸ μοναστήριον εἰσόδους.
ἀλλὰ μίαν ἢ δύο τυχόν, ἐφεστάναι τε τῇ πύλῃ ἄνδρας γεγηρακότας καὶ σώφρονας καὶ
μεμαρτυρημένους ἐξ ἁπάντων. οἵπερ οὔτε τοῖς εὐλαβεστάτοις μοναχοῖς συγχωρήσουσι
χωρὶς τῆς τοῦ ἡγουμένου γνώμης ἐκφοιτᾶν ἐκ τοῦ μοναστηρίου. ἀλλ' εἴσω τούτους κα-
θέξουσι τὰ πρὸς θεὸν ζηλοῦντας καὶ μὴ διασπῶντας ἑαυτούς. οὔτε ἑτέρους τινάς γε-
νέσθαι κατὰ τὸ μοναστήριον νύκτωρ τε καὶ μεθημέραν ἐάσουσιν. οὐκ εἰσελεύσεται δὲ
οὔτε γυνὴ παντελῶς εἰς ἀνδρεῖον μοναστήριον. οὔτε ἀνὴρ εἰς γυναικεῖον. ἢ προφάσει
τῇ οὖν τάφος κηδεστοῦ κειμένου μνήμης, ἢ κατ' ἄλλην τινὰ αἰτίαν. καὶ μάλιστα εἴ
τις ἀδελφὸν τυχὸν ἢ ἀδελφὴν ἢ τινὰ τῶν ἐκ τοῦ γένους ἔχειν ἐν τῷ μοναστηρίῳ φησί.
συγγένεια γὰρ τοῖς μοναχοῖς ἐπὶ γῆς οὐκ ἔστι. τοῖς γε τὸν ἐν οὐρανῷ ζηλοῦσι βίον. καὶ
μήτε ἄνδρες ἐν γυναικείῳ μοναστηρίῳ τάφοις ἀποτιθέσθωσαν. μήτε γυναῖκες
ἐν ἀνδρικοῖς ἀσκητηρίοις κατορυττέσθωσαν. μήτε γυναῖκες. ἵνα μὴ πρόοδος ἐν-
τεῦθεν γένοιτο τῇ φύσει πρὸς ἑαυτὴν ἀμιγεῖς. τρυφᾶν τε καὶ παίζειν καὶ τὰ ἄλλα
καταγελώντων πράγματα. ἀλλ' εἰ καὶ τινὰς ἐν γυναικείῳ θάπτεσθαι μέλλοι μονα-
στηρίῳ. μόνους τοὺς τὴν κλίνην φέροντας καὶ τοὺς ὀρύττοντας εἰς φυλακὴν εἰς τὸ μονα-
στήριον. καὶ τὰς τῶν μοναχικὰς ἐν τῷ ἰδίῳ μένειν καταγωγίῳ. μόνην δὲ τὴν θυ-

ρωσιν καὶ τὴν ἡγουμένην δὲ βουληθεῖσαν προθεῖναι τοῖς γινομένοις· καὶ θάπτειν ἐκείνους
πράξαντας τὰ περὶ τὴν ὁσίαν νεκρώσιμα· καὶ τὸν τάφον ὀρύξαντας καὶ τὸ σῶμα κα-
λύψαντας· εὐθὺς ἀποχωρεῖν μετὰ τῶν παρακειμένους τινὰς τῶν εὐλαβεστάτων γυναι-
κῶν· μήτε πελάζοντας αὐτῶν καθ' εὐνάς· ἀλλὰ μηδὲ προφάσει τῶν περὶ τὴν ὁσίαν περὶ
τελευτῶν ἀσθενεῖν μνήμας κηρύσσειν· εἰς γ' καὶ θ' ἐννιαῖον τὴν ἡμέραν· ἡνίκα τῆς ἐξήκοι-
στῆς ἢ καὶ ἐνιαυτὸς· τὴν εἰς τὰ γυναικεῖα περίοδον ἄνδρες ἐπὶ νοσοῦντα μοναστήρια·
ἔξω τῆς γυναικείου ἐν τῷ μοναστηρίου, γυναῖκας ἅπαντα περαίνειν· εἰ δὲ ἀνδρῶον,
ἄνδρας· κἀκεῖνο μέντοι πᾶσι φυλάττεσθαι βουλόμεθα τόποις· ὥστε εἰ φανείη τις
τῶν εὐλαβεστάτων μοναχῶν εἰς τὸ καπηλεῖον ἀναστρεφόμενος· τοῦτον εὐθὺς παρα-
δίδοσθαι τοῖς τῶν πόλεων ἐκδίκοις ἢ ἐνταῦθα τῷ ἐκκλησιεκδίκῳ τῆς σῆς ὑπεροχῆς
σωφρονίζεσθαί τε διελεγχόμενον· καὶ μηνύεσθαι τῷ ἡγουμένῳ· ὥστε αὐτὸν
ἐξωθεῖν τοῦ μοναστηρίου τοῦτον ὡς ταῦτα πλημμελήσαντα· καὶ τὸν ἐν αἰσχύνῃ βίον τὴν
ἀσκητικὴν ταύτης καταστάσεως ἀλλαξάμενον· διὰ γὰρ διπλοῦν τοῦτο ἔργον τοῖς
μοναχοῖς κατέστησαν ἢ ταῖς θείαις ἐνασχολεῖσθαι γραφαῖς· ἢ τὰ μοναχοῖς πρέ-
ποντα ἐργόχειρα μελετᾶν τε καὶ ἐργάζεσθαι· διάνοια γὰρ μάτην σχολάζουσα· οὐδὲν
ἂν ἀγαθὸν ἀποτέκοι:

ιη περὶ μονιταρίων ἤτοι χαρακτῶν· ἀνα(γνωσ) β' ν δ' τ' ιε'. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησίν:

Οἱ μονιτάριοι τῇ ἰδίᾳ ὑποκείσθωσαν τύχῃ· καὶ μηδεὶς ὑπὸ ἀξίωμα ἐλευθερούσθω·
ἀνα(γνωσ) καὶ β' ξ' τ' με' κεφ(άλαιον) ζ' θέμα α'. οἱ γὰρ μονῆταν ἐργαζόμενοι· τὸ ἔξωθεν ἑαυτοὺς
ποιεῖ δυσωπουμένους· ἢ τοὺς γινομένους ἀποκλείουσιν.
οὐ δοκοῦσιν ὅθεν μονῆταν ποιεῖν.
ἀλλὰ παίζονται:

α ✠ ἀρχὴ σὺν θεῷ τοῦ ν στοιχείου:

περὶ ναυτικῶν ἐνοχῶν καὶ παντοίων ἀγωγῶν τῶν κινουμένων περὶ πλοίων καὶ πάντων τῶν ἐν αὐτοῖς ἐμπλεόντων· ναυκλήρων· πιστικῶν· ναυτῶν· ἐμπόρων τε καὶ λοιπῶν ἐπιβατῶν· καὶ περὶ ναυαγίου· ἀνα(γνωσ) β' ν γ'· οὗτινος ἐν τῷ α' κεφ(αλαίῳ) φησί:

Διαμανθάνεται ἐν οἷς ἐνέχονται οἵ τε ναύκληροι καὶ οἱ πιστικοὶ καὶ οἱ προεστῶτες
αὐτοὺς, ἀπωλείας ἢ ναυαγίου γινομένου. Εἰ δὲ τῷ ε' κεφ(αλαίῳ) τοῦ α' τ(ίτλου) φησί· ὅπερ ἀνελάβω

ν΄.

στου ἐπὶ τὸ φυλάξαι οἱ ναύκληροι καὶ οἱ πανδοχεῖς ἢ μὴ ἀποκαταστῶσιν, ἐνάγονται. ἐν αὐ-
τοῖς δέδοται μηδένα ὑποδέξασθαι. ἐν τῷ δ΄ ζ΄ κεφ. ἐνέχονται καὶ διὰ τῶν προβεβλημένων
εἰς τὴν ναυφυλακήν· οἷον ναυφυλάκων καὶ διαιτασιῶν(?) εἰς ὅσον καὶ ὑποδέχονται, κἂν αὐτὸς
ποιήσῃ τὸ χρεμβόλον(?). ἐν τῷ δ΄ ιε΄ κεφ. ἀπὸ τῶν συναλλαγμάτων τῶν αὐτῶν ὁ ναύκληρος
οὐκ ἐνάγεται. ἀπὸ δὲ τῶν ἁμαρτημάτων αὐτῶν ἐνάγεται, προνοεῖν γὰρ ὀφείλει τοῦ χρῆσθαι αὐ-
τοῖς δόλου καὶ ἐκθυμίας ἤτοι κακίας. ἐν τῷ δ΄ ις΄ κεφ. ὁ προστησάμενος τὸν πιστικὸν τοῦ πλοί-
ου ἐνάγεται. ὥσπερ ὁ προστήσας προεστῶτα ἐργαστηρίῳ ἢ πράγματι. ἀπὸ μόνων τῶν προσφό-
ρων συναλλαγμάτων τῇ προστασίᾳ τοῦ πιστικοῦ ἐνέχεται ὁ ναύκληρος. εἰ δὲ δανεισάμενος
εἰς ἀνανέωσιν τοῦ πλοίου ἢ δαπάνην τῶν αὐτῶν· στρέψῃ τὰ χρήματα εἰς ἰδίας χρείας ἐνέχεται
ὁ ναύκληρος. οὐ μὴν ὁ ἐξ ἀρχῆς ἀπατηλὴν ἔχει γνώμην καὶ οὐκ ἐξεφώνησε πρόφασιν τοῦ
πλοίου λαμβάνων. εἰ δὲ καὶ εἰς τὰ τιμήματα τῶν ἀγορασθέντων πραγμάτων ἀπαιτήσουσι-
μοι(?) τὸν ναύκληρον. ἐν τῷ δ΄ λα΄ κεφ. ἐὰν κλαπῇ τι ἐν πλοίῳ ἢ καπηλείῳ ἢ πανδοχείῳ
παρά τινος τῶν ὄντων ἐν αὐτοῖς· εἴτε συμβουλῇ καὶ συνεργίᾳ τοῦ ναυκλήρου εἴτε τῶν ναυτῶν, ἐξου-
σίαν ἔχει ὁ κλαπεὶς τὴν περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀπαιτοῦσαν ἀγωγὴν κινῆσαι κατὰ τοῦ προ-
εστῶτος τοῦ πλοίου ἢ τοῦ καπηλείου. εἰ μέντοι τὴν φυλακὴν τοῦ πράγματος ὁ ναύκληρος ἢ
ὁ κάπηλος ἀνεδέξατο· αὐτὸς ἔχει τὴν ἀγωγὴν καὶ οὐχ ὁ δεσπότης. ἐν τῷ δ΄ λθ΄ κεφ. εἰ καὶ
παρὰ γυναικὸς προβληθῇ ναύκληρος, ἐκ τῶν πρὸς αὐτὸν συναλλαγμάτων κατέχεται ἡ γυνὴ
τῇ περὶ αὐτῶν ἀγωγῇ. κἂν γὰρ προεστῶτα ἐργαστηρίου προβάλληται ἡ γυνή, τῇ περὶ αὐτοῦ ἀγω-
γῇ κατέχεται. οὐ δὲ γὰρ ἀλλότρια ἐστὶ ταῦτα συναλλάγματα· ἀλλ᾽ αὐτῆς τῆς γυναικός, ὅτι ὑπὲρ
ἄλλου ἐγγυησαμένη γυνὴ οὐ κατέχεται. οὐδὲ γὰρ ἀλλότρια ἐστὶ ταῦτα συναλλάγματα. οὔτε
γὰρ τὰς γυναῖκας ὑπὲρ ἀλλοτρίων συναλλαγμάτων ἐνέχεσθαι. ἐν τῷ δ΄ β΄ τί διαλαμβάνεται περὶ
πλοίου ἐκδικουμένου. οὐδενὸς ἐν δ΄ δ΄ κεφ. ἀμέλεια καὶ δόλος ἐστί, τὸ τὸ πλοῖον ἐν
ἀνεπιτηδείῳ καιρῷ πλεῦσαι. ὁ πλοίου λειπτέας(?), ὑπόκειται τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ ἐξ ὁ-
μολογίας μετὰ τὸ ἁπλοῦν, ἐξαρνηθεὶς δὲ τὸ διπλάσιον. ἐν τῷ δ΄ ε΄ κεφ. ἐὰν πλοῖον τῷ ἐμ-
πεσὸν εἰς ἐμὸν ζημιώσῃ με, ἐὰν ἠδύναντο οἱ ναύκληροι τοῦτο κωλῦσαι γενέσθαι· ἐνάγον-
ται τῇ προειρημένῃ ἀγωγῇ ὥσπερ ἐν χρείᾳ ἢ κοινῇ ζημιώσαντες. εἰ δὲ τοῦ σχοινίου ἐκκοπέντος,
ἢ μηδενὸς ἰθύνοντος, ἐνέπεσεν, οὐχ ὑπόκειται ὁ δεσπότης. εἰ δὲ καὶ τῇ βίᾳ τῶν ἀνέμων
ἐμπεσὸν τὸ πλοῖον εἰς ἀλλοτρίας ἀγκύρας, καὶ κόψουσιν οἱ ναῦται, οὐκ ἐνέχονται· ἐπειδὴ ἄλ-
λως ἑαυτοὺς ῥυσθῆναι οὐκ ἠδύναντο. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἐμπεσόντων εἰς δίκτυα. εἰ δὲ
ἐκθυμίᾳ καὶ ἀμελείᾳ τῶν αὐτῶν συνέβη, χώρα τῇ προειρημένῃ ἀγωγῇ διὰ τὴν ζημίαν τῶν
δικτύων, οὐ μὴν τῶν ἀγρευθέντων ἰχθύων. τὸ αὐτὸ καὶ ἐπὶ κωπηλατῶν καὶ ἰξευτῶν. ἐὰν
ναῦς ναῦν βυθίσῃ, ὁ κυβερνήτης ἢ ὁ πρωρεὺς ἐνάγεται. ἢ οἱ ναῦται ἐξ ἀμελείας τῆς ἐμπολ-

η΄ ναυτῶν

περὶ γυναικός.

λεῖ ἡ βία τοῦ ἀνέμου. Ἐὰν πλοῖον καταποντίσῃ ἕτερον ἐρχόμενον κατ' αὐτοῦ, ἐνάγεται ὁ πρωρεὺς ἢ ὁ κυβερνήτης. Εἰ δὲ ἐξ ὑπερβολῆς χειμῶνος τοῦτο γέγονεν, οὐκ ἐνέχεται ὁ δεσπότης. Εἰ δὲ διαμαρτίᾳ τῶν ναυτῶν συνέβη, ἁρμόζει ἡ ἀκουΐλιος. Ἐὰν τὸ σχοινίον ἐξ οὗ τὸ πλοῖον ἐδέδετο κόψῃς καὶ ἀπόληται, εἰς τὸ διπλοῦν καταδικάζεται. Εἰς δὲ τὸ ιαʹ κεφ. Ἐὰν ἀγορασθῇ πλοῖον μετὰ τῆς ἐξαρτίας, τὴν σκάφην οὐ λαμβάνω. Οὐ γάρ ἐστιν ἀπὸ τῆς ἐξαρτίας, ἐπείπερ γὰρ τοῦ αὐτοῦ γένους ἐστί, ὧν μεγέθη διαφυλάττουσιν. Ἄλλου δὲ γένους εἶναι τὴν ἐξαρτίαν, καὶ ἄλλου τὸ πρωτότυπον. Εἰς δὲ τὸ ... διαλαμβάνεται περὶ ναυαγίου καὶ ἀποβολῆς καὶ συνεισφορᾶς. Οὗτινος ἐν τῷ αʹ κεφ. Ἐὰν διὰ τὸ κουφισθῆναι πλοῖον ἀποβληθῶσι φορτία, πάντων συνεισφερόντων, ἀποθεραπεύεται τὸ ῥιφὲν πάντα τὰ πράγματα καὶ τὰ ἐμβαροῦντα τὸ πλοῖον. Καὶ αὐτὸ γὰρ τὸ πλοῖον πρὸς τὴν ἀποτίμησιν αὐτῶν ὑπόκειται τῇ συνεισφορᾷ, ἐξαιρουμένων τῶν ἐλευθέρων κεφαλῶν ἐκ τῆς σταρχίας. Συνεισάγεται γὰρ αὐτὰ τοῖς ἐν τῷ πλοίῳ μὴ ἔχουσι δαπάνην. Ἁρμόζει δὲ καὶ τῷ πραεσκριπτῷ τοῖς δεσπόταις τῶν ἀποβληθέντων ἡ ἀγωγή. Εἰς δὲ τὸ γʹ κεφ. Ἐν τῇ συνεισφορᾷ τὰ μὲν ἀποβληθέντα πρὸς ὅσον ἠγοράσθησαν ἀποτιμῶνται, οὐ μὴν πρὸς ὃ πραθῆναι ἠδύναντο. Οὐ γὰρ κέρδους, ἀλλὰ ζημίας γίνεται λόγος. Τὰ δὲ σωθέντα πρὸς ὃ δύνανται πραθῆναι ἀποτιμῶνται. Εἰς δὲ τὸ ιβʹ κεφ. Ἀπολλυμένου τοῦ πλοίου οἱ σώσαντες ἐκ τοῦ ναυαγίου τὰ ἴδια οὐ συνεισάγουσι. Τότε γὰρ γίνεται συνεισφορά, ὅτε διὰ τὸ σωθῆναι τὰ λοιπὰ τοῦ πλοίου τινὲς ἀποβληθῶσι. Τοῦ ἱστοῦ κοπέντος διὰ τὴν σωτηρίαν τοῦ πλοίου καὶ τῶν φορτίων ἡ συνεισφορὰ γίνεται. Τῆς ἐξαρτίας ὑπὸ τοῦ χειμῶνος ἀπολλυμένης, ἑτέραν ὁ ναύκληρος ὠνήσατο, καὶ οὕτω πλεύσας ἔσωσε τὰ φορτία· οὐ χρεωστοῦσιν οἱ δεσπόται αὐτῷ συνεισάγειν. Εἰς δὲ τὸ ιαʹ κεφ. Ναυαγήσαντος τοῦ πλοίου ὅσα γὰρ ἄνθρωπος ἐκ τῶν ἰδίων ἔσωσεν, ἑαυτῷ ἔχει ὥσπερ ἐξ ἐμπρησμοῦ. Εἰς δὲ τὸ ιθʹ κεφ. Ὁ τὰ ἐκ τῆς ὑποβολῆς τῶν πλοίων διαφέρων διὰ κέρδος, κλοπὴν ἁμαρτάνει. Εἰς δὲ τὸ κβʹ κεφ. Τὰ ἀπὸ ναυαγίου ἢ ἀποβολῆς διὰ χρόνου χρησίμως οὐ δεσπόζεται· οὐ γάρ ἐστιν ἀδέσποτα. Εἰς δὲ τὸ λθʹ κεφ. Ὁ τὸ ἐκριφὲν ἀπὸ ναυαγίου λαμβάνων, εἰ μετὰ τινὸς πρεβεντεύοντος χρόνου, κλέπτης ἐστίν. Εἰ δὲ κατὰ τὸν τοῦ ναυαγίου καιρόν, ἀλλὰ φερόμενον εἴτε ἀπὸ θαλάσσης εἴτε ἀπὸ τοῦ αἰγιαλοῦ λάβῃ αὐτό. Εἰς δὲ τὸ μβʹ κεφ. Ἐάν τις ἀπὸ ναυαγίου ἁρπάσῃ τι ἢ δέξηται, ἐντὸς ἐνιαυτοῦ εἰς τὸ τετραπλάσιον κατέχεται, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. Εἰς δὲ ἡ τʹ περιέχεται τὰ κεφάλαια τοῦ ῥοδίου νόμου. Οὗτινος ἐν τῷ ϛʹ κεφ. Ἐὰν βουλήσει τοῦ ναυκλήρου οἱ ναῦται σύλα ποιήσωσιν, ἀγκύρας πλοίου ἑτέρου ὁρμοῦντος ἐν λιμένι ἢ ἐν ἀκτῇ ἀφελόμενοι, καὶ συμβῇ ἐντεῦθεν ἀπόλλυσθαι γενέσθαι τοῦ πλοίου τοῦ τὰς ἀγκύρας συληθέντος, καὶ τούτων οὕτως ἐν ἀκριβείᾳ ἀποδεικνυμένων πᾶσαν τὴν προσγενομέ

περὶ τῆς ἐξαρτίας.

ὅτι εἰς τὸ τετραπλοῦν κατέχεται ἐντὸς ἐνιαυτοῦ: ~

ι.

νην ζημίαν. ἐν ἑτέρῳ πλοίῳ καὶ τὰ ἐν τῷ πλοίῳ πάντα ἀποδιδότω ὁ ναύκληρος ὁ τὰ σύ-
λα ἐπιτρέψας γενέσθαι. ἐάν τις κλέψῃ σκεύη πλοίου ἢ τῶν ἐν τῷ πλοίῳ χρησιμ-
ευόντων. τουτέστι σχοινίων καὶ καναβίων ἢ ἀρμένων ἢ διφθερῶν καὶ καράβων ἢ ἄλλου
τινός. διπλᾶ ἀποδιδότω ὁ τὰ σῦλα ποιήσας. ἐν ἄλλῳ δὲ γ΄ κεφ. ἐὰν ναύτης κελεύσει τοῦ
ναυκλήρου κλοπὴν ποιήσῃ ἐμπόρου ἢ ἐπιβάτου καὶ καταληφθεὶς καταδειχθῇ. ὁ ναύ-
κληρος διπλᾶ ἀποδιδότω τοῖς τὰ σῦλα παθοῦσιν. ὁ δὲ ναύτης λαμβανέτω ξυλατώτια
ρ΄. ἐὰν δὲ ναύτης αὐτοβούλως συλήσας καταδειχθῇ ἢ καὶ διὰ μαρτύρων ἐλεγχθῇ, σφοδρῶς
βασανιζέσθω. καὶ μάλιστα ἐὰν τὰ σῦλα χρυσίου ἦν καὶ τὴν ἀποκατάστασιν τῷ συληθέν-
τι ποιείτω. ἐν ἄλλῳ δὲ ζ΄ κεφ. ἐάν τις τῶν ναυκλήρων ἢ ἐμπόρων ἢ ναυτῶν τύψῃ τινὰ
γρόθῳ καὶ πηρώσῃ, ἢ λὰξ δὲ καὶ συμβῇ κήλην ποιῆσαι, δότω ὁ κρούσας τὰ ἰατρεῖα.
καὶ ὑπὲρ μὲν τοῦ ὀφθαλμοῦ, χρυσίνους ιβ΄. ὑπὲρ δὲ κήλης χρυσίνους ι΄. εἰ δὲ ὁ λὰξ-
κρουσθεὶς ἀποθάνῃ, ἔνοχος ἔσται ὁ κρούσας τῆς δίκης τοῦ θανάτου. ἐν ἄλλῳ δὲ θ΄ κεφ. ἐὰν
περὶ ἐκβολῆς βουλεύσηται ὁ ναύκληρος, ἐρωτάτω τοὺς ἐπιβάτας οἷς χρήματα ἐστὶν ἐν
τῷ πλοίῳ. ὅ τι δὲ ἐὰν γένηται τοῦτο, ψῆφον ποιείτωσαν. συμβαλλέσθωσαν δὲ εἰς συμβολὴν
καὶ τὰ χρήματα. στρώματα δὲ καὶ ἱμάτια καὶ σκεύη πάντα ἐκτιμάσθω. καὶ ἐὰν γένηται
ἐκβολὴ τῷ ναυκλήρῳ καὶ τοῖς ἐπιβάταις μὴ πλέον λίτρας μιᾶς. κυβερνήτῃ δὲ καὶ πρω-
ρεῖ μὴ πλέον ἡμιλίτρου. ναύτῃ γράμματα τρία. παῖδες δὲ καὶ εἴ τις ἄλλος συμπλεῖ,
μὴ ἐπὶ πρᾶσιν ἀγόμενος κατὰ τιμὴν ὤν. ἐν ἄλλῳ δὲ ξ΄ κεφ. ἐὰν ναύκληρος ἅμα τοῖς ναύ-
ταις ἀμελήσῃ, καὶ συμβῇ ζημίαν ἢ ναυάγιον. ὁ ναύκληρος καὶ οἱ ναῦται ὑποκείσθωσαν τῷ
ἐμπόρῳ. εἰς τὴν ἀπόδοσιν τῆς ζημίας. εἰ δὲ ἀπὸ ἀμελείας τοῦ ἐμπόρου συμβῇ ἀπώλειαν
τοῦ πλοίου καὶ τοῦ γόμου γενέσθαι, ὑποκείσθω ὁ ἔμπορος ἐν τῇ ζημίᾳ τοῦ ναυαγίου καὶ
τῇ τοῦ πλοίου. εἰ δὲ τοῦ ναυκλήρου μὴ ἐμποδίσαντος μὴ δὲ τῶν ναυτῶν μὴ δὲ τοῦ ἐμπό-
ρου συμβῇ ζημία ἢ ναυάγιον. τὰ σωζόμενα μέρη τοῦ πλοίου καὶ τῶν φορτίων εἰς συμβο-
λὴν ἐρχέσθωσαν. ἐν ἄλλῳ δὲ ια΄ κεφ. θ΄ ε΄. ἐὰν θελήσῃ ὁ ἐπιβάτης εἰς πλοῖον καὶ ἔχῃ τὸ χρυ-
σίον ἢ ἕτερόν τι. παρατιθέσθω αὐτὸ τῷ ναυκλήρῳ. εἰ δὲ μὴ παραθέμενος εἴπῃ, ὅτι χρυσί-
ον ἀπώλεσα ἢ ἀργύριον, ἄκυρα ἔστω τὰ παρ' αὐτοῦ λεγόμενα. ὁ δὲ ναύκληρος καὶ οἱ ναῦται
ὁμοῦ οἱ συμπλέοντες ὅρκον παρεχέτωσαν. ἐν ἄλλῳ δὲ κη΄ κεφ. ἐὰν πλοῖον ἐν τῇ ἐμβολῇ ἐμπο-
δισθῇ ὑπὸ τοῦ ἐμπόρου ἢ κοινωνοῦ πληρωθείσης τῆς προθεσμίας, καὶ συμβῇ ἀπὸ πειρα-
τῶν ἢ πυρκαϊᾶς ἢ ναυαγίου ἀπώλειαν γενέσθαι τοῦ πλοίου. ὁ τὴν ἐμποδίαν ποιήσας,
ἐκφερέτω τὰς ζημίας. ἐν ἄλλῳ δὲ λα΄ κεφ. ἐὰν ὁ ἔμπορος φορτώσῃ τὸ πλοῖον καὶ συμβῇ
τῷ πλοίῳ, τὰ σωζόμενα πάντα εἰς συμβολὴν ἐρχέσθωσαν ἑκάτερα. ὁ δὲ ἀργύριον ἐάν-
σώζηται, πέμπτας ἀποδιδότω. ὁ δὲ ναύκληρος καὶ οἱ ναῦται βοηθεῖν παρεχέτωσαν εἰς τὸ

ὅτι ὑπὲρ τοῦ ὀφθαλμοῦ ιβ΄ νο. ὑπὲρ κήλης δὲ νο. ι΄ παρέχειν ἀποινί: ζ

σωθῇ. Εἰ δὲ φ. λα' κεφ. Ἐὰν πλοῖον ὀθόνην ἢ κέσην κομίζῃ, ὁ ναύκληρος διαφθέρας καλὰς παρεχέτω· ἵνα μὴ ὑπὸ χειμῶνος ἢ ἐπικλάσει τῶν κυμάτων, τὰ φορτία ἀδικηθῇ. Ἐὰν δὲ τὸ πλοῖον ὑπεραντλήσῃ, ὁ ναύκληρος εὐθὺς λεγέτω τοῖς τὰ φορτία ἔχουσιν ἐν τῷ πλοίῳ, ἵνα αἱ ἐκθέσεις γένωνται τῶν φορτίων. Ἐὰν δὲ οἱ ναῦται φανερὸν ποιήσωσι τῷ ναυκλήρῳ, καὶ οὕτως βλαβῇ τὰ φορτία, ὑπεύθυνον εἶναι τὸν ναύκληρον ἅμα τοῖς ναύταις. Εἰ δὲ προδιαμαρτύρηται ὁ ναύκληρος ἅμα τοῖς ναύταις ὅτι τὸ πλοῖον ὑπεράντλησε καὶ ἐκθέσατε· οἱ δὲ ἐμβαλλόμενοι τὰ φορτία ἀμελήσωσι τοῦ ἐκθέσθαι, ἀζήμιοι ἔστωσαν ὅ τε ναύκληρος καὶ οἱ ναῦται. Εἰ δὲ φ. λε' κεφ. Ἐὰν πλοῖον ἐκβολὴν ποιήσηται τῆς καταρτίας αὐτομάτως ἀποβαλλομένης ἢ κοπτομένης, πάντες οἱ ναῦται καὶ οἱ ἔμποροι καὶ τὰ φορτία καὶ τὸ πλοῖον σωθέντα, εἰς συμβολὴν ἐρχέσθωσαν. Εἰ δὲ φ. λϛ' κεφ. Ἐὰν πάθῃ τὸ πλοῖον σωθέντα, εἰς συμβολὴν ἐρχέσθωσαν καὶ σωθῇ τὰ τῶν ἐμπόρων ἢ ἐπιβατῶν. τὸ δὲ πλοῖον ἀπόληται· τὰ μὲν γραμματεῖα καὶ οἱ ἐπιβάται μὴ διδότωσαν τῷ ναυκλήρῳ τὸ πλοῖον. Εἰ δὲ φ. μα' κεφ. Ἐὰν πλέωσιν ἐν πλοίῳ ἐπιβάται, καὶ ἢ διαφθαρῇ ἢ ἀπόληται τὸ πλοῖον, τὰ δὲ τῶν ἐπιβατῶν σωθῇ· ἐπιφερέτωσαν οἱ ἐπιβάται εἰς τὴν ἀπώλειαν τοῦ πλοίου. Ἐὰν δὲ ἐπιβάται ἀπολέσωσι τὸ χρυσίον αὐτῶν ἢ τὰ εἴδη· ἀπὸ πάντων λαμβανέτωσαν κατὰ τὴν δύναμιν πρὸς τὴν ἀπώλειαν ἅμα τῇ συμβολῇ τοῦ πλοίου. Εἰ δὲ φ. μδ' κεφ. Ἐὰν πλοῖον ἐν γόμῳ, καὶ συμβῇ ἐκβολὴν τῆς καταρτίας γενέσθαι ἢ τῶν αὐχένων κλάσεις, ἢ ἀπώλειαν τινὸς τῶν ἐφολκίων. Ἐὰν μετὰ ἐκ τῆς ζάλης συμβῇ τοῦ γόμου βραχῆναι· ἀνάγκη πάντας εἰς συμβολὴν κατέρχεσθαι. Εἰ δὲ ὁ τόπος ἐκ τῆς ἀντλίας πλέον βλαβῇ καὶ οὐχὶ ἐκ τῆς ζάλης, τὸ ναῦλον λαμβανέτω ὁ ναύκληρος· καὶ τὰ εἴδη παραδιδότω ξηρὰ μέχρι καθὼς παρέλαβεν. Εἰ δὲ φ. μϛ' κεφ. Ἐὰν χρυσίον ἢ ἀργύριον ἢ ἕτερόν τι ἐκ βυθοῦ διαρθῇ ἀπὸ ὀργυιῶν ὀκτώ, λαμβανέτω ὁ ἀποσώζων τὸ τρίτον μέρος. Εἰ δὲ ἀπὸ ὀργυιῶν ιε' λαμβανέτω ὁ ἀποσώζων τὸ ἥμισυ διὰ τὸν κίνδυνον τοῦ βυθοῦ. Τῶν δὲ ἐκριπτομένων ἀπὸ θαλάσσης εἰς γῆν καὶ εὑρισκομένων ἢ ἐπιφερομένων ἐπὶ πῆχυν ἕνα· λαμβανέτω ὁ ἀποσώζων δέκατον μέρος τῶν ἀποσωζομένων :

ϛ' Περὶ τῶν νεμομένων τὸ ἀλλότριον εἴτε καλῇ πίστει εἴτε κακῇ. ἀν. β' ϛ' τ. α' κεφ. να' ἐν τῷ φ. φησιν :

Ὁ τὸν μὴ κεχωσμένου τόπου ὑπὸ σχεδοῦ, ἱεροσυλίαν ὑπόκειται· μὴ δυνάμενος ἄγνοιαν προβάλλεσθαι. ἀν. καὶ τὸ β. θ' τ. τ' κεφ. ξζ' ἐν τῷ φ. Ὁ κακῇ πίστει νομεὺς οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι καὶ τοὺς καρποὺς οὓς ἔλαβεν, ἀλλὰ οὓς ἠδύνατο λαβεῖν καρπούς, καὶ δίδωσι τοὺς μετὰ προκατάρξιν. ταῦτα δὲ ὅλα ... μὴ ἐπὶ τῆς ἀπαιτήσεως τῆς κληρονομίας. ἐπεκείνης γὰρ καὶ οἱ πρὸ τῆς προκατάρξεως καρποὶ καταφέρονται. Εἰ δὲ καλῇ πίστει ου-

ἀν. καὶ τὸ περὶ διακοπῆς. ἀν. καὶ τὸ περὶ ἐκποιουμένων πραγμάτων :

ν̄.

τες ἐπὶ κληρονόμῳ, καὶ ὁ κληρονόμος αὐτοῦ εἰς τὸ ἥττωμα(?) αὐτοῦ ὑπεισιών, τὰ αὐτὰ ἀπαιτεῖται. ἀνάγνωθι καὶ τὸ ιε' τίτ. α' κεφ. ξα' ἐν τῷ φ̄. ὁ κακῇ πίστει τοὺς καρποὺς οὓς ἠδύνατο λαβεῖν ὁ ἐνάγων διδοὺς τοῦ πλοίου καὶ τοῦ ἐργαστηρίου· καὶ τοῦ μεσαύλου τῶν ἐνοικίων(?) μισθοῦσθαι· καὶ τοὺς καὶ τοῦ κληρονόμου, μὴ διδοὺς τόκους τῶν στρεφομένων(?) χρημάτων. ἐὰν μὴ ἦγαγε αὐτόν. διὰ τὸ πλοῖον οὐκ ἐκινδύνευσε(?) τῷ νομεῖ, ὡς τὰ χρήματα τῶν δανειζόντων(?)· καὶ κεφ. ξβ' ξε'. καὶ τίτ. δ' κεφ. δ' καὶ ε' θεμ. ς'· καὶ κεφ. ζ' θεμ. γ'· καὶ κεφ. ια' θεμ. γ'. ἀνάγνωθι καὶ τὸ κα' ἐν τῷ φ̄. ὁ κακῇ πίστει νομεὺς τοὺς καρποὺς λαμβάνων δεσπόζει(?) αὐτοὺς κἂν ἄλλος αὐτοὺς ἐσπόρευεν(?). ἐοίκασι γὰρ τοῖς ἐκ τῶν ὑπηρεσιῶν τοῦ δούλου προσποριζομένοις· καὶ ἐν τῇ λήψει τῶν καρπῶν δίκαιον ἔχει δεσπότου τοῦ ἀγροῦ. ὁ δὲ δεσπότης λαμβάνει τοὺς καρπούς, κἂν ἀλλότριον σῖτον ἐσπάρη. μεῖζον δὲ δίκαιον ἔχει περὶ τὸν τὴν χρῆσιν ἔχοντα. εἰ γὰρ μὴ αὐτὸς ὁ τὴν χρῆσιν ἔχων λάβῃ τοὺς καρπούς, οὐ δεσπόζει αὐτῶν. οἱ δὲ ὁπωσοῦν ληφθέντες, τοῦ κακῇ πίστει ὄντος καὶ τοῦ ἔχοντος ἐμφυτευτικὸν ἀγρόν. ἀνάγνωθι καὶ τὸ νη' τίτ. ιζ' οὐλπιανοῦ ἐν τῷ ς' κεφ. φ̄. ὁ ἐξ ἄλλου λαβὼν καὶ βίᾳ ἢ λαθραίᾳ ἢ περὶ ἀκλήρου(?), νικᾶσθαι ἐναντίον τα(?)· οὐ μὴν δ' ἀπὸ τοῦ ἔχοντος περὶ τοῦ τῆς νεμέται. πρὸς ἄλλον γὰρ τὸ δὲ δικαίως δὲ ἀδίκως νεμόμενος πλέον ἔχει τοῦ μὴ νεμομένου· ἐμοῦ καὶ τοῦ τὸ αὐτὸ εἰς ὁλόκληρον νεμομένων· εἰς ὃ ἐξ ἐμοῦ ἀδίκως νέμει, ἐγὼ κάλλιον εἰμί. εἰ δὲ μὴ ἐξ ἐμοῦ κἂν ἀδίκως νέμει, οὐδὲν ἧμαι(?) πλέον τῶν ἄλλων :—

Περὶ νηπίων ἐκτιθεμένων ἢ τοῖς ἐκπιπτομένων(?), ἐλευθέρων τε καὶ δούλων. ἀνάγνωθι β' λα' τίτ. ς' κεφ. δ' ἐν τῷ φ̄ φιστου(?) :— γ̄

Φονεὺς τοῦ ἐκτιθεμένου οὐ μόνος ὁ πνίγων, ἀλλὰ καὶ ὁ ἐκρίπτων καὶ ὁ μὴ τρέφων· καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος ἐπὶ ἐλεημοσύνῃ ἣν αὐτὸς οὐκ ἔχει. ἀνάγνωθι β' λζ' τίτ. β' οὐλπιανοῦ ἐν τῷ ς' κεφ. φ̄. εἷς ἕκαστος τὴν ἰδίαν γονὴν τρεφέτω. εἰ δὲ ἐκθήσει αὐτήν, ἄξιος τιμωρίας ἔσται. οὐκέτι δὲ ὁ δεσπότης ἢ πατὴρ ἐκδικεῖν δύναται, ὅπερ ἂν ἐκθήσει. ἐν δὲ τῷ δ' κεφ. θεσπίζομεν τοὺς ἐν ἐκκλησίαις ἢ ἐν ῥύμαις ἢ ἄλλοις τόποις ἀπορριφθέντας βρέφη(?), τούτους πάσι τρόποις ἐλευθέρους εἶναι προσκηρύσσομεν(?)· καὶ ἀκριβεῖς τὰς ἀποδείξεις ὑπάρχει τελέσαντες(?) εἰς τὸ δόξαι τὸ τοιοῦτον πρόσωπον τῇ αὐτοῦ διαφέρειν δεσποτείᾳ. εἰ γὰρ τοῖς ἡμετέροις προστεταγμένοις νόμοις ὥστε τοὺς νοσοῦντας οἰκέτας παρὰ τῶν δεσποτῶν καταφρονηθέντας καὶ εἰς τὴν αὐτῶν ὑγείαν ἀπηλπισθέντας(?), ἐκ τῶν κεκτημένων δεσποτείας μὴ ἀξιουμένους πάντας εἰς ἐλευθερίαν ἀναρπάζεσθαι. πῶς ἄρα τε τοὺς ἐν αὐτῇ τῆς ζωῆς ἀρχῇ τῇ τῶν ἄλλων ἀνθρώπων καταγνωσθέντας ἀσεβείᾳ καὶ παρ' αὐτῶν ἀναθρεφθέντας ἀνεξόμεθα εἰς ἄδικον δουλείαν καθέλκεσθαι. ἀλλὰ τούτους ἐλευθεροῦσθαι θεσπίζομεν· μετὰ τῶν ἐκ τῶν ἡμετέρων νόμων τὴν τοιαῦτα πραττόντων διαφευγόντων ποινάς· διὰ πάσας ἀπανθρωπίας καὶ ὠμότητι πεπληρωμένων. καὶ τοῦτον πάσης μαιφόνου(?) χρείας, τούτων τοῖς

ἀθλίως τοῖς ἐπάρχουσι :—

δ Περὶ τῶν εἰς νομὴν ἢ διὰ κατοχὴν πεμπομένων, καὶ ἐκ ποίων αἰτιῶν πέμπονται. καὶ πότε τὰ εἰς νομὴν ἐκτεθέντα πιπράσκονται. καὶ περὶ παραγραφῆς τῶν εἰς νομὴν ἐκπεμφθέντων· βίᾳ ἢ δόλῳ ἐκβληθέντων ἢ κωλυθέντων. ἀνάγνωθι β΄ θ΄ τίτ. ς΄. ἐν ᾧ διαλαμβάνεται :—

Οἱ ἐκ θείου χρησμοῦ αἰτοῦντες, πέμπονται εἰς νομὴν ἢ λεγατάριος ἐπὶ φυλακῇ τῶν πραγμάτων ἢ τῶν ληγάτων. ἢ τῶν κατὰ γαστρὸς ὀνόματι. ἢ ἐπὶ μελλούσης διὰ συμπτώματος ζημίας αἰτοῦντι. Καὶ ὁ χρεωστούμενος παρὰ ἀνήβου μὴ ἐκδικουμένου, πέμπεται εἰς νομήν. εἰ γὰρ ἐκδικηθῇ ὑπὸ κηδεμόνος, ἢ ἄλλου τινός. ἀργεῖ ἡ πομπή. ὁμοίως καὶ ἐπὶ μὴ νομίμου, πιπράσκονται δὲ τὰ πράγματα τοῦ ὑφισαμένου νομήν. εἰ μὴ ἄνηβος ἐστὶν ἢ διὰ πρᾶγμα δημόσιον διὰ χρόνου ἄπεστιν. ἐν τῷ [illegible] κεφ. τοῦ αὐτοῦ τίτ. φη(σί). εἴ τις διὰ περιγραφὴν κρύπτεται καὶ μὴ ἐκδικηθῇ, καὶ νομὴν καὶ διάπρασιν ἐπὶ τοῖς οἰκείοις ὑφίσταται. ἐν τῷ [illegible] κεφ. φη(σί). ὁ ὑπὸ ἡμέραν ἢ αἵρεσιν χρεωστῶν κἂν λανθάνῃ, οὐ παρὰ διάπρασιν πρὸ τῆς ἡμέρας ἢ τῆς αἱρέσεως οὐ φέρει χρέος. ὡς πρὸ οὐδὲ ὑποκείμενος αἰτοῦντι, ἂν ἐκβάλλῃ περιγραφῇ. ἐν τῷ [illegible] κεφ. ὁ κωλύων μὲ ἐπιβῆναι τῆς νομῆς τῶν τοῦ χρεωστουμένου, ὑποκείμενοι εἰς τὸ διαφέρον. εἰ δὲ καὶ λεγατάριος ὢν πεμφθῇ καὶ κωλυθῇ, κἂν δύνηται ἀσθενὴν τὸ αἱρετικὸν λέγατον. ὅμως διακωλύεται ἡ ἀσφάλεια. δανειστὴς δὲ αἱρετικὸς οὐ πέμπεται ὁ δυνάμενος πωλεῖν. ἀνάγνωθι καὶ τὸ ζ΄ καὶ β΄ νς΄ τίτ. κα΄ ἐν ᾧ φη(σί)· πῶς διαγίνεται ἡ παράδοσις πρὸς τὸν ἐπὶ νομὴν στελλόμενον. ἀνάγνωθι καὶ β΄ να΄ τίτ. α΄ οὗτινος ἐν τέλει κεφ. [illegible] φη(σί). εἴτε δανειστὴς εἴτε λεγατάριος, εἴτε [illegible] εἰς νομὴν πεμφθῶσιν. ἐνάγεται δὲ καὶ ὁ κωλύων καὶ ὁ ἐξωθῶν, κἂν μὴ βίαν ἐποίησε. πλὴν εἰ μὴ ἴσον ἐνόμισε τὸ πρᾶγμα ἢ ὑποκεῖσθαι αὐτῷ ἢ μὴ εἶναι τοῦ χρεώστου. ἐνάγεται δὲ εἰς ὅσον διέφερε τῷ δανειστῇ κατασχεῖν τὸ πρᾶγμα. ὥστε εἰ ψευδὲς ἦν τὸ χρέος διὸ ἐπέμφθη εἰς νομὴν ἢ καὶ ὑπὸ περιγραφῆς τοῦ ἐξέβαλλε, οὐκ ἔξεστιν αἰτεῖν. ἀνάγνωθι καὶ β΄ νη΄ τίτ. ι΄ κεφ. λβ΄ καὶ μβ΄ καὶ μγ΄ καὶ μδ΄ ἐν οἷς φη(σί). περὶ τῶν διὰ μέλλουσαν ζημίαν πεμπομένων εἰς νομήν. οἷον ἐὰν ὁ γείτων τὸν σαθρωθέντα οἶκον αὐτοῦ καὶ ἀπειλοῦντα πτῶσιν μὴ ἀνανεοῖ ἢ μὴ ἀσφαλίζηται μετὰ τὴν μῆνα καὶ ὑπόσχεσιν παθεῖν ἐξ αὐτοῦ, πέμπομαι εἰς νομήν :—

αἰτεῖ ἀπαιτεῖ τὸ ἁπλοῦν :—

ε Περὶ νομῶν ἤτοι βοσκῶν. ἀνάγνωθι β΄ νε΄ τίτ. ζ΄. οὗτινος ἐν τέλει β΄ κεφ. φη(σί) :—

Τοὺς λεγομένας τῶν ἐπαρχιωτῶν καὶ μάλιστα τῶν ἡμετέρων πραγμάτων, οὐ βουλόμεθα ὑπὸ στρατιωτῶν καταπονεῖσθαι. τὸ τοίνυν καὶ λύουσι τὸ λοιπὸν ἐπιτρέπομεν. μήτε [illegible] μήτε γεωργοὺς ἀδικεῖσθαι :—

ν

ς

Περὶ νόμου ἐκ μακρᾶς συνηθείας. ἀρχὴ ε΄ β΄ τίτλου α΄. οὕτως ἐν βιβλίῳ ιε΄ κεφ. φησίν :· ς

Νόμος ἐστὶ κοινὸν παράγγελμα φρονίμων ἀνδρῶν δόγμα ἑκουσίων καὶ ἀκουσίων ἁμαρτη-
μάτων ἐπιστροφή. πόλεως συνθήκη κοινή. ἔστι δὲ καὶ θεοῦ εὕρημα. ἐν δὲ βιβλίῳ α΄ κεφ. ὁ νό-
μος ἀπὸ τῆς δικαιοσύνης ὠνόμασται. ἔστι γὰρ τέχνη τοῦ καλοῦ καὶ ἴσου. διαιρεῖται δὲ εἰς δη-
μόσιον καὶ ἰδιωτικόν. καὶ τὸ μὲν δημόσιον, τὴν πολιτείαν ὁρᾷ. καὶ συνίσταται ἐν ἱερεῦσι
καὶ ἄρχουσι. τὸ δὲ ἰδιωτικόν, πρὸς τὸ ἑκάστου χρήσιμον. καὶ σύγκειται ἢ ἀπὸ φυσικοῦ
νόμου, ἢ ἐθνικοῦ ἢ πολιτικοῦ. καὶ φυσικὸς μέν ἐστι νόμος. ᾧ μὲν πάντα τὰ ζῶα καὶ
οὐκ ἄνθρωποι μόνοι κέχρηνται. ὡς ἡ τοῦ ἄρρενος καὶ ἡ τοῦ θήλεος συνάφεια. καὶ ὁ
τοκετός, καὶ ἡ ἀνατροφὴ τῶν παίδων. τοῦ δὲ ἐθνικοῦ νόμου ἐστίν. ἡ περὶ τὸ θεῖον θρησκεία
καὶ τὸ πείθεσθαι γονεῦσι καὶ πατρίσι. καὶ τὸ ἀπωθεῖσθαι τὴν ἐπιφερομένην βίαν καὶ
ὕβριν. ὅσα γάρ τις εἰς φυλακὴν τοῦ ἰδίου σώματος ποιεῖ. νομίμως ποιεῖ. καὶ τὴν ἐλευ-
θερίαν, ὁ ἐθνικὸς εἰσήγαγε νόμος. πάντας γὰρ ἐξ ἀρχῆς ἡ φύσις, ἐλευθέρους παρήγα-
γε. καὶ τὰ συναλλάγματα καὶ αἱ ἐνοχαὶ πᾶσαι σχεδὸν τοῦ ἐθνικοῦ εἰσί. τινὰ δὲ καὶ ὁ πο-
λιτικὸς ἐφεῦρεν, ὡς τὴν ἀγωγὴν τὴν μεταθέσεως παλαιοῦ χρέους εἰς καινοῦ. καὶ τὴν περὶ
ἐμφυτεύσεως. τὸ δὲ πολιτικὸν νόμιμον, οὔτε ὅλως ἀπᾴδει τοῦ φυσικοῦ καὶ τοῦ ἐθνι-
κοῦ. οὔτε ὅλως αὐτοῖς ἕπεται. καὶ ἔστιν ἔγγραφος ἢ ἄγραφος. σύγκειται δὲ ἢ ἀπὸ δυο-
δεκαδέλτου. ἢ τοῦ δημοσίου δόγματος. ἢ τῶν τῆς συγκλήτου ψηφισμάτων. ἢ βασιλικῶν
δογμάτων. ἢ τῆς αὐθεντείας τῶν σοφῶν. καὶ τὸ πραιτώρειον νόμιμον. διαφωνεῖ τὸ πο-
λιτικὸν δὲ ἐστί. πολιτικὸν ἐστὶ νόμιμον. καὶ ὅπερ ἑκάστη πόλις ἑαυτῇ ὁρίσει, καὶ ἔστιν αὐτῆς
ἰδικόν. ἐν δὲ βιβλίῳ ιε΄ κεφ. τοὺς νόμους ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων. οὐ μὴν τῶν σπα-
νίως ἁρμόζεσθαι δεῖ. οὐ δὲ ἀπὸ τῶν δυναμένων ἐν ἑνὶ συμβῆναι θέματι. παραβαίνουσι-
γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ δίς. ἀρετὴ νόμου, τὸ κελεύειν, τὸ κωλύειν. τὸ ἐπιτρέπειν. τὸ
τιμωρεῖσθαι. οὐ περὶ τὸ καθ᾿ ἕκαστον, ἀλλὰ κοινῶς οἱ νόμοι τίθενται, καὶ ἡ σύγκλητος νομο-
θετεῖ. οὐ πάντα τὰ θέματα περιλαμβάνει ὁ νόμος. ἀλλὰ τὰ ὡς ἐπὶ τὸ πλεῖστον συμβαί-
νοντα, τὰ ἐν πρώτοις νομοθετούμενα. τὸν βασιλέα δεῖ ἑρμηνεύειν, ἐν τοῖς ὁμοίοις τέ-
μνεσθαι δεῖ. τὰ περὶ ὧν οὐ κεῖται νόμος. τὸ δὲ παρὰ κανόνας εἰσαχθέν, οὐχ ἕλκεται πρὸς
ὑπόδειγμα. ἰδικὸς νόμος ἐστίν, ὁ διὰ τὸ χρήσιμον παρὰ κανόνας εἰσαγόμενος. αὐθεν-
τία τῶν νομοθετούντων. ἐν δὲ βιβλίῳ ιζ΄ κεφ. εἰδέναι νόμους ἐστίν, οὐ τὸ γινώσκειν τὰ ῥή-
ματα, ἀλλὰ τὴν δύναμιν αὐτῶν. ἐν δὲ βιβλίῳ ιη΄ κεφ. ἐπιμελῶς δεῖ τοὺς νόμους ἑρμη-
νεύειν, ἐν τοῖς ἀμφιβόλοις. καὶ ἀνεπίληπτον ἑρμηνείαν προσίεσθαι. οὐ δυνατὸν
πάντων τῶν νόμων ἀποδιδόναι λογισμόν. οὐδὲ δεῖ αὐτῶν ζητεῖν λογισμούς. οὐδὲ
μεταποιεῖν τὰ πρόδηλον ἑρμηνείαν ἔχοντα. τὰ ὑπὲρ ἑνὸς εἰσαχθέντα καὶ αὐτοῦ, οὐχ ὁρμη-

ὅρος νόμου καὶ πόθεν ὠνόμασται νόμος καὶ ὅτι σύγκειται ἀπὸ φυσικοῦ καὶ ἐθνικοῦ καὶ πολιτικοῦ :· ς

ἀρχὴ καὶ τέλος ξς΄ κεφ. ἐν βιβλίῳ τῶν νεαρῶν μετὰ βραχὺ τῆς ἐμφάσεως κεφ. :· ς

ἀρχὴ καὶ νη΄ κεφ. ἐν βιβλίῳ περὶ ἀρχομένου τοῦ ἀκολούθου αὐτῶν ῥωμαϊκῶν νόμου :· ς

περὶ συνηθ(είας) : ς

νοεῖται. Ἐν τῷ αὐτῷ λβ' κεφ. Περὶ ὧν ἔγγραφος οὐ κεῖται νόμος, παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν. Ἐν τῷ αὐτῷ. Καὶ τοῦτο ἐλλείπῃ, ἀκολουθεῖν δεῖ τοῖς πλησιάζουσι καὶ ἐοικόσι τῶν ζητουμένων. Εἰ δὲ μηδὲ ταῦτα προσείη, τότε τὸ νόμιμον ᾧ ἡ Ῥώμη κέχρηται παραφυλάττειν δεῖ. Ἡ παλαιὰ συνήθεια, ἀντὶ νόμου φυλάττεται. Ὥσπερ ἡ θέσις τοῦ νόμου ἢ ἔγγραφός ἐστιν, ἢ ἄγραφος. οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ ἢ δι' ἐγγράφου γίνεται νόμου, ἢ δι' ἀγράφου. τουτέστι τῆς ἀχρησίας. Ἐν τῷ αὐτῷ λγ' κεφ. Ἡ μακρὰ συνήθεια ἀντὶ νόμου κρατεῖ ἐν οἷς οὐκ ἔστιν ἔγγραφος. Ἐν τῷ αὐτῷ λδ' κεφ. Τότε κεχρήμεθα τῇ συνηθείᾳ τινὸς πόλεως ἢ ἐπαρχίας. ὅτε ἀμφισβητηθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη. Ἐν τῷ αὐτῷ λε' κεφ. Καὶ τὰ μακρᾷ συνηθείᾳ δοκιμασθέντα, καὶ ἐπὶ πολλοῖς ἐνιαυτοῖς φυλαχθέντα. οὐχ ἧττον τῶν ἐγγράφων κρατοῦσιν, ὡς τὸ τοιοῦτον δοκιμασθέντα. ὥστε καὶ μὴ δεηθῆναι ἐγγράφου. Ἐπειδὴ τῶν νόμων ἑρμηνεία, τῇ συνηθείᾳ δεῖ προσέχειν τῆς πόλεως. καὶ ὅπως ἐπὶ τῶν ὁμοίων διαπαντὸς ἐψηφίσθη. Ἐν τῷ αὐτῷ λθ' κεφ. Ὁ μὴ ἐκ λογισμοῦ εἰσενεχθείς, ἀλλὰ κατὰ πλάνην καὶ συνήθειαν κρατήσας, οὐδὲ κρατεῖν ἐν τοῖς ὁμοίοις. Ἐν τῷ αὐτῷ μ' κεφ. Πᾶς νόμος ἢ ἀπὸ συναινέσεως ἐτέθη, ἢ ἀνάγκης, ἢ ἀπὸ συνηθείας ἐβεβαιώθη. Ἐν δὲ τῷ μα' κεφ. Ὁ ἄρχων ὁ στρατοῦ σχολάζων ἐν πόλει ἐπί τινος πράγματος, φυλάξει αὐτό. Καὶ γὰρ καὶ ἡ συνήθεια ἡ προλαβοῦσα, καὶ ὁ λογισμὸς ὁ ταύτην αἰτίων, φυλακτέος ἐστί. καὶ οὐκ ἐάσει τὸ παρὰ τὴν μακρὰν συνήθειαν γίνεσθαι. Ἐν τῷ αὐτῷ μβ' κεφ. Τῆς συνηθείας καὶ τῆς χρονίας ἡ αὐθεντία, οὐκ ἔστι τοσοῦτον ἰσχυρά. ὡς καὶ τὸν λογισμὸν καὶ τὸν νόμον ἐπικρατεῖν. Ἡ μακρὰ συνήθεια καὶ δοκιμασθεῖσα, τάξιν ἔχει νόμου. καὶ ὅτι τὰ δοθέντα ὀφφικίοις ἢ πόλεσιν ἢ ἄρχουσιν, ἢ σώμασιν. ἰσχυρά ἐστι καὶ βέβαια ὡς τὸ δίκαιον ἰσχύοντα :

ζ' **Περὶ νομισμάτων παλαιῶν. ἀπὸ τοῦ να' τίτ. ιγ' κεφ. :**

Τὰ νομίσματα ἐὰν ἔχῃ τύπον βασιλέως, ἀδιαστρόφως καὶ περιπατείσθω καὶ ἀγοραζέσθω. μόνον τὸν σταθμὸν καὶ τὸ εἶδος καλὸν ἔχῃ. Εἰ δέ τις ἀμφισβητεῖ πρὸς τοῦτο, ἰσχυρῶς τιμωρηθήσεται. καὶ τὴν μείωσιν τῶν νομισμάτων. καὶ τὸ τίμημα τῶν ὠνίων μειούσθω. μηδεὶς εἰς τὰ ὄβρυζα, διαφορὰν ἀπαιτείτω

τιμήματος. ἐπὶ κεφαλικοῖς

τιμωρηθήσεται. ὅστις

τὰ παλαιὰ ὀ-

βρυζα δὲ

περισσέρως δαπανάσθαι :

+ ἀρχὴ σὺν θεῷ τοῦ ξ στοιχείου:

Περὶ τοῦ ξενῶνος τοῦ ὁσίου Σαμψών. ἀνάγνωθι β' ε' τίτλον γ' κεφ. ιβ' περὶ ξ συμφωνοῦσιν: α'

Φυλάττεται δὲ κτῆσις τῷ σεβασμίῳ ὀρφανοτροφείῳ ταύτης τῆς βασιλίδος πόλεως· καὶ τῷ ξενῶνι τῷ καλουμένῳ τοῦ ὁσίου Σαμψών, καὶ τοῖς ὑπὸ τὴν αὐτῶν διοίκησιν καθεστῶσιν εὐκτηρίοις ἢ ξενοδοχείοις ἢ ἄλλοις σεβασμίοις οἴκοις, πάντα τὰ προνόμια ἅπερ ἔχει ἡ ἁγιωτάτη μεγάλη ἐκκλησία Κωνσταντινουπόλεως:

στοιχεῖον ο':

+ ἀρχὴ σὺν θεῷ τοῦ ο στοιχείου:

Περὶ ὁδοῦ δημοσίας, καὶ ἀγροικικῆς, καὶ ἰδιωτικῆς, καὶ πλατείας. ἀνάγνωθι β' ὑπὸ τίτλον γ' κεφ. α' συμφωνοῦσιν: α'

Ἀγροικικαὶ δουλεῖαι εἰσί· μονοπάτιον· πάροδος· ὁδὸς πλατεῖα· ὑδραγώγιον. μονοπάτιον ἐστὶ, τὸ περιπατεῖν καὶ διακινεῖν ἄνθρωπον χωρὶς ὑποζυγίου. πάροδος ἐστὶ, τὸ ἐλαύνειν θρέμμα ἢ ὑποζύγιον. ὁ ἔχων οὖν τὴν πάροδον, ἔχει καὶ τὸ μονοπάτιον. πλατεῖα ὁδός ἐστι, τὸ περιπατεῖν καὶ διακινεῖν καὶ ἐλαύνειν. περιέχει γὰρ πλατεῖα ὁδὸς, ὡς ἐν τῷ η' κεφ. φησί· τό τε μονοπάτιον καὶ τὴν πάροδον. κατὰ νόμον δὲ ἡ πλατεῖα ὁδὸς, ὡς ἐν τῷ η' κεφ. φησί· εἰς μὲν τὸ ὀρθὸν ὀκτὼ ποδῶν ἐστιν· εἰς καμπὴν ιϛ'. ἀνάγνωθι καὶ τὸ ϛ' κεφ. τε ἐν τῷ φησί· ἐὰν ἡ δημοσία ὁδὸς ὑπὸ τοῦ ποταμοῦ ἢ καταπτώσεως ἀπόληται, ὁ πλησιάζων τόπος παρέχει αὐτήν:

Περὶ ὅρκου ἐπακτοῦ καὶ ἀντεπαγομένου καὶ δικαστικοῦ· καὶ περὶ συκοφαντίας. καὶ τίνες οὐ δύνανται ὅρκον ἐπάξαι ἢ ἀντεπάξαι. καὶ πότε οὐκ ἔχει παραγραφὴν ὁ ὀμνύς. καὶ ὅτι οἱ ἔνδοξοι καὶ οἱ ἀσθενεῖς, οἴκοι ὀμνύουσιν. ἀνάγνωθι β' κβ' τίτλον ε'. ὁμοίως ἐν τῷ α' κεφ. φησί: β'

Ὅρκος ἐπιφερόμενος εἴτε παρὰ τοῦ ἀντιδίκου εἴτε παρὰ τοῦ δικαστοῦ, τέμνει τὴν ἀμφισβήτησιν· ἔοικε γὰρ διαλύσει· καὶ μείζων ἐστὶ ψήφου. ὁ μηδενὸς ἐναντίου ὀμνύς, οὐκ ὠφελεῖται. ἐν δὲ τῷ ε' κεφ. ὡς ἐπιφέρεται ὁ ὅρκος, οὕτως ὀφείλει ὀμνύσθαι· εἰ γὰρ

Ἐφ' οἷς δὲ ποτὲ ἀπαιτεῖ ὁ ὀμνὺς τὰς ἐλευθερίας, ἐν τῷ γ' κεφ.:

Θ

ἐμοῦ κατὰ τοῦ θεοῦ ἐπαγαγόντος ὀμόσῃς κατὰ τῆς κεφαλῆς σου, ἢ κατὰ τῶν τέκνων σου, οὐκ ἔρρωται. Ἐν τῷ αὐτῷ ζ' κεφ. Ἐὰν ἀφῆλιξ περιγραφῇ καθ' ὃ μὴ ὀφείλων ὅρκον ἐπήγαγεν, ἀποκαθίσταται ἕως τοῦ εἰρημένου χρόνου. Ἐν τῷ αὐτῷ η' κεφ. Ὁ δέ τις ἐπὶ περιγραφῇ τῶν ἰδίων δανειστῶν ἐπαγαγὼν ἰδίῳ χρεώστῃ, ἔχουσιν αὐτὸν περιγραφῆς οἱ δανεισταὶ τοῦ ἐπαγαγόντος κατὰ τοῦ ὀμόσαντος. Τὸ αὐτὸ κἂν ἐπαγάγῃ ἑτέρῳ μὴ ὄντι δανειστῇ. Κἀκεῖνος ὀμόσῃ, χρεωστεῖσθαι παρ' αὐτοῦ. Ἐὰν ὁ ἐνάγων ὀμόσῃ αὐτοῦ εἶναι τὸ πρᾶγμα, κατὰ μόνου τοῦ νομέως τοῦ ἐπαγαγόντος καὶ τῶν αὐτοῦ διαδόχων ἔχει ἀγωγήν, οὐ μὴν κατ' ἑτέρου. Τὰ γὰρ μεταξύ τινων γενόμενα, ἑτέροις οὐ βλάπτει. Ἐν τῷ αὐτῷ ια' κεφ. Οἴκοι ὀμνύουσιν οἱ ἔνδοξοι καὶ οἱ ἀσθενεῖς. Ὅρκος ἔξωθεν δικαστηρίου ἐπιφερόμενος, οὐκ ἀντεπάγεται. Ἐν τῷ αὐτῷ κ' κεφ. Οἵας δή ποτε ἡλικίας ἢ φύσεως ὢν ὁ ὀμόσας ἔρρωται. Δοκεῖ γὰρ μὴ ἐπιορκεῖν ὁ ἄνηβος. Ἐπειδὴ ὁ δόλος οὐ δοκεῖ ἀπαντᾶν. Ἐν τῷ αὐτῷ κς' κεφ. Ἐὰν ὀμόσῃ χρεωστεῖσθαι ἐξ αἰτίας διπλασιαζομένης τῇ ἀρνήσει, τὸ ἁπλοῦν μόνον ἐκ τοῦ ὅρκου ἀπαιτεῖ. Δύναμαι γὰρ ἐκ μὲν τοῦ ὅρκου κινῆσαι τὴν πρωτότυπον, καὶ δίχα τούτου ἄλλως τὸ χρέος, ἀπαιτεῖν τὸ διπλάσιον. Ἐν τῷ αὐτῷ κη' κεφ. Ἐν ταῖς ἀμφιβόλοις ἔξωθεν ὁ δικαστὴς ὅρκον ἐπιφέρει καὶ οὕτω ψηφίζεται. Ἐὰν οὖν ὁ καταδικασθεὶς εὑρηκέναι λέγῃ μετὰ ταῦτα δικαιώματα καὶ μόνοις αὐτοῖς δεῖν χρήσασθαι, ἀνωφελῶς κινεῖ. Ἐν τῷ αὐτῷ ἀνάξιος ἐπαγαγεῖν τὸν ὅρκον, οὐκ ἀναμιμνήσκεται ἡ ὑπόθεσις. Ἐν τῷ αὐτῷ κθ' κεφ. Ὁ ἄνηβος παραχωρεῖν ὅρκον οὐ δύναται. Ἐν τῷ αὐτῷ λ' κεφ. Ὁ κατὰ τῆς ἑαυτοῦ σωτηρίας ὀμνύς, δοκεῖ ὀμνύναι κατὰ τοῦ θεοῦ. Εἰ γὰρ μὴ οὕτως ἐπενεχθῇ, ἀνώμοτος ὀμνύσιν. Ἐν τῷ αὐτῷ λα' κεφ. Καὶ περὶ χρημάτων καὶ πραγμάτων καὶ ἔργων ἔξεστιν ἐπάγειν καὶ ἀντεπάγειν. Ὅρκος οὐκ ἐπιφέρεται ἀνήβῳ, οὔτε συνήγορος οὔτε διοικητὴς ἀναγκάζεται ὀμόσαι. Ἐν τῷ αὐτῷ λβ' κεφ. Ὁ ἐπάγων πρότερος ὄμνυσι τὸν περὶ συκοφαντίας. Ἐὰν ἀπαιτηθῇ καὶ οὐκ ὄμνυσι, παρ' ἢ πράξων. Ἐὰν ὅρκος ἐπαχθῇ τῷ ἐπαγομένῳ, ἢ ὄμνυσιν, ἢ καταβάλλει, εἰ μὴ βούλεται ἀντεπαγαγεῖν. Εἰ γὰρ παραιτήσεται τὴν ἀντεπιφορὰν καταδικάζεται. Καὶ ὁ ἐξ ἀντεπιφορᾶς ὀμνύς, οὐκ ἀπαιτεῖ τὸν περὶ τῆς συκοφαντίας. Οὐ πάντως γὰρ ὡς ἐπάγεται ὁ ὅρκος, οὕτω καὶ ἀντεπιφέρεται. Τὴν οὖν περὶ τοῦ [illegible], ὁ δικαστὴς διακρίνει. [illegible] καὶ οἱ ἐοικότες αὐτῷ, οὐκ ἐπάγουσιν ὅρκον. Μόνοι γὰρ ἐπάγουσιν, οἱ δυνάμενοι συμφωνεῖν ἢ καταβάλλειν ἢ δικάζεσθαι. Ἐν τῷ αὐτῷ λγ' κεφ. Ὁ ἐπάγων ὅρκον καὶ μὴ ὀμνὺς τὸν τῆς συκοφαντίας, ἔοικε παραχωρεῖν τὸν ὅρκον, καὶ ἐκπίπτει τῆς ἀγωγῆς. Ἐν τῷ αὐτῷ λε' κεφ. Ὁ τοῦ ὁμολογοῦντος ἐστὶν ὁ μὴ ὀμνὺς μήτε ἀντεπάγων. Ἐν τῷ αὐτῷ ς' κεφ. Ἡ δίκη ὅρκου κατὰ συναινέσεως ἐκ παντὸς μέρους ἢ τοῦ δικαστικοῦ ἐπιφερόντος ἐπενεχθέντος καὶ παραχωρηθέντος ἢ συγχωρηθέντος ἁρμόζει. Οὐ γὰρ περὶ πράγματος ὁ ἐπιορκεῖ δικάζεσθαι δύναται, εἰ μὴ ἄρα ἰδικῶς τοῦ νόμου ὑπεξαιρεθῇ.

περὶ ἀφήλικος :-

περὶ τοῦ ὅρκου τῆς συκοφαντίας :-

Ἐν τῷ δ. μβ' κεφ. Ἐπὶ τῶν κατὰ πίστιν καὶ τῶν ἄλλων ἀγωγῶν, δύναται ὁ δικαστὴς ἐν ἀπο-
ρίᾳ τῶν ἀποδείξεων ὅρκον ἐπιφέρειν. Ἐν τῷ δ. μα' κεφ. Ἐπενεχθέντος τοῦ ὅρκου, ὀφεί-
λει ὁ ἐναγόμενος ἢ ὀμόσαι ἢ καταβαλεῖν ἢ ἀντεπαγαγεῖν. … ἄρα ὁ ἐνάγων ἐπιτρέπει μὴ
ἀνεχόμενος αὐτὸς προσαχθῆναι τὸν περὶ συκοφαντίας ὅρκον. θέλει γὰρ πρότερον τὸν ἐπιφέροντα
τὸν ὅρκον, αὐτὸν ὀμόσαι τὸν περὶ συκοφαντίας ὅρκον· ὅτι οὐχ ὡς συκοφαντῶν ἐβουλήθη
λαβεῖν πρὸ τοῦ τὸν ὅρκον· ἀλλ' ὡς νομίζων δικαίως ἐνάγειν. Ἐν τῷ δ. ν' κεφ. Ἐάν τις ἐ-
παγαγὼν ὅρκον, καὶ πρὸ τοῦ ὀμοσθῆναι τὸν ὅρκον μεταμεληθεὶς μηκέτι βουληθῇ δοθῆναι
τὸν ὅρκον ὡς εὐπορήσας ἑτέρων ἀποδείξεων· μηκέτι ἐξέστω αὐτῷ ἐκ δευτέρου ἐπιφέ-
ρειν τὸν ὅρκον. ἐπειδὴ ἅπαξ ἀπηγόρευσε, καὶ οὐκ ἔστι δίκαιον ἀπορίᾳ τῶν ἄλλων ἀ-
ποδείξεων, πάλιν εἰς τὸν ὅρκον ὑποστρέφειν. μέχρι δὲ τότε ἔξεστι τῷ ἐπάγοντι τὸν ὅρκον
καὶ μετὰ τὸ αὐτὸν λαβόντι μεταμεληθῆναι. ἕως ὅτε ἀπόφασις ἐξήχθη ἐπιτρέπουσα δο-
θῆναι τὸν ὅρκον. ἀποφάσεως γὰρ ἅπαξ ἐνεχθείσης, καὶ ἐκκλήτου μὴ ἐπιδοθείσης. γενο-
μένης δὲ ἐκκλήτου ἢ βεβαιωθείσης δὲ τῆς πρώτης ἀποφάσεως ἐν τῷ δικαστηρίῳ τῆς ἐκ-
κλήτου· οὐκέτι ἔξεστι μεταμεληθῆναι τῷ ἐπενεγκόντι τὸν ὅρκον καὶ μεταπηδᾶν πρὸς
ἑτέρας ἀποδείξεις. ἵνα μὴ ἄνωθεν δικαζόμενος, τὸ τέλος τῆς πρώτης ὑποθέσεως, ἀρ-
χὴν δευτέρου δικαστηρίου ποιήσηται. ἀνάγν. καὶ β. ιε' τ. β' κεφ. ζ' θε. α'. ἀνάγν. καὶ β. να' τ.
α' κεφ. ιε' ἐν τῷ δ. Κατὰ τῆς τοῦ ὅρκου παραγραφῆς, ἀντιτίθεται δόλου ἀναπλοκὴ ἤτοι ἀνά-
λυσις ἐστὶ ἀντιπαραγραφὴ παραγραφῆς. ἀνάγν. καὶ τ. ε' κεφ. α' ἐν τῷ δ. ὁ ὅρκος δύναμιν ἀπο-
φάσεως ἔχει. οὐκ ἀντιτίθεται δὲ τῷ ἀντιθέτῳ ὁ παρ' αὐτοῦ ἐπαχθεὶς ὅρκος. … αὐθεντίᾳ τοῦ
ἐπιτρόπου ἐν δικαστηρίῳ ἐπαγάγῃ: —

Περὶ ὅρκου ἐκδικουμένου, καὶ τίνες οὐκ ἀναγκάζονται ὑπέχειν αὐτόν. γ'
καὶ πότε. καὶ δοθέντος αὐτοῦ, κουφίζεται ὁ ἐναγόμενος. ἀνάγν. β. κβ' τ. ε'.
ὅτινος ἐν τῷ δ. α' κεφ. φησίν: —

Οὐκ ἐπειδὴ τὸ πρᾶγμα πλείονος ἀποτιμᾶσθαι διὰ τοῦ ἐνδίκου ὅρκου δύναται ἐκ τοῦ
τοῦ ἐναγομένου … διὰ τοῦτο καὶ πλείονος γίνεται. Ἐν τῷ δ. ε' κεφ. Εἴτε ἤγουν ἐάν τε
μίαν οὐκ ἀποκαθίστησιν ἢ προΐστησιν ὁ ἐναγόμενος, τῇ περὶ πράγματος ἀπαιτήσεως ἀγω-
γῇ, ἢ τῇ περὶ παρακαταθήκης ἀγωγῇ, εἰς τὸ διαφέρον τῷ ἐνάγοντι καταδικάζεται. Ἐν τῷ κατὰ δό-
λου, εἰς ὅσον ὀμόσει ὁ ἐνάγων. Ἐν τῷ δ. δ' κεφ. μόνος ὁ δικαστὴς ἐπάγει τὸν ἔνδικον ὅρκον.
καὶ ἐν αὐτῷ ἐστιν ἐπαγαγεῖν αὐτὸν καὶ ὑπερθέσθαι. δύναται δὲ μετὰ τὸν ὅρκον ἐκ μεγά-
λης αἰτίας ἢ ἀποδείξεων ὕστερον εὑρεθεισῶν, ἐν μέρει ἢ εἰς τὸ παντελὲς κουφίσαι τὸν ἐνα-
γόμενον, ἀπὸ … οὐκ ἐπάγεται ὁ ἔνδικος ὅρκος· ἀλλ' ὁ δικαστὴς ποιεῖται τὴν ἀπο-
τίμησιν. Ἐν τῷ δ. ζ' κεφ. Ἐπὶ τῆς περὶ κλοπῆς ἀγωγῆς, ὀμόμνυσιν ὅτε τὸ … τὸ

πρᾶγμα ὅτε ἐκλάπη· οὐ μὴν ὅτε πλέονος. Ἐν τῷ δ' θέματι ι' κεφαλαίου. Καὶ ὁ περὶ δικαιωμάτων ἐναγόμενος ὀμνύει τὸν ἐνδίκῳ ὅρκον· ὅτι διαφέρει αὐτῷ περιποιῆσαι αὐτά, καὶ εἰς τοσοῦτον ὁ ἐναγόμενος καταδικάζεται. Ἐν τῷ θέματι ια' κεφαλαίου. Οὐ συγχωρεῖται ζητεῖσθαι περὶ τῆς ἐπιορκίας τοῦ τὸν ἐνδίκῳ ὅρκον ὀμόσαντος. Ἀνάγνωθι καὶ βιβλίον ιγ' τίτλου β' ἐν τῷ θέματι. Χώρα δὲ ἐν δίκῳ ὅρκῳ ἐπὶ τῆς παραθήκης ἀγωγῆς. Ἀνάγνωθι καὶ βιβλίον ιε' τίτλου α' κεφαλαίου μς' καὶ τὰ καὶ τίτλου δ' κεφαλαίου γ' ἐν τῷ θέματι. Ὁ μὴ πειθαρχῶν ἐναγόμενος ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ μετὰ προθεσμίαν. Καὶ κεφαλαίου κδ'. Ἀνάγνωθι καὶ βιβλίον λη' τίτλου ιε' οὐδενὸς ἐν τῷ δ' κεφαλαίου θέματι. Ὁ ἐπίτροπος μὴ ποιήσας ἀπογραφήν, ὑπόκειται τῷ ἐνδίκῳ ὅρκῳ. Ὁμοίως δὲ καὶ μὴ προφέρων τὰ δικαιώματα· ἐν αὐτῷ γὰρ τούτῳ δοκεῖ δολοποιεῖν, ὅτε τὰ εὑρεθέντα ἐν τῇ οὐσίᾳ συμβόλαια κρύπτει. Ἐὰν δὲ μετὰ προκατάρξιν τοῦ ἐπιτρόπου τελευτήσαντος οἱ κληρονόμοι μὴ πληρώσωσι τὸ δικαστήριον τῆς κατὰ τῶν ἐπιτρόπων ἀγωγῆς, ὑπόκεινται ἑαυτοὶ τῷ ἐνδίκῳ ὅρκῳ. Ἀνάγνωθι καὶ βιβλίον μ' τίτλου α' κεφαλαίου ι'.

δ' Περὶ ὅρκου δοθέντος παρὰ τοῦ τελευτῶντος ἕνεκεν τῶν μετὰ τὴν τελευτὴν αὐτοῦ περιουσιῶν. Ἀνάγνωθι βιβλίον μα' τίτλου ς' ἐν τῷ θέματι.

Θεσπίζομεν εἴ τις ἀπογραφὴν πεποιηκὼς εἴτε ἰδιόχειρον εἴτε δι' ἑτέρου μὲν γραφεῖσαν παρ' αὐτοῦ δὲ ὑποσημειωθεῖσαν ἢ ἐν ταῖς ἑαυτοῦ διαθήκαις τῆς οὔσης αὐτῷ περιουσίας ποιήσει φανερὰν τῶν κληρονόμων ἴσως τῶν μὲν ἀπόντων, τῶν δὲ παρόντων ἢ καὶ πάντων παρόντων μὴ ἐξεῖναι τοῖς κληρονόμοις πρὸς ταῦτα ἀνανεύειν· μηδὲ λέγειν ὅτι τις τῶν κληρονόμων ἀπέκρυψε πράγματα ἔξω τῶν ῥηθέντων παρὰ τοῦ τελευτήσαντος· ἀλλ' ὅπερ ὅρκον ὁ τελευτῶν ὑποδεικνύει διαμαρτυρόμενος κατὰ τὰς ἑαυτοῦ διαθήκας, ὡς οὐδὲν ἕτερον αὐτῷ παρὰ ταῦτα. Τοῦτο στέργειν τοὺς κληρονόμους εἴτε παῖδες εἴτε καὶ ἐξωτικοὶ εἶεν· καὶ μὴ πολυπραγμονεῖν μηδὲ ζημιοῦν τοὺς ἑαυτῶν συγκληρονόμους· ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς κληρονόμους· οἵπερ τὰ αὐτόθι που δοκοῦσι τοῖς τελευτῶσιν ἐγκρατεῖν βουλόμεθα· οὐ μὴν τοῦτον κύριον εἶναι καὶ πρὸς δανειστὰς δι' οὓς τοῖς ἡμετέροις ἀρκεῖσθαι νόμοις· ὁπότε αὐτὸς παρ' ἑαυτοῦ φήσειεν ἢ γράψειεν, ταῦτα μηδὲν αὐτοῖς ὠφελεῖν μήτε τοῖς δανεισταῖς προκεῖσθαι· ἀλλ' ἐκείνοις ἀδείας ἔσται πάντα ἀνερευνᾶν οὓς βούλονται τρόπους· τοὺς κληρονόμους δὲ ἐμμένειν τοῖς παρὰ τοῦ διατεθειμένου ῥηθεῖσι. Καὶ ἐάν τις ποιήσῃ τὸ πρᾶγμα τοῖς ἐν τοῖς κληρονόμοις τοῦ ἐναντιουμένου τούτοις μὴ δύνασθαι τῶν καταλειφθέντων αὐτῷ παντελῶς ἀπολαύειν· ἀνάγκης ὑπούσης ἢ πείθεσθαι πᾶσιν ἢ πάντα διαπτύειν· καὶ μὴ τὰ μὲν αἱρεῖσθαι, τοῖς δὲ διαμάχεσθαι· ἀλλὰ τὴν τοῦ τελευτήσαντος βουλὴν ὑπὸ τῶν αὐτοῦ διαδόχων οὕτω φυλάττεσθαι· ὡς κατὰ μηδὲν ἐναντιοῦσθαι τῷ τεθαρρηκότι.

Περὶ ὅρκου τοῦ διδομένου παρὰ τῶν χειροτονουμένων ἐπισκόπων. ἀνάγνωθι βιβλ. ε΄ τίτλ. α΄ κεφ. ζ΄ θέμ. β΄: ε

Καὶ περὶ ὅρκου τοῦ διδομένου παρὰ τῶν δικαζομένων. ἀνάγνωθι βιβλ. ζ΄ τίτλ. ιδ΄ κεφ. ε΄ καὶ τίτλ. ιδ΄ κεφ. ις΄ ἐν τῷ δ΄ στοιχείῳ. καὶ περὶ τῶν δικαστῶν ἵνα προκειμένων τῶν ἁγίων εὐαγγελίων δικάζωσι. καὶ περὶ τῶν συνηγόρων ἵνα καὶ αὐτοὶ ὑπέχωσιν ὅρκον ἐν τῷ δ΄ προοιμίῳ τῆς δίκης. ἀνάγνωθι καὶ ἐν τῷ ς΄ τίτλ. κεφ. ιδ΄. ὁμοίως δὲ καὶ περί τε τῶν δικαστῶν καὶ τῶν συνηγόρων. περὶ δὲ τοῦ ὅρκου οὗ ὑπέχουσιν οἱ τὰς ἀρχὰς λαμβάνοντες. ἀνάγνωθι βιβλ. ς΄ τίτλ. γ΄ κεφ. λα΄. ἕκαστον δὲ τούτων πρόκειται ἐν τῷ ἰδίῳ στοιχείῳ:

Περὶ ὁμολογησάντων, καὶ πότε ζημιοῦνται καὶ πότε οὐ ζημιοῦνται. ἀνάγνωθι βιβλ. θ΄ τίτλ. δ΄. οὗτινος ἐν τῷ δ΄ κεφ. φησίν: ς.

Ὁ τὸν φονευθέντα δοῦλον ἀνῃρηκέναι ὁμολογῶν, εἰ καὶ μὴ ἀνεῖλεν, ὡς ὁμολογῶν κολάζεται. ἐν δὲ τῷ ε΄ κεφ. ὁ ὁμολογήσας αὐτὸ καταδικασθεὶς ἐστί· καὶ ἔχει τὴν τετράμηνον, ἧς ἐντὸς εἰ μὴ παράσχοι, ἡ δίκη κατ᾽ αὐτοῦ ἀποκινεῖται. ἐν δὲ τῷ ζ΄ κεφ. οὐ πάντως ὁ ὁμολογῶν καταδικάζεται εἰς τὸ πρᾶγμα περὶ οὗ ἐρωτηθῇ· ἀλλὰ ἀμφιβάλλεται εἰ ἔστιν ὁ ἐν ἐπιτομῇ ὁμολογήσας ὡς ὁ καταδικασθείς ἐστιν. ἀνάγνωθι καὶ βιβλ. ια΄ τίτλ. α΄ κεφ. νβ΄ ἐν τῷ φ΄ στοιχ. ὁ ὁμολογηθεὶς δοῦλος εἶναι καὶ μὴ προσελθὼν κηνσον, ὅσον δήποτε διδούς, ἐλευθεροῦται. ὁ οὖν ἐστυλητὴς αὐτοῦ καὶ κοινοῦ πράγματι οὐκ ἀπαιτεῖ εἰ μὴ ὅσα αὐτὸς διδοὺς ἠλευθεροῦτο. ἀνάγνωθι καὶ βιβλ. να΄ τίτλ. ς΄ κεφ. β΄ καὶ δ΄. ἀνάγνωθι καὶ βιβλ. ζ΄ τίτλ. ς΄ κεφ. κγ΄ ἐν τῷ φ΄ στοιχ. ἐάν τις παρὰ λόγου χάριν ὑπὸ τοῦ χρεωστουμένου κατὰ δόλον καὶ μηχανὴν παρασκευάσῃ τὸν χρεώστην αὐτοῦ ὁμολογίαν αὐτῷ ἐκθέσθαι. καὶ περὶ τῶν αὐτῶν ἀναγκάσαντα, εἰ μὴ πρὸ τῆς προκαταρξέως μεταμεληθῇ καὶ συνομολογήσῃ τὸν δόλον αὐτοῦ, μηδὲν ζημιοῦσθαι· ἀλλὰ τὰ παρὰ τῆς ἀληθείας αὐτῷ κεχρεωστημένα λαμβανέτω. ἐὰν δὲ καὶ προκατάρξαντος καὶ ἀγωνισαμένου διελέγχηται τὸν δόλον πεποιηκώς, μὴ μόνον τῶν παρὰ τῶν ἐκ περισσοῦ προστεθέντων, ἀλλὰ καὶ τῶν ἀληθῶς κεχρεωστημένων ἑτέρων παρ᾽ ἐκπιπτέτω. εἰ μὴ δὲ ἄλλη ἀγνοίας γέγονεν ἡ δευτέρα ὁμολογία ἐπὶ τοῖς αὐτοῖς. οὔτε γὰρ μὴ διαγνοῦσιν οὔτε μετὰ δευτέραν ὁμολογίαν ἔξεστι τινὶ διαβάλλειν τὴν ἤδη παρ᾽ αὐτοῦ γεγενημένην ὁμολογίαν:

Περὶ ὅπλων καὶ ὁπλοποιῶν· καὶ τὸ μηδένα τῶν ἰδιωτῶν ἐργάζεσθαι ἢ ἀγοράζειν ἢ ἐπιφέρεσθαι ἢ ἔχειν ὅπλα. ἀνάγνωθι βιβλ. νζ΄ τίτλ. θ΄. οὗτινος ἐν τῷ α΄ κεφαλαίῳ φησίν: ἀνάγνωθι ε΄ νη΄ πε΄: ζ

Κωλύομεν τὸ τῆς ὁπλοποιΐας ἔργον μηδένα τῶν ἰδιωτῶν ἐργάζεσθαι· μόνους δὲ ἐκείνους τὰ ὅπλα κατασκευάζειν τοὺς ἐν ταῖς δημοσίαις καταλεγομένους ὁπλοποιΐαις. τοὺς δὲ ἐργαζομένους τὰ ὅπλα μηδενὶ πιπράσκειν ἰδιώτῃ. ἀλλ᾽ οὐδὲ

τοῖς ἐν τοῖς ἀριθμοῖς καταλεγομένοις οὐδὲ ὁπλοποιοὺς καὶ διὰ τοῦτο τοὺς κηδουσι-τοὺς παρὰ τοῦ δημοσίου σιτιζομένους ἰδίως συγχωροῦμεν ἐργάζεσθαι· ἢ κινεῖν πιπράσκειν ὅπλα· ἀλλὰ μόνον ἐπιμελεῖσθαι τῶν ὅπλων τῶν στρατιωτῶν τῶν ἐν τοῖς ἀριθμοῖς καταλεγομένων ἐν οἷς στρατεύονται). ἀνάγνωθι καὶ β' ξ' τ' ιη' κεφ. α' θε. ὁ περὶ βίας δημοσίου νόμος κελεύει· ὁ ἔχων ὅπλα ἐν ἰδίῳ οἴκῳ αὐτοῦ ἢ ἐν ἀγρῷ ἢ ἐν χωρίῳ· μὴ διὰ θήραν ἢ ὁδοιπορίαν ἢ πλοῦν ἢ ἐμπορείαν ἢ ἀπὸ κληρονομίας αὐτῷ ἥκοντα. καὶ κεφ. η'. ἐνοπλοι εἰσὶν, οἱ οἱονοῦν βλαπτικὸν ἐπιφερόμενοι. καὶ κεφ. ι' ἐν θε. α'. ἀκίνδυνον λέγεται, πᾶν τὸ βλάψαι μὴ δυνάμενον· ὁ δὲ πρὸς τὸ κτεῖναι ἀποσφάξαι ἀκίνδυνον ἐπιφερόμενος, οὐ δοκεῖ διὰ τὸν φόνον τοῦτο ἐπιφέρεσθαι. καὶ κεφάλαιον ια' θε. β':—

π' Περὶ ὅρων ἀποκινηθέντων καὶ περὶ ζητημάτων αὐτῶν. ἀνάγνωθι β' νη' τ' β'. Θαλέλαιος ἐν θε. α' κεφ. φησίν:—

Τὸ περὶ ὅρων ἰδιωτικῶν πρὸς τὸ περικοινόν ἐστιν· ὃ καὶ περὶ ἀγροὺς συνοίκησιν ἔχει. καὶ χώραν ἔχει· ἐπὶ τῶν ἀγρῶν εἰ καὶ οἰκήματα περιέχονται· ἀλλὰ θεὸν (?) οὐ· εἰ δὲ ἐν ἀστεοις (?) οἰκήμασι τις δεσμεῖ (?). ἐν τῷ δὲ θε. η' κεφ. ἐὰν ἐπίκλυσις ἀφανίσῃ ὅρους διὰ τοὺς ἀρχαίους φανεροῦνται διδομένου μετρητοῦ. τοῦ γὰρ δικαστοῦ ἐστι διδόναι μετρητήν. ἐν τῷ δὲ θε. ια' κεφ. ἐν ταῖς περὶ ὅρων ζητήσεσιν ἀκολουθοῦμεν τῷ κανόνι (?) τῷ μὴ ἀεὶ παρὰ τῶν κινουμένων, ἐναλλαγὴν ἐν τοῖς ἀγροῖς γενέσθαι διὰ πράσεως ἢ μισθώσεως. ἐν τῷ δὲ θε. ιδ' κεφ. ἔξεστι τοῖς δεσπόταις τοὺς ὅρους ἀμείβειν τῶν οἰκείων ἀγρῶν· καὶ οὕτως αὐτοὺς ἐκποιεῖν. ἐν τῷ δὲ θε. ια' κεφ. ἐὰν τὴν ζήτησιν περὶ ὅρων ἐπαγαγὼν βουληθῇ καὶ βίαν ἀφαιρεῖσθαι τὸ ἀλλότριον μέρος· μὴ μόνον αὐτὸ ἀναδιδῶ· ἀλλὰ καὶ τοσοῦτον ἕτερον γῆς παρεχέτω. ἐν τῷ δὲ θε. κ' κεφ. ἡ ἀγωγὴ βούλεται τὴν περὶ τῶν ὅρων ζήτησιν μήτε τὴν τριετῆ μήτε τὴν δεκαετῆ παραγραφὴν ἀντικεῖσθαι· ἀλλὰ μόνον τῶν λ' ἐνιαυτῶν. ἀνάγνωθι καὶ β' ξ' τ' κθ' Θαλέλαιος ἐν θε. α' κεφ. φη. ἡ τῶν ἀποκινηθέντων ὅρων τιμωρία ἐπεξῄουσα ἐστὶ πρὸς τὴν αἵρεσιν τῶν ἁμαρτανόντων καὶ τὴν αὐτοῦ γνώμην. ὁ γὰρ ἄπορος ἀποκινῶν, δῆλός ἐστι θέλων ἐπιλαβέσθαι τῶν ἀλλοτρίων ὅρων. καὶ πρὸς τὴν ἡλικίαν τιμωροῦνται οἱ πλημμελοῦντες. ὁ μὲν γὰρ νεώτερος, εἰς μακρότερον ἐξορίζεται χρόνον. ὁ δὲ γέρων, εἰς ἐλάττονα. ὁ δὲ ὑπουργήσας ἑτέρῳ, τύπτεται καὶ ἐπιδιδεῖται εἰς ἔργον δημόσιον πέμπεται. ὁ δὲ κατὰ ἄγνοιαν ἢ τυχηρῶς τοὺς ὁρίους λίθους ἀποσυλήσας, μαστιγοῦται μόνον. ἐν τῷ δὲ θε. β' κεφ. ὁ δόλῳ τοὺς ὅρους μεταθείς· καθ' ἕκαστον ὅρον θέντος (?), δίδωσι ν' νο. τῷ δημοσίῳ. καὶ ὁ βουλόμενος κινεῖ τὴν περὶ τούτου αἰτίαν. εἰ δὲ δοῦλος ἢ δούλη

ταῦτα πλημμελήσωσι, κεφαλικῶς κολάζονται· εἰ μὴ ὁ δεσπότης αὐτῶν τὴν ποινὴν λῦσαι βουληθείη. ἐν τῷ ζ΄ τίτλῳ τοῦ ξ΄ βιβλίου· ὁ περὶ ὅρων ἀμφισβητῶν. ἐὰν πρὸ τοῦ τελεσθῆναι τὴν ζήτησιν ἀφαρπάσῃ τὸν ἀμφισβαλλόμενον κατέχει τόπον καὶ μετὰ ταῦτα ἡττηθῇ· δίδωσιν ἕτερον τοσοῦτον τόπον τῷ νενικηκότι. εἰ δ' ἴδιος ἦν αὐτοῦ ὁ τόπος, ἀρκεῖ τὸ ἐκπεσεῖν αὐτοῦ: ξ΄

Περὶ ὀρφανοτρόφων. ἀνάγν. βι. ε΄ τί. γ΄ κεφ. ιβ΄ ἔνθα φησί:

Οἱ δ' ὀρφανοτρόφοι ἐπιτρόπων καὶ κουρατώρων τάξιν ἐπέχουσιν. οὕτω μέντοι ἵνα καὶ χρεῖς ἱκανοδοτοῦσι καὶ ἐνάγουσι καὶ ἐνάγονται περὶ τῶν πραγμάτων τῶν τοῖς ὀρφανοῖς κυρίως καὶ αὐτοῖς καὶ τοῖς ὀρφανοτροφείοις ἀνηκόντων. τὰ δὲ πράγματα ἃ περιτυγχάνουσι τῶν ὀρφανῶν διαφέροντα· δημοσίων ταβουλαρίων παρόντων καὶ ὑπομνημάτων πραττομένων. ἐν μὲν τῇ βασιλίδι πόλει παρὰ τῷ μαγίστρῳ τῶν κήνσων. ἐν δὲ ταῖς ἐπαρχίαις παρὰ τοῖς ἄρχουσιν αὐτῶν ἢ τοῖς ἐκδίκοις τῶν τόπων λαμβάνουσι τοὺς ὀρφανοτρόφους καὶ φυλάττουσι. καὶ ἀναγκαῖον νομίζουσιν καὶ ἐκποιοῦσι. καὶ τὸ τίμημα τοῖς ὀρφανοῖς φυλάττουσιν. ἢ ἕτερα πράγματα αὐτοῖς ἐκ τούτων ἀγοράζουσι. μὴ ὑποκεῖσθαι δὲ ἐπιτροπικοῖς ἢ κουρατωρικοῖς λογισμοῖς:

\+ ἀρχὴ σὺν θεῷ τοῦ π στοιχείου: α΄

Περὶ παίδων φυσικῶν ἤτοι νόθων καὶ τῶν ἐκ νόθων γνησίων γινομένων. καὶ περὶ παλλακῶν τῶν καὶ γνησίων γινομένων. ἢ τῶν προικῴων συμβολαίων ποιήσει. ἀνάγν. βι. ε΄ κη΄ τί. δ΄ κεφάλαιον νζ΄ ἔνθα φησί:

Πρὸς τούτοις δέ, κἀκεῖνο νομοθετῆσαι σπουδάζομεν· ὥστε εἴ τις υἱοὺς ἢ θυγατέρας ἐξ ἐλευθέρας ἔχων γυναικὸς μεθ' ἧς γάμος συνίστασθαι δύναται· εἰ ποιεῖν συμβόλαια εἴτε ἄγραφα· εἴτε ἰδιόχειρα συγγεγραμμένα καὶ ἔχοντα ὑπογραφὰς τριῶν μαρτύρων ἀξιοπίστων· εἴτε ἐν διαθήκῃ· εἴτε ἐπὶ πράξεως ὑπομνημάτων τοῦτον ἢ ταύτην υἱὸν αὐτοῦ εἶναι ἢ θυγατέρα καὶ μὴ προσθῇ καὶ φυσικὸν ἢ φυσικήν, τοὺς τοιούτους παῖδας γνησίους εἶναι. καὶ μηδεμίαν ἑτέραν ἀπόδειξιν παρ' αὐτοῦ ζητεῖσθαι. ἀλλὰ πάντων ἀπολαύειν αὐτοὺς ἀποκαλέσαντος· ἐλευθέρων τῶν δικαίων ὅσα τοῖς γνησίοις παισὶν οἱ ἡμέτεροι παρέχουσι νόμοι. εἴπερ αὐτοῦ τοῦ πατρὸς ὡς εἴρηται παῖδας ἰδίους αὐτοὺς ἀποκαλέσαντος. ἐλευθέρας γὰρ καὶ μητρὸς αὐτῶν ὡς δείκνυται νόμιμον

ἀνάγν. καὶ τὸ περὶ κληρονομιῶν. ἀνάγν. καὶ νεαρ. ιβ΄ κεφ. β΄ καὶ νεαρ. ιη΄ κεφ. β΄ ἔνθα καὶ περὶ ἀπελευθέρων φησί. γινομένων γνησίων παρὰ τῶν προικῴων ποιήσει. καὶ νεαρ. ιθ΄ ἔνθα φησί. περὶ τῶν πρὸ τῆς προικὸς τῶν παίδων τεχθέντων. καὶ νεαρ. ρα΄. φησὶ γὰρ περὶ τῶν ἐκ νόθων γνησίων γινομένων. καὶ νεαρ. οη΄ καὶ πθ΄. ἑτέρας κεφ.:

ἐσχηκέναι γάμον. ὥστε καὶ ὁ πρὸ αὐτῆς πρὸς τὴν τοῦ γάμου πίστιν ἑτέραν ἀπόδει-
ξιν ζητεῖσθαι. εἰ δὲ ὁ πατὴρ ἐκ τῆς αὐτῆς γυναικὸς πολλοὺς παῖδας ἔχων. ἐπὶ ἑκάστου
μαρτυρίαν καθ' οἱονδήποτε τῶν εἰρημένων παράσχοι τρόπου. ἀρκεῖ καὶ τοῖς ἄλλοις
τοῖς ἐκ τῆς αὐτῆς γυναικὸς τεχθεῖσι πρὸς τὰ τῶν νομίμων δίκαια. τὴν γὰρ ἑνὶ δεδομέ-
νην τοῦ πατρὸς μαρτυρίαν. περὶ τούτων δὲ πλατύτερον ἐν τῷ περὶ κληρονό-
μων. ἀνάγνωθι καὶ τὸ ξ τί. λζ κεφ. ϛ ἐν φ. ὁ γυναῖκα σεμνὴν καὶ εὐγενῆ παρα-
κτώμενος καὶ ποιῶν ἐν ἐκμαρτυρίᾳ τοῦ καταδήλου ἢ γαμετὴν αὐτὴν ἔχει. ἢ
τοῦ παρατηρούμενος. ἀσελγαίνειν πρὸς αὐτὴν πλημμελῆ οὐ μὴν καὶ μοιχᾶν. δηλονότι
ἐν τῷ περὶ ἐκ τοῦ ἰδίου σώματος οὐχ ὑποπίπτει.

ε Περὶ παιδοτρόφων συγγενῶν. ἀνάγνωθι τὸ ξ τί. νθ κεφ. γ ἐν φ.

Περὶ δούλων παιδαγωγῶν περὶ ἀπὸ δούλων.

Ὥσπερ οἱ πατέρες διὰ τῶν ἑαυτῶν παῖδας πταίοντάς τε καὶ τὸν ἑαυτῶν βίον οὐκ ὀρθῶς
μετιόντας ἐπιστρέφειν, οὕτω καὶ τοῖς συγγενέσιν ἡ παρὰ τὰ διάταξις ἐπιτρέπει τὸν
ἀφήλικα σωφρονίζειν ἀτακτοῦντα καὶ διαβεβλημένως βιοῦντα. τοῦτο δὲ τοῦ σω-
φρονισμοῦ πρὸς τὰ τῆς ἐπιτρεπομένου ἐστὶ καὶ περιπρέποντα. εἰ δὲ τὰ παρὰ
τοῦ ἀφήλικος πταίσματα χαλεπώτερα ὦσι. αὐστηροτέρας δέονται διορθώσεως. τότε τὴν
κατὰ ἀρχικῆς ἀνακλήσεως χρεία ἐστὶ ἐπὶ τῷ πράγματι.

γ Περὶ παραγραφῶν καὶ ἀντιπαραγραφῶν. ἀνάγνωθι τὸ να. τίτλον ἐν φ. α. τὸ κεφάλαιον α καὶ γ φ.

Ὁ ἐναγόμενος ἐν ταῖς παραγραφαῖς ἐνάγων ἐστί. ἡ παραγραφὴ ἀποκλείει ὥσπερ τὰ
ἐν τῇ ἐπιτάσει καὶ τῇ καταδίκῃ κατακινούμενα. ἡ ἀντιπαραγραφὴ οὐδὲν ἕτερόν ἐστιν.
ἡ παραγραφὴ ἀντιπροβαλλομένη τῇ παραγραφῇ τοῦ ἐναγομένου. καὶ πολλάκις δίδονται
ἀντιπαραγραφομένων ἀλλήλους τῶν δικαζομένων. ἐν τῷ φ. α κεφ. τῶν παραγρα-
φῶν αἱ μέν εἰσι πρόσκαιροι μέχρι φανεροῦ χρόνου ἀντέχουσαι. αἵτινες ἐκ τῆς
προσώπου παρέχουσιν ὡς αἱ ἀναβαλλόμεναι τὴν αἰτίαν ὁποῖαι εἰσὶ αἱ περὶ συμφώ-
νων παραγραφαί. αἱ δὲ διηνεκῶς ἀντικείμεναι γὰρ ἐνάγοντι τὴν ὑπ' αὐτοῦ κι-
νουμένην αἰτίαν ἀναιροῦσαι. οἷον ἡ τοῦ δόλου παραγραφὴ καὶ ἡ τοῦ φόβου. τῶν
παραγραφῶν αἱ μέν εἰσι διηνεκεῖς καὶ ἀντικείμεναι γὰρ ἐνάγοντι τὴν ὑπ' αὐτοῦ
τοῦ κινουμένην αἰτίαν ἀναιροῦσι ὡς ἡ τοῦ δόλου παραγραφὴ καὶ ἡ τοῦ φόβου. καὶ
ἡ περὶ πράγματος κεκριμένου. καὶ αἱ τοῦ γένους ὡς παρὰ νόμον διαβάλλουσαι
αὐτὸ χρέος ἐκ τῆς ζητουμένου. αἱ δὲ πρόσκαιροι καὶ μὲν
τινά, ὡς ἡ τοῦ προσκαίρου συμφώνου καὶ αἱ περὶ φόρου ἐν τέλει. ἐν
δὲ τῷ η κεφ. γ. οὐ πάντως ὁ παραγραφόμενος δοκεῖ συνθέσθαι τῇ ἐπιτάσει

τοῦ αὐθεντικοῦ. Ἐν τῷ αὐτῷ β΄ τίτ. κεφ. κϛ΄ φησί· Ἐὰν ὁ διοικῶν ἀλλότρια πράγματα [illegible] τοῦ δεσπότου ἐναγάγῃ καὶ μὴ δεχθεὶς ἡττήσηται, ἀλλ' ἄνωθεν ἐνάγηται αὐτὸς κινῆσαι, οὐ καθυπόκειται ἡ περὶ τῶν κεκινημένων παραγραφῇ. Ἐὰν κινηθῇ κατά τινος ὡς ἔχων δίκαιον ἐπὶ ἱκανῷ χρόνῳ τοῦ οἰκονόμου, καὶ μετὰ ταῦτα κινεῖ ὡς ἔχων δίκαιον ἐπὶ τοῦ χρόνου, ἐκβάλλεται τῇ περὶ τῶν κεκινημένων παραγραφῇ. Ἐν τῷ αὐτῷ κα΄ κεφ. καὶ ὁ διαδεχόμενος τὸν ἡττηθέντα ἐκβάλλεται τῇ περὶ τῶν κεκινημένων παραγραφῇ. Ἐν τῷ αὐτῷ γ΄ τίτ. διαλαμβάνεται περὶ τῶν ὡς ἀπὸ χρόνου νομῆς παραγραφομένων. περὶ ὧν ἐν τῷ περὶ δεσποτείας προεγράφη. Ἐν τῷ αὐτῷ δ΄ τίτ. περὶ τοῦ δόλου καὶ φόβου παραγραφῆς· καὶ τοῦ κοινοῦ καταβληθέντος καὶ τοῦ ἐν τῷ δήμῳ φυγάδα ἀγοράζοντος καὶ περὶ τῶν ἐναγόντων καὶ δικολόγων καὶ λοιπῶν παραγραφῆς. Ἐν τῷ αὐτῷ ε΄ τίτ. περὶ τῆς τῶν βίᾳ ἢ δόλῳ τῆς νομῆς κωλυθέντων παραγραφῆς. Ἐν τῷ αὐτῷ ϛ΄ τίτ. περὶ πραγμάτων καὶ ὧν ἀγωγὴ οὐ δίδοται. ὅρα περὶ ὅρκου καὶ ἀνιδρώτων ἐπιγραφάτων παραγραφῆς:

## Περὶ παραγγελιῶν. ἀνάγνωθι βιβ. κα΄ τίτ. ια΄. οὐδὲν ἐν τῷ α΄ κεφ. φησίν: α΄

Τὰ νόμιμα παραγγέλματα, ἢ παρασταθικά ἢ κωλυτικά ἢ ἀποκαταστατικά εἰσιν· ἤγουν κωλυτικὰ καὶ παρασταθικά. τὰ νόμιμα παραγγέλματα ἢ εἰς τὸ γένος, ὡς τὸ περὶ ἀνακαλύψεως· ἢ εἰς τὸ παρεληλυθὸς ἀναφέρεται, ὡς τὸ περὶ ὁδοῦ καὶ ἀγωγῆς καὶ περὶ ὑδάτος θεινοῦ. τὰ νόμιμα παραγγέλματα, κἂν ἐν πράγμασι δοκῶσιν εἶναι δυνάμει, προσωπικά ἐστι. τινὰ γὰρ αὐτῶν εἴπομεν, τινὰ δὲ δημοτικά. προεγράφη περὶ αἰτήσεων καὶ εἰς τὸ περὶ καινοτομιῶν καὶ εἰς τὸ περὶ νομῆς. ἀνάγνωθι καὶ βιβ. ιγ΄ τίτ. ϛ΄ κεφ. με΄ φησὶ γὰρ περὶ τῶν ἐπιφωνούντων ποιούντων καὶ κωλυόντων ἀποδοῦναι τὰ παραληφθέντα ἢ τὰ ὀφειλόμενα παρὰ τῶν ἐνοίκων σεσημειωμένα. ἀνάγνωθι καὶ νε΄ π.:

## Περὶ παρακαταθήκης. ἀνάγνωθι βιβ. ιγ΄ τίτ. α΄ κεφ. ε΄ ε΄ τίτ. β΄. οὐδὲν ἐν τῷ α΄ κεφ. φησί: ε΄

Παρακαταθήκη ἐστὶ τὸ ἐπὶ παραφυλακῇ τινὶ διδόμενον. καὶ ἐπὶ τῶν ἀπὸ θορύβου ἢ ἐμπρησμοῦ ἢ συμπτώσεως ἢ ναυαγίου παρατεθέντων κατὰ τοῦ λαβόντος, εἰς τὸ διπλοῦν ἡ ἀγωγὴ ἁρμόζει. κατὰ δὲ τοῦ κληρονόμου, ἀπὸ μὲν δόλου τοῦ τελευτήσαντος, εἰς τὸ ἁπλοῦν· ἀπὸ δὲ ἰδίου, εἰς τὸ διπλοῦν. ἐπὶ δὲ τῶν λοιπῶν παρατεθέντων, εἰς τὸ ἁπλοῦν ἡ ἀγωγὴ δίδοται. ἐκτὸς τῶν εἰρημένων κινδύνων καὶ οὐ δι' αἰτίαν ἑτέραν παρατιθέμενος. τὰ παρακολουθήματα τῆς παρακαταθήκης, οὐκ ἔστι παρακαταθήκη· οἷον ἡ ἐσθὴς τοῦ δούλου, καὶ ὁ χαλινὸς τοῦ ἵππου. Ἐὰν ἐπὶ παραφυλακῇ δοθῇ ἱμάτια βαλανεῖ καὶ ἀπόληται· εἰ μὲν ἄνευ μισθοῦ, χωρεῖ ἡ περὶ παρακαταθήκης ἀγωγή, ἀπὸ μόνου δόλου. Εἰ δὲ μετὰ μισθοῦ, ἡ περὶ μισθώσεως ἀγωγὴ ἁρμόζει, ἥτις ἔχει τὴν ἀπαίτησιν εἰς τὸ διπλοῦν. Ἐὰν παρακαταθέμενος πρὸς τὸν ἀπαιτοῦντα ἐπὶ τὸ φυλα

θῆναι, ἐγὼ δὲ τοῦτο ἔχω τὴν περὶ χρήσεως ἀγωγήν, καὶ οὐκ ἐγχωρεῖς μοι αὐτὴν διὰ τῆς
περὶ χρήσεως ἀγωγῆς. Εἰ δὲ ὑπάρχει φυλάξαι τὸ πρᾶγμα μὴ δεχομένου παρ' ἐμοῦ τὸ
μὴ δέξασθαι, μόνην ἔχω ἐγὼ τὴν περὶ χρήσεως ἀγωγήν. ὥσπερ ἐὰν ὁ ἐπερωτῶν
ὀνόματί μου πρᾶγμα παρά τινος λαβεῖν καὶ φυλάξαι. πρότερον γὰρ τὸ τῆς χρήσεως
f αὐτῷ συνάλλαγμα. Ἐὰν ἠγόρευσά σοι παραθέσθαι τὸ πρᾶγμα, ἐπιζητήσῃς αὐτὸ παραθεῖναι
τῷ ἀπηλευθέρῳ σου. εἰ μὲν ὡς τὸν μέλλοντα φυλάττειν ἔδωκα κατὰ σοῦ, ἔχω τὴν περὶ
παραθήκης ἀγωγήν. Εἰ δὲ συνεβούλευσάς μοι μᾶλλον τῷ ἀπηλευθέρῳ παραθέσθαι,
κατ' αὐτοῦ δὲ μὲν ἔχω τὴν περὶ παραθήκης ἀγωγήν· οὐ τὴν περὶ χρήσεως ἀγωγήν. εἰ μὴ ἐ-
νεγκών μοι κινδύνῳ σου αὐτὸ παραθέσθαι. δοῦλος λαβὼν παραθήκην, οὐκ ἐνά-
γεται μετ' ἐλευθερίαν τῇ περὶ παραθήκης ἀγωγῇ κἂν ὑπὸ δόλου καὶ τῶν ἐν δουλείᾳ
πλημμεληθέντων ἐνάγεται. ἐπειδὴ τὰ ἁμαρτήματα τῇ κεφαλῇ ἕπονται. ζητητέον
οὖν ἑτέραις προσφόροις ἀγωγαῖς. ἡ περὶ παραθήκης ἀγωγὴ τῶν καλῇ πίστει ἐστίν.
Περὶ καρπῶν καὶ τόκων ὅθεν καρποὺς καὶ τόκους, καὶ πᾶν πρᾶγμα ἀπαιτεῖ. Ἐν δὲ τῷ γ κεφ. Ἐὰν δύο
παρέθεντο καὶ ὁ εἷς ἐνάγεται, ὁ ἄλλος οὐκ ἐλευθεροῦται τῇ προκατάρξει ἀλλὰ τῇ
καταβολῇ. Ἐὰν οὖν ἐν δυσὶ δόλον ποιησάντων ὁ εἷς δῶ τὸ διαφέρον, ὁ ἄλλος
περὶ τόκου ἐλευθεροῦται καθ' ὑπόδειγμα τῶν ἐπιτρόπων. Ἐν δὲ τῷ κη κεφ. Ἐκέλευσεν ὁ τὴν πα-
ραθήκην λαβὼν ἐκ τῶν παραθεμένων αὐτὴν λαβεῖν ἢ συγχωρεῖσθαι τοῖς παραθεμένοις δι-
δόναι τόκους. δεῖ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων τῶν καλῇ πίστει ἀγωγῶν. Ἐὰν λαβὼν ἀργύριον
ἢ σάκκον ἐσφραγισμένον παρ' ἐμοῦ, χρήσηται αὐτῷ παρὰ γνώμην μου, ἐνέχεται τῇ περὶ
παραθήκης ἀγωγῇ καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ. Ἐν δὲ τῷ λβ κεφ. ὁ
μὴ τῆς παραθήκης ὡς τῶν ἰδίων ἐπιμελούμενος, δόλον ποιεῖ. Ἐν δὲ τῷ λε κεφ. ἐκ τῆς
τυχηρᾶς περιστάσεως, οὐ κινδυνεύεται ὁ λαβὼν τὴν παραθήκην· μόνον γὰρ δόλον καὶ
μεγάλην ἀμέλειαν ἀπαιτεῖται ἐν ᾧ μὴ δεῖ ἰδικώτερον συνεφωνήθη. Εἰ δὲ νεμόμε-
νος τὰ πράγματα ὁ κληρονόμος τοῦ λαβόντος τὴν παραθήκην κρύπτει αὐτὴν ἢ δόλῳ
ἐπαύσατο νέμεσθαι, κατέχεται καὶ τῇ περὶ παραθήκης ἀγωγῇ. καὶ περὶ ἀποκρυ-
βέντων πραγμάτων ἀγωγῇ. ἀνάγνωθι καὶ β κς τ ε κεφ οη. καὶ β νβ τ α κεφ β:

ϛ Περὶ παραστάσεως ἤτοι ἐπιδείξεως πραγμάτων καὶ ἀποκαταστάσεως
αὐτῶν κατ' ἀγωγῆς. ἀνάγνωθι β ιε τ δ. ὅμοιος ἐν τῷ ε κεφ φησίν:

Παραστῆναι ἐστὶν ἀγωγὴ δημοσία ἐφ' ᾧ ἀξιοῦν δηλαδὴ τὸν βουλόμενον ἐναγαγεῖν.
Ἐν δὲ τῷ γ κεφ. ἡ παραστατικὴ τῶν πραγμάτων ἀγωγὴ ἁρμόζει τοῖς ἔχουσι τὴν ἐπὶ πραγ-
ματι ἀγωγὴν καὶ τὴν ἀσφαλ. καὶ τῷ ἔχοντι ζήτησιν. καὶ τῷ ἔχοντι παρακαταθήκην κει-
μένην ἢ ἐπιλογὴν ἢ νομὴν. ἐπὶ τὸ παραστῆναι τὴν φαμιλ. ἴσως γὰρ αἴτιος τὰ ἁμαρ

π´.

τὴν ταῦτα δούλου ἢ τὸ ὄνομα αὐτοῦ. πλὴν τοῦ κληρονόμου διαθήκην ἢ κωδίκελλον ἢ ἑ-
τέραν τελευταίαν βούλησιν. οὐδεὶς ἀπαιτεῖται διὰ τῆς παρασαλευτικῆς τῶν πραγμάτων αἰτίας.
ἀλλὰ διὰ πραιτωρίων δικαστῶν ἁρμόζει καὶ οἷς διαφέρει. κἂν μὴ αὐτῶν ἐστι τὸ πρᾶγ-
μα. μήτε τὴν ἐπ᾽ αὐτῷ αἰτίαν ἔχουσιν. ὡς ἐὰν ληγατευθήσεται δοῦλος οὗ πέρας ἐπιλέ-
ξεται. κινεῖ γὰρ ἐπὶ τῷ παραστῆναι, ἵνα ἐπιλέξηται. οὐ πᾶς δὲ ᾧ τινι διαφέρει. ἀλλ᾽
ᾧ τινι διαφέρει δικαίως κινεῖ. εἰ δὲ τῷ δ κεφαλαίῳ. ὁ πολιτικὸς καὶ ὁ φυσικὸς νεμόμε-
νος, ἐνάγεται τῇ παρασαλευτικῇ τῶν πραγμάτων αἰτίᾳ. ὅθεν καὶ ὁ λαβὼν τὸ πρᾶγμα
εἰς ἐνέχυρον ἢ παραθήκην ἢ ἐν χρῆσιν ἢ μίσθωσιν ἐνάγεται. εἰ δὲ τῷ ε κεφαλαίῳ. εἰ καὶ νε-
μέτης, οὐ μὴν δύναται παραστῆσαι. οὐκ ἐνάγεται τῇ παρασαλευτικῇ αἰτίᾳ ὡς ἐπὶ τοῦ
φυγάδος. δίδωσι δὲ ὁ δικαστὴς ἀσφάλειαν ὡς ὅταν δυνηθῇ παραστήσειν αὐτόν. τὸ αὐτὸ
καὶ μὴ ἔστι φυγὰς ἐπεὶ ἐάπη δὲ παρὰ τοῦ δεσπότου διάγειν ἐνταῦθα ἢ ἐπὶ ξένης
ἐπέμφθη. ἢ εἰς τὰ χωρία αὐτοῦ, χορηγεῖ τὴν ἀσφάλειαν. εἰ δὲ τῷ ια κεφαλαίῳ. ἔνθα ἐστὶ τὸ
πρᾶγμα κατὰ τὸν καιρὸν τῆς προκατάρξεως, ἐκεῖ παρίσταται καὶ φέρεται πρὸς τὸν δι-
καστήν. κινδύνῳ καὶ δαπανήμασι τοῦ ἐνάγοντος. χρὴ δὲ καὶ ἐνδοῦναι ὁ ἐναγόμενος·
εἰ μὴ ἀραλεχύλης ἂν ἐάσῃ ἐν τοῖς ἔργοις αὐτοῦ ἕπεσθαι καὶ νῦν ἀγάγῃ. εἰ δὲ
ἐπιτάδες αὐτὸν εἰς ἕτερον τόπον μετέστησε. φέρει αὐτὸν οἰκείῳ κινδύνῳ καὶ δαπα-
νήμασιν ἔνθα ἐγένετο. εἰ δὲ καὶ ἀδήλως τις παύσεται τινὰ τὴν προκατάρξιν νέμεσθαι·
καταδικάζεται ἀποκαταστῆσαι τὰ ὄντα πρὸ αὐτῆς. εἰ δὲ τῷ ι κεφαλαίῳ, καὶ ὁ θέλων ἐκδική-
σαι τινὰ εἰς ἐλευθερίαν ἢ εἰς ὑπεξουσιότητα, ἔχει τὴν παρασαλευτικὴν αἰτίαν. εἰ καὶ χωρὶς
δόλου καὶ ἀμελείας ἀποθάνῃ πρὸ τῆς προκατάρξεως ὁ δοῦλος. ἐὰν δὲ καταδικάζεται ὁ ἐνα-
γόμενος εἰς ὃ διαφέρεται τῷ ἐνάγοντι μὴ ἐμποδίσαι αὐτὸν ἐν τῇ προκατάρξει ἀπαι-
τεῖται. καὶ μάλιστα εἰ μὴ ἀπέθνησκεν εἴτε παρέστη. εἰ δὲ τῷ κα. ὁ χρεώστης καταβαλὼν
ἀπὸ ἀποχῆς, κινεῖ τὴν ἀποκαταστατικὴν αἰτίαν ἀπαιτῶν καὶ τὸ χρεόγραφον αὐτῷ
ἀναδοθῆναι καὶ τὰ ἄλλα δικαιώματα τὰ ἀνήκοντα τῷ συναλλάγματι. ἀνάγνωθι ε β λα
τ ε κεφάλαιον ιβ ἐν τῷ φ. οὐ δύναται ὁ πατὴρ ἀπαιτεῖν τὸν γαμβρὸν παραστῆσαι τὴν αὐτοῦ
θυγατέρα. τὸ δ᾽ ἐναντίον ὁ γαμβρὸς ἐνάγει τῷ πενθερῷ ἵνα ἀπαιτῇ τὴν ζευχθεῖσαν αὐτῷ.
ἀνάγνωθι καὶ β λε τ θ ἐν τῷ διαλαμβάνει περὶ παραστάσεως διαθήκης καὶ εὑρήσεις περὶ
αὐτοῦ ἐν τῷ περὶ διαθήκης:

περὶ παροίκων. ἀνάγνωθι β να τ α κεφάλαιον κζ ἐν τῷ φ: ζ´

Ὁ πάροικος γεωργεῖν ἀρξάμενος, οὐ δύναται ἀποστῆναι τῆς μεθόδου πρὶν πληρώ-
σῃ τὴν γεωργίαν. ἀνάγνωθι καὶ β νε τ ϛ:

περὶ χαρακτῶν καὶ παραχαρακτῶν. ἀνάγνωθι β ξ τ μα κεφάλαιον α ἐν τῷ φ: η´

Οἱ τὰ νομίσματα ξέοντες ἢ περικόπτοντες ἢ χαράσσοντες, χειροκοπείσθωσαν. ὑπὸ τοῦτο δὲ τὸ νόμιμον
ὁ προσμίξας ἐπὶ τὸ τοιοῦτο τῷ χρυσῷ· ἢ νόθους ἀργυροῦς νομίσματα ποιήσας. καὶ ὁ δυ-
νάμενος τοῦτο κωλῦσαι καὶ μὴ κωλύσας. καὶ ὁ κατὰ δόλον κασσιτερίνους ἢ μολιβδί-
νους νομίσματα πωλῶν ἢ ἀγοράζων. ἀνάγνωθι καὶ τίτλον ζ΄ οὗτινος ἐν τῷ α΄ κεφαλαίῳ φησί· ὁ πλαστὸν
νόμισμα ποιῶν, μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθω. ὁ δὲ δεσπότης τοῦ ἀγροῦ
ἢ τοῦ οἴκου ἐν ᾧ ταῦτα γέγονεν ἢ φανερῶς συνειδὼς τῷ γενομένῳ, περιοριζόμενος καὶ δη-
μευόμενος τῆς ὅλης αὐτοῦ περιουσίας ὑποβαλλέσθω. εἰ δὲ ἀγνοοῦντος αὐτοῦ τοῦτο γέγονεν,
ἡ οἰκία ἢ ὁ ἀγρὸς δημευέσθω. ὁ δὲ τοῦ ἀγροῦ διοικητής, εἴτε γεωργὸς εἴτε δοῦλος
εἴτε ἔνοικος εἴτε πρόσοικος ὑπηρετήσας τῷ ἁμαρτήματι, μετὰ τοῦ ἁμαρτήσαντος
χειροκοπείσθω. εἰ δὲ ὁ δεσπότης ἐξ ἀρχῆς ἀγνοῶν, μετὰ ταῦτα δὲ μαθὼν κατεμήνυ-
σεν, αὐτὸς οὐ ζημιωθήσεται. ὁ δὲ τοῦ πράγματος αὐτουργὸς μετὰ τῶν ὑπηρετῶν
χειροκοπείσθω. οὐδένα γὰρ παρὰ βασιλέως ἐξαιτεῖν ἐπὶ τὸ χαλκοποιεῖν νομίσματα(?)
καὶ ὁ τοῦτο τετυχηκὼς μὴ μόνον τοῦ καρποῦ τῆς ἰδίας αἰτήσεως ἀποκλειέσθω, ἀλλὰ
καὶ τὴν τιμωρίαν ἧς ἄξιος νομίζεται ὑποδεχέσθω ὡς παραχαράκτης:
η̄ Περὶ τῶν περὶ ἀκλήρους συγχωρουμένων ποιεῖν τι ἢ νέμεσθαι. ἀνάγνωθι βιβλίον ν΄ (?)
τίτλον κα΄. οὗτινος ἐν τῷ ιζ΄ κεφαλαίῳ φησίν:
Εἰ δὲ θείη τις περὶ ἀκλήρου δούλου ἐπὶ τῇ ψυχῇ, οὐ δημευθήσεται· ἀλλὰ θεοῦ ποιεῖται(?)
νέμηται τὰ κατὰ περὶ ἀκλήρων:
ι Περὶ πατριάρχου. ἀνάγνωθι β΄ τίτλον α΄ κεφαλαίου ε΄ φησίν:
Δυνατὸν καὶ παρὰ τῷ πατριάρχῃ προσδοκᾶν ἀλλάσσεσθαι καὶ αἰτεῖν διὰ γραμμάτων αὐτοῦ
δοθῆναι ἱκανὰ δικαστὴν τὸν κατὰ τόπον ἐπίσκοπον. οὐ περὶ ἐκκλήτου τῆς ψήφου, πά-
λιν ὁ πατριάρχης δικάσει:
ια Περὶ πατρώνων καὶ ἀπελευθέρων. ἀνάγνωθι β΄ ζ΄ τίτλον η΄. οὗτινος ἐν τῷ α΄ κεφαλαίῳ φησί: — ἀνάγνωθι περὶ ἀπελευθέρων τίτλον (?): ἔστιν ἀπελεύθερος ἐν τῷ περὶ ἀγώνων (?) τίτλῳ:
Ὁ μὴ οὐχ ἧττον καλῶν εἰς δίκην ἀπελεύθερος τὸν πάτρωνα ἢ παῖδας αὐτοῦ ἄνευ τοῦ αἰτῆσαι
συγγνώμην παρὰ τοῦ πραίτωρος. εἶτα ἐν τῷ ι΄ κεφαλαίῳ· ὁ μὴ ἐὰν ὁρκώσῃ τὸν ἀπελεύθερον μὴ
γαμῆσαι, κατέχει ἀζήμιος. οὐ μὴν τὸ γόνιμον ὡς ἀναγκαῖον. εἶτα ἐν τῷ ιε΄ κεφαλαίῳ. οὐχ ὑπο-
πίπτει τῇ ποινῇ ὁ λίβελλον ἐπιδοὺς κατὰ τοῦ πάτρωνος, καὶ μὴ ἀποκρύψας τὸ εἶναι
ἀπελεύθερος αὐτοῦ. ἀνάγνωθι καὶ βιβλίον ζ΄ τίτλον β΄ κεφαλαίου μ΄, τίτλον κ΄ κεφαλαίου κθ΄ καὶ τίτλον κς΄ οὗτινος ἐν τῷ α΄ κεφαλαίῳ
ἐστὶ παρὰ αὐτῷ καὶ τιμὴν ἔχειν τοὺς ἀπελευθέρους πρὸς τοὺς πάτρωνας. καὶ τὸν ὀ-
ψικοῦντα(?) αὐτοὺς καὶ μὴ τιμῶντα ἢ πληγὰς ἢ μεγάλην ζημίαν ἐπιφέροντα αὐτοῖς. εἶτα
τοὺς ἀχαρίστους ποιήσαντας ἀπελεύθερον, ἀναδουλοῦσθαι. ἀνάγνωθι καὶ βιβλίον μθ΄ οὗτινος ἐν τῷ α΄
τίτλῳ κεφαλαίῳ α΄ φησί. ἐὰν μόνον ἀποκαλοῦντες φανῶσιν οἱ ἀπελεύθεροι πρὸς τοὺς πάτρωνας

ἢ παῖδας αὐτοῦ, ὀφείλει μαστιγοῦν αὐτὸν ὁ ἄρχων καὶ ἀπολύειν ἀπειλῶν σφοδρότερον ἐπεξελεύσεσθαι ἐὰν πάλιν ἁμαρτήσῃ. εἰ δὲ ὕβρειαν ἐξοιδεῖ, πρόσκαιρος. εἰ δὲ χεῖρας ἐπενέγκῃ, τοῦ μετάλλου μεταλλίζεται. τοῦτο ἔστι καὶ συκοφαντίαν τινὰ κατασκευάσαι αὐτῷ ἢ καταμηνῦσαι ἢ ἄλλως πράξωσιν αὐτῷ περιβολὴν ἐπήρειαν. εἰ δὲ φ. ε κε. ὁ ἀπελεύθερος ὑποβαλών τινα περὶ τύχης ἐναντίον τῷ πάτρωνι, ἀναδουλοῦται. καὶ ὁ πάτρων μὴ τρέφων τὸν ἀπελεύθερον πενόμενον, ἐκπίπτει τῶν πατρωνικῶν. εἰ δὲ φ. ι κε. ὁ πάτρων κεφαλικῶς τοῦ ἀπελευθέρου κατηγορῶν, ἐκπίπτει τῆς καὶ τῆς αὐτοῦ διαθήκης ἐναντιώσεως. οὐδὲ γὰρ ἐξ ἀδιαθέτου κληρονομεῖ. εἰ δὲ φ. λ κε. φη. ὅτι ἐὰν ὑπὲρ τὰ ρ νο. ἔχωσι περιουσίαν οἱ ἀπελεύθεροι, οὐ περιεργάζονται ἀλλὰ διατίθενται ὡς ἂν βουληθῶσιν. ἀδιαθέτων δὲ καὶ ἀπαίδων αὐτῶν τελευτώντων, κληρονομοῦσιν οἱ πάτρωνες. τῶν δὲ ὑπὲρ τὰ ρ νο. ἐχόντων οὐσίαν, εἰ μὲν ἔχωσι παῖδας ἢ ἔγγονοι ἢ προσέγγονοι ἢ ἀπέγγονοι, αὐτοὶ καλοῦνται πρὸς τὴν διαδοχήν. ἀπαίδων δὲ αὐτῶν ὄντων καὶ ἀδιαθέτων, καλοῦνται οἱ πάτρωνες. εἰ δὲ διατίθενται ἄπαιδες ὄντες οἱ ἀπελεύθεροι, ἀνάγκην ἔχουσι τὸ τρίτον τῆς οὐσίας αὐτῶν καταλιμπάνειν τοῖς πάτρωσι. καλοῦνται δὲ πρὸς τὴν ἐξ ἀδιαθέτου κληρονομίαν οἵ τε κατιόντες τοῦ πάτρωνος καὶ οἱ ἐκ πλαγίου δηλονότι καλοῦνται μὴ ὄντων μέχρι βαθμοῦ. πρὸς μέντοι τὴν μέμψιν τῆς διαθήκης τοῦ ἀπελευθέρου, μόνοι οἱ πάτρωνες καὶ παῖδες αὐτῶν καὶ ἔγγονοι ἕως πέμπτου βαθμοῦ μόνον. οἱ δὲ ἐκ πλαγίου, οὐκ ἔχουσι τὴν ἐναντίωσιν τῆς διαθήκης ἐπιλαβεῖν τὸ τρίτον ἐξ ὁλικοῦ ζημιουμένων. εἰ δὲ φ. β τ. διαλαμβάνει περὶ τῆς ὀφειλομένης τιμῆς παρὰ τῶν ἀπελευθέρων τοῖς πάτρωσι. οὗτινος ἐν τῷ η κε. φη. ἀπελεύθερος κατὰ πάτρωνος ἀτιμοποιὸν ἀγωγήν, οὐ δύναται κινεῖν. καὶ ὅτι ὁ καὶ παρεξελθὼν τὰ διατάξεις ὁ δοῦλος καὶ ἐλευθερωθείς, ὅμως ὀφείλει τιμᾶν αὐτόν. εἰ δὲ φ. ιθ κε. ὁ ἀπελεύθερος ὁ ἀχάριστος φανεὶς περὶ τὸν πάτρωνα καὶ ὑβρίσας αὐτὸν ἢ ὅλως αἰτίαν ἀγανακτήσεως δοὺς καὶ παρέχῃ τῷ πάτρωνι, πάλιν γενέσθω δοῦλος καὶ οἱ παῖδες αὐτοῦ οἱ μετὰ ταῦτα τικτόμενοι, ἔστωσαν δοῦλοι. εἰ δὲ φ. κα κε. ὁ ἀπελεύθερος ἢ ὁ τοῦ ἀπελευθέρου παῖς. ἐὰν γνωσθῶσιν ὡς ἐξ αὐτοῦ τούτου ἀχάριστοι γενόμενοι περὶ τὸν πάτρωνα ἀναδουλούσθωσαν. εἰ δὲ φ. κ τ. διαλαμβάνεται περὶ ὑπηρεσιῶν καὶ ἐργασιῶν τῶν ἀπελευθέρων τῶν ταύτας παρέχειν ἐπερωτηθέντων. οὗτινος ἐν τῷ να κε. φη. ὅτι ἐὰν ἐστὶν ὅλως ἄπορος ὁ πάτρων, ἀναγκάζεται ὁ ἀπελεύθερος τρέφειν αὐτόν. εἰ δὲ φ. λδ τ. διαλαμβάνεται περὶ διακατοχῆς ἣν ἔχουσιν οἱ πάτρωνες τῶν ἀπελευθέρων, τῶν ἐπιλυόντων αὐτῶν τὴν ἐναντίωσιν κινοῦντες κατὰ τῆς διαθήκης αὐτῶν. οὗτινος ἐν τῷ γ κε. φη. ὁ διὰ τὸ καταμηνῦσαι τὴν ἀναίρεσιν

τοῦ ἰδίου δεσπότου ἐλευθερωθείς, οὐδενός ἐστιν ἀπελεύθερος. Ἐν τῷ αὐτῷ ς΄ τιτ. κεφ. Ὁ τὸν πα-
τρῷον αὐτοῦ ἀπελεύθερον δουλαγωγήσας· οὔτε νόμιμα τῶν ἰδίων παίδων ἔχει τὴν κατὰ
τῆς διαθήκης ἐναντίωσιν. Ἐν τῷ αὐτῷ ιε΄ κεφ. Ἐὰν ὁ πάτρων κεφαλικῶς κατηγορήσῃ
τὸν ἀπελεύθερον, ἢ δουλαγωγήσῃ αὐτόν, ἐκπίπτει τῆς κατὰ τῆς διαθήκης αὐτοῦ ἐναν-
τιώσεως. Ὁ δὲ ἀφῆλιξ κατηγορίας ἢ δι' ἑαυτοῦ ἢ διὰ τοῦ ἐπιτρόπου ἢ τοῦ κουρά-
τορος συγκινούμενος· καὶ ἥττων γενόμενος καταδικασθῇ· οὐδὲ ἀποδείκνυται τῆς κα-
τηγορίας ἀποστῆναι διὰ τὸ μὴ ἐμπεσεῖν εἰς τὸ κατὰ τῶν συκοφαντῶν δόγμα· οὔτε ἄ-
φεσις δίχα τοῦ βουλομένου δίδοται. Ἐν τῷ αὐτῷ. Δημοσίᾳ δοθείσης ἀφέσεως μεί-
ζων γενόμενος ἀνανεώσας αὐτήν, ἀποστερεῖται τῆς κατὰ τῆς διαθήκης τοῦ ἀπελευθέρου
ἐναντιώσεως· ἢ δύναται κατ' αὐτὴν ἀκινδύνως μετανοῆσαι. Κεφαλικῶς δὲ
κατηγορεῖ ὁ κινῶν ἔγκλημα ἐξ οὗ θάνατος ἢ πολιτείας ἔκπτωσις ἐπιφέρεται. Ἐν
τῷ αὐτῷ ις΄ κεφ. Οἱ τῆς πατρωνίσσης παῖδες καὶ πορνογενεῖς ὄντες, ἔχουσι κατὰ τοῦ ἀπε-
λευθέρου αὐτῆς τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν. οἱ δὲ τοῦ πάτρωνος νόμιμοι ὄντες.
Ἐν τῷ αὐτῷ ιζ΄ κεφ. Ἐὰν εἰς ἧττον τοῦ νομίμου γράψῃ ὁ πάτρων πλασθεὶς ὑπὸ τῆς
διαθήκην καὶ ἡ πλάνη· ἐκπίπτει τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως· ἰδίᾳ γὰρ βουλῇ
τὴν κληρονομίαν ἀπώλεσεν. Ἐν τῷ αὐτῷ λε΄ κεφ. Ὁ πάτρων καὶ ἡ πατρώνισσα μὴ ἐκδι-
κοῦντες τὴν ἀναίρεσιν τοῦ ἀπελευθέρου, τῆς κατὰ τῆς διαθήκης ἐναντιώσεως ἐκπίπτου-
σιν. Ἐν τῷ αὐτῷ ε΄ τιτ. περὶ προσκυρώσεως ἀπελευθέρου. Ὅσον ἔχων τις δύο υἱοὺς
ἢ πλείους ἀπὸ νομίμων γάμων· δύναται ἑνὶ αὐτῶν ἐν ζωῇ ἢ κατὰ διαθήκας προσκυ-
ρῶσαι τὸν ἴδιον ἀπελεύθερον· κἀκεῖνος εὑρίσκεται ἐν θανάτῳ τοῦ πατρὸς μόνος πάτρων. Ἐν
τῷ αὐτῷ ς΄ τιτ. περὶ τοῦ μὴ ἐξεῖναι αὐτοῖς τὰς ἰδίας περιουσίας μεθιστᾶν εἰς βλάβην τῶν πα-
τρώνων. Οὕτως ἐν τῷ α΄ κεφ. πάντα τὰ εἰς περιγραφὴν ἐμποιούμενα, ἀνατρέπεται.
ἀνάγνωθι καὶ β΄ [illegible] τ. ε΄ ἐν ᾧ φέρεται· περὶ ἀπελευθέρων ἐνεχομένων ἀπὸ τῶν εἰς δουλείαν συ-
ναλλαγμάτων ἢ χρεῶν ἢ ἁμαρτημάτων. Ἐν τῷ αὐτῷ α΄ κεφ. Ἐκ τῶν ἐν δουλείᾳ συναλ-
λαγμάτων [illegible] διὰ τὸν κανόνα τὸν λέγοντα· τὰ πλημμελήματα τῇ κεφαλῇ ἀκολουθεῖ. Ἐν
τῷ αὐτῷ β΄ κεφ. Τοῖς δανεισταῖς οἵτινες ἐν δουλείᾳ τινὶ ὄντι ἐδάνεισαν, οὐδεμία κατὰ τοῦ
ἁρμόζει ἀγωγή· μάλιστα ὅτε ἐπιδοθῇ τὸ πεκούλιον μὴ [illegible]. ἀνάγνωθι
καὶ β΄ [illegible] β΄, καὶ τ. ς΄ κεφ. ς΄ καὶ [illegible] ἐν οἷς φέρεται· τὸ ζητεῖσθαι τοὺς πάτρωνας παρὰ
τῶν ἀπελευθέρων. ἀνάγνωθι καὶ β΄ [illegible] κεφ. [illegible] ἐν ᾧ φέρεται· περὶ πατρώνων καὶ ἀπελευθέ-
ρων διαδόχων καὶ ἐπιτρόπων. ἀνάγνωθι καὶ β΄ [illegible] κεφ. [illegible]. ἀνάγνωθι καὶ β΄ [illegible] α
κεφ. ις΄ ἐν ᾧ φέρεται· ἀπελευθέρου τελευτῶντος, οἱ καλοῦντες πρὸ τοῦ [illegible]· καὶ μετ'
περὶ κληρονομίας: ζ
αὐτούς, οἱ ἀνιόντες τοῦ ἀπελευθέρου καὶ ἀδελφοὶ ἐλευθερωθέντες. τούτων δὲ μὴ ὄντων

π'

των τοὺς πάτρωνας· ἤτε ἑκόντες ἠλευθέρωσαν· ἤτε διὰ τὸ ἀποκαλέσαι αὐτούς· ἤτε περιεκτικοῦ τοῦ ἀνὴρ ἐλευθερῶσαι δοῦλον· ἤτε διὰ τὸ ἀπόρῳ ἐλευθερίας ἦλθε, καὶ ἀναρπαγῆναι ἀπὸ τῆς διατάξεως. Εἰ δέ τις ἐλέγξει τὴν τοῦ ἰδίου δεσπότου ἀναίρεσιν· εἰ μὲν ὡς ἀπελεύθερον αὐτὸν ὁ ἄρχων τινὶ προσκυρώσει· αὐτὸς ἔσται πάτρων καὶ νόμιμος κληρονόμος· εἰ δὲ μὴ προσκυρωθῇ τινὶ, ἀπελεύθερος ἔσται τοῦ πρώην αὐτοῦ δεσπότου καὶ κλῆρος αὐτοῦ κληρονομεῖ ἐξ ὧν δῆτα τοῦ δημοσίου· ἀνάξιος ἐστὶν ὥστε καὶ τὴν κληρονομίαν ἀφαιρεθῆναι. ἀνα. καὶ β̄ να τ. ς̄ κεφ. ᾱ, θ. ε̄. καὶ κεφ. β̄ καὶ λ̄. ἀνα. καὶ β̄ νθ τ. ᾱ κεφ. γ̄. ἀνα. καὶ β̄ ξ τ. μα κεφ. ς̄:

Περὶ πεκουλίου. ἀνα. β̄ νζ τ. β̄. οὔτινος ἐν φ̄ ᾱ κεφ. φιοτ: ιβ

Ἐὰν στρατιωτικὸν πεκούλιον τοῦ παιδὸς μόνη πατρὸς διὰ τὸ περὶ αὐτοῦ μεῖναι μὴ διαθεμένου, αὐτὸ δὲ οὐ γίνεται κληρονόμος. οὐδὲ πατὴρ τοῦ παιδὸς κληρονομηθέντων κληρονόμος γίνεται. ἐν τῷ δὲ β̄ κεφ. ἐὰν ἀδιάθετος στρατιώτης ἀποθάνῃ, τὰ πράγματα αὐτοῦ πατρὶ δὲ περὶ αὐτοῦ μένει ὡς πεκούλιον. εἰ δὲ διάθηται, ὡς κληρονομία ἐστὶ τὸ στρατιωτικὸν πεκούλιον. ἐν τῷ δὲ ᾱ κεφ. στρατιωτικά εἰσιν, ὅσα συγχωροῦντος τοῦ πατρὸς ἀπαγάγῃ εἰς τὰ κάστρα, ἤτοι φοσσᾶτα· καὶ ἅπερ αὐτὸς ὁ πατὴρ ἔχει τοὺς περὶ τοῦ στρατιωτικοῦ αἰτίας καὶ αὐτεξούσιος ἐκτήσατο καὶ δέδωκεν αὐτῷ εἰς θέσιν. ἐν τῷ δὲ ῑ κεφ. ἐὰν τοῖς πρᾶσιν ἐν τοῦ στρατιωτικοῦ πεκουλίου τῶν ὑπεξουσίων κεχρεώστηται. στρατιωτικὸν πεκούλιον ἐστὶν, τὸ διδόμενον ἀπὸ γονέων ἢ συγγενῶν τοῖς οὖσιν ἐν στρατείᾳ καὶ ὅπερ αὐτὸς ὁ ὑπεξούσιος ἐν τῇ στρατείᾳ κτήσεται. ἐν τῷ δὲ ια κεφ. οὔτε μένοντος ὑπεξουσίου τοῦ στρατιώτου οὔτε αὐτεξουσίου γινομένου οὔτε εἰς θέσιν παρὰ τοῦ πατρὸς διδομένου, δύναται ὁ πατὴρ ἀφαιρεῖσθαι τὸ στρατιωτικὸν πεκούλιον. ἐν τῷ δὲ κα κεφ. ἡ διάταξις δίδωσι πᾶσι τοῖς ἐν τῷ παλατίῳ στρατευομένοις δίκαιον στρατιωτικοῦ πεκουλίου εἰς τὰ κληθέντα αὐτοῖς ἐν τῷ καιρῷ τῆς στρατείας ἢ ἀπὸ βασιλικῶν δωρεῶν ἢ ἐξ ὧν μὴ δαπανῶσι καὶ ἐξ ὧν στρατεύονται καὶ μετὰ τὸ πληρῶσαι. ἐν τῷ δὲ κς κεφ. δίκαιον στρατιωτικοῦ πεκουλίου ἔχουσι καὶ οἱ σκρινιάριοι καὶ οἱ ἐξσκέπτωρες τοῦ ἐπάρχου τῶν πραιτωρίων· δοκοῦσι γὰρ τῆς πρώτης λεγεῶνος εἶναι τῆς βασιλείου βοηθείας:

Περὶ πενθίμου. καὶ τίνες οὐ πενθοῦνται. ἀνα. β̄ κβ τ. β̄ κεφ. ε̄. ἐν Φ̄ [illegible]: ιγ

Ὁ ἀνὴρ οὐ πενθεῖ τὴν γαμετήν, οὔτε ἡ μνηστὴ τὸν μνηστῆρα. κατὰ κέλευσιν βασιλέως δύναται ἡ γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖν. ἡ πενθοῦσα καλῶς μνηστεύεται. οὐ καὶ τοιοῦτος ὁ ἀνὴρ ὥστε μὴ πενθεῖσθαι ὁ αὐτόμολος καὶ ὁ κατακριθεὶς ἐπὶ τυραννίδι καὶ ὁ προδότης καὶ ὁ ἀπαγχόμενος. καὶ ὁ χεῖρας ἐπιβαλὼν ἑαυτῷ μὴ μίσει τῆς ζωῆς ἀλλὰ κακῇ συνειδήσει. ὅμως διὰ τὴν σύγχυσιν τῆς γονῆς ἡ πρὸ τοῦ πενθίμου γαμοῦσα, ἀτιμοῦται. καὶ ὁ

Περὶ καστρενσίου. καὶ παγανικοῦ πεκουλίου. καὶ τῆς διαφορᾶς αὐτῶν.

Τὸ πεκούλιον ἐν τοῖς ὑπεξουσίοις ὁ ἐστὶ κατὰ [illegible]. τῶν πεκουλίων λέγεται καστρένσια, ἤτοι στρατιωτικά. ταῦτα δέ ἐστιν, ὅσα ἀπὸ στρατείας κληρικικῶν ἢ χαρτουλαρείων ὑπηρεσίας, ἢ καὶ ἐν ἄλλῳ τινὶ ἱερατικῷ βαθμῷ ἐπιγένηται. καὶ δύνανται οἱ παῖδες ὑπεξούσιοι οὕτω διατίθεσθαι ἐν αὐτῷ, καὶ πρὸ τῆς [illegible] ὥσπερ βούλονται, ἄνευ [illegible] αὐτοῦ, ὑπὲρ αὐτῶν [illegible] δώκασιν. ἐν τῷ [illegible] αὐτοῖς [illegible] τοῖς βαθμοῖς. τὰ [illegible] προσφέρουσιν οἱ ὑπεξούσιοι τὸ ἱκανὸν [illegible] αὐτοῖς, καὶ εἰς τὸ λοιπὸν διατίθεσθαι. ὅσα δὲ παρὰ τῶν γονέων τοῖς ὑπεξουσίοις [illegible] παγανικὰ λέγονται. εἰς ταῦτα δὲ τὰ παγανικὰ πεκούλια, οὐ δύναται ὁ ὑπεξούσιος διατίθεσθαι. δευτέρα δὲ διαφορά ἐστιν ὅτι [illegible] ὁ πατὴρ [illegible] τοῦ ὑπεξουσίου, τὸ μὲν παγανικὸν ἀφαιρεῖσθαι δύναται πεκούλιον, τὸ δὲ ἰδιόκτητον, οὐδαμῶς. τρίτη διαφορά, ἐὰν πολλῶν ὄντων παίδων πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἕνα ἐξ αὐτῶν παγανικὸν ἔχειν πεκούλιον καὶ ἰδιόκτητον. τὸ μὲν παγανικὸν, κοινὸν ἔσται πάντων τῶν ὑπεξουσίων παίδων. τὸ δὲ ἰδιόκτητον, μόνου τοῦ κτησαμένου:

Τὰ ἀπὸ μακρᾶς ἀποδημίας καὶ χρήσεως ἐκ ναυτοδρομίας [illegible], τουτέστι τὰ ἀπὸ ταξιδίων ἐπιγινόμενα πεκούλια τοῖς ὑπεξουσίοις ἰδιόκτητά ἐστι, καὶ δύνανται ἐν τούτοις διατίθεσθαι. ὁμοίως δὲ καὶ τὰ ἀπὸ συνεδρείας καὶ [illegible] καὶ πάσης ἀξίας καὶ παντὸς ἐπιτηδεύματος αὐτοῖς ἐπικτηθέντα, ἰδιόκτητά ἐστιν. ἃ καὶ καλοῦσί τινες ὡς καστρένσια λέγονται:

φ'

Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα γεννήσασα κωλύεται γάμου [illegible]. ἡ δὲ ἐν τῷ πενθίμῳ χρόνῳ τεκοῦσα, οὐ κωλύεται γαμεῖν· [illegible] τῶν νομίμων διάνοια. ἀλλὰ καὶ [illegible] καὶ ἄλλως καὶ ἄλλως [illegible] ὁ [illegible] τοῦ νόμου ἡ ἐν τῷ πενθεῖν τεκοῦσα, κωλύεται γαμεῖν. [illegible] ἀξίων πενθεῖσθαι αἱ γυναῖκες [illegible] ἀνεπιλήπτως βιούντων, καὶ ἁπλῶς [illegible] νόμῳ [illegible] καὶ [illegible], ἕως οὗ ὁ τοῦ πένθους καιρὸς πληρωθῇ. [illegible] ὁ πενθίμος καιρὸς [illegible]. διὰ τὸ μὴ σύγχυσιν γίνεσθαι γονῆς, καὶ διὰ [illegible] τιμὴν τοῖς ἀνδράσιν. [illegible] χρεία, κωλύεται διὰ τοῦ [illegible]. ἡ δὲ ἑτέρα [illegible] τιμήν. ἥτις [illegible], μόνη διὰ [illegible] τὸν ἄνδρα. ἡ δὲ τοῦ ἑτέρου [illegible] ἐν τῷ πενθεῖν τεκοῦσα, οὐ κωλύεται γαμεῖν. οὐ γὰρ ἄξιοι τοῦ πενθεῖσθαι οἱ ἄνδρες, οἷον, αὐτόμολοι. προδόται. ἀπαγχόμενοι. καὶ οἱ λοιποὶ [illegible] ὁ νόμος διαλαμβάνει, διὰ τὸ μὴ εἶναι ἀξίους πένθους. τούτοις γὰρ [illegible] αἱ γυναῖκες γαμοῦσι. τοῦ γὰρ χρόνου [illegible], ἀκολούθως γαμοῦσι. [illegible] τῆς [illegible] τιμῆς ὑπεξαιρουμένου, διὰ [illegible]. καὶ [illegible] ἄλλου [illegible] μὴ πενθουμένου. ὁ γὰρ νομοθέτης [illegible] τὸ πένθος, ἀναξίους αὐτοὺς τοῦ πενθεῖσθαι [illegible]:

ἐν ἐκδήμῳ ἀγαγόμενος αὐτήν. ἡ γὰρ τοῦ θανάτου ἄγνοια, οὐ μὴν ἡ τοῦ νόμου (συγγινώσκεται.) ἡ δὲ γυνὴ ἐντὸς τοῦ πενθίμου χρόνου οὐ δύναται γαμεῖν. ὁ ὑπεξούσιος κατὰ γνώμην τοῦ πατρὸς ἀγαγόμενος τὴν πενθοῦσαν, συγγινώσκεται. ὁ δὲ πατὴρ ἀτιμοῦται. κἂν μετὰ τὸ γενέσθαι αὐτὸν αὐτεξούσιον μένῃ ἔχων αὐτήν, οὐκ ἀτιμοῦται εἰ μὴ κατ' ἀρχὰς ὁ πατὴρ ἠγνόει. ἀλλ' ὕστερον ἀποδέξηται τὸν γάμον οὐκ ἀτιμοῦται. ἀνάγνωθι καὶ τὸ ε' κεφ. ιγ'. ἀνάγνωθι καὶ β' καὶ τὸ ε' κεφ. ιζ' ἐν τῷ φ'. αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταί, καὶ λύσει(?) ἐντὸς πενθίμου. πρὸ χρόνου δύναται γαμεῖν. ἀνάγνωθι καὶ τὸ ιε' κεφ. β' ἐν τῷ φ'. διαλαμβάνεται περὶ τῆς τεκούσης ἐν … καὶ φησὶν ἐν τῷ ε' αὐτοῦ θέματι. ὁ μὲν θεσπίζων γὰρ … συμβαίη καὶ πρὸ τοῦ πενθίμου χρόνου τεκεῖν γυνὴ πρὸς δὲ … τοῦ τέλους ὥστε ἀναμφισβήτητον εἶναι τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου. παντελῶς αὐτὴν στερεῖσθαι τῆς προγαμιαίας δωρεᾶς. καὶ γὰρ δεσπότης καὶ κατακλείσει(?) ὑποκειμένην. καὶ τοῖς ἄλλοις ἅπασιν ἐπιτιμίοις ὅσαι ἂν δευτέροις ἔτυχε πρὸ τοῦ πενθίμου χρόνου νομίμοις ὁμιλήσασα γάμοις μὴ γάρ ποτε πλέον ἐχέτω τῆς σωφρονούσης ἡ ἀσελγαίνουσα(?). ἀλλ' ὑποκείσθω … καὶ αὐτὴ ταῖς αὐταῖς ποιναῖς. κωλυομένου δὲ καὶ περὶ τὴν ἥτταν τῆς ἀπὸ τῆς μοιχείας … ὅπως ἂν μὴ δὲ γάμου ἀωρὸν ἐπιθυμοίη. μὴ δὲ τοὺς νομίμους γάμους μείζονι κακῷ τιμωροίη. ἀνάγνωθι καὶ τὸ ιθ' τίτλ. κεφ. κζ' ἐν τῷ φ'. ὁ πρὸ τελευτῆς τῆς ἰδίας παιδὸς οὐ πενθεῖται. ἀλλὰ καὶ ἀλόγως(?) παῖς πρὸ τελευτῆς … ἀναιρεῖ καὶ τὸ … καὶ ἄθλου ἀξιοῦται. περὶ … δὲ περὶ τῶν πρὸ τοῦ πενθίμου ἐρχομένων εἰς δεύτερον γάμον, καὶ ἐν τῷ περὶ δευτερογαμούντων πλατύτερον:

ιδ'. Περὶ τῶν προικιζομένων. ἀνάγνωθι βιβλ. ξ' τίτλ. να' κεφ. β' θέμα γ'. καὶ κεφ. με' ἐν τῷ φ' τίτλῳ σου:

Τῶν … προικιζομένων τὰ πράγματα ἐὰν οἱ δυνάμενοι προικίζειν ἐπαγγέλλωσι τὴν … ἐν δημοσίῳ διαφέρουσιν. ἐπειδὴ καὶ σιωπῇ … ἐπακολουθεῖ ἡ … τὰ δὲ πράγματα τῶν ἐξορισθέντων, ὑπὸ τὴν δεσποτείαν αὐτῶν μένουσιν. ἀνάγνωθι καὶ τὸ υγ' κεφ. β' καὶ τὸ υδ'. ὁ ὕπατος ἐν τῷ δ' κεφ. φ'. οἱ ἔπαρχοι τῆς πόλεως δύνανται προικίζειν οὐ μὴν οἱ τῶν ἐπαρχιῶν ἄρχοντες. ἀλλ' ὁσάκις νομίζουσιν ὀφείλειν προικισθῆναι τινὰ … τὰ περὶ αὐτοῦ καὶ τὴν οἰκονομίαν ἀναφέρουσι βασιλεῖ καὶ αὐτὸς δοκιμάζει … τοὺς ἄρχοντας ἀκολουθῆσαι. ἐν ὅσῳ δὲ ὁ βασιλεὺς ἀντιγράφει ἐν φυλακῇ βάλλεται. ἐν τῷ δ' … ιε' κεφ. ὁ χωρὶς βασιλέως ὑπὸ ἀρχόντων προικισθεὶς, καὶ κληρονομεῖ, καὶ δωρεὰς καὶ διαθήκας λαμβάνει. οἱ προικιζόμενοι, οὐδὲ κληρονομίαν οὐδὲ λεγάτον λαμβάνουσι. καὶ … δὲ αὐτοῖς ἐνδιαθήκη τὰ πρὸς ἀποτροφὴν καὶ τὰς ἄλλας ἀναγκαίας χρείας ἀρκοῦντα. ἀνάγνωθι καὶ τὸ κη'

ἀνάγνωθι καὶ β' μα' τίτλ. κεφ. α' θέμα γ' ἐν τῷ φ'. ὅτι οἱ προικισθέντες … τελευτῶσι δύνανται … ἀπὸ … ἀνάγνωθι ε' κεφ. ζ':

Leunclavius f. 538.

τοῦ ζ κεφάλαιον κβ:

Περὶ τῶν πειρατοπρακτούντων. τουτέστι τῶν πειρατικῶς ἀπατώντων. ἀνά β νς τ α κε κε ἐν τῷ Φωτίου: ιε

Ὁ πειρατοπρακτήσας εἴτε πολίτης ἐστὶν εἴτε ταξεώτης ἀναγκάζεται τὸ διπλάσιον ἀποκαταστῆσαι τῷ πειρατοπρακτηθέντι. εἰ δὲ ἐπιμένη πειρατοπρακτῶν. κεφαλικῶς τιμωρεῖται:

Περὶ πλάνης ὡς δοκεῖ ὁ διατιθέμενος ἐπὶ περὶ οἰκογενοῦς δούλου τὸ δὲ τοῦ ἀγοραστοῦ. ἀνά β ιε τ α κε λα ἐν τῷ Φωτίου: ις

Τῆς τοῦ πράγματος δεσπότου πλάνης μενούσης ἡ πλάνη τοῦ σουδεὶ ἀντίκειται. ὁμοίως περὶ λεγάτου ἐν ὧ εἰ καὶ ὁ υἱὸς τοῦ κ... οὐ βλάπτει τὸ λεγάτον τὸ εἰπεῖν τοῦ διαθεμένου περὶ οἰκογενοῦς δούλου τὸ δὲ τοῦ ἀγοραστοῦ ἢ τοὐναντίον:

Περὶ πλαστοῦ καὶ τῶν δημευομένων περὶ τοῦτο ἐγκλήματος. ἀνά β ξ τ μα. δόλιος ἐν τῷ α κε Φωτίου: ιζ

Ὁ ποιήσας ἐν μαρτυρίᾳ πλαστά, ἢ διαθήκας ἢ ἐκδεδωκὼς ἢ ὑποβολιμαῖον εἰς ἀνάγνωσιν. τῷ περὶ πλαστογραφίας νόμῳ ὑπόκειται. καὶ ὁ χρήματα λαβὼν ἢ συμφωνήσας ἢ κοινωνίαν ποιήσας ἐπὶ τὸ συστῆναι συνηγορίαν ἢ μαρτυρίαν κατὰ τῶν ἀνθρώπων. καὶ ὁ λαβὼν χρήματα ἐπὶ τῷ κατηγορῆσαι ἢ μὴ κατηγορῆσαι. μαρτυρῆσαι ἢ μὴ μαρτυρῆσαι. περὶ τῆς τοῦ πλαστοῦ ποινῆς. ἡ τοῦ πλαστοῦ καὶ τοῦ ὡς ἂν ἢ πλαστοῦ τιμωρία, περιορισμός ἐστι καὶ τῶν ὑπαρχόντων δήμευσις. κατὰ δὲ δούλων, ἐσχάτη. ἐν δὲ τῷ ιζ κεφ. ὅτι τὸ τοῦ πλαστοῦ ἔγκλημα χρόνου οὐκ ἐκβάλλεται: εἰ μὴ ἄρα κ ἐνιαυτοῖς. ὥσπερ καὶ τὰ ἄλλα πάντα δημόσια τὰ ἐγκλήματα. ἐν δὲ τῷ υγ κεφ. ἀπὸ πλαστοῦ νόμου, οὐδεὶς δύναται αὐτὸν κατασκευάσαι. διὰ τοῦτο καὶ τῶν λεγόντων ἑαυτοὺς εἶναι δεσπότας, δύναταί τις τὴν περὶ τοῦ πλαστοῦ κατηγορίαν κινῆσαι λέγων αὐτοὺς ἀπὸ πλαστῶν δικαιωμάτων κατασκευάζειν ἑαυτοῖς τὴν δεσποτείαν τοῦ πράγματος. ἐν δὲ τῷ υς κεφ. ἡνίκα ὁ ζητῶν τὰ τῆς πλαστογραφίας ἔγκλημα. τῇ μείζονι ἐν τούτῳ ἁμαρτάνεται. ἀποδεικνύτω αὐτὸν ἢ περιορίζεται. ἐν δὲ τῷ υζ κεφ. ἐὰν προσενεχθέντος ἐπὶ τῇ δίκῃ συμβολαίου τινὸς οἷον διαθήκης ἢ τινὸς ἑτέρου ἐπιλαμβανόμενός τις αὐτὸ ὡς πλαστοῦ. οὐκ εὐθέως τὸ ἔγκλημα κινεῖται. ἀλλὰ δίδοται προθεσμία, ἵνα ἐγκληματικῶς ἢ χρηματικῶς κινήσῃ. δῆλον δὲ ὅτι ἡ χρηματικὴ κατηγορία, πρότερον ἐξετάζεται. ἡ γὰρ κρίσις ἐξουσίαν ἔχει ἑκάστου ἢ χρηματικῶς ἢ ἐγκληματικῶς διελέγξαι τὸ πλαστόν. φησὶ γὰρ ὅτι ἐπὶ παντὸς συμβολαίου ζητοῦμεν πρότερον τὰς ἀποδείξεις ἐκ τοῦ προσενεγκόντος μετὰ ταῦτα ἐκ τοῦ λέγοντος πλαστὸν εἶναι τὸ συμβόλαιον. ἀνά καὶ β ια τ β κε π ἐν τῷ Φω. ὅτι χωρὶς ἐγγραφῆς δύναταί τις κινεῖν τὴν περὶ πλαστοῦ συμβολαίου:

*ὅτι ἐκτίθεται ἡ περὶ τοῦ πλαστοῦ τιμωρία:*

ιη΄ Περὶ ποινῶν. βιβ. ξ΄ τίτ. να΄. οὗτινος ἐν θέμ. α΄ κεφ. φησίν:

Τοῦ κρινομένου τὴν αἵρεσιν δεῖ σκοπεῖν· οὐχ οἵαν ἔχει ἐν τῷ καιρῷ τῆς ἀποφάσεως.
ἀλλ' οἵαν εἶχεν ἁμαρτάνων. ὅθεν ἐὰν ἔτι δοῦλος ἁμάρτῃ καὶ ἐλευθερωθεὶς καταδικα-
σθῇ, ὡς δοῦλος τιμωρεῖται καὶ ἐκ τοῦ ἐναντίου. Ἐν δὲ θέμ. β΄ κεφ. οἱ δημόσιοι ἢ ἰδιωτι-
κοὶ ἐγκλήματα ἐξ ἐξορδινέμ διαγινώσκονται. οἱ μὴ δυνάμενοι δοῦναι χρηματι-
κὴν ποινήν, ἐξ ἐξορδινέμ κολάζονται. κεφαλικὴ καταδίκη ἐστίν, ἡ θάνατον, ἢ ἐπὶ
θανάτου ποινῆς ἢ πολιτείας ἔκπτωσιν ἐπάγουσα. Ἐν δὲ θέμ. γ΄ κεφ. Ἐάν τις πενιχρὸς ᾖ, οὐ
τιμωρεῖται οὐδὲ βασανίζεται. Ἐν δὲ θέμ. ε΄ κεφ. Ἐν πᾶσι τοῖς ἐγκλήμασι δεῖ τὴν ἐκπε-
νοίας [illegible] ἢ τὸ κατὰ τύχην ἥμαρτε· καὶ οὐδεὶς ἢ πρὸς τὸν νόμον, ἢ πραοτέραν ἐπιφέρει τι-
μωρίαν. Ἐν δὲ θέμ. ς΄ κεφ. Τῶν ποινῶν αἱ μὲν θάνατον ἐπάγουσιν· αἱ δὲ δουλείαν· αἱ δὲ πο-
λιτείας ἔκπτωσιν· αἱ δὲ ἐξορίαν· αἱ δὲ σωφρονισμὸν εἰς σῶμα, τουτέστι πληγὰς ἢ δεσμὰ
ἢ ζημίαν σωματικὴν· ἢ ἐργασίαν ἀξίας· ἤ τινος πράγματος κώλυσιν. μόνῳ δὲ ξίφει
οὐχ ἑτέρῳ ὀργάνῳ ἢ φαρμάκῳ φονεύειν. Ἐν δὲ θέμ. κε΄ κεφ. Ἐσχάτη τιμωρία ἐστὶ τὸ φουρ-
κισθῆναι· ταῦτα γὰρ καὶ καυθῆναι καὶ ἀποκεφαλισθῆναι. καὶ τὸ μεταλλισθῆναι. Ἐπεὶ
ὁρισθῆναι· ταῦτα γὰρ πλησιάζει καὶ μιμεῖται θάνατον. τὸ δὲ πρὸς καιρὸν ἢ διηνεκῶς ἐ-
ξορισθῆναι, ἢ εἰς δημόσιον ἔργον δοθῆναι, ἢ [illegible]θῆναι, ἢ ἄλλως ὑποστῆναι
ποινήν, οὐκ ἔστι κεφαλικόν. Ἐν δὲ θέμ. κς΄ κεφ. μόνοι οἱ [illegible] ἐμποδίζουσι.
Ἐν δὲ θέμ. λς΄ κεφ. διὰ τὰς ἑρμηνείας τῶν νόμων, πραΰνεσθαι δεῖ τὰς τιμωρίας. οὐ μὴν
ταχύνεσθαι. Ἐν δὲ θέμ. μα΄ κεφ. οὐδέποτε συγχωρεῖται διὰ τὴν ἡλικίαν ἡ τιμωρία
τοῦ ἁμαρτήματος. μόνον ἐὰν ἔστι πλησιάζων τῇ ἥβῃ τις. ὅτε καὶ αἰσθάνεται τοῦ πρ[άγματος]
αὐτοῦ ἁμαρτανομένου. Ἐν δὲ θέμ. ν΄. ἡνίκα ὁ κατηγορούμενος ἐπὶ φόνῳ ἢ ἄλλῳ
τινὶ τοιούτῳ ἐγκλήματι διὰ νεωτέρων ἀποδείξεων ἐλεγχθῇ, μὴ ὑπερτιθέσθω ὁ ἄρχων
τὴν κατ' αὐτοῦ τιμωρίαν. Εἰ δὲ καὶ ἐν τῷ μεταξὺ ἐτελεύτα, ἄλυτος ἔστιν ἡ δίκη. Ἐν
δὲ θέμ. νε΄ κεφ. Θεσπίζομεν ἐκεῖσε εἶναι τὴν τιμωρίαν, ὅπου καὶ τὸ ἁμάρτημα ἐστί. τοὺς
δὲ συγγενεῖς, τοὺς ἐγνωσμένους, τοὺς οἰκειακούς, μακρὰν ἀπὸ τῆς συκοφαντίας ἐᾶσθαι
λοιπόν. οὕστινας ὑπευθύνους ἡ τούτων κοινωνία μὴ ποιεῖ. οὐ γὰρ ἡ συγγένεια ἢ ἡ
φιλία ἄδικον ἔγκλημα προσδέχονται. τὰ δὲ ἁμαρτήματα τοὺς ἰδίους κατέχει
αὐθέντας. καὶ μὴ περαιτέρω προβῇ ὁ φόβος ἢ προσθεῖναι τὸ ἁμάρτημα. τοῦ-
το καὶ ἑκάστοις δικασταῖς ἐμβαθύνεσθαι. βιβ. καὶ β΄ ς΄ τίτ. ιθ΄ κεφ. ια΄.

ιθ΄ Περὶ πολεμίων καὶ πραιδονομίων αὐτῶν, καὶ τῶν ἀπὸ τινος πολιτικῆς δι-
οικήσεως ἢ φανερῶς ἐπιθυμουμένων αὐτοῖς. βιβ. α΄ β΄ τίτ. ι΄. οὗτινος ἐν
θέμ. β΄ κεφ. καὶ ζ΄ φησίν:

ἤ ἐστι κεφαλικὴ καταδίκη:

ἥ ἐστιν ἐσχάτη τιμωρία:

Τὰ τῶν πόλεων δίκαια διὰ συμφώνων οὐκ ἐναλλάσσεται. ὅθεν ἐὰν τὰς συμφω-
νηθείσας ἀπολογεῖσθαι ὑπὲρ τῶν κουβουβερναρίων αὐτῶν ἐν οἷς αὐτοὺς ὁ νόμος ὑποβάλ-
λει, οὐκ ἔρρωται. ἐφ' οἷς δὲ καταβάλλειν ὑπὲρ τῶν κουβουβερναρίων αὐτῶν ἐκδικάζονται καὶ
αὐτῶν καὶ τῶν αὐτῶν κληρονόμων. ἀνάγνωθι καὶ τίτλον ια΄ οὗτινος ἐν ἀρχῇ β΄ κεφάλαιον φησί. Ἐὰν προσ-
τάξειν οἱ τῆς πόλεως κλήτορες ψηφίσωνται ἐλευθερωθῆναι ἢ φιλοτιμίαν δοθῆ-
ναι ἀπὸ τῆς πόλεως τυχὸν ἢ ἀγροῦ ἢ οἴκου ἢ πόσου, ἢ σιτηρέσιον δοθῆναι ἰατροῖς ἢ παι-
δευταῖς. εἰς ταῦτα γὰρ τὰς αἰτίας ἔξεστι τοῖς κλήτορσι ψηφίζεσθαι σιτηρέσιον. οὐ γὰρ
ἐκ τοῦ γένους. ἀνάγνωθι καὶ τίτλον ιβ΄ οὗτινος ἐν ἀρχῇ δ΄ κεφάλαιον φησί. ὁ ἄρχων μὴ συγχωρείτω δημοσίους
ὅρους ἢ τοὺς πολιτικοὺς ὑπὸ ἰδιωτῶν κατέχεσθαι. ἀλλ' ἢ δημοσιευέτω τούτους ἢ τέ-
λος αὐτοῖς ἐπιτιθέτω πρὸς τὸ συμφέρον τῆς πόλεως. Ἐν δὲ τῷ ε΄ κεφαλαίῳ περὶ τῶν γινομένων ἔργων
ἐν τοῖς τείχεσιν ἢ ταῖς πόρταις, ἢ τῷ δημοσίῳ. καὶ περὶ τῆς τῶν τειχῶν ἀνανεώσεως, ἐρω-
τᾶσθαι δεῖ τὸν βασιλέα παρὰ τῶν ἀρχόντων. ἀνάγνωθι καὶ τίτλον κβ΄ ἐν ἀρχῇ φησί. ἡ Κωνσταντινού-
πολις μὴ μόνον τοῖς τῆς Ἰταλίας ἀλλὰ καὶ αὐτῆς τῆς Ῥώμης τοῖς προνομίοις κέχρηται.
ἀνάγνωθι καὶ τίτλον κη΄ οὗτινος ἐν ἀρχῇ β΄ κεφάλαιον φησί. ἡ πόλις ὡς ἄνηβος ἐξ ἐπανορθώσεως δύναται βοη-
θεῖσθαι. ἀνάγνωθι καὶ τίτλον κθ΄ καὶ λ΄ καὶ λα΄ καὶ λβ΄ καὶ λγ΄ καὶ λε΄ καὶ λς΄. καὶ βιβλίον νε΄ τίτλον ι΄ κεφάλαιον
β΄ ἐν ἀρχῇ φησί. Θεσπίζομεν ὥστε τὴν Νικαιέων πόλιν ἀποδοθῆναι τὴν πρόσοδον τὴν καὶ
ἀπαιτουμένην τὴν εἰς ἑτέρας χρείας ἀφορισθεῖσαν ὑπὸ Μαρκιανοῦ. καὶ εἴ τι δὲ ἄλλο ταῖς πόλε-
σι προσκείμενα γέγονεν ἐκ τῆς Μαρκιανοῦ διατυπώσεως. καὶ τοῦτο ἀνίσχυρον ἔστω. ὁ
δὲ παραβαίνων βαρέως τιμωρείσθω. ἀνάγνωθι καὶ βιβλίον ς΄ τίτλον γ΄ κεφάλαιον α΄ καὶ ς΄ καὶ ζ΄ καὶ η΄:

Περὶ πολιτικῶν καὶ προνομίων αὐτῶν καὶ λειτουργιῶν. ἀνάγνωθι βιβλίον να΄ τίτλον α΄. οὗ-
τινος ἐν ἀρχῇ δ΄ κεφάλαιον φησίν: κ΄

Οὐκ ἀναγκάζονται οἱ πολιτευόμενοι ἤ τινος τιμήματος τῇ πόλει προσπεσόντος τοῦτο.
Ἐν δὲ τῷ ς΄ κεφαλαίῳ. ἡ τάξις λέγει ὅτι πολίτας μὲν ποιεῖ τὸ ἐκεῖθεν ὁρμᾶσθαι καὶ τὸ ἐλευθερω-
θῆναι παρά τινος οὗτος ἐξ ἐκείνης τῆς πόλεως ληφθῆναι. ὃ ἐναπογραφῆναι τοῖς πο-
λίταις. τὸ δὲ εἰς θέσιν ἐν ἐκείνῃ τῇ πόλει ληφθῆναι. ἀνάγνωθι καὶ τίτλον ιθ΄ καὶ βιβλίον ξ΄ τίτλον μα΄ κεφάλαιον β΄:

Περὶ πορνευόντων εἰς ἰδίας δούλας ἢ ἀλλοτρίας καὶ ἐλευθέρας ἤτοι γυναῖκας
ἐχόντων αὐτῶν ἤτοι μή. καὶ περὶ τῶν πηρωμένων τοὺς γυναῖκας ἔχειν. ἀνάγνωθι
βιβλίον ξ΄ τίτλον λζ΄ κεφάλαιον ος΄ ἐν ἀρχῇ φησίν: κα

Ὁ ἔχων γυναῖκα καὶ πορνεύων διὰ τὸ ἀλλότριον σωφρονιζέσθω. καὶ ὁ μὴ ἔχων δὲ καὶ τὴν
αὐτὴν περιπίπτων ἁμαρτίαν διὰ τὸ ἐξ ἀλλοτρίων σωφρονιζέσθω. ὁ μέντοι γυναῖκα ἔχων
καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος διαγινωσκομένης τῆς πράξεως οὗτος μὲν τυπτόμε-
νος σωφρονιζέσθω. ὁ δὲ κατὰ τὸν τόπον ἄρχων ἀναλαμβάνων τὴν δούλην ὑπὲρ δημοσίου

.a.d.

ἢ αὐτὴν πιπρασκέτω τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων, εἰ μὲν εὐπόρων ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης νομίσματα λϛ΄. εἰ δὲ εὐτελής ἐστι, τυπτέσθω. καὶ καθόλου ὁ πορ(νεύων) κατὰ ἀναλογίαν ἀντὶ λϛ΄ νομισμάτων τυπτέσθω. ὁ δύο γυναῖκας ἔχων πρὸς ἑαυτὸν οὐ νόμῳ, ἀλλὰ φανερῶς καὶ προαιρέσει κακῶς ὑποστήσεται τῷ τῆς μοιχείας ἐγκλήματι. ἡ δὲ ὕστερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετήν, συγγνωσθήτω:

κϛ΄ ἀνάγνωθι καὶ βι(βλίον) ξ΄ τί(τλον) α΄ κε(φάλαιον) ιϛ΄ ὅτι ὁ πα(τὴρ) εἰ ῥητῶς ἐν τῷ περὶ κλοπῆς. ἀνάγνωθι βι(βλίον) ξ΄ ... ὁ ἀρπάζων ἢ ἀποκρύπτων ἀλλοτρίαν δούλην πόρνην οὖσαν. οὔτε μοιχεύεται. οὔτε τῇ περὶ κλοπῆς ἀγωγῇ. εἰς τὸ διπλοῦν καταδικάζεται. οὐ γὰρ κλοπὴν ἀλλὰ δούλης χάριν ἐποίησεν τοῦτο. εἰ δὲ φησὶ κε(φάλαιον) τοῦ αὐτοῦ βι(βλίου) ... ὁ διαφθείρων δούλην μὴ οὖσαν πόρνην κατέχεται. ἐνέχεται τῇ περὶ κλοπῆς ἀγωγῇ διπλοῦ ἀγωγῇ. εἰ δὲ κρυπτῇ καὶ τῇ ἀνδραποδιστῶν ἀγωγῇ. ἀνάγνωθι καὶ βι(βλίον) ... τοὺς μὴ ἐκδιδόντας μετὰ ὅρκον διδόναι τὰς ἐξωσθείσας καθολικὰς γυναῖκας:

**Περὶ πορνοβοσκῶν. ἀνάγνωθι βι(βλίον) ξ΄ τί(τλον) λη΄. ὁμοίως ἐν τῷ α΄ κε(φαλαίῳ):**

Οἱ ἐὰν παρθένους ἀπατήσαντες πορνοβοσκοί, ἀπολλύτωσαν τὴν ἐπ' αὐταῖς ἐξουσίαν. λοιπὸν δὲ αὗται βουλόμεναι ἐλευθερωθῆναι τοῦ πάθους τούτου προσίτωσαν τῷ ἐπισκόπῳ καὶ τῷ ἄρχοντι καὶ τῷ ἐκδίκῳ βοηθείας τευξόμεναι. εἰ δὲ πρὸς τοῦτο αὐτὰς ὁ πατὴρ ἢ ὁ δεσπότης πρὸς τὴν ὑπεξουσιότητα, καὶ δημεύονται καὶ ἐξορίαν εἰς μέταλλον ὑπομένουσι. μηδεὶς πορνοβοσκείτω τὸ λοιπόν, μήτε πόρνας ἐντεῦθεν τοῖς χαρίζεσθαι ἐγγυάσθω. μηδὲ ποιείτω δούλην ἐλευθέραν προστάτιν. ἐπεὶ ὁ τοῦτο ποιῶν, πρὸς τῷ τιμωρηθῆναι καὶ μεταλλίζεται. ἢ ὑπερορίως ἐξορίζεται. γυναῖκα δὲ ἔχων ἢ ἐπιτηδεύσας πορνεύειν ἢ ἀπόλλυται καὶ αὐτὴν ζωῆς τῇ οὐσίᾳ. ὡσαύτως καὶ οἱ θυμελικοὶ τοιοῦτοι ἀποκεφαλίζονται. εἰ δὲ δοῦλος ἐστι ὁ πορνεύων, παρὰ παντὸς ἐκδικείσθω. πορνεύειν δὲ ἢ ἀνὴρ ἐστι ἢ γυνὴ ἢ κληρικὸς ἢ μοναχός, τοῦτον ἐκδικεῖν. ἀνάγνωθι καὶ βι(βλίον) κ΄ τί(τλον) ϛ΄ κε(φάλαιον) ια΄ καὶ βι(βλίον) κ΄ τί(τλον) δ΄ κε(φάλαιον) ια΄ ἐν τῷ θ΄. πορνοβοσκὸς δέ ἐστιν, ὁ προϊστῶν γυναῖκας. ἐπεὶ μαθεῖν τὰς παραλυχούσας μισθαρνούμενας, κἂν ἑτέρῳ πραγματείᾳ τυχοῦσι ὑπηρετοῦσαι ἐν καπηλείῳ:

**Περὶ ποταμοῦ καὶ τῆς ὄχθης αὐτοῦ. καὶ περὶ τῆς ἐν αὐτῷ φυομένης νήσου. ἀνάγνωθι βι(βλίον) κ΄ τί(τλον) ιϛ΄. ὁμοίως ἐν τῷ α΄ κε(φαλαίῳ) φησίν:**

κζ΄ Ποταμὸν ἀπὸ ὀχετοῦ, τὸ μέγεθος διακρίνει ἢ ὑπόνοια αὐτῶν περιχώρων. ἡ ὄχθη τοῦ ποταμοῦ ἐκ φυσικοῦ δρόμου τοῦ ποταμοῦ ὁρίζεται. οὐχ ὅτε ὄμβροις ἢ θαλάσσαις ἢ ἄλλως αὐξηθῇ. οὔτε γὰρ ὁ Νεῖλος ἐν τῷ θέρει σκέπων τὴν Αἴγυπτον ἐναλλάσσει τὰς ὄχθας. ὁ δὲ ὑδὸς ὑποστρέφει. εἰ ἐν δημοσίῳ ποταμῷ νῆσος φυῇ καὶ γένηται ἐν αὐτῇ, οὐχ ἁρμόζει τὸ πρᾶγμα τοῦτο. αὐτὴ γὰρ νῆσος ἢ τοῦ περιλαμβάνοντος ἐστίν, ὅθεν δημόσιοι εἰσὶν ἀγροὶ ἢ τοῦ ἑκατέρου τῆς ὄχθης κειμένου. εἰ δὲ ἐν τῷ μέσῳ φυῇ, τῶν ἑκατέρωθεν κειμένων ἐστίν:

κη΄ **Περὶ πραγματευτῶν τῶν τὰ ὠνητὰ ἐπιβουλευόντων ἐν τῷ ἀγοράζειν ἢ ἀποτίθεσθαι φορτία. ἢ σταθμοῖς νόθοις χρᾶσθαι καὶ περὶ τοῦ μὴ ἐξεῖναι αὐτοῖς συμφωνεῖν πρὸς ἀλλήλους, περὶ δὲ τῶν ἐφ' ὧν μὴ κατὰ το-**

ἔ

νος οὐ πρὸς ἀλλήλους διέταξαν πραθῆναι. καὶ τὸ μὴ ἔχειν μονοπώλιον. ἀνάγνωθι βιβλίον ιθ΄ τίτλον ιη΄. ὁ τύπος ἐν τῷ α΄ κεφαλαίῳ φησίν:

Κωλύομεν ἵνα μηδεὶς οἱασδήποτε ἐσθῆτος ἢ ἰχθύος ἢ κτενίου ἢ ἐχίνου ἢ οἱουδήποτε ἄλλου εἰς ἀποτροφὴν ἢ εἰς οἱανδήποτε χρῆσιν ἀνήκοντος εἴδους ἢ οἱασδήποτε ὕλης ἐξ οἰκείας αὐθεντίας ἢ θείου ἤδη ἐκφωνηθέντος ἢ τοῦ λοιποῦ ἐκφωνουμένου διατάγματος ἢ πραγματικοῦ τύπου ἢ θείας ὑποσημειώσεως μονοπώλιον ἔχειν τολμήσῃ. μηδὲ τοῖς ἀθεμίτων γενομένων συμφώνων συνομνύειν ἢ συμφωνεῖν ἵνα τὰ εἴδη διαφόρων τιμημάτων τῆς πραγματείας μὴ κατώνοις(?) ἔπη. οὐ πρὸς ἀλλήλους διέταξαν πραθῆναι. ἀνάγνωθι καὶ βιβλίον νς΄ τίτλον α΄ κεφάλαιον ιθ΄ καὶ κ΄ καὶ κα΄ ἐν τῷ φι. τοὺς ἐπισκόπους τῆς γειτονίας(?) καὶ τῶν ἐν μέσῳ ταῖς πόλεσιν ἐμπορίων κωλύομεν ἵνα μεταξὺ τοῦ ἰδίου καὶ τοῦ πράγματος τοῦ διαφέρεσθαι(?), τὸ τοῦ πιπράσκειν καὶ ἀγοράζειν συναλλάγματα. ἀνάγνωθι καὶ βιβλίον ξ΄ τίτλον ξβ΄ κεφάλαιον ς΄ ἐν τῷ φι. οἱ τῇ συνηθείᾳ ἐπιβουλεύοντες διὰ τὸ ἀγοραῖον ζῆν τὰ φορτία ἢ προαποτίθεσθαι, καὶ κατ' ἐξουσίαν ἐκδέχεσθαι. πραγματευταὶ εἰσὶν οὗτοι, εἴργονται τῆς πραγματείας ἢ ἐξορίζονται. οἱ δὲ δοῦλοι, εἰς δημόσιον ἔργον καταδικάζονται. καὶ οἱ σταθμοῖς νόθοις χρώμενοι, τῇ τοῦ πλαστοῦ τιμωρίᾳ ὑπόκεινται. καὶ ὁ πλαστὰ μέτρα ἔχων, ἐξορίζεται. ἀνάγνωθι καὶ τίτλον μα΄ ὁ τύπος ἐν τῷ α΄ κεφαλαίῳ φησί. καὶ δοῦλος κατηγορεῖ δεσπότου, τὴν δημοσίαν συνήθειαν ἀδικήσαντα. ἀνάγνωθι καὶ τίτλον να΄ κεφάλαιον λγ΄ ἐν τῷ φι. οἱ κατὰ τῆς συνηθείας πλαστοῖς χρώμενοι μέτροις. αὐστηρότερον πρὸς τὸ ἁμάρτημα τιμωροῦνται:

Περὶ πραγμάτων ποιότητος καὶ τῆς διαιρέσεως αὐτῶν. ἀνάγνωθι βιβλίον μς΄ τίτλον γ΄. ὁ τύπος ἐν τῷ α΄ κεφαλαίῳ φησίν: κε΄

Τῶν πραγμάτων τὰ μέν ἐστι θείου δικαίου, τὰ δὲ ἀνθρωπίνου. θείου μέν, ὡς τὰ ἱερὰ καὶ μνημεῖα καὶ τείχη καὶ πόρται καὶ τὰ οὐδενὸς δεσπόζονται. εἰσὶ γὰρ τινα μὴ δεσποζόμενα. ὡς ἡ ἀκληρονόμητος κληρονομία. τὰ δὲ ἀνθρώπινα, ἢ δημόσιά εἰσιν ἢ ἰδιωτικά. τὰ δημόσια, οὐδενός εἰσιν. ἀλλὰ τῆς κοινότητος. τὰ δὲ ἰδιωτικά, τῶν καθ' ἕκαστον εἰσίν. καὶ τινὰ μὲν αὐτῶν εἰσι σωματικά, ὡς τὰ ὑποπίπτοντα ἁφῇ. τὰ δὲ ἀσώματα, ὡς τὰ ἐνοίκια(?) καὶ ἀγωγαῖς καὶ δουλείαις καὶ τὰ μέγιστα ὡς ἐπὶ τὸ πολὺ σωματικά, διὰ τοῦ δικαίου καὶ τῶν ἀσωμάτων εἰς μὲν περιποιοῦνται. ἐν δὲ τῷ η΄ κεφαλαίῳ. ὁ τόπος ἐν ᾧ τὰ ἱερὰ ἀποτίθεται, οὐκ ἔστιν ἱερός. ἀλλὰ χρήσιμος τοῖς ἱεροῖς. καὶ μεταφερομένων τῶν ἱερῶν ἐλευθεροῦνται:

Περὶ προσδοκώντων(?) ἀλλότρια δικαιώματα. ἀνάγνωθι βιβλίον ξ΄ τίτλον κβ΄ κεφάλαιον β΄ ἐν τῷ φι φησίν: κς΄

Καὶ ὁ προδεδωκὼς ἀλλότρια δικαιώματα, σωφρονίζεται διὰ τῶν ἀρχόντων. ἐὰν
κζ΄ δέ τε καὶ πρὸς τὴν συνήθειαν τῆς ἐπαρχίας ἡ ἐπεξήγησις γίνεται:-

Περὶ προδότου ἑαυτοῦ μέρους. ἀν(άγνωθι) βιβ. νζ΄ τίτ. α΄ κεφ. ιϛ΄ δι(γ). βιβ. εϛ΄ τίτ. γ΄ κεφ. θ΄ ἐν ᾧ φη(σι):-

Ἐάν τις συμφατριάσῃ βαρβάροις εἰς τὸ προδοθῆναι ῥωμαϊκὸν ἔδαφος, ἢ μετὰ τὸ γενέσθαι τὴν προδοσίαν δηλωθῇ μετ' αὐτῶν, ζῶν καιέσθω:-

κη΄ Περὶ προθεσμιῶν τῶν διδομένων τοῖς δικαζομένοις παρὰ τῶν δικαστῶν. ἀν(άγνωθι) βιβ. ζ΄ τίτ. ιζ΄ ἀπὸ τοῦ ια΄ κεφ. ἕως τοῦ ιη΄ ἐν οἷς φασιν:-

Ἡ τρίτη κεφ. Ἐξουσίαν ἔχειν τὸν δικαστὴν ἕνεκεν συμβολαίων ἢ προσώπων συμβαλλομένων τῇ δίκῃ παρέχειν τοῖς δικαζομένοις προθεσμίαν εἰς παρασκευὴν τῶν οἰκείων δικαιολογιῶν πρὸς τὸ διάστημα τῶν τόπων ἐν οἷς λέγει ὁ αἰτῶν τυγχάνειν τὰ πρόσωπα ἢ τὰ συμβόλαια. Εἰ μὲν γὰρ ἐν αὐτῇ τῇ ἐπαρχίᾳ καθ' ἣν ἡ δίκη λέγεται φησὶ ταῦτα τυγχάνειν, μὴ περαιτέρω τριῶν μηνῶν αὐτῷ παρεχέσθω. Εἰ δὲ ἐν ἑτέρᾳ ἐπαρχίᾳ λέγει τυγχάνειν τὰ πρόσωπα ἢ τὰ συμβόλαια, εἰ μὲν πλησιάζει ἐκείνῃ τῇ ἐπαρχίᾳ καθ' ἣν ἡ δίκη λέγεται φησὶ, ἓξ μῆνες λόγῳ τῆς προθεσμίας παρασχεθήσονται. Εἰ δὲ διαπόντιος ἐστὶν ἡ ἐπαρχία, ἐννέα μηνῶν τελαμβανέτω προθεσμίαν. Οὐ βούλεται δὲ ὁ δικαστὴς ἔχειν ἐξουσίαν ὡς ἔτυχε παρέχειν προθεσμίαν, ἀλλὰ τοὺς αὐτοὺς συναιρεῖν, ἡνίκα σφοδρὰ καὶ ἀπαραιτήτως χρεία ἀπαιτεῖ. Καὶ ἀναγκαίας δὲ οὔσης τῆς αἰτίας, πλέον ἢ ἅπαξ μὴ παρεχέσθω προθεσμία. Εἰ μὴ ἄρα ἀναγκαίως ἀπαιτηθῇ καὶ δεύτερον παρασχεθῆναι αὐτήν. Ὁ ἀπὸ τῆς αὐτογραφῆς εἰς ἄλλον φόρον ἕλκων τὸν ἴδιον ἀντίδικον, μὴ λαμβανέτω προθεσμίαν. Ὁ δὲ παρ' αὐτοῦ ἐναγόμενος, εἰ βούλεται ἐλέγξαι τὸν ἀντίδικον ψεῦδος ἢ δικαιώματα ἀπαιτεῖν ὑπὲρ ἑαυτοῦ ἢ μάρτυρας, λαμβανέτω προθεσμίαν ὡς ἀπροσδοκήτως εἰς ἀπρόσφορον ἑλκόμενος δικαστήριον, καὶ διὰ τὸ ἀπαρασκεύαστος ὑπάρχων πρὸς τὸ δικάζεσθαι. Οὐ δεῖ τοῖς περιτύχης καὶ περιουσίοις δικαζομένοις ἐξεῖναι ὑπὲρ τοὺς ἐννέα μῆνας αἰτεῖν προθεσμίαν ἐν ταῖς διαποντίοις διακειμέναις ἐπαρχίαις. ἀν(άγνωθι) καὶ τίτ. α΄ κεφ. ζ΄ καὶ τίτ. δ΄ κεφ. α΄ ἐν οἷς φη(σι). Περὶ προθεσμίας περὶ τῆς ἐν ᾧ περὶ δικαζομένων προσέρχεται. ἀν(άγνωθι) καὶ βιβ. θ΄ τίτ. γ΄ κεφ. α΄ ἐν ᾧ φη(σι). Δύναται ὁ δικαστὴς καὶ στενοῦν τὴν τεταγμένην καὶ ἐπεκτείνειν πρὸς τὴν ποιότητα τῶν πραγμάτων καὶ τῶν προσώπων, σπανίως δὲ πρὸ τοῦ τεταγμένου χρόνου ἐκβιβάζονται αἱ ψῆφοι. Καὶ κεφ. β΄ ἐν ᾧ φη(σι). Εἰ ἥττονα τῶν τεσσάρων μηνῶν ἔδωκε προθεσμίαν ὁ δικαστής, ἀναπληροῦται ἡ τετράμηνος. Εἰ δὲ πλείονα, περιμένει διὰ τὸ ἐν τῇ ψήφῳ ὁρισθέντα καιρόν. ἀν(άγνωθι) καὶ κεφ. λγ΄ ἐν ᾧ φη(σι). Τοῖς χρεώσταις αἰτοῦσι δίδοσθαι προθεσμίαν. Εἰ δὲ δεῖ ὅσοι καὶ ἐπεκτείνεσθαι, ἀνὴ δὲ ἄγνοια μόνας ὑπερθέσεις

π'.

νων, ἐνέχυρα λαμβανέτωσαν. καὶ τὰ καταλειφθέντα δὲ προθεσμία δίδοται. τῶν δὲ
μετὰ τὴν προθεσμίαν μὴ διδόντων, ἐνέχυρα λαμβάνουσι. καὶ οἱ ἐντὸς δύο μηνῶν μὴ
δόντες πιπράσκονται. καὶ τὰ περιττεύοντα ἐκ τῆς τιμῆς ἀναλαμβάνουσι. καὶ κεφ.
πθ' ἐν ᾧ φησι. ὅτι οὐ μόνον τοῖς καταδικαζομένοις πρωτοτύποις δίδοται ἡ τῶν
τεσσάρων μηνῶν προθεσμία· ἀλλὰ καὶ τοῖς ἐγγυηταῖς αὐτῶν. αὐτ. καὶ βιβ. ς' τί. κα'
ἐν ᾧ φησι. περὶ τῆς διδομένης προθεσμίας τοῖς ἀπαιτουμένοις, ἐν ἐκδημίᾳ τῇ χώρᾳ:

περὶ προικὸς καὶ προνομίου αὐτῆς καὶ δικαίου καὶ τῶν περὶ αὐτὴν
πάκτων ἤτοι συμφώνων· καὶ ποῖα αὐτῶν ἔρρωται, καὶ ποῖα οὐκ ἔρρωται.
καὶ περὶ ἀπαιτήσεως καὶ ἐκδικήσεως αὐτῆς· καὶ περὶ τῶν εἰς αὐτὴν γενομέ-
νων δαπανημάτων· καὶ ποῖα τῶν δαπανημάτων μειοῦσιν αὐτήν, καὶ
ποῖα οὐ μειοῦσι· καὶ περὶ ἀπαιτήσεως πρώτης καὶ δευτέρας προικός· καὶ
περὶ τῆς ὑποσχέσεως καὶ μὴ ἐπιδόσεως ἔνθα καὶ περὶ τῆς προγαμιαίας δω-
ρεᾶς φησι· καὶ ὅτι ὁ ἀνὴρ αὐτὸς ἐγγυητὴν οὔτε μανδάτωρα ὀφείλει φυλάξαι
τὴν προῖκα διδοῦσιν. αὐτ. βιβ. κθ' τί. α'. οὗτινος ἐν ἀρχῇ τὸ κεφ. φησίν: κθ'

Τῆς λύσεως τῆς συναφείας, ἀποδίδοται ἡ παρ' ἢ πρὸ αὐτοῦ δοθεῖσα προίξ. καὶ οἱ μεί-
ζους τῶν κε' ἐτῶν ἐὰν ἀλλήλους περιγράψωσιν ἐν τῇ δόσει τῆς προικὸς βοηθοῦνται. οὐ
συναινεῖ γὰρ ἡ ἀπάτη καὶ ἡ δικαία ἵνα κερδαίνῃ ἐκ τῆς ἑτέρου ζημίας ἢ ζημιοῦ-
σθαι κερδαίνοντος ἑτέρου. ἐν τῷ δὲ δ' κεφ. ὁ ἀνὴρ τοὺς καρποὺς λαμβάνει διὰ τὰ
βάρη τοῦ γάμου. οἱ μέντοι πρὸ γάμου ληφθέντες, τῆς προικὸς γίνονται εἰ μὴ τὸ ἐναν-
τίον συνεφωνήθη. τότε γὰρ ὡς δωρεᾶς γινομένης, οὐκ ἀποδίδονται. καὶ ὅτι ἡ
προὶξ οὐ συνεστῶτος τοῦ γάμου τοῦ ἀνδρὸς γίνεται. ἐν τῷ δὲ ζ' κεφ. ἡ διατετιμημένη
προὶξ τῷ ἀνδρὶ κινδυνεύεται κἂν ἀποθάνωσι τὰ ζῷα. καὶ ἡ γυνὴ τὴν ἐσθῆτα
καταλείψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσι. τῆς διατιμήσεως δὲ καὶ ἡ αὔξησις καὶ
ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ καὶ αὐτὴ λαμβάνει τὸ τίμημα τῶν δούλων. τοὺς δὲ καρ-
ποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων, ὁ ἀνὴρ λαμβάνει. πρότερον μέντοι πληρῶν
τὰ πρωτότυπα καὶ ὑποβάλλων αὐτὰ τῶν τελευτώντων, ἐκ τῶν ἐπιγεννωμένων.
ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται. με-
τὰ γὰρ τὸν γάμον, ἀνήκει ἡ πρᾶσις. πρὸ δὲ τοῦ γάμου ὑπὸ αἵρεσιν. καὶ πληρου-
μένης τῆς αἱρέσεως. ἐὰν συμβῇ τελευτῆσαι, σβέννυται ἡ πρᾶσις. εἰ συμφωνηθῇ
τὰ πράγματα ἢ τὴν διατίμησιν ἀποδοθῆναι. ἔχεις καὶ περὶ τοῦ ὀφείλοντος ἔ-
χειν τὴν ἐπιλογὴν ἐὰν συμφωνηθῇ, αὐτὸς ἔχει. εἰ δὲ μὴ λεχθῇ. ὁ ἀνὴρ ὃ βούλεται δί-
δωσι. ἐπεὶ γὰρ τῆς ἑτερογενοῦς καὶ ὁ ἐναγόμενος ἔχει τὴν ἐπιλογὴν ὃ βούλεται

διδόναι. Εἰ δὲ μὴ φαίνονται δὲ τὰ πράγματα, διδῶσι δὲ πάντως διατίμησιν, δύναται τὰ
πράγματα ἀποδοῦναι. Ἐν δὲ τῷ ιγ´ κεφ. Ἐπὶ τοῖς προικιμαίοις πράγμασι χρεωστεῖ ὁ ἀ-
νὴρ δόλον καὶ ῥᾳθυμίαν. καὶ ἐπιμέλειαν ἔχειν, οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν. Ἐν
δὲ τῷ ιε´ κεφ. τῶν γάμων μὴ γενομένων, οὐ τὴν διατίμησιν τῶν διατετιμημένων, ἀλλὰ τὰ
πράγματα ἡ γυνὴ ἀπολαμβάνει. Ἐν δὲ τῷ κβ´ κεφ. μετὰ τὸν γάμον οὐ δύναται χρέος αὐτῷ

περὶ τέκνων τῆς προικιμαίας δούλης :-

ἀρεστὸν ὁ πατὴρ ποιῆται τῆς θυγατρός. Ἐν δὲ τῷ μη´ κεφ. τὰ ἐκ τῶν προικιμαίων γεν-
νηθέντα ἀνδράποδα προικιμαῖά ἐστι. Ἐν δὲ τῷ να´ κεφ. ὅπου τὰ βάρη τοῦ γάμου,
καὶ οἱ προῖκες ὀφείλουσιν εἶναι. Πραγματευσαμένη δὲ τοῦ ἀποθανόντος τὸν πατέρα τῷ γυναικὶ ἐποίησεν, ὡς
πατὴρ καὶ οἱ παῖδες καὶ ἡ γυνὴ γάμου βάρη. Ἐν δὲ τῷ ξς´ κεφ. ὁ τόκος τῶν προικιμαίων
δούλων, τῆς γυναικός ἐστι. κατὰ ἀνδραπόδων συμφωνοῦσι μεριοῦσθαι αὐτοὶ μεταξὺ τοῦ ἀν-
δρὸς καὶ αὐτῆς. Ἐν τοῖς ἀμφιβόλοις, ὑπὲρ τῆς γυναικὸς ἀποκρινόμεθα. ἡ προῖκα ἐξ ὧν
κατὰ ὁμολογίαν τὰ προῖκα, ἡ γυναικὶ ἐκινδυνεύθη. Ἐν δὲ τοῖς ἀνδράσιν ὁ ἀνήρ, λοι-
ποὶ αὐτῷ κινδυνεύει. Ἐν δὲ τῷ πγ´ κεφ. ἐάν τις ὑποδεξάμενος προῖκα, περὶ πλει-
όνων ἐξετάζειν ἐν τῷ προικώῳ συμβολαίῳ ὡς δοθέντων αὐτῷ. εἰ μὲν κατὰ βούλη-
σιν τοῦ προικίζοντος, οὐδὲν αὐτῷ πρόσκειται ποιεῖ. Ἐὰν δὲ βουλομένου αὐτοῦ ἔδοξε
συμφωνοῦ προικός, καὶ ἐπειδὴ ἀπὸ ψιλῆς ὁ πατὴρ ἀπαίτησιν αἱ προῖκες ἔχουσι.
δύναται ταύτα ἀπαιτεῖν. Ἐν δὲ τῷ πε´ κεφ. ἡ χάρτης ἀπὸ πάσης ὁμολογίας ἀ-
παίτησιν ἔχει τὴν προῖκαν μὴ προσλαβοῦσα ἡ ἐπερώτησις. Ἐπειδὰν ἁπλοῦς ὁ πα-
τὴρ δίδωσι προῖκαν ἢ προγαμιαίαν δωρεάν. πάντως οἴκοθεν δίδωσι μὴ ἀποτιθέμε-
νος παντελῶς τῶν τοῦ παιδὸς πραγμάτων. Εἰ μὴ ἀπορός ἐστιν αὐτός. παντελῶς τὸ ὅλον
ἐκ τῶν τοῦ παιδὸς παρέχεται. Εἰ δὲ ἔχουσιν ἀρκοῦντα, τὸ ὅλον ἐκ τῶν ἰδίων δίδωσι.
ἐὰν γὰρ αὐτὸς ἀπὸ τῶν ἐβούλετο ἐκ τῶν δύο οὐσιῶν γενέσθαι τὴν τῆς προικὸς ἐπίδοσιν
ἢ τῆς προγαμιαίας δωρεᾶς. ἐκ τῶν διαφερόντων αὐτοῖς πραγμάτων ἡνίκα βουλη-
θεὶς μέρος ἢ τυχὸν πᾶσαν τὴν ἰδίαν οὐσίαν ἣν ἔχουσι τῷ πατρὶ φιλοτιμίᾳ ὑπὲρ
προικὸς ἢ προγαμιαίας δωρεᾶς συνάγει. ἵνα τῇ ἀληθείᾳ δηλώσῃ αὐτὸς βούλεσθαι δοῦ-
ναι, καὶ τὸ ἐκ τῆς ὑποστάσεως τῶν παίδων ἐξέρχεται. Ἐν δὲ τῷ πθ´ κεφ. οὐ κεκώλυ-
ται ὁ ἀνὴρ τοὺς προικιμαίους δούλους ἐλευθεροῦν ἐν συνεστῶτι γάμῳ. καὶ ἀμέλει τὴν
τιμὴν καὶ καταλαβέσθαι ἀποκαταστάσει, ἴσως μετὰ χρόνους τινάς. καὶ τελευτῶν. ἀλλ' ἔρρωται
ἡ ἐλευθερία κἂν τελευτήσασα ἁρμόσῃ τῷ πενθερῷ ἡ ἀπαίτησις τῆς προικὸς τελευ-
τώσης ἐν τῷ γάμῳ τῆς θυγατρός. Ἐν δὲ τῷ ϙα´ κεφ. ὁ ἀνὴρ διατετιμημένος προῖκα
λαβὼν τὴν διατίμησιν προσοφείλει ἔχειν ἐν προικὶ καὶ οὐχὶ τὰ πράγματα. ὅθεν
διαλυομένου τοῦ γάμου δύναται μὴ τὰ πράγματα αὐτὰ. ἀλλὰ τὴν διατίμησιν.

π΄.

Ἐν τῷ δ΄ ζη κεφ. τὰ ἀπὸ προικιμαίων ὑπὸ ἀγοραζόμενον, οὐκ ἔστι τῆς δεσποτείας τῆς γυναικός. ἀλλ᾽ ἐὰν μόνον τῆς προικὸς ἐπιλάβηται ἡ γυνή, ἢ μὴ δημόσιον δύναται περὶ τοῦ ὑπολοίπου μέρους τῆς προικὸς ἐνάγειν. τὴν γὰρ δεσποτείαν τούτων τῶν πραγμάτων, οὐκ ὀφείλει διεκδικεῖν. Ἐν τῷ δ΄ ρα κεφ. καὶ ἀγράφως δύναται ἐπιδοθῆναι προῖκα. καὶ ἐὰν ἐγγράφως ἐπεδόθη καὶ ἀπώλοντο τὰ συμβόλαια, οὐδὲν ἧττον ἀπαιτεῖται ἡ προίξ. ἐὰν ὅλως ἀποδείκνυται ὅτι παρεδόθη. Ἐν τῷ δ΄ ρια κεφ. ἔχει δὲ ἡ γυνὴ μὴ μόνον τὴν περὶ τῆς δεσποτείας ἀγωγήν. ἀλλὰ καὶ τὴν ὑποθηκαρίαν, πρωτοτέραν ὑπάρχουσαν πάντων τῶν τοῦ ἀνδρὸς δανειστῶν. τῶν μεταγενεστέρων καὶ τῶν προγενεστέρων. ἀνάγνωθι καὶ β΄ ιη τ΄ ζ κεφ. ιβ θε. β. καὶ β κς τ ε κεφ. λ θε. καὶ κεφ. μα καὶ ξα. καὶ θ΄ καὶ β κη τ γ κεφ. α καὶ γ καὶ β λ τ α κεφ. ς θε ζ. καὶ β η τ γ κεφ. μβ φη. ὁ προικιμαῖον οὖν ἀγνοοῦντι καθ᾽ ἃ πρὸς τοῦ ἀνδρὸς πεπράσεται. Ἐν τῷ κερδαίνει ὁ πατὴρ τὴν προῖκα τελευτούσης τῆς παιδὸς ἐκ προάστεως. ὥσπερ καὶ ὁ τὸ κλοπιμαῖον ἀγοράσας τὴν κληρονομίαν τοῦ δεσπότου. ἀνάγνωθι καὶ β κθ τ ε θέμα ἐν τῷ δ΄ α κεφ. φη. μετὰ σύστασιν τοῦ γάμου καθ᾽ ἃ συμφωνοῦνται, εἰ καὶ τὴν ἀρχὴν μηδὲν συνεφωνήθη. πάντες οἱ τὴν ἀπαίτησιν ἔχοντες καὶ οἱ τῇ δόσει ὑποκείμενοι συμφωνοῦντα ὀφείλουσι περὶ τῆς ἀποδόσεως. ὅτι γὰρ μὴ εὑρεθείς, οὐκ ὀφείλεται. Ἐν τῷ δ΄ ια κεφ. ταχύτερον τοῦ ὡρισμένου, δύναται συμφωνῆσαι ἀποδοθῆναι τὴν προῖκα. οὐ μὴν βραδύτερον. ὥσπερ οὔτε τὸ μηδόλως ἀποδοθῆναι τὴν προῖκα πρὸ τοῦ γάμου συμφωνηθῆναι, ὥσπερ οὔτε τῇ προθεσμίᾳ ἡ δίδοται ἡ προὶξ τῇ αὐτῇ κατὰ μὴ ἀποδοῦναι. εἰ μὴ ταχύτερον τοῦ νομίμου χρόνου δοθῆναι ἡ προὶξ τυχὸν ἢ διατελεῖν μετὰ ἔτος ἢ β μηνῶν, ἔρρωται τὸ σύμφωνον. καὶ μὴ λύσει τοῦ γάμου, ἔτος ἢ μηνῶν, ἔρρωταί τὸ σύμφωνον. ἀποδίδωμι. Ἐν τῷ βραδύτερον τοῦ νομίμου χρόνου δοθῆναι, οὐκ ἔρρωται τὸ σύμφωνον. οὔτε τὸ τοῦ χρόνου ἔχω πρὸς τὴν ἀπόδοσιν. κρείττων γὰρ ἡ αἵρεσις τῆς γυναικός, οὐ μὴν χεῖρον διὰ τῶν τοιούτων γίνεσθαι συμφώνων δύναται. τοῦ τὸ ἐνσωματοῦν δ΄ γάμου. μετὰ γὰρ διαζύγιον ἐξ εὐλόγου αἰτίας, καθ᾽ ἃ συμφωνοῦνται βραδύτερον ἀποδοῦναι. Ἐν τῷ δ΄ ιθ κεφ. ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας κερδαίνειν τὸν ἄνδρα τὴν προῖκα, καὶ ἀναιρεθῇ ἡ γυνὴ μετὰ ἐπιζῶντος παιδίου. δοκεῖ πεπληρῶσθαι τῆς αἱρέσεως, καὶ κερδαίνει ὁ ἀνήρ. Ἐν τῷ δ΄ κα κεφ. ἐὰν συμφωνηθῇ τὴν προῖκα ἐξ ἀπαιδίας ἀποδοῦναι τὸν ἄνδρα δοκεῖ συμφωνεῖν παίδων ὑπόντων αὐτὴν προκαταληφθῆναι. ἤρκει ᾗ τὸ σύμφωνον καὶ εἰς τὴν ἐπαύξησιν, ἐὰν ἕτερον συνέδοξεν. Ἐν τῷ δ΄ κε κεφ. γυνὴ συνεφώνησεν ἐξ ἀπαιδίας δοθῆναι τὴν προῖκα προτερευούσης τῇ ἰδίᾳ μητρί. ἀπὸ τοῦ συμφώνου ἡ μήτηρ ἀγωγὴν οὐκ ἔχει. ἐὰν δὲ

καὶ τῶν προγενεστέρων ἔστω τοῦ ἀνδρὸς προτιμᾶται: -ς

περὶ συμφώνου προικός: -ς

οἱ κληρονόμοι τῆς θυγατρὸς καταβάλωσιν αὐτῇ τὴν προῖκα, προσγράφοντα τὰ αὐ-
δέα περὶ τῆς προικὸς ἐνάγονται. Ἐν τῷ δ΄ κϛ΄ κεφ. Καὶ συνεστῶτος τοῦ γάμου, δύναται
συμφωνεῖν τὴν διατετιμημένην προῖκα γενέσθαι ἀδιατίμητον, καὶ τῇ γυναικὶ κιν-
δυνεύειν. Εἰ δὲ βλάψει τυχὸν ἀτέρως ὁ ἀνὴρ ἐνέχεται τῇ γαμετῇ περὶ προικός. Ἐν τῷ
δ΄ λ΄ κεφ. Τὰ ἐπὶ τῇ προικὶ γινόμενα σύμφωνα περὶ τῆς ἀναδόσεως ἰσχύουσιν. Οὐ
δὲ γάρ ἐστι ψιλοῦ πάντως τὸ τοιοῦτον ὅτε περὶ ἀναδόσεως τῶν ἐπιδεδομένων γίνεται
πραγμάτων. Ἐάν τις συμφωνήσῃ πρὸς τὸν πενθερὸν ἵνα συμβῇ αὐτῷ ἐν τῷ γά-
μῳ τελευτῆσαι παίδων ὑπόντων, τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ· ἄκυρον
ἐστὶ τὸ σύμφωνον. Ἐν τῷ δ΄ λε΄ κεφ. Ἐὰν ὁ ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα ἵ-
να τελευτήσασαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον τοῦτο ἄκυρόν ἐστιν. Οὐ γὰρ
δυνατὸν διὰ συμφώνου λύεσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας. Ἐξαιρέτως
γὰρ αὐτὸς διαθήκης χωρίς, ἕτερον οὐ δύναται κληρονομῆσαι. Ἐν τῷ δ΄ μα΄ κεφ.
Τὴν προῖκα ἡ ἀεὶ θανοῦσα (?), οὐχ ἡ γραφὴ τοῦ προικώου συμβολαίου ποιεῖ. Ἐπὶ
αὐτοῦ οὐκ ἄγνοιας οὕτως πρὸς τὴν ἀπαίτησιν τῆς προικὸς δύνασθαι δεχθῆναι ἐὰν
τὴν προῖκαν δοθεῖσαν ἐν αὐτῇ τῇ ἀληθείᾳ ἀποδείξῃς· τοῦτ' ἔστι μὴ ἐν χάρτῃ μόνῳ. Δεῖ
ἵνα ἐν αὐτῷ τῷ πράγματι ἡ προὶξ ἐπιδοθῇ. Αὐθ. καὶ ἰα΄ τιτ. α΄ κεφ. λϛ΄ θεμ. Ὁμολο-
γῶν ὑπὲρ θυγατρὸς προῖκα, συνεφώνησεν ἵνα ἐν θανάτῳ μου τελευτήσῃς αὐτῆς ἄπαι-
δος, τὸ μέρος τῆς προικὸς μένῃ παρὰ τῷ ἀδελφῷ μου τῷ καὶ κληρονόμῳ μου. Οἱ μὲν
ταύτῃ τελευτήσαντες ἐξ ἐκείνου παῖδες καὶ γραφέντες κληρονόμοι, τὴν τοῦ δόλου πα-
ραγραφὴν ἕξουσιν. Ἁπλῶς γὰρ τῶν κληρονομησόντων μου προσήκοντα. Καὶ κεφ. νη΄ τοῦ
τῷ θεμ. Ἀναθρεπτὴν ἐν τῷ γάμῳ τελευτῆσαι, καὶ ἦλθεν ἡ προικίσασα αὐτὴν βουλο-
μένη τὴν προῖκα ἀναλαβεῖν κατὰ τὸ σύμφωνον. Ὁ δὲ ἀνὴρ ἤθελε μηδὲν χρεωστεῖν δι-
ισχυριζόμενος, γυμνὸν εἶναι τοῦτο τὸ σύμφωνον. Ἀπὸ γυμνοῦ δὲ συμφώνου, μηδενὶ
τίκτεσθαι ἀγωγήν. Προσῆλθεν οὖν ἡ γυνὴ βασιλεῖ ταῦτα διδάσκουσα, καὶ ἀντέγραψε
πρὸς αὐτὴν ὁ βασιλεὺς οὕτως. Τὸ σύμφωνον ὅπερ ἐξεφώνησας ὅτε τὴν προῖκα
ὑπὲρ τῆς ἀναθρεπτῆς ἐδίδους, φυλαχθῆναι δεῖ. Καὶ οὐδὲ αὐτὴ κεῖσθαι (?) δύνα-
ται ὅπερ ἔθεντο λέγεσθαι ἀπὸ ψιλοῦ συμφώνου, ἀγωγὴν μὴ γεννᾶσθαι. Τότε γὰρ τοῦ-
το ἐν τοῖς νομίμοις κεχρήμεθα, ὅτε τὸ σύμφωνον γυμνόν ἐστιν. Ἐπεὶ ὅτε πράγματα δί-
δοται καὶ τότε περὶ ἀναδόσεως αὐτῶν συμφωνεῖται, χρήσιμός ἐστιν ὁ τῆς ἀ-
παιτήσεως λόγος. Καὶ κεφ. ξδ΄ ἐν τῷ θεμ. Τὸ σύμφωνον τοῦτο ὅπερ τῷ προικῴῳ
δικαιώματι προσελήφθη, ὡς ἐὰν ὁ πατὴρ τὸν βίον ὑπεξέλθῃ, ἐξ ἴσης μερίσας
αὐτὴν τὴν θυγατέρα σὺν τῷ ἀδελφῷ κληρονόμον τοῦ ἰδίου πατρὸς εἶναι, οὐδεμίαν

π΄

Εὖ ὁ χρεώστης ὑπεναντίαν ποιεῖ· οὐ γὰρ τὴν ἔνθεσιν τῆς διαθήκης τοῦ πατρὸς τῆς κόρης δύναται ἀφαιρεῖσθαι. αὐτ(ὸ) καὶ β(ιβλίον) κη΄ τ(ίτλος) η΄ ... ἐν θ(έματι) ιβ΄ κε(φαλαίου)· μέχρις οὗ ποιεῖ ὁ ἀνὴρ οὐ μὴν καὶ ὁ κληρονόμος αὐτοῦ καταδικάζεται. ὁ γὰρ προικῷος προνόμιον προσωπικόν ἐστιν, ἔχει δὲ αὐτὸ καὶ ὁ ἐκδικητὴς ἢ ... τοῦ ἀνδρός. Ἐν δὲ θ(έματι) ιε΄ κε(φαλαίου)· καὶ ὁ πατὴρ τοῦ ἀνδρὸς μέχρις οὗ ποιεῖ τῇ νύμφῃ καταδικάζεται. τάξιν γὰρ πατρός, ὁ πενθερὸς ἐπέχει. Ἐν δὲ θ(έματι) ιζ΄ κε(φαλαίου)· ἐὰν τοῦ δικαστοῦ τῶν νόμων ἀγνοοῦντος ... ὁλόκληρον ὁ ἀνὴρ ἐν τῇ προικὶ καταδικασθῇ, ἔχει δόλου παραγραφήν. Ἐν δὲ θ(έματι) ιη΄ κε(φαλαίου)· καὶ οἱ παῖδες τῆς γαμετῆς κληρονομοῦντες τοῦ πατρός, μέχρις οὗ ποιεῖ καταδικάζονται. Ἐν δὲ θ(έματι) κ΄ κε(φαλαίου)· ἡ προὶξ τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου καλῶς καταβάλλεται ἐπὶ τὸ καταβαλεῖν δανεισταῖς αὐτῆς ἢ γονεῦσιν ἀπορωτέροις ... ἢ ἐπὶ τὸ προνοεῖσθαι παίδων ἐξ ἑτέρου γάμου ἢ ἀδελφῶν ἢ γονέων πενομένων· ἢ ἐπὶ τὸ ἀναρρύσασθαι τούτους ἀπὸ αἰχμαλώτων· τὸ αὐτὸ καὶ περὶ ὑπεξουσίων. εἰ δὲ ... τῆς γυναικὸς ἀναρρύσεται ἡ προὶξ τῇ γυναικὶ ἐπὶ τὸ δεσμῶν ἢ λῃστῶν ἀπο... καταλογίζεται. ... τὴν προῖκα ... ἔδωκε· καὶ πλέον ὁ ... ἐν ... λογίζεται ... εἰς αὐτὸν δαπανηθέντα παρὰ τοῦ ἀνδρὸς ἢ τῆς θυγατρός, τοῦ ἀνδρὸς ... ὥσπερ καὶ ... θάνατον τοῦ πατρὸς ἡ θυγάτηρ ... ἡ γὰρ τοῦ δόλου παραγραφή, ἔνεστι τῇ ἀγωγῇ τῆς προικὸς ὡς καὶ τοῖς λοιποῖς κατὰ πίστιν δικαστηρίοις. Ἐν δὲ θ(έματι) κγ΄· καὶ συνεστῶτος τοῦ γάμου κινεῖ περὶ τῆς προικὸς ἡ γυνὴ ἀφ' οὗ ἄρξεται μὴ ἀρκεῖν πρὸς τὸ ποσὸν αὐτῆς ἡ οὐσία τοῦ ἀνδρός. αὐτ(ὸ) καὶ β(ιβλίον) κθ΄ τ(ίτλος) α΄ κε(φαλαίου) ξ΄ ἐν θ(έματι)· τῇ μὴ ἀπολυούσῃ γαμετῇ δύναται ἡ προὶξ ἐκ τούτων καταβάλλεσθαι δι' αἰτιῶν· οἷον ἵνα ἑαυτὴν καὶ τοὺς ἰδίους θρέψῃ· ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ· ἵνα τὸν ἐξορισθέντα πατέρα θρέψῃ· ἢ τὸν ἄνδρα· ἢ τὸν ἀδελφὸν πενόμενον. Καὶ κε(φαλαίου) οη΄ ἐν θ(έματι)· ἐν συνεστῶτι δὲ γάμῳ, καλῶς ὁ προικῷος ἀγρὸς καταβάλλεται τῇ γυναικὶ ἐφ' ᾧ πρᾶσαι καὶ δοῦναι τὰ τιμήματα τοῖς δανεισταῖς τοῦ πατρὸς τῆς γυναικὸς καὶ ἄλλου, ἀπορωτέρου παρ' αὐτῆς κληρονομούσης τοῦ πατρὸς αὐτῆς ... τῇ γυναικί. Καὶ κε(φαλαίου) ριγ΄ ἐν θ(έματι)· γυνὴ καὶ συνισταμένου ἔτι τοῦ γάμου ἐὰν ἀπορεῖν ὁρᾷ τὸν ἄνδρα, δύναται ὑπὲρ προικὸς καὶ προγαμιαίας δωρεᾶς καὶ ἐξω... πραγμάτων κατακρατῆσαι τὴν αὐτοῦ οὐσίαν ὡς ἀπὸ ὑποθήκης. Καὶ ... ἔχει παραγραφὴν ... νικᾶ· οὐ γὰρ ... αὐτῇ τὸ μηδέπω διαλυθῆναι τὸν γάμον· ἀλλὰ ... λαμβάνει τὰ πράγματα ὅλως, ὡς ... διαλυθῇ ὁ γάμος, καὶ ... αὐτῇ ἡ τῆς προικὸς ἀπαίτησις. λοιπὸν δὲ οἱ δανεισταὶ ... νομίζουσιν ἔχειν ἀγωγάς, ταύτας ὀφείλουσι κινῆσαι κατὰ τοῦ ἀνδρὸς ἢ ... αὐτοῦ πραγμά...

περὶ ἀπαιτήσεως προικός

ὅτι καὶ συνεστῶτος τοῦ γάμου καταβάλλεται ἡ προὶξ τῇ γυναικί

τὴν οὐσίαν ἐὰν ἐπικλήσηται. Εἰ δὲ ἡ γυνὴ οὐδὲν δύναται ἐκποιεῖν ἐν τῷ μεταξὺ ζῶν-
τος τοῦ ἀνδρός. ἀλλ᾽ ἀναμένουσιν ἵνα λυομένου τοῦ γάμου ἀγωνίζωνται πρὸς ἀλλή-
λους ἀνὴρ καὶ ἡ γυνὴ ἡ περὶ τῆς προικός. διὸ οὐδὲν γὰρ ἕτερον λαμβάνει τὰ πράγμα-
τα ἡ γυνή. εἰ μὴ μόνον ἵνα καρποῦται καὶ ἀποτρέφῃ ἑαυτὴν καὶ τὸν ἄνδρα καὶ τοὺς
κοινοὺς αὐτῶν παῖδας. Καὶ κεφ. ρια΄ ἐν ϛ΄ φ. ἡ γυνὴ διαλυομένου τοῦ γάμου
δύναται ἐκδικεῖν τὰ εἰς προῖκα ἐπιδοθέντα παρ᾽ αὐτῆς πράγματα καὶ τὰ σωζό-
μενα διὰ τῆς ἀγωγῆς ὡς ἐπὶ δεσποινα αὐτῶν εἶναι νομιζομένη. καὶ γὰρ αὐτῆς
ὑπῆρχον ἐξ ἀρχῆς τὰ πράγματα. κἂν νῦν ἡ τοῦ νόμου ἀκρίβεια μετατάττει αὐτὰ
πρὸς τὸν ἄνδρα. ἐπεὶ τοίνυν ἐν αὐτῆς δοκοῦσιν εἶναι. ἔχει δὲ ἡ γυνὴ μὴ μόνον
τὴν περὶ τῆς δεσποτείας ἀγωγήν. ἀλλὰ καὶ τὴν ὑποθηκαρίαν. πρεσβυτέρα ὑπάρχουσα
πάντων τῶν τοῦ ἀνδρὸς δανειστῶν. τῶν τε μεταγενεστέρων καὶ τῶν προγενεστέρων. παρὰ
δὲ λέοντος προσεταχθῆ αὐτὴ κεκριμένη τῇ γυναικὶ ἤτοι ὡς ἀπὸ τῆς διὰ τοῦ χρεώστου δε-
σπότου. εἴτε ὡς ἀπὸ δέκα ἢ κ΄ ἢ λ΄ ἢ μ΄ ἐνιαυτῶν. ἐξ ἐκείνου τοῦ καιροῦ ἀπαιτεῖσ-
θαι αὐτήν. ἐξ οὗ ἠδύνατο κινῆσαι. τουτέστιν ἐξ οὗ ἄπορος ἐστὶν ὁ ἀνήρ. ἐν τῇ τοῦ γά-
μου διαμονῇ. εἰ δὲ ἄπορος ἐστὶν, ἐκ τοῦ καιροῦ τῆς ἀπορίας. ἐπειδὴ ἠδύνατο ἡ γυνὴ
καὶ ζωσαμένου ἔτι τοῦ γάμου, κινῆσαι κατὰ τοῦ ἀνδρὸς περὶ τῆς προικός. Καὶ κεφ.
ρι΄ ἐν ϛ΄ φ. Ἐπειδὴ δὲ ἡ νόμος τὴν προῖκα ἀπαιτεῖσθαι ἀεὶ παρακελεύεται ἀπαιτεῖν πάντων
τὴν προῖκα ἀπαιτεῖσθαι ἀεί. ἡ δὲ περὶ τῆς προικὸς ἀγωγὴ τὰ σταθμώμενα ἀριθμού-
μενα μετρούμενα διὰ τριῶν ἐνιαυτῶν ἀπαιτεῖ. καὶ οὐ δὲ εἰς ὁλόκληρον ἐκινεῖτο. ἀλλ᾽
εἰς ὅσον εὔπορεῖ. καὶ ἡ τὴν προῖκα ἀπαιτεῖσθαι ἀεὶ σκοπεῖν εἰς τοῦτον κινεῖσθαι εἰς ὃ
τοῦτο ὁ ἀνὴρ εὔπορεῖ ἐκελεύσθω δὲ ἀσφαλίζεσθαι τῇ γυναικὶ ὡς ἐὰν ἐπικλήσηται καταβά-
λῃ αὐτῇ. ἡ δὲ ἀπαίτησις, μὴ διὰ τριῶν ἐνιαυτῶν γινέσθω ὡς ἐπὶ τῆς ἀναγκαίας,
τῆς προικός. μήτε παραχρῆμα. ἀλλὰ διὰ ἐνιαυτοῦ καταβαλλέσθω τὰ σταθμώμενα καὶ ἀ-
ριθμούμενα. τὰ μέντοι λοιπὰ πράγματα, παραχρῆμα καταβαλλέσθωσαν. εἰ δὲ ἀναβά-
λεται ὁ ἀνὴρ καταβαλεῖν παραχρῆμα ἢ μετὰ ἐνιαυτὸν παραδεχθέντα τὰ ὀφείλοντα καταβληθῆ-
ναι καὶ τόκους τῶν κινητῶν τὰ ἐκ τοῖς ἀπαιτεῖσθαι. καὶ τοὺς καρποὺς τῶν ἀκινήτων. ἀπὸ τοῦ και-
ροῦ τῆς λύσεως τοῦ γάμου καὶ τὰ ἐνοίκια καὶ τὰ ναῦλα, καὶ πάντα ἕτερον καρπόν. ἐὰν
ἐξωτικὸς προικίσῃ καὶ μὴ ἐπερωτήσῃ καὶ συμφωνήσῃ, ἐπαναλαβεῖν τὴν προῖκα, ἡ
γυνὴ ἔχει τὴν ἀπαίτησιν τῆς προικός. ἐκεῖνοι γὰρ μὴ ἐπερωτῶντες ἢ συμφωνοῦντες. ἡ
γυνὴ δοκεῖ ἐπερωτᾶν. ἐξωτικοὶ δὲ νόμοι. πάντες πλὴν τῶν γονέων τῶν ἐξ ἀρρενογονί-
ας ἀνιόντων, καὶ ἐχόντων ὑπεξουσίαν τὴν προικιζομένην. οὗτοι γὰρ σιωπηρῶς δοκοῦσιν
ἐπερωτᾶν. ἐπειδὴ καὶ οἱ παλαιοὶ σιωπηρῶς εἶχον τὴν ἀναγωγὴν τῆς προικός. πάλιν

περὶ πρεσβυτέρας προικός:

τὴν πρὸς τὸν ἄνδρα ἐπίδοσιν τῆς προικός φ.:

π΄

Ἐὰν ζώσης τῆς γυναικὸς ὁ γάμος διαλυθῇ, αὐτὴ ἔχει τὴν περὶ τῆς ἀπαιτήσεως τῆς προικὸς
ἀγωγήν. ἀνάγνωθι καὶ τίτ. ια κεφ. κα τοῦ κη β. τῶν βασ. οὐκ ὀφείλει προσκυροῦσθαι τῇ γυναικὶ ἡ τοῦ
ἀνδρὸς οὐσία ἀντὶ τῆς προικὸς, ἐὰν ἐπὶ κληρονόμοις ἐτελεύτησεν. εἰ δὲ ἀκληρονό-
μητος ἐτελεύτησε, τότε κατὰ τοὺς νόμους γίνεσθαι τὸ ἀζήμιον τῇ γυναικὶ πρὸς τὸ ἐξ χωρίου.
ἀνάγνωθι καὶ τὸ ζ΄ τίτ. ε κεφ. ξε΄ τῶν βασ. ἡ γυνὴ τῇ καθ' ἐκείνου τοῦ ἀνδρὸς ἕπεται. καὶ κατ' αὐτῶν ἀ-
παιτεῖ τὴν προῖκα οὐ μὴν ἔνθα συνεπλάκει τὸ συμβόλαιον, οὐ γὰρ ἐστὶ συνάλλαγμα;
ἀνάγνωθι καὶ τὸ θ΄ τίτ. ζ κεφ. ιη καὶ τίτ. θ κεφ. η τῶν βασ. τὸ προνόμιον ὅπερ ἔχουσιν αἱ γυναῖ-
κες, ἐν τῇ ἀπαιτήσει τῆς προικὸς. εἰς κληρονόμους αὐτῶν οὐ διαβαίνει. ἀνάγνωθι καὶ τὸ ιε
τίτ. α κεφ. πθ τῶν βασ. τὰ ἐν προικὶ ἐπιδοθέντα, οὐ δύναται ἡ γυνὴ διεκδικεῖν ὅτι
διὰ τοῦ ἀνδρὸς ἐστὶν ἡ τούτων δεσποτεία. ἀνάγνωθι καὶ τὸ κα τίτ. ις οὗτινος ἐν τῷ α κεφ. τῶν βασ.
Γινόμενος τῆς προτέρας γαμετῆς ἀνὴρ καὶ ταύτην ἀποβαλών, εἶτα δευτέρᾳ συνοική-
σας. προῖκα δεξάμενος παρ' ἑκατέρας, καὶ παῖδας ἐκ τῆς πρώτης καταλιπών, ἀ-
πῆλθε τῆς δευτέρας ἔτι περιούσης. ἐβούλετο τοίνυν ἡ δευτέρα γαμετὴ τὴν προῖκα τὴν
παρ' αὐτῆς δεδομένην ἀπαιτεῖν. τῷ προνομίῳ χρωμένη τῷ παρ' ἡμῶν δεδομένῳ.
ἀντέλεγον δὲ οἱ ἐκ τῶν πρώτων γάμων παῖδες, καὶ αὐτοὶ μητρῴαν προβαλλόμενοι
προῖκα. καὶ ἀμφισβήτησις ἦν. εἰ καὶ μὴ περιούσης τῆς προτέρας γαμετῆς δεῖ
δέξασθαι τοὺς ἐκείνης παῖδας κατὰ τῆς δευτέρας προικὸς ἀγωνιζομένους. οὐ γὰρ ἑτέ-
ροις δεδεημένης ἤδη καὶ δίδοσθαι τοῦτο τὸ προνόμιον. ἢ κληρονόμοις ἢ διαδό-
χοις. ἀλλὰ παισὶ μόνοις. πολλαὶ μὲν οὖν ἀμφισβητήσεις γεγόνασιν ἐν τῷ περὶ
ταύτης. λεγούσης τῆς δευτέρας γαμετῆς ὡς ἐξαναλωθῆναι ἔφθη καὶ πρὶν ἐπὶ τὸν πρὸς
αὐτὴν ἐλθεῖν γάμον ὁ ἀνὴρ τὴν τῆς προτέρας γαμετῆς προῖκα. καὶ οὐ δίκαιον εἰς τὴν ἐκ
αὐτῆς προῖκα διότι τοῦτο εὑρέθη καταλιπὼν ὁ ἀνὴρ ὅτι ἀρκεῖ μόνον τῇ δευτέ-
ρᾳ προικὶ αὐτὴν ἀπολαβεῖν. τοὺς δὲ τὴν ἐξαναλωθεῖσαν ἤδη προῖκα λαβεῖν. ἄλλοι
παῖδες τὰς ὑποθήκας προάγουσι ὁμολόγως πραγμάτων ὄντων τῷ ἰσοτιμεῖν αἱ τῆς
τελευτησάσης ὑποθῆκαι πρεσβύτεραι τῆς δευτέρας εἰσί. τούτων τοίνυν ἀμφισβη-
τουμένων, ἐκεῖνο τῶν ἀνωμολογημένων τε ἤδη καὶ νενομοθετημένων παρ' ἡμῶν ἐ-
στίν. ὡς εἰ μέντοι φαίνοιτο ἐκ τῶν πραγμάτων τῆς προτέρας ἢ τῆς δευτέρας. τοῦτο
ἀνάγκη ἢ τοὺς παῖδας τῆς προτέρας ἢ τὴν δευτέραν ἔχειν. εἰ δὲ τελευτήσει κἀκείνη, τοὺς
παῖδας αὐτῆς ἕκαστον πρὸς ὅπερ ἂν οἰκείως ἔχειν ἑαυτοῦ ἐπιδείξειεν. ἐνταῦθα
γὰρ καὶ ὅπερ τῶν πραγμάτων ἄξιον ἡ περὶ δεσποτείας ἁρμόζει καθαρῶς. καὶ ἕκαστον δεῖ
τὸ οἰκεῖον ἔχειν μηδὲν προνομίου δεόμενον. εἰ δὲ οὐ φαίνοιτο, ἵνα δὲ ἐλλείποι.
Εἶτε περίεισιν αἱ γυναῖκες διαζυγίῳ τυχὸν τοῦ προτέρου γάμου διαλυθέντος καὶ

περὶ τοῦ προνομίου ὅπερ ἔχουσιν αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικὸς ὅτι οὐ διαβαίνει εἰς κληρονόμους αὐτῶν :-

πλὴν εἰς παῖδας ὡς φησὶ τὸ δ΄ τίτ. τοῦ κη β΄ ἐν ᾧ διαλαμβάνεται περὶ ἀπαιτήσεως τῆς προικός. νε΄ :-

ἁρμοσάσης τῇ γυναικὶ τῆς προικὸς ἢ τὴν ὑποτεθείκασιν. ἢ ἐπὶ παισὶν ἀμφοῖν ἢ καὶ μὴ
τούτων. ἐπὶ τοῖς ἐλλείπουσι κυριωτέραν εἶναι τὴν προτέραν καὶ τοὺς ἐξ αὐτῆς παῖ-
δας πρεσβυτέραν προῖκα προτιμωμένους. τοῦτο δὲ ὅσον ἐπὶ τῶν καὶ ἐκγόνους καὶ
ἀπογόνους καὶ τὴν ἐφεξῆς διαδοχὴν ὁποίας δήποτε φύσεως εἶεν. ἐξ ὅτου γὰρ εἰς
δύο δημόσια ὀφλήματα τοῦ ἀνάγκη τὸ πρεσβύτερον κυριώτερον τοῦ μεταγενεστέρου
καθεστάναι. οὕτω κἀνταῦθα τὰ προνόμια ἀνάγκη τῇ προτέρᾳ προικὶ δεδόσθαι πρότε-
ρον. οὔτε τῇ δευτέρᾳ καὶ προῖκα μὴ προκειμένῃ προικί. μὴ δ' ὑποθήκην τὴν οἰκεῖ-
ον ἔχον ἰσχύν τε καὶ προνομίαν. τοὺς γὰρ χρόνους τῶν ὑποθηκῶν ἀμείβεσθαι ἢ ἀνύειν
καὶ οὐδένα τρόπον αἱρούμεθα. κἀκεῖνο δὲ μὴν ἐν τοῖς ἔμπροσθεν ἀμυδρῶς μὲν
νομοθετηθέν, σπανίως δ' ἐν δικαστηρίοις ἐξεταζόμενον. ὥσθ' ὑπὸ τῶν χρῆναι νόμῳ τὸ
φῶς περιλαβεῖν καὶ προσδοῦναι τῇ χειρὶ καὶ καταστῆσαι εἰς τὰ δικαστήρια, πρὸς κοι-
νὴν ἀποβαλλομένου βοήθειαν. εἰ γὰρ συναφθεῖεν τινὲς ἀλλήλοις ἐπὶ προικὸς καὶ προ-
γαμιαίας δωρεᾶς συμβολαίοις. εἶτα ὁ μὲν ἀνὴρ προγαμιαίαν δοίη δωρεάν. ἡ δὲ γυνὴ
ἀπενέγκοι τὴν προῖκα. ἢ αὐτὴ προσδοκωμένη ταύτην ἢ διά τι πάθος ἢ τινὸς ἐξαιτίας. εἶ-
τα φανείη πρὸ ὅλου τοῦ τοῦ γάμου καιροῦ ἡ πρὸς ἐκ μὴ δοῦσα τὰ τοῦ συνοικεσίου. ἀλλ' ἀ-
ναδεχόμενος ὅλον τῶν τοῦ γάμου βαρῶν. καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθεί-
η. οὐκ ἂν εἰκότως δίκαια πάντως ἡ γυνὴ προῖκα μὴ δοῦσα τὰ τοῦ συνοικεσίου τὴν προ-
γαμιαίαν λαβεῖν δωρεάν. εἰ δὲ καὶ μὴ ἐξ ὁλοκλήρου δοίη, καὶ αὐτὴ κατὰ τὸ ἀνάλογον
τὸν ἀπαιτείτω τὴν δωρεὰν καθόσον ἐπιδοίη τὴν προῖκα. ἰσότητος γὰρ ἐσμὲν καὶ δι-
καιοσύνης ἐρασταί. καὶ ταύτην ἐν ἅπασί τε τοῖς ἄλλοις. καὶ πρός γε ἐν τοῖς συνοι-
κεσίοις βουλόμεθα κρατεῖν. ὥστε μηδ' ὁπωσοῦν ἐπιδοῦσαν μηδ' ὁπωσοῦν λαμβά-
νειν. ἢ δ' ἧττον ἢ περ ὡμολόγησε δοῦσα, τοσοῦτον ἀπολαμβανέτω μόνον, ὅσον ἐ-
πέδωκε. καὶ ἔστω καὶ αὕτη κατὰ τὸν πρόσθεν νόμον προσαύξησις. εἰ μέντοι ἐπο-
φείλει προῖκα γυνὴ καὶ ἐκδοῦναι βουληθείη, ὁ δ' ὑπὲρ αὐτῆς ὑπερεχόμενος αὐτὴν
ὅστις ποτ' ἂν εἴη. ὁ δ' ἀνὴρ ἢ τούτου πατὴρ τυχὸν ἢ ὁ πάππος ὑποδέξασθαι ταύτην
μὴ βουληθείη. τὸ δ' ἐπὶ τῆς γυναικὸς ἐκμαρτυρεῖται μέρος καὶ ἐννόμως ἔχοι ταύ-
την καταβαλεῖν. ἢ καὶ τὸ μεῖζον πράξειε, καὶ προσαγάγοι τυχόν. καὶ ὅτε κείνη κα-
θεστήκοι καὶ σφραγῖδας ἐπιθείη καὶ κατὰ τὸν νόμον ἀπόθοιτο ἢ καὶ κατὰ μίαν μοῖ-
ραν εἰς δημόσιον δικαστήριον ἀξιοῖ ταῦτα γενέσθαι. καὶ διαβάλλες ἐκ τοῦ δικα-
στηρίου τινὲς ἀπαιτεῖν ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος ἐπιμένοι δὲ καὶ οὕ-
τως ἀναβαλλόμενον. μὴ δύνασθαι διαλυθέντος τοῦ γάμου τὴν τῆς προικὸς δω-
ρεὰν ἐκ λέσιν ἐκκλίνειν. ὡς δὴ προικὸς οὐκ ἐπιδοθείσης. ὅτι γὰρ δοῦναι βουληθεὶς

περὶ ὑποθήκης προικὸς καὶ μὴ ἐπιδόσεως. νζ΄ β΄ κεφ(άλαιον) ϛ΄:–

νζ΄ γα·

ὡραῖον πάνυ περὶ τῆς προγαμιαίας δωρ(εᾶς):–

π´

ἀνθ' ὧν τὴν λῆψιν ὁ λαμβάνειν ἠξιωμένος παραιτεῖται, παραπλήσιός ἐστι τῷ δεδωκότι. καὶ τοῦτο μὲν τῶν ἄλλων ἐπὶ τῆς προικὸς κρατείτω. ὥσπερ γὰρ εἰ μὴ δοίη καθ' ὑπόσχεσιν τὴν προῖκα, ἀρνήσεται αὐτῇ τῆς προγαμιαίας ὁ γαμβρός· οὕτω κἂν ἐβουλήθη δοῦναι· καὶ ὁ λαμβάνων ἐξ ὑπερθέσεως παραιτεῖται τὴν λῆψιν, δίδοται αὐτῇ τὴν τῆς προγαμιαίας δωρεᾶς τοῦ συνοικεσίου λυθέντος ἀπαίτησιν· καίτοι τὴν προῖκα διὰ τὴν τοῦ ἀνδρὸς αἰτίαν οὐκ εἰσενεγκοῦσα. ἀνάγνωθι καὶ τὸ κϛ´ τ´ ζ´ κεφ. πζ´ ἐν ᾧ θ´. Γενικῶς δὲ ὁρίζομεν· ἵνα εἴτις τῶν ὑποσχομένων εἴτε ἄρρην εἴτε θήλεια προῖκα ἢ ὑπέσχετο ἢ δέδωκεν ὑπὲρ οἱασδήποτε γυναικὸς ἐνθαλάμως νομίμως ἐστί, παντὶ τρόπῳ ἀναγκάζηται τὴν ἰδίαν ὁμολογίαν πληρῶσαι· οὔτε γὰρ φορητόν ἐστιν ἀθεμίτου τυχηρᾶς προσάπαξ ὑπούσης τὴν γυναῖκα γίνεσθαι ἄπροικον καὶ οὕτως ἐκ τοῦ ἀνδρὸς ἐκβάλλεσθαι καὶ διαλύεσθαι τὸν γάμον· ὁπότε γὰρ ἴσμεν τῷ φόβῳ τῶν προικῶν καὶ τοὺς ἀρχαίους νομοθέτας τὴν ἀπειρίαν τοῦ νόμου καταπεῖσαι πολλάκις. ἀξίως καὶ ἡμεῖς πρὸς τὴν τοιαύτην ἐρχόμεθα διάταξιν. καὶ γὰρ ἐὰν ἀκουσίᾳ βουλήσει ἐξ ἀρχῆς τὴν ἰδίαν φιλοτιμίαν ἐπέδειξεν· ἀνάγκη ἐστὶ τοῦτον ἢ ταύτην ταῖς οἰκείαις ἀπαιτήσεσι τὸ ἱκανὸν ποιεῖν· ἵνα ὅπερ ἐξ ἀρχῆς ἑκουσίως ἐγράφη ἢ εἰς ἀπαίτησιν κατηνέχθη· τοῦτο καὶ παρὰ μὴ βουλομένων μετὰ ταῦτα πληρωθῇ πάσης αὐθεντίας τοῦ βελλιανείου δόγματος, ἐν τούτῳ τῷ μέρει ἀργούσης. ἀνάγνωθι ε´ κη´ τ´ θ´ σύντομος ἐν τῷ β´ κεφ. Μὴ παρεχέτω ὁ ἀνὴρ ἐγγυητὴν ἐπὶ τῷ φυλάξαι τὴν προῖκα κἂν τὰ μάλιστα νόμος ἢ συνήθεια ἐπιτρέπει γίνεσθαι· ἡ διάταξις κελεύει· μήτε ἐγγυητὴν μήτε μανδάτορα δίδοσθαι παρὰ τοῦ ἀνδρὸς ἢ τοῦ μέρους τοῦ ἀνδρὸς ὑπὲρ τῆς προικός. ἀνάγνωθι καὶ τ´ ι´ σύντομος ἐν τῷ α´ κεφ. Τῶν δαπανημάτων τὰ μὲν δι' ἀνάγκην γίνονται, τὰ δὲ διὰ κέρδος, τὰ δὲ διὰ τέρψιν. δι' ἀνάγκην ἐστὶ τὰ ἀναγκαίως γινόμενα καὶ τότε μειοῦσι τὴν προῖκα, ὅτε περὶ αὐτὴν γένωνται. αἱ γὰρ εἰς ἄλλο τι γινόμεναι, οὐ λογίζονται τῇ προικί. ἀναγκαῖον ἐστίν, ὅπερ εἰ μὴ ἐποίησεν ὁ ἀνὴρ καταδικάζεται τῇ γαμετῇ εἰς ὅσον αὐτῇ διέφερε γενέσθαι τὴν δαπάνην. καὶ τὰ μὲν γενόμενα λογίζονται, κἂν ὁ οἶκος μετὰ τὸ ἀνορθωθῆναι καυθῇ. ἐπὶ δὲ τοῖς μὴ γενομένοις τότε καταδικάζεται ὁ ἀνὴρ ὅτε διὰ τὸ μὴ γενέσθαι τὴν δαπάνην καὶ ζημία συνέβη· ἐὰν γὰρ αὐτοῦ μὴ ἀνορθώσαντος ὁ οἶκος καυθῇ, οὐδὲν δίδωσιν. ἐν δὲ τῷ ϛ´ κεφ. ὃ λεγόμενον ὅτι τὰ ἀναγκαῖα δαπανήματα ἰδίῳ δικαίῳ μειοῦσι τὴν προῖκα, οὕτω δὲ νοοῦμεν· ὥστε μὴ αὐτὰ τὰ σώματα καταμειοῦσθαι τυχὸν ἀγροῦ ἢ ἑτέρου πράγματος, κατέχει δὲ αὐτὰ ὁ ἀνήρ, ἕως οὗ λάβῃ τὰς δαπάνας. εἰ δὲ χρήματα ἦσαν ἐν τῇ προικὶ μειοῦνται. εἰ δὲ καὶ πράγματα δι-

διὸ ὁ ἀνὴρ ἐγγυητὴν ἐπὶ τῇ προικὶ οὐ δίδωσιν οὐδὲ μανδάτορα :·ς

περὶ δαπανημάτων :·ς

ἀτελεσμένα ἦν ἐν τῇ προικί, ἰδίῳ δικαίῳ γίνεται ἡ μείωσις διὰ τῶν ἀναγκαίων δα-
πανῶν. καὶ τῆς γυναικὸς ποιούσης τὸ ἱκανόν, ἡ προὶξ αὔξει. ἐν τῷ αὐτῷ δ' κεφ. διὰ κερ-
δαλέον τὰ βελτίονα ποιοῦντα τὴν προῖκα· οἷον τὸ νεόφυτα ποιῆσαι ἢ ἀρτοκοπεῖον· ἢ
ἐργαστήριον· ἢ τέχνας διδάξαι τοὺς δούλους· καὶ οὐ μειοῦσι μὲν τὴν προῖκα, ἀπαι-
τοῦνται δέ. ἐν τῷ αὐτῷ ς' κεφ. ὅτε ὑπεξαιροῦνται τὰ ἐπωφελῆ, ὅτε κατὰ γνώμην γέ-
νωνται τῆς γυναικός· ἄδικον γὰρ ἐστὶ μὴ ἔχουσαν ἑτέρωθεν δοῦναι καταναγκασθῆναι
πωλῆσαι τὸ πρᾶγμα περὶ ὃ γέγονεν ἡ δαπάνη. ἐν τῷ αὐτῷ ζ' κεφ. ἐπεὶ ὅτ' ἂν ἔχῃ ἡ γυνὴ
ἢ δοῦναι τὴν διὰ τέρψιν γενομένην δαπάνην· ἢ συγχωρῆσαι τῷ ἀνδρὶ περιελεῖν τὸ γεγονός
εἰ δύναται περιαιρεθῆναι καὶ μέλλει ἔχειν αὐτό. ἐπεὶ οὐ περιαιρεῖται αὐτό. ἐν τῷ αὐτῷ η'
κεφ. κἂν γνώμῃ τῆς γυναικὸς γένωνται τὰ πρὸς τέρψιν δαπανήματα οὐκ ἀπαιτοῦνται.
καὶ ἡ τῆς δαπάνης δωρεὰ μεταξὺ τῶν συνοικούντων κεκώλυται. ἐν τῷ αὐτῷ ι' κεφ. τὰ γι-
νόμενα μέτρια ἀναγκαῖα δαπανήματα περὶ οἰκοδομὴν ἢ φυτείαν ἢ ὑγείαν τῶν δού-
λων οὐκ ἀπαιτεῖται. ἐν τῷ αὐτῷ ιβ' κεφ. ἀναγκαῖα δαπανήματα ἐστὶ τὰ μὴ γενόμενα,
ἡ προὶξ μειοῦται· οἷον προσχώματα ποιῆσαι· ποταμοὺς ἀποστρέψαι· οἴκους ὑπορ-
θῶσαι καὶ ἀνανεῶσαι· ἀντὶ τῶν ἀποθανόντων δένδρων, ὑποβαλεῖν ἕτερα. τὰ δὲ καταλύειν
θρέμματα πρὸς τὸ κοπεῖσθαι τὸ ἄλσος. πρὸς τέρψιν δέ ἐστι, τὸ ποιῆσαι βαλανεῖον. ἐν
τῷ αὐτῷ ιγ' κεφ. τὰ μέτρια ἀναγκαῖα μειοῦσι τὴν προῖκα· ὅτε ἔξωθεν τῆς ἀναγκαίας φυλακῆς
τῆς προικὸς εἰς αὐτὴν δαπανηθῇ. φυλάττειν γὰρ ὁ ἀνὴρ ὀφείλει τὴν προῖκα δαπα-
νήμασιν ἰδίοις· ὥσπερ καὶ τρέφειν τοὺς προικιμαίους δούλους. καὶ μέτρια δαπα-
νᾶν εἰς ἀνανέωσιν καὶ ἐπιμέλειαν τῶν ἀγρῶν. οὐχ ὥστε μέντοι περὶ ταῦτα δαπα-
νῆσαι πᾶσαν τὴν πρόσοδον. ἐκ τῆς ποσότητος οὖν καὶ τῆς ποιότητος ἑκάστη δαπάνη
σκοπεῖται καὶ ὀφείλει τῆς προικὸς ὑπεξαιρεθῆναι. ἀνάγνωθι καὶ β' κθ' τ' α' κεφ. ρις' θέμ. ζ':—

λ' — ἀνάγνωθι καὶ νη' ρκζ' ἐν ὑφ. περὶ προγάμου δωρ.:—

Περὶ προικὸς καὶ προγάμου δωρεᾶς· ὅτι οὐχ ὑπόκεινται κληρονομίαι,
αἷς ἀποκαταστάσεσιν. καὶ ὅτι μετὰ τὸν γάμον δύναται ἐπαυξάνεσθαι· καὶ περὶ
τοῦ μὴ ἐκποιεῖσθαι τὰ ἀκίνητα αὐτῶν καὶ περὶ προνομίου προικός. καὶ
ὅτι οὐ συλλογίζεται εἰς τὴν τοῦ ἀνδρὸς ὑπόστασιν ἡ προὶξ ἐπιφερομένης
αὐτῷ λειτουργίας. ἀνάγνωθι β' κη' τ' ιε' κεφ. ια' θέμ. ς' ἐν ὑφ.:—

Τἆλλα πάντα τῆς πρώην περὶ προικὸς κειμένης διατάξεως κύρια μένειν βουλό-
μενοι. τοῦτο δὲ καινίζοντες μόνον· ἵνα τὰς τὸ λοιπὸν ἀποκαταστάσεις ποιοῖτο τῶν ἑ-
αυτοῦ πραγμάτων. πρὸ τῶν μὲν φυλάττοι τῷ παιδὶ τὸ νόμιμον μέρος. ὃ τὸ τέταρ-
τον. τοῦτο γὰρ ἐπανορθοῦμεν· πενίαν αὐτοῦ πολλὴν καταγνόντες. ἀλλὰ τὸ εἶναι
πάντως ἢ τὸ ἥμισυ ἢ τὸ τῶν παίδων ἀθλίων. ἐπεὶ τὰ καὶ εἰς τὸ λειπόμενον

οὐσίᾳ μέρος ἐν ᾧ μὴ ἀρκοίη τὸ νόμιμον μέρος πρὸς προικὸς ἢ προγαμιαίας δω-
ρεᾶς ἐπίδοσιν. συγχωρούμενος καὶ πρὸς τὴν τῶν προσώπων ποιότητα συμμετρουμέ-
νης. ἐξορίσθαι καὶ αὐτὸ τῆς ἀποκαταστάσεως κατὰ τὸ προστεθειμένον τῷ νομίμῳ
μέρει, τὴν προῖκα ἢ τὴν προγάμου ποιεῖ δωρεάν. θεσπίζομεν γὰρ καὶ τοῦτον τὸν τρόπον ἐ-
ξῃρῆσθαι παντελῶς τῆς ἀποκαταστάσεως τὰ γαμικὰ συμβόλαια καὶ τὰς ἐπὶ τούτοις ἐκ-
ποιήσεις ἢ ὑποθήκας κἂν ἐβεβαρημένον εἴη τὸ πρόσωπον ἢ τοῦ ἀνδρὸς ἢ τὸ τῆς γυ-
ναικὸς ἀποκαταστάσει τοιαύτῃ. ἐξέστω καὶ οὕτως τὴν καλουμένην προγαμιαίαν ἢ διὰ
γάμον δωρεὰν ἐπιδίδοσθαι. μηδὲν τότε ἐπὶ τοῖς πράγμασιν ἐκείνοις τῆς ἀποκατα-
στάσεως δρώσης. εἴτε γυνὴ τῇ ἀποκαταστάσει βαρύνοιτο. μὴ ἐμπόδιον γίνεσθαι πρὸς
τὴν τῆς προικὸς ἐπίδοσιν. τὰ γὰρ κοινῇ πᾶσι συμφέροντα, τῶν ἰδίᾳ τισὶ λυσιτελούντων
προτιθέμεν. καὶ ἔστω τοῦτο ταῖς γαμικαῖς ἐπιδόσεσι καὶ ταῖς ἐντεῦθεν ἀπαιτήσεσι
προνόμιον. εἰ γὰρ καὶ οἱ πρὸ ἡμῶν ἐκ τῶν γενικῶν ὑποθηκῶν πολλὰ κατὰ προ-
λῆψιν ἐξεῖλον. καὶ τί γε οὐχ οὕτως ἡμῖν ἀναγκαῖα καθεστῶτα. πῶς οὐχ ἡμεῖς ἐκ
μείζονός τε καὶ καλλίονος γνώμης, τὴν τῶν γαμικῶν κερδῶν ἐξαίρεσιν ποιησόμεθα.
ἀν. καὶ β' κε. τοῦ β' βιβλίου ἐν ᾧ γ' κε. πράττομεν οὖν ἐκεῖνο θεσπίζομεν διὰ τὸ τέρ-
μα γίνεσθαι περιγραφῆς ἐπειδὰν ἐπαυξῆσαι βουληθῇ τὴν προῖκα, ἢ τὴν διὰ τὸν γάμον
δωρεάν. μὴ ἐξεῖναι αὐτῷ τοῦτο ποιεῖν. ἀλλ' ἐπὶ τῶν προτέρων μόνον ἀλλ' ἑκατέρου
ποιεῖσθαι πάντως τὴν ἐπαύξησιν καὶ μὴ ἐν αἱρέσει κατὰ πρότερον. ἀλλ' ἐν ἀνάγκῃ
τὸ πρᾶγμα καθεστάναι. πάντως μέντοι πρὸς τῆς ἴσης τούτου. ἐπεὶ καὶ ἡ τοῦ ἡμετέ-
ρου λέγει πρὸς διάταξις. καὶ ἵνα μὴ συμβαίνῃ τὴν ἐπαύξησιν οὐ κατ' αὐταῖς γίνε-
σθαι ταῖς ἀληθείαις ἀλλ' ἐσχηματισμένην. καὶ μάλιστα ἐπὶ τοῦ μέρους τῆς γυναικὸς
ἵνα τοὺς τοῦ ἀνδρὸς δανειστὰς περιγράψειε τῷ προνομίῳ χρωμένη. εἰ μὲν ἔχοιεν ἑ-
κατέρωθεν ἀκίνητα πράγματα. κάλλιον ἐν τοῖς ἀκινήτοις γίνεσθαι τὴν ἐπίδοσιν. ὅ-
πως ἂν εἴη δῆλόν τε καὶ ἀναμφισβήτητον. τί μὲν τὸ ἐξ ἀρχῆς ἦν, τί δὲ ὕστερον προσ-
γέγονεν. εἰ δὲ οὐχ ἑκατέρωθεν ἀκίνητα πράγματα εἴη. τὴν μὲν γυναῖκα πάντως διὰ
κινήτων πραγμάτων. ποιεῖσθαι τὴν ἐπαύξησιν. ἵνα καὶ ἡ προὶξ καὶ ἡ ἐπαύξησις
ὁμοίως ἔχῃ κατὰ τῶν πρεσβυτέρων δανειστῶν τὸ προνόμιον. πανταχόθεν ἀμελεῖς
ἐκτὸς τῆς προθήκης οὔσης. ὁ δὲ ἀνὴρ καὶ ἐν κινητοῖς ποιείσθω τὴν ἐπαύξη-
σιν. οὐδὲ γὰρ ἐντεῦθεν ἀναφύεται βλάβος. εἰ δὲ γυνὴ ἀκίνητον οὐκ ἔχουσα περιου-
σίαν, ἐν κινητοῖς γράψῃ τὴν ἐπαύξησιν. ἴστω τὸ προνόμιον οὐχ ἕξουσα, ἀλλὰ μόνον ἐπὶ
τῆς ἀρχαίας μόνης προικός. οὐ μὴν ἐπὶ τῆς ἐσχηματισμένης μόνης ἐπαυξήσεως. τὸ
μὲν γὰρ ἐξ ἀρχῆς γενόμενον, ὡς ἐπίπαν, ἀνύποπτόν ἐστι. τὸ δὲ ὕστερον προσεπιτεχνώ-

περὶ ἀποκαταστάσεως :
ἀν. α' ε' ν' λθ' :

ἀν. α' καὶ ν' κβ' κε.
κε. ε' ν' ϛζ' :

μένου, τὴν κατὰ τῶν δανειστῶν αὐτοῦ ἔχαιρε μείζονα. καὶ τὸ βλάπτεσθαι τοὺς ἀνθρώπους τοὺς παρ' ἡμῶν ταῖς προιξὶ δεδομένου προνομίου. καὶ οὐδένα τόπου βουλόμεθα. εἰ δὲ οὐκ ἔστι κατὰ τοῦ ἀνδρὸς χρέος οὐδέν, οὐδὲ ὑποψίας τις κατὰ τῶν δανειστῶν περιγραφῆς. τότε καὶ συγχωρήσαμεν καὶ οἷς βούλονται τὰ τῶν ἐπαυξήσεων γίνεσθαι παρ' αὐτῶν. ἑκατέρωθεν μέντοι τῆς ἐπαυξήσεως καὶ οὕτω γινομένης, καὶ τότε ἐχούσης ἵνα τὴν ἰσότητα φυλάξωμεν. ποία γὰρ ἂν ἔτι περιγραφῆς ὑποψία τοῦ ἀνδρὸς ὑπευθύνου μηδενὶ καθεστῶτος. καὶ διὰ τούτων τῶν ἐπαυξήσεων ἀπαραμειώτως γινομένων. ἀνάγνωθι καὶ τὸ ς' τίτλον τοῦ δ' κεφαλαίου. οὔτε ὁ ἀνὴρ οὔτε ἡ γυνὴ στᾶσα δύναται τὰ ἀδιαίρετα ἀλλήλων ἐκποιεῖν ἢ ὑποτίθεσθαι. ἀνάγνωθι καὶ τὸ ζ' τοῦ αὐτοῦ. ὅτι εἰ καὶ συναινέσωσιν αἱ γυναῖκες τῇ ἐκποιήσει, καὶ μετὰ β' ἔτη δεύτερον συναινέσωσι ποιήσωσιν, οὐ προκρίνονται ἐὰν μὴ ἐκ τῶν λοιπῶν πραγμάτων τοῦ ἀνδρὸς δύναται τὴν καὶ σώζεσθαι. ἀνάγνωθι καὶ τὸ να' τὰ α' κεφαλαίου ιε' τίτλου δ' τοῦ αὐτοῦ. συνισταμένου τοῦ γάμου ἡ προὶξ τοῦ ἀνδρός ἐστιν. ἐὰν δὲ πρὸς τὸ μέρος τῆς οὐσίας ἐπιφέρηται λυπουργία οὐ συλλογίζεται εἰς τὴν ὑπόστασιν αὐτοῦ:—

περὶ τοῦ μὴ ἐκποιεῖσθαι ἀγροῦ προικιμαίου. ἀνάγνωθι καὶ νθ' ξα' τοῦ αὐτοῦ τοῦ μὴ ἐκποιεῖσθαι ἢ ὑποτίθεσθαι τὰ ἀκίνητα τῆς προικὸς ἢ τῆς προγάμου δωρεᾶς:—

λα´ περὶ προξενητοῦ καὶ προξενητικῶν. ἀνάγνωθι βιβλίον να' τίτλον ιε'. τοῦ αὐτοῦ βιβλίου κεφαλαίῳ φησίν:—

Ὁ προξενητὴς δανείσματος. εἰ καὶ ἐπαινεῖ τὸ συνάλλαγμα, οὐκ ἐνέχεται. οὔτε λαμβάνουσι τὴν μεσιτείαν ὑπόκειται, ἀλλ' ὁ δόλου ἐποίησε τῷ δανειστῇ. κατέχεται τῇ περὶ δόλου αἰτίᾳ. ἐν δὲ τῷ ς' κεφαλαίῳ. εἰ καὶ ῥυπαρόν ἐστι τὸ λαμβάνειν προξενητικά, ὅμως ἀπαιτεῖται μεμετρημένως καὶ πρὸς τὸ ποσὸν καὶ τὸ πρᾶγμα καὶ τὴν ὑπουργίαν τοῦ προξενητοῦ. ἐν δὲ τῷ δ' κεφαλαίῳ. ἡ χάρις βούλεται τοὺς προξενοῦντας γάμον μήτε ἀπαιτεῖν μηδὲν λαμβάνειν. εἰ δὲ ὅλως λαμβάνουσιν. εἰ δὲ καὶ συνεφώνησε μὴ ὑπὲρ τὴν εἰκοστὴν μοῖραν τῆς προικὸς καὶ τῆς προγάμου δωρεᾶς ἐπιζητεῖν. ἐὰν ἡ προὶξ ἄχρι ς' λιτρῶν ἐστι χρυσίου. ἥττων δὲ ἢ βούλεται λαβεῖν ἐπιτρέπεται. εἰ δὲ καὶ ὅσης δήποτε ποσότητος ἡ προίξ ἐστι. περαιτέρω τῶν ι' λιτρῶν τοῦ χρυσίου οὐκ ἐπιτρέπεται τῷ προξενητῇ λαμβάνειν:—

λβ´ περὶ προστίμων τῶν ποινῶν τῶν ἐξ ἐπερωτήσεως. καὶ τῶν ἀπὸ καταδίκης ἀρχόντων. ἀνάγνωθι βιβλίον μγ' τίτλον α' κεφαλαίου ιε'. καὶ ις' θέμα β'. καὶ κεφαλαίου ιθ' καὶ ξθ'. καὶ κεφαλαίου ρκα' θέμα ς'. ἀνάγνωθι καὶ τὸ ζ'. τοῦ αὐτοῦ τίτλου κεφαλαίῳ φησίν:—

Μέχρι ν' λιτρῶν ἐπὶ τῶν βαρυτάτων ἁμαρτημάτων οἱ ἔπαρχοι προστιμῶνται. οἱ δὲ ἐμπεριβλέπτων τῶν ἐπαρχιῶν ἄρχοντες μέχρι λ' προστιμᾶσθαι. οἱ δὲ αὐθυπάται καὶ ὁ κόμης τῆς ἀνατολῆς καὶ ὁ αὐγουστάλιος. ἄχρι ἓξ οὐγκιῶν. οἱ δὲ λοι-

ποὶ περίβλεπτοι ἄρχοντες, καὶ οἱ ταξεῶται τῶν ἐπάρχων ὄντες. μέχρι τριῶν οὐγκι-
ῶν προστιμᾶσθαι. ταῦτα πάντα τὰ πρόστιμα, τῷ ταμείῳ προσκυροῦσθαι. ἢ
ἕτερόν τι δημόσιον ἔργον ἢ τοὺς τοῦ δεσμίου ἢ εἰς ἀναγκαίαν ἑτέραν ἀφορισθῆναι χρεί-
αν. ἐπιτ. δ΄ κε. οὐ δύναταί τις πλέον τοῦ ἕτου προστιμᾶσθαι τῷ αὐτῷ κατὰ
τὸν αὐτὸν ἐνιαυτόν. ὁ ἀπαιτῶν τὸ προστιμηθὲν ἐκ τοῦ δημοσίου. διπλάσιον ἀνα-
δώσει τῷ προστεθέντι. σωζομένης δηλονότι τῆς τιμωρουμένης ποινῆς κατὰ τὸν τὰ
μείζονα πταιόντων. οἷον ἱεροσυλίαν. ἁρπαγὴν μετὰ βίας. ἀνδραποδισμόν. κλοπὴν καὶ τὰ
τοιοῦτον. ἀν. καὶ β κγ τ γ κε ιθ καὶ νη ἐν ... φ. οὐ δύναταί τις προστίμων ἐ-
πιτεθῆναι ὑπὲρ τῶν νομίμων τόκων ποσότητα :- λγ

Περὶ τῶν προσφευγόντων τῇ ἁγίᾳ ἐκκλησίᾳ δούλων τε καὶ ἐλευθέρων. ἐν τίσι τε αὐτῶν οὐκ ἔχουσιν ἀσφάλειαν. ἀν. β ε τ α κε ια ἐν ... φ. :-

Μέχρι τῶν προθύρων τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων, τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσ-
φεύγοντες τοῖς ἐνδοτέροις λουτροῖς ἢ κήποις ἢ οἰκήμασι χρώμενοι. καὶ κωλυέ-
σθωσαν ἐντὸς τοῦ ναοῦ ἐσθίειν ἢ ὑπνοῦν. ὅπλοις δὲ ἑαυτοὺς μὴ ἀσφαλιζέσθω-
σαν. ἀλλ᾽ ἀποτιθέσθωσαν ταῦτα παρὰ τῷ ἐπισκόπῳ ἢ πειθόμενοι πρῶτον ἢ μετὰ τοῦ-
το ἐκβαλλόμενοι. μεθ᾽ ὅπλων ὁ οἰκέτης προσφυγών, εὐθὺς ἐκβαλλέσθω. ἀνθι-
στάμενος δὲ, μείζονι βιαζέσθω δυνάμει. καὶ μαχόμενος τελευτήσῃ, ἀνεύθυνος
ἔσται ὁ ἐπ᾽ αὐτὸν δεσπότης. ἀν. καὶ β ς τ ι κε ιζ ἐπὶ α ἐν ... φ. οὔτε ἀνδρο-
φόνοις οὔτε μοιχοῖς. οὔτε παρθένων ἅρπαξιν ἁμαρτάνουσι τὴν ἐκ τῶν ὅρων φυ-
λάξεις ἀσφάλειαν. ἀλλὰ κἀκεῖθεν ἐξελκυσθέντες, καὶ τιμωρίαν αὐτοῖς ὁ πράξας. οὐ
γὰρ τὸν τὰ τοιαῦτα ἁμαρτάνοντα φείδεσθαι προσήκει. ἀλλὰ τὸν πάσχοντα. ἵνα
μὴ τοιαῦτα ὑπὸ τῶν τολμηροτέρων πάσχοιεν. ἄλλως τε ἡ ἐκ τῶν ἱερῶν ἀσφάλεια,
οὐ τοῖς ἀδικοῦσιν. ἀλλὰ τοῖς ἀδικουμένοις δέδοται παρὰ τοῦ νόμου. καὶ οὐκ ἂν
εἴη δυνατὸν ἑκάτερον ἰσχυρίζεσθαι τῆς παρὰ τῶν ἀσύλων τόπων ἀσφαλείας, καὶ τὸν
ἀδικοῦντα καὶ τὸν ἀδικούμενον. ἀν. καὶ β ιθ τ ζ κε ι ἐν ... φ. τοὺς καταφεύ-
γοντας οἰκέτας εἰς σεβασμίους οἴκους καὶ δίκαια αἰτοῦντας, οὐ χρὴ προΐεσθαι.
ἀλλ᾽ ἐπὶ διαγνώσει γενομένης εὑρεθῶσιν οἱ δεσπόται ἢ ἀμέτρως αὐτοὺς βασανί-
ζοντες ἢ λιμοκτονοῦντες ἢ εἰς πρᾶξιν ἀπρεπῆ ἄγοντες. ἐκείνων διαπιπράσκειν
αὐτοὺς ἀναγκάζεσθαι πρὸς τὸ μηκέτι ὑποστρέφειν πρὸς τὴν ἑαυτῶν δεσποτείαν.
ἀλλὰ καὶ τὴν πρᾶσιν κατὰ αἵρεσιν ποιεῖν. οὐ μέντοι δι᾽ ἄλλων σεβασμίων ὑπεισ-
ελθεῖν. καὶ διὰ τὴν ἐκποίησιν αὐτοὺς κακοποιεῖν. ἢ ἐν δεσμοῖς εἶναι συγχωροῦν-
τας. ἢ ἐπὶ τὸ οἴκοι ἐν χώρᾳ βαρυτάτους ἐχούσῃ τοὺς ἀέρας. ἀν. καὶ β ξ τ με

bb

κεφ. ιζ' ἐν τῷ θ'. ὁ τὴν προσφεύγοντα εἰς τὴν ἁγίαν ἐκκλησίαν ἰδίᾳ αὐθεντίᾳ ἀποσπάσας, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω:

λδ' Περὶ τῶν προσφευγόντων εἰς προστασίαν τινῶν δυνατῶν. ἀνάγ. β' ζ' τ' θ'. οὗτινος ἐν τῷ α' κεφ. φησίν:

Ἡ διάταξις λέγει τὸ μὴ φεύγοντα προσώποις δυνατοῖς εἰς προστασίαν δίκης. τὸν γὰρ δεχόμενον εἰς προστασίαν τινά κἂν στρατιωτικὸς ἐστιν, ἔξω τῶν διατεταγμένων ζημιοῦσθαι· παρακελευομένη τοῖς ἄρχουσι τῶν ἐπαρχιῶν, τὴν αὐτὴν τὴν νομοθεσίαν φυλάττειν ἀπαρεγχείρητον. εἰ γὰρ τῷ β' κεφ. ἐάν τις ἐν τῷ δανείζειν ἢ ἄλλας πως συναλλάγματα ποιῶν παραιτῆται μὴ τὸ εἰς οἰκεῖον ὄνομα λαβεῖν ἀσφάλειαν ἢ γραμματεῖον ἢ ἄλλο συμβόλαιον, εἰς ὄνομα δὲ δυνατοῦ προσώπου παρασκευάζει γίνεσθαι τὸ γραμματεῖον, κελεύει ἡ διάταξις ἐκπίπτειν τοῦ ἰδίου τοῦ χρέους, τὸν τοῦτο πεποιηκότα. ἀνάγ. καὶ τὸ ι' ἐν τῷ θ'. πολλάκις τινὲς περὶ δικαίων ἀλλοτρίων ἐναγόμενοι καὶ μηδαμόθεν ἐλπίζοντες τὸ νικᾶν, καταπείθουσι τοὺς ἐνάγοντας δυνατῶν τινῶν προσώπων ὀνόματα προφέρειν. καὶ τίτλους ὀνόματι τούτων τῶν δυνατῶν ἐπιτιθέασι τοῖς πράγμασι περὶ ὧν ἐνάγονται ἢ ἐπιφημίζουσιν. ὡς δῆθεν τῷ δυνατῷ προσώπῳ διαφέρει τὸ πρᾶγμα. κελεύει ἡ διάταξις εἰ μὲν εἰδότος τοῦ δυνατοῦ προσώπου ταῦτα γίνηται ὀνόματι αὐτοῦ καὶ ἐφησυχάζει, ζημιοῦσθαι αὐτόν. ἐὰν δὲ ἀγνοοῦντος τινὸς τοῦ δυνατοῦ προσώπου ἐπιφημίζει ὁ ἐναγόμενος ὄνομά τι αὐτοῦ, ἵνα ἢ καὶ τίτλους ἐπιτίθησι τοῖς πράγμασι. κελεύει αὐτὸν τὸν ἐναγόμενον ζημιοῦσθαι. ὡς καὶ αὐτὸ τὸ δυνατὸν πρόσωπον λοιδοροῦντα. τῆς γὰρ ἡμῶν ἐστι τὸ εἶδος, ἵνα μολίβδῳ πανταχόθεν προσφευγόμενος τοὺς ἐστηκλοιοφορῶν. ἢ πλουτιζόμενος, δικαίως εἰς τὸ μέταλλον ἐκπέμπεται. πρὸς τούτοις γὰρ νομοθετεῖ ἡ διάταξις πάντα ἐναγόμενον περὶ ὧν νέμεται πραγμάτων καὶ δεχόμενον τὸ περὶ ὧν νέμεται βιβλίον. ἐὰν ἐν τοῖς ἀναφερῆ τοῖς λιβέλλοις ὄνομα τινὸς τῶν δυνατῶν ἐνθέσθαι, παραχρῆμα τῆς κλήσεως αὐτοῦ καὶ τῆς διοικήσεως ἐκπίπτειν. καὶ μὴ γὰρ δύνασθαι αὐτὸν ἐπαναλαμβάνειν τοῦτο τὸ πρᾶγμα· εἰ καὶ δίκαιον ἔχει τινὰς ἐπὶ τῷ πράγματι τούτῳ δικαιολογεῖν. τὸ γὰρ δυνατὸν πρόσωπον ἀνεχόμενον ταῖς ἀλλοτρίαις δίκαις, τὴν οἰκείαν ἐκδέχεσθαι προσποιεῖ· μήτε τῶν πραγμάτων δεσπότου μήτε τῆς νομῆς ἀνηκούσης αὐτῷ, ὡς ἐργολάβον τῆς συκοφαντίας καὶ ὡς τοῦ οἰκείου ἐπιτιμίας μὴ φειδόμενον, ζημιοῦσθαι νομοθετεῖ. ἀνάγ. καὶ τὸ ια' ἐν τῷ θ'. περὶ τῶν τίτλους ἐπιτιθέναι καταβλημάτων ἢ σφραγῖδας. καὶ τὸ μὴ γὰρ παρὰ τῶν τὰ δημόσια διοικούντων δίδοσθαί τινι

προσάσει πράσεως τοῦ καθ' ἕτερον αὐτὸν εἶναι τοῦ δημοσίου. ἀνάγνωθι καὶ βιβ. ι' τίτ. λζ'. οὐτινος ἐν τῷ α' κεφ. φιλ. ὁ ἐπιτηδὲς αὐτὸν ἑαυτὸν ἐπὶ βλάβῃ μου καταστήσας μοι ἄλλου αὐτῷ δικοῦν, τυχὸν δυνάστην ἢ ἐξ ἑτέρας ἐπαρχίας. ἐνέχεταί μοι ἐμφανίζεσθαι εἰς τὸ διαφέρον. ἢ τοῦ μέλλοντός με σκύλλειν. καὶ γὰρ ἐν ἄλλῳ τῷ ἐξ ἑτέρας ἐπαρχίας ἀναγκάζομαι ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ ἐνάγειν. ἐν δὲ τῷ γ' κεφ. οὐ μόνον εἰς δεσπότας ἀλλ' εἰ καὶ νομεῖς [illegible]. χρεία τῇ ἐμφανίζεσθαι ὡς ἐπὶ αὐτῷ τῷ πράγματι ἀγωγῆς. οὐκ ἐνέχεται ὁ διὰ νόσον ἢ γῆρας μεταφέρων ἢ ἀσχολίαν ἀναγκαίαν. ἐπειδὴ κωλυθήσεται ἴσως καὶ διὰ τοῦ ὡς ἐν ἰδίῳ πράγματι ἐντελείως δικάζεσθαι. ἐν δὲ τῷ ς' κεφ. ἡ προσβολὴ αἰτία οὐκ ἔστι ποινάλια. ἀλλὰ πράγματος ἀπαίτησιν ἔχει καὶ δίδοται κληρονόμοις. κατὰ κληρονόμων δὲ ἢ τῶν ὁμοίων. ἢ μετ' ἐνιαυτὸν οὐ δίδοται. ἀνάγνωθι καὶ βιβ. νς' τίτ. ιγ' οὐτινος ἐν τῷ α' κεφ. φιλ. ἐάν τις πρὸς περιγραφὴν τῶν δημοσίων καταφύγῃ εἰς προσάσει τινὸς πρὸς σχήματι δωρεᾶς ἢ πράσεως, μὴ ἐρρῶσθαι τὸ γενόμενον. καὶ τῶν συμβολαιογράφων τῶν ταῦτα συντιθέντων δημεύσει ὑποκειμένων. καὶ τῆς κώμης τῆς τοῦτο ποιούσης δημευομένης. ὁ δὲ ὑποδεξάμενος, εἰ μὲν εὔπορος [illegible] λίτρας παρεχέτω. εἰ δὲ ἄπορος, δημευέσθω. τῇ αὐτῇ ποινῇ ὑποκειμένων καὶ τῶν συνεργησάντων τῷ πράγματι. μηδεὶς κωμήταις προστασίαν ὑπισχνείσθω. μηδὲ δεχέσθω γεωργοὺς ἐπὶ τῷ ὑπόσχεσιν προσβολῶν ἢ ἑτέρου κέρδος λαμβάνων. εἰ δέ τις παραβαίη ταῦτα καὶ τοῖς προειρημένοις ἐπιτιμίοις ὑποπεσεῖται. καὶ ἑτέρᾳ μείζονι περαιωθήσεται κινδύνῳ:

## περὶ περιτεμνήσεως τῶν πιπρασκομένων πρὸ τοῦ μὴ προκομισθῆναι. ἀνάγνωθι βιβ. νε' κεφ. δ' ἐν τῷ φιλοσ.: λε'

Ἐὰν προκομισθῆς ἐκποιηθῇ τι πρᾶγμα μηδενὶ ἐξὸν εἶναι ἐκποιῆσαι αὐτό. ἀλλὰ τῆς αὐτῆς κώμης ἐπὶ ἀνίσχυρον ἔσται τὸ πραχθέν, καὶ οὐδὲν ὠφελήσει ὁ ἀγοράσας. ἀλλ' εἰς τὸ λαβεῖν ἃ δέδωκε:

περὶ προκομισθέντων ἀνακτ. ἐζήτ. εὑρήσεις ἐν τῷ ἡ' τίτ. β'. περὶ ... εὑρήσεις ἐν τῷ περὶ ...:

## περὶ τῶν προσποιουμένων ἡμῖν. ἀνάγνωθι βιβ. ις' τίτ. θ' κεφ. ιβ' ἐν τῷ φιλοσ.: λς'

Δι' ἐλευθέρου προσώπου αὐτεξουσίου νομὴ μόνη προσποιεῖται ἡμῖν. ἐὰν δὲ ἡμέτερος προκουράτωρ ὀνόματι ἡμῶν ἐνάρξηται περὶ πράγματος αἰτίᾳ καὶ τύχῃ δὴ καὶ συμφωνήσῃ πρὸς τὸν ἀγοράσαντα ἄνωθεν περὶ τούτου τοῦ πράγματος δικάζεσθαι. καὶ ἐπεραλήσῃ αὐτό, οὐδὲν προσποιεῖ τῷ δεσπότῃ τῶν πραγμάτων. ἐμφανίζει δούλοις ἡμῶν παραδοθὲν πρᾶγμα, προσποιεῖται ἡμῖν ἡ δεσποτεία. καὶ κεφ. ιγ'. ὁ ἐπίκοινος οἰκέτης, πάντας προσποιεῖ πρὸς τὰ τῆς δεσποτείας μέρη ὑπεξῃρημένων ἐκείνων, ὅσα κατὰ κτῆσιν ἑνὸς τῶν δεσποτῶν ἐπράχ

περὶ προσποιήσεως τῶν πραγμάτων εὑρήσεις ἐν τῷ περὶ κληρονομιῶν:

τγ. ἀνάγνωθι καὶ βιβλ. με τίτ. δ. περὶ οὗ εἴρηται ἐν τῷ περὶ κληρονόμων :

λζ' Περὶ χρονισμοῦ. ἀνάγνωθι βιβλ. κβ τίτ. α κεφ. λ ἐν τῷ φ. φησίν :

Εἰ καὶ μὴ χρὴ γίνεσθαι περὶ χρονισμοῦ, ὅμως ὅθεν πρὸς τοὺς ἐκζημιώσαντας τὸν τό- ποις ἀργίας. οὐχ ἁρμόζει τὸ τοῦ διπλάσου ἔγκλημα. μᾶλλον γὰρ ὁ χρεώστης ἢ ὁ πρό- δανειστὴς ἥμαρτεν. ἀνάγνωθι βιβλ. ξ τίτ. μα κεφ. κη ἐν τῷ θέματι. περὶ χρονίζων τὴν ἡμέραν τῶν ἐνεχύρων ὁ δανειστής, ὑπό- κειται τῷ διπλασίῳ :

✠ ἀρχὴ σὺν θεῷ τοῦ ρ στοιχείου :

α' Περὶ ῥημάτων σημασίας. ἀνάγνωθι βιβλ. β τίτ. β. ὅθεν ἐν τῷ η κεφ. φησίν :

ἀγωγή. Τῆς ἀγωγῆς τὸ ὄνομα, οὐ δηλοῖ τὴν περσεκουτίωνα. ἐν τῷ δὲ κζ. ἀγρὸς λέγεται ὁ χω-
ἀγρός. ρὶς τῆς κώμης ἤτοι τῶν οἰκημάτων τόπος. ἐν τῷ δὲ ξδ κεφ. ἀδιάθετος ἐστὶν οὐ μό-
ἀδιάθετος. νον ὁ μὴ διαθέμενος. ἀλλὰ καὶ ὁ μὴ κληρονομούμενος ἐν διαθήκῃ. ἐν τῷ δὲ
ἄδβενα. ξϛ κεφ. ἄδβενα λέγεται ὁ ἄποικος. ἐν τῷ δὲ ριβ κεφ. αἰγιαλός ἐστι μέχρις οὗ τὸ
αἰγιαλός. μέγιστον τῆς θαλάσσης ἐκτρέχει κῦμα. ἐν τῷ δὲ σλγ κεφ. ἀκόντιον λέγεται. οὐ μόνον
ἀκόντιον. τὸ ἀπὸ τόξου. ἀλλὰ καὶ τὸ ὁπωσοῦν βαλλόμενον. ἐν τῷ δὲ σλϛ κεφ. τῷ ὀνόματι
ἀκρόδρυα. τῶν ἀκροδρύων πάντες οἱ καρποὶ δηλοῦνται. ἐν τῷ δὲ σμα. ἀκάρδιος καὶ ἄνους
ἀκάρδιος καὶ ἄνους : λέγεται ὁ μὴ ἔχων καρδίαν ἢ σύνεσιν. ἐν τῷ δὲ σε κεφ. ἀναδοῦναι τὴν ... δη-
ἀναιμωθεῖσα. λοῖ. ἐν τῷ δὲ ρλγ κεφ. οὐ λέγεται γεννᾶσθαι ἡ ἀναιμωθεῖσα. ἐν τῷ δὲ ρμβ κεφ. δοκεῖ
γυνὴ υἱὸν ἔχειν ἐν τῷ καιρῷ τῆς ἀναιμώσεως, ἐξ ἧς λήγει τὸ βρέφος. ἐν τῷ δὲ ρμε κεφ.
ἀνδρογυνοῦντος. τῇ τοῦ ἀνδρογυνοῦντος μέρους τῇ προσηγορίᾳ ἑαυτοῦ τε καὶ ἡ πᾶσα κληρονομία δη-
λοῦται. ἐν τῷ δὲ ρνγ. τῇ τοῦ ἀνθρώπου προσηγορίᾳ καὶ ἀνὴρ καὶ γυνὴ δηλοῦνται. ἐν
ἀπὸ τοῦ ἀπολέσθαι. τῷ δὲ ρϙ. τῷ ῥήματι τοῦ ἀπολέσθαι, καὶ φθαρῆναι καὶ τὸ κλαπῆναι καὶ τὸ βίᾳ ἁρπαγῆναι
δηλοῦνται. ἐν τῷ δὲ ρπ κεφ. πράγματα ἀπεῖναι δοκεῖ καὶ ταῦτα. ὧν τὸ μὲν σῶμα μένει,
ἡ δὲ μορφὴ ἐνηλλάγη. διὸ εἰ τὸ ἐὰν διεφθάρη ἐν τῷ ἀποδοθῆναι ἢ μεταπλασθῆναι
τό, δοκεῖ ἀπεῖναι. ἐν τῷ δὲ ση. ἀπεστὶν ὁ μὴ περὶ ὧν ἔνθα ἀπαιτεῖται. καὶ ὁ μὴ
ἀποκατασταθῆναι. περιὼν ἐν τῇ περιοικίδι. ἐν τῷ δὲ λε κεφ. ἐκεῖνος ἀποκατασταθῆναι δοκεῖ οὕτως
τῷ ἐνάγοντι. ὡς ἔμελλεν αὐτὸ ἔχειν ἐν καιρῷ τῆς καταρξέως. ἐν τῷ δὲ σε. ἀπο-
κατασταθῆναι δοκεῖ ὁ διδοὺς τῷ ἐνάγοντι ὅπερ ἔμελλεν ἔχειν μὴ ἀναδικασάμενος. ἐν
τῷ δὲ πα. ὅτε δικάζεται ἀποκαταστῆναι κτῆμα καὶ τὴν συμβᾶσαν ζημίαν λαμβά-

ϛ'

νὰ ὁ ἐνάγων. τὸ γὰρ ῥῆμα τῆς ἀποκαταστάσεως ἡ χρησιμότης τοῦ ἐνάγοντι περιέχει. Εἰς δὲ τὸ σμε. ἀποκαταστῆσαι δοκεῖ, ὁ μὴ μόνον τὸ σῶμα τοῦ ζητουμένου· ἀλλὰ καὶ ὅλην τὴν τοῦ πράγματος αἰτίαν καὶ τύχην δεδωκώς. πᾶσα γὰρ ἀποκατάστασις οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τοῦ δικαίου ἐστίν. Εἰς δὲ τὸ πθ. διαφέρει τὸ εἰπεῖν ἀποδοῦναι τελέως τοῦ ἐκδοῦναι· ὁ γὰρ κελευσθεὶς ἐκδοῦναι, οὐ δίδωσι τὰ λοιπαζόμενα. Εἰς δὲ τὸ ρϛ. ἀπομισθοῦσθαι νόμον ἐστὶν ἢ ἀποδαπανᾶσθαι· ὅταν παντελῶς ὁ νόμος ἀναιρῆται. Εἰς δὲ τὸ ρε κεφ. τὸ εἰπεῖν τοὺς ἀπελευθέρους σου· οὐ δηλοῖ καὶ τοὺς τῶν ἀπελευθέρων ἐλευθέρους. Εἰς δὲ τὸ ροϛ κεφ. τῇ προσηγορίᾳ τῶν ἀπελευθέρων, καὶ ἀπελευθέρα δηλοῦται. Εἰς δὲ τὸ ρξγ. τὰ λεγόμενα περὶ ἄρρενος, ὡς ἐπὶ τὸ πλεῖστον καὶ περὶ θηλείας λέγεται. Εἰς δὲ τὸ ριζ κεφ. ἀστικὰ κτήματα. τὰ οἰκήματα δεχόμεθα· οὐ μόνον τὰ ἐν πόλεσιν ὄντα· ἀλλὰ καὶ εἰ τυχὸν σταθμοί εἰσιν ἢ ἄλλα ἐργαστήρια ἐν ταῖς χώραις καὶ ἐν ταῖς κώμαις· ἢ ἐὰν διαιτᾶται ἐκεῖ μόνον δουλεύοντα. ἐπειδὴ τὸ ἀστικὸν κτῆμα οὐχ ὁ τόπος ποιεῖ, ἀλλ' ἡ ὕλη· ἄρτι γὰρ καὶ τοὺς κήπους, οἵτινες εἰσὶν ἐν οἰκήμασι κατασταθέντες, λεκτέον τῇ τῶν ἀστικῶν προσηγορίᾳ περιέχεσθαι· δηλαδὴ δὲ καὶ εἰ τὸ πλεῖον οἰκόπεδοι ἐν προσόδῳ εἰσίν, ἀμπελικοὶ τυχὸν ἢ καὶ λαχανικοὶ ὄντες μᾶλλον, οὐκ εἰσὶν ἀστικοί. Εἰς δὲ τὸ κα κεφ. ὁ βασιλεὺς παραχωρῶν πράγματα καὶ τὰς ἀγωγὰς παραχωρεῖ. Εἰς δὲ τὸ σλϛ. τῷ ὀνόματι τῆς βαλάνου, πάντες οἱ καρποὶ δηλοῦνται. Εἰς δὲ τὸ ρλα. ἕτερόν ἐστι βλάβος, καὶ ἕτερον ποινή. βλάβος μὲν γάρ, δίχα ποινῆς δύναται εἶναι· ποινὴ δὲ δίχα βλάβους, οὐ δύναται. ποινή ἐστιν ἁμαρτήματος ἐκδίκησις. βλάβος δὲ καὶ τὸ ἁμάρτημα λέγεται. καὶ ὥστε τὰ ποινῆς προσπελάζοντες. Εἰς δὲ τὸ πθ. οἱ βόες τῶν βουκολίων εἰσὶ μᾶλλον, ἢ τῶν ὑποζυγίων. Εἰς δὲ τὸ ρνη. τὰ τοῦ αὐτοῦ γένους ὄντα· δύναται καὶ πολλὰ ὄντα ἑνικῶς ἐκφωνεῖσθαι· ὡς ὅταν λέγωμεν πολὺς οἶνος· πολὺς ἰχθύς· ἢ ὅτε ἐμοὶ καὶ τῷ κληρονόμῳ μου ἐπιτρέπεται καὶ οἱ πολλοὶ γὰρ περιέχονται. Εἰς δὲ τὸ ζθ κεφ. γνῶσιν νοεῖν δυνάμεθα καὶ τὴν διάγνωσιν καὶ τὴν δικαιοδοσίαν. Εἰς δὲ τὸ να. τῇ τοῦ γονέως προσηγορίᾳ· πάντες οἱ ἀνιόντες καὶ θήλειαι δηλοῦνται. Εἰς δὲ τὸ ϡ. τῷ ὀνόματι τοῦ γραμματείου τὸ κεχρεωστημένον πρᾶγμα σημαίνεται. Εἰς δὲ τὸ ϛ. ἡ τοῦ γραμματείου καὶ τοῦ πράγματος προσηγορία· εἰς πᾶν συνάλλαγμα καὶ ἐνοχὴν ὁρᾷ. Εἰς δὲ τὸ ιγ. τῷ ὀνόματι τῆς γυναικὸς καὶ ἡ ἔφηβος παρθένος δηλοῦται. Εἰς δὲ τὸ ι. δανειστής ἐστιν ὁ ἐξ οἱασδηποτοῦν αἰτίας χωρὶς δικαίου παραγραφῆς χρεωστούμενος. οὐ γὰρ μόνοι δανείσαντες δανεισταὶ λέγονται· ἀλλὰ καὶ πάντες οἱ ἀπὸ συναλλάγματος ἢ ἁμαρτήματος χρεωστούμενοι καὶ ἀπὸ ὀρφανικῆς ἀγωγῆς ἢ προκαταρξιν.

ἀποδοῦναι :-
ἀπομισθοῦται καὶ ἀποδαπανᾶται :-
ἀπελευθέρους :-
ἄρρενος :-
ἀστικῶν :-
βασιλεύς :-
βαλάνου :-
βλάβος :-
ὅτι τὰ τοῦ αὐτοῦ γένους, καὶ πολλὰ ὄντα λέγονται ἑνικῶς :-
γονέων :-
γραμματείων :-
γυναικός :-
δανειστοῦ :-

οὐ μὴν περὶ τῆς καταρξέως. καὶ ἐν τῷ νδ καὶ νε ὁμοίως φησὶ περὶ δαπανῶν. ἐν
δαπάνης: — δὲ τῷ οθ. χρησίμους δὲ δαπάνας ἤρεσεν εἶναι. τὰς βελτίω ποιούσας τὴν προῖκα οὐ
μὴν συγχωρούσας εἶναι αὐτὴν χείρω. ἐξ ὧν πρόσοδος τῇ γυναικὶ προσπορίζεται.
οἷον ὡς ἐπὶ τῆς τοῦ ἀγροῦ φυλακῆς περὶ οὗ ἐπανάγκες ἦν. ὁμοίως καὶ ἐπὶ τῆς
διαδοχῆς τῶν παίδων. ὧν ἕνεκα βαρύνεσθαι τὴν γυναῖκα ἀγνοοῦσαν ἢ ἀκουσα-
σύλλεγε ἵνα μὴ ἀναγκασθῇ τοῦ ἀγροῦ ἢ τῶν ἀνδραπόδων στερεῖσθαι. ἐπιτερπεῖς δὲ
δαπάναι εἰσίν, αἳ τὸ εἶδος μόνον κοσμοῦσιν. οὐχὶ μὴν καὶ τὸν καρπὸν αὔξουσιν. ὡς
ἐστὶ τὰ χλοηφόρα γήδια καὶ τὰ ἀναβρυτὰ ὕδατα. καὶ αἱ μαρμαρώσεις καὶ αἱ λω-
εικαλίονες. καὶ αἱ ζωγραφίαι. ἐν δὲ τῷ σις. ὁ φυλαχθεὶς ὢν ἐν φυλακῇ οὐ δοκεῖ
δεσμοῦ: — δεδέσθαι. ἐν δὲ τῷ σκτ. δεσμὰ λέγεται καὶ τὰ ἰδιωτικὰ καὶ τὰ δημόσια. φυλα-
κὴ δὲ μόνη ἡ δημοσία. ἐν δὲ τῷ λθ. διαμαρτύρεσθαι ἐστὶ τὸ ἐπὶ μαρτύρων προσαγ-
γέλλειν. ἐν δὲ τῷ υς. γινώσκειν δικαιώματα. ἀναγινώσκειν καὶ καταγινώσκειν.
διαστίζειν δικαιώματα: — διαστίζειν δὲ ἐστὶ δικαιώματα. τὸ ἀνεξετάζειν τὰς λέξεις καὶ τὰς ὁδούς. ἐν δὲ τῷ
πε. τὰ δικαιώματα τῶν ἀγρῶν αὐτοὶ οἱ ἀγροί εἰσι. τουτέστιν ἡ καλλονὴ ἡ ὑγεία
καὶ τὸ μέγεθος. ἐν δὲ τῷ ςθ. δικαιώματά ἐστι, καὶ τὰ πρὸς ἀπόδειξιν τῆς δίκης συμ-
διάστασις. βαλλόμενα προσῶπα. ἐν δὲ τῷ ρα. διάστασιν μεταξὺ ἀνδρὸς καὶ γαμετῆς γίνεσθαι
διαζύγιον. λέγεται. διαζύγιον δὲ καὶ μνηστῇ πέμπεσθαι δοκεῖ. ὅπερ καὶ εἰς πρόσωπον τῆς γα-
διακατοχή. μετῆς, οὐκ ἀληθῶς πίπτει. ἐν δὲ τῷ ρλ. καὶ ἡ διακατοχὴ κληρονομία λέγεται. ἐν
διαφέρειν. δὲ τῷ ρπβ κεφ. τὸ διαφέρειν δηλοῖ καὶ τὰ ὄντα τῆς δεσποτείας ἡμῶν καὶ ἀπονεμό-
μεθα. ἢ ἡττώμεθα κλᾶσθαι ἢ νέμεσθαι. ἐν δὲ τῷ ιε κεφ. ἡ οὐσία τῆς πόλεως καταχρηστι-
κῶς δημόσια εἴρηται. μόνα γὰρ ταῦτα δημόσιά ἐστι, τὰ τοῦ ῥωμαίων δήμου.
δύναμις. καὶ ἐν τῷ ις κεφ. ὁμοίως περὶ δημοσίων φησί. ἐν δὲ τῷ σιβ. δύναμις ἐστὶν ὅσα ἀφ-
δούλων. αιρεῖται. ἐν δὲ τῷ ρα. δούλων λεγομένων καὶ δοῦλαι κεκλήσονται. ἐν δὲ τῷ ρκτ.
εἰκῶ μόνος. καὶ ὁ ἐν τάσει ὢν δοκεῖ καταλῆφθαι ἐν καιρῷ τῆς ὥρας. ἐν δὲ τῷ ρξ. οὐ λέγεται ἄν-
ἐπίτροπος. βος ὁ ἐν τάσει ὤν. ἐν δὲ τῷ ρυς. ἐπίτροπος λέγεται καὶ ὁ μόνος ὤν. ἐν δὲ τῷ ρκβ
εἶναι: — κεφ. τὸ ῥῆμα τὸ εἶναι, ἐνίοτε καὶ τὸ παρελθὸν δηλοῖ. ὅπερ ἀναγκαῖον ἐστὶν ἡμῖν εἰδέ-
ναι. καὶ ὅταν κωδίκελλοι οὕτω βεβαιωθῶσιν ἐν διαθήκῃ. ὅπερ ἐν τοῖς κωδικέλλοις
γραφθεῖεν. πότερον τοῦ μέλλοντος χρόνου δήλωσις ἔσται. ἢ καὶ τοῦ παρεληλυθότος διὰ
προγραφέντας κωδικέλλους τοῖς καταλειπεῖ ἅπερ ἐκ τῆς βουλήσεως τοῦ γράψαντος
εἴσω ἡμερῶν ἐκποιήσεως: — ἑρμηνευτικόν ἐστιν. ἐν δὲ τῷ σιζ. ὁ λέγων ποιεῖν εἴσω ἡμερῶν καὶ μὴ προσ-
θεὶς πόσων. δέκα δοκεῖ λέγειν. ἐν δὲ τῷ κη κεφ. ἐκποιεῖ πρᾶγμα καὶ ὁ ἀνε-
χόμενος αὐτὸ τῆς χρήσεως διασωθῆναι. ἢ τὴν ἀχρησίαν ἀπολλύντας δουλείας αὐτοῦ.

ς'

6'

ὁ δὲ μὴ ἐπικαλούμενος, οὐ δοκεῖ ἐκποιεῖν· ὡς ἐπὶ τοῦ ἀπαγορεύοντος κληρονομί
ἢ μὴ ἐρχομένου τῇ καταλειφθείσῃ αὐτῷ ἐπιλογῇ. Ἐν δὲ τῷ ξζ'. ὁ πραθεὶς καὶ οὐ
παραδοθεὶς πάλιν, οὐ λέγεται ἐκποιηθεὶς, ἀλλὰ πραθείς. Ἐν δὲ τῷ μζ'. τῆς ἡμιθεραπείας ἡμισείας : ζ
ὄνομα. τὴν δωρεὰν ἔχει τῷ τῆς καταβολῆς ὀνόματι. Ἐν δὲ τῷ ρλβ' κεφ. ἐνιαυσιαῖ ἐνιαυσιαίου : ζ
ος δοκεῖ τελευτᾶν, ὁ ἐν τῇ ὑστέρᾳ τοῦ ἐνιαυτοῦ ἡμέρᾳ τελευτῶν· καὶ ὁ τελευτῶν πρὸ
δέκα καλανδῶν ἢ μετὰ δεκάτην τῶν καλανδῶν· οὐ δηλοῦσι τὴν ια' ἡμέραν. καὶ
κεφ. ρλε'. ὁμοίως φησί. Ἐν δὲ τῷ ςλ'. κυρίως ἐνέχυρον τὸ κινητὸν λέγεται διὰ τὸ ἐνεχύρου : ζ
ἐν χειρὶ δίδοσθαι. Ἐν δὲ τῷ ρ'. ἐπίσημα πρόσωπα λέγεται, τὰ τῶν λαμπροτά ἐπισήμου : ζ
των ἀνδρῶν τε καὶ γυναικῶν. Ἐν δὲ τῷ ρπη'. ἐπαρχιῶται εἰσίν, οἱ τὴν οἴκησιν ἐπαρχιώτου : ζ
ἐν ταῖς ἐπαρχίαις ἔχοντες· οὐ μὴν οἱ ἐν αὐταῖς τεχθέντες. Ἐν δὲ τῷ ρξζ'. περὶ ἐρ ἐργασίμου ὕλης : ζ
γασίμης ὕλης. Ἐν δὲ τῷ ρκε'. ὅτι τό ἐστι καὶ τὰ ἐνεστῶτα καὶ τὰ παρεληλυθότα ση
μαίνει, ὥσπερ καὶ τὸ εἴη. Ἐν δὲ τῷ ρπδ' κεφ. ἐξηρτισμένον ἐργαστήριόν ἐστι
τὸ καὶ πράγμασι καὶ δούλοις πρὸς πραγματείαν ἕτοιμον. Ἐν δὲ τῷ ιβ'. ὁ ὕστερον κα περὶ τοῦ ἤτοι ... καὶ ἐν τῷ περὶ λεγα : ζ
ταβαλὼν· καὶ ὁ βραδύτερον καταβαλὼν· καὶ ὁ μηδὲ ὅλως. ὡς ἐν τῷ λδ' κεφ. φησί.
Ἐν δὲ τῷ ρκδ'. ὁ εἰπὼν τόδε ἢ τόδε ἵνα τεθῇ ἢ δοθῇ· οὐ πάντως διαζευκτικόν
ἐστιν· ἀλλ' ἔσθ' ὅτε καὶ ὑποδιαζευκτικόν· καὶ δεῖ τὰ δύο τίθεσθαι ἢ δοθῆναι. Ἐν δὲ
τῷ ρξδ' κεφ. τῇ τῶν θυγατέρων προσηγορίᾳ, καὶ αἱ κυοφορούμεναι δηλοῦνται. Ἐν θυγατέρων : ζ
δὲ τῷ ξα' κεφ. τῇ προσηγορίᾳ τῆς ἱκανοδοσίας, ἔσθ' ὅτε καὶ ὁμολογία περιέχεται. Ἐν δὲ ἱκανοδοσίας : ζ
τῷ ςμα'. ἱναμίκκουμ λέγεται ἡ ἐμβαλλομένη τῷ τοίχῳ δοκός. Ἐν δὲ τῷ ςλθ'. ἱναμίκκουμ : ζ
ἴτολα ἐστὶν ὁ λεγόμενος παροικος. ὃς ἀλλαχοῦ ἐν πόλει, ἢ χώρᾳ τὴν οἴκησιν ἐκτή ἴτολα : ζ
σατο. Ἐν δὲ τῷ ος' κεφ. τὸν καρπὸν αὐτὸν προσόδου καλεῖσθαι ἤρεσεν· οὐ μόνον τὸν ἀπὸ καρπ : ζ
πυρῶν ἢ ὀσπρείων· ἀλλὰ καὶ τὸν ἀπὸ οἴνου ἢ ὕλης τεμνομένης. Ἐν δὲ τῷ ρθ'. κα καλῇ πίστει : ζ
λῇ πίστει ἀγοραστὴς εἶναι δοκεῖ, ὁ ἀγνοήσας τὸ τὸ πρᾶγμα ἀλλότριον εἶναι ἢ νο
μίσας τὸν πωλήσαντα δίκαιον ἔχειν τοῦ πωλεῖν· οἷον φροντιστὴν ἢ ἐπίτροπον εἶναι.
Ἐν δὲ τῷ ρπα' κεφ. καλύβη καλεῖται πᾶν ἀγροικικὸν οἰκοδόμημα. Ἐν δὲ τῷ ρκα'. καλύβη : ζ
κουστωδεῖ ἐστὶ τὸ διαλαμβάνεσθαι ποιῆσαι, καὶ τὸ καθ' ἑαυτὸν τὸ πολεμικὸν κεῖσθαι· ἐ κουστωδεῖ καὶ κούστωρος : ζ
κεῖθεν τὸ τοῦ κούστωρος ὄνομα δοκεῖ εἱλκύσθαι. Ἐν δὲ τῷ ρλ'. τὰ κεφαλικά. θάνατον κεφαλικά : ζ
δηλοῦσι καὶ πολιτείας ἔκπτωσιν. Ἐν δὲ τῷ ςτ'. ὁ κινητὰ καὶ κινούμενα, τὸ αὐτὸ δη κινητὰ καὶ κινούμενα : ζ
λοῖ· μὴ ἀγαθὸς ἢ ὁ διαθέμενος τὰ κινούμενα νοήσας ἐπὶ τῶν ἐμψύχων. Ἐν δὲ
τῷ κδ'. κληρονομία ἐστὶ διαδοχὴ εἰς ὅλον τὸ κλῆρον δικαίου· ὅπερ ὁ τελευτήσας εἶχεν. κληρονομία : ζ
Ἐν δὲ τῷ ξε'. κληρονόμος λέγεται· οὐ μόνον ὁ πρῶτος· ἀλλὰ καὶ ὁ τοῦ κληρονόμου
κληρονόμος. καὶ οἱ ἐφεξῆς. Ἐν δὲ τῷ ο'. ἡ τοῦ κληρονόμου προσηγορία, εἰς

τοὺς προτέρῳ ἐκδότῳ· ... δὲ ὁ πρῶτος δηλοῦται ὡς ἐπὶ τῆς ἀνήβου ἀποκα-
ταστάσεως. ἐὰν γὰρ εἴπω κληρονόμον εἶναι τοῦ ἀνήβου τὸν γινόμενόν μου κλη-
ρονόμον, οὐ περιέχεται ὁ τοῦ κληρονόμου μου κληρονόμος. ἐν τῷ δʹ φʹ ρξ. οὐδὲ
κατὰ περίληψιν τῆς τοῦ κληρονόμου· ἐπεὶ τὸ μὴ ταχεῖα. ἐν τῷ δʹ φʹ κς. ὁ τοκετὸς τῆς
κλοπιμαίας οὐκ ἔστι μέρος αὐτῆς. ἐν τῷ δʹ φʹ ςκε. κλέπτην καὶ φυγάδα καὶ ῥέμ-
βον καὶ μοιχὸν καὶ κοιτιστὴν, οὐκ ἀπὸ τῆς προθέσεως αὐτῶν, ἀλλὰ ἀπὸ τοῦ πρά-
ξαι λέγομεν. ἐν τῷ δʹ φʹ ςκς. κοῦλπα ἐστὶν ἡ μεγάλη ἀμέλεια· ἡ δὲ μεγάλη κοῦλπα
δόλος ἐστίν. ἐν τῷ δʹ φʹ σα. ἕτερον λαβεῖν, καὶ ἕτερον δέξασθαι. τὸ λαβεῖν ἐν
δυνάμεως νοεῖται· δέξασθαι δὲ κἂν οὐχ ὅλως τις ἀποδέξαιτο ἵνα ἔχῃ. διὰ τοῦ
τὸ οὐδεὶς λέγειν ὅπερ μέλλει ἀποκαθιστᾶν· ὥσπερ ἐληλυθέναι κυρίως ...
νο λέγεται, τὸ ἀπὸ ... μέλλον. ἐν τῷ δʹ φʹ σω. ἡ γενικὴ τῶν λεγομένων ...
ναγη..., καὶ ἐνθήκεια περιέχονται. ἐν τῷ δʹ φʹ λτ. λειμών ἐστιν ἐν ᾧ τις τὸ λαβεῖν
καρποῦ δρεπάνου μόνου ἐστὶ χρεία. ἐν τῷ δʹ φʹ ξ κεφ. λιμήν ἐστι τόπος περικλεισμέ-
νος, ἔσω οὗ εἰσάγονται τὰ φορτία καὶ ἐξ οὗ ἐξάγονται τὰ αὐτὰ καὶ στάσιον λέγεται. ἐν
τῷ δʹ φʹ κβ. ὁ λόγος ὁ μὴ ἔχων συμπλοκὴν ἢ διάζευξιν, ἀπὸ τῆς διαθέσεως τοῦ εἰ-
πόντος ἢ διαζευκτικὸς ἢ συμπλεκτικὸς νοεῖται. ἐν τῷ δʹ φʹ λε. τῷ ὀνόματι τῶν λοι-
πῶν, καὶ τὸ πᾶν σημαίνεται. ἐν τῷ δʹ φʹ μς. μετ᾽ ἐμφάσεως ... ἐν τῷ δʹ φʹ νζ κεφ. μα-
γιστροι λέγονται ἀπὸ μεταφορᾶς τῶν ἀρχόντων· οἱ πλέον τῶν ἄλλων προνοεῖν ὀφεί-
λοντες τῶν ἐπιτεταγμένων αὐτοῖς πραγμάτων· καὶ οἱ διδάσκαλοι διὰ τὸ ... ἐ-
πιστήμης. ἐν τῷ δʹ φʹ ρι κεφ. μεσεγγυητής ἐστι, παρ᾽ ᾧ πολλοὶ ἀπέθεντο τὸ ἀμφισβητούμενον πρᾶγ-
μα. ἐν τῷ δʹ φʹ ρξε. ὁ λέγων μέρος, καὶ μὴ προστιθεὶς ποῖον, τὸ ἥμισυ δηλοῖ. ἐν τῷ
δʹ φʹ ρϛς. μεμνηστεῦσθαι ἐστὶ τὸ προσποιήσασθαι· τὸ ἦρξαι, τὸ κατηγορῆσαι, τὸ συλ-
λέξαι. ※ ἐν τῷ δʹ φʹ σιβ. μέτους κυρίως μὲν τὸ ἐξ ἀνάγκης νόμου ἢ ἔθους ἢ ἄρ-
χοντος γινόμενον λέγεται. ἔστι δὲ καὶ ἡ σφοδρὰ ἀνάγκη. ἐν τῷ δʹ φʹ χβ. νεαλής ἐ-
στιν ἡ προβατεία ἡ ἐπὶ ... ἀρτίως ..., ἣν οἱ Γραικοὶ νέασιν καλοῦσιν. ἐν
τῷ δʹ φʹ σπ. ἐνίοτε δὲ καὶ τῷ ὀνόματι τῆς νομῆς ἡ δεσποτεία δηλοῦται· ὡς ἐνθάδε
τὰς νομὰς αὐτοῦ λεγατεύει. ἐν τῷ δʹ φʹ ρα. διηνεκές ἐστι τὸ νόσον εἶναι τὴν πρόσκαι-
ρον τοῦ σώματος ἀσθένειαν· πάθος δὲ ἐστι, διηνεκὲς τοῦ σώματος ἐμπόδιον.
ἐν τῷ δʹ φʹ ριγ. νόσου ὀλεθρία ἐστιν, ἡ ἑκάστῳ πράγματι λυμαινομένη. ἐν τῷ δʹ φʹ
ρνθ. καὶ τὰ ὑπὸ νούμμοι λέγονται. ἐν τῷ δʹ φʹ σλθ. τῷ ὀνόματι τῆς νόξης, πᾶν ἁ-
μάρτημα περιέχεται. ἐν τῷ δʹ φʹ ν. τῷ ὀνόματι τῆς νύμφης, καὶ προνύμφη καὶ ἡ
πορρωτέρω δηλοῦται. ἐν τῷ δʹ φʹ ξβ. τῇ προσηγορίᾳ τοῦ ξύλου, πᾶσα ὕλη πρὸς

Margin notes:

κλοπιμαίας :–
κοῦλπα :–
λαβεῖν :–
λεγάτου :–
λειμῶνος :–
λιμήν :–
λόγου μὴ ἔχοντος συμπλοκήν :–
λοιπῶν :–
μάξιμε :–
μαγίστροι :–
μεσεγγυητής :–
μέρους :–
μουνάστεια :– ※ ἐν τῷ δʹ φʹ ιη κεφ. τὸ μουνα σεια σημαίνει, δωρεὰν καὶ βάρος. ἐξ ὀφφικίου ※
μέτους :–
νομῆς :–
νόσου καὶ πάθους :–
νούμμοι :–
νόξης :–
νύμφης :–
ξύλου :–

ς

οἰκοδομὴν ποιοῦντα δηλοῦσιν. ἐν τῷ δʹ π. τὸ ὀπποτέρβιβον. καὶ τὸν ἐνεστῶτα καὶ τὸν ὀπποτέρβιβο :
μέλλοντα χρόνον δηλοῖ. ἐν τῷ δʹ μα κεφ. τῷ ὀνόματι τῶν ὅπλων. καὶ τὰ ξύλα καὶ ὅπλων :
οἱ λίθοι περιέχονται. ἐν τῷ δʹ σμα. ὀππιδούμ. ἀπὸ τοῦ ἑτέρου τῆς ἰσχύος κατασκευῆς. ὀππιδούμ :
ἐν τῷ δʹ οα. ταῦτα τὰ ῥήματα ἐπὶ τοῖς τοῖς πράγμασι. τὸ ὀρθῶς πεπρᾶχθαι ὡμο ὀρθῶς :
λόγησε. τοῦτο σημαίνει. ἵνα μήτε να κίνδυνον ἢ ζημίαν ἐκ τούτου τοῦ πράγματος ὁ
ἐπερωτήσας ὑπομείνῃ. ἐν τῷ δʹ στ. τὸ ἐπερωτᾶται πρᾶγμα ὀρθῶς, ἀποκαταστῆ
ναι δηλοῖ μετὰ τῶν καρπῶν. ἐν τῷ δʹ ρε. τὸ εἰπεῖν ὅθεν φανῇ τὸ πρᾶγμα, οὐ πρὸς τὸ ὅθεν :
διαφέρειν. ἀλλὰ πρὸς τὴν τοῦ πράγματος διατύπωσιν φέρεται. ἐν τῷ δʹ σιζ. δια
φέρει τὸ ὅλε δυνηθῇ λαμβάνειν τοῦ μεθ' ὃ δυνηθῇ λαμβάνειν. ἐπὶ γὰρ τοῦ πρώτου ἐκβαί ὅλε :
νει ἡ αἵρεσις. ὅλε πρῶτον λαμβάνειν δυνηθῇ. ἐν τῷ δʹ σμ. οὔρβις ἡ πόλις λέγεται οὔρβις :
ἀπὸ τοῦ οὐρβαρέτου τουτέστιν ἀρότρῳ περιχαράξαι τὸν μέλλοντα πολίζεσθαι τόν
τόπον. ἐν τῷ δʹ κβ. πεισαῖ ἐστὶ τὸ πεισθῆναι τὸ ἐπιζητούμενον πρᾶγμα. ἐν πεισαῖ :
τῷ δʹ νβ. τὴν προσηγορίαν τοῦ πάτρωνος, καὶ ἡ πατρωνία περιέχεται. ἐν τῷ δʹ πάτρων :
ξγ. ὁ πετάβι πλέον ἐστὶ τοῦ πόσσε. πόσσε γάρ ἐστι τὸ ὑπὸ τῶν ὑπὸ τοῦ κρα πετάβι :
τούμενον. πετάβι δέ ἐστι τὸ παρ' ἡμῖν νεμόμενον. ἐν τῷ δʹ ρμδ. πηγανὸς ἐστιν ἡ πηγανός :
σύζυγος ἢ ἐν τῷ οἴκῳ αὐτοῦ νομίμως χωρὶς γάμου. ἐν τῷ δʹ ς. τὴν τοῦ πατρὸς πρς :
προσηγορίαν, καὶ ὁ πάππος περιέχεται. ἐν τῷ δʹ ρμς. ἡ τοῦ πενθεροῦ προ πενθεροῦ :
σηγορία, καὶ τὸν προπενθερὸν δηλοῖ. ἐν τῷ δʹ ροα. περιέχεσθαι δοκεῖ καὶ περιέχεσθαι :
τὸ διὰ προσπορισμοῦ κτώμενον. ἐν τῷ δʹ υς κεφ. παῖδες λέγονται καὶ οἱ αὐτε παῖδες :
ξούσιοι καὶ οἱ ἐξ ἀρρενογόνων, καὶ οἱ ἐκ θηλυγόνων καλοῦνται. τῷ ὀνόματι τῶν παί
δων. καὶ ὁ εἷς μόνος περιέχεται. ἐν τῷ δʹ στ. ἡ τοῦ παιδὸς προσηγορία τρὶς
ἑρμηνεύεται σημασί. μίαν. ὅταν παῖδας δούλους, παῖδας προσαγορεύωμεν. ἑτέραν ἐπει
δὰν παῖδα τῷ ὀνόματι αὐτοῦ τῆς κόρης λέγομεν. τρίτην ἣν ἑκάστην παιδικὴν ἡλι
κίαν δηλοῦμεν. ἐν τῷ δʹ σκ. τὴν τῶν παίδων προσηγορία καὶ τῶν ὑπεξουσίων.
ἔκγονοι καὶ ἀπέκγονοι καὶ πάντες οἱ ἐξ αὐτῶν δηλοῦνται. ἐν τῷ δʹ σιβ. πλα πλατ :
τεῖα ἐνθυμία ἐστίν, σοφοδρὰ ἀμέλεια. τουτέστι τὸ μὴ νοεῖν ὃ πάντες νοοῦσιν. ἐν
τῷ δʹ σκα κεφ. πλασὸς ἐπίτροπος ἐστιν. ὁ μὴ ὢν ἐπίτροπος. καὶ πλαστὴ πλασοῦ :
διαθήκη ἡ μὴ οὖσα διαθήκη. καὶ πλασὸς μόδιος. ὁ μὴ ὢν μόδιος. ἐν τῷ δʹ
ρπθ. τὸ προστιθέμενον ἐν τοῖς συμβολαίοις, δέκα ἢ πλέον. οὐκ εἰς ἀριθμὸν.
ἀλλ' εἰς ἡμισείαν ἀναφέρεται ποσότητα. ἐν τῷ δʹ σλη. πλῆθός ἐστιν. οἱ λοιποὶ πλῆθους :
πολῖται χωρὶς τῶν ἀξιωματικῶν. ἐν τῷ δʹ ριη. πολέμιοι εἰσίν, οἱ πρὸς οὓς πολεμίων :
δημοσίου ψηφιζόμεθα πόλεμον. οἱ δ' ἄλλοι, λῃσταὶ ἢ κλέπται εἰσίν. ἐν τῷ δʹ

ποινῆς :~ ρλα. ποινή ἐστιν ἁμαρτήματος ἐκδίκησις. Ἐν τῷ δ᾽ σμγ. ἐπὶ τῆς ποινῆς. οὐκ
ἔστιν ἔκκλητος. ἀλλ᾽ ἅμα τῆς καταδίκης, ὑπόκειται ἀπὸ τῶν νόμων ποινῇ. ὁρίζεται
ποιῆσαι :~ δὲ ἡ ποινὴ ὑπὸ τοῦ νόμου, ἐφ᾽ ἑκάστῳ ἁμαρτήματι. Ἐν τῷ δ᾽ ροθ. τῷ ῥήματι τῷ ποι
ῆσαι, καὶ ἡ τοῦ ἀποδοῦναι αἰτία περιέχεται. δοῦναι. καταβαλεῖν. ἀεὶ δηλοῦται. δικάσαι
πούπιλος :~ πορευθῆναι. Ἐν τῷ δ᾽ σλθ. πούπιλός ἐστιν, ὁ ἄνηβος αὐτεξούσιος. Ἐν τῷ δ᾽ ε.
πράγματος :~ ἡ τοῦ πράγματος προσηγορία πλατυτέρα ἐστὶ τῆς τῶν χρημάτων. ἐπειδὴ καὶ τὰ ἔ-
ξω τῆς ψήφου τουτέστι κοινοῦ ὄντα, περιέχει. ὁπότε ἡ τῶν χρημάτων σημασία, εἰς ταῦ
τα τὰ πράγματα ἀναφέρεται. Ἐν τῷ δ᾽ κγ. τῇ τοῦ πράγματος προσηγορίᾳ, καὶ αἱ
αἰτίαι καὶ τὰ δίκαια περιέχεται. Ἐν τῷ δ᾽ ρμγ. ἐκεῖνο δοκεῖ τὸ πρᾶγμα ἐφ᾽ ᾧ
προέκκυψις :~ ἁρμόζουσι αἱ ἀγωγαί. Ἐν τῷ δ᾽ σμα. προέκκυψίς ἐστι, τὸ ἐξέχον ὥστε ἐπιτίθεσθαι
σεμνῆς :~ αὐτῷ ἐξ ὤσαν. Ἐν τῷ δ᾽ μς. σεμνὴν γυναῖκα νοεῖν ὀφείλομεν, τὴν μὴ ἀπρεπῶς
ζήσασαν. τὴν γὰρ σεμνὴν γυναῖκα ἐκ τῶν λοιπῶν γυναικῶν οἱ τρόποι διακρίνου
σι καὶ χωρίζουσιν. ἀμέλει οὐδὲν διαφέρει πότερον γεγάμηται ἢ χήρα ἐστίν. Εἴτε
εὐγενὴς ἢ ἀπελευθέρα ἐστί. οὔτε γὰρ γάμος οὔτε γέννησις. ποιεῖ τὴν σεμνὴν γυναῖ
σέρβοι :~ κα. ἀλλὰ οἱ τρόποι χρηστοί. Ἐν τῷ δ᾽ σλθ κεφ. σέρβοι ἀπὸ τοῦ φυλάττεσθαι καὶ μὴ
σκηνῆς :~ φονεύεσθαι ἐκλήθησαν. Ἐν τῷ δ᾽ ρπγ. σκηνὴ λέγεται πᾶσα οἴκησις. Ἐν τῷ δ᾽ ζ.
συνθήκης :~ ἡ συνθήκη πᾶσαν ἐπερώτησιν καὶ ὁμολογίαν δηλοῖ. Ἐν τῷ δ᾽ σιθ. ἐν τοῖς συναλ
συναλλάγματος :~ λάγμασιν οὐ τοῖς ῥήμασιν. ἀλλὰ τῇ διανοίᾳ τῶν συναλλασσόντων προσέχομεν.
ὅθεν ἐὰν παρὰ πόλεως μισθωσώμεθα ἐφ᾽ ᾧ διαβῆναι τὴν μίσθωσιν εἰς κληρο
σουείτης :~ νόμους διαβαίνει καὶ λεγαταρίους. Ἐν τῷ δ᾽ ροζ. σουείτης λέγεται ὁ παραμονίσιμος
στιπενδιοῦν :~ ἤτοι ἀθρόως. Ἐν τῷ δ᾽ κζ. στιπενδιοῦν λέγεται διὰ τὸ ἀπὸ λεπτῶν ἀργυρί
ων συνάγεσθαι. τὸ δ᾽ αὐτὸ καὶ τριβοῦτον λέγεται. ἀπὸ τοῦ ἐπικλᾶσθαι τοῖς κατα
βάλλουσιν. ἢ ἐπιμερίζεσθαι τοῖς στρατιώταις. Ἐν τῷ δ᾽ με κεφ. τῷ ὀνόματι τῆς
στρωμνῆς :~ στρωμνῆς, πᾶσα ἐσθὴς περιέχεται. καὶ τὰ στραγλία καὶ τὰ παλλία. καὶ πᾶν ὃ
περιβαλλόμεθα. τῷ ὀνόματι δὲ τῆς τρυφῆς, ἡ ἐσθής. οὐ μὴν τὰ στραγλία περιέχεται.
συνδιαζευκτικῆς :~ Ἐν τῷ δ᾽ κγ κεφ. ὁ συμπλεκτικὸς καὶ συνδιαζευκτικός, ἔσθ᾽ ὅτε ἀντ᾽ ἀλλήλων
παραλαμβάνονται, καὶ παραλείπεται τὰ παρακείμενα. ἐν οἷς φη. οἱ ἐπίτροποι χω
ρισθῶσι οὐ δίδοται. ὁμοίως καὶ ἐν τῷ κθ κεφ. ἔφη. καὶ περιέρχεται εἰς τὸ ἤ. Ἐν
σύσταμα :~ τῷ δ᾽ πδ. τρεῖς σύστημα ποιοῦσιν. Ἐν τῷ δ᾽ λη. σφάξας δείκνυται ὁ λαβών. ἀπαυ
σφάξας :~ τὸ παρὰ φύσιν ἑκάστου πράγματος γεννηθὲν καὶ γενόμενον. Ἐν τῷ δ᾽ ρλ. ἡ τῶν
τέκνων :~ τέκνων προσηγορία, καὶ εἰς τοὺς ἐγγόνους ἐκτείνεται. Ἐν τῷ δ᾽ ρκη. ὁ ἐκτρωθεὶς
νεκρὸς :~ νεκρὸς οὔτε γεννᾶσθαι δοκεῖ οὔτε παῖς λέγεται. Ἐν τῷ δ᾽ ρξθ. καὶ ἑνὸς μόνου

ϛ´

ζῶντος. καὶ ὡς ἀποκαθιστάντες λέγουσι. ἐν τῷ ιζ´ τῷ ἐλαίου ἀποθνήσκουσι. καὶ ὁ μόνος γὰρ συγγενὴς πλησιάζων λέγεται. ἐν δὲ τῷ ϛλδ´. λέμβους ξύλων λέγομεν. οὐ μόνον τοὺς τὰ ξύλα πλέκοντας. ἀλλὰ πάντας τοὺς οἰκοδομοῦντας. ἐν δὲ τῷ ϛμα´. λεπτὰ ὑποτιθοῦντες; πάντες οἱ ὑπὸ τὴν πόλιν ἀστοί. ἐν δὲ τῷ ρξϛ´. ὅ εἴπομεν ἐὰν συμβῇ τοῦ ὕδατος τὸ πόλει θάνατον δηλοῖ. ἐν δὲ τῷ ξ´. ὁ τόπος μέρος ἄστεώς ἐστιν. ὁ δὲ ἀστὸς ὁλόκληρόν ἐστι. καὶ ὡς ἐπὶ παντὸς χωρὶς τῶν οἰκημάτων. δύναται δὲ ἀπὸ τῆς διαθέσεως τοῦ κεκλημένου, καὶ ὁ τόπος ἀστὸς εἶναι. ὡς ὅταν αὐτὸ ἀστοῦ παραθέμενος αὐτόν, καὶ ὁ ἀστὸς εἶναι τόπος. ὡς ὅταν αὐτὸν ἐν τῷ περιαθροίσεις ἀγρῷ. ὁ δὲ τόπος καὶ ἐπὶ πολιτικοῦ καὶ ἐπὶ ἀστικοῦ λέγεται, καὶ ἀστὸς ἰδίοις ὅροις περικλείεται. ὁ δὲ τόπος δύναται λανθάνειν μέχρι πουδήποτε. ἐν δὲ τῷ ρκ´. ὁ τόκος τῶν ἀργυρείων οὐκέτι καρπός. ἐν δὲ τῷ ρνζ´ κεφ. τεῖχος ἐστιν, ὅτε περίβολος ὅτε θριγκός. ἐν δὲ τῷ ϛμγ´. τῷ τῆς τροφῆς ὀνόματι, καὶ τὰ βρώματα καὶ τὰ πόματα περιέχεται. καὶ τὸ ἔνδυμα. καὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα. καὶ τὰ πρὸς ψυχικὴν ἢ θεραπείαν τοῦ σώματος ὠφέλιμα. ἐν δὲ τῷ πγ´. τῇ τοῦ υἱοῦ προσηγορίᾳ πάντας τοὺς παῖδας νοοῦμεν. ἐν δὲ τῷ ρις´. τῇ τοῦ υἱοῦ προσηγορίᾳ καὶ ἡ θυγάτηρ περιέχεται. ἐν δὲ τῷ ϛ´ καὶ ϛη´. τῇ τοῦ υἱοῦ προσηγορίᾳ καὶ τὰ τῶν ὑπεξουσίων καὶ οἱ ἔγγονοι περιέχονται. ἐν δὲ τῷ λθ´ κεφ. ὑποσημανθὲν λέγεται. τὸ ὑφ' ἑτέρου ὑπογραφόμενον. οἱ γὰρ παλαιοὶ τῷ τῆς ὑποσημειώσεως ὀνόματι ἀντὶ τῆς ὑπογραφῆς χρῆσθαι ἔθος εἶχον. ἐν δὲ τῷ ϛμ´. τῇ φαμιλίᾳ καὶ οἱ ἐλεύθεροι περιέχονται. εἷς δὲ ἢ δύο δοῦλοι φαμιλίαν οὐ ποιοῦσιν. ἐν δὲ τῷ ρϞδ´. ἡ φαμιλία τὸ πρᾶγμα δηλοῖ. ὡς ὅταν ὁ νόμος λέγῃ, ἐγγύτερος συγγενὴς ἐχέτω τὴν φαμιλίαν. δηλοῖ καὶ πρόσωπα ὡς ὅταν λέγομεν περὶ τοῦ πάτρωνος καὶ τῶν ἀπελευθέρων. λέγεται καὶ φαμιλία κοινῶς ἐπὶ παντὸς γένους. λέγεται καὶ περὶ τῶν ὑπεξουσίων τοῦ ἑνὸς προσώπου. ἐν δὲ τῷ ϛλϛ´. τὸ μέσον ἐστὶ τὸ ὄνομα τοῦ φαρμάκου. καὶ δεῖ προστίθεσθαι καλοῦ ἢ κακοῦ. ἐν δὲ τῷ ϛλε´. κυρίως φέρεσθαι λέγομεν τὰ σώματα ἡμῶν βασταζόμενα. κομίζεσθαι δὲ διὰ τῶν ὑποζυγίων. ἄγεσθαι δὲ τὰ ἔμψυχα ὄντα. ἐν δὲ τῷ ρα´. μεταξὺ φθορᾶς καὶ μοιχείας, τούτῳ διαφέρειν τινὲς δοξάζουσιν. ὅτι ἡ μοιχεία εἰς τὴν γεγαμημένην. ἡ δὲ φθορὰ εἰς τὴν χήραν πλημμελεῖται. ὁ δὲ περὶ μοιχείας λόγος, ἀδιαφόρως τῷ τῆς φθορᾶς λόγῳ χρῆται. ἐν δὲ τῷ ξϛ´. ἡ τοῦ φορτίου προσηγορία, μόνα τὰ κινητὰ περιέχει. ἐν δὲ τῷ ϛϛ´. τῇ τοῦ φορτίου προσηγορίᾳ, οὐ περιέχονται οἱ δοῦλοι. ὅθεν οἱ σωματέμποροι οὐ λέγονται ἔμποροι. ἀλλὰ σωματέμποροι. ἐν δὲ τῷ ριε´. φουνδός ἐστι πᾶν ὅτε δήποτε ὑπὸ τοῦ ἐδά-

ἐλαίου :–
λέμβους :–
λεπτοϋποθήκους :–
πόλει :–
τόπου :–
τόκος :–
τείχου :–
τροφῆς :–
υἱοῦ :–
ὑπεξουσίων :–
ὑποσημαν :–
φαμιλ. :–
περὶ φαμιλίας πρόσωπα καὶ λέγεται :–
φαρμάκου :–
κυρίως φέρεσθαι τὸ φέρεσθαι τὸ βαστάζεσθαι καὶ ἄγεσθαι :–
φορτίου :–
φουνδου :–

φους κρατεῖται. ἐν τῷ δ' τοῦ ζ'. φοιτῶντος κεῖσθαι καὶ τὸ οἰκῆμα· καὶ ὁ ἀγρός.
αἱ δὲ οἰκοδομίαι, ἐν μὲν τῇ πόλει, οἰκίαι λέγονται. ἐν δὲ τοῖς χωρίοις, ἔπαυλαι· ὁ δὲ ἐν
χωρίοις οἰκοδομῆς τόπος. ἐν πόλει μὲν, ἔδαφος λέγεται. ἐν χωρίῳ δὲ, ἀγρὸς προσαγο-
χρέα :
ρεύεται. ἐν τῷ δ' τοῦ μα'. χρέα λέγεται οὐ μόνον ἃ δανείζουσί τινες· ἀλλὰ καὶ ἃ καθόλου
κτήματα :
ἄνδρα ἐξήνεγκα. ἐν τῷ δ' τοῦ π'. χρεὼν δὲ ταῦτα ἕκαστος κτήματα καλεῖ ἐπαινεῖ.
ὅσα ἐκ τῆς οὐσίας αὐτοῦ ἀφαιρεθῆναι δύναται. οὕτω λέγομεν ἑκατοντάκις ρ' χρυ-
σοῦς ἔχειν. τὸν μόνον ἐν κτήμασι καὶ τοῖς λοιποῖς πράγμασιν ἔχοντα οὐσίαν.
ἐν τῷ η' τοῦ ιζ'. ἐὰν ἐπερωτηθῇ τις, ὅσα χρήματά ἐστι περὶ τὴν ἀπὸ τῆς κλη-
ρονομίας τοῦ δεῖνος, αὐτὰ τὰ πράγματα δοκῶ ἐπερωτᾶν. οὐ μὴν τὰ τιμήματα αὐτῶν.
ἐν τῷ δ' τοῦ ρο'. οὐ μόνον τὰ ἀργύρια· ἀλλὰ καὶ πάντα τὰ κινητὰ καὶ τὰ ἀκίνητα
ψηφίσασθαι :
καὶ τὰ σωματικὰ καὶ τὰ δίκαια δηλοῦται. ἐν τῷ δ' τοῦ μς'. τὸ ψηφίσασθαι τὸ
ὁρίσασθαι τὸ αὐτὸ δηλοῖ :

β'

περὶ ῥωμαίων αἰχμαλώτων. ἀνα β' νλα' τ' κζ' ἐν τῷ φησιν :

Ἐξέστω παντὶ τοὺς αἰχμαλώτους ἡμετέρους ὄντας καὶ νεάζοντας, ἐρρυμένους πραγματεύειν ἐπὶ δη-
μοσίῳ. καὶ δεικνύουσι τοιούτους ὄντας. ὥστε τὸν δοῦλον διατεθῆναι ἔχειν αὐτὸν ὑπὸ τὴν
ἰδίαν χεῖρα. εἰ δὲ ἠμέλησε, εἰς ἐλευθερίαν ἔχουσι τὸ δικαστὸ καὶ
τὸ κρατηθέντας ἢ ὑποτεθέντας τὰς ἰδίας αἰτίας.
προείρηται περὶ τούτου ἀφέσεων. ἐν τῷ
α' στοιχείῳ εἰς τὸ περὶ κοινωνί-
ας ἢ τῷ ἐροῦντι :

α'

✠ ἀρχὴ σὺν θεῷ τοῦ σ̄ στοιχείου :

✠ περὶ σταυροπηγίου. ἀνα β' α' τ' α' κεφ ιε' καὶ ξ' ἐν ὅλοις φησίν :

Μηδεὶς μοναχὸς μήτε ἕτερός τις ἐν δεσποτικῷ τόπῳ ἢ ἐν ᾧ θεία ἐπιτηδεύει σταυρὸν ἐπι-
βαλλέτω ἢ λείψανον ἅγιον. μηδεὶς ἐν ἐδάφει ἢ μαρμάρῳ λίθῳ ἢ ἐν μαρμάρῳ
ἐδαφικῷ γλυφέτω ἢ γραφέτω σταυρόν. ἀλλὰ προσαιρείσθω τὴν βαρυτάτην τοῦ πα-
ραβαίνοντος ὑβρισαμένου ποινήν :

β'

περὶ στασιωτῶν στάσεις καὶ θορύβους καὶ ὀχλαγωγίαν ποιούντων,
καὶ τῶν διαταττόντων αὐτοὺς ἢ ὑποδεχομένων. ἀνα ε' β' ξ' τ' ιζ' κεφ
γ' ἐν τῷ φησιν :

ς΄.

Ἐάν τις κατὰ δόλον ἐν θορύβῳ ζημιώσῃ, ἔσω μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν ἐνέχεται· μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν. θόρυβος δὲ γίνεται ἀπὸ ι΄ ἀνδρῶν ἢ καὶ πλειόνων· ἐπὶ δὲ τῶν ἐλαττόνων, μάχη καὶ οὐ θόρυβος λέγεται. οὐ μόνος δὲ ὁ ἐν θορύβῳ ζημιώσας ἐνέχεται, ἀλλὰ καὶ ὁ ποιήσας δόλον ἐφ' ᾧ ἑτέρους ζημιωθῆναι· εἴτε παρῆν αὐτὸς τῷ θορύβῳ, εἴτε μή. καὶ ὁ ἐλθὼν εἰς τὸν θόρυβον καὶ τὸν δοῦλον τῆς ζημίας μεταλαβὼν ἐνέχεται. καὶ κεφ. δ΄ ἐν τῷ αὐτῷ. Ἐάν τις ἐπὶ τὸ γενέσθαι ζημίαν φθάσῃ τὸν δοῦλόν μου, καὶ θορύβου γενομένου ἀπολέσῃ τι ὁ δοῦλος· ἐνέχεταί μοι ὁ φθάσας. εἰ δὲ καὶ ἐπὶ τὸ ζημιωθῆναι· ἀλλὰ διώκειν τὸν ὄχλον συνήγαγεν ἐπὶ τὸ μαστιγωθῆναι τὸν δοῦλον ἐπ' αὐτοῦ· ἐνέχεται τῇ προσούσῃ αἰτίᾳ ἐπὶ τῇ συμβάσῃ ζημίᾳ. ἀνάγνωθι καὶ τίτ. ια΄ κεφ. β΄ ἐν τῷ αὐτῷ. Καὶ οἱ βουλευσάμενοι θόρυβον ἢ στάσιν ποιῆσαι· καὶ οἱ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους· καὶ ὁ ἔφηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος· καὶ οἱ ἐξ ἐφόδου ἀγροῖς ἐπιόντες καὶ ἁρπάζοντες πράγματα· τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται. ἀνάγνωθι καὶ τίτ. κα΄ κεφ. κς΄ ἐν τῷ αὐτῷ. ὁ ποιήσας ὀχλαγώγιον ἢ κατὰ δόλον παρασκευάσας γενέσθαι, ἐνέχεται. ἔστι δὲ ὀχλαγώγιον, πολλῶν κοινῇ σύνοδος ὅτε πολλῶν κοινῇ φωναὶ περὶ τοὺς ἀγαθοὺς τῆς πόλεως τόπους εἰς αὐτὸν συντρέχουσιν, εἰς φθόνον καὶ ἀτιμίαν τινός. καὶ τῷ ἀπόντι γίνεται ὀχλαγώγιον. ὅτε τις ἐπὶ τῇ οἰκίᾳ, ἢ τῇ ταβέρνῃ ἢ τῷ ἐργαστηρίῳ· ὀχλαγώγιον ποιεῖ οὐ μόνον ὁ κράξας, ἀλλὰ καὶ ὁ συγκαλεσάμενος ἄλλους ἢ ὑποβαλὼν ἐπὶ τὸ κράξαι. εἰ δὲ τῷ κα΄ κεφ. ἡ ἀπὸ τοῦ ὀχλαγωγίου περὶ ὕβρεως αἰτία, οὔτε κληρονόμοις, οὔτε κατὰ κληρονόμων δίδοται. ἀνάγνωθι καὶ τίτ. να΄ κεφ. λδ΄. οἱ τὸν δῆμον ἐρεθίζοντες εἰς στάσιν ἢ θόρυβον, πρὸς τὴν ἀξίαν αὐτῶν ἢ φουρκίζονται ἢ θηριομαχοῦσιν ἢ περιορίζονται. ἀνάγνωθι καὶ τίτ. ξα΄ ἐν τῷ αὐτῷ. πᾶς ὁ ὑποδεχόμενος δημίων ἐπὶ τὸ ποιῆσαί τι κατὰ τῆς κοινῆς εὐταξίας· βαρυτάτῃ ὑπόκειται τιμωρίᾳ. οἱ καταβοῶντές τινος καὶ ἐν τῷ θόρυβον κινοῦντες, μηδὲν δὲ καταναλῶσαι ἐξ ὧν αἰτοῦσιν· ὑποβάλλεσθαι δεῖ ταῖς τιμωρίαις. αἴτιοι τοὺς θορύβους ἀνιστῶντες ὑποβάλλονται:— ι΄

Περὶ στασιωτῶν. ἀνάγνωθι βιβ. να΄ τίτ. α΄ κεφ. ζ΄ καὶ ιη΄ καὶ κγ΄. ἐν δὲ τῷ ζ΄ κεφ. τοῦ α΄ τίτ. τοῦ να΄ β. φησίν:—

Τότε ὁ στασιώτης ὑπὲρ τοῦ συστασιώτου ἐνέχεται· ὅτε καὶ αὐτὸς ὁ στασιώτης καὶ οἱ ἕτεροι κατ' αὐτοῦ καὶ ὀνομασθεὶς, ἀπορήσῃ. καὶ οὔτε ἐν τῷ ἀπαιτεῖσθαι τὴν στασιωτείαν ἤγουν ἀπορεῖ· ἐπειδή τε ἕκαστος εἰς τὴν ἰδίαν ἐνέχεται διοίκησιν:—

Περὶ στρατιωτῶν καὶ περινομιῶν αὐτῶν καὶ πεκουλίων καὶ ἐσθῆτος καὶ ἀννόνων καὶ ἐπιδημιῶν καὶ προσόδων· καὶ περὶ τῶν παρ' αὐτῶν ἁμαρτα- δ΄

ἀνάγνωθι καὶ ν΄ ρισ΄ ... καὶ περὶ φοιδεράτων· καὶ νγ΄ ... περὶ τῶν στρατιωτῶν προσόδου καὶ πεκουλίων:—

νομένων. Περὶ τιμωρίας ἑκάστου αὐτῶν ἁμαρτήματος. Περὶ ἀποκαταστάσεως αὐτῶν. Τίνες κωλύονται στρατεύεσθαι. ἀρχ(ὴ) βιβ. νζ΄ τίτ. α΄. Οὗτος ἐν τῷ δ΄ κεφ. φη(σί):

Αἱ ποιναὶ τῶν στρατιωτῶν, ὡς ἐπίπαν (?)· μαστίζονται, ζημιοῦνται χρηματικῶς, προστιμῶνται, λειτουργήματα αὐτοῖς ἐπικλῶνται, στρατείαν ἀλλάσσουσι, βαθμοῦ ἐκβάλλονται, ἀτίμως ἀποστρατεύονται. οὔτε εἰς μέταλλον, οὔτε εἰς ἔργον μετάλλου καταδικάζονται, οὔτε βασανίζονται. ὁ καταλιμπάνων τὴν κατασκοπὴν τῶν πολεμίων ἐφεστώτων, καὶ ὁ τοῦ φοσσάτου ἐκπηδῶν, κεφαλικῶς τιμωρεῖται. ἢ φιλανθρώπως τὴν στρατείαν ἐναλλάσσει. Ἐν δὲ τῷ ζ΄ κεφ. ὁ κλέψας ἀλλότριον ἅρμα, τοῦ βαθμοῦ τῆς στρατείας ἐξωθεῖται. ὁ ἐν πολέμῳ ποιῶν τὰ παρὰ τοῦ δουκὸς ἀπαγορευθέν, ἢ μὴ ποιῶν τὰ προσταχθέν, κεφαλικῶς τιμωρεῖται. εἰ καὶ καλῶς τὸ πρᾶγμα ἔπραξεν. Ἐν δὲ τῷ η΄ κεφ. ὁ τὸ χαράκωμα πηδῶν (?), ἢ διὰ τοῦ τείχους εἰς τὸ κάστρον εἰσιών, κεφαλικῶς τιμωρεῖται. ὁ δὲ τὴν τάφρον ὑπερπηδῶν, ἀποστρατεύεται. Ἐν δὲ τῷ θ΄ κεφ. ὁ τὴν χεῖρα (?) ἐξερεθίζων στρατιωτῶν στάσιν, κεφαλικῶς τιμωρεῖται. ὁ δὲ μέχρι φωνῆς ἢ ψιλῆς μέμψεως ἱστάς, τοῦ βαθμοῦ ἐκβάλλεται. Ἐν δὲ τῷ ιβ΄ κεφ. ὁ ἐπὶ μοιχείας (?) ἐγκλήματι ἢ ἑτέρῳ δημοσίῳ καταδικασθείς, οὐ δύναται στρατιώτης εἶναι. Ἐν δὲ τῷ ιγ΄ κεφ. ὁ ἀπόφυγος γενόμενος ἐν καιρῷ πολέμου, κεφαλικῶς τιμωρεῖται. ὁ δὲ ἐν εἰρήνῃ ἱππεὺς μὲν ὤν, ἐναλλάσσει τὸν βαθμόν. πεζὸς δὲ τὴν στρατείαν. Ἐν δὲ τῷ ιδ΄ κεφ. ὁ χεῖρας ἐπαγαγὼν τῷ προεστῶτι αὐτοῦ, κεφαλικῶς τιμωρεῖται. παρὰ δὲ προπέτεια καὶ δουκὸς ἢ ἄρχοντος τοῦ στρατιώτου, κεφαλικὴν ἐπάγει τιμωρίαν. ὁ ἀπὸ παρατάξεως πρῶτος φυγών, ἐπ' ὄψει τῶν στρατιωτῶν κεφαλικῶς τιμωρεῖται. ὁ δὲ μὴ δυνάμενος ζημιοῦσθαι (?). οἱ προδόται καὶ οἱ αὐτόμολοι, κεφαλικῶς ὡς ἐπὶ πολὺ τιμωροῦνται. καὶ ἀποστρατεύονται καὶ κολάζονται. Ἐν δὲ τῷ ιη΄ κεφ. ὁ στρατιώτης ἐνθάδε στρατεύεται, οὐχ ἁπλῶς στρατιώτου χωρίον (?). ἀλλὰ καὶ παρέδρου παρὰ τοῦ δημοσίου. τὸ δὲ παρανόμως ἀποσπασθὲν ὁ δημόσιος ἐκδικεῖ. εἰ μὴ ἄρα πείνῃ καταναγκασθεὶς πληρώσῃ τὴν στρατείαν ἢ ἄφεσιν (?). Ἐν δὲ τῷ μβ΄ κεφ. ἡ διάταξις διαγορεύει περὶ τοῦ μηδένα κατὰ τὸν αὐτὸν καιρὸν ἔχειν δύο στρατείας ἢ δύο ἀξιώματα. καὶ μὴ ἐξεῖναι διπλῆν στρατείαν μετιέναι ἢ συμμίξαι τῇ στρατείᾳ ἀξίωμα. τοὺς δὲ ἐπιχειροῦντας (?)· δεκαλίτρου χρυσοῦ ποινὴν καταβάλλειν, μετὰ τοῦ μηδὲ ἀφαιρεῖσθαι. Καὶ ἐν τῷ με΄ κεφ. ὁμοίως φη(σί). Ἐν δὲ τῷ μς΄ κεφ. ὑπὲρ τῶν δούλων οἵτινες μετὰ ταῦτα πρὸς τὴν στρατείαν προσελθεῖν ἀποπειραθῶσιν ἢ εἰδότων ἢ ἀγνοούντων τῶν δεσποτῶν, προστάττομεν. εἰ μὲν ἀγνοούντων τούτων ἀξιωθεῖεν, ἐξεῖναι τοῖς δεσπόταις προσελθεῖν τῷ ἁρμοδίῳ δικαστῇ, καὶ τὴν οἰκείαν ἄγνοιαν ἐκποδὼν

Περὶ αὐτομόλων (?):

Περὶ δούλων στρατιωτῶν:

ϛ

ὅτε τὸ εὐαγγέλιον οὐκ ἀποδέχονται. καὶ τὸ τῷ ξ΄ τὸ περὶ συμπαθείας τῆς στρατ., ἐς τὴν τῶν
δεσποτῶν ἤγουν. ἐὰν δὲ [illegible] αὐτῶν οἱ δοῦλοι στρατεύονται, ἐκπίπτουσιν αὐτοὺς οὐ μό-
νον τῆς δεσποτείας αὐτῶν. ἀλλὰ καὶ παντὸς τοῦ πατρωνικοῦ δικαίου. ἐκείνους δὲ [illegible]
γινομένους. εἰ δὲ [illegible], πρὸς τὸ στρατεύσασθαι [illegible] αὐτοῖς δόξουσιν ἐν αὐτῇ ἀ-
πομένειν. εἰ δὲ μηδαμῶς ἐπιτήδειοι εἶεν, τούτους ἀποστρέφεσθαι. ἐν δὲ τῷ μα΄ κεφ.
ἡ διάταξις περὶ τῶν αὐτῶν τῇ προλαβούσῃ φησί. ὅτι ἐὰν ἐλεύθερος δεσπότου στρατεύσηται δοῦ-
λος ἀπόλλυσιν ὁ δεσπότης καὶ τὴν ἐπὶ τῷ δούλῳ δεσποτείαν καὶ τὸ πατρωνικὸν δίκαι-
ον. εἰ δὲ κατ' ἀξίας ἐπέβη ὁ δοῦλος, τὰ αὐτὰ προβαίνει. [illegible] ἡ διάταξις, αὕτη [illegible]
[illegible] ἐπὶ τῶν προσελθόντων ἀξιωμάτων. ἀνάγνωθι καὶ τὸ β΄ διαλαμβάνον περὶ στρα-
τιωτικοῦ πεκουλίου. καὶ προσέρχεται περὶ αὐτοῦ ἐν τῷ περὶ πεκουλίου. ἀνάγνωθι καὶ τὸ γ΄ τοῦ
[illegible] ἐν τῷ [illegible] κεφ. φησί. ὁ ἐπὶ κ΄ ἔτη στρατευόμενος, ἀπήλλακται [illegible] λειτουργιῶν.
ἐν δὲ τῷ [illegible] κεφ. ἐάν τις ἀπὸ φυγῆς [illegible] ἐν φοσσάτῳ καὶ [illegible], ἡ οὐσία αὐτοῦ δη-
μεύεται. ἐν δὲ τῷ ιβ΄ κεφ. [illegible] ἐν ταῖς ὁδοῖς [illegible], μὴ εἰς τῶν στρατιω-
τῶν σπουδαζέτω ἐμποδίζεσθαι τοὺς πολεμίους ἢ γυμνοῦσθαι ἐπὶ τῶν στρατιωτῶν αὐτοῦ.
ἀλλὰ [illegible] τῶν σκηνῶν. τοὺς οἰκείους ἵππους ἀπολύεσθαι. ἀνάγνωθι καὶ τὸ δ΄. ἐν ᾧ
διαλαμβάνεται περὶ ἀννώνων καὶ ἐσθήτων αὐτῶν. καὶ τοῦ βαστάζειν ἄλευρα ἀπὸ κ΄ μι-
λίων. καὶ τοῦ λαμβάνειν [illegible] ταμεῖον. καὶ τοὺς
παῖδας αὐτοῦ [illegible] μέχρι τῆς αὐτοῦ [illegible]. ἀνάγνωθι καὶ τὸ ε΄ ἐν
ᾧ φησί. περὶ τῶν ἀποστρατευομένων καὶ τῶν προνομιῶν αὐτῶν. ἀνάγνωθι καὶ τὸ ζ΄ ἐν
ᾧ φησί. περὶ τῶν ἐν πολέμῳ ἀποθνησκόντων. καὶ ὅτι ὁ υἱὸς τοῦ [illegible] στρατιώ-
του ὁ μείζων [illegible] ὑπεισέρχεται εἰς τὸν τόπον τοῦ πατρὸς αὐτοῦ καὶ τὰς αὐτὰς
ἀννώνας λαμβάνει μέχρι [illegible]. ἀνάγνωθι τὸ η΄ ἐν ᾧ φησί. τὸν [illegible]
[illegible] ἀπαγορεύεσθαι. ἀνάγνωθι [illegible] ἐν ᾧ δια-
λαμβάνεται περὶ τῆς ἀποκαταστάσεως αὐτῶν οὐδενὸς ἐν τῷ [illegible] κεφ. ἀπὸ τῆς προλαβού- περὶ ἀποκαταστάσεως
σης [illegible] γενικῶς περὶ πάντων τῶν διὰ δημοσίων πραγμάτων ἀποδημούντων ἐνο-
μοθετεῖτο. ταῦτα ἡ προκειμένη περὶ στρατιωτῶν νομοθετεῖ [illegible] ἐν
καιρῷ τῆς στρατείας [illegible] τοῦ στρατιώτου [illegible] πρᾶγμα [illegible]
[illegible] τοῦ στρατιώτου διὰ τῆς στρατείας ἀπεῖναι ἐν τοῖς [illegible] ἢ ἀ-
ναγκαζομένου διὰ τῆς [illegible] κυριότητος. ἐὰν [illegible] τὸ πρᾶγμα
τοῦ στρατιώτου [illegible], ἡ ἀναιρουμένης τῆς τοῦ μακροῦ χρόνου προ-
γραφῆς [illegible] αὐτοῦ ἐπιζητεῖται καὶ μηδὲν ὑπὸ τοῦ [illegible] καταβλά-
πτεται. [illegible] ἀποτίθεσθαι τῆς διατάξεως. ὁμοίως δὲ ἡ [illegible] κυριότης προ-

τείνουσα. οὐδὲ ὁ τῆς μακροχρονίου παραγραφῆς περιούμενος χρόνος βλάπτει τὸν στρατιώτην ἢ τὸν διὰ πράγματα δημόσιον ἀπολιμπανόμενον· ἐὰν ἐντὸς ἐνιαυτοῦ ὡρισμένου μετὰ τὸ παύσασθαι τῆς ἐκδημίας ἐναγάγῃ περὶ αὐτοῦ. ἀνάγνωθι ε΄ β΄ τίτ. α΄ κεφ. ξ΄ ἐν τῷ φ. φ. Εἰ καὶ ἰδιῶται περὶ τῆς ἀλλήλων διαδοχῆς ἀνεγγράφως συμφωνοῦσι, καὶ οὐδὲ θανάτου αἰτίᾳ δωρεὰν ἔχει τὸ σύμφωνον· στρατιῶται ὅμως ἐπὶ παρατάξει ἔχοντες ἰσχυρῶς τοὺς βίους συμφωνοῦσιν. ἀνάγνωθι καὶ β΄ ιε΄ τίτ. α΄ κεφ. π΄ η΄. ἀνάγνωθι καὶ β΄ νε΄ τίτ. ς΄ ἐν ᾧ διαλαμβάνεται περὶ στρατιωτῶν λιμιτανείων καὶ καστελλιανῶν καὶ τῶν ἰδίους ἀφωρισμένων ἀγρῶν καὶ νομῶν καὶ λιμένων τῶν καὶ λιμιτοτρόφων χωρουμένων :—

περὶ ἀλληλοκληρονομίας :—

ε΄

## Περὶ σιτηρεσίων. ἀνάγνωθι β΄ νς΄ τίτ. ιζ΄ κεφ. ξε΄ ἐν τῷ φ. φ. :—

Οἱ τοῖς δημοσίοις ἤτοι σιτηρεσίοις χαρισθέντα ἐπιφερόμενοι, μηδὲν παντελῶς περὶ τῶν ἐπαρχιωτῶν λαμβανέτωσαν· εἴτε πολεμίων ἀναχώρησιν, εἴτε νίκην, εἴτε ὑπάτων ἀναγόρευσιν, εἴτε ἐράνου γενομένου πρὸς τοὺς πολεμίους, εἴτε λαβεῖν τὰ κατὰ τὸ ἔθος ἔχοιεν :—

ς΄

## Περὶ συκοφαντῶν. ἀνάγνωθι β΄ ξ΄ τίτ. α΄. οὐδένος ἐν τῷ ι΄ κεφαλαίῳ φησί :—

ποσαχῶς ἡ συκοφαντία γίνεται καὶ ἡ ἐπεξήγησις αὐτῆς :—

γρ. κατηγορεῖ

Κατὰ τρεῖς τρόπους ἡ συκοφαντία γίνεται· καὶ τριπλῶς ἡ ἐπεξήγησις. ἢ γὰρ συκοφαντοῦντες πλαστῶς κατηγοροῦσιν, ἢ προδόται τῆς ἰδίας ὑποθέσεως γίνονται τὰ ἀληθῆ ἐγκλήματα κρύπτοντες, ἢ φυγοδικοῦντες ἤγουν ἀναχωροῦντες τῆς κατηγορίας. οὐ πάντως δὲ συκοφάντης ἐστὶν ὁ μὴ ἀποδεικνὺς ὅπερ κατηγόρησεν· ἀλλ᾽ ἐν τῇ κρίσει τοῦ δικάζοντος ἐστὶ μετὰ τὸ ἐλευθερωθῆναι τὸν κατηγορούμενον ζητῆσαι περὶ τούτου, καὶ εἰ μὲν εὕροι συκοφαντήσαντα, ἐφ᾽ ... τὸ αὐτό. εἰ δὲ εἴπῃ ἐσυκοφάντησας, κατεδίκασεν αὐτόν· κἂν μηδὲν εἴπῃ περὶ τῆς ποινῆς, ἐπακολουθεῖ γάρ. ἡ μὲν γὰρ τῆς ὑποθέσεως ζήτησις, ἐπιτέτραπται τῷ δικαστῇ. οὐ μὴν ἡ τοῦ νόμου ἐπεξήγησις. εἰ δὲ εἴπῃ προπετῶς ἐκίνησας, οὔπω εἶπεν αὐτὸν συκοφάντην· οὐδὲ ποινὴν ὑφίσταται. ἐν δὲ τῷ ιβ΄ κεφ. ὁ ἀποστὰς οὐ δύναται πάλιν ἐπ᾽ αὐτὸν κατηγορεῖν. καὶ ἐν τοῖς ἰδιωτικοῖς ἤτοι χρηματικοῖς ἐγκλήμασι πάντες οἱ συκοφάνται πρὸς τὸ διάφορον σωφρονίζονται. ἐν δὲ τῷ λε΄ κεφ. ἡ διάταξις βούλεται τὸν συκοφαντήσαντα ἐπὶ δημοσίῳ ἐγκλήματι, καὶ ἀτιμοῦσθαι καὶ περιορίζεσθαι. μόνον μέντοι, ἐὰν ἀλλοτρίαν κατηγορίαν ἐκίνησεν ὡς ἰδίαν αἰτίαν. ἀνάγνωθι καὶ β΄ ξ΄ τίτ. α΄ κεφ. β΄ ἐν τῷ φ. φ. ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπίσκοπον, λ΄ χρυσοῦ λίτρας προσκρουέτω τῷ δημοσίῳ· στερείσθω δὲ τὰ ἐκκλησιαστικὰ πάντα προνόμια, καὶ νομιζέσθω ὅλως κληρικὸς ἢ μοναχὸς ὁ συλλαβὼν ἐκτὸς τοῦ οἰκείου ἐπισκόπου τὸ μετὰ τοῦτο καταληφθείς :—

ϛ

Περὶ συμβολαιογράφων καὶ συμβολαίων. ἀνάγνωθι β΄ κβ΄ τ(ίτλον) β΄ ἐν τῷ ... ζ΄

*ἀνάγνωθι καὶ νεαρὰν με΄ καὶ με΄, ἐν ᾗ περὶ τοῦ προστάττεσθαι τὸ τοῦ βασιλέως ὄνομα ἐν τοῖς συμβολαίοις καὶ τὸ ἔτος.*

Τοῦ μὴ εἰς ἕτερον χάρτην τοὺς συμβολαιογράφους γράφειν συμβόλαιον, εἰ μὴ εἰς τὸ ἔχον τὸ προκείμενον τὸ καλούμενον πρωτόκολλον· καὶ οὕτω πῶς ἄρχεσθαι τῶν συμβολαίων· βασιλείας τοῦ δεῖνος τοῦ θειοτάτου αὐτοκράτορος καὶ αὐτοκράτορος ἔτους τοσοῦδε· καὶ μετ' ἐκεῖνα ἐπιφέρειν τὴν τοῦ ὑπάτου προσηγορίαν καὶ ἐκείνου τὸ ἔτος· ἔπειτα τὴν ἐπινέμησιν προστιθεμένου τοῦ μηνὸς καὶ τῆς ἡμέρας.

Περὶ συμφώνων καὶ συναινέσεων καὶ συναλλαγμάτων. ἀνάγνωθι β΄ ια΄ τοῦ ... ἐν τῷ α΄ κεφ. ... η΄

*Περὶ συμφώνου.*

Σύμφωνόν ἐστι δύο ἢ τριῶν εἰς ταὐτὸν ἢ πλειόνων συνέλευσις εἰς τὸ ἀρεστὸν καὶ συναίνεσις. τὸ δὲ τῆς συναινέσεως ὄνομα γενικόν ἐστι φερόμενον πρὸς πᾶσαν συναίνεσιν γινομένην ἐπὶ συστάσει ἐνοχῆς καὶ διαλύσει· ὥστε ἐπίπαν δὲ ἡ συναίνεσις εἰς ἰδικὸν ὄνομα μετέρχεται· ὡς εἰς τὸ ἀγοράσαι, μισθῶσαι, ἐνέχυρον, ἐπερώτησιν. Ἐν δὲ τῷ β΄ κεφ. συμφωνεῖς καὶ παρὼν καὶ ἀπὼν καὶ δι' ἐπιστολῆς καὶ δι' ἀγγέλου, καὶ σιωπηρῶς, ὡς ὅταν ἀναδοὺς ἐπιγεγραμμένον τὸ γραμματεῖον· ἔχει γὰρ ἐπὶ ... παραγραφήν. Ἐν δὲ τῷ ε΄ κεφ. τῶν συναινέσεων αἱ μὲν ἐξ αἰτίας δημοσίου γίνονται, ὡς ὅταν οἱ στρατηγοὶ πρὸς ἀλλήλους περὶ εἰρήνης συμφωνήσωσιν· αἱ δὲ ἐξ ἰδιωτικοῦ νομοῦνται· διὸ ἐάν δὲ καὶ τίκτουσι καὶ ἀναιροῦσιν ἀγωγήν· ἢ τοῦ ἐθνικοῦ νόμου εἰσίν· αἵτινες ἢ ἀγωγὰς ἢ παραγραφὰς ἔχουσιν ἢ τίκτουσι· καὶ αἱ τίκτουσαι ἀγωγάς, εἰς ἰδικὸν ὄνομα μετέρχονται· ἀγορασίαν, πρᾶσιν, μίσθωσιν καὶ ἐκμίσθωσιν, κοινωνίαν, χρῆσιν, παρακαταθήκην καὶ τὰ παραπλήσια. εἰ δὲ καὶ μὴ μετέρχονται εἰς ἰδικὸν συνάλλαγμα, ὑπέστι δὲ αἰτία, τίκτεται ἐνοχή· ὡς ὅταν δέδωκα πρᾶγμα ἵνα μοι ἀντιδῷς· ἢ ἵνα τι ποιήσῃς· ὅθεν ἐὰν δέδωκα παῖδα ἵνα τὸν Παῦλον ἐλευθερώσῃς, καὶ μὴ τὸν ἐλευθερωθῆναι, ... πρὸς ..., ἔχεις καὶ ἐμοῦ τὴν πραισκρίπτις βέρβις. Ἐν δὲ τῷ ϛ΄ κεφ. τὸ δὲ ψιλὸν σύμφωνον ἀγωγὴν οὐ τίκτει, ἀλλὰ παραγραφήν· ἐν ἀρχῇ δὲ γινόμενον, τίκτει τὴν ἀγωγήν, ὡς ἐπὶ τῆς καλῇ πίστει ... εἰ δὲ ἐν χρόνῳ συμφωνηθῇ τι, ἐπὶ μὲν τοῦ ἐνάγοντος, οὐ συμβάλλεται· ἐπὶ δὲ τοῦ ἐναγομένου, τίκτει παραγραφήν. ἐὰν γὰρ μετὰ τὸν γάμον συμφωνήσῃ ἡ γυνὴ παραχρῆμα καὶ μὴ τὸν ὡρισμένον χρόνον ἀναλαβεῖν τὴν προῖκα ἢ τόκους ἐπὶ τῆς ... αἰτίας κινουμένης, μὴ ζώνας δοθῆναι τῶν νομίμων· οὐκ ἔρρωται. εἰ μὴ ἀπὸ ψιλοῦ συμφώνου τεχθῇ ἀγωγή. μόνα γὰρ τὰ ἐν ἀρχῇ συμφωνούμενα τίκτουσι τὰς ἀγωγὰς καὶ ἐπὶ τῆς πράξεως καὶ ἐπὶ τῶν λοιπῶν καλῇ πίστει. τὸ παρεπόμενον τοῦ συναλλάγματος εἰ μὴ σύγχρονόν ἐστι συμφωνούμενον οὐ συμβάλλεται τῷ ἐνάγοντι· τῷ δὲ ἐναγομένῳ τίκτει παραγραφήν.

*ἀγωγὴ συνίσταται ἐξ ἐπερωτήσεως καὶ συμφώνου ἀποκειμένου· ὅταν ὁμολογήσῃς κατασκευάσαι μοι οἰκίαν ἢ δοῦναί μοι ...*

*σ(ημείωσαι). ψιλὸν σύμφωνόν ἐστιν ἡνίκα μὴ προστίθεται δόσις ἢ ποίησις, ἀλλὰ μόνον σύμφωνον συνέστη ἐπιδόσει ἢ ἐπιποιήσει. ἀνάγνωθι καὶ τὸ περὶ ψιλοῦ συμφώνου.*

ϛ

ὅταν δὲ κατὰ φύσιν τοῦ συναλλάγματος πράγματος μὴ τυχόντος συμφωνηθῇ. ταῦτα
καὶ τὰ συναπτόμενα τῷ συναπτομένῳ ὡς ἔνοχα συμβάλλεται. ἐπὶ γὰρ τῆς πράσεως καὶ
τῶν λοιπῶν καλῇ πίστει συναλλαγμάτων, καὶ μεταξὺ ποιοῦσι τὸ ἔξεστι. καὶ ὑπαναχω-
ρεῖν ἐκ συμφώνου. ἤγουν καὶ μικρὸς καὶ ἀποκληρονόμων οὐ τὸν τὰ ἀγοραστὰ
δυνάμενοι πρὸς τοῖς ἕνα μικρὸς ἐκ συμφώνου χωρεῖν τὴν πρᾶσιν. ἐν τῷ δ' ζ' κεφ.
τὰ χωρὶς δόλου σύμφωνα καὶ μὴ τοῖς νόμοις ἐναντιούμενα καὶ τῆς πράξεως
φὴν αὐτοῦ γινόμενα, ἔρρωται. τῶν συμφώνων, τὰ μέν εἰσι γενικά, ἤγουν ἔχου
τα συγχώρησιν. τὰ δὲ προσωπικά, κατὰ πρόληψιν δὲ γενικὰ δοκεῖ. κἂν ἐξ αὐτοῦ ἐν
τεθῶσι προσώπου. καὶ δόλου συμφωνηθέντος ὁσάκις ἐπὶ παραγραφῇ τινὸς, ἄλλο τι
πράττει καὶ ἄλλο τι προσποιεῖται. εἰ δὲ καὶ τὴν ἀρχὴν … τοῦ συμφώνου (συνῆ)
ὁ δόλος. ἁρμόζει αὐτῇ παραγραφή. ἐν τῷ δ' … κεφ. περὶ τὰ κοινὰ νόμιμα συμφώ
νου οὐκ ἔξεστιν οὐδὲ μεταποιεῖν. καὶ ἐὰν τις ὀμόσῃ ἐπὶ τοῖς τοιούτοις μὴ ἐνάγειν,
οὐκ ἔρρωται. τοῦ δὲ συμφώνου παρανόμου ὄντος, οὔτε ἐπερώτησις γινομένη
κρατεῖ. ἐν τῷ δ' ι' κεφ. ἐὰν ὑποβληθῇ τῷ συμφώνῳ ποινή, ἐπὶ λοιπὸν ἔχει ὁ ἐπε
ρωτήσας ἢ τῇ ἐπερωτήσει χρήσασθαι ἢ τῇ παραγραφῇ, καὶ ποιεῖται τῆς ποινῆς ἀ
παίτησιν. ἐν ἀγνοίᾳ τῆς συμφώνου παραγραφῆς, ἁρμόζει ἡ τοῦ δόλου κατ' ἐπιτρ.
ὡς ἐπὶ φερνικοῦ συμφωνουμένου. τὸ γὰρ σύμφωνον αὐτοῦ ὠφελεῖ καὶ βλάπτει
τὸν διάδοχον, ἐπειδὴ καὶ κακῶς αὐτῷ καταβάλλεται. ἐν τῷ δ' ιη' κεφ. ὁ πρὸς ἐμὲ
γενόμενον γενικὸν ἢ προσωπικὸν σύμφωνον, ὠφελεῖ καὶ τὸν ἀγοραστὴν τοῦ πράγ-
ματος, καὶ τὸν κατὰ δωρεὰν διαδεξάμενον. ἐν τῷ δ' κβ' κεφ. τὰ παράνομα σύμ
φωνα οὐκ ἔρρωται. ἀποθανόντος ὁ ἄνηβος καὶ χωρὶς τῆς αὐθεντίας τοῦ ἐπιτρόπου
συγχωρῇ χρέος. οὔτε γὰρ αὐτῷ χωρὶς τοῦ ἐπιτρόπου κακῶς καταβάλλεται. κρατεῖ
τυχὸν δὲ τὴν οἰκείαν αἵρεσιν. καὶ χωρὶς τοῦ ἐπιτρόπου ποιεῖ. ὁ υἱὸς ἢ ὁ δοῦλος, ἀ
νιάτως συμφωνῇ μὴ ἀπαιτεῖσθαι. εἰ δὲ γενικῶς συμφωνήσω μὴ ἀπαιτηθῆναι
τὸ χρέος. κἂν ἐκ τοῦ πεκουλίου ᾖ καὶ ἔχει ἐλευθέραν τοῦ πεκουλίου διοίκη
σιν, οὐκ ἔρρωται. εἰ μὴ ἧττον, ἢ πλέον τοῦ χρέους λαβεῖν ὑπὲρ τοῦ συμφωνηθῆναι.
οὔτε γὰρ δύναται συγχωρεῖν ὁ ἔχων ἐλευθέραν τοῦ πεκουλίου διοίκησιν.
ἐν τῷ δ' κε' κεφ. ὑπεναντίον τοῦ δόγματος τῶν ἀγορασιῶν συμφωνεῖν καὶ ἀ
γοράζειν καὶ μεταβαίνειν δυνάμεθα. ἐν τῷ δ' λ' κεφ. διὰ ἰδικοῦ συμφώνου
τὸ κοινὸν νόμιμον, οὐκ ἐναλλάσσεται. ἐν τῷ δ' νε' κεφ. ὅσα σύμφωνα γένηται, ἢ
ὑπεναντία νόμων, ἢ ὑπεναντία τῶν καλῶν τρόπων, ταῦτα μηδεμίαν ἔχει
ἰσχύν. ἀναμφίβολον νομίμου ἐστίν. αὐτ. καὶ β' κα' τ' α' κεφ. ἡ ἐν δόσει προικ. τὴν

ς

ἀγαθὴν πίστιν ζητεῖσθαι ἐν τοῖς συναλλάγμασιν. ὥσπερ γὰρ ἐξ ἀρχῆς ἐξουσίαν ἕκαστος ἔχει τοῦ ποιεῖν ἢ μὴ ποιεῖν τὸ συνάλλαγμα, οὕτω μετὰ τὸ γενέσθαι ἀπαγορεύειν τῇ ἅπαξ συστάσῃ ἐνοχῇ, τοῦ ἀντιδίκου μὴ συναινοῦντος, οὐ δύναται: ἀνάγν. βι. ε κε. τ. ε κεφ. ος ἐπ. θ:

Περὶ συνηθειῶν τῶν διδομένων παρὰ τῶν ἐπαρχιωτῶν τοῖς δικάζουσι καὶ ἐμφανίζουσι τὰς ἐκ βασιλέως ἀποστελλομένας σάκρας. ἤτοι ἐπαναγνωστικά. καὶ περὶ τῶν διδομένων συνηθειῶν τοῖς διακομίζουσι τὰ διατάγματα τῶν μελλόντων ἄρχειν πολιτικῆς ἢ στρατιωτικῆς ἀρχῆς. ἀνάγν. βι. ζ τ. ς κεφ. ια ἐν ᾧ φησιν: ϑ

Οἱ τὰ διατάγματα κομίζοντες τῶν μελλόντων ἄρχειν πολιτικῆς ἢ στρατιωτικῆς ἀρχῆς. ιε μόνους χρυσοῦς ἐκ τῆς ἐπαρχίας κομιζέσθωσαν. εἰ δὲ πλέον λάβωσι, τὸ τετραπλάσιον διδότωσαν. μὴ δυνάμενοι περὶ ἀπολογίαν προφέρειν, ὡς παρὰ ἑκόντων τὸ περιττὸν εἰλήφασιν. ἀνάγν. καὶ βι. ς τ. ιζ κεφ. ξζ ἐν ᾧ φη. ἡ διάταξις βούλεται. ἐξ οὗ μόνον παρέχεσθαι ἀφ' ἑκάστης ἐπαρχίας ὑπὲρ τῶν ἐμφανιζομένων θείων γραμμάτων. ἢ σακρῶν προστάξεων. ἢ δημοσίων συμβολαίων ἢ ἀνδριάντων. εἰ δὲ πλέον λαβόντα τετραπλάσιον διδόναι κωλυόντων τοῦ τε ἄρχοντος καὶ τοῦ ἐπισκόπου, καὶ τῶν πρώτων τῆς πόλεως, καὶ πάσης πολιτικῆς καὶ δημοσίου βοηθείας. ὁ μὲν γὰρ ἐπίσκοπος, ὑπὸ ἀγανάκτησιν ἔσται βασιλικήν. ὁ δὲ ἄρχων καὶ ἐκπεσεῖται τῆς ἀρχῆς καὶ δημευθήσεται καὶ ἐξορισθήσεται, καὶ ἡ τάξις δὲ κινδυνεύσει:

Περὶ συνηγόρων, καὶ τίνες κωλύονται συνηγορεῖν. ἀνάγν. βι. η τ. α. ὅλον ἐν ᾧ α κεφ. φησίν: ι

Τρεῖς εἰσὶ τάξεις τῶν μὴ δυναμένων συνηγορεῖν. οἱ μὲν γὰρ εἰς τὸ παντελὲς κωλύονται. οἱ δὲ ὑπὲρ μόνων ἑαυτῶν συνηγοροῦσιν. οἱ δὲ ὑπὲρ ἑαυτῶν καὶ ῥητῶν ἄλλων. εἰς τὸ παντελὲς κωλύεται συνηγορεῖν ὁ μὴ πληρώσας τὸν ιζ ἐνιαυτόν. καὶ ὁ παντελῶς μὴ ἀκούων. οὐ μόνοις δὲ τούτοις. ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς ἐξ ἑτέρας αἰτίας μὴ ἔχουσι συνηγόρους ἢ κατὰ περιδρομὴν ἢ φόβον τοῦ ἀντιδίκου δίδωσιν ὁ πραίτωρ. ὑπὲρ μόνων ἑαυτῶν συνηγοροῦσι, γυνὴ καὶ τυφλός. ἡ γυνὴ γὰρ οὐ μετέρχεται ἀνδρεῖον ὀφφίκιον. ὁ τυφλὸς δὲ καὶ δικάζειν δύναται, κωλύεται ὑπὲρ ἄλλων συνηγορεῖν. καὶ ὁ ἠτιμικώς. ἤγουν κατὰ βίαν λῃστῶν ἢ πολεμίων πεπονθώς. καὶ ὁ κεφαλικῇ καταδίκῃ ἀθλὶς ἐκβληθείς, καὶ ὁ ἑαυτὸν μισθώσας εἰς τὸ θηριομαχῆσαι. ἤγουν τὸ θηρίον τυχὸν λέοντα ἢ μέρος ἔγχυνεν, οὐχ ὁ ἀκροῦται ὁ μισθὸν λαμβάνων ἐπὶ τὸ καταπολεμῆσαι θηρίον ἔξωθεν κουμεντίου τὰ πλεῖστα τὴν ἐπαρχίαν. ἐν δὲ τῷ ιγ κεφ. ὁ δὲ μέλλων συνηγορεῖν τὰ ἀπὸ συνηγορίας χρεωστούμενα ὡς ἀπὸ δανείου χρεωστεῖν ὁμολογήσας, κεζητείσθω τῇ τῆς ἀναργυρίας παραγραφῇ. ἤγουν πρὶν λήξειν ὁ χρόνος καὶ τὴν οἰκείαν κομ

ζέσθω ἀσφαλίσαι. ἐν δὲ τῷ ιε΄ κεφ. ὁ διαπλάττων τῷ οἰκέτῃ συντιθέμενος πρὸς φυγὴν φα-
νερὰν τῆς δίκης μοῖραν μετὰ τὴν νίκην λαμβάνειν καὶ ἐπιμείνας τοῦ συνηγόρου ἐκβαλλέ-
σθω. ἐν δὲ τῷ ιζ΄ κεφ. μὴ ἐξέστω τῷ δικολόγῳ ἢ λαθραίως ἢ φανερῶς ὑβρίζειν τὸν ἑ-
αυτοῦ διάδικον. ἐὰν δὲ ὑβρίσῃ ἀτιμούσθω αὐτός. ἐν δὲ τῷ ιη΄ κεφ. ἀλλὰ μηδὲ σύμ-
φωνον ἢ συνάλλαγμα περὶ τῆς δίκης ποιείσθαι ἢ περὶ τῶν μαθῶν(?) τὸν δικολόγον μετὰ τοῦ
οἰκέτου προσφυγός. ἐν δὲ τῷ κβ΄. ὁ ἄρχων ἐξιέτω τοὺς δικολόγους τοῖς μέρεσι διδό-
τω ὅσον μὴ αἱρεθεῖεν εἰς ἓν μέρος οἱ δὲ ἀπαίδευτοι καὶ ἀσεβεῖς ὦσι. ἐν δὲ τῷ κγ΄
κεφ. ὁ προδιδοὺς τοῦ οἰκέτου κατηγορίας συνήγορος μετὰ ἀπόδειξιν τῆς προσφορᾶς
αὐτῆς τιμωρείσθω(?) καὶ ἐξ ἀρχῆς ἡ ὑπόθεσις κινηθήσεται, μὴ ἀποδείξας δὲ ὡ-
ς συκοφάντης ἀτιμωθήσεται, καὶ στρέξῃ μὴ ἐκκαλεσάμενος τὴν ἀπόφασιν. ἐν
δὲ τῷ με΄ κεφ. ὅσα περὶ τῶν συνηγορουμένων οἱ συνήγοροι λέγουσιν. αὐτοὶ νομιζέσθω-
σαν οἱ δικαζόμενοι λέγειν. ἀνάγνωθι καὶ βιβ. κα΄ τίτ. α΄ κεφ. λς΄ ἐν τῷ φ. τὰ ὑπὲρ συνηγο-
ρίας δοθέντα εἰ καὶ οἱ λαβόντες τοῦ μὴ πληρῶσαι τὴν πίστιν ὑπεδέξαντο, τουτέστι τοῦ
μὴ συνηγορῆσαι γεγόνασιν αἴτιοι, οὐκ ἀφαιρεῖσθαι. ἀνάγνωθι καὶ βιβ. λε΄ τίτ. ια΄ κεφ. α΄. καὶ βιβ. ια΄
τίτ. ια΄ κεφ. α΄ ἐν τῷ φ. τὰ συνηγορικὰ τῶν συνηγόρων δίδοται πρὸς τὸ μέτρον τῆς δίκης
καὶ τῆς δεινότητος(?), καὶ τὴν συνήθειαν τοῦ φόρου τοῦ δικαστηρίου. ὥστε μηδέ τι μὴ
ὑπερβαίνειν τὸ ἐπιτεταγμένον ποσόν. ἀνάγνωθι καὶ βιβ. ξ΄ τίτ. κς΄ κεφ. α΄ ἐν τῷ φ. ὁ συνήγορος
χρηματικὴν ἢ ἐγκληματικὴν δίκην προδιδοὺς σφοδρῶς τιμωρείσθω. ἀνάγνωθι καὶ βιβ. να΄
τίτ. λ΄ κεφ. κη΄ καὶ κθ΄ :—

ιαʹ Περὶ συνωνῆς τῆς τε ἐν ὠνείοις(?) ἀποκειμένης καὶ τῆς καλουμένης χρυ-
σοῦ χωρητουμένης περὶ τῶν κλήρων. ἀνάγνωθι βιβ. νς΄ τίτ. θ΄. οὗτινος ἐν τῷ δ΄ κεφ. φ. :—

Ἐὰν οἱαδήποτε ἐπαρχία ἐπιβληθῇ συνωνὴ τινὸς εἴδους μηδεὶς ἐξκουσατευέτω ἑαυτὸν
οἱωδήποτε τρόπῳ ἢ χρόνῳ διατάξεων καὶ ἀξιωμάτων πραγματικοῦ θεσπίσματος ἢ δικαστι-
κῆς διατυπώσεως. οὐδὲ γὰρ ὁ θεῖος οἶκος ἢ τῆς εὐσεβεστάτης αὐγούστης τῆς ταύτης λει-
τουργίας ἀπήλλακται. ἐν δὲ τῷ ε΄ κεφ. οἱ τὰς πόλεις οἰκοῦντες ἢ ἐν αὐταῖς κεκτημένοι
μὴ ἀναγκαζέσθωσαν εἰς ἑτέραν πόλιν ἢ εἰς τὴν μητρόπολιν εἴδη χορηγεῖν. εἰ δὲ καί τις
ἀπαιτηθείη ... καταναγκασθῇ τοῦτο γενέσθαι. τοῖς δικαίοις τιμήμασι τοῖς ἐν τῇ
πόλει κρατοῦσιν ἐξωνεῖσθαι τὰ εἴδη παρέχεται πιπρασκόντων. ἐκείνων τοῦτο μετακο-
μιζόντων, τῶν δεομένων τῶν εἰδῶν. ὑπολογιζέσθω δὲ τοῖς πιπράσκουσι τὰ τιμή-
ματα τῶν εἰδῶν, εἰς τὰ συντελούμενα ἐν χρυσῷ παρ' αὐτῶν δημόσια. οὐδὲ γὰρ δίκαιον
νομίζω ἀπαιτεῖσθαι τινὰ παρέχειν εἴδη. μετὰ χρόνον δὲ αὐτῷ τὰ τιμήματα λογίζε-
σθαι. οὕτως συνωνίας γενομένης τοῦ λαμπροτάτου ἄρχοντος ἑκάστης ἐπαρχίας

ἐκκινδυνεύσοντας. ἔστι καταγωνίζεσθαι τοῖς περιπεσοῦσι τὰ τῶν ἐχθρῶν κτήματα κατὰ τὰς
συνεισφερομένας περιστάσεις ὑπὲρ αὐτῶν ἐκπέμπεσθαι. μηδεὶς δὲ ἀναγκαζέσθω περιπεσ-
σεῖν παρὰ τῶν χειρῶν αὐτοῦ· ἀλλὰ τὰ ἐκπεσόντα ἐᾶσθαι. ἀσεβὲς γάρ ἐστιν ἀποστερεῖσθαι
τινὰ τῶν οἰκείων καὶ ἑτέροις ταῦτα χορηγεῖν. ρ' λίτρας χρυσίου ζημίαν ὑφισταμένων
καὶ κινδυνευσόντων εἰς τὴν ἀξίαν καὶ τὴν ζώνην αὐτῶν. τοὺς παραβαίνοντας τὸν νόμον ἢ συγ-
χωροῦντας αὐτὸν παραβαθῆναι:

Περὶ συστημάτων καὶ σωματείων θεμιτῶν· ἤτοι χαρακταρίων χαλκέων· μαγκίπων
χοιρεμπόρων καὶ λοιπῶν. καὶ περὶ συστημάτων ἀθεμίτων. ἀν(άγνωθι) βι(βλίον) η' τί(τλον) β' κε(φάλαιον) ρα' ἐν τῷ φ': ιβ'

Οὐ πᾶσιν ἐφεῖται ποιεῖν ἑταιρείαν ἢ σύστημα ἢ σωμάτεια· ἀλλ' ὅσοι δημοσίων τελωνῶν καὶ
μετάλλων ἀργύρου καὶ χρυσοῦ καὶ ἁλικῶν καὶ μαγκίπων καὶ ναυκλήρων. καὶ τινῶν
ἄλλων ἀπὸ νόμων βεβαιωθέντων. καὶ ἔξεστιν αὐτοῖς κατὰ μίμησιν τῆς πόλεως ἔχειν
πράγματα κοινά, καὶ ἀρκαν καὶ ἐνάγοντα ἤτοι σύνδικον δι' οὗ πράττεται τὰ κοινά.
ἀν(άγνωθι) καὶ βι(βλίον) ν' τί(τλον) ις' καὶ ιζ' καὶ ιθ' καὶ κ' καὶ κα' καὶ κθ'. καὶ βι(βλίον) νς' τί(τλον) α' κε(φάλαιον) ν'. καὶ
βι(βλίον) ξ' τί(τλον) λβ' θέματος ἐν τῷ α' κε(φαλαίῳ) φ'. οἱ ἄρχοντες πανταχοῦ κωλυέτωσαν ἐν πόλεσι
καὶ κώμαις ἑταιρείας ἢ στρατιώτας ἐν τοῖς κάστροις αὐτῶν ἔχειν ἑταιρικὰ συστήματα.
τοῖς δὲ μετρίοις, ἐφεῖται συνεισφορὰν ἅπαξ ποιεῖν μόνον τοῦ μηνός.
καὶ χάριν δὲ τῆς θρησκείας ἔξεστι συνιέναι. ἐν τῷ
β' κε(φαλαίῳ)· ὁ παρανόμως ποιῶν σύστημα τῇ τῶν
σὺν ὅπλοις τόπον δημόσιον ἢ ἱερὸν
καταλαμβάνων ὑπόκειται
ποινῇ:

ἀρχὴ σὺν θεῷ τοῦ Τ στοιχείου:

Περὶ ταβουλαρίων. ἀν(άγνωθι) βι(βλίον) να' τί(τλον) η' κε(φάλαια) α' καὶ β' ἐν οἷς φησιν: α'

Τοῦ εἶναι αὐτοὺς ἐλευθέρους καὶ μὴ στρατεύεσθαι. ἀν(άγνωθι) καὶ τὰ προειρημένα ἐν τῷ
περὶ συμβολαιογράφων: Περὶ ταβλιζόντων ἐκκλησιαστικῶν προ-
σώπων. ἀν(άγνωθι) βι(βλίον) ε' τί(τλον) α' κε(φάλαιον) ιθ' ἐν ᾧ φησιν: β'

Ἀπαγορεύομεν δὲ τοῖς ὁσιωτάτοις ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις καὶ ὑ-
ποδιακόνοις καὶ ἀναγνώσταις καὶ παντὶ ἄλλῳ οἱῳδήποτε σταθοῦς τάγματος ἢ σχή-
ματος καθεστῶτι ταβλίζειν ἢ τῶν τοιαῦτα παιζόντων κοινωνοὺς ἢ θεωροὺς γίνεσθαι.

ἢ ἐξ οἱασδήποτε θέαν τοῦ θεωρῆσαι χάριν περιαιρεῖσθαι :—

γ' Περὶ στακτοῦ ἤτοι τοῦ μὴ γινωσκομένου λεγάτου ἀπὸ ἀναγνώσεως τῆς διαθήκης. ἀνάγνωθι β' κε' τίτ. γ' κεφ. ιε' θέμ. γ'. ἀνάγνωθι ἐ(ν) β' νς' τίτ. β' κεφ. λε' ἐν τοῖς φθάσασι :—

δ' Ἐπὶ τῷ στακτῷ λεγάτῳ ἡ ἐκδίκησις ἁρμόζει τῷ δημοσίῳ :—

Περὶ ταξεωτῶν. ἀνάγνωθι β' ζ' κεφ. ιζ' ἐν τῷ φθάσαντι :—

Ὁ περασάσιμος γενόμενος ὑπὸ τῶν αὐτῶν ταξεωτῶν περαιτέρω τῆς ... πρὸ ... μέχρι πέρατος τῆς ὑποθέσεως. εἰ δὲ καὶ παραβαθῇ τὸ νομοθετηθὲν ὁ πράκτωρ τοῦ σπορτουλίου ἑτέρου διοὺς ἐκβιβαστοῦ, ἓξ λίτρας χρυσοῦ προσκρούσει. ἀνάγνωθι καὶ β' νς' τίτ. ιζ' ἀπὸ τοῦ κη' κεφ. ἐν δὲ τῷ λ' κεφ. φησί· οἱ ταξεῶται τῶν στρατηλατῶν στρατιωτῶν φρουροί εἰσι· τοῦτο δὲ εἶπεν ἵνα δείξῃ ὅτι δύναται στρατιωτικὸν πεκούλιον ἔχειν :—

ε' Περὶ τάφων καὶ τί διαφέρουσιν οἱ τάφοι τῶν μνημάτων. καὶ περὶ τῆς γινομένης δαπάνης εἰς ταφὴν καὶ κηδείαν τῶν τεθνεώτων. ἀνάγνωθι β' ξ' τίτ. κε'. οὗ τινος ἐν τῷ α' κεφ. φησίν :—

Ὁ καταστρέφων μνημεῖον ἢ τὴν ἐπικειμένην αὐτῷ στήλην, τῷ περὶ ἀκουσίλεως οὐκ ἐνέχεται. ἀλλὰ τῷ περὶ βίας ἢ λάθρα. καὶ ἡ στήλη πρὸς τὸ πρόσωπον μέρος ἐστὶ τοῦ μνημείου. ὅπου τινὰς δῆλον εἰς τὸ χρησιμεῦσαι μνημεῖον τῇ τῷ διπλοῦ ἀπαιτοῦσῃ ἀγωγῇ κατέχεται ἐκεῖνος ἐξ οὗ ἀνήκει τοῦτο. εἰ δὲ μηδεὶς ἐστὶν ἐξ οὗ ἀνήκει, ὁ βουλόμενος κινεῖ. τῷ βουλομένῳ δίδοται ἀγωγή, εἰς ρ' χρυσοῦ. τὸ μνημεῖον λέγεται, πᾶς ὁ ἀφιερωμένος τόπος τῇ ταφῇ. καὶ ὁ κληρονόμος καὶ πᾶς ἕτερος περαιτέρω τοῦ διαθεμένου εἰς τάφον κληρονομιαίου δαπανῶν, ἐνέχεται ταύτῃ τῇ ἀγωγῇ. δύναται γὰρ ὁ ἐγγυητὴς καὶ ἡ τέως τινὰς τῶν κληρονόμων δαπανᾶν κωλύειν. ἐν δὲ τῷ γ' κεφ. ἐὰν οἰκεῖος τάφον καταλύσῃ ἐξ ἐπ... περαιτέρω τοῦ ... τοῦτο ποιήσας, μεταλλίζεται. εἰ δὲ καταλήσουσιν ἐκείνου, ἐξορίζεται. οἱ ἀπὸ τῶν τάφων ὕλας ἀφαιροῦντες, ὑποκείνται τῇ τῆς ἱεροσυλίας ἐγκλήματι. ἀνάγνωθι καὶ τίτ. με' κεφ. β' καὶ δ' καὶ ε' ἐν τοῖς φθάσασιν. ὅθεν οὐκ ἔστι ζῶντα πιπράσκειν τοῖς τεθνεῶσι χρήματα. καὶ περὶ τῶν τούτων ἀφαιρουμένων. ἀνάγνωθι β' νθ' τίτ. α'. οὗ τινος ἐν τῷ α' κεφ. ὁ δαπανῶν εἰς ταφήν, τῷ ἐγγυητῇ δοκεῖ συναλλάττειν, οὐ μὴν τῷ κληρονόμῳ. ἐν δὲ τῷ β' κεφ. τάφος ἐστὶν ἐν ᾧ σῶμα ἢ ὀστέα ἀπετέθη. οὐ πᾶς ὁ ταφεὶς ἀφιερωτής, ἀλλ' ὅθεν ἐστὶ τὸ σῶμα. μνημεῖον δέ ἐστι τὸ διὰ τὴν μνήμην φαινόμενον καὶ ὅλος ὁ τόπος τῆς ταφῆς. ἐν δὲ τῷ α' κεφ. οὐ καθαροὶ τάφοι καὶ τὸ κενοτάφιον. ἔξεστι πιπράσκειν καὶ ἀγοράζεσθαι. τάφος γὰρ κυρίως οὐκ ἔστιν ὁ δαπανῶν κενοῦ εἰς ἀλλότριον τόπον. ἢ ἀναγκάζεται διαθεῖναι ἢ τὴν τιμὴν τοῦ τόπου δίδωσι. διαταγῆς ἢ τοῖς κληρονόμοις καὶ τῷ κληρονόμῳ ἁρμόζει καὶ διηνεκής ἐστι. καὶ τῷ τοῦ θάψαντος ἐν

ς΄.

ἀλλοτρίῳ τάφῳ μήπω δεξαμένῳ νεκρόν, οὐδενὶ λοιπὸν ἁρμόζει. Ἐὰν δὲ ὁ τοῦ τόπου δεσπότης παρακελεύσει ἱερέως ἢ κελεύσει βασιλέως ἐκβάλλῃ τινὰ ἐξ ἄλλου τάφου εἰς τὰ τεθνηκότα, ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ. Ἐν τῷ δ΄ τίτλῳ τοῦ ια΄ κεφ. οἱ τάφοι εἰς ἑτέραν χρῆσιν οὐ μεταποιοῦνται. Ἐν τῷ δ΄ τίτλῳ τοῦ ι΄ κεφ. δαπάνη ταφῆς ἐστιν, ἡ ἐκ τοῦ δυνατοῦ γενέσθαι τὴν ταφήν· οἷον τὴν περὶ τὴν ἐκκομιδὴν καὶ τὸ τίμημα τοῦ τόπου. καὶ τὰ ἀναγκαῖα τὸ λείψανον ἀπὸ ξένης καὶ τὰ περὶ τὴν φυλακὴν τοῦ σώματος. καὶ τὴν ἔνδυσιν ἐκ τοῦ καὶ τὸ περιθεῖναι αὐτῷ. οὔτε δὲ κόσμημα οὔτε τὸ βίου τοῦ συνταφέντων ὥσπερ οἱ ἀπλούστεροι ποιοῦσιν. ἡ ἐπὶ τῇ ταφῇ ἀγωγὴ, τὰς διὰ τὴν ταφὴν ἀπαιτεῖ δαπάνας, οὐ μὴν καὶ τὰς ἄλλας. οὔτε πλέον τοῦ δαπανηθέντος ἀπαιτεῖ. οὔτε πᾶν τὸ δαπανηθὲν ἀναμφίβολόν ἐστι. τὸ δὲ μέτριον οὕτω δαπάνημα σκοπεῖται, ἐκ τῆς ἀξίας καὶ τοῦ προσώπου καὶ τοῦ χρόνου καὶ τῆς αἰτίας καὶ τῆς ἀγαθῆς πίστεως. οὔτε τοῦ διαφέροντος διὰ τὸ πάντως ὑπὲρ τὸ μέτρον ὀφείλει δαπανᾶν. ἀλλὰ πρὸς τὸ ποσὸν τῆς οὐσίας. Ἐὰν ἐὰν ἐφ' ὕβρει τοῦ τεθνεῶτος πλουσίου μέτρια εἰς δαπάνησιν, οὐκ ἔχει ἀπαίτησιν. αὐτῷ καὶ τ΄ β΄ δουκὸς ἐν τῷ ιγ΄ κεφ. ὁ θάπτων ἐλεύθερον βρέφος διάνοιαν ἐκβληθέν, φονεύων δοκεῖ. Ἐν τῷ α΄ κεφ. Ἐπὶ τῶν τάφων οὐ συμβάλλεται χρονία νομὴ ὥσπερ ἔχουσι δίκαιον. αὐτῷ καὶ τ΄ γ΄ κεφ. α΄ ἐνδοίς θ΄. περὶ τῆς γινομένης δαπάνης εἰς τὴν κηδείαν καὶ ταφὴν τῶν τελευτησάντων. καὶ περὶ τῶν ἀργυροπρατείων τῆς μεγάλης Ἐκκλησίας. τῶν ὑπὲρ τῆς τῶν τελευτώντων δόσεως κηδευομένων καὶ περὶ τῶν λεκτικαρίων τῶν δεκανῶν. περὶ τούτου εὑρήσεις ἐν τῇ μετὰ νεαρᾷ ν΄θ΄:—

Περὶ ἀγωγῆς εἰσι ὅταν ἐνιαυτοῦ κινουμένη:—

Περὶ δαπάνης ταφῆς:—

Περὶ ἐλευθέρου ταφέντος:—

Ἐπὶ τῶν τάφων ἡ τῆς μακροῦ χρόνου παραγραφὴ δικαιαναρχή ἔχουσα συμβάλλεται. οὔτε ἡ τοῦ ἁπλῶς ἡ χρονία νομὴ συμβάλλεται. ἀλλὰ ἔχουσα δικαιαναρχὴ τινὸς ἐκλαθόντος μὴ δίκαιον ἐκ τοῦ θάπτειν αὐτὸς πρὸ τάφος εἰς λαλεῖσθαι:—

## Περὶ ἰσχύων. αὐτῷ β΄ ις΄ τ΄ ιγ΄ κεφ. α΄ ἐν τῷ φησιν:—

Εἰς ἀνανέωσιν τῶν ἰσχύων, τὸ τέταρτον μέρος τῆς πολιτικῆς προσόδου ἀναλισκέσθω. αὐτῷ καὶ τὰ προειρημένα ἐν τῷ περὶ καινοτομιῶν:—

αὐτῷ καὶ τ΄ ρκη΄. αὐτῷ καὶ τὸ περὶ διασποροῦ ἐν τῷ περὶ τῶν ὅπλων χρόνοις μεταχειρίζοντων:—

ς΄.

## Περὶ τείχους δημοσίου καὶ ἱερῶν καὶ τειχών. αὐτῷ β΄ ις΄ τ΄ α΄. δουκὸς ἐν τῷ α΄ κεφ. φησιν:—

Ἐὰν ὁ τείχους ἢ ἡ φαμιλία αὐτοῦ ὀνομαστί τοῦ τείχους ἀφέλωνταί τι καὶ μὴ ἀποκαταστήσωσι τὸ ἀφαιρεθέν, ἐντὸς τοῦ ἐνιαυτοῦ εἰς τὸ διπλοῦν ἐνάγεται. μετὰ δὲ τὸν ἐνιαυτόν, εἰς τὸ ἁπλοῦν. ὁμοίως κἂν κλέψωσιν ἢ ἀδίκως ζημιώσωσι καὶ περὶ οἰκετῶν τὰ αὐτὰ ἁμαρτανόντων ἐνάγονται μὴ δυνάμενοι εἰς ἔκδοσιν ἐκδοῦναι. Ἐν τῷ δ΄ γ΄ κεφ. ἐξουσίαν ἔχει ὁ βλαβεὶς μὴ κινῆσαι ἐκ τοῦ παρόντος διατάγματος. ἀλλὰ τὴν περὶ κλοπῆς καὶ τὴν περὶ ἁρπαγῆς ἀγωγὴν καὶ τὸν ἀκουΐλιον. φαμιλία τοῦ τειχώνου νοεῖται. οὐ μόνον οἱ δοῦλοι αὐτοῦ. ἀλλὰ καὶ ἐλεύθεροι καὶ δοῦλοι. περὶ τὸ τεῖχος ὑπηρετοῦντες αὐτῷ. ὅθεν ἐὰν δούλου αὐτοῦ μὴ ὑπηρετοῦντος εἰς τὸ τεῖχος ἁρπάσῃ τὸ παρ'

ὁ ἀκουΐλιος κατὰ τοῦ ἐπιμελουμένου τῆς τοῦ ἁπλοῦ κινεῖται. καὶ κατὰ τῶν ἀρνουμένων εἰς τὸ διπλοῦν:—

δόγμα ἀρκεῖ. μὴ πλείστων δὲ τοὺς δούλους, ἀναγκάζονται χρεὼς τὸ ἐκδοῦναι αὐτοὺς
ἢ θεραπεύειν τὰς ζημίας· ὅτε ἔχουσιν αὐτοὺς ἐν ἐξουσίᾳ ἢ μή· ἢ δύνανται ἢ μή· ὁ ἐπι
ἰδικοῦ ἐστι τοῦ πρὸ τούτου δόγματος. ὅτε γὰρ ἔξεστι τῷ τελώνῃ τὸν δοῦλον ἀπόντα δεσ-
ποτικῶς δικάσαι· μετὰ δὲ τὸ περιστῆσαι αὐτόν, χρεία τοῦ ἐκδοθῆναι αὐτὸν εἰς ἐξέτασιν. Ἐν τῷ

σημ. περὶ τῶν χρεωστουμένων δημοσίων τελεσμάτων ἐκ παρὰ τοῦ νόμου ἤγουν πράττονται :

θέματι ιζ κεφαλαίῳ φησί· τοῖς τέλεσιν οἱ ἀγροί, οὐ μὴν τὰ πρόσωπα ἐνέχονται. ὅθεν ὀνομαστὶ ἐ-
τι τοὺς παραλαβόντας ἀπαιτεῖται χρόνου, καὶ ἐὰν τοῦ τελώνου ἀγνοήσειεν ἐν ἀγαθότητι. Ἐν
τῷ θέματι η κεφαλαίῳ. ἐπὶ δημοσίου τελωνικοῦ προσώπου ἀπαιτήσας τι πλεονάζων, μὴ
τοῦτο ἄλλου ἀποδίδωσιν αὐτῷ τῷ ἐνδικηθέντι· ἐὰν δὲ μετὰ βίας ἀπαιτήσει, τὸ
τετραπλοῦν δίδωσι καὶ σφοδρῶς τιμωρεῖται. Ἐὰν ὁ τελώνης ἀνήγητα ἀπολέσῃ,
ἄλλος ἀπαιτεῖν οὐ κωλύεται. Ἐν τῷ θέματι ιθ κεφαλαίῳ. ἄνευ βασιλικῆς κελεύσεως, οὐκ ἔστι
τῷ ἄρχοντι ἢ τῷ καθολικῷ καινὸν ἐπιθεῖναι τέλος ἢ τὰ παλαιὰ αὔξειν ἢ μειοῦν. μὴ
καταβάλλοντες ἐν προθεσμίᾳ οἱ τελῶναι, καὶ συμπληρώσαντος τοῦ χρόνου ἐξερχόμεν-
ται, καὶ τόκους ἐξ ὑπερθέσεως ἀπαιτοῦνται. Ἐν τῷ θέματι ι. οἱ μεταξὺ κερδαίνοντες ἐκ
τῆς μισθώσεως τῶν τελωνῶν, μὴ εὑρισκομένων τῶν ὀφειλόντων αὐτὰ ἐπὶ τῷ αὐτῷ
πόρῳ μισθώσασθαι, ἀναγκάζονται αὐτὸ καταδέχεσθαι. ἀνάγνωθι καὶ τὸ δ. οὕτινος ἐν
τῷ ιϛ κεφαλαίῳ φησί· ὁ παρὰ τὸ πρακτικὰς τελώνης δημοσίως ἐξορίζεται καὶ ἀντικαθί-
σταται ἕτερος, ὑπερτιμήσεως ἐπὶ τῷ τέλει γινομένου, ἐπ' ὄψεσι τοῦ ἄρχοντος. Ἐν
τῷ θέματι ιζ κεφαλαίῳ. τῶν χρεωστούντων δημόσια πάντα τὰ ὑπάρχοντα ὑπεύθυνά ἐστιν.

σημ. καὶ τοῦτο δεῖ οὐδεὶς ὑπὲρ ὧν οὐ νέμεται τελεῖ :

ἀνάγνωθι καὶ τὸ η. οὕτινος ἐν τῷ γ κεφαλαίῳ φησί· τὰ δημόσια τέλη οὐκ ἐπὶ τῶν προσώπων, ἀλλὰ
ἐπὶ πραγμάτων. καὶ δεῖ τὸν ἄρχοντα τῆς ἐπαρχίας σπουδάζειν ἵνα μηδεὶς ὑπὲρ τῶν οὐ
νεμομένων συντελῇ. Ἐν τῷ θέματι ζ κεφαλαίῳ. ὁ εἰς περιγραφὴν τῶν δημοσίων βασιλέως ἀντι-
γραφὴν λαβὼν μὴ ὠφελείσθω. χρὴ γὰρ πάντας συντελεῖν τὰ δημόσια. Ἐν τῷ θέματι ι κεφαλαίῳ.
μηδεὶς προνομίου ἀξίας προβαλλόμενος μὴ συντελείτω· ἀλλὰ πάντες πρὸς ἀναλογί-
αν ὧν ἔχουσι κτημάτων συντελείτωσαν. Ἐν τῷ θέματι ιζ κεφαλαίῳ. μηδεὶς ἀπαιτούμενος δημό-
σια ἐν φυλακῇ βαλλέσθω ἢ βασάνους τινὰς ὑπομενέτω· ἀλλὰ μόνον τῇ εὐθείᾳ-
παραφυλακῇ στρατιωτῶν παραδιδόσθω· καὶ ἐὰν ἐπιμένῃ ἀγνωμονῶν, τότε καὶ τὰ

περὶ ἐνδομενικῶν :

νομιζόμενα αὐτοῦ πιπρασκέσθω τῷ δημοσίῳ. Ἐν τῷ θέματι κα κεφαλαίῳ. ἐνδομενικὰ μη-
δεὶς λαμβανέτω· ἀλλὰ καὶ αὐτὸ τὸ ὄνομα παντελῶς ἀπαγορευέσθω. Ἐν τῷ θέματι κϛ κεφαλαίῳ.
Ἐάν τινες ἐπειχθῶσι τὰ δημόσια καταβαλεῖν, πιπράσκουσι τὰ πράγματα αὐτῶν

περὶ ἀμοιβαίων ἀποδείξεως :

ἐφ' ᾧ τοὺς ἀγοράσαντας ἀσφαλῶς κεκτῆσθαι αὐτά. Ἐν τῷ θέματι κη κεφαλαίῳ. πᾶς συντελεστὴς
ἀπαιτούμενος τὰς εἰσφορὰς ἐὰν δείκνυσι τριῶν συνεχῶν ἐτῶν ἀποδείξεις, μὴ ἀναγκα-
ζέσθω δεῖξαι μηκέτι ὅτι καὶ τοῖς ἀνωτέρω χρόνοις τὰς συντελείας κατέβαλλεν. ἐὰν

τ'

ἄρα ὁ ταξεώτης ἢ ὁ ὀπτίων ἢ ὁ ὑπομνηματοφύλαξ ἢ ἕτερός τις δημόσιον τέλος ἀπαιτῶν ἢ ἐκβιβάζων ἀσφάλειαν ἔχει παρὰ τοῦ κλίτορος περὶ τῶν συντελεστῶν ἢ ἑτέρως πῶς ἀποδείκνυσι φανερῶς ὅτι αἱ συντέλειαι κεχρεώστηνται. ἐν δὲ τῷ λ' κεφ. οὐ δύναται ὁ δημοσιώνης ἀναρτύειν ἀντιλεχθῆναι μετὰ τῆς γινομένης παρ' αὐτοῦ ἀποδείξεως καὶ νῦν προσφερομένης. ἀνάγ. τὸ ιβ' θέματος ἐν τῷ ε' κεφ. ἀριθ. ἐὰν λίθους τινὲς εἰς ἰδιωτικὸν τόπον κόπτωσι, δέκατον δὲ δημοσίῳ καὶ δέκατον τῷ δεσπότῃ διδότωσαν. καὶ τὸ λοιπὸν ἐχέτωσαν αὐτοὶ ὑπὲρ κόπου. περὶ λιθοτομίων :-

ἐν δὲ τῷ ς' κεφ. ἐν ἑκάστῳ ἐνιαυτῷ ὀκτὼ κεράτια εἷς ἕκαστος ἀνὴρ χρυσωρύκτης παρεχέτω οὐ μόνον τῆς ποντικῆς διοικήσεως. ἀλλὰ γὰρ καὶ τῆς ἀσιανῆς. ἀνάγ. καὶ τὸ ια' κεφ. ιβ' καὶ τὸ ις' ἐν τῷ ἀριθ. περὶ τῶν συντελεστῶν τῆς ἀγέλης. ἀνάγ. καὶ τὸ ιζ' κεφ. να' καὶ ξ' ἐν τῷ ἀριθ. ὁ ἀποσταλεὶς ἐν ταῖς ἐπαρχίαις πρὸς ἀπαίτησιν δημοσίων καὶ ὀφθεὶς ἄπληστος, τιμωρεῖται παρὰ τοῦ ἄρχοντος μὴ ἀναγκαζομένου ἀναφέρειν περὶ τούτου πρὸς βασιλέα. καὶ κεφ. ξδ' καὶ τὸ ιη' θέματος ἐν τῷ ξβ' κεφ. ἀριθ. ὑπὲρ δὲ τῶν δημοσίων συντελειῶν τὰς ἀποχὰς ἤτοι ἀμεριμνίας μαθηματικάς τε καὶ πληνασίας. πᾶσι τόποις παρὰ τῶν τὰ δημόσια ὑποδεχομένων τίθεσθαι διορίζομεν σημαινούσας τήν τε τῶν χρημάτων ποσότητα καὶ τῶν εἰδῶν θέσιν, ἀλλὰ καὶ τῶν ζευγῶν ἤτοι ἰουγίων· ἤτε σωμάτων κεφαλείων. καὶ τὰ ὀνόματα τῶν κλιμάτων ὑπὲρ ὧν τὰς συντελείας ὑποδέχονται. εἰ δὲ κατὰ τὸν εἰρημένον τύπον τὰς ἀποχὰς ἤτε σὺν ἀμεριμνίας μὴ ποιήσωσι. κελεύομεν αὐτοὺς καὶ ποινὴν ι' χρυσίου λιτρῶν ἀπαιτεῖσθαι, καὶ βασάνους ὑπομένειν. τοῦ ἄρχοντος ὁμοίως τῆς ἐπαρχίας ι' χρυσίου λιτρῶν ποινὴν εἰσπραττομένου. εἰ περὶ τούτου τῆς προσηκούσης μὴ ἐκδικήσοι καὶ συντάξοι τὰς ἀποχὰς ἤτοι ἀμεριμνίας καθ' ἣν διετάξαμεν τάξιν συγγραφῆναι. ἐν δὲ τῷ η' κεφ. τὸν μὴ ὀχλεῖσθαι ἕτερον ἀνθ' ἑτέρου ὑπὲρ καὶ χρεώστης ἐστὶ τοῦ τοῦ δημοσίου τέλους ὀφείλοντος, ἢ μέντοι γε ἀποροῦντος αὐτοῦ. ἐν δὲ τῷ ιβ' κεφ. μηδεὶς δὲ τὸν δοῦλον ἐνοχλείσθω ὑπὲρ συντελ. γηδίων ἅπερ οὐκ ἔχει. ἀλλ' εἰ συμβαίη γεωργοῖς τινὶ προσήκοντας ἢ ἐναπογράφους ἰδίαν ἔχειν κτῆσιν, ἐκείνους ὑπὲρ αὐτοῦ τὰς δημοσίους εἰσπράττεσθαι συντελ. τοῦ δεσπότου αὐτῶν μηδὲ μὴ ὀχλουμένου ὑπὲρ αὐτῶν ὑπομένοντος. εἰ μὴ ἑκεικῶς αὐτὸς ἰδίᾳ προαιρέσει τὴν τοιαύτην συντέλειαν ἑαυτοῦ ἐποίησεν ἔνοχον. ἐν δὲ τῷ ιγ' κεφ. τοὺς δὲ τὰ δημόσια τέλη εἰσπράττοντας δικαίοις σταθμοῖς τε καὶ μέτροις κεχρῆσθαι κελεύομεν. ἵνα μὴ δὲ ἐν τούτῳ τοὺς ἡμετέρους ὑποτελεῖς ἀδικῶσιν. εἰ δὲ οἱ συντελεσταὶ νομίσουσι βαρεῖσθαι ἤτε ἐν σταθμοῖς ἤτε ἐν μέτροις, ἐχέτωσαν ἄδειαν τὰ γοῦν τούτων μέτρα τε καὶ σταθμά, παρὰ τοῦ κατὰ καιρὸν τῶν ἐνδόξων ὑπάρχων. τὰ δὲ τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ τῶν λοιπῶν μετάλλων σταθμά, παρὰ τοῦ καλλίστου ἐνδοξοτάτου κόμητος τῶν θείων θησαυρῶν λαμβάνειν. καὶ ταῦτα μέτρα καὶ σταθμὰ ἐν τῇ ἁγιωτάτῃ ἑκάστης πόλεως ἐκκλησίᾳ φυλάττεσθαι. ἵνα καὶ ταῦτα δίχα βλάβους τῶν συντελεστῶν καὶ τῶν δημοσίων εἰσκομι

περὶ χρυσωρυκτῶν :-

περὶ μέτρων καὶ σταθμῶν :-

μισθοὶ καὶ αἱ σεκρετικαὶ καὶ αἱ ἄλλαι δαπάναι γίνωνται. ἀνάγνωθι καὶ τ. θ. καὶ κ. ἐν ᾧ φ. καὶ τὸ περὶ ἐπιβούλων:

ιη' Περὶ τεχνιτῶν ἐργολάβων τοῦ μὴ ἐξεῖναι αὐτοῖς σύμφωνα ποιεῖν· ἵνα μηδεὶς ὁ τὸ ἄλλῳ ἐπιτραπὲν ἔργον πληρώσῃ. ἀνάγνωθι καὶ β. ιθ. τ. ιη. κ. α. φησίν:

Καὶ οἱ τῶν οἰκημάτων ὁμοίως τεχνῖται ἢ ἐργολάβοι ἢ τῶν ἄλλων ἐργοδιδάσκαλοι καὶ οἱ βαλανεῖς, παντελῶς κωλυέσθωσαν σύμφωνα μεταξὺ ἀλλήλων διατίθεσθαι· ἵνα μηδεὶς ὁ τὸ ἄλλῳ ἐπιτραπὲν ἔργον πληρώσῃ. ἢ περὶ τὴν δοθεῖσαν ἑτέρῳ φροντίδα ἕτερος μεταβλαβίσῃ· διδομένης ἐξουσίας ἑνὶ ἑκάστῳ τὸ παρ' ἑτέρου ἀρχθὲν ἔργον καταλειφθὲν χωρὶς τινὸς φόβου καὶ χωρὶς τῶν ἐν δικαστηρίῳ δαπανημάτων:

θ' Περὶ τῶν τικτομένων ἀπὸ ἐλευθέρου καὶ δούλου ἢ τοὐναντίον καὶ ἀπὸ ἐναπογράφων ἐλευθέρων. ἀνάγνωθι β. νε. τ. ια. κ. β. ἐν ᾧ φησίν:

ἀνάγ. νεαρ. ρξζ.

Ὁ ἀπὸ ἐλευθέρου καὶ γεωργοῦ ἢ δούλης ἐκκλησιαστικῆς τικτόμενος τῇ μητρῴᾳ τύχῃ ἀκολουθείτω. καὶ τὴν ἀρχεγονίαν αὐτῆς μεταδιωκέτω. καὶ τ. ιβ. κ. α. καὶ τ. ια. κ. λε:

ι' Περὶ τόκων πολιτικῶν. ἀνάγνωθι β. να. τ. γ. κ. α. ἐν ᾧ φησίν:

Ἀπὸ τῶν τιμῶν τὰς αὐτὰς τιμὰς πεντακοσίας δίδοσθαι ἀλλ' ὑπέρπυρα· χιλίας δὲ εἰς τὰς ἀλλ... τοῖς δὲ πρεσβεύουσι δεκάδας ἀλλ' ὑπέρπυρα προέχεσθαι. καὶ κ. β. φησί· τοὺς μείζονας τιμὰς πράξαντας. οὐχὶ δὲ τοὺς ἥττονας ἡγεῖσθαι, δοκοῦσι γὰρ ὑβρίζεσθαι. καὶ τ. δ. ἀπὸ τοῦ κ. μέχρι τοῦ ια:

ια' Περὶ τόκων ἀπαιτουμένων καὶ μὴ ἀπαιτουμένων καὶ ἀργυροπρατικῶν καὶ τῶν μὴ ὑπερθέσει ἀπαιτουμένων. ἀνάγνωθι β. ζ. τ. ς. κ. α. ἐν ᾧ φησίν:

ἀνάγνωθι καὶ νεαρὰν ρς ἐν ᾗ φησὶ περὶ τόκων. καὶ νεαρὰν ρκα· φησὶ γὰρ ὅτι αἱ μερικαὶ καταβολαὶ τῶν τόκων τὸ διπλάσιον οὐχ ὑπερβαίνουσι. καὶ νεαρὰν ρλη:

Μετὰ δὲ τὸν χρεώστην τοὺς τόκους οὓς οὐκ ἀπῃτήθης οὐ γὰρ ἔσβεσται ἡ τούτων ἀγωγὴ πρὸ καταρχῆς τοῦ κ. ἀνάγνωθι καὶ β. θ. τ. γ. κ. πς καὶ πα καὶ πθ ἐν οἷς φ. ὁ μὴ ἐπιτελέσας τὸ ἐπιτεταγμένον τῆς καταδίκης μετὰ δίμηνον ἔστι τὸ χρέος μετὰ ἰδιωτικοῦ ἑκατοστιαῖος τόκος δίδοται τοῦ κ. μόνος. τόκος γὰρ τόκων οὐκ ἀπαιτεῖται. ἀνάγνωθι καὶ β. ιη. τ. ζ. κ. ε. θέμα γ. καὶ β. κγ. τ. γ. οὕτως ἐν ᾧ α. κ. φ. ἐπὶ τῶν κατὰ πίστιν ἀγωγῶν. ὀφφικίῳ τοῦ δικάζοντος ὁ τόκος ὁρίζεται πρὸς τὸ ἔθος τοῦ κλίματος ἐν ᾧ τὸ συνάλλαγμα γέγονε. ὥστε μέντοι μὴ ὑπερβῆναι τὸν νόμον. ἐν ᾧ δὲ ς. κ. ἐπὶ τῆς περὶ ἐν πράγματι δαπανήματος ἀγωγῆς. ἐὰν ὁ δικαστὴς ἐπὶ πολλῷ χρόνῳ παρέλθῃ τόκον. ἢ ὅσπερ ὑπὲρ προικὸς τῆς θυγατρός. ἀναγκάζονται καὶ οἱ κληρονόμοι αὐτῶν πράττεσθαι. ἐν ᾧ δὲ θ. κ. ἐὰν ὁ δανειστὴς ἐπρολήσῃ τὸ διπλοῦν ἐξ ὑπερθέσεως μέχρι μόνου τοῦ ὠνομασμένου τόκου ἔρρωται. κατὰ τὸ μέτρον ἑκατέρου χρόνου. ὁ ἐπερωτήσας ἐλαφροὺς τόκους, δύναται μείζονας μέχρι τῶν νομίμων ἐξ ὑπερθέσεως ἐπερωτᾶν. ἐν ᾧ δὲ κζ κ. εἴτε τόκους ὑπὲρ μέτρον. εἴτε

Οὐ μὴν ἀπὸ τῆς ὑπερθέσεως, ὀφφικίῳ τοῦ δικάζοντος ἀπαιτεῖται. καὶ οὐ δύναται κινεῖσθαι ἰδιάζουσα καὶ ἐπ' αὐτῇ ἀγωγὴ διὰ τοὺς τόκους. ἐξ ὧν ἀπὸ φάσεως ἅπαξ γέγονεν περὶ τοῦ ὑπερθεσίμου, τὰ περὶ τῶν βιουλίων προκοινωπαθῆ, ἐκτελεσθῆναι· καὶ ἀπαιτεῖσθαι οὐ δύναται. οἱ δὲ κατὰ φύσιν τοῦ συναλλάγματος ἀπαιτούμενοι τόκοι, κἂν ἡ πρωτότυπος ἀγωγὴ καταργηθῇ ἐν δικαστηρίῳ διὰ τὸ κ. ὃ περαιωθῇ, δύναται διὰ τῆς αὐτῆς ἀγωγῆς ἀπαιτεῖσθαι, ὡς φησὶν ὁ σχολιαστής:

Καὶ γὰρ τοῦ δούλου ταγματαμένου ἐὰν ἀναγκαίως δαπανήσαντος τὰ χρήματα εἰς τὰ τοῦ δεσπότου πράγματα. καὶ τοῦ δεσπότου ἐπὶ πολλῷ χρόνῳ καταβαλόντος τόκον, καὶ οἱ κληρονόμοι αὐτοῦ τελευτήσαντος, ἀναγκάζονται ὅλους τοὺς τόκους πράττειν. ἀλλὰ καὶ ὁ ὑπὲρ δανεισάμενος. καὶ πρακτικὰς τῇ ὑπάτῳ, καὶ τόκους καταβαλὼν ἐπὶ πλείω δανειστῶν, διὰ ἀμφισβήτησιν δημοσίας, ἀφ' ὁ δημόσιος, ὡς διάδοχος ἤτοι κληρονόμος αὐτοῦ, τόκους καταβαλεῖ:

τ΄.

τόκους τόκων ἐπερωτήσας, τὸ περὶ νόμον ἀφαιρεῖται καὶ τὸ λοιπὸν ἀπαιτεῖται. Ἐν δὲ τῷ μζ΄ κεφ. Οἱ ἀπὸ συμφώνου τόκοι καταβληθέντες οὐ δύνανται ἀναλαμβάνεσθαι οὔτε εἰς κεφάλαιον καταλογίζονται. μὴ καταβληθέντες δέ, οὐκ ἀπαιτοῦνται. ὁ γὰρ ἀνεπερώτητος τόκος, ἀπαίτησιν οὐκ ἔχει. Ἐνέχυρον δὲ ὅταν διδῶσι τῷ δανειστῇ περὶ καταλλάξεων ἐὰν συμφωνηθῇ. τότε μέντοι, ὅτε καὶ ἐπὶ τόκῳ τὸ ἐνέχυρον ὑπετέθη, ἔξεστι δὲ προσυμφωνεῖν. ἵνα ἐὰν μὴ καταβληθῇ ἐντὸς ὡρισμένου ἐνιαυτοῦ τὸ κεφάλαιον καὶ ὁ τόκος, μείζων τόκος ἐξ ἐκείνου τοῦ καιροῦ καταβληθῇ. Ἐὰν οὖν δανεισάμενός τις καὶ συμφωνήσας τόκον, ὑπέθετο καὶ τὸ ἐνέχυρον ἐπὶ τῷ τόκῳ, [illegible] δὲ γενομένης μείζονα τόκον ἐπηγγείλατο καταβαλεῖν καὶ οὐ συνεφώνησεν ὑποκεῖσθαι τὸ ἐνέχυρον, ἐπὶ τῇ προσθήκῃ τοῦ τόκου· οὐ κατὰ τὴν προσθήκην κρατεῖται τὸ ἐνέχυρον. Ἐν δὲ τῷ να΄ κεφ. ὁ δανειστὴς ὀφείλει δεικνύειν καὶ τὸ χρέος καὶ τὴν τῶν τόκων ἐπερώτησιν. τὸ γὰρ ἐπί τινα χρόνον ἀπὸ συναινέσεως τόκους αὐτὸν λαβεῖν, οὐ ποιεῖ προκεῖσθαι τῷ χρεώστῃ. Ἐν δὲ τῷ νδ΄ κεφ. καρπῶν δανειζομένων, δύναται καὶ ὁ ἀπὸ συμφώνου τόκος ἀπαιτεῖσθαι. Ἐν δὲ τῷ ξα΄ κεφ. ὁ μὴ κελεύσας ἀμέσως τόκος. εἰ μὲν πρὸ τοῦ κεφαλαίου καταβληθῇ, εἰς κεφάλαιον καταλογίζεται. εἰ δὲ μετὰ τὸ κεφάλαιον καταβληθῇ, ἐπειδὴ οὐκ εἶχε λοιπὸν ὀφείλεσθαι καταβληθῆναι ἀναλαμβάνεται. Ἐν δὲ τῷ ξδ΄ κεφ. ἐὰν ὁ χρεώστης τῶν κεφαλαίων καὶ τόκους ἐν τῷ καταβάλλειν μὴ ἐμνημόνευσεν ἐπὶ τίνι καταβάλλει· ἐξουσίαν ἔχει ὁ δανειστὴς εἰ βούλεται εἰς τοὺς τόκους μόνους καταλογίζεσθαι τὰ καταβληθέντα. Ἐν δὲ τῷ ξε΄ κεφ. ὁ μὲν τόκος ἀπὸ συμφώνου, δύναται διὰ παρακαταθήκης ἐνεχύρου λαμβάνεσθαι παρὰ τοῦ δανειστοῦ. ἐὰν δὲ ἀντὶ τόκου προσῆκον συμφωνήσῃ, οὐδὲ ἀγωγὴν ἔχει ἀπὸ τοῦ συμφώνου. ἀλλ' οὐδὲ παρακατέχειν. Ἐν δὲ τῷ ξϛ΄ κεφ. ἐπὶ καρπῶν δανειζομένων· ἔξεστι καὶ πλείονα τόκον ἐπερωτᾶν διὰ τὸ ἄδηλον τῶν καρπῶν. Ἐν δὲ τῷ ξη΄ κεφ. τῆς διατάξεως τῆς βουλομένης τὰς προθεσμιακὰς ἀγωγὰς φθείρεσθαι λ΄ ἐνιαυτοῖς ἐξενεχθείσης, ὁ ἥρως (ἱερὸς προσθ.) Πρίσκος μέθοδον ἐπενόει τοιαύτην· ὥστε φησὶν ἀναιρεῖσθαι τὴν προθεσμιακὴν ἀγωγὴν τῇ τῶν λ΄ ἐτῶν παραδρομῇ, ἀναιρεῖσθαι οὖν ἐπὶ τὸ κεφάλαιον καὶ μόνου. ἐπειδὴ καὶ τὴν τοῦ κεφαλαίου δόσιν διέστρεψεν ἡ τριακονταετία, οἱ δὲ τόκοι φησὶν ἀπαιτεῖσθωσαν. ἐπειδὴ οὐδὲ γὰρ πάντως φησὶν ἀπεκλείσθησαν οἱ τόκοι τῇ τριακονταετίᾳ. ἐπειδὴ ὁ τόκος καθ' ἕκαστον ἐνιαυτὸν τίκτεται. λ΄ ἐνιαυτῶν ἐπὶ τῷ κεφαλαίῳ διαδραμόντων, εὑρίσκεται ἐπὶ τῷ τόκῳ τοῦ πρώτου ἐνιαυτοῦ διαδραμόντα κθ΄ ἔτη. ἐπὶ δὲ τῷ τόκῳ τοῦ πρώτου ἐνιαυτοῦ κη΄. καὶ οὕτως ἐφεξῆς ἐπὶ τοῖς τόκοις τῶν μετὰ ταῦτα ἐνιαυτῶν, ἥττων χρόνος εὑρίσκεται διαδραμών. ὁ δὲ αὐτὸς ἔλεγε καὶ περὶ καρπῶν. ἡ τοίνυν διάταξις ἡ πρώτη ἀναιρεῖ τὸ τοιοῦτον νόμιμον λέγουσα, ὅτι ἄτοπόν ἐστι τῆς προτύπου ἀγωγῆς ἀναιρεθείσης, περὶ τόκου ἢ καρπῶν φιλονεικεῖν. ὁ δέ ἐστι καὶ ποσότητα ῥητὴν τοῖς τόκοις ἵνα οἱ μὲν ἀπὸ ἰλλουστρίων καὶ ἀνωτέρω, ἄχρι τετάρτου ἑκατοστῆς μόνον δανείζωσιν· ἀργυροπράται δὲ καὶ

Κεφάλαιον γ΄ τῆς ε΄ [illegible] τοῦ κε΄ φησί· [illegible] καρπὸς οὐκ ἀπαιτεῖται.

Οἱ ἐκ τοῦ ἐνεχυρασθέντος ἀγροῦ λαμβανόμενοι καρποί, κουφίζουσι τὸ χρέος.

μὴ τὸ προσσυνεχωρῆναι διὰ λοιποῦ τὸ χρέος ἐπὶ τὴν τοῦ δανειστοῦ λαβεῖν αὐτό.

περὶ οἴκου ἐν ὑποθήκῃ διδομένου.

Κεφάλαιον ὁ δανείσας, καὶ λαβὼν εἰς ἐνέχυρον οἶκον, ἐφ' ᾧ ἀντὶ τόκων κατοικεῖν ἐν αὐτῷ, εἰ καὶ πλείω τοῦ νομίμου τόκου ἐστίν, ὅμως οὐδὲ οὕτω πλείονα τόκον ἀπαιτεῖν. ἀλλὰ μὴν οὐδὲ ἥττονος τὸν οἶκον μισθοῦσθαι. ἐὰν δὲ μισθώσας ἑτέρῳ τὸν οἶκον λαμβάνει τὸ μίσθωμα, ὅτε ἐστὶν ὑπὲρ τὸν νόμιμον δυνηθῇ λαβεῖν, τοῦτο εἰς κεφάλαιον λογίζεται τῷ χρεώστῃ.

Οἱ μὲν ὅσοι διὰ τὸ [illegible] τῶν [illegible] εἶναι [illegible], καρπῶν δὲ μὴ οὐσίας ἀφορμὴν ἐπιγινομένης, τοῦτο ἕνεκα καὶ πλείονα τοῦ νομίμου τόκου ἐπερωτᾶν ἔξεστι συνομολογηθῆναι, ἐν καρποῖς οὐ συνομολόγησιν· ἵνα τῆς αὐτῆς [illegible].

δευτέρου

Οὗτος ὁ κανὼν εἴρηται ἐν τῷ περὶ κανόνων εἰς τὸ περὶ συμβολαίων· ἀλλὰ καὶ τὸ περὶ ἀργυροπρατῶν.

Εἰ ταῦτα ἐπὶ ναυτικοῦ λέγει τοῦ δανείου. εἰ δὲ ἐξ κεφ. περὶ τόκου, διαπόντιον τοῦτο φησίν· οὐ μόνον δὲ διαπόντιον κληθείη ἂν τὸ πρὸς ναῦλον γινόμενον, ἀλλὰ καὶ τὸ πρὸς πάντα τὰ ἐπὶ πραγματείᾳ πλεῖν μέλλοντα:

περὶ τόκου:

Κελεύει, ἵνα οἱ μὲν ἀπὸ ἰλλουστρίων καὶ ἀνωτέρω, μὴ περαιτέρω τρίτου ἑκατοστῆς δανείζωσιν· ὅπερ ἐστὶ νομίσματα δ΄ ἐφ' ἑκάστῃ λίτρᾳ· οἱ δὲ λοιποὶ [illegible] λογίζεσθαι, καὶ μὴ [illegible] τῶν

ἐμπορεῖ ἄχρι διμοίρου ἑκατοστῆς· οἱ δὲ λοιποὶ πάντες, ἄχρι ἡμισείας ἑκατοστῆς. εἰ δὲ πρὸς οἶκον εἶναι τὸ δάνειον [illegible], τότε πάντες οἱ εἰρημένοι μόνον τὸ ἀπὸ τετάρτου ἑκατοστῆς τόκου λαμβανέτωσαν. ἐπὶ δὲ τῶν ναυτικῶν δανείων καὶ ἐπὶ τῶν δανειζομένων εἰδῶν ἤτε καρπῶν ἐφ' ὧν τὸ παλαιὸν ἐξῆν πλείονα τόκον. μόνον μέχρι ἕως ἑκατοστῆς καὶ περαιτέρω μὴ βουλομένη μηδὲ διὰ προκαταλλαγὰς ἐνεχύρων μείζονα τόκον λαμβάνεσθαι. μηδὲ τοὺς δικαστὰς ποτὲ καταδικάζειν ἐξ πλείονα τόκον ἀποφάσεως τῆς τῶν τόπων συνηθείας. εἰ δέ τις μείζονα τόκον λάβῃ, εἰς τὸ κεφάλαιον αὐτὸ καταλογίζεσθαι. μὴ ἐξεῖναι δὲ τοῖς δανεισταῖς λαμβάνειν παρὰ τῶν δανειζομένων τινὰ προφάσει τῶν λεγομένων κερατίων ἢ συνηθειῶν. εἰ δέ τι λάβωσι, καὶ τοῦτο εἰς κεφάλαιον λογίζεσθαι. μὴ ἐξεῖναι δὲ μηδὲ διαμείβειν πρὸς τὸ πλείονα τόκον λαμβάνειν. ἵνα τυχὸν ὁ ἰλλούστριος μὴ δυνάμενος λαβεῖν, εἰ μὴ τὸ ἀπὸ τρίτου ἑκατοστῆς τόκου, δώσῃ τὰ χρήματα αὐτοῦ μετά τινι τῷ δυναμένῳ λαμβάνειν ἡμιεκατοστιαῖον. ἀλλ' ἵνα τοιοῦτον γένηται μόνον, ἐκεῖνον τὸν τόκον περιέχεσθαι ὃν ὀφείλει λαβεῖν αὐτὸς ὁ τὸ δάνειον ἐποίησε. ἐκείνους δὲ οἵτινες ἐργαστηρίων προεστήκασιν· ἤ τινα θεμιτὴν πραγματείαν μεταχειρίζουσιν, ἕως διμοίρου ἑκατοστῆς τὴν ἰδίαν ἐπερώτησιν συμμετρεῖν ἢ [illegible]. μὴ δὲ ὑπὲρ τοῦ τόκου μέλλοντος χρόνου μηδὲ ὑπὲρ τοῦ τόκου τῶν ἤδη παρελθόντων χρόνων. δύνασθαι κατὰ μηδένα τρόπον τόκον ἐπερωτηθῆναι. μηδὲ κατὰ τὸ σχῆμα τοῖς παλαιοῖς γνωριζόμενον γίνεσθαι. ἐν δὲ τῷ δ΄ κεφ. οἱ κατὰ μικρὸν καὶ κατὰ χρόνον καταβαλλόμενοι τόκοι, τῷ διπλῷ συμψηφίζονται. κἂν μὴ καθάπαξ ὑφ' ἓν καταβληθῶσιν. ἐν δὲ τῷ στ΄ κεφ. ἡ προδιάταξις δηλοῖ, ὅτι οἱ κατὰ μέρος καταβαλλόμενοι τόκοι τὸ διπλοῦν τοῦ χρέους οὐχ ὑπερβαίνουσιν. ὑπεξῄρηται δὲ τὸ κείμενον ἐν τῷ ιγ΄ περὶ τῶν τόκων τῶν πολιτικῶν χρημάτων. ἀνάγνωθι καὶ τὸ δ΄ κεφ. τοῦ δ΄ τιτ. ἐν ᾧ φησι τὸ λαμβάνειν τοὺς ἀργυροπράτας, διμοίρου ἑκατοστῆς τόκον. ἀνάγνωθι καὶ τὸ κδ΄ τοῦ ε΄ κεφ. τοῦ κ΄ τιτ. ἐν ᾧ φησι. ἐάν τις χρεώστου κεφ. τόκους κεχρεωστημένους καταβάλῃ, οὐκ ἀναλαμβάνει. ὁ δὲ τόκους ὑπὲρ τὸ νόμιμον καταβαλών, οὐκ ἀναλαμβάνει μὲν, καταλογίζεται δὲ αὐτοὺς εἰς τὸ κεφάλαιον. εἰ δὲ καὶ τὸ κεφάλαιον καταβάλῃ, ὡς τὸ κεφάλαιον χρεωστῶν ἢ κατέβαλεν ἀναλαμβάνει· εἴτε πρὸ τοῦ κεφαλαίου τοὺς τόκους κατέβαλεν, εἴτε μετὰ ταῦτα, εἴτε ἀνὰ ἑκάτερον. ἐπεὶ τὸ διπλοῦν οὐκ ἐπερωτᾶται τόκος. οὔτε ἀπαιτεῖται. οὔτε τόκος τόκου ἢ τῶν μελλόντων τόκων τόκος. καὶ καταβληθεὶς, ἀναλαμβάνεται. ἀνάγνωθι καὶ τὸ κε΄ τοῦ β΄ κεφ. α΄ τιτ. δ΄ καὶ τὸ κστ΄ τοῦ δ΄ κεφ. ξε΄ καὶ τοῦ ε΄ κεφ. γ΄ ἐν ᾧ φησι. ὁ κεχρεωστημένος τόκους ἐξεπερωτηθέντας καὶ ἐτέρους ἀπὸ συμφώνου. τῇ τιμῇ τῶν παρ' αὐτοῦ πιπρασκομένων ἐνεχύρων, εἰς ἑκατέρους τοὺς τόκους λογίζεται ἐπίσης ἢ καὶ ἀναλόγως τοῦ ποσοῦ. ἐὰν δὲ ὁ χρεώστης τόκους μὴ ἀπαιτουμένους οἷον ἀπὸ συμφώνου καταβάλῃ ἁπλοῦ χρέους, εἰς τὸ κεφάλαιον δοκεῖ δεδωκέναι. τότε γὰρ πρῶτον εἰς τόκους λογίζεται τὸ καταβαλλόμενον.

οἱ μὲν τοὶ ἀργυροπράται ἢ ἔμποροι, μέχρι τῶν ἑκατοστῆς, ὅπερ ἐστὶ νομίσματα η΄ ἐπὶ [illegible] τὰ λίτρα παλαιὰ δηλαδή. οἱ δὲ λοιποὶ πάντες ἄχρις ἡμισείας ἑκατοστῆς ἤτοι νομίσματα ϛ΄. εἰ δὲ πρὸς ὀλίγους οἴκους τὸ δάνειον γένηται, ἄχρι [illegible] ἤτοι νομίσματα γ΄. ἐπὶ δὲ τῶν ναυτικῶν δανείων, ἐπὶ τῶν δανειζομένων εἰδῶν, ἤτε καρπῶν, ἔξεστιν ἐπερωτηθῆναι πλείονα τόκον, μέχρι μιᾶς ἑκατοστῆς, ἤτοι νομίσματα ιβ΄. ὁ γὰρ ὑπὲρ ταῦτα παράνομον. ὥστε ἐπὶ μὲν τῶν ἰλλουστρίων ὁ νόμιμος τόκος, ἐπὶ τῶν νεῶν ἐνεργοῦσιν οὐσία, τέσσαρα νομίσματα ἐπὶ [illegible]. ἐπὶ δὲ ἀργυροπρατῶν ἢ ἐμπόρων, η΄. ἐπὶ δὲ τῶν ἄλλων, νομίσματα δ΄:

ἐν δὲ τῷ παλαιῷ, οὐδεὶς ἐδύνατο, τόκους τόκων ἐπερωτᾶν. ἐπεὶ μὴ ἄρα τοὺς ὀφειλομένους τόκους ἀνάγκην εἰς κεφάλαιον. καὶ ἄνωθεν ἐπερωτῆσαι δοῦναι αὐτὸν τόκον τῶν νομισμάτων, τῶν ἀπὸ τοῦ τόκου συναχθέντων τόκους. τοῦτο δὲ οὐδὲν ἕτερον ἦν, εἰ μὴ τόκου τόκον ἐπερωτᾶσθαι:

ὅτε τῶν ἀπαιτουμένων τόκων. οἱ γὰρ ἀπὸ συμφώνου καταβληθέντες μέν, οὐκ ἀναλαμβά-
νονται· μὴ καταβληθέντας δὲ αὐτοὺς ὡς τόκους· οὐ δύναται λέγειν ὁ δανειστής, ὡς τόκους εἰλη-
φέναι. ἐὰν εἴπῃ ὁ δανειστὴς λογίζεσθαι εἰς κεφάλαιον καὶ τόκους τὸ καταβληθέν, πρῶτον εἰς τό-
κους λογίζεται, καὶ ὕστερον τὸ περιττὸν εἰς κεφάλαιον· οὔτε γὰρ ἡ τάξις τῆς γραφῆς προσέχεται·
καὶ κεφαλαίου ιζ' ἐν τῷ αὐτῷ· φιλονεικίας περὶ τῶν τόκων γινομένας, ἐψηφίσατο· τοὺς μὲν κατα-
βληθέντας μὴ ἀντιστραφῆναι· τοὺς δὲ μέλλοντας μὴ χρεωστεῖσθαι. ἐὰν οὖν τὰ καταβλη-
θέντα χρήματα εἴπεν ὁ χρεώστης εἰς κεφάλαιον δοῦναι· οὐ δύναται ὁ δανειστὴς εἰς τόκους αὐ-
τὰ λογίζεσθαι. ἐὰν ἀπόδειξιν γράψω καὶ εἴπω λαβεῖν ἐκ τῶν κεχρεωστημένων μοι
εἰς τὸ μεῖζον χρέος ὑπὲρ ρ'· εἰς τὸ ἀρχαιότερον καταλογίζονται. ἀνάγνωθι κεφαλαίου ρθ' καὶ ρι'. ἀνάγνωθι
βι. να' τίτ. α' κεφ. ις'. ἀνάγνωθι καὶ βι. να' τίτ. α' κεφ. ιε' καὶ κεφ. ιη' ἐν τῷ αὐτῷ. τῶν ἀπὸ ζημίας ὑποφειλο-
μένων χρημάτων, οὐκ ἀπαιτοῦνται τόκοι. οὔτε παρὰ τοῦ δημοσίου κατ' αὐτούς, ἢ τῶν αὐτοῦ ἐπιτ-
ηδευ. ἀνάγνωθι καὶ βι. νς' τίτ. ζ' κεφ. ιζ':

περὶ τυμβωρύχων. ἀνάγνωθι βι. ξ' τίτ. κη'. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησίν: ιβ'

Τὸ τῆς τυμβωρυχίας ἔγκλημα ἀτιμίαν ἐπιφέρει. ἐν δὲ τῷ γ' κεφαλαίῳ· οἱ τυμβωρυχοῦντες καὶ
γυμνοῦντες τὰ τῶν τεθνεώτων σώματα· εἰ μὲν μεθ' ὅπλων, κεφαλικῶς τιμωροῦνται.
εἰ δὲ χωρὶς ὅπλων, μέχρι μετάλλου:

περὶ τοιχωρύχων. ἀνάγνωθι βι. ξ' τίτ. κθ' κεφαλαίου α' ἐν ᾧ φησιν: ιγ'

Οἱ νυκτερινοὶ τοιχωρύχοι· ἐσπαγιζόμενοι μεταλλίζονται· οἱ δὲ ἡμερινοὶ ἐσπαγι-
ζόμενοι· διηνεκῶς ἢ πρὸς καιρὸν εἰς ἔργον
βάλλονται:

✠ ἀρχὴ σὺν θεῷ τοῦ υ' στοιχείου: α'

περὶ ὕβρεων. ἀνάγνωθι βι. ξ' τίτ. κα'. οὗτινος ἐν τῷ α' κεφαλαίῳ φησίν:

Γενικῶς μὲν ὕβρις λέγεται, τὸ παρὰ νόμον· ἰδικῶς δὲ ἡ περιφρόνησις καὶ ἡ ζημία ὡς
ἐπὶ τοῦ ἀκουιλίου. καὶ ἀδικία, ὡς ἐπὶ τοῦ ἀδίκως καὶ παρανόμως ψηφιζομέ-
νου. ἡ ὕβρις ἢ λόγῳ ἢ ἔργῳ γίνεται. καὶ εἰς σῶμα ἢ εἰς ἀξίαν ἢ εἰς ἀτιμίαν. εἰς σῶμα, ὡς
ἐπὶ τοῦ πληγέντος· εἰς ἀξίαν, ὡς ὅταν ὁ ἀκολουθῶν τῇ οἰκοδεσποίνῃ ἀφήκηται· εἰς
ἀτιμίαν, ὅταν ἀποπειρᾶται τῆς σωφροσύνης τινός. ὑβρίζεται δέ τις ἢ δι' ἑαυτοῦ ἢ δι'
ἑτέρου. οἷον υἱοῦ, δούλου, γυναικός, νύμφης, καὶ λειψάνου ὑβριζομένου, ὁ κληρο-
νόμος αὐτοῦ ὑβρίζεται. εἰ δὲ καί τις βουλόμενον τὸν υἱόν μου πωλήσοι ἢ ὑβρίσοι, ἀν

ἀνάγνωθι καὶ βι. ρκα' κεφ. ιζ' ἐν τῷ αὐτῷ· περὶ ὕβρεως εἰς ἐκκλησιαστικὴν ἢ πρὸς ἐπίσκοπον γινομένης ἢ κληρικόν:

ἰδίως δὲ οὐχ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή· ὕβρις γὰρ οὐκ ἔστιν ἡ γινομένη εἰς τὸν ἴδιον
λεγόμενον, ἐμοὶ δὲ ἁρμόζει. Ἐν τῷ δ. ε΄ κε. εἴτε παῖς εἴτε γυνὴ εἰς ἐμὲ ὑποκειμένου ὑβρι-
σθῇ ἢ γαμετή μου, ἔχω ὀνόματι ἐμαυτοῦ τὴν περὶ ὕβρεως ἀγωγήν. καὶ ἐπὶ μιᾷ ὕβρει
τισὶ προσώποις ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή. τῆς γὰρ γυναικός μου ὑβρισθείσης ἐγὼ
αὐτὴ καὶ ὁ πατὴρ αὐτῆς κατὰ ἔχομεν τὴν ἀγωγήν. καὶ οὐκ ἀναιρεῖται διὰ τοῦ ἑνὸς ἡ τοῦ
ἑτέρου. ὑβριζομένου δὲ τοῦ ἀνδρός, ἡ γυνὴ οὐκ ἐνάγει. καὶ τὰ μάλιστα ἐκδικοῦ-
σαι ἐκείνους ὑβρίζεσθαι τοὺς δυναμένους καὶ ὑβρίζειν. ὅμως τινὲς ὑβριζό-
μενοι δὲ μὴ δυνάμενοι ὑβρίζειν ὡς ὁ μαινόμενος καὶ ὁ ἄνηβος ὁ μὴ ὢν δόλου
δεκτικός. ὑβρίζεσθαι γὰρ καὶ ὁ μὴ αἰσθανόμενος καὶ ὁ ἄνηβος ὁ μὴ ὢν δόλου δε-
κτικός. ὑβρίζεσθαι δὲ γὰρ δύναται. οὐδεὶς δὲ ὑβρίζει, εἰ μὴ ἀπὸ διαθέσεως. καὶ ὅτι
νοσοῦν ὡς ὑβρίζει, κἂν ἀγνοῇ γίνεται ἡ ὕβρις. ὅθεν ἐὰν παίζων ἢ ἀγωνιζόμε-
νος κρούσῃ τινά, οὐκ ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ. οὔτε μὴν ὁ τὸν ἐλεύθερον ὡς
δοῦλον τύπτων. οὔτε ἐὰν τὸν δοῦλόν μου θέλων τύψαι πρὸς ἐμὲ τὸν τύψω ἄκων. Ἐν
τῷ δ. ε΄ κε. ὁ ἐπὶ τῆς περὶ ὕβρεως ἀγωγῆς, κρατῶν ὁ ἐνάγων ὅρκον ὃ ἐπιφέρει τῷ ἐνα-
γομένῳ ὡς οὐχ ὕβρισεν. Ἐν τῷ δ. ζ΄ κε. οὔτε αὐτεξουσίῳ υἱῷ κατὰ πατρός. οὔτε ἀπε-
λευθέρῳ κατὰ πάτρωνος ἁρμόζει ἡ περὶ ὕβρεως ἀγωγή, εἰ μὴ σφοδρῶς ὑβρίσει. πλή-
ξας τυχὸν ἢ μαστιγώσας. ἔξεστι γὰρ τοῖς πάτρωσι μετρίως σωφρονίζειν τοὺς ἀπε-
λευθέρους. τῷ δὲ ὑπεξουσίῳ παιδὶ οὔτε ἀπὸ ὕβρεως τραχείας ἡ περὶ ὕβρεως ἁρ-
μόζει κατὰ τοῦ πατρός. Ἐν τῷ δ. ια κε. περὶ πάσης ὕβρεως ἔξεστι χρηματικῶς κινεῖν.
ἡ τραχεῖα ὕβρις, ἢ ἀπὸ τοῦ προσώπου ἢ αὐτοῦ τοῦ πράγματος, ἢ τοῦ τόπου κανονί-
ζεται. ἀπὸ προσώπου, ὅταν ἄρχοντι ἢ πατρὶ γένηται. ἀπὸ τόπου, ὅταν ἐν θεάτρῳ
πάντων ὁρώντων. ἀπὸ τοῦ πράγματος, ὅταν τραῦμα δοθῇ ἢ ὅλως πληγῇ. οὐ μό-
νον τὸ μέγεθος τοῦ πράγματος ποιεῖ τραχεῖαν ὕβριν. ἀλλὰ καὶ ὁ τόπος, ἐὰν τυχὸν εἰς
ὀφθαλμὸν γένηται, καὶ τὸ ἀφελέσθαι τὴν ἐσθῆτα τινός. καὶ τὸ ἀποσπάσαι τὸν ἀκόλουθον.
καὶ τὸ ποιῆσαι τινὰ ὀχλαγώγιον. καὶ τὸ ἐν θεάτρῳ πλῆξαι. εἰ καὶ μὴ σφοδρῶς, τραχεῖαν
ὕβριν ποιεῖ. εἴτε αὐτεξουσίῳ γένηται. εἴτε ὑπεξουσίῳ δούλου τραχεῖαν ὕβριν ποι-
ήσαντος. εἰ μὲν πάρεστιν ὁ δεσπότης, ἐνάγεται. εἰ δὲ ἀπέστιν, ὁ ἄρχων αὐτὸν φραγελλί-
ζει. Ἐν τῷ δ. ιε κε. οὐ μόνος ὁ τύψας ἢ ὑβρίσας. ἀλλὰ καὶ ὁ παρασκευάσας τοῦτο
γενέσθαι κατέχεται. Ἐν τῷ δ. ιη κε. οὔτε κληρονόμοις οὔτε κατὰ κληρονόμων ἁρμό-
ζει ἡ περὶ ὕβρεως ἀγωγή. κἂν δοῦλος ὑβρισθῇ τοῦ τελευτήσαντος πρὸ τοῦ αὐτοῦ,
εἰ μὴ προκατήρξατο. Ἐν τῷ δ. κε. ὁ πολλάκις ἀναλύσας τὴν χεῖρα καὶ μὴ τύψας,
οὔτε τῇ περὶ ὕβρεως ἀγωγῇ ἐνέχεται. Ἐν τῷ δ. κθ κε. ὁ προσβαλὼν γυναικὶ ἐν

δεδυμένη ἱμάτια δούλης ἢ πόρνης, ἧττον ἐστὶν ἁμαρτάνει, ὑπόκειται δὲ τῇ περὶ ὕβρε-
ως ἀγωγῇ. καὶ ὁ ἀποσπάσας τὸν ἀκόλουθον αὐτῆς, εἴτε δοῦλος ἐστὶν εἴτε ἐλεύθερος·
ἀνὴρ ἢ γυνὴ ἐν δημοσίῳ ἢ ἰδιωτικῷ τόπῳ, ἀκόλουθος δέ ἐστιν ὁ ἀφωρισμένος ἐπὶ τὸ
συνεχῶς ἀκολουθεῖν αὐτῇ. ὁποῖός ἐστι καὶ ὁ παιδαγωγός. ἀποσπᾶν δοκεῖ οὐχ ὁ ἀρ-
ξάμενος, ἀλλ' ὁ ἀποτελέσας. ἀποσπᾶν δὲ οὐ δοκεῖ μόνον ὁ βιαζόμενος, ἀλλὰ καὶ
ὁ συμβουλεύσας αὐτῷ καταλιπεῖν αὐτήν. καὶ ὁ προσβαίνων καὶ ὁ συνεχῶς μετὰ
σιωπῆς ἐπακολουθῶν, ἐνέχεται τῇ περὶ ὕβρεως ἀγωγῇ. προσβαίνειν δέ ἐστι τὸ ἀπα-
τηλοῖς ῥήμασιν ἀποπειρᾶσθαι τῆς ἄλλου σωφροσύνης. ὁ δὲ ῥήμασιν αἰσχροῖς
χρώμενος, οὐ προσβάλλει ἐστὶν, ὑπόκειται δὲ τῇ περὶ ὕβρεως ἀγωγῇ πρὸς τὴν ποιότη-
τα τοῦ πράγματος καὶ τῶν προσώπων. ποιεῖται τὴν ζήτησιν καὶ τὴν ἐπεξέλευσιν ὁ ἄρ-
χων. Εἰ δὲ τῶν λβ΄ κεφ. ὁ τὸν ἀλλότριον δοῦλον παρὰ τοὺς ἀγαθοὺς τρόπους μαστίζων
ἢ ἀνοσίως τοῦ δεσπότου ἐξετάζων, ὑπόκειται τῇ περὶ ὕβρεως ἀγωγῇ. ἐὰν δὲ τις μὴ
παρὰ τοὺς ἀγαθοὺς τρόπους τύψῃ, ἀλλὰ διὰ τὸ διορθώσασθαι, οὐκ ἔχει χώραν ἡ ἀ-
γωγή. τυπτῆσαι λέγεται, καὶ ὁ γεύσας δοῦναι. κουαίστιον δέ ἐστι, τὸ ἐπαγαγεῖν βά- ἴσ. ἐστὶ κουαίστιον:-
σανον καὶ πόνον τῷ σώματι πρὸς κατάληψιν τῆς ἀληθείας. καὶ τὸ ἐμβαλεῖν τοὺς πό-
δας ξύλῳ. ἡ δὲ ψιλὴ ἐρώτησις καὶ ἡ μετρία καταπλήξις, οὐ κινεῖ πρὸς τὴν περὶ
ὕβρεως ἀγωγήν. καὶ ὁ χωρὶς δεσπότου ἐξετάζων. ἐὰν τὸ μέλλον προεξήθη, ὑ-
πόκειται. ἐὰν τυπτηθῇ δοῦλος ἢ ἐξετασθῇ, παντὶ τρόπῳ ἁρμόζει ἡ περὶ ὕβρεως ἀγω-
γή. εἰ δὲ ἄλλως ὑβρισθῇ, οὐ πάντως. ἀλλὰ τῆς αἰτίας διαγινωσκομένης ἐκ τῆς
ποιότητος τῆς ὕβρεως καὶ τοῦ προσώπου τοῦ δούλου. τινὲς ὕβρεις ἀπὸ ἐλευθέρων γινό-
μεναι ἐλαφραὶ, αὗται οὐδενός εἰσιν. ἀπὸ δὲ δούλων, τραχεῖαι εἰσίν. ὥσπερ ἐπὶ τῶν ἄλ-
λων ἁμαρτημάτων τῶν δούλων. οὕτως ἐπὶ τῆς ὕβρεως ἁρμόζει νοξαλία. καὶ ἐπὶ
χολὴν ὁ δεσπότης ἔχει ἢ δοῦναι αὐτὸν εἰς τὸ μαστιγωθῆναι ἢ εἰς θεραπείαν τῆς ζημίας ἢ δοῦ-
ναι τὴν ἀποτίμησιν τῆς δίκης. εἰ δὲ τῶν λγ΄ κεφ. τὸ μέτριον τῶν βασάνων ὡς ἀνὴρ ἀγα-
θὸς ὁ δικαστὴς ὀφείλει δοκιμάζειν. ἐὰν κληρονόμου τοῦ δεσπότου δοῦλος ὑβρισθῇ ἰδί-
ῳ ὀνόματι, ἐνάγει καὶ μετ' ἐλευθερίαν αὐτός. οὔτε γὰρ ἐν πᾶσιν ὀφείλει τῷ δεσπότῃ
πειθαρχεῖν· οὔτε κληρονόμος αὐτοῦ φονεύειν. εἰ δὲ τῷ δεσπότῃ βοηθῶν ἐποίησέ τι, οὐκ
ἔστιν ὑπόμεμπτος. ἀλλὰ παραιτεῖσθαι αὐτὸν δεῖ τῷ κινοῦντι. εἰ δὲ τῶν λε΄ κεφ. δοῦ- περὶ δούλου:-
λος δούλου ὑβρίζων, οὕτως ἐστίν, ὡσανεὶ τὸν δεσπότην αὐτοῦ ὑβρίσειεν. εἰ δὲ τῶν
μγ΄ κεφ. ἐὰν τι αἰσχρὸν ποιήσῃ δούλῃ, ἢ ἄλλῳ τινὶ κλοπιμαίῳ λογισμῷ καταίσχῃ
αὐτήν, καὶ τῇ περὶ ὕβρεως ἀγωγῇ καὶ τῇ περὶ κλοπῆς εἰς τὸ διπλοῦν κατέχεται. εἰ
δὲ ἀνάγκῃ αὐτὴν οὖσαν διαπαρθενεύσει, τῷ ἀκουιλίῳ ὑπόκειται. εἰ δὲ τῶν να΄

κγ'. ὁ περὶ ὕβρεως ἀγωγῆς διάγων προσβαλὼν αὐτῷ ἀδικίαν καὶ ἀποθανεῖν κατὰ σφο-
δρότερον διὰ τὸ ἐνυβρίζων σφοδρῶς τιμωρεῖται. ἐν τῷ αὐτῷ κε' κεφ. καὶ ἡ ἀπὸ τοῦ
κορνηλίου νόμου περὶ ὕβρεως ἀγωγὴ κινεῖται χρηματικῶς καὶ ἀποτιμᾶται δικα-
στικῶς τῷ ἄρχοντι. ἐν τῷ αὐτῷ ιζ' κεφ. ὁ ἐγκαλούμενος ἐὰν ὑβρίσῃ τὸν δικαστήν, ἀ-
τιμοῦται. ὁ δὲ συκοφαντίαν κινήσας περὶ ὕβρεως ἀγωγήν, ἢ ἐξορίζεται, ἢ τὸ ἀξίω-
μα τοῦ ἀποκινεῖται. ἐν τῷ αὐτῷ ξ' κεφ. ἡ περὶ ὕβρεως ἀγωγὴ ἐξ ἐξαιρέτως κινεῖται. καὶ
οἱ μὲν δοῦλοι φραγελλιζόμενοι τοῖς δεσπόταις ἀποδίδονται. οἱ δὲ ἐλεύθεροι καὶ οἱ
τῆς [illegible] ἐπιτιμίζονται. οἱ δὲ λοιποὶ ἢ πρὸς καιρὸν ἐξορίζονται. ἢ τινὸς κωλύονται πράγ-
ματος. ἐν τῷ αὐτῷ ξγ' κεφ. μάχης ἐπισυμβάσης τινί, ὁ δὲ ὡς ὑβρισμένος καὶ λέγων ὅτι
φονεύεσθαι ἐκινδύνευσα, ἢ πληγὰς ἔτυχε, τὴν περὶ ὕβρεως ἀγωγήν. προσάγει ἐκεῖνος δὲ βασιλ-
λέγων ὅτι οὐδὲ ὕβρισε. καὶ περιέχει ὁ ἐνιαυτὸς ὁ ἐρχόμενος τὸ κατὰ πόδας. ἐὰν ὑβρι-
στικὸν συμβουλεύσῃ μηδὲν ἢ θρησκείαν ἀποδεῖξαι δύναται ἢ πίστις τῆς ἀληθείας πρὸς
τὴν συκοφαντίαν βοηθεῖ. ἐν τῷ αὐτῷ ἡ μάχη προσπεσοῦσα τῇ ἁρμοδίᾳ ὁ λιμάρτας φονεῦ
ὕβριν ἐπιτάττει καὶ ἐξ ἐκείνης τῆς ἡμέρας ἐνιαυτὸς παρέλθῃ ὁπότε ἡ τῆς ὕβρε-
ως ἀγωγὴ ἐνιαυσιαίῳ χρόνῳ περιγράφεται. διὰ τὸ τῆς ὕβρεως ὄνομα, ἐνάγεσθαι
οὐ δύναται. ἐν τῷ αὐτῷ ξη' κεφ. ἐὰν ὑβρισθῶσιν ἰλλούστριοι ἢ ἐμπρεπεῖς ἢ μόνον τὴν
ἀξίαν τετιμημένοι. ἢ γυναῖκες αὐτῶν ἢ παῖδες ἢ θυγατέρες ἢ ἐὰν κατά τινος τε-
λευτῶν προσώπων κινεῖται ἡ περὶ ὕβρεως ἀγωγή, δύναται καὶ δι' ἐντολέως. ἀλλὰ
καὶ ὑπὲρ τοῦ δεσπότου αὐτῶν. ἀνάγνωθι καὶ τὸ κβ' κεφ. ἀπὸ ε' καὶ β' γ' τ. α' κεφ. μγ' ἐν τῷ αὐτῷ.
εἴ τις τῶν θείων μυστηρίων ἢ τῶν ἄλλων ἁγίων λειτουργιῶν ἐπιτελουμένων ἐν ἁγί-
ᾳ ἐκκλησίᾳ, ἢ τῷ ἐπισκόπῳ ἢ τοῖς κληρικοῖς ἢ τοῖς ἄλλοις ὑπηρέταις τῆς
ἐκκλησίας ὕβρεως ἐπαγάγῃ. κελεύομεν τοῦτον βασάνοις ὑπομένειν, καὶ εἰς ἐξορί-
αν πεμφθῆναι. ἐν τῷ καὶ αὐτὰ τὰ θεῖα μυστήρια καὶ τὰς θείας λειτουργίας τελεῖσθαι, ἢ ἐπι-
τελεῖσθαι κωλύσει, κεφαλικῶς τιμωρεῖσθαι. τοῦτο αὐτὸ καὶ ἐπὶ ταῖς λιταῖς, ἐν
αἷς ἢ ἐπίσκοποι ἢ κληρικοὶ συνεισόντων φυλαττομένου. ἵνα ὁ μὲν ὕβριν μόνον
ποιήσῃ. βασάνοις καὶ ἐξορίᾳ παραδοθῇ. ὁ δὲ καὶ τὴν λιτὴν διασκεδάσῃ, κεφα-
λικὸν κίνδυνον ὑπομένειν :

ἢ καὶ χρηματικὴν ποινὴν παρέχουσιν μέχρι τῶν [illegible] νομισμάτων τοῦ [illegible] πρὸς τὴν ποιότητα τῆς ὕβρεως :

Περὶ ὕδατος αὐλικάδος : ἐζήτει ἐν τῷ περὶ δουλειῶν :

Περὶ υἱοθετούντων καὶ υἱοθετουμένων, καὶ τίνες δύνανται υἱοθετεῖν ἢ υἱο-
θετεῖσθαι καὶ τίνες οὐ δύνανται. ἀνάγνωθι β' λγ' τ. δ'. ὅθεν ἐν τῷ ιζ' κεφ.
φησί :

β'
γ'

Οὐδεὶς υἱοθετεῖσθαι τὸν ἄνηβον δύναται. εἰ μὴ συγγενὴς αὐτοῦ ἢ χρηστὸν ἔχων πρὸς

Ἐπειδὴ γὰρ ὁ ὑπεξούσιος διὰ τῆς θέσεως ὁ ἄνηβος γινόμενος, οὐκέτι ἐπιτροπεύεται, ἀλλὰ δεῖ τὸν ὑπεξούσιον τὸν ἐπιτροπεύεσθαι, λύεται ἡ ἐπιτροπή. καὶ δὲ δοθῆναι εἰς θέσιν, ἐν ὑπεξουσιότητι τοῦ πρὸς τὴν [illegible], οὐκέτι καλεῖται ὁ ὑποκατάστατος πρὸς τὴν κληρονομίαν αὐτοῦ. ὑπεξούσιος γὰρ κληρονόμος οὐκ ἔχει. καὶ λύεται ἡ ὑποκατάστασις :

οἱ μὲν αὐτεξούσιοι, περὶ βασιλέως τῆς υἱοθεσίας ἀρέσκονται. οἱ δὲ ὑπεξούσιοι, καὶ περὶ ἄρχοντος. ὡς ἐν τῷ α' κεφ. τοῦ α' τίτλου τοῦ λγ' βιβλίου :

ι

αὐτοῦ διάθεσιν· ἵνα μὴ ἔχωσιν ἄδειαν οἱ ἐπίτροποι λύειν τὰς ἐπιτροπὰς καὶ τὰς περὶ τῶν λογαριασμῶν γινομένας ὑποκλέψασθαι, υἱοθετοῦντες τοὺς ὑπ' αὐτῶν ἐπιτροπευομένους. ζητεῖται δὲ καὶ τὰ περὶ τῆς οὐσίας τοῦ ἀνήβου, καὶ τοῦ θέλοντος αὐτὸν υἱοθετῆσαι· μήποτε οὐ συμφέρει· καὶ τὰ περὶ τῶν τρόπων τοῦ υἱοθετοῦντος καὶ τῆς ἡλικίας· μήποτε ὀφείλει ἀφεῖναι μᾶλλον παιδοποιῆσαι· καὶ ἐὰν ἔχῃ παῖδας ἵνα μὴ μειωθῇ ἡ ἐλπὶς αὐτῶν τῆς διαδοχῆς· ἢ ὁ ἄνηβος εὑρεθῇ λαμβάνων ἧττον ἢ ὅπερ ἐστὶν ἄξιος. ἐν δὲ τῷ μζ´ κεφ. ἡ υἱοθεσία τῶν αὐτεξουσίων οὐκ ἄλλως γίνεται ἢ ἐνταῦθα ἡ ἐπαρχία. εἰ μὴ διὰ βασιλικῶν ἀντιγραφῶν γίνεται ἡ θέσις. ἐν δὲ τῷ να´ κεφ. δεῖ τὸν λαμβάνοντα εἰς υἱοθεσίαν εἶναι μείζονα τοῦ λαμβανομένου. ἐπειδὴ προσμιμοῦνται τῆς φύσεως ἐπινενόηται ἡ θέσις. πρεσβύτερον εἶναι τοῦ υἱοῦ τὸν πατέρα· νομίζεται γὰρ τέρας εἶναι καὶ τῆς φύσεως ἀλλότριον. τὸ λέγειν μείζονα εἶναι τὸν παῖδα τοῦ πατρός. ταῦτα δὲ καὶ ὑπεξουσίων καὶ αὐτεξουσίων προβαίνει. δεῖ δὲ καὶ προσήκειν γίνεσθαι τὸν πατέρα ὀκτωκαίδεκα ἐνιαυτούς· ἡ γὰρ τοιαύτη ἡλικία, ἐφηβότης λέγεται ἤγουν ὅτε καὶ οἱ βραδέως ἡβῶντες ἡβῶσι τοῦ σώματος πάντως συντελοῦντος. ἐν δὲ τῷ νβ´ κεφ. ὁ καστράτος καὶ ὁ θλιβίας, οὐ λαμβάνουσιν εἰς θέσιν οὔτε αὐτεξουσίους παρὰ βασιλέως· οὔτε ὑπεξουσίους παρὰ ἀρχόντων· οἷς γὰρ ἡ φύσις ἠρνήσατο τὸ παιδοποιεῖν, τούτοις καὶ ὁ νόμος κατὰ τὸ δυνατὸν βαστάζων τῆς φύσεως. ἀνήρπασε γὰρ αὐτοῖς τὰ τῆς παιδοποιΐας. ὁ δὲ σπάδων ἐπειδὴ τυχὸν ἐλπὶς ἐστὶν ὡς τοῦ πάθους ἀπαλλαγέντα δύνασθαι παιδοποιεῖν· εἰς θέσιν λήψεται καὶ ὑπεξούσιον καὶ αὐτεξούσιον. ἀλλ' ὁ σπάδων λαμβάνων ὑπεξούσιον εἰς θέσιν, οὐκ ἔχει τοῦτον ὑπεξούσιον. ἐν δὲ τῷ νγ´. ἔστι καὶ ἑτέρα κοινωνία υἱοθεσίας, ἣν ἀποτελεῖ ἡ γυνή. γυνὴ γάρ, οὐ δὲ κατὰ βασιλικὴν αἴτησιν οὐ δὲ παρὰ ἄρχοντι κὐ δύναται λαμβάνειν εἰς θέσιν τινά. ἡ γὰρ θέσις δίδωσιν ἡμῖν τὸ ἔχειν τὸν παῖδα ὑπεξούσιον· αὕτη δὲ τοὺς φυσικοὺς παῖδας ὑπεξουσίους οὐκ ἔχει. ὁ δὲ νόμος ἀκολουθεῖ τῇ φύσει. εἰκότως οὐ λήψεται εἰς θέσιν τινά, εἰ μὴ ἄρα ἐκ φιλοτιμίας βασιλέως. πρὸς παραμυθίαν τῶν τελευτησάντων αὐτῆς παίδων βουληθῇ λαβεῖν. ὥστε ὡς ἡ μὴ ἔχουσα παῖδας γυνή, οὐ δὲ διὰ βασιλέως ἀντιγραφῆς εἰς θέσιν λήψεται τινὰ παρὰ ταῖς εἰρημέναις διατάξεσιν ἐστὶ καὶ αὕτη. αὐτ. καὶ βι. ιτ. α κεφ. α λ. α :~ (margin: περὶ γυναικός :~)

Περὶ ὑπεξουσίων δούλων τε καὶ υἱῶν· καὶ τίνων καὶ πῶς συγχωροῦνται ἡμῖν· καὶ πότε καὶ πῶς ὑπὲρ αὐτῶν ἐνάγονται καὶ ἐνάγουσιν οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους. ἀπό τε συναλλαγμάτων αὐτῶν καὶ ἁμαρτημάτων καὶ χρέους. εἴτε ὡς προστάξαντες αὐτοὺς πραγματεύεσθαί τινος· ἢ καὶ ὡς παραχωρήσαντες αὐτοὺς τὴν τοῦ πεκουλίου διοίκησιν· ἢ καὶ ὡς δαπανήσαντες αὐτῶν εἰς τὰ τοῦ δεσπότου. ἢ τὸ ὑπὲρ πράγματα. αὐτ. βι. ιη. ὅλος ἐν δὲ τῷ α´ κεφ. α´ :~ δ

κ

.dd.

Ὁ προβαλλόμενος προεστῶτα ἐργαστηρίῳ ἐνάγεται περὶ τῶν συναλλαξάντων αὐτῷ. οὐκ ἐνάγεται δὲ αὐτός, εἰ μὴ δοῦλος αὐτοῦ ἐστιν ὁ προεστὼς τοῦ ἐργαστηρίου. εἰ δὲ δοῦλος ἀλλότριός ἐστιν ἢ ἐλεύθερος, ἔχει καὶ αὐτὸς ἢ ὁ δεσπότης αὐτοῦ τὴν περὶ συναλλαγῆς ἀγωγὴν ἢ τὴν κατὰ πραγματευτῶν κινουμένην. ἔχει δὲ κατὰ τῶν συναλλαξάντων τῷ προεστῶτι τοῦ ἐργαστηρίου ἐνθαῦτα ἰδίου ἄλλως οὐ δύναται τοῦτο. εὑρ. δὲ βι. ζ κε. ἀπὸ μόνων τῶν προσφόρων τῇ προστασίᾳ κατέχεται ὁ προβαλλόμενος. ὁ δανείζων δὲ προεστῶτι ἀγοράσαι ἐπὶ τὸ δοῦναι τὸ ἐνοίκιον τοῦ ἐργαστηρίου, ἔχει καὶ κατὰ τοῦ προστήσαντος ἀγωγήν. εἰ μὴ ἐκωλύθη δανείζεσθαι. Καὶ ὁ δανείζων ἔλαιον δὲ ἐπιτραπέντι ἀγοράζειν καὶ πιπράσκειν ἔλαιον. καὶ ὁ διδοὺς αὐτῷ ἀρραβῶνα, εἰ καὶ ἐπιτέτραπτο προδοχεῖα τὸ τίμημα λαμβάνειν, καὶ ὁ δεδωκὼς ἐνέχυρον ἐπιλεγόμενα. καὶ ὁ τῷ προεστῶτι ἐγγυησάμενος. ἔχει καὶ κατὰ τοῦ προστήσαντος ἀγωγήν. εὑρ. δὲ βι. ζ κε. γίνονται προεστῶτες καὶ ἄρρενες καὶ θήλειαι. ἐλεύθεροι δοῦλοι. ἴδιοι καὶ ἀλλότριοι. καὶ προΐστανται παντὸς ἐργαστηρίου. καὶ γυνὴ γὰρ ἐὰν προστήσῃ ἢ προσταθῇ. ἐνέχεται ἐκ τῆς ἐπὶ τῆς ἀγωγῆς τῆς κινουμένης κατὰ τοῦ προστήσαντος τὸν ἴδιον δοῦλον μάλιστα εἰς τὸ ἰδίου πλοίου. καὶ ὑπεξουσία δούλη ἢ ἄνηβος προστῇ χρέει τῇ κατὰ τῶν προεστώτων ἀγωγῇ. οἱ πολλοὶ γὰρ παῖδες καὶ παιδίσκας προΐστωσιν ἐργαστηρίου. αὐτὸς μέντοι ὁ ἄνηβος προϊστὰν συναλλάττων ἐκ τοῦ ἐπιτρόπου ἐνέχεται. εἰ δὲ χωρὶς αὐθεντίας αὐτοῦ προέστησεν, οὐκ ἐνέχεται. ἐνάγεται μέντοι ἐκ τοῦ τοῦ γέγονεν εὐπορώτερος. εἰ δὲ καὶ κληρονόμος ὁ ἄνηβος ἐγένετο τοῦ προβαλλομένου, ἐνέχεται ἕως οὗ ἀποκινήσωσιν αὐτὸν οἱ ἐπίτροποι. ὁ δὲ νέος προστήσας ἀποκαθίσασθαι ἀλλ᾽ οὐ χωρὶς αἰτίας δηλοῦται. εὑρ. δὲ ε κε. ὁ προστήσας ἐνέχεται, εἰ μὴ κωλύσει διὰ προγράμματος συναλλάξαι τῷ προεστῶτι. διὰ δὲ τὸ πρόγραμμα εἶναι ἔνθα ἡ πραγματεία γίνεται. δυναμένου δὲ ἐξ ἐπιπέδου ἀναγινώσκεσθαι γράμμασι τοῖς ἐν τῷ τόπῳ συνηθάζουσι. διὰ δὲ τὸ πρόγραμμα κεῖσθαι διαπαντὸς διαναγνωστόν. ἐπεί τοι γε ἐὰν ὑπὸ παλαιότητα ἢ βροχῆς ἢ τινὸς ἑτέρου ἢ αὐτοῦ τοῦ προεστῶτος περιαιρεθέντος ἢ ἀμαυρωθέντος αὐτοῦ συναλλάξῃ τις μὴ μαθὼν τὸ δόλου. ἔχει τὴν κατὰ τῶν προστησαμένων ἀγωγήν. ὀφείλει δὲ ὁ ὅρος ἐφ᾽ ᾧ τις προβάλλεται φυλάττεσθαι. εἰ δὲ ποτὲ μὲν ἐπιτρέπει ποτὲ δὲ κωλύει συναλλάξαι αὐτῷ. διὰ τὴν συνεχῆ μεταβολὴν πᾶσιν ἐνέχεται. εἰ μέντοι τισὶν ἀπαγορεύσει αὐτῷ συναλλάξαι. οὐκ ἔστι προεστὼς ἀλλὰ φύλαξ καὶ οὐδὲν ἐκποιεῖσθαι δύναται. εὑρ. δὲ βι. ζ κε. ἐκ τῶν συναλλαγμάτων τοῦ διοικητοῦ χωρίου μου. ἡ κατὰ τοῦ προστήσαντος ἀγωγὴ οὐ χωρεῖ. ὑποδοχεὺς γάρ ἐστι τῶν καρπῶν, εἰ μὴ ἄρα ἐπετράπη καὶ πιπράσκειν. εὑρ. δὲ βι. ια κε. προεστώς ἐστιν ὁ προβληθεὶς ἐπὶ τὸ πωλεῖν ἢ ἀγοράζειν ἐν τόπῳ ἢ ἐκτὸς

ό.

τόπου. εὑρ(ήσεις) δ(ὲ) ι' ιβ' κε(φάλαιον). ὁ προβληθείς μου δοῦλος. ἐὰν ἠλευθερωθεὶς ἐπιμένῃ τῇ πραγματείᾳ μετὰ γνώμης ἐνεχόμενος. εὑρ(ήσεις) δ(ὲ) ι' ιγ' κε(φάλαιον). ὁ δεσπότης προστασσόμενος τὸν οἰκέτην πραγματεύεσθαι τινός, τότε κατέχεται δανειζομένου αὐτοῦ, ὅτε ἐπέτρεψεν αὐτῷ καὶ δανείζεσθαι. εὑρ(ήσεις) δ(ὲ) μὴ δύνασθαι ἐπιτρέψας. τὸ λεξικὸν τὴν περὶ πεκουλίου ἀγωγὴν καὶ τὴν περὶ τῶν ἀφορισθέντων ἐν τοῖς πράγμασι τοῦ δεσπότου. ὁ καὶ περὶ γυναικὸς προβληθῆναι προνοητὴς τῶν πραγμάτων αὐτῆς, ἐκ τῶν πρὸς αὐτὸν συναλλαγμάτων κατέχεται ἡ γυνὴ τῇ κατὰ τοῦ προεστῶτος ἀγωγῇ. καὶ γὰρ προεστῶτα προβάλληται γυνὴ τῇ κατὰ τοῦ προεστῶτος ἀγωγῇ κατέχεται. εὑρ(ήσεις) δ(ὲ) β' τ' κε(φάλαιον) α' θε(μάτιον). τῆς περὶ τοῦ πεκουλίου ἀγωγῆς κινουμένης, ὑπεξαιρεῖ ὁ δεσπότης τὸ χρεωστούμενον. ἐὰν γνῷ ὁ δεσπότης. εὑρ(ήσεις) δ(ὲ) γινώσκει τὸν δοῦλον ἐν τῷ πεκουλιαρίῳ φορτίῳ πραγματεύεσθαι. εἰς ἐξ ἴσου τὴν ἀγωγὴν ἔρχεται τὴν διαιροῦσαν μεταξὺ τοῦ δεσπότου καὶ τῶν πρὸς αὐτὸν συναλλαξάντων ἀναλόγως τὸ κέρδος οἱασδήποτε αὐτοῦ πραγματείας. χώραν δὲ ἡ τοιαύτη ἀγωγὴ ἔχει κἂν μηδὲν ἔστιν ἐν τῷ πεκουλίῳ. ἔδωκεν ἐπὶ τῆς τοιαύτης ἀγωγῆς τὸ ἀνέχεσθαι λέγομεν. οὐδεὶς γὰρ ὁ δεσπότης καὶ μὴ διαμαρτυράμενος καὶ ἀντειπών, ἐνέχεται τῇ τοιαύτῃ ἀγωγῇ. ἁρμόζει δὲ ἐπὶ παντὸς ὑπεξουσίου καὶ τοῦ καλῇ πίστει δουλεύοντος ἐλευθέρου καὶ δούλου ἀλλοτρίου καὶ τοῦ ἐν χρήσει δουλεύοντος δούλου ἀλλοτρίου. ἐὰν μέντοι τὸ πεκουλιάριον φορτίον εἰς ὃ πραγματεύεται ἀνήκει τῷ δικαζομένῳ. εὑρ(ήσεις) δ(ὲ) ε' κε(φάλαιον). οὐ πᾶν συνάλλαγμα ἀλλὰ τὸ ἐπὶ τοῖς φορτίοις εἰσάγει τὴν διαιροῦσαν τὸ κέρδος ἀγωγήν. καὶ μερίζεται ὁ ἐπὶ ἑκάστου φορτίου ἔχων τὴν πρόφασιν αὐτῶν εἰς με. μερίζεται ὁ ἔχων ὑπεξούσιον τοῖς συναλλάξασι μετ' αὐτοῦ δανεισθεὶς ὅτε ἐπὶ τῷ φορτίῳ κεχρεώσται· εἴτε ὅθεν δήποτε. καὶ εἴτε πρὸ τοῦ πραγματεύεσθαι τὸν ὑπεξούσιον ἐχρεώστει ἢ ἄλλοι αὐτοῦ ὑπεξούσιοι. εἴτε μετὰ ταῦτα. εὑρ(ήσεις) δ(ὲ) τὰ φορτία τοῖς δανεισταῖς ὑπέκειτο, προτιμοῦνται τοῦ δεσπότου. οὐ πᾶν τὸ πεκούλιον. ἀλλ' ἡ πραγματεία μερίζεται, καὶ τὸ ἐξ αὐτῆς ληφθέντα καὶ ὀφειλόμενον. καὶ τὸ ἐξ αὐτῆς ἀγορασθὲν πεκούλιον. καὶ τὰ ὄντα ἐν τῷ ἐργαστηρίῳ διακονήματα. τοῦτο γὰρ ἀντὶ τῆς δεσποτείας εἶναι πιστεύεται, ἐὰν δύο μέλλοιεν πραγματεῖαι ἢ ἐν διαφόροις τόποις ἐργαστήρια διαφόρους ἔχοντα λογοθέτας κεχωρισμένας ἐπ' αὐτοῖς δανείζεται. οἱ τῆς δὲ τῆς πραγματείας ἢ τοῦδε τοῦ ἐργαστηρίου δανεισταὶ οὐ κοινοῦνται εἰς τὰ φορτία τῆς ἄλλης. εὑρ(ήσεις) δ(ὲ) εἰς ἓν ἐργαστήριον ἔφερε πάντα κοινοῦνται. πάντες καὶ φαίνονται ἐκ τῶν πραγμάτων τοῦ ἑνὸς ἀγορασθέντα δηλαδὴ ὑπέκειντο αὐτῷ. εἰ δὲ ἐπὶ προφάσει φορτίου αὐτὰ δέδωκα καὶ φαίνεται. ἐξ τὴν δεσποτείαν μετέθηκα, πάντες κοινοῦνται.

Περὶ δανειζομένου δούλου:

Πολλάκις ἐπέτρεψεν αὐτῷ οἱ κληρονόμοι φορτίζειν. ἰδοὺ τοῦτο οὐκ ἔστι πραγματεία. ἴσως μὴ διορθῶ τοῦτο ἐναντίον τῷ ε' δ(ὲ) τοῦ ε' κε(φαλαίου). ἐκεῖ γὰρ λέγεται, ὅτι μὴ οἱ παρόντος δεσπότης ἐπιτρέπει αὐτῷ καὶ δανείζεσθαι. ἐνταῦθα δὲ, ὅτι χρὴ ὀφείλεται τὴν τοιαύτην τοῦ δεσπότου ἐπιτροπήν. οὕτω νόει τοῦ, εἰ μὴ δὲ ἀπὸ δεσπότης τοῦ τὸ ἐπιτρέψας, ἐξ ὧν οὐκ ἐκώλυσε αὐτὸν διὰ περιγραφῆς δανείζεσθαι. εἰ δὲ προέγραψεν τοῦ ἐργαστηρίου μὴ δανείζεσθαι αὐτόν, τότε ὁμολογουμένως οὐκ ἐνέχεται. ἵνα τὴν ἐπιτροπὴν ἐκ τοῦ μὴ κωλύειν μὴ δεχώμεθα:

Εἰ καὶ γυνὴ ὑπὲρ ἀλλοτρίων συναλλαγμάτων προεβάλετο ἑαυτήν, οὐκ ἐνέχεται, ἀλλ' ἐνταῦθα οὐκ ἔστιν ἀλλότρια. ἀλλὰ τῆς γυναικός. οὐ κατὰ τὸ ἀλλοτρίων συναλλαγμάτων τὰ ταῦτα ἐκεῖται:

Εἰ δὲ μή, οὐ μειοῦται· ἀλλὰ καὶ ἐκδικεῖ αὐτά. οὐ παύεται γὰρ εἶναι τὸ πρᾶγμα τοῦ ἀπ-
πεπρακότος, εἰ μὴ λάβοι τὸ τίμημα καὶ τὸ ἱκανὸν ἢ ἐπίστευσας. Εἰς δὲ τὸ γ' κεφ. ὁ ἀπολογῶν
ὁ δανειστὴς ἀπὸ τῆς περὶ πεκουλίου ἀγωγῆς ἢ τὴν διαιροῦσαν τὸ κέρδος κινῆσαι.
ὑποστρέφειν δὲ πρὸς τὴν ἑτέραν οὐ δύναται. διαφόρων δὲ ἀγωγῶν, ἑκατέραν
δύναται κινεῖν. Εἰς δὲ τὸ δ' κεφ. ποτὲ μὲν συμφέρει τῷ ἐνάγοντι κινῆσαι τὴν περὶ
πεκουλίου ἀγωγήν, ποτὲ δὲ τὴν διαιροῦσαν τὸ κέρδος. εἰς μὲν γὰρ τὴν διαιροῦσαν
τὸ κέρδος τὰ τοῦ πραγματευτοῦ φορτία φέρεται, καὶ τὸ λειφθὲν ἐξ αὐτῶν. εἰς δὲ τὴν περὶ
πεκουλίου ἀγωγὴν ἅπαν τὸ πεκούλιον συγκείμενον καὶ τὸ φορτίον. συμβαίνει δὲ τὸν
καὶ μηδὲν τὸν πρὸς ἢ τὸν δεσπότην ἀποφέρεσθαι. Εἰς δὲ τὸ ια' κεφ. ὁ δεσπόζων
οἰκέτῃ ἀλλοτρίῳ, ζῶντος τοῦ οἰκέτου δικαίως. μετὰ δὲ τὴν ἐκείνου τελευτὴν ἐντὸς
ἐνιαυτοῦ ἔχει τὴν περὶ πεκουλίου ἀγωγήν. Εἰ δὲ δαπάνημα εἰς τὰ τοῦ δεσπότου πράγ-
ματα ἐγένετο, δικαίως τὴν περὶ τῶν ἀναλωθέντων ἐν τοῖς πράγμασι τοῦ δεσπό-
του ἀγωγήν. Εἰ δὲ ἐλευθέρῳ τινὶ διοικοῦντι πράγματα τινὸς συναλλάξας τις περὶ
αὐτοῦ τὸν φρουμεντάριον διατεθέντα ἐδάνεισας· οὐ δεσποτικὴν ἀγωγὴν ἔχεις κατὰ τοῦ κυρίου
τῶν πραγμάτων. εἰ μὴ ἄρα εἰς τὴν οὐσίαν αὐτοῦ τὰ ὑπερχωρήσαντα ἢ ἔφθασεν
ἐκεῖνος τὸ πραχθὲν δεκτὸν ἀπαιτεῖσθαι. Εἰς δὲ τὸ ιγ' κεφ. ὁ ὑπεξούσιος δεσμώτης
δανεισάμενος, ἢ ἐὰν τὸν πρὸς ἐνετύχετο, καὶ ὑπεξούσιος ὢν κατέχεται εἰς ὁλό-
κληρον. καὶ μετὰ τὸν θάνατον δὲ τοῦ πατρὸς εἰ μὴ κληρονόμος ἐγράφη, πάλιν εἰς ὁλό-
κληρον. Εἰ δὲ οὐκ ἐγράφη κληρονόμος, εἰς ὅσον εὐπορεῖ κατέχεται. Εἰς δὲ τὸ ιζ' κεφ.
ὁ δεσπότης ἰδίῳ ὀνόματι ἔνοχος ἀπαιτεῖται τοῖς τῷ οἰκέτῃ συναλλάξασι. κατέχεται
δὲ τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ, καὶ τῇ περὶ τῶν ἀναλωθέντων εἰς τὰ πράγματα
αὐτοῦ. τότε κατέχεται ὁ δεσπότης τῇ ὑπὲρ τῶν συναλλαγμάτων τοῦ οἰκέτου ἀγωγῇ. ὁ
ἰδικῶς ὁ εἰσὶ τὴν ὑποθήκην [illegible] ὀφείλουσαν δανεισθῆναι ἢ τῷ δούλῳ ἢ τῷ μαθη-
τῇ ἢ τινι τῶν γεωργῶν ἢ τῶν διοικητῶν τοῦ ἀγροῦ. ἐπειδὴ τότε οὐκ ἔστι κατ' αὐτοῦ ἀγω-
γή. ἐὰν παρέθετο διὰ ἐπιστολῆς τῷ δανείσαντι τὸν οἰκέτην ἑαυτοῦ ἢ τοὺς μαθητὰς
ἢ τὸν τοῦ ἀγροῦ διοικητήν. Εἰς δὲ τὸ ιη' κεφ. ἀφ. ἐὰν κελεύσῃ μου ὑπεξούσι-
ος μου συναλλάξαι, εἰς ὁλόκληρον ἐνάγομαι. ἢ ἐὰν μὴ [illegible] πρὸς τὸ τέλους
δαπάνημα εἰς τὰ πράγματά μου, ἢ μηδενὸς τούτων ὄντος ἢ καὶ τοῦ προσταχθέντος
ἀγωγῆς δι' ἧς ὁ δεσπότης εἰς ὁλόκληρον ἐνάγεται τοῖς τῷ ὑπεξουσίῳ συναλλά-
ξασιν. ἢ τῆς διαιρούσης μεταξὺ τοῦ δεσπότου καὶ τῶν συναλλαξάντων τὸ κέρδος
ἀναλόγως, χώρα τῇ περὶ πεκουλίου ἀγωγῇ. Εἰς δὲ τὸ ιβ' κεφ. ὁ δυνάμενος κινῆ-
σαι τὴν κινουμένην ἀγωγὴν κατὰ τοῦ δεσπότου. ἡνίκα ἐκέλευσεν αὐτῷ συναλλά-

ὑ

ζημοῖ δοῦλος αὐτοῦ ἐὰν κινήσῃ τὴν περὶ πεκουλίου, οὐ δύναται μετὰ ταῦτα κινεῖν τὴν
περὶ ἠρημένων ἀγωγήν, εἰ μὴ ἀπαιτηθεὶς ἐκίνησε τὴν περὶ πεκουλίου ἀγωγήν. Ἐν τῷ δὲ
ϛ΄ κεφ. περιέσπασε τὸν δουλούμενον ἐπὶ τὸ δανείζειν καὶ λαμβάνειν ἐνέχυρα. ὁ δὲ λαβὼν
χρυσίον παρά τινος ἀφορίζοντος κειμήλια, καὶ παραδοθεὶς ἀντ' αὐτοῦ εἰς τὸ πληρῶσαι
τὸ περὶ αὐτῷ, ἔφυγεν ἢ καὶ μὴ τοῦτο περιέσπη. ὅμως ἐὰν ἐν πᾶσι τοῦ τόπου μου ἐπι-
χειρῶ, ἐνέχομαι δὲ παρὰ λαβόντι αὐτὸν εἰς τὸ ἀποπληρωθῆναι. εἰ καὶ τὰ μάλιστα ἐπ' αὐτὴν
δοκεῖ τι ὑπὲρ ἄλλου καταβαλεῖν. οὐ μὴν τὸ πρὸ ἑτέρου δέξασθαι. καὶ οὐκ ἐστ' ὠφελεῖν ὁ
δεσπότης ἐκ τῆς τοιαύτης αἰτίας ἐνέχεσθαι, οὔτε δοκεῖ τοῦτο ἐντέλλεσθαι. Ἐν τῷ δὲ
ιδ΄ τ(ίτλῳ) κεφ. α΄. ὁ δανείζων ὑπεξουσίῳ χρήματα οὔτε ἐν τῇ τελευτῇ τοῦ πατρὸς αὐτοῦ ἔχει
ἀπαίτησιν. οἷος δήποτε ἀξιώματος ὁ ὑπεξούσιος κεκώλυται δανείζεσθαι, πλὴν
τοῦ ἔχοντος ἰδιόκτητον πεκούλιον. δανείζεται γὰρ μέχρι τοῦ ποσοῦ ἰδιοκτήτου πεκουλίου. ὁ
γὰρ ὑπεξούσιος ἐν τῷ ἰδιοκτήτῳ πεκουλίῳ, τάξιν ἔχει αὐτεξουσίου. Ἐν τῷ δὲ γ΄ κεφ. θ΄ ζ΄. ἐὰν
ὑπεξούσιος ὁ προεστὼς δανείσηται, ὁ μὲν περιστήσας αὐτόν, ἐνάγεται ἢ κατὰ τοῦ περιστήσαντος κι-
νουμένῃ ἀγωγῇ. αὐτὸς δὲ τὴν τοῦ δόγματος ἔχει παραγραφήν, εἰ μὴ ὁ πατὴρ αὐτὸν τῆς ἰδίας περι-
ουσίας πραγματευτὴν ἢ ἐνέχυρον ἐν τῷ πεκουλίῳ αὐτὸν πραγματεύεσθαι. γινώσκων γὰρ αὐ-
τὸν πραγματεύεσθαι δοκεῖ καὶ τοῦτο ἐπιτρέπειν εἰ μὴ ῥητῶς κωλύσει. ἐὰν τὸ δανεισθὲν
στρέψῃ εἰς τὴν οὐσίαν τοῦ πατρός, καὶ μὴ τοιαύτῃ γνώμῃ ἐδανείσατο, ἀργεῖ τὸ δόγμα. εἰ
μέντοι ἀγνοοῦντι δὲ περὶ τῶν πατρικῶν χρεῶν κατέβαλεν, οὐκ ἔστι δαπάνημα ὑπὲρ πατρός.
καὶ χώρα τῷ δόγματι. ἐὰν λαβὼν δωρεὰν ὁ ὑπεξούσιος καταβάλῃ τῷ δανείσαντι, παν-
τὶ τρόπῳ ἀπαιτεῖ αὐτὰ ὁ πατήρ. οὔτε γὰρ εἶχεν αὐτῶν ὁ υἱὸς τὴν ἐκποίησιν, εἰ μὴ ὁ δωρησά-
μενος ἐπὶ τῷ καταβληθῆναι αὐτὰ τῷ δανειστῇ ἐδωρήσατο. καὶ ἐπὶ ὑπεξουσίων χώρα τῷ
δόγματι κἂν ἐκ τῶν δανεισθέντων ἠγόρασε χρήματα. καὶ ἐπεὶ υἱὸς γὰρ ὅτε ἐδαπανήθη
τὸ δανεισθέν, τότε φαίνεται ἐν τῷ πεκουλίῳ χώρα τῷ δόγματι. ὁ ὑπεξούσιος καὶ οἱ
παρεμβάλλοντες, εἰ καὶ διηνεκῆ ἔχουσι παραγραφήν. ὅμως καταβάλλοντες, οὐκ ἀνα-
λαμβάνουσιν. ἡ γὰρ τοιαύτη παραγραφή, οὐ διὰ εὔνοιαν αὐτῶν, ἀλλὰ διὰ μῖσος εἰσή-
χθη τοῦ ἐνάγοντος, καὶ φυσικαῖς ἐνέχονται. Ἐν τῷ δὲ ι΄ κεφ. ἐὰν ὁ υἱὸς δανεισάμενος
ἐπιδῷ προῖκα ὑπὲρ τῆς ἀδελφῆς, ἐνάγεται ὁ πατὴρ ὡς ἂν τὰ δανεισθέντα εἰς αὐτὸν
ἐδαπανήθησαν. αὐτὸς γὰρ ἔχει τὴν αὔξησιν τῆς προικὸς ἀποθνησκούσης αὐτῆς ἐν
τῷ γάμῳ. Ἐν τῷ δὲ ιϛ΄ κεφ. ἐπὶ δανείου μόνου χώρα τῷ δόγματι. ἐὰν δὲ ἐξ ἀγορασίας
χρεωστήσῃ ὁ ὑπεξούσιος, ἀργεῖ τὸ δόγμα. Ἐν τῷ δὲ ιη΄ κεφ. ἐὰν ὑπεξούσιος δανεί-
σηται χρεωστείων σπουδασμάτων, ἢ πρὸς τὸ ἕνεκεν ἀπολιμπανόμενος, ἀργεῖ τὸ
δόγμα. κατέχεται οὖν καὶ αὐτὸς καὶ ὁ πατὴρ οὐ μόνον περὶ τοῦ αὐτοῦ. ἀλλὰ ἐκ μὲν

θάνατον ἐντὸς ἐνιαυτοῦ· ἐκφεύγει κατὰ κέλευσιν τοῦ πραίτορος τὸ δάνειον, εἴτε οὐδὲ τὰ
τὰ δεδαπανημένα τὰ δανεισθέντα ζητοῦμεν· ἀλλὰ καὶ δυνατῶς ἐστιν ἡ ἀγωγὴ κατὰ τοῦ πατρός.
Ἐν δὲ τῷ ε΄ τ΄ κεφ. τοῦ α΄ θεμ. ὁ συναλλάξας δούλῳ ἢ δούλῃ, ἔχει τὴν περὶ πεκουλίου ἀγω-
γήν. εἰ δὲ ἄνηβος ἐστιν ὁ συναλλάξας υἱὸς ἢ δοῦλος, τότε ἁρμόζει, ὅτε τὸ πεκούλιον γέ-
γονεν εὐπορώτερον. οὐ μόνον δὲ ὀνόματι τῶν ἰδίων καὶ τῶν κοινῶν δούλων ἐναγόμε-
θα· ἀλλὰ καὶ τῶν καλῇ πίστει δουλευόντων ἡμῖν ἐλευθέρων τε καὶ δούλων ἀλλοτρί-
ων. Ἐν δὲ τῷ ις΄ κεφ. ὁ δοῦλος τοῦ δούλου καὶ πεκούλιον ἐστὶ τοῦ πρώτου δούλου.
τὸ οὖν χρεωστούμενον τῷ δεσπότῃ παρὰ τοῦ πρώτου δούλου, ὅταν δὲ χρεωστῆται παρὰ
τοῦ δούλου τοῦ δούλου, οὐχ ὑπεξαιρεῖται ἐκ τοῦ πεκουλίου τοῦ πρώτου δούλου· ἀλλ'
ἀπὸ μόνου τοῦ αὐτοῦ. εἴτε τῷ δεσπότῃ εἴτε τῷ πρώτῳ δούλῳ χρεωστεῖ. ὅταν δὲ ὁ πρῶ-
τος δοῦλος χρεωστεῖ τῷ δούλῳ αὐτοῦ οὐχ ὑπεξαιρεῖται μέν· αὔξει δὲ τὸ πεκούλιον
τοῦ δούλου τοῦ δούλου. ὥσπερ ὅτε χρεωστεῖ τῷ δούλῳ ὁ δεσπότης. Ἐν δὲ τῷ κβ΄
κεφ. τοῦ πεκουλίου ἐστὶν ἡ ἐσθὴς ἣν ὁ δεσπότης παρέσχε τῷ δούλῳ ἐπὶ τὸ αὐτὸν
μόνον αὐτῇ διηνεκῶς κεχρῆσθαι καὶ ἐπὶ τὸ τὸ φυλάττεσθαι παρ' αὐτοῦ. εἰ δὲ πρὸς
δήλην χρῆσιν ἢ καιρὸν ἔδωκεν ὡρισμένον ἵνα λοιπὸν ὅτε ἀκολουθῇ ἢ ὑπηρετῇ κέχρη-
ται αὐτῇ, οὐκέτι πεκούλιον. Ἐν δὲ τῷ λβ΄ κεφ. κατὰ νόμον οὔτε χρεωστεῖ δοῦλος, οὔτε
χρεωστεῖται. τὰ γὰρ παρ' αὐτοῦ χρεωστούμενα, ὁ δεσπότης ἀπαιτεῖ. περὶ δὲ τῶν παρ' αὐ-
τοῦ χρεωστουμένων, ἐνάγεται τῇ περὶ τοῦ πεκουλίου ἀγωγῇ, ἢ τῇ περὶ δαπανημά-
των τῶν γενομένων εἰς τὰ τοῦ δεσπότου πράγματα. Ἐν δὲ τῷ λα΄ κεφ. ἐὰν μὲν πε-
κατάρξιν τῆς περὶ τοῦ πεκουλίου ἀγωγῆς τελευτήσῃ ὁ δοῦλος, ἐνέχεται ὁ πρὸ αὐτῆς καὶ ὁ
μετὰ τὸν κληθέντα παρὰ τῷ ἀγορασθῆναι πεκουλίου. Ἐν δὲ τῷ λε΄ κεφ. ὁ συναλλάξας υἱῷ
τῷ ὑπεξουσίῳ, αὐτὸν μὲν εἰς ὁλόκληρον, ἔνοχον ἔχει· τὸν δὲ πατέρα τῇ περὶ τοῦ πεκου-
λίου ἐνάγεται ὁ υἱός. Ἐν δὲ τῷ λς΄ κεφ. ὁ συγχωρῶν τῷ ὑπεξουσίῳ διοικεῖν τὸ πε-
κούλιον, ἐκεῖνα δοκεῖ γενικῶς ἐπιτρέπειν, ἅπερ ἰδικῶς ἐπιτρέπειν ἔμελλεν.
Ἐν δὲ τῷ λζ΄ κεφ. ἀπὸ τῆς ἐπιτυχίας τοῦ δούλου, οὐκ ἐνάγεται ὁ δεσπότης, εἰ μὴ εἰς
πρᾶγμα τοῦ δεσπότου ἢ τοῦ πεκουλίου ἐνεστύχανε. Ἐν δὲ τῷ ς΄ τ΄ κεφ. τοῦ α΄ θεμ. ἐφ'
ὅσον ἐστὶν ὑπεξούσιος υἱὸς ἢ δοῦλος, διηνεκῶς ἁρμόζει ἡ περὶ τοῦ πεκουλίου ἀγω-
γή. μετὰ δὲ θάνατον ἢ ἐκποίησιν ἢ αὐτεξουσιότητα ἢ ἐλευθερίαν, ἐνιαυσιαία ἐστίν. ὁ δὲ
ἐνιαυτὸς συναπτός ἐστιν, ἀρχόμενος ἀφ' οὗ τις εὐχέρειαν σχοίη τοῦ κινῆσαι· ὅθεν ἐπὶ
τοῦ αἱρετικοῦ χρέους, οὐκ ἀπὸ τῆς αὐτεξουσιότητος· ἀλλ' ἀπὸ τῆς ἐκβάσεως τῆς αἱ-
ρέσεως ἀριθμεῖται. κινεῖται δὲ εἰς τὸ πεκούλιον καὶ εἰς ὃ γέγονεν ἤτοι τὸ πεκού-
λιον κατὰ δόλον, τοῦ τὸν ὑπεξούσιον ἔχοντος. Ἐν δὲ τῷ β΄ κεφ. ἐὰν ἀπὸ τῆς περὶ

[Margin, beside line 8:] ὑπεξαιρεῖται καὶ ἐκ τοῦ πεκουλίου τοῦ δούλου τοῦ δούλου.

[Margin, beside line 25:] περὶ ἐπιτυχίας δούλου :

ύ·

χρεῶν αἰτίας κινεῖται κατὰ θάνατον τῆς ὑπεξουσίου ἢ τοῦ ἐξουσιαζομένου μετὰ τὴν
τὴν τοῦ υἱοῦ κινεῖται· τὸ αὐτὸ καὶ ἐπὶ πασῶν τῶν προσκαίρων αἰτιῶν· εἰ καὶ γὰρ
θανάτῳ καὶ τῇ ἐλευθερίᾳ τοῦ δούλου παύεται εἶναι πεκούλιον· ὅμως κατὰ θάνατον
αὐτοῦ τῆς ἐνιαυσιαίου αἰτίας κινουμένης σκοπεῖται ἡ αὔξησις αὐτοῦ καὶ ἡ μεί-
ωσις. Εἰς τὸ δὲ ζ΄ τ΄ κε΄ α΄ φη΄. ἡνίκα τὸ ληφθὲν ὁ δοῦλος εἰς τὰ τοῦ δεσπότου δαπα-
νήσῃ, ἀναγκαία ἐστὶ ἡ δανεισαντι ἡ περὶ δαπάνης αἰτία. εἰ γὰρ ὅτε οὐκ ἔστι πεκού-
λιον ἢ ἧττόν ἐστι τὸ πεκούλιον τοῦ χρέους. ἢ χωρὶς δόλου ἀφῃρέθη ἢ ἀπέθανεν ὁ
ὑπεξούσιος, καὶ παρῆλθεν ὁ ἐνιαυτός, ὡς μὴ ἔχειν χώραν τὴν περὶ τοῦ πεκουλίου
αἰτίαν. ἡ γὰρ περὶ τῆς δαπάνης αἰτία, καὶ διηνεκής ἐστιν, καὶ κινεῖται μὴ ὄντος πε-
κουλίου. Εἰς τὸ δὲ ε΄ κε΄. κανονικῶς τότε χώραν ἡ περὶ δαπάνης αἰτία. ὅτε ἐπὶ πλου-
σιώτερος ὁ δαπανήσας ἔμελλεν ἔχειν τὴν περὶ ἐκβλῆς αἰτίαν. καὶ ὁ τότε ὁ δοῦ-
λος δαπανήσας κρείττονα ἢ χείρονα ποιήσει τὰ τοῦ δεσπότου, καὶ ἔνθα δανεισάμε-
νος ἑαυτὸν ἀποθρέψει ἢ ἐνδύσει πρὸς τὴν ζημιοῦσθαι τοῦ δεσπότου, τὸ αὐτὸ καὶ περὶ
υἱοῦ. εἰ δὲ τὰ εἰς ταῦτα ἔργα ποιήσει ἄπρου καὶ ὁ δεσπότης ἐποίει, οὐκ ἔστι δαπά-
νημα· ἀλλὰ ἀνάγκην ὁ δεσπότης ἔχει συγχωρεῖσθαι τοῖς δανεισταῖς περί γε αὐτὸ χω-
εἰς τὸ βλάψαι τὸ οἰκεῖον ἵνα μὴ ἀναγκασθῇ διὰ τὴν ἀπόδοσιν πωλεῖσθαι τὸ οἰκεῖον.
οὔτε γὰρ φροντιστὰς τοιαῦτα δαπανῶν πραγμάτων ἢ ἐν τῷ λοιπῷ τοῦ δεσπότου ἔχει ἀ-
παίτησιν. ἐπὶ μὲν τῶν ἀναγκαίως ἀγοραζομένων· ὅλον τὸ διδόμενον δαπάνημα
ἐστιν. κἂν μὴ δέηται ὁ δεσπότης ἢ γίνεται. ἐπὶ δὲ τῶν οὐκ ἀναγκαίων δέ, ἐκ ἀναγκαί-
ων δὲ ἀγοραζομένων δαπάνημα ἐστὶ τὸ ἀληθὲς τίμημα. Εἰς τὸ δὲ γ΄ κε΄ τὸ β΄. Ἐὰν
εἰς πράττειν τῷ πατρί μου δανείσωμαι καὶ προικίσω τὴν θυγατέρα μου, δαπάνημα
ἐστί. τὸ αὐτὸ κἂν ἀδελφὴν ἢ ἐξ ἄλλου ἀδελφοῦ ἐκγόνην τοῦ πατρός μου προικίσω, κἂν
δοῦλος δανεισάμενος προικίσῃ τὴν θυγατέρα τοῦ δεσπότου. Εἰς τὸ δὲ ε΄ κε΄. Ἐὰν ἐγ-
γυησάμενος ὁ παῖς τοῦ πατρὸς καταβάλῃ, δαπάνημα ἐστιν ἐλευθεροῖ γὰρ αὐτόν. ὡς
γὰρ καὶ ὅτε δικαιώσας αὐτὸν καταδικασθῇ, ὑποδεχόμενος γὰρ τὴν αἰτίαν αὐ-
τοῦ, ἐλευθεροῖ αὐτόν. Εἰς τὸ δὲ ς΄ κε΄. Ἐὰν ὁ υἱὸς ἢ δοῦλος ἀγρὸν ἀγοράσῃ τῷ πα-
τρὶ ἢ τῷ δεσπότῃ, δαπάνημα ἐστί· καὶ εἰ μὲν ἧττονος ἄξιός ἐστι, τὸ ἀληθὲς τίμημα λο-
γίζεται. εἰ δὲ πλείονος, μόνον τὸ δοθέν. Εἰς τὸ δὲ η΄ κε΄. Ἐὰν υἱὸς ὑπὲρ πατρὸς ἀντιφω-
νήσῃ. τότε δαπάνημα ποιεῖ, ὅτε καταβάλλει. Εἰς τὸ δὲ ι΄ τ΄ κε΄ α΄. Εἴτε ἐπὶ μαρ-
τύρων ἐπιτρέψω μοι τὸ συνάξαι τῷ δούλῳ αὐτοῦ εἴτε δι᾽ ἐπιστολῆς· εἴτε ψιλοῖς
ῥήμασιν· εἴτε δι᾽ ἀγγέλου· εἴτε ἐφ᾽ ἑνὶ πράγματι εἴτε γενικῶς εἴτε οὕτως ὅπως θέ-
λεις σύναξον τῷ δεσπότῃ τῷ δούλῳ μου εἰς ὁλόκληρον, ὡς αὐτὸς συναλλάξας ἐνέχεται.

ἐπεὶ μὴ νόμος ἰδιωτικὸς τοῦτο κωλύει. ἔξεστι δὲ αὐτῷ πρὶν ἢ συναλλάξῃ τὴν ἰδίαν
ἀναγκάζεσθαι κηρύσσειν καὶ δηλοῦν μὴ ποιεῖν. οὕτως ἔξεστι καὶ ἐπὶ τῶν λοιπῶν. εἰ
δὲ καὶ ἐνάγηται ὁ πατὴρ ἢ ὁ δεσπότης τῇ κατ' αὐτοῦ ἀγωγῇ ὡς ἐπιτρέψαντος, οὐ μὴν
ἐὰν ἐπιγνῶσι(?) τὸν δοῦλον. καὶ ἐὰν δεκτὸν ἐπιστῶνται(?) τὸ πραχθὲν παρὰ τοῦ υἱοῦ ἢ τοῦ
δούλου, χώρα τῇ κατὰ τοῦ δεσπότου ἀγωγῇ ὡς ἐπιτρέψαντος. ἐν δὲ τῷ ε κεφ. ἐὰν
πατὴρ ἢ δεσπότης μέλλων δανείζεσθαι κηρύσσῃ ἀπιστηθῆναι(?) τῷ υἱῷ ἢ τῷ δούλῳ,
οὐχ ὡς ἐπιτρέψας πραγματεύεσθαι, ἀλλὰ τῷ δανειστῇ ἐνάγεται. ἀνάγνωθι καὶ β ζ
τί. ε κεφ. νζ ἐν τῷ … ὁ ὑπεξούσιος καὶ ἀπὸ συναλλαγμάτων καὶ ἀπὸ ἁμαρτη-
μάτων ἐνάγεται. καὶ τελευτῶντος αὐτοῦ … μεταβαίνει ἡ δίκη πρὸς
τὸν πατέρα μέχρι τοῦ πεκουλίου καὶ τοῦ … περὶ τὰ τοῦ πρὸς πράγματα.
ἀνάγνωθι καὶ τί. ιε τ. α κεφ. μα καὶ νη. καὶ τί. α κεφ. ις καὶ ιζ καὶ κ καὶ κβ. ἀνάγνωθι καὶ β
ιζ τί. α. καὶ κεφ. ιγ καὶ ιε ἐν τῷ … Δοῦλος διοικῶν τινὸς πράγματα, καὶ τὴν ἐ-
λευθερίαν ἐπιμείνας τῇ διοικήσει. οὔτε τῇ περὶ τῶν λοιπῶν ἀγωγῇ. οὔτε τῇ περὶ διοική-
σεως ἐνέχεται εἰς ἃ ἐπὶ τῷ καιρῷ δουλείας διῴκησεν. εἰ μὴ ἄρα οὕτως ἑκατέρα δι-
οίκησις ἥνωται ὡς μὴ δύνασθαι τοὺς λογισμοὺς αὐτῶν χωρίζεσθαι. ἀνάγνωθι καὶ β ιθ
τί. ι κεφ. να … ἐν τῷ … οὐ τὸ διάστημα τῆς δουλείας διακρίνει τὸν νεώνητον καὶ
μὴ ἐντεθέντα τῶν τῆς πόλεως ἔθιμον(?) ἐκ τοῦ προβληθέντος δούλου ποιεῖν ἀποιοῦ-(?)
σιν ἐλευθερ… ἀλλὰ τὸ γένος καὶ ἡ αἰτία. καὶ νεώνητοι γὰρ ἐὰν ἀγορασθῶσι παρὰ τῶν
μαγκιπόρων(?) καὶ προσταθῶσιν αὐτοὶ ὑπουργεῖν, ἔμπειροι δοκοῦσι. καὶ οὐ διαφέ-
ρομεν εἰ οἶδε ῥωμαΐζειν ἢ μὴ οἶδε παιδευθεὶς ἐλευθερίας σπουδάσματα, καὶ αὐ-
τὸ τοῦτο ἔμπειρος ἐστίν. ἀνάγνωθι καὶ β κ τ. α κεφ. κθ. καὶ β κς τ. ζ κεφ. μα ἐν τῷ …
ἡ ἀποκαταστατικὴ ἀγωγὴ καὶ ἡ κατὰ τοῦ προστάτου ἀγωγή. διηνεκεῖς εἰσιν. ἁρμόζου-
σι κληρονόμοις καὶ κατὰ κληρονόμων. ἀνάγνωθι καὶ β ξ τ. ε … ἐν τῷ α κεφ. …
αἱ νοξαλίαι κατὰ τῶν δεσποτῶν ἁρμόζουσιν ἀπὸ τῶν ἁμαρτημάτων τῶν δούλων. ὁ
ἔξεστιν αὐτοῖς καταδικασθέντων ἐκδοῦναι τοὺς ἡμαρτηκότας, καὶ φυγεῖν τὴν ἀ-
ποτίμησιν(?) τῆς δίκης. ἐν δὲ τῷ β κεφ. ἐὰν εἰδότος τοῦ δεσπότου φονεύσῃ δοῦλος.
ὁ δεσπότης ὡς φονεύσας δοκεῖ ἐνάγεται. εἰ δὲ ἀγνοοῦντος, νοξαλία ἁρμόζει. ὁ δὲ
μὴ κωλύσας δεσπότης ἐνέχεται, καὶ ἐὰν … ἐλευθερωθῇ ὁ δοῦλος. καὶ αὐτὸς
δὲ ὁ πλημμελήσας ἐνέχεται κατὰ τὸν κανόνα τὸν λέγοντα. τὸ ἁμάρτημα τῇ κεφαλῇ ἀ-
κολουθεῖ. εἰ δὲ ὁ δεσπότης ἐκέλευσε τῷ δούλῳ πλημμελῆσαι. αὐτὸς μόνος ἰδίῳ
ὀνόματι, οὐ μὴν ὁ πλημμελήσας ἐνέχεται. εἰ δὲ δοῦλος εἰδότος τοῦ δεσπότου κλέ-
ψῃ ἢ ἄλλο τι πλημμελήσῃ. νοξάλιος καὶ οὐκ ἰδίῳ ὀνόματι ὁ δεσπότης κατὰ τοῦ

δυοκαιδεκαδέλτων ἐνάγεται. ὡς ἐπὶ ἐκείνου τοῦ νόμου διδόντος ἀγωγὴν τοῖς
δούλοις μὴ πειθαρχοῦσι τοῖς δεσπόταις. ἐπὶ δὲ τοῦ ἀκουιλίου συγχωροῦντος αὐ-
τοῖς πειθαρχοῦσιν. ἀλλ' ἐπειδὴ καὶ ἑτέρων περὶ ἐνεχθέντων οἱ μεταγενέστεροι κανονί-
ζονται, καὶ ἐπὶ τοῦ ἀκουιλίου καὶ νοξάλιος ὁ δεσπότης ὀνόματι τοῦ δούλου ἐνάγε-
ται. ἐν δὲ τῷ ϛ΄ κε(φαλαίῳ). ἐν πάσαις ταῖς νοξαλίαις, ὁ δόλος τοῦ δεσπότου λέγεται, ὅτε δυ-
νάμενος οὐκ ἐκώλυσεν. ἐν δὲ τῷ ζ΄ κε(φαλαίῳ). ὅτε γινώσκει ὁ δεσπότης καὶ ἰδίῳ ὀνό-
ματι καὶ νοξάλιος ἐνάγεται. μιᾶς δὲ ποινῆς ἀπαιτηθείσης, ἣν ἂν ὁ ἐνάγων ἐπι-
λέξηται, ἀναιρεῖται ἡ ἄλλη. εἴτε δὲ τὴν νοξαλίαν εἴτε τὴν ἰδίῳ ὀνόματι κινήσει. δύνα-
ται πρὸ ψήφου μεταβαίνειν καταλιμπάνων αὐτὴν καὶ τὴν ἑτέραν κινεῖν. μετὰ δὲ ψῆφον, ἐπὶ
δὲ παντὶ πράγματι ἀντίκειται ἡ περὶ τοῦ πράγματος κρίσις, ἥτις ἐκβάλλει τὸν ἐνάγοντα.
ἐν δὲ τῷ η΄ κε(φαλαίῳ). ὁ γινώσκων καὶ εἰς ὁλόκληρον ἐνάγεται. καὶ μετὰ τὸ ἐκποιηθῆναι ἢ ἀπο-
θανεῖν τὸν δοῦλον ἐνέχεται, οὐ μὴν ὁ κληρονόμος αὐτοῦ. ἐν δὲ τῷ ι΄ κε(φαλαίῳ). ἐὰν παρὰ πλειό-
νων ἐνάγομαι νοξαλίως προφάσει τοῦ αὐτοῦ δούλου, ὁ πρῶτος νικήσας λαμβάνει αὐτόν
καὶ οὐχ ὑπόκειμαι τοῖς μετὰ ταῦτα νικῶσι κἂν πρῶτοι ἐνήγαγον. εἰ δὲ ὑπὸ αἵρεσιν ἐλευ-
θερωθησόμενος ἦν. καὶ πρὸ ψήφου τῆς αἱρέσεως ἐκβάσης ἐλευθερωθεὶς παρὰ
χωρῇ μεταλαβεῖν, ἐλευθεροῦται. ὥσπερ καὶ πρὸ ψήφου ἀποκαταστάσει ἐλευθερίαν
αὐτῷ ἐπιστῇ. ὁ δοὺς ὅμως περὶ ἐκνικήσεως ἀσφαλίζεσθαι ἐξ οἰκείου ἔργου συμβαι-
νούσης. ἐν δὲ τῷ κ΄ κε(φαλαίῳ). μὴ θέλων ὁ δεσπότης ἐναχθῆναι τῇ νοξαλίᾳ, ἐκδιδότω τὸν δοῦ-
λον. τοῦτο γὰρ μὴ ποιῶν, ἐνάγεται. οὐ καταδικάζεται δὲ εἰ μὴ νέμεται ἢ δόλῳ ἐπαύσατο.
ἐν δὲ τῷ κα΄ κε(φαλαίῳ). ὁ δεσπότης ὁμολογῶν ἔχειν τὸν δοῦλον, ἢ παραιτεῖται αὐτὸν ἢ ἀποτίνα
δίκην δικηθείς. ἐπὶ δὲ τὸ διαφέρον καταδικάζεται ὡσανεὶ πεισθεὶς μὴ ἐκδιδοὺς αὐτόν.
ἀρνουμένου τοῦ δεσπότου ἔχειν τὸν δοῦλον. ἐπιλέγεται τῷ ἐνάγοντι ἢ ὅρκον ἐπιφέρειν
ἢ ἐνάγειν εἰς τὸ διαφέρον. καὶ ἐὰν ἀποδείξῃ αὐτὸν ἢ δόλῳ παυσάμενον, νικᾷ. εἰ δὲ
μὴ ἐκπίπτει τῆς ὑποθέσεως. ἐν δὲ τῷ κε΄ κε(φαλαίῳ). οὐ μόνος ὁ μὴ ἔχων τὸν δοῦλον οὐκ ἀνα-
γκάζεται ἐναχθῆναι. ἀλλὰ καὶ ὁ ἔχων μέν, παραχωρῶν δὲ τῷ ἐνάγοντι τοῦ ἰδίου δικαίου, ὡσ-
ανεὶ καταδικασθῇ. ἐν δὲ τῷ κζ΄ κε(φαλαίῳ). ἐὰν ὁ φαμιλιάριός μου κλέψῃ καὶ μὴ θέλω ἐκδοῦναι
αὐτόν, τοσοῦτον δίδωμι ὅσον εἷς ἐλεύθερος κλέψας. τουτέστι τὸ διπλοῦν. καὶ τὴν τοῦ
πράγματος διατίμησιν. ἐν δὲ τῷ λη΄ κε(φαλαίῳ). αἱ νοξαλίαι διηνεκεῖς εἰσί, καὶ χώραν ἔχουσιν
ἐφ' ὅσον ὁ ἐναγόμενος ἐκδοῦναι δύναται. καὶ ἁρμόζουσι κληρονόμοις καὶ κατὰ κλη-
ρονόμων. οὐχ ὡς κληρονόμων, ἀλλ' ὡς δεσποτῶν. ὅθεν μετὰ ἐκποίησιν καὶ ὁ νέος
δεσπότης ἐνάγεται. ἔνθα οἱ δοῦλοι ἥμαρτον, ὀφείλουσι παραιτεῖσθαι, καὶ δικάζεσ-
θαι. καὶ μὴ δικάζηται ὁ δεσπότης, παύονται ἔργα. ἐν δὲ τῷ μβ΄ κε(φαλαίῳ). ἡ χ(ρήσεως) ὁμοία

τῇ β' καὶ τῇ γ' καὶ λέγει· ὅτι ὁ δεσπότης ἀγνοῶν τὸ πλάσμα τοῦ οἰκέτου, νοξάλιος μό-
νου κατέχεται. ἰδοὺ γὰρ ἰδίῳ ὀνόματι· δηλῶν γὰρ τὸ τῆς διὰ νόμιμον τοιοῦτόν ἐστιν· ὅτι ἐὰν
οἰκέτης ἀλλότριος ἁρπάσῃ· διὰ τοῦ ἐξ ἐναντίου τὸ τετραπλοῦν ζητεῖται ἡ περὶ ἁρπαγῆς περὶ
πάντων ἀγωγή· μετὰ δὲ τὸν ἐνιαυτόν, εἰς τὸ ἁπλοῦν. ἤγουν ἐφ' ᾧ δοθῆναι τὸν οἰκέτην εἰς νο-
ξὰν ἢ κατέχεσθαι τὸν δεσπότην αὐτοῦ, καὶ εἰς τὸ πειθήνιον εἰς αὐτόν. εἰ δὲ ζῶντος τοῦ δε-
σπότου ἥρπασεν, εἰς τὸ διαφέρον ἐνέχεται ὁ δεσπότης πάντων· τουτέστιν ἢ εἰς τὸ τετρα-
πλοῦν ἢ εἰς τὸ ἁπλοῦν. εἰ δὲ τὴν σὴν ταμείαν ἥρπασεν καὶ αὐτοῦ τοῦ οἰκέτου κίνδυνον
τὸ δημόσιον ἔγκλημα. ἀνάγνωθι καὶ τὸ ς' κεφ. λε' τίτ. ιβ' καὶ ιζ' κεφ. νγ' τίτ. ς' βιβ. ἐὰν δύο δοῦ-
λοι τοῦ ἀργύρου καὶ ἐσθῆτα μου κλέψωσι, καὶ κινεῖται κατὰ τοῦ περὶ τοῦ ἑνὸς ἀπαιτ(ήσεως)
ἀγωγή. κἀγὼ περὶ τοῦ ἄλλου κινῶ ἀπαίτησιν ἀργύρου. καὶ κεφ. νς' καὶ τὸ να' κεφ. λα':

ε' ἀνάγν. ε' ν. πα.

**περὶ ὑπεξουσίων καὶ λύσεως ὑπεξουσιότητος· (ἤγουν) ἀῦθις ὑπεξού-
σιοι. καὶ ὅτι ἐὰν ἀγάμιστοι φανῶσιν οἱ λυθέντες τῆς ὑπεξουσιότητος, (γί-
νονται) καὶ αὖθις ὑπεξούσιοι. ἀνάγνωθι β' τίτ. α' κεφ. ι' βιβ. β' ἐν τῷ φύσει:**

Ὁ δὲ γαμβρὸς τοῦ χειροτονουμένου ἐπισκόπου ὑπὸ τὴν τοῦ ἰδίου γονέως ἐξουσίαν εἶναι.
ἐξ αὐτῆς τῆς χειροτονίας αὐτεξούσιος ἔσται. ἀνάγνωθι καὶ β' λα' τίτ. α' θέματος ἐν τῷ δ' κεφ. βιβ. ἐ-
οὶ ἐξ ἀρρένων ἐγγονοι ἢ μετὰ καὶ οἱ ἐφεξῆς ὑπεξούσιοι γίνονται. ἐν δὲ τῷ δ' κεφ.
ἐὰν ὁ γονεὺς μου τὴν πολιτείαν ἀπολέσῃ, ἢ ὑπεύθυνος γένηται ποινῆς ἐξ αὐτοῦ ἐκγό-
νος εἰς τόπον αὐτοῦ ὑπεισέρχεται. ὁ μαινόμενος ἔχει τοὺς παῖδας ὑπεξουσίους, καὶ
τοὺς πρὸ τῆς μανίας, καὶ τοὺς μετ' αὐτὴν τεχθέντας ἢ συλληφθέντας. ἀνάγνωθι καὶ τ. γ' θέματος
ἐν τῷ ζ' κεφ. βιβ. εἴ τις δέ ποτε τὸν παῖδα ἀγάμιστος ὁ πατὴρ περὶ τοῦ διεργεῖν ταῦτα
γενεά, καὶ ὅτε ὁ χαλαστήριον αὐτῷ πεποιηκώς, δεῖ ἄλλως πῶς ὑβριστικῶς διαγενόμενος,
ἐκπίπτει τῆς ἡγεμονίας, καὶ ὑπεξούσιος πάλιν ἔσται. ἀνάγνωθι καὶ τ. δ' θέματος ἐν τῷ γ'
κεφ. βιβ. διαμένει τὴν τοῦ παιδὸς ὑπεξουσιότητα, καὶ ὁ πρεσβύτερος τοῦ πατρὸς. καὶ ὡς
πρὸ τῆς αὐτοῦ ἡγεμονίας, οὕτω καὶ τῷ πρεσβυτέρῳ αὐτοῦ παύεται ὁ παῖς αὐτοῦ εἶναι ὑ-
πεξούσιος. εἰ μέντοι ἐκ βασιλέως φιλανθρωπίας ἀνακληθεὶς ἀπολάβῃ τὴν πολιτείαν.
ἅπαντα αὐτῷ εἰς τὴν ἀρχαίαν ἀποκαθίσταται τάξιν. ἀλλὰ καὶ ὁ (γενόμενος) ὑπεξούσιος
ἢ ἔπαρχος ἢ στρατηγὸς ἢ ἐπίσκοπος. πρὸ τοῦ τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλ-
λάττεται. καὶ ὁ γαμβρὸς δὲ τὸν πατέρα αἰχμαλωτισθῆναι. διὰ τῆς αἰχμαλωσίας ἀναρρε-
θεὶ μὲν ὁ υἱὸς αὐτοῦ ὑπεξούσιος. οὐ μόνον πρὸς τὸν μετέπειτα χρόνον. ἀλλὰ καὶ
τὸν τῆς αἰχμαλωσίας καιρὸν νομίζεται ὑπεξούσιος. εἰ δὲ παρὰ τοῖς πολεμίοις τελευτή-
σει ὁ πατήρ. ἐκ τοῦ καιροῦ τῆς ἁλώσεως δοκεῖ γίνεσθαι ὁ παῖς αὐτεξούσιος. ὅθεν καὶ ὁ
γαμβρὸς ἵνα δύο παῖδας ἔχοντα καὶ διαχιλίων ὑπερουσίαν χιλιάσθηναι ὑπὸ τῶν

ι΄

λεγομένων· καὶ τὸ μὲν τῶν παίδων προσῆκον οὐ λαβεῖν τὰ χίλια αὐτοῦ καὶ διὰ ἐμπορείας κερδᾶναι ἕτερα χίλια. τὸ δ' ἕτερον ἐάσθω μηδὲν προσκτήσασθαι καὶ τελευτήσαντος παρὰ τοῖς πολεμίοις ὁ πατήρ· τὰ μὲν ἀρχαῖα δισχίλια αὐτοῦ συμμερίζονται οἱ παῖδες ἐξ ἴσου, ὡς ὅταν πατρῴου κλήρου. τὰ δ' ἕτερα χίλια αὐτοῦ μόνος ὁ ἐμπορευσάμενος καὶ κερδάνας υἱὸς λαμβάνει. αἰχμάλωτος ἐκείνου γενόμενος αὐτεξούσιος, ἐξ οὗ ὁ κοινὸς ᾐχμαλωτίσθη πατήρ· διαλύει τῆς ὑπεξουσιότητος καὶ τὸ προσῆκον τοὺς τοὺς ἁρμοδίῳ δικαστῇ ἢ ἄρχουσι. καὶ τοὺς οἰκείους υἱοὺς ἢ θυγατέρας ἢ ἐκγόνους καὶ τοὺς ἐφεξῆς· τῆς οἰκείας ἐλευθεροῦν ὑπεξουσιότητος. λέγοντας ὅτι τούτους δὲ ποιῶ αὐτεξουσίους, καὶ τῆς ἐμῆς ἀφίημι χειρός. δύναται δ' οὗτος τὸν υἱὸν ποιεῖν αὐτεξούσιον. τοὺς δ' ἐκγόνους κρατεῖν ὑπεξουσίους. καὶ τὸ ἀνάπαλιν. αὐτ. καὶ τ. ε΄ διάταξις ἐν τῷ α΄ κεφ. θεμ. Θεσπίζομεν τούς τε ἐμβαθμους ὑπάτους, τοὺς πρὶν ὑπεξουσίοις ἤτοι ἐν. ἅμα τῷ ῥηθῆναι τοιαύτην αὐτοῖς χαριζομένῳ τὴν τάξιν, τοῖς αὐτεξουσιότητα φέρεσθαι. καὶ πρός γε τοῖς τιμωμένοις παρὰ τῆς βασιλείας ὑπατικοῖς συμβόλοις τοὺς πρὶν ὑπὸ τὴν τῶν πατέρων ἤτοι ἐν χειρὶ γίνεσθαι τὸ σύμβολον αὐτεξουσιότητος πρόφασιν. αὐτ. καὶ β΄ νζ΄ τ. β΄ ἐν τῷ θεμ. περὶ πεκουλίου. διάταξις ἐν τῷ κγ΄ κεφ. θεμ. ὁ ὑπεξούσιος δικάζεται πολλάκις ἢ κινεῖ περὶ τὸν ... πλὴν μόνου τὸ στρατιωτικὸν πεκούλιον:–

**περὶ ὑπερθέσεων. αὐτ. β΄ ζ΄ τ. ιζ΄ κεφ. ζ΄ ἐν τῷ θεμ. φλσιν:–**

Ἐπὶ ζητήσει δικαιωμάτων, καὶ πολλάκις δίδονται ὑπερθέσεις. μάλιστα ἐὰν ἀπρόοπτον τι ἀναφανῇ. αὐτ. καὶ β΄ θ΄ τ. γ΄ κεφ. πα΄ ἐν τῷ θεμ. ἐὰν μετὰ τὴν καταδίκην ὑπερθῆται ὁ ἐναγόμενος, καὶ συμβῇ τὰ σώματα ἐν τῇ καταδίκῃ κείμενα τελευτῆσαι· τὴν διατίμησιν αὐτῶν ἀναγκάζεται παρασχεῖν. αὐτ. καὶ β΄ ις΄ τ. α΄ κεφ. λϛ΄ ἐν τῷ θεμ. ἐὰν ὑπέρθεσιν ποιήσαντος τοῦ κληρονόμου ἀποθάνῃ ὁ εἰς ληγάτον δοθεὶς δοῦλος, εἰς τὸ διαφέρον καταδικάζεται ἀπὸ τῆς ὑπερθέσεως, ἕως τῆς τελευτῆς. καὶ κεφ. λζ΄ καὶ μζ΄. αὐτ. καὶ β΄ ιθ΄. αὐτ. καὶ β΄ κγ΄ τ. γ΄ ἐν τῷ θεμ. περὶ τῶν ἀπαιτουμένων ἀπὸ ὑπερθέσεως καρποὺς ἢ εἰς τόκους. διάταξις ἐν τῷ ιθ΄ κεφ. θεμ. ὁ δηλώσας ὑπερτιθέμενος, οὐ ποιεῖ ὑπέρθεσιν. τὸ γὰρ ὅτι πρὸς δήλωσιν τοῦ χρέους ζητεῖ τέλους ἢ ἐγγυητὰς ἢ προβάλλεται παραγραφήν. ἀλλὰ διὰ περιγραφὴν προσποιεῖται. ἐν τῷ δ' αὐτῷ κα΄ κεφ. τοῦ δὲ ἐναγομένου ὑπέρθεσιν ποιοῦντος, καὶ ὁ ἐγγυητὴς αὐτοῦ ἐνέχεται. ἐν τῷ δ' αὐτῷ κθ΄ κεφ. ὅτι τῶν κοινῇ πρὸς ἀλλήλους, ἀπὸ ὑπερθέσεως χρεωστεῖται τόκος. αὐτ. καὶ β΄ κϛ΄ τ. ε΄ κεφ. ξη΄ θεμ. ζ΄. καὶ τ. ζ΄ κεφ. κα΄ καὶ κγ΄ ἐν τοῖς θεμ. ὅτι τὸν μετὰ ὑπέρθεσιν ἀποθανόντα δοῦλον οὐ ὁμολογήσαντα δεδόσθαι. ἐὰν αἰτήσαντι παρασχεῖν ὅτι ... ἐνέχομαι:–

ϛ΄

ι.

ζ'

Περὶ ὑπερθεματισμοῦ. ἀνά(γνωσμα) βι(βλίον) ιε' τί(τλος) α' κε(φάλαιον) ιε' βι(βλίον) ιθ'. οὕτως ἐν τῷ α' κε(φαλαίῳ):

Δηλονότι ζητεῖ συμφωνίαν ταύτα ἀναγκαίαν τὴν πρᾶσιν τῆς αἱρέσεως αὐτοῦ κρείττονος γινομένης. εἰ γὰρ μὴ τοῦ συμφώνου αὐτὴν δύναται προσκυρῶσαι τῷ ὑπερθεματίζοντι. τῷ μὴ τελείω ὁ α' ἀγοραστὴς οὐκ ἀνέχεται δοῦναι τὴν ἴσην, δὲ ὑπὲρ τὸ διπλοῦν ὑπερθεματίζοντι πόσον ἄρα ἔνεστι καταμαθεῖν ἐν τῷ ι' τί(τλῳ) κε(φάλαιον) υη' καὶ ξα' τοῦ αὐτοῦ ιθ' β':

Ἔξεστι τῷ πράτῃ γινομένης τῆς αἱρέσεως αὐτοῦ κρείττονος, προσκυρῶσαι δευτέρῳ, τῷ μὴ πλείον ὁ πρῶτος ὑπερθεματίζει. ἐν δὲ τῷ η' κε(φαλαίῳ). δυνατὸν καὶ ἐπὶ τῷ ὑπερθεματίζοντι συμφωνεῖν τῆς ἡμέρας ὡρισμένην ἔκβασιν. ὥστε ἀφαιρεθῆναι αὐτοῦ τὸ πρᾶγμα, ἄλλου ὑπερθεματίζοντος. καὶ τοῦτο, ἐπὶ τὸ ἀγοραστοῦ. ἐν δὲ τῷ ια' κε(φαλαίῳ). ἐὰν ἐκκινηθὲν πρᾶγμα προσλεσθῇ τῷ ὑπερθεματίζοντι ἄξιον ὂν τῆς πρὸ αὐτοῦ γινομένης πράσεως, ἡ πρώτη πρᾶσις οὐ λύεται. ὥσπερ οὔτε ὑπερθέσεως ἐπὶ τῇ καταβολῇ δοθείσης τοῦ ὕστερον, ἡ δύναται λυθῆναι τῷ μή. ὅθεν ἐστὶν ἡ γινομένη πρασιμία. ἀνά(γνωσμα) καὶ τί(τλον) κε(φάλαιον) νη' ἐν ᾧ φησί. ἐὰν τις τὸ ἴδιον πρᾶγμα ἥττονος τιμήματος πωλήσῃ, δύναται τὸ τίμημα ἀναδοὺς λαμβάνειν τὸ ἴδιον πρᾶγμα. ἥττονος δὲ τίμημά ἐστι, τὸ μηδὲ τὸ ἥμισυ τῆς διατιμήσεως ἀναφερόμενον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λοιπὸν τῷ δικαίῳ τιμήματι δοῦναι. ἔχει αὐτὸν τὸ πεπραγμένον πρᾶγμα. τὸ αὐτὸ δίκαιον, καὶ ἐπὶ τοῖς παισὶ τοῦ πράτου προβαίνει. καὶ κε(φάλαιον) ξβ' καὶ ξδ' ἐν ᾧ φησί. ὅτι οὐκ ἀρκεῖ πρὸς ἀπόδειξιν δόλου τὸ λέγειν πλέονος ἄξιον εἶναι τὸ πρᾶγμα. ἔξεστι γὰρ ἐν τῇ πράσει καὶ τῇ ἀγορασίᾳ, περιγραφῆναι τῷ μὴ ἄρα τὸ ἥττον τοῦ ἡμίσεος μέρους τοῦ δικαίου τιμήματος δέδωκεν ὁ πράτης. τῆς ἐπιλοιπῆς τῆς ἤδη πραχθείσης τῷ ἀγοραστῇ φυλαττομένης:

η'

Περὶ ὑπευθύνων εἰς φυλακὴν βαλλομένων. ἢ ἐπικλαστοὶ δομένων. ἀνά(γνωσμα) β' ξ' τί(τλος) λε'. οὕτως ἐν τῷ α' κε(φαλαίῳ) φησίν:

Ὁ ἄρχων διασκοπείτω πότερον ὁ καλλωπιζόμενος ὀφείλει φυλακῇ ἐμβάλλεσθαι. ἢ στρατιώταις παραδίδοσθαι. ἢ ἐγγυηταῖς. ἢ ἑαυτῷ καταπιστεύεσθαι. τοῦτο δὲ γίνεται, ἐκ τῆς ποιότητος τοῦ ἐγκλήματος. ἢ διὰ τὴν τιμήν. ἢ διὰ τὴν εὐπορίαν τοῦ ἐναγομένου. ἢ τὴν ἀξίαν αὐτοῦ. ἢ διὰ τὸ μηδὲν αὐτὸν ἡμαρτηκέναι. ἐν δὲ τῷ γ' κε(φαλαίῳ). ὁ ἔχων ἐγγυητὰς οὐ δεσμεῖται, εἰ μὴ βαρύ ἐστι τὸ παρ' αὐτοῦ ἁμαρτηθέν, ὥστε μήτε ἐγγυηταῖς μήτε στρατιώταις αὐτὸν ὀφείλειν παραδοθῆναι. ἐν δὲ τῷ δ' κε(φαλαίῳ). ὁ ἐγγυώμενος τὸν κατηγορηθέντα χρηματικὴν δίκην ποιεῖν μὴ παρέχων αὐτόν. εἰ δὲ κατὰ δόλον οὐ παρέστησε, καὶ ἐξ ἐκστρατείας(?) καταδικάζεται:

θ'

Περὶ ὑπηρεσιῶν ἤτοι καρπῶν δούλων ἀπαιτουμένων. ἀνά(γνωσμα) β' ιε' τί(τλος) α' κε(φάλαιον) λα' λβ'. ἐν οἷς φησίν:

Ὁ μόνον τῶν ἐφήβων οἰκείων ἀπαιτουμένων καρποί, ὅσοι γὰρ καὶ τοῦ δανειστοῦ ὑπηρεσίαι. ἀναγκάζεται δὲ ὁ κύριος καρποὺς ἐπιζητεῖ τέχνης. ἣν ὁ νομεὺς οἰκείοις ἐδίδαξε δαπανήμασι. μετὰ δὲ τὸν πέμπτον ἐνιαυτόν, ἀντιλογίζονται ταῖς δαπάναις αἱ

ι.

ὑπηρεσίαι τοῦ τεχνίτου. καὶ κεφ. οθ. καὶ πα. ἀνάγνωθι καὶ βιβ. ιϛ. τίτ. ζ. οὐδενὸς ἐν ᾧ
τὸ κεφ. φησί. ὁ καρπὸς τοῦ δούλου αἱ ὑπηρεσίαι εἰσί· καὶ διὰ τοῦτο ὡς ἐν τοῖς ἄλλοις
καρποῖς ὑφαιροῦνται αἱ ἀναγκαῖαι δαπάναι. ἐν δὲ τῷ α κεφ. αἱ ὑπηρεσίαι τῶν
τεχνιτῶν καὶ τῶν ἀτέχνων, πρὸς τὴν ποσότητα καὶ τὴν ὑπηρεσίαν ἀπαιτοῦνται :—

περὶ τῶν ὑποδεκτῶν. ἀνάγνωθι βιβ. ξ. τίτ. ϛ. κεφ. κη. φησίν :— ι

Ὁ ὑποδεξάμενος παρὰ δούλου ἐνδήλως τὰ ὑπ' αὐτοῦ κλαπέντα πράγματα, καὶ πε-
ρὶ αὐτῶν τῶν πραγμάτων κατέχονται τῇ ἀπαιτήσει. κατέχονται δὲ καὶ τῇ εἰς τὸ δι-
πλοῦν ἀγωγῇ. ἀνάγνωθι καὶ τίτ. ιη. κεφ. ιδ. ἐν ᾧ φη. ὅμοιόν ἐστι, τὸ ἁρπάσαι, καὶ τὸ ὑπο-
δέξασθαι τὰ ἁρπαγέντα ἐνδήλως. ἀνάγνωθι καὶ βιβ. να. τίτ. α. κεφ. ι. θέμ. β :—

περὶ ὑποδεκτῶν τῶν ὑποδεχομένων λῃστὰς ἢ ἑτέρους ἐπιθέτους καὶ
μὴ προσάγοντων αὐτοὺς τῷ δικαστῇ. ἀνάγνωθι βιβ. ξ. οὐδενὸς ἐν ᾧ α κεφ. φησίν :— ια

Οἱ ὑποδοχεῖς τῶν λῃστῶν, ὡς λῃσταὶ τιμωροῦνται. καὶ οἱ δυνάμενοι κρατῆσαι τοὺς
λῃστάς, καὶ ἀπολύσαντες χρήματα λαβόντες ἢ μέρος τῶν λῃστευθέντων. ὁμοίως τι-
μωροῦνται. ὁ δὲ συγγενὴς ἢ ἀγχιστεὺς λῃστὴν φυλάξας καὶ διασώσας, μέ-
τρως πρὸς τιμωρεῖται. ἐν δὲ τῷ β κεφ. ὁ ὑποδεξάμενος τινὰ ἐνεχόμενον ἐγκλή-
ματι ἐνδήλως, τὴν αὐτὴν ὑποστήσεται τιμωρίαν. ὁ δὲ ὑποδεξάμενος λῃστὰς
καὶ μὴ συναγαγὼν αὐτοὺς τῷ δικαστηρίῳ δημευέσθω ἢ τιμωρείσθω. κατὰ τὴν
ποσότητα τοῦ προσώπου ὡς ἂν ὁ δικαστὴς δοκιμάσῃ :—

περὶ ὑποβολιμαίου τέκνου. ἀνάγνωθι βιβ. ξ. τίτ. μα. κεφ. μ. ἐν ᾧ φησίν :— ιβ

Οὐ πάντες, περὶ ὑποβολιμαίου τέκνου κινοῦσιν. ἀλλὰ μόνοι τούτοις καὶ οἷς δια-
φέρει. καὶ κεφ. λϛ. ἐν ᾧ φη. ἡνίκα γυνὴ λέγεται ὑποβολιμαίου παιδίον προσ-
ποιήσασθαι τέκνον. δύναται κινηθῆναι κατ' αὐτῆς τὸ ἔγκλημα τὸ περὶ τοῦ πλαστοῦ
καὶ πρὸ τοῦ ἐξετάσαι τὸν παῖδα. οὐ δὲ γὰρ ἀπίθανον ἐστὶν ἐκείνην ἐν τῷ ἐγκλήματι
τῷ ἐξεταζομένῳ, ὅτι πλέονες προσδιδόναι τὴν δίκην :—

περὶ ὑπονομιαίων ἤτοι κανάλων. ἀνάγνωθι βιβ. κη. τίτ. κβ. οὐδενὸς ἐν ᾧ
α κεφ. φησίν :— ιγ

Λέγει ὁ πραίτωρ· μὴ κωλύεσθαι τὸν θέλοντα καθαρίσαι ἢ ἀνανεῶσαι κανάλιον ἀπὸ
τοῦ διήκοντα ἐκ τοῦ οἴκου αὐτοῦ εἰς τὸν οἶκον τινος. ἀσφαλίζεσθαι μέντοι αὐτὸν τὴν
προσδοκωμένην ζημίαν. καὶ ὅτι καὶ εἰς τὸ δημόσιον κανάλιον λαβεῖν τὸν ἰδιω-
τικόν. τὸ δὲ διήκειν δηλοῖ, τὸ ἀπευθυνόμενον. τὸ ἐκτείνεσθαι τὸ ἔρχεσθαι. καὶ
πρὸς τοὺς πόρρωθεν γείτονας ἁρμόζει τὸ νόμιμον παράγγελμα. διὰ τὸ ὁ κανάλις
ἐκτείνεσθαι δύναται εἰς τὸ τοῦ γείτονος οἶκον ἐρχόμενος, καὶ ἀναγκάσαι τοὺς γείτο

δυς διὰ τὴν κάθαρσιν. καὶ ἐὰν ἐντίμως ἔχει ἀποκαταστῆναι τὸ γενόμενον ὄρυγμα,
οὐχ ὑποπίπτει τῇ διὰ ζημίαν ἀγωγῇ. καταφρονεῖ τῆς προσταγῆς ὁ καθαίρων κα-
νάλιν. ἀσφαλίζεται δὲ τὴν προσδοκωμένην ζημίαν. λέγει ὁ πραίτωρ τὸ ἐν δημοσίῳ
κρυφῇ γενόμενον διὰ τοῦ χρεώνη ἢ γείτονος αὐτοῦ γίνεται. ἀποκαταστῆναι. καλύπτεσθαι
καὶ τὸ γίνεσθαι πάλιν ἐν αὐτῷ. τοῦτο οὖν τὸ νόμιμον παράγγελμα, πρὸς τοὺς
δημοσίους κανάλας ὁρᾷ, ἵνα μὴ χρεώνες γένωνται:

ια. Περὶ ὑποφθορᾶς καὶ ὑπονοθεύσεως δούλων καὶ σεσημασμένου γυναικῶν.
Ἐπειδὴ ὑποδεχομένων φυγάδα δοῦλον. αὐτ(οῦ) β ξ τ ς. ὅλως ὁ ναῦτα κε(φάλαιον) φι:

Ὁ δοῦλον ἀλλότριον ὑποδεξάμενος, ἢ κατὰ δόλον αὐτῷ συμβουλεύσας ἐφ' ᾧ
χείρονα αὐτὸν ποιῆσαι. εἰς τὸ διπλοῦν ἐνάγεται. ὁ ὑποδεξάμενος ἐπὶ τῷ ἀ-
ποκρύψαι ἐν ἰδίῳ ἢ ἀλλοτρίῳ τόπῳ· συμβουλεύει δὲ ὁ συνωθῶν καὶ ἀναγκά-
ζων ἑαυτὸν πεισθῆναι. εἴτε δὲ τὸν καλὸν ὑποφθείρει, εἴτε τὸν κακὸν χείρονα ποιήσει,
ἐνέχεται. τυχὸν γὰρ αὐτῷ πάντως μέλλοντι κλέπτειν ἢ φεύγειν, τὸν τρόπον ὑπέδειξεν. ἢ
τὸν σκοπὸν ἐπῄνεσεν. ὑποφθείρει ὁ συμβουλεύων δοῦλον ζημιωθῆναι ἢ κλέψαι
ἢ φεύγειν ἢ ὑπονοθεύσαι δοῦλον ἀλλότριον ἵνα τὸ πεκούλιον δαπανήσῃ ἢ ἐρωτικὸς
γένηται. ἢ ῥέμβος ἢ κακότεχνος. ἢ θεωρητὴς ἀγών. ἢ στασιαστής. ἢ ἵνα τοὺς δεσποτι-
κοὺς ἀπογράψῃ λογισμούς. ἢ πλαστεύσῃ ἢ φυράσῃ. ἢ γενέσθαι ἀθετοῦν ἢ καταφρο-
νεῖν ἢ αἰσχρουργηθῆναι. Ἐν δὲ τῷ γ κε(φαλαίῳ). ὁ δολερῶς ὁ ὑποδεξάμενος, ἐνέχεται.
οὐ μὴν ὁ διὰ τὸ ἀποδοῦναι τὸν δεσπότην ἢ δι' ἕτερον δίκαιον λογισμόν. Ἐν δὲ τῷ δ
κε(φαλαίῳ). εἰ καὶ νομίζει τις χείρονα εἶναι οὐ ὑποφθείρει, ἐνέχεται. ἡ περὶ ὑποφθορ(ᾶς)
ἀγωγή, καὶ κατὰ τοῦ συνομολογοῦντος εἰς τὸ διπλοῦν ἁρμόζει. ὁ δὲ ἀκουΐλιος, κατὰ
μόνου τοῦ ἀρνουμένου, ὀνόματι δούλου καὶ δούλης ὑπονοθευθέντων. νοξάλια
κινεῖται. Ἐν δὲ τῷ η κε(φαλαίῳ). διπλασιάζεται τὸ μετευθὲν τίμημα τοῦ ὑποφθαρέντος.
καὶ κατάγεται εἰς τὴν περὶ φθορᾶς δούλου ἀγωγήν, ὅσα ὑφείλετο. καὶ πάντα ζημί-
α διπλασιάζεται ἃ καὶ μὴ ἦλθον εἰς τὸν ὑποφθείραντα τὰ πράγματα. τὰ δὲ με-
τὰ ταῦτα κλαπέντα, οὐκ ἀποκαθίσταται. Ἐν δὲ τῷ ια κε(φαλαίῳ). ἡ περὶ ὑποφθορᾶς δού-
λου ἀγωγή, κληρονόμοις ἁρμόζει. οὐ μὴν κατὰ κληρονόμων καὶ διηνεκής ἐστι-
ν. παίδων ὑπεξουσίων ὑποφθαρέντων. οὐχ ἁρμόζει ἡ περὶ ὑποφθορᾶς δούλου
ἀγωγή. χρηματικὴν γὰρ εἶναι δεῖ τὴν ζημίαν. ὅμως μέντοι καὶ περὶ αὐτῶν, οὐτί-
λιος ἁρμόζει καὶ ἀποτιμᾶται ὀφφικίῳ τοῦ δικαστοῦ. οὐ δίδοται ἔξωθεν τοῦ
πράγματος τὸ διπλοῦν. ἡ γὰρ ζημία διπλασιάζεται. ἐὰν συμβουλεύσῃς δού-
λῳ μου κλέψαι πρὸς πέτρου. οὐ μόνον εἰς ὃ γέγονε χείρων καταδικάζει. ἀλλὰ καὶ

Περὶ ποινῆς τῆς ὑποφθορᾶς:

εἰς ὃ παρ' ἀξίαν ἀναγκάζομαι πέρας, τὸ αὐτὸ καὶ συμβουλεύσας αὐτῷ ζημιοῦσθαι
ἵνα. ἐν τῷ θ΄ ιγ΄ κεφ. ὑποφθορεὺς δούλων ὁ συμβουλεύων αὐτοῖς τοῦ δεσπότου
καταφρονεῖν. ἐν τῷ θ΄ ιδ΄ κεφ. ἐὰν τὸν ἐμὸν δοῦλον διοικητὴν ἢ δανειστὴν τὰ
δεσποτικὰ χρήματα ἀσωτοποιοῦντα μετὰ τὸ ἐλευθερωθῆναι εὑρεθῇ χρήματα δαπα-
νήσας μετὰ γυναικός, ἁρμόζει κατ' αὐτῆς ἡ περὶ ὑποφθορᾶς δούλου ἀγωγή. καὶ ἡ
περὶ κλοπῆς. περὶ ὧν πρὸς αὐτὴν ὁ δοῦλος ἀπηγάγετο. ἐν τῷ θ΄ ιη΄ κεφ. ὁ τὸν ἀλλό-
τριον δοῦλον ὑπονοθεύσας μόνον διὰ τὸ φυγεῖν, κατέχεται εἰς τὰ χρεωστ. γεγονε-
τοῖς δεσπόταις. ὁ δὲ μετὰ τὴν φυγὴν ὑποδεξάμενος καὶ κρύψας αὐτόν, τῇ περὶ κλο-
πῆς ἀγωγῇ εἰς τὸ διπλάσιον κατέχεται. ἐν τῷ θ΄ λ΄ κεφ. ἐάν τις συμβουλεύσῃ
τῷ δούλῳ τῷ ἀλλοτρίῳ κλέψαι τινὰ παρὰ τοῦ δεσπότου καὶ χωρίσασθαι φυγῇ, ἐ-
παγγελλόμενος ὑποδέχεσθαι αὐτόν· ὁ δὲ δοῦλος ἀνήγαγε τῷ δεσπότῃ, καὶ κατὰ
κέλευσιν αὐτοῦ πράγματα λαβὼν ἀπῆλθε πρὸς τὸν ὑπονοθεύοντα. ἁρμόζει
κατ' αὐτοῦ καὶ ἡ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγή. καὶ ἡ κατὰ τὸν ὑποφθορέα
τῶν δούλων, ἤτοι τοὺς ἀγαθοὺς τρόπους αὐτοῦ· οὐδὲ γὰρ ἀλεμορήτους εἶναι τὰς
τοιαύτας τῶν αὐτῶν ἐγχειρήσεις. ἀν. καὶ τὸ ζ΄ βιβλ. ἐν τῷ α΄ κεφ. τί. ὁ τὸν φυ-
γάδα δοῦλον κρύπτων, κλέπτης ἐστί. καὶ προστιμοῦνται οἱ οἰκονόμοι καὶ προ-
κουράτορες τῶν κληρονόμων ὑποδεχόμενοι ἢ κρύπτοντες αὐτόν. ὁ τὸν φυγάδα ἐν
τῷ κ΄ ἡμερῶν τὸ σῶμα αὐτοῦ ἐν τῷ ἰδίῳ ἀγρῷ τῷ δεσπότῃ διδοὺς ἢ μὴ λάξῃ,
συγγινώσκεται. ὁ κρατῶν φυγάδα δοῦλον, δημοσίᾳ παραδιδότω, καὶ ὁ στρατηγὸς
ἀσφαλῶς αὐτὸν φυλαττέτω, διὰ τὸ μὴ φεύγειν. ἐν τῷ θ΄ θ΄ κεφ. ὁ τὸν φυγάδα
ὑποδεξάμενος, ἀποδιδῶσιν αὐτὸν μετὰ ἑτέρου ὁμοίου αὐτῷ, ἢ κ΄ νομ. εἰ δὲ
ὑπεδέξατο αὐτόν, μετὰ ἄλλων β΄ ἢ γ΄ οἰκετῶν, ἀναδιδότω αὐτόν, καὶ ἄλλους
β΄ ἢ γ΄ δούλους ἤτοι μ΄ ἢ ξ΄ νομ. ἐν δὲ ἀτελεῖ τὴν ἡλικίαν ἐστὶν οἱ ἐπίτροποι ἢ
οἱ κουράτορες τὴν ποινὴν παρέχουσιν. εἰ δὲ ἄπορός ἐστιν ὁ ὑποδεξάμενος
σωφρονιζέσθω. εἰ δὲ ἐψεύσατο ὁ δοῦλος ἐλεύθερον ἑαυτὸν εἶναι, καὶ ἐπὶ μισθῷ
εἰργάσατο παραμένων, ἀνεύθυνός ἐστιν ὁ ἐν ἀγνοίᾳ δεξάμενος αὐτόν· χρὴ δὲ τὰ
σωνίζεσθαι τὸν ἀνδράποδον. ἵνα τὸ λῆμμα μετὰ ὑποθήκης τοῦ δεσπότου ἐ-
φυγεν. καὶ ἐὰν τοῦτο ἤγγιζε· ἀποστερεῖται ὁ δεσπότης τοῦ δούλου. καὶ λαμβά-
νει αὐτὸν ὁ δημόσιος. ἐν τῷ θ΄ ι΄ κεφ. ἐάν τις τὰ πολιτικὰ ἀνδράποδα λέγει
δηπουσάμενα ὑπονοθεύσῃ, καὶ μετὰ ἄλλου δούλου ἀποδιδώσει, καὶ μετὰ ιβ΄ νομ. ὁμοί-
ως δὲ καὶ ἀπελευθέρων πολιτικῶν τεχνιτῶν ὑφελεῖται. καὶ μετὰ ἄλλου δούλου,
καὶ μετὰ ιβ΄ νομ. αὐτὸν ἀποδιδώσει. ἐν τῷ θ΄ ια΄ κεφ. πολλάκις τις ὑποδεξάμενος

φυλάδα, καὶ βουλόμενος φυγεῖν τὴν ἀπὸ τῶν διαλάξεων τιμωρίαν. ἢ δοῦλον ἴδιον εἶναι λέγει τὸν φυγάδα. ἢ ὑποτίθεται αὐτῷ εἰς ἐλευθερίαν ἀναφωνῆσαι· ἵνα δόξῃ μὴ φυγάδα ἔχειν. ἀλλὰ νέμεσθαι ὡς καλῇ πίστει ἐλεύθερον διακονοῦντα· κολάζεται· τίνεται ἡ διάλαξις. ἵνα τούτου γινομένου, αὐτὸς ὁ δοῦλος βασανίζεται. τοῦτο γὰρ καὶ τὴν ἀλήθειαν εὐκατάληπτον ποιεῖ. καὶ τοὺς δούλους σωφρονεστέρους. εἰς τὸ ιβ' κεφ. ἐάν τις δημοσίου δοῦλον ἀποκρύψῃ, μὴ μόνον αὐτόν. ἀλλὰ καὶ ιβ' λίτρας ἀργυρίου τιμωρεῖ ἕνεκα τῷ δημοσίῳ καταβάλλειν ἀναγκαζέσθω. κατὰ δὲ τῶν κληρονόμων τοῦ ὑποδεξαμένου τὸ ἐπιτίμιον οὐχ ἁρμόζει. ἀνάγνωθι καὶ τὸ ιβ' κεφ. λα' καὶ λε' καὶ οζ' ἐν τῷ ζ' βιβλ. ὁ διαφθείρων ἀλλότριον δοῦλον ἢ πόρνην οὖσαν κλέψας, ἐνέχεται τῇ περὶ κλοπῆς εἰς τὸ διπλάσιον ἀγωγῇ. εἰ δὲ κρύψει, καὶ τῇ τῶν ἀνδραποδιστῶν ἀγωγῇ. ἀνάγνωθι καὶ τὸ κα' κεφ. μγ'. καὶ τὸ κθ' κεφ. α' καὶ β' ἐν τῷ ξ' βιβλ. ὁ συμβουλεύων παῖδα ἢ γυναῖκα αἱρετικὴν ὑπονοθεύων ἢ ἀφήκων τὸν ἀκόλουθον. ἢ διδοὺς ἐπὶ αἱρετικὰ δόγματα, πεπαρρησιασμένον τοῦ ἀμαρτήματος, κεφαλικῶς κολάζεται. μὴ πεπαρρησιασμένον δὲ δημευθεὶς ἐξορίζεται. καὶ ὁ ὑποφθαρεὶς ἀκόλουθος ἄκρως τιμωρείσθω. ἀνάγνωθι καὶ τὸ β' δ' τ. α' κεφ. ις'. ἀνάγνωθι καὶ τὰ εἰρημένα ἐν τῷ περὶ ἀνδραποδιστῶν:

ἀνάγνωθι περὶ δούλων ἐν τῷ ια' τ. κεφ. ζ' ὄπισθεν φέρεται ἐν τῷ περὶ κλοπῆς:

ιε'

## Περὶ ὑποφθορᾶς ἀντιδίκων. καὶ τίνες δύνανται αὐτοὺς ὑποφθείρειν καὶ τίνες οὐ δύνανται. ἀνάγνωθι β' ξ' τ. κς' κεφ. ς' ἐν τῷ φιστ:

Ἀντιδίκων ἐλεύθερός ἐστιν, ὁ τὸν κατ' ἴσον ὑποφθείρας, γονεὺς τῶν παίδων τῶν ἐχόντων τὴν καταδίκην. ἀνάγνωθι καὶ τὸ νγ' κεφ. α' ἐν τῷ ζ' βιβλ. οἱ τοῖς ἔχουσι θάνατον τὴν καταδίκην, ἔξεστι τῷ δικαζομένῳ, ὑποφθείρειν τὸν ἀντίδικον. καὶ κεφ. β'. ἀνάγνωθι καὶ β' νς' τ. β' κεφ. κς' ἐν τῷ ζ' βιβλ. ὁ ὑποφθείρας τὸν μηνυτὴν ἀτιμώρητος ἐστί. τοῦτο γὰρ καλὸν, ὅπερ τὸν τοῦ δημοσίου δικαίου. ἡ δὲ τιμωρία αὐτὴ κατὰ κληρονόμων αὐτοῦ οὐχ ἁρμόζει. οὔτε γὰρ αὐτὸς ἐμὴ καταδικασθῇ περὶ τούτου ὑπόκειται. ἐξ ὑποφθορᾶς δὲ ἀτιμώρητος τοῦ μηνυτοῦ, κατὰ ὧν ὁ δημόσιος ἀναγνοῖ τὴν δίκην:

## ἀρχὴ σὺν θεῷ τοῦ Φ στοιχείου :—

### Περὶ Φαλκιδίου. βιβ. μα' τιτ. α'. ὅλου τοῦ τίτλου ἐν τῷ ε' κεφ. φησίν :—

α'

Τὰ εἰς τὴν ταφὴν δαπανώμενα, ὡς χρέα ὑπεξαιροῦνται. οὐ μὴν τὰ εἰς ποίησιν μνημείου· ταῦτα γὰρ καὶ ὑπόκειται τῷ φαλκιδίῳ, καὶ ἀμείνω λεγατευθῶσιν. οὐ συγχωρεῖται δαπανᾶν πλέον τοῦ συμμέτρου μνημείου. Ἐν δὲ τῷ θ' κεφ. οἱ ἐν τῇ ἡμέρᾳ τῇ τοῦ διαθεμένου πεπηγμένοι ἕως καρποὶ ἐν τῇ ἡμέρᾳ τῇ λαμβανόμενοι αὔξουσι τὴν κληρονομίαν· ποιοῦσι γὰρ τὸν ἀγρὸν τιμιώτερον. ἐπὶ δὲ τῆς ἐγκύου δούλης, οὐδεμίαν διαστολὴν ἔχομεν. ὁ γὰρ μήπω τεχθεὶς οὐ λέγεται ἄνθρωπος. Ἐν δὲ τῷ ιε' κεφ. Ἐὰν θανάτου αἰτίᾳ συγχωρητικὸν σύμφωνον ποιήσω τῷ χρεώστῃ μου, χώρα τῷ φαλκιδίῳ. Ἐν δὲ τῷ κζ' κεφ. ὁ κληρονόμος ὁ ὑπεκλέψας πράγματα, οὐ παρακρατεῖται φαλκίδιον. ὁ δὲ τόκος τῆς λεγατευθείσης δούλης πρὸ τῆς προχωρήσεως τῷ κληρονόμῳ ἁρμόζει, καὶ λογίζεται αὐτῷ εἰς τὸ φαλκίδιον. καὶ τοὺς καρποὺς αὐτοῦ. Ἐν δὲ τῷ κθ' κεφ. Οἱ ἀδιάπτωτοι ἐξ ἀμελείας τὴν κληρονομίαν ἐὰν συμβῇ ἄνευ δόλου τῶν λεγαταρίων τοῦ κληρονόμου βλαπτῆναι, καὶ ἡ ἐπαύξησις αὐτοῦ ὀφείλεται καὶ οὐ λογίζεται εἰς φαλκίδιον. οὐκ ἔρχεται εἰς συμψηφισμὸν τοῦ φαλκιδίου. τὰ δὲ κληρονόμῳ παρ' αὐτῷ λεγατευθέντα ἢ τοῖς δούλοις αὐτοῦ χωρὶς αἱρέσεως, ἢ τοῖς δούλοις τοῦ διαθεμένου χωρὶς ἐλευθερίας. ἢ τὰ πράγματα ἅτινα λεγατεύεσθαι οὐκ ἠδύναντο. τὰ μέντοι ὑπὸ ἡμέραν λεγατευθέντα τοῖς δούλοις τοῦ κληρονόμου, τῆς ἐλευθερίας ἐν τῷ μεταξὺ πρὸ τῆς προχωρήσεως ἁρμοζούσης, καταχρεώσονται καὶ συμψηφίζονται. Ἐν δὲ τῷ λβ' κεφ. Ἐὰν λεγατευθῇ δοῦλος ἐπὶ τὸ ἐλευθερωθῆναι, καὶ μηδὲν ἕτερον, ἀργεῖ ὁ φαλκίδιος. τοῦτο ἐν ταῖς τοῦ διαθεμένου ἦν. εἰ μέντοι χρήματα ἢ ἄλλο τι λεγατεύσῃ ἐπὶ τὸν δοῦλον ἢ ἀλλότριον ἐλευθερωθῆναι, χώραν ἔχει ὁ φαλκίδιος. Ἐν δὲ τῷ λς' κεφ. ὁ ὑπὸ ὅρον ἐλευθερούμενος, οὐ συμψηφίζεται ἐν τῇ οὐσίᾳ τοῦ κληρονόμου. οἱ δὲ κοινοὶ δοῦλοι, ἐν τῇ ἑκατέρου δεσπότου. Ἐν δὲ τῷ λζ' κεφ. οὐ μόνον τῶν ἐλευθερωθέντων ὑπεξαιροῦνται. ἀλλὰ καὶ τῶν ἀναιρουμένων διὰ τοῦ νόμου. καὶ τῶν ἐλευθερουμένων διὰ τὸ καταμηνῦσαι τὴν τοῦ δεσπότου ἀναίρεσιν ἢ τὴν κατ' αὐτοῦ συνωμοσίαν. Ἐν δὲ τῷ νξ' κεφ. τῶν ἀποκλαπέντων ὁ κληρονόμος οὐ παρακρατεῖ φαλκίδιον. Εἰ δὲ εἰπὼν μὴ ἴδιον εἶναι τὸ πρᾶγμα ὕστερον δὲ μετὰ τῆς κληρονομίας εἶναι, παρακρατεῖ. Ἐν δὲ τῷ οα' κεφ. δι' ἕτερον τοῦ φαλκιδίου ἐκπίπτων τῶν λεγαταρίων πρὸς ἀναλογίαν παρακατέχεται. Ἐν δὲ τῷ οθ' κεφ. Ἐπὶ στρατιωτικῆς διαθήκης, ἀργεῖ ὁ φαλκίδιος.

Ἐν τῷ [illegible] καὶ ἐν τῷ α' κεφ. ς' καὶ ἐν τῷ ιη' ἐν τῷ [illegible]· μὴ μόνον ἀπὸ τὸ εἶναι τὸ φαλκίδιον. ἀλλὰ καὶ τοῦ ἔχοντος πρὸς τὸν [illegible] καὶ τὴν χρῆσιν καὶ ἐπὶ κατὰ τοὺς κληρονόμους τοῦ μέρους τούτου. καὶ ἐν τῷ κς' ἐν τῷ [illegible] καὶ περὶ τῶν εἰς τοὺς παῖδας ἀμείβεσθαι δωρεῶν :—

Ὑπεξαιροῦνται τὰ πρὸς ταφὴν, αἱ ἐλευθερίαι καὶ τὰ χρέα. διαφέρει δὲ τάφος μνημείου. τάφος γάρ ἐστιν, ἐν ᾧ τὸ σῶμα κατατίθεται. μνημεῖον δὲ τὸ κτίσμα, τὸ ἐπάνω τοῦ τάφου :—

Τουτέστιν ἢ περὶ τῆς αἱρέσεως καὶ τῆς ἡμέρας ἐκκρεμαμένων, μετὰ τοῦτο χώραν ἔχει τὸ οὕτω λεγατευθέν :—

διος. πλὴν ἐὰν χρεωστῇ τῷ γεγραμμένῳ κληρονόμῳ, δύναται ταῦτα παρακατασχεῖν
ἐπειδὴ μετὰ τὰ χρέα τότε ὑπέχονται τὰ λεγάτα. εὗρον δὲ ἐν τῷ πα΄ κεφ. ἐὰν ὁ κληρονό-
μος τὸ πρᾶγμα ἀγνοήσας οὐκ ἐξελέξατο τὸ φαλκίδιον καὶ διὰ τοῦτο πλέον κατέβα-
λε, δύναται ἀναλαμβάνειν. ἐὰν δὲ τὸν νόμον ἠγνόησεν, οὐκέτι συγχωρεῖται. εὗρον
δὲ ἐν τῷ πδ΄ κεφ. ἐὰν ὁ ἀνὴρ δωρήσηται τῇ γυναικὶ ἢ ἡ γυνὴ τῷ ἀνδρί, τελευτήσαντος τοῦ δωρη-
σαμένου βεβαιοῦται ἡ δωρεά, ἐπειδὴ καὶ κατὰ τοῦτο μιμεῖται ἀποκαταστάσει, μει-
οῦται τῷ φαλκιδίῳ. ἀνάγνωθι καὶ τὸ β΄ τίτλου ἐν τῷ α΄ κεφ. … εἰσὶ διαθῆκαι ἐξ ὧν
οὐ παρακρατεῖται φαλκίδιος. ἀλλὰ καὶ ἐπὶ αὐτῶν μετὰ ὑπεξαίρεσιν τῶν χρεῶν καὶ
τῶν τελευταίων, τὰ λεγάτα ὑπέχεται. ἀνάγνωθι καὶ τὸ γ΄ τίτλου ἐν τῷ ς΄ κεφ. … ὅτε τις πατὴρ
ἢ μήτηρ τοὺς παῖδας ἢ τὰς θυγατέρας γράψει κληρονόμους, καὶ ἀξιώσει τὸν πρῶτον τε-
λευτήσαντα τῷ ἑτέρῳ τὸ μέρος τὸ ἴδιον ἀποκαταστῆσαι, ἰσχύει ἡ βούλησις αὐτοῦ ἐπὶ πα-
ρακρατοῦντος ἐκείνου τὸ ἑαυτοῦ μέρος αὐτοῦ ἐν αὐτοῖς πράγμασι κερδαίνοντα δὲ ἔ-
ξωθεν εἰ καὶ δύναται ἀπὸ τοῦ ὅλου τῶν πραγμάτων ἀποκερδαίνειν τούτου αὐτοῦ κρα-
τοῦντος καὶ ἐπὶ τοῦ νόμου τοῦ φαλκιδίου. βούλεται γὰρ ἡ διάταξις καὶ τὸν κληρονόμον πα-
ρακατασχεῖν ἐν αὐτοῖς τοῖς πράγμασι τὸ φαλκίδιον. κερδαίνοντα ἔξωθεν εἰ καὶ ἀπὸ
τῶν καρπῶν τῶν πραγμάτων δύναται λαβεῖν. ἀνάγνωθι καὶ τὸ δ΄ τίτλου ἐν τῷ ι΄ κεφ. Θε-
σπίζομεν εἰ μὲν ἑνός ἐστι παιδὸς πατὴρ ἢ μήτηρ ἢ δυοῖν ἢ γ΄ ἢ δ΄. μὴ ἔλαττον αὐτοῖς κα-
ταλιμπάνειν μόνον. ἀλλὰ τὴν τρίτην τῆς ἑαυτοῦ περιουσίας, τουτέστιν οὐγκίας δ΄. καὶ τοῦτο
εἶναι τὸ διορισμένον μέτρον, ἄχρι τοῦ ῥηθέντος ἀριθμοῦ. εἰ δὲ ὑπὲρ τοὺς δ΄ ἔχοι παῖ-
δας, τὴν ἡμίσειαν τῆς πάσης περιουσίας αὐτοῖς καταλιμπάνεσθαι μοῖραν. ὥστε ἑ-
ξαούγκιον εἶναι πάντως τὸ ὀφειλόμενον ἑκάστου κατὰ τὸ τετραούγκιον τυχὸν ἢ τὸ
ἑξαούγκιον διαιρούμενον καὶ τοῦτο, οὐκ ἐν ἀδίκῳ περιστάσει πραγμάτων. ἴσως γὰρ
καὶ ταύτῃ τοὺς ἄλλους ἀδικηθῆναι. τῶν μὲν τὰ καλλίονα, τῶν δὲ τὰ χείρονα λαμβανόν-
των. ἀλλὰ τοῦτο δὴ τὸ ἐπιβάλλον ἑκάστῳ διὰ πάντων ἴσον εἶναι ἐν ποιότητι καὶ
ποσότητι. εἰ δὲ τὲς αὐτῷ τρόπου ἐν στάσει δὲ κατὰ προσόδου καταλιμπάνει
προφάσει, πρόσεστι γὰρ αὐτῷ τὸ λοιπὸν ὀκταούγκιον τυχὸν ἢ ἑξαούγκιον. ἔχειν καὶ
φιλοτιμεῖσθαι καθότι ἂν βουληθείη ἢ τοῖς παισὶν αὐτοῖς, ἢ τισὶ τῶν ἔξωθεν. ἐ-
τῆς φύσεως πρότερον θεραπευθείσης τὰ … οὕτως ἐπὶ τὰ ἔξω φιλοτιμεῖ χω-
ρεῖν. τοῦ νομίμου δὲ τοῦ μέρους ὄντος ἀφορισθέντος, πάντως καὶ τὴν χρῆσιν καὶ
τὴν ἐπικαρπίαν πρὸς τὴν δεσποτείαν καταλιμπανέτω. ἡ βούλησις παίδων οὐκ
εὐθὺς λέγομεν τελευτώντων. ἀλλὰ καὶ ζῆν δυνάμενον καταστῆναι πατρ. καὶ ταῦ-
τα φαμὲν οὐκ ἐπὶ πατρὸς μόνον, ἀλλὰ καὶ ἐπὶ μητρὸς καὶ πάππου καὶ προπάππου.

ἰστέον ὅτι. ἐπὶ ἐξωτικοῦ κληρονόμου ὁ φαλκιδιούμενος υἱὸς τὸ δ΄ τῆς καθαρᾶς οὐσίας λαμβάνει. ἐπὶ δὲ υἱοῦ, τὸ φαλκίδιον ἐπίσης μείζουσι. ὁ κληρονομῶν καὶ ὁ φαλκιδιούμενος. τὴν γὰρ λοιπὴν οὐσίαν, ὡς ἰδίαν φιλοτιμεῖν ἤθελεν. ἐπεὶ καὶ ἐξωτικοῖς δύναται ὁ πατὴρ αὐτὴν καταλιπεῖν. τυχὸν ὡς ἐπὶ θέματος, εἶχον τρεῖς υἱούς· πέτρον παῦλον καὶ ἰωάννην. δέδωκα τῷ πέτρῳ λίτρας δέκα· καὶ τῷ παύλῳ ς΄. τελευτῶν δέ, κατέλιπον τὸν πέτρον κληρονόμον. γράψας δεδωκέναι τῷ ἰωάννῃ, οὐγκίας ε΄. ζητεῖ τὸ φαλκίδιον. συμψηφίζονται πάντα. καὶ αἱ δέκα οὐγκίαι καὶ αἱ ς΄. καὶ ἡ λοιπὴ περιουσία. ὑποθοῦ δὲ αὐτὴν εἶναι οὐγκίας η΄. ὡς ὁμοῦ συνάγεσθαι τὰς πάσας οὐγκίας κδ΄. ὑπεξαιροῦνται αἱ δέκα, καὶ αἱ ς΄. λαμβάνουσι ταύτας ἐν ἐξαιρέτῳ. τὰς μὲν δέκα ὁ πέτρος. τὰς δὲ ς΄ ὁ παῦλος. τὰς δὲ λοιπὰς η΄ οὐγκίας ἐπιμερίζονται οἱ τρεῖς. ἤτοι τὸ τέταρτον τῆς ὁλότητος τῶν κδ΄ οὐγκιῶν. ὁ γὰρ φαλκίδιος ἄχρι τεσσάρων παίδων, τὸ δ΄ ἐστὶ τῆς καθαρᾶς οὐσίας. εἰ δὲ πλείονες τῶν δ΄ ὦσιν οἱ παῖδες, τὸ ἥμισυ: —

Ἐὰν ὁ πατὴρ ἔχῃ δύο παῖδας ἢ τρεῖς, τότε παρακατέχει ἑαυτῷ δύο μέρη. τὸ δὲ τρίτον ἐᾷ πρὸς τοὺς ἑαυτοῦ παῖδας. εἰ δὲ τέσσαρας ἔχει ἢ πλείονας, τότε τὸ ἥμισυ τῆς κληρονομίας παρακατέχει ἑαυτῷ. τὸ δὲ ἕτερον ἥμισυ πέμπει πρὸς τοὺς υἱούς. ἤγουν τὰ νη΄ τοῦ λεγάτου κεφ. λέγοντος. φη΄. ἄχρι μὲν τῶν δ΄ παίδων ὀφείλει τὸ τρίτον ἐπὶ φαλκιδίου τὸ γ΄ αὐτοῖς καταλιμπάνειν. εἰ δὲ ε΄ ἢ πλείους εἶεν, τὸ ἥμισυ τῆς περιουσίας αὐτοῦ. ζη΄ καὶ ὁ ς΄ τοῦ κεφ. τ. λ. δ΄ κα΄: —

φ΄.

καὶ τῶν προεζευγμένων ἑκατέρωθεν τελείων προσώπων. μέμνηται φανερῶς καὶ προσμέμνηται· ὥστε καὶ πρὸς πατέρα ὥστε καὶ πρὸς μητέρα ἔχειν. οὐ γὰρ ἐκείνου φυλαττομένου τὸ λοιπὸν ἐπὶ τοῖς ἐκγόνοις τοῖς οὐχὶ γνησίοις καὶ προσεκγόνοις καὶ ὑπεξουσίοις. ὥστε παρὰ τὸ εἶδος ἔχειν αὐτοὺς τῆς μοίρας. ἣν τοῖς αὐτῶν γονεῦσι περιοῦσιν ἔδει καὶ δηλονότι τοὺς διαθεμένους. οὐ γὰρ ἐξαιροῦμεν ἔτι τοὺς ἐκγόνους τοὺς ἀπὸ παιδὸς τοῖς πρὸς πατρὸς πάπποις γενομένοις. ὥστε ἐκγόνους ἐξ ἴσου λαμβάνειν τὸ μέρος. ὅπερ ἂν ὁ αὐτῶν πατὴρ ἐλάμβανε περιών. τοὺς δὲ ἐκγόνους τοὺς ἀπὸ τοῦ πάππου διὰ μέσης θυγατρὸς γενομένους ἢ τοὺς ἀπὸ τῆς μάμμης πρὸς πατρὸς ἢ πρὸς μητρὸς παρὰ τὸ εἶδος λαμβάνειν. ἀλλὰ μίαν τάξιν ἐφ᾽ ἅπασι τέθεικε ἐκγόνοις καὶ προσεκγόνοις οὐκ ἀνεχόμενοι τὸ θῆλυ τοῦ ἄρρενος ἐν τοῖς τοιούτοις ἥττω. οὐ γὰρ τὸ ἄρρεν αὐτὸ καθ᾽ ἑαυτὸ οὐδὲ τὸ θῆλυ μόνον πρὸς τεκνογονίαν αὔταρκες. ἀλλ᾽ ὥσπερ ἑκάτερον συνήρμοσεν ὁ θεὸς πρὸς τὴν τῆς γενεσιουργίας χρείαν. οὕτω καὶ ἡ μετὰ τὴν τελευτὴν ἑκατέρῳ φυλαττέσθω ἰσότιμα. ἀλλ᾽ οὐδὲ μέχρι τούτου ἔστη τὰ τοῦ νόμου. ταῦτα γὰρ φαμὲν καὶ ἐπὶ ἐκείνων τῶν παίδων. οἵπερ ἐκ γάμων εἰσὶ γνησίων. εἰ δὲ μὴ προῖκες τοῖς γάμοις ἀκολουθήσειεν· ἀλλὰ διάθεσιν ὁμολογουμένην καὶ σαφῆ. μεταξὺ τῶν συνοικούντων ὅτε τοῖς παισὶ δίδοται τὸ γνήσιον. προῖκες γὰρ ἀποτελοῦσι γάμους. γάμον δὲ προῖκες οὐ ποιοῦσιν. ἀλλὰ τῶν συνοικούντων ἀμοιβαία διάθεσις. ταῦτα δὲ κρατείτω καὶ ἐπὶ τῶν ἐκ μεταγενεστέρας διαθέσεως μετὰ προικῴων ἢ τὰς ἡμετέρας διατάξεις γενομένων γνησίων. ἀλλὰ καὶ τὸ ε΄ τοῦ τίτλου ἐν τῷ α΄ κεφ. φ΄. Θεσπίζομεν ὥστε τοὺς δωρεὰν ἀμείνω τινὰς ἢ τινὰς τῶν παίδων ποιήσαντας. ἀνάγκην ἔχειν ἐν τῇ διανομῇ τοῦ κλήρου τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος. ὅσον ἦν πρὶν τὴν δωρεὰν ὁ πατὴρ εἰς τὸν παῖδα ἢ εἰς τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσασθαι. οὕτω γὰρ οὐδὲν ἐπὶ ταῖς δωρεαῖς ἐλαττωθήσονται, ἔχοντες ἐν πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὸ ἀπὸ τῶν νόμων καταβαλλόμενον δὲ αὐξομένου τοῦ μέρους, καθότι καὶ τὰ πράγματα εἶχε τοῦ πατρὸς πρὶν ταῖς δωρεαῖς ἐξαντληθῆναι. οὐ δυναμένων τῶν ταῖς δωρεαῖς δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου. ἀλλ᾽ οὐκ ἀναγκαζομένων ἐξ ἐπαρκούντων ταῖς δωρεαῖς καταδέχεσθαι τὸν κλῆρον. ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανιέναι τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον καθότι εἰρήκαμεν. ὥστε ἅπαντας αὐτοὺς ἔχειν τὸ ἐκ τῶν νόμων αὐτοῖς ὀφειλόμενον, διὰ τὴν γενομένην ἐπὶ ταῖς δωρεαῖς ἀμετρίαν. ταῦτα μέντοι φαμὲν περὶ παίδων κεχαρισμένων ὄντων αὐτοῖς. οὐ μὴν περὶ τῶν ἀγνωμόνων. καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἀχαριστίαν ἐπάγει. εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη. καὶ ἀποδειχθείη αὐτοῖς ἀχαριστίας αἰτία, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τοῖς ἀχαρίστοις κειμένων. κύρια ἐν τῷ διὰ μέσου τῆς νομοθεσίας ἐλαττούμενα.

Ἐν τῷ δ' κεφ. ε'. Ἐὰν πολλὰς δεσπότας καὶ τὸ πρᾶγμα ἀκίνδυνον τῇ ἰδίᾳ φαμιλίᾳ, ἢ ἑτέρῳ τινὶ προσώπῳ ὀνόματι λεγάτου καταλίπῃ· καὶ ῥητῶς εἴπῃ μηδενὶ χρόνῳ τοῦτο τὸ πρᾶγμα ἐκποιεῖσθαι· ἀλλὰ παρὰ τοῖς κληρονόμοις ἢ διαδόχοις ἐκείνου ἀεὶ καταλειφθῆναι διαμένειν. Ἐπὶ τούτῳ τῷ λεγάτῳ κρατοῦσι τοῦ φαλκιδίου νόμου χώραν παντελῶς μὴ ἔχειν· ἐπειδὴ τὴν ἐκποίησιν τούτου, αὐτὸς ἐκώλυσεν ὁ διαθέμενος. ἀνάγνωθι καὶ τὸ λε' τίτ. δ' κεφ. δ' καὶ μδ'· καὶ ξζ' θέμ. ε' καὶ οβ'· καὶ τὸ λθ' τίτ. α' κεφ. μϛ' ἐν τῷ φαλκιδίῳ. Τὸ δὲ τέταρτον οὐγκίου γραφέντι ἀνθρώπῳ παρὰ κληρονόμου, δύναται καὶ ἀντὶ τούτου ὑποκατάστασιν παρέχειν ὁ πατὴρ καὶ οὐ δοκεῖ τοῦτο μείωσις εἶναι. ἀνάγνωθι καὶ τὸ μζ' τίτ. γ' κεφ. λθ' ἐν τῷ φαλκιδίῳ. Ἐὰν τελευτῶν χωρὶς αἱρέσεως δωρεὰς ποιήσῃ, οὐ κακῶς οἱ κληρονομοῦντες παρακρατοῦσι τὸ φαλκίδιον ἐπιζητοῦσιν· ὁ γὰρ φαλκίδιος οὐκ ἐπὶ τῶν ἁπλῶν δωρεῶν, ἀλλ' ἐπὶ τῶν θανάτου αἰτίᾳ χώραν ἔχει:-

ε'. Περὶ φαρμακῶν, καὶ τῶν δεδωκότων ἢ πεπωκότων φάρμακον. ἀνάγνωθι βιβ. ξ' τίτ. λθ' κεφ. δ' ἐν τῷ φ. φησιν:-

Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται· καὶ ὁ τὰ ἐπὶ φόνῳ ἀνθρώπου φάρμακον ποιῶν ἢ πιπράσκων ἢ ἔχων. Ἐπειδὴ φάρμακα ὑγείαν ἐκποιοῦντα, καὶ τὰ λεγόμενα φίλτρα· οἱ δὲ τὰ φίλτρα ποιοῦντες, δημευόμενοι ἐξορίζονται. Εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ δοὺς γυναικὶ συλλήψεως καὶ ἀποθάνῃ ἡ λαβοῦσα, ἐξορίζεται. Εἴ τις ἐλεύθερος ἢ δοῦλος ἐπὶ οἱαδήποτε προφάσει δοὺς ποτόν· εἴτε γυνὴ ἀνδρί· εἴτε ἀνὴρ γυναικί· εἴτε δούλῳ δέσποινα· εἴτε δοῦλος δεσπότῃ, καὶ διὰ τῆς τοιαύτης προφάσεως ἀθετοῦντα περὶ ὁ τὸ ποτὸν ἐκπιών, καὶ συμβῇ αὐτὸν ἐκ τούτου καταρρεῦσαι καὶ ἀποθανεῖν, ξίφει τιμωρείσθω. Κατέχεται τῷ περὶ ἀνδροφόνων νόμῳ· καὶ ὁ πιπράσκων πρὸς τὸ λύσιος λεγόμενον κώνειον ἢ σαλαμάνδραν ἢ ἀκόνιτον ἢ πιτυοκάμπην ἢ βούπρηστιν ἢ μανδραγόραν ἢ κανθαρίδας. Καὶ τὸ να' κεφ. λα' θέμ. ε' ἐν τῷ φ. Ὁ δεδωκὼς πόμα πρὸς φίλτρον ἢ ἀμβλωθρίδιον καὶ χωρὶς δόλου, εὐτελὴς μὲν ὤν, μεταλλίζεται· τίμιος δὲ ἐξορίζεται σὺν μερικῇ δημεύσει. Εἰ δὲ ἀπέθανεν ὁ πιών, ἐσχάτως τιμωρείσθω:-

ϛ'. Περὶ φθορέων παρθένων καὶ περὶ ζωολέκνων. ἀνάγνωθι βιβ. ξ' τίτ. λζ'. οὗτινος ἐν τῷ ε' κεφ. φησίν:-

Ὁ γυναῖκα σεμνὴν καὶ σώφρονα παρακολουθούμενος καὶ ποιῶν ἐν ἐκκλησίᾳ τοῦτο κατάδηλον ἢ γαμετὴν αὐτὴν ἔχειν ἢ τοῦτο παραινούμενος ἀσχήμως πρὸς αὐτὴν πλημμελῆσαι ὁμιλίαν καὶ μοιχείαν δηλονότι, ἐν τῷ πορισμῷ ἐκ τοῦ ἰδίου τιμωρεῖσθαι οὐκ ἀποτίσει. Ἐν τῷ

Περὶ καταβίαν:- δ' κθ' κεφ. Ὅπου περικλείεται ἡ πενταετία ἢ καταβίαν γινομένη φθορὰ ἀνδρὶ ἢ γυναικί. ἀπροσδιορίστως γὰρ κινεῖται ἐπειδὴ καὶ δημοσία βία πλημμεληθεῖσα. Ἐν τῷ δ' ξ

φ'.

κεφ. γυνὴ μὴ ἔχουσα ἄνδρα, τῷ ἰδίῳ δούλῳ μιγεῖσα, εἰ μὲν μὴ ἔχουσα παῖδας τοῦτο διαπράξεται, τυπτέσθω καὶ κουρευέσθω· καὶ ὁ τοιοῦτος δοῦλος τυπτόμενος καὶ κουρευόμενος πιπρασκέσθω, καὶ ἡ τιμὴ αὐτοῦ εἰσκομιζέσθω. εἰ δὲ ἐπὶ παισὶ τοῦτο διαπραχθῇ, καὶ ἡ ὑπόστασις αὐτῆς πᾶσα κατὰ δεσποτείαν πρότερον περιουσία τοῖς παισὶν ἀνεκποιήτως περιφυλαττέσθω· τῆς χρήσεως μόνης παρ' αὐτῇ μενούσης· ἡ δὲ τιμὴ δὲ τοῦ πραθέντος δούλου τοῖς παισὶν ἀνήκει. *Περὶ τῆς τῷ ἰδίῳ δούλῳ συμφθειρομένης :—*

εὑρήσεις δὲ οα κεφ. οἱ ταῖς μοναζούσαις ἢ ταῖς διακονίσσαις ἢ ταῖς ἀσκητρίαις ἐνασχημονοῦντες, ὡς τὴν τοῦ θεοῦ νύμφην ἐξ ἐκκλησίας ἐνυβρίζοντες ῥινοκοπείσθωσαν· αὐταί τε καὶ αἱ οὕτω συνεφθάρησαν. *Περὶ μοναζουσῶν καὶ ἀσκητριῶν καὶ διακονισσῶν :—*

εὑρήσεις δὲ οβ κεφ. ὁ τῇ ἰδίᾳ συντέκνῳ ἢ ὀνόματι γάμου μιγνύμενος, ἢ καὶ ἄλλως λαθραίως συμπλεκόμενος, ἅμα τῇ αὐτῇ ῥινοκοπείσθω· δηλονότι πρότερον αὐτῶν ἀπ' ἀλλήλων διϊσταμένων. εἰ μέντοι τῷ ὑπάνδρῳ συντέκνῳ τοῦτο διαπράττοιτο, ἡ μὲν ποινὴ ὡσαύτως προβαινέτω· πρὸς τούτοις δὲ καὶ τυπτέσθωσαν. *Περὶ συντέκνων :—*

εὑρήσεις δὲ ογ κεφ. ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει αὐτὴν λαβεῖν εἰς γυναῖκα, καὶ συναινοῦσι καὶ οἱ γονεῖς, γινέσθω τὸ συνάλλαγμα. εἰ δὲ ἐν μέρει τῶν γονέων τοῦτ' ἔστιν ἑκατέρου προσώπου οὐ θέλουσι· εἰ μὲν εὔπορος ἐστὶν ὁ φθορεύς, τῇ φθαρείσῃ κόρῃ διδότω χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως. εἰ δὲ παντελῶς εἴη ἄπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω. *Περὶ παρθένου φθορᾶς :— Περὶ τούτου ἀνάγνωθι τὸ περὶ ὕβρεως, καὶ τὸ περὶ πορνοβοσκῶν καὶ περὶ κλοπῆς :—*

εὑρήσεις δὲ οδ κεφ. ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτήν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ. εὑρήσεις δὲ οε κεφ. ὁ φθείρων κόρην πρὸ τῆς ἥβης, ἤγουν πρὸ τοῦ τρεισκαιδεκαετοῦς χρόνου, ῥινοκοπείσθω· καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ κόρῃ. ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ μὲν προαιρέσει τῆς κόρης, ῥινοκοπείσθω· εἰ δὲ ἀπροαιρέτως, μετὰ ταύτην τὴν ποινὴν καὶ τὸ τρίτον τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω αὐτῇ.

εὑρήσεις δὲ ος κεφ. ὁ ἔχων γυναῖκα καὶ πορνεύων, διὰ ιβ' ἀπλακτῶν σωφρονιζέσθω· καὶ ὁ μὴ ἔχων δὲ, καὶ αὐτὸς περιπίπτων ἁμαρτίᾳ, διὰ ἓξ ἀπλακτῶν σωφρονιζέσθω. ὁ μέντοι γυναῖκα ἔχων καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος, αὐτὸς μὲν τυπτόμενος σωφρονιζέσθω· ἡ δὲ δούλη ὑπὸ τοῦ ἐπάρχου ἐπαρχίαν πιπρασκέσθω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένος. ἀνάγνωθι καὶ τὸ να κεφ. λα τίτ. Δ ἐν τῷ φ. ὁ τὴν ἄνηβον φθείρων, σύζυγος μὲν ὤν, μεταλήξεται· ἔρημος δὲ τοῦ ναοῦ πέμπεται ἢ ἐξορίζεται. ἀνάγνωθι καὶ τὸ ζ κεφ. τοῦ α ὃ εἴρηται ἐν τῷ περὶ ἐπιτρόπων. ἀνάγνωθι καὶ τὸ δ τίτ. α κεφ. ιϛ :— *Περὶ τοῦ ἔχοντος γυναῖκας καὶ πορνεύοντος :—*

Περὶ φλυαρειῶν χαρτῶν τοῦ ἔξω ἐμπλεκομένων πιττακίων ἐξεχόντων καὶ τοῦ ποιεῖν καλαμῶν. ἀνάγνωθι τὸ ξτ ξε κεφ. α ἐν τῷ φ. φλοιῶν :— Δ

Πᾶς ὁ τὴν εἰδὼς φλυασίαν ἐσφραγισμένην ἢ ἀσφράγιστον, καὶ μὴ παρασχηκὼς καὶ ἐν
ἀλλὰ ἀναγινώσκων, ὑποκείσθω τῇ τιμωρίᾳ τῇ κειμένῃ ὑπὲρ τοῦ καὶ ὁ ζημιωθεὶς κατὰ τὴν–
φλυασίαν. ὁ σύρων φλυασίαν, μηδενὶ ἑτέρῳ λεγέτω τὴν δύναμιν αὐτῆς· ἀλλὰ διαρ-
ρήξῃ αὐτὴν ἢ καύσῃ. ὁ δὲ μὴ ταῦτα ποιήσας, κεφαλικῇ τιμωρίᾳ ὑποβληθήσεται.
πᾶς γὰρ θαρρῶν ἀνὴρ ἐν τοῖς ἐν τῇ φλυασίᾳ κατηγορείτω. γινώσκων δὲ ἐὰν ἀπο-
δείξῃ, τιμῆς ἀξιοῦται· μὴ ἀποδείξας δέ, τιμωρεῖται. ὁ δὲ τοιοῦτος χάριτι τὴν καθ᾽ οὗ
ἐλέγχει ὑπόληψιν μὴ βλάπτει:

ε´ Περὶ φόβου ὅτι τὸ κατὰ φόβον γινόμενον οὐκ ἔρρωται. ἀνάγνωθι β(ιβλίον) ι´ τ(ίτλον) β´. ὁ δι-
νος ἐν τῷ ε´ κε(φαλαίῳ) φησίν:

Ὅτι φόβον οὐ τὸν τυχόντα λεγόμενον, ἀλλὰ τὸν ἀπὸ μεγάλης κακώσεως, καὶ τὸν δυ-
νάμενον ἀνδρειότατον οὐ μόνον καταπτῆξαι. ἐν δὲ τῷ ιγ´ κε(φαλαίῳ)· ἡ διὰ φόβου αἰτίασις
μετ᾽ ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν δίδοται ὅτι ὑπέστη ἐπὶ αἰτίᾳ. ὁ δὲ κληρονόμος τοῦ
βιασθέντος, ἐντὸς μὲν ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν ἔχει τὴν διὰ φόβου αἰτίασιν· μετὰ δὲ τὸν
ἐνιαυτόν, οὔτε εἰς τὸ ἁπλοῦν. ἔχει γὰρ τὴν περὶ τῆς κληρονομίας ἀγωγὴν κατὰ
τοῦ βιασαμένου. βίαια γὰρ νομὴ οὗτος νέμεται. ὡς ἔχουσα δὲ ἡ διὰ φόβου αἰτίασις
πραγματικοῦ παντὸς ἐκβιβασμοῦ, δίδοται διαδόχοις. ἐν δὲ τῷ ιε´ κε(φαλαίῳ)· ἡ διὰ φό-
βου αἰτίασις δίδοται διαδόχοις ὡς ἔχουσα πραγματικοῦ παντὸς ἐκβιβασμοῦ.
κληρονόμοι δὲ εἰς τὸ περιγινόμενον ἐνέχονται. ὁ γὰρ αἰδέσως κληθεὶς οὐκ ὀφείλει κέρδος ἐνταυ-
τοῦ κληρονόμου. εἰ δὲ καὶ δαπανήσας τὸ περιελθὸν εἰς αὐτὸν ὁ κληρονόμος, οὐδὲν
ἧττον καὶ αὐτὸς καὶ οἱ κληρονόμοι αὐτοῦ καὶ μηδὲν εἰς αὐτοὺς περιελθὸν ἐνοχικῶς
ἐνάγονται. ἐν δὲ τῷ κθ´ κε(φαλαίῳ)· ἐὰν πειρατὰς ἢ στρατιώτας ἢ οἱουσδήποτε ἄλλους ζημι-
λάγματος ἢ ἐνοχῆς ἢ τελεσθὲν τὸ συμβόλαιον, ἢ τὸ δικαίωμα. φόβῳ θανάτου
ἢ βασάνων τοῦ σώματος ἐκβιασθέν, ἢ διὰ κεφαλικὰς ἀπειλὰς ἀπειληθῆναι περιστε-
θὲν διὰ ἄρχοντι τῆς ἐπαρχίας ἀποδεῖξαι δυνηθῇς, τοῦτο βέβαιον ἔχεσθαι οὐ τὸ τοῦ δυνάμε-
νου καταλάματος τόπου οὐκ ἀναγκάζεται. ἀνάγνωθι καὶ β(ιβλίον) ια´ τ(ίτλον) β´ κε(φάλαιον) κα´ ἐν τῷ ῥ(ητῷ). τὰς πα-
ρενεχθείσας φόβου ἕνεκεν διαλύσεις, βεβαίως χρὴ εἶναι τὰ δικαιώματα περιέ-
χεται. οὐχ ὁμοίως δὲ οἱοσδήποτε φόβος εἰς ἀνάγκην ἐκείνων τῶν κατὰ ζημίαν
περιεχομένων ἀρκεῖ. ἀλλὰ τοιοῦτον φόβον ἀποδείκνυσθαι χρή, ὅστις τὸν ἐπικείμενον
κίνδυνον, ἢ τὰς τοῦ σώματος κακώσεις περιέχει. ἀνάγνωθι καὶ β(ιβλίον) μγ´ τ(ίτλον) ε´ κε(φάλαιον) θ´ ἐν τῷ ῥ(ητῷ). ἐ-
άν τις διὰ θάνατον ἢ σώματος αἰκισμοὺς δεδοικὼς ὁμολογήσει ἐναγόμενος ἔχει
παραγραφήν. εἰ δὲ δοῦλος τοῦ ... αἰτίαν ὡμολόγησε, κρατεῖται. εἰ δὲ δι-
ὰ τὸ κατηγορηθῆναι ἐγκληματικῶς οὐκ ἔρρωται. περιέχεται περὶ φόβου καὶ ἐν τῷ περὶ

ἀποκαταστάσεως:

Περὶ φόνων τῶν ἐξ οἱασδήποτε προφάσεως γινομένων, ἑκουσίων τε καὶ ἀκουσίων· καὶ περὶ τῶν βασανιζομένων ἐν τῇ περὶ τούτων ἐξετάσει· καὶ τίνες τὸν φονέα τιμωροῦνται· καὶ τίνες συγγινώσκονται· ἀνάγ. βι. λϛ΄· οὗτινος ἐν τῷ ἀρχῇ φη:

Ὅτι παιδὸς τοῦ αἰχμαλώτου ἀναιρεθέντος, οἱ δοῦλοι βασανίζονται· καὶ ὅτι τοῦ πατρὸς ἀναιρουμένου, οἱ ἐν τῇ ἰδιοκτήτῳ περιουσίᾳ τοῦ υἱοῦ δοῦλοι βασανίζονται· εἰ δὲ αὐτεξούσιος ἐστὶν ὁ υἱός· καὶ ὅτι ἀνδρὸς ἢ γυναικὸς ἀναιρουμένου· οἱ ἑκάτεροι δοῦλοι καὶ οἱ τοῦ πενθεροῦ τιμωροῦνται· καὶ ὅτι ἐσφαγισμένος ἐστὶν, ὁ κατὰ βίαν ἢ σφαγὴν ἀναιρούμενος ἢ πνιγόμενος· ἢ κατακρημνιζόμενος· ἢ ἐν πληγαῖς ξύλων· ἢ λίθοις· ἢ σιδήρῳ τινὶ ἀκονητῷ· εἰ δὲ φαρμάκῳ καὶ ἑτέρῳ τινὶ δυναμένῳ λάθρα φονεύσαι ἀναιρεθῇ, οὐ βασανίζονται οἱ δοῦλοι· πλὴν βεβαίως εἰ ἔδωκε τὸ φάρμακον· οἱ δεδωκότες γὰρ ἢ ζῶντες δι' οὗ γινομένῳ κολάζονται· ὅτι ἐπὶ τοῦ ἀναιρεθέντος φαρμάκῳ καὶ ἡ διαθήκη πρὸ ἐξετάσεως ἀνοίγεται, καὶ ἡ κληρονομία κληρονομεῖται· καὶ ὅτι ὑπὸ τὴν αὐτὴν στέγην πάντως κολάζονται· ὑπὸ δὲ τὴν αὐτὴν στέγην νοοῦμεν τοὺς δυναμένους ἀκοῦσαι τῆς φωνῆς τοῦ φονευθέντος· καὶ ἡ δούλη δὲ κατὰ δύναμιν σώματι βοηθεῖν· ἀλλ' οὖν ὀφείλει κράζειν, ἵνα οἱ λοιποὶ ἀκούσωσιν ἢ οἱ γείτονες· τοῦτο δὲ μὴ ποιήσασα, ἐσχάτως τιμωρεῖται κἂν φόβῳ τοῦ ἀποθανεῖν οὐκ ἔκραξε· δεῖ γὰρ τοὺς οἰκέτας προκρίνειν τῆς οἰκείας σωτηρίας, τὴν τῶν δεσποτῶν· ἐν τῷ δ΄ τοῦ κε΄· ὁ διὰ βάρβαρον νόσον μὴ βοηθήσας, συγγινώσκεται· ἐὰν ἡ γυνὴ τοῦ δεσπότου ἐν τῇ περὶ τοῦ δούλου ὑπερβολῇ ναι αὐτῷ τὴν αἰτίαν τοῦ φόνου· οὐ πιστεύεται ἐὰν μὴ καὶ ἑτέρωθεν δείκνυται· ἐὰν ἐκ σοῦ δοῦλος κατηγορήσῃ καὶ διελέγξῃ τὴν ἀναιρέσιν τοῦ δεσπότου, ἀναρπάζεται δὲ τὴν ἐλευθερίαν κἂν ἐκεκώλυτο ἐλευθερωθῆναι· οὐ μὴν ἐὰν βασανιζόμενος ἐλέγξῃ τοὺς αἰτίους, καὶ οἱ ἐλευθερωθέντες ἐν τῇ διαθήκῃ τοῦ ἀναιρεθέντος· ὁμοίως τοῖς ἄλλοις οἰκέταις κολάζονται· ἐν τῷ δ΄ τοῦ ϛ΄ κε΄· εἰ δὲ καὶ δῆλος ἐστὶν ὁ πλήξας γίνεται ἡ ἐξέτασις ἵνα στρεφθῇ ὁ συνεργησάμενος· καὶ τιμωρεῖται ἐκ παντός· ὁ δὲ πλήξας πρεσβύτερος· ἐν τῷ δ΄ τοῦ ιβ΄ κε΄· καὶ ὁ λεγατευθεὶς ὑπὸ τοῦ ἀναιρεθέντος ἐλευθεροῦται διελέγξων τὸν φόνον αὐτοῦ· ἐν τῷ δ΄ τοῦ ιδ΄ κε΄· ἐὰν πλησιάζων τῇ ἰδίᾳ ἀνηβος περὶ ... ἀναιρεθέντα δεσπότην μὴ δημοσιεύσῃ τὸ γεγονὸς τιμωρεῖται· τοῖς γὰρ ὑπὸ τὴν αὐτὴν στέγην ἀνήβοις συγχωρεῖται· οὐ μὴν τοῖς ὑπερῆλιξι ἢ μείζοσι οὐ δυνάμενοι νοεῖν, τὸ πραττόμενον· οἱ γὰρ τοιοῦτοι, οὐδὲ ἐφ' ἑτέρᾳ αἰτίᾳ βοηθοῦνται· ἐν τῷ δ΄ τοῦ ιε΄ κε΄· ὁ δὲ ἐπίκοινος δοῦλος μηνύσας τὴν ὑπὸ τῆς φαμιλίας τοῦ ἑνὸς τῶν δεσποτῶν ἀναίρεσιν· ἐλευθεροῦται τοῦ μέρους τοῦ τιμήματος, τοῦ ἑτέρου διδομένου· ἐν τῷ δ΄ τοῦ ια΄ κε΄· δοκεῖ

τῷ δεσπότῃ βοηθεῖν χρεὶ καὶ ὅπλοις καὶ κραυγῇ, καὶ ὑποβάλλειν τὸ ἴδιον σῶμα·
τοῦτο δὲ δυνάμενοι ποιῆσαι καὶ μὴ ποιήσαντες, κολάζονται. Ἐν τῷ δ' κε' κεφ. ὁ
ἀναζητῶν τοὺς πρὸ τῆς ἐξετάσεως ἀποφυγόντας δούλους καὶ μηνύων τοὺς εἰς ἕνα ἕ-
καστον παραδοῦναι αὐτούς, ἐὰν λαμβάνῃ ἐκ τῆς οὐσίας τοῦ τελευτήσαντος· ἢ ἐὰν ἀ-
πορος ἐστὶν ἐκ τοῦ δημοσίου. αὐτ. β' ξ' τιτ. κε' ζ' κεφ. κατέχεται ὁ σιωπήσας τὸν ἐπιορ-
τάνῳ φονεύων. ὁ δὲ βάρος πολὺ βαστάζων ἐὰν ἐκτείνας ἢ ὀλισθήσας ἀνέλῃ δοῦλον
ὑπόκειται τῷ ἀκουιλίῳ. ὥσπερ καὶ ὁ ἀμελῶς διὰ τὸ πλοῦ πλέων καὶ ζημιῶν. εἰ
δὲ ἐθελήσαντος αὐτοῦ ἄλλου ἡ ζημία γέγονεν. ὁ ἐθελοντὴς ὑπόκειται τῇ τοῦ διπλοῦ
ἀπαιτήσει. ὁ ἐν τῷ παγκρατίῳ ἢ παγκρατιάζων ἢ ἑτέρως ἐν δημοσίῳ ἀγῶνι τὸν ἀν-
τίπαλον αὐτοῦ ἢ τραυματίσας, οὐχ ὑπόκειται τῷ ἀκουιλίῳ· δῆμος ἄρα ἐν τῷ εἶναι ὡς
ἢ τὸ ἀληθὲς τραυματίσει. δόξῃ τοῦ δημοσίου ἀγῶνος χώραν ἐπὶ δούλων οὐκ ἔχει·
μόνοι γὰρ οἱ ἐλεύθεροι ἀγωνίζονται δημόσια. εἰ δὲ ἰδίᾳ καὶ μὴ ἐν ἀγῶνι δημοσίῳ
τις ἀνέλῃ τὸν δοῦλον. ὑπόκειται τῷ ἀκουιλίῳ· ἤγουν τοῦ δεσπότου ἐπιτρέποντος —
πρὸς ἑαυτοὺς ἀγωνίζονται. καὶ ὁ τὸν ἀσθενῆ δοῦλον ἐλαφρῶς πλήξας, ἐὰν ἀποθάνῃ,
κατέχεται. ὁ μὴ φονεύσας ἀλλ' αἰτίαν θανάτου δεδωκώς, τῇ τοῦ διπλοῦ ἀπαιτή-
σει ὑπόκειται· ὡς ὁ δεδωκὼς φάρμακον ἀντὶ ἰατρείας, ἢ ξίφος τῷ μαινομένῳ· ὁ
μέντοι εἴξας εἰς ποταμὸν τινὰ ἢ λίθῳ φονεύσας, ὑπόκειται τῷ ἀκουιλίῳ. Ἐν τῷ
καὶ κε' ια' ἐν τῷ κεφ. Ἐάν τις σφαιρίζων ἐκβάλῃ τὴν σφαῖραν εἰς τὴν χεῖρα τοῦ κου-
ρέως, καὶ λαρυγγοτομηθῇ ὁ κουρευόμενος δοῦλος, ὁ κουρεὺς ἐνέχεται. ἐὰν ἐκού-
ρευσεν ἔνθα κατὰ συνήθειαν ἐγίνετο τὸ παιγνίον ἢ ἔνθα συνεχὴς ἦν ἡ πάροδος. εἰ
καὶ τὸ μάλιστα καλῶς λέγεται ἑαυτῷ ὀφείλει μέμφεσθαι ὁ ἑαυτὸν κουρεῖ καταπι-
στεύσας ἐν ἐπικινδύνῳ τόπῳ κουρεύοντι. ἐὰν ἄλλος κρατήσῃ καὶ ἄλλος ἀνέλῃ,
ὁ κρατήσας, τῇ ἀγωγῇ τῇ τοῦ διπλοῦ ἀπαιτήσει ὑπόκειται. ἐὰν πολλοὶ πλήξω-
σι, καὶ μὴ ἔστι δῆλον τῇ πληγῇ τίνος ἀπέθανε, πάντες ὑπόκεινται ὡς φονεῖς.
καὶ τοῦ ἑνὸς καταβαλόντος, οἱ λοιποὶ οὐκ ἐλευθεροῦνται. ἐὰν πολλοὶ δοκὸν ἐκτεί-
ναντες ἀνέλωσι. πάντες τῷ ἀκουιλίῳ ἐνάγονται. εἰ μέλλεις κρατῶν κύνα προσκρούσα-
σι αὐτὸν δάκνειν, ὑπόκειται τῷ ἀκουιλίῳ. εἰ δὲ μὴ κρατῶν ἠρέθισε, τῇ ἀγωγῇ-
τῇ τοῦ διπλοῦ ἀπαιτήσει. ποινὴ γάρ ἐστιν. ἐάν τις θανατηφόρως τραυματίσῃ καὶ ἄλ-
λος ἀνέλῃ. ὁ πρῶτος ὡς τραυματίσας καὶ ὁ δεύτερος ὡς ἀνελὼν ὑπόκειται. Καὶ
κε' ις' ἐν τῷ κεφ. Ἐὰν θανατηφόρως τραυματίσω δοῦλον, καὶ ἀποθάνῃ, ἐν συμ-
πτώματι ἢ ναυαγίῳ ἢ ἑτέρου πλήξαντος, οὐ κατέχομαι ὡς φονεύσας, ἀλλ' ὡς
τραυματίσας. εἰ δὲ ἐκποιηθεὶς ἢ ἐλευθερωθεὶς ἀπέθανεν ἐκ τοῦ τραύματος, ἐνά-

φ.

γεῖται ὡς φονεύσας. Καὶ κεφ. ιζ' καὶ κθ' τοῦ αὐτοῦ τίτλου. Ἐὰν κλαδεύσας ἢ ξυλοκό-
πος, κλάδον δένδρου ἐκτέμνας ἀνέλῃ τινά, εἰ μὲν περὶ δημοσίαν ἢ ἰδιωτικὴν ὁδὸν
γέγονε καὶ ἀπὸ ἀμελείας συνέχεται, τουτέστιν εἰ μὴ προέκραξεν, ἀμελῶς ἀλλ' ὅτι καὶ
τὸ περιστῆναι ἢ τότε ἔκραξεν, ὅτε τὸν θάνατον οὐκ ἐνῆν διαφυγεῖν. Εἰ δὲ μὴ δημοσία
πάροδος ἦν ἐκεῖθεν ἀπὸ μόνου δόλου συνέχεται· εἴπομεν δὲ ὃ προέφθη. Καὶ
κεφ. μη' τοῦ αὐτοῦ τίτλου. Ἐὰν ἀπὸ τῶν πληγῶν ἀποθάνῃ δοῦλος καὶ μὴ ἐξ ἀμελείας
τοῦ ἰατροῦ ἢ ἐξ ἀμελείας τοῦ δεσπότου, ἡ περὶ φόνου κινουμένη ἀγωγὴ ἁρμόζει.
δοῦλον ἐπιστάντος τοῦ ζῶντος αὐτοῦ σφαγιαζομένου καὶ ἀπέθανεν, οὐχ ἁρμόζει
ὁ ἀκουΐλιος κατὰ τοῦ ἐπιστάντος· οὐ γὰρ ἀμέλεια, ἀλλὰ τυχηρὸν συνέβη. Αὐτ. καὶ
τῆς ιβ' κεφ. να' καὶ τοῦ λθ' [illegible] τοῦ ξ' κεφ. [illegible]. ἀκινδύνως τοὺς φονεύοντας τοὺς βια-
ζομένους αὐτοὺς ἢ τοὺς αὐτοῦ πρὸς ἀσέλγειαν. Εἰ δὲ καὶ τὴν αὐτοῦ γαμετὴν συλλαβών-
τας, προσηκόντως ἐξορίζεται. Εἰ δὲ ἐν λ' κεφ. ἡ ποινὴ τῶν ἀνδροφόνων· ἐπὶ
μὲν τῶν εὐτελῶν, [illegible] ἐστι, καὶ [illegible] σημείωσις· ἐπὶ δὲ τῶν εὐσχημόνων, ξίφει
καὶ θηρίοις ὑποβληθῆναι. Εἰ δὲ ἐν ι' κεφ. οὐ [illegible] ἐπιβουλεύσας οὐ [illegible]
μενος φονεύειν, ὑπόκειται τῷ περὶ ἀνδροφόνων νόμῳ. Εἰ δὲ ἐν ιβ' κεφ. ἐν τοῖς
ἐγκλήμασιν οὐ τὸ τέλος, ἀλλ' ἡ διάθεσις σκοπεῖται. Εἰ δὲ ἐν ιγ' κεφ. οὐδὲν δι-
αφέρει τὸ φονεῦσαι καὶ τὸ παρασχεῖν αἰτίαν φόνου. Εἰ δὲ ἐν ιδ' κεφ. ὁ ἐντειλάμε-
νος τινὶ φονεῦσαι ὡς φονεὺς κρίνεται. Εἰ δὲ ἐν ιε' κεφ. ἐὰν ἐν μάχῃ φονευθῇ
τις, ἑκάστου τῶν συμπλακέντων ἡ πληγὴ σκοπεῖται· καὶ ὁ μὲν ἐκ ξίφους πλήξας
ἐφόνευσε, ξίφει τιμωρεῖται. Εἰ δὲ ὁ πληγεὶς οὐ τέθνηκεν, ὁ τὴν πληγὴν δεδωκὼς
χειροκοπείσθω. Διότι ὅλως ἐκ ξίφους δοῦναι ἐβουλήθη. Εἰ δὲ διὰ ξύλων ἢ
ἢ λίθων μεγάλων ἢ λακτισμάτων ὁ φόνος ἐγένετο, καὶ οὕτως οἱ τὸ τοιοῦτο πεποιη-
κότες χειροκοπείσθωσαν. Εἰ δὲ δι' ἐλαφροτέρων ποινῶν συμβῇ γενέσθαι τὸν θά-
νατον, τυπτέσθωσαν καὶ ἐξοριζέσθωσαν. Εἰ δὲ ἐν ιϛ' κεφ. ἐὰν ἐν μάχῃ, ἐν ᾗ
ὁ [illegible] τις καὶ φονευθῇ, τυπτόμενος ἐξοριζέσθω. Εἰ δὲ ἐν ιζ' κεφ. ὁ φονεύ-
σας τινὰ οὐ ψυχῇ φονεύοντος, μὴ κρινέσθω ἀνδροφόνος· εἰ μὴ ἄρα ὑπὸ στρα-
τιώτης. Συμμίξας δὲ σωφρονιζέσθω. Ἀπαιτεῖ δὲ ἡ διάταξις αὐτὸν τὸν φονεύσαν-
τα ἀποδεικνύναι ὅτι οὐ ψυχῇ φονεύοντος τὴν πληγὴν ἐπήγαγεν. Εἰ δὲ ἐν ιη'
κεφ. ὁ τὸν ἐπιτιθέμενον φονεύσας ἐν ᾧ περὶ τὴν ζωὴν ἐκινδύνευσεν, ἀνεύθυνός
ἐστιν. Εἰ δὲ ἐν ιθ' κεφ. τὸν λῃστὴν ἐπιόντα ἀκινδύνως ἔξεστι φονεύειν. Ἔξεστι
παντὶ τὸν ἐν τοῖς ἀγροῖς νυκτὸς ἐπιόντα ἢ παρακαθήμενον ταῖς ὁδοῖς καὶ οὕ-
τως ἐπιβουλεύοντα τοῖς παριοῦσιν, ἀκινδύνως ἀναιρεῖν. Καὶ στρατιώτης

περὶ τῆς ποινῆς τοῦ φόνου

ἔστι· κρεῖττον γὰρ ἐν τοῖς τοιούτοις βοηθεῖν ἑαυτῷ, ἢ μετὰ τὸ παθεῖν ἐπεξελθεῖν ἑαυτῷ τὴν ἐκδίκησιν. Ἐν τῷ φ΄ κε΄ κεφ. Ἐάν τις λακτίσας τινὰ φονεύσῃ, μὴ ψυχὴν ἔχων φονεῦσαι τοῦτον, μὴ κρινέσθω φόνου· τύχῃ γὰρ μᾶλλον ὀφείλει τὸ πταῖσμα λογισθῆναι. Ἐν τῷ φ΄ κϛ΄ κεφ. ὁ προσπαίζων ἐπὶ τὸ πλῆξαι αὐτὸν μετὰ σιδήρου, ὑπόκειται τῷ περὶ αὐθεντῶν φόνων νόμῳ. Ἐν τῷ φ΄ .. κεφ. Ἐὰν ὁ ἀνὴρ λέγηται ἐπιβουλεύειν τῇ γυναικί, ἢ ἡ γυνὴ λέγηται ἐπιβουλεῦσαι τῷ ἀνδρί, χρὴ καὶ τοὺς δούλους αὐτῶν εἰς τὴν ἐξέτασιν βασανισθῆναι τῆς ἀληθείας. Ἐν τῷ φ΄ λα΄ κεφ. Οἱ ἀξιωματικοὶ οὐχ ὑπόκεινται βασάνοις, εἰ μὴ ἐπὶ τῆς καθοσιώσεως. Εἰ δὲ καί τινες εὑρεθῶσι τὸν βασιλέα ἢ οἱανδήποτε μαντείαν ἐπαγγελλόμενοι, μηδενὶ προνομίῳ ἀξιώματος κεχρήσθωσαν. πρέπει γὰρ τῷ δηλουμένῳ περὶ αὐτὸν ἁμαρτήματι τιμωρεῖσθαι αὐτούς, ἐὰν ἐν τῷ κομιτάτῳ τι τοιοῦτον ἁμάρτωσιν. ἀνάγνωθι καὶ τὸ μ΄ τίτλον, ἐν ᾧ διαλαμβάνεται περὶ πατροκτόνων καὶ φονευτῶν παντοίων συγγενῶν. οὗ τίτλος ἐν τῷ α΄ κεφ. φησί· Ὁ φονεύων πατέρα ἢ μητέρα, πάππον ἢ μάμμην, ἀδελφὸν ἢ ἀδελφήν, θεῖον ἢ θείαν, ἀνεψιὸν ἢ ἀνεψιάν, ἢ τοὺς ἄλλους συγγενεῖς, ἄνδρα ἢ μνηστῆρα, ἢ γυναῖκα ἢ μνηστὴν ἢ γαμβρὸν ἢ νύμφην, ἢ πενθερὸν ἢ πενθεράν, πατρωὸν ἢ μητρυιάν, ἢ πρόγονον ἢ προγόνην, ἢ πάτρωνα ἢ πατρώνισσαν, ἢ κατὰ δόλον ποιήσας τοῦτο γενέσθαι, πυρὶ παραδίδοται· καὶ ἡ μήτηρ φονεύσασα τὸν υἱὸν ἢ τὴν θυγατέρα· καὶ ὁ πάππος τὸν ἔγγονον· καὶ ὁ ἀγοράσας φάρμακον ἐπὶ τῷ δοῦναι τῷ ἰδίῳ πατρί, κἂν μὴ δυνηθῇ δοῦναι. Ἐν τῷ φ΄ ε΄ κεφ. Οὐ μόνον οἱ φονεύοντες, ἀλλὰ καὶ οἱ συνίστορες καὶ ὅσοι ἐξωτικοί, τῇ τιμωρίᾳ τῶν πατροκτόνων ὑπόκεινται. ἀνάγνωθι καὶ τὸ θ΄ τίτλον ἐν τῷ α΄ κεφ. Ἐὰν ὁ δεσπότης λώροις ἢ ῥάβδοις τύπτῃ τὸν ἴδιον οἰκέτην, ἢ ἕνεκεν τοῦ φυλάξαι αὐτὸν δεσμὰ περιβάλῃ αὐτῷ, κἂν οὗτος ὁ δοῦλος δήποτε ἀποθάνῃ, οὐδὲν ἐντεῦθεν ὁ δεσπότης κινδυνεύει. Εἰ μέντοι τὴν δεσποτικὴν ἐξελθὼν συμμετρίαν βασάνους αὐτῷ ἐπαγάγῃ, ἢ πῦρ αὐτῷ προσάψῃ, ἢ ξίφει ἢ λίθοις ἢ ξύλοις αὐτὸν φονεύσει· θανατηφόρον αὐτῷ πληγὴν ἐπαγαγὼν ἢ προσέταξεν αὐτὸν ἀγχόνῃ χρήσασθαι, ἢ κρημνίσῃ ἑαυτὸν ἢ φάρμακον ἑαυτῷ θανάσιμον μετὰ τὸ ἐπενεγκεῖν, ἢ οὕτω πικρῶς ἑαυτὸν ἐβασάνισεν, ὥστε καὶ ἐν ταῖς βασάνοις ἀποθανεῖν, τότε μὴν καὶ τὰς φόνου δίκας ὑφέξει. ἀνάγνωθι καὶ τὸ νε΄ τίτλον γ΄ ἐν ᾧ φησί· οὐ πάντως ἑαυτὸν ἀνελόντος ἡ οὐσία δημεύεται· ἀλλὰ τοῦ κατηγορηθέντος ἢ τοῦ καταβληθέντος ἐπὶ μυσαρᾷ τινι πράξει· καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ᾽ ὅτε ἡ καταδίκη τοῦ ἐγκλήματος ἐστί τινι κατὰ τὸ θάνατον ἢ περιορισμὸν ἐπέφερεν ἢ δήμευσιν· ὁ μέντοι περὶ συμμετοχῆς κλοπῆς ἐναγόμενος ἐὰν ἑαυ

φ΄

τὸν ἀνέλῃ, οὐ δημεύεται ἡ οὐσία αὐτοῦ. οὐ γὰρ τοὺς ἀναιροῦντας ἑαυτοὺς διὰ τὸ μῖσος τῆς ζω-
ῆς· ἢ διὰ πόνον νόσου ἢ δι' ἑτέραν αἰτίαν. καὶ ὁ ἑαυτὸν ἀναιρῶν ἐπειδὴ τὸν ἴδιον υἱὸν ἤλεγ- Περὶ τοῦ ἑαυτὸν ἀναιροῦντος :
χε πεφονευκέναι· δοκεῖ διὰ τὴν λύπην τοῦ υἱοῦ τοῦτο ποιεῖν, καὶ οὐ δημεύεται ἡ οὐσία
αὐτοῦ. ὁ δὲ χεῖρας ἐπιβαλὼν χωρὶς αἰτίας καὶ μὴ ἐπιτυχών, τιμωρεῖται, ὡς ἑαυ-
τοῦ καταψηφισάμενος· ὁ γὰρ ἑαυτοῦ μὴ φεισάμενος οὐκ ἂν ἑτέρου φείσεται. ἀνάγνωθι καὶ
βι. ξ΄ τι. ε΄ κεφ. ιβ΄. καὶ βι. λε΄ τι. ις΄ κεφ. α΄ θέμα ζ΄ ἐν φόρῳ. Στρατιώτης ἑαυτὸν ἀνέλῃ, οὐχ ὥρα τί
ἐξελάσει. ἤμελλε ἄρα διωκόμενοι κωλύεσθαι οὐκ ἐκώλυσαν. ἡ δὲ διαθήκη τοῦ μὴ διὰ φό-
βου ἐγκλήματος, ἑαυτὸν ἀναιροῦντος, ἀνατρέπεται :

Περὶ φροντιστῶν δημοσίων τῶν ἐν ταῖς πόλεσι τῶν δημοσίων πραγμάτων
φροντιζόντων. ἀνάγνωθι βι. νζ΄ τι. ις΄ κεφ. λζ΄ ἐν φόρῳ : ζ΄

Οἱ ἐν ταῖς πόλεσι τῶν δημοσίων πραγμάτων φροντίζοντες μήτε περαιτέρω προσκαλέσωνται·
μήτε φυλακὴν ἐχέτωσαν ἰδικήν· μήτε κατεχέτωσαν παρ' ἑαυτοῖς τοὺς ἐπὶ ἐγκλήμασι
εὐθυνομένους. εἰ καὶ φανερὸν εἴη τὸ ἔγκλημα. οἱ δὲ παρὰ ταῦτα ποιήσαντες, κεφαλι-
κῶς τιμωρηθήσονται :

Περὶ φυγάδων δούλων. ἀνάγνωθι βι. ξ΄ τι. ιβ΄ κεφ. λδ΄ θέμα δ΄ ἐν φόρῳ ἴσου : η΄

Ἐὰν δύο δοῦλοι φυγεῖν ἀλλήλοις συμβουλεύσωσιν, οὐ δοκοῦσιν ἀλλήλων κλέπτειν. εἰ
δὲ ἀλλήλους ἔκρυψαν, ἀλλήλους δοκοῦσι κλέπτειν, καὶ τῶν ἀφ' ἑαυτοὺς πραγμάτων :

Περὶ φυλακιτῶν καὶ φυλάκων, καὶ φυλακῆς· καὶ τίνες ὑποβάλλονται τι-
μωρίαις οἱ ἀποδιδράσκοντες τῆς φυλακῆς καὶ οἱ φύλακες αὐτῶν. καὶ περὶ
τοῦ μὴ εἶναι φυλακὴν ἰδιωτικήν. ἀνάγνωθι βι. ξ΄ τι. λε΄. ὁμοίως ἐν τῷ ιβ΄ κεφ. φη΄ : θ΄

Οἱ ἀποφυγόντες τὴν φυλακὴν ἤτοι κλάσαντες αὐτὴν ἢ τοῖς λοιποῖς συμπνεύσαντες, κε-
φαλικῶς κολάζονται. εἰ δὲ κατὰ ῥαθυμίαν τῶν φυλάκων ἀπέφυγον, μετριώτερον
τιμωροῦνται. ἐν δὲ τῷ ιδ΄ κεφ. ἐὰν συμπνεύσαντες οἱ δέσμιοι ῥήξωσι τὰ δεσμὰ
καὶ τὴν φυλακὴν καὶ ἀποφύγωσιν· εἴτε ἀνεύθυνοι ὦσι τιμωροῦνται· εἴτε ὑπεύθυνοι
πλέον κολάζονται. εἴτε ἐφ' ἐγκλήματι ἀπήχθη ἐφ' ᾧ συνεχωρήθησαν. οἱ δὲ τὴν συνοδίαν
διελέγξαντες, ἀπολύονται. ἐν δὲ τῷ ηα΄ κεφ. ὁ καταχθεὶς μὴ ἐπὶ πολὺ χρόνον
μενέτω ἐν τῇ φυλακῇ. χρὴ γὰρ αὐτὸν ἢ συντόμως ἀπολυθῆναι, ἢ συντόμως τιμω-
ρηθῆναι. Κομενταρήσιος τὸν ὑπομνηματογράφον ἀφ' οὗ ἐμβληθῇ τις ἐν τῇ φυλα-
κῇ καθ' ἑκάστην ἡμέραν ἕως λ΄ ἡμέρας προσφέρειν τῷ ἄρχοντι τὴν γνῶσιν τῶν
ἐγκεκλεισμένων, ἐν ᾗ δεῖ περιέχεσθαι καὶ τὴν ποιότητα τῶν ἁμαρτημάτων. εἰ δὲ
μετὰ τοῦτο σιγήσῃ· ἢ ἐξ ἀπάξεις κ΄ λιτρῶν χρυσίου προστιμηθήσεται. ὁ δὲ ἄρχων
ἐκπίπτων τῆς ἀξίας. ι΄ χρυσίου λιτρῶν τοῖς ἠμελέσιν ἐνεχθῆναι θησαυροῖς. οὐ

δίχα δὲ ἐμβάλλεσθαι φυλακῇ χωρὶς κελεύσεως τῶν μεγάλων ἀρχόντων τῆς βασι-
λίδος πόλεως, ἐν δὲ ταῖς ἐπαρχίαις χωρὶς τῶν ταύτας ἰθυνόντων· ἢ τῶν κατὰ τόπον
ἐκδίκων. χρὴ δὲ τὸν ἐπίσκοπον κατὰ τετράδα καὶ παρασκευὴν ἐπισκέπτεσθαι διὰ τί
ἐνεβλήθησαν. καὶ εἰ μὲν δοῦλοι εἰσίν, ἐντὸς κ' ἡμερῶν ἐκβάλλεσθαι αὐτούς. ἢ σωφρο-
νιζομένους. ἢ τοῖς δεσπόταις παραδιδομένους. ἢ ἐὰν μὴ φαίνηται ὁ δεσπότης, ἀπο-
λύειν αὐτούς. εἰ δὲ ἐλεύθεροι εἰσὶν ἐπὶ ταξίᾳ κατεχόμενοι, παραχρῆμα κρίνειν αὐ-
τούς. ἢ ἐὰν περὶ ἄλλας οἱασδήποτε αἰτίας, παρασχεῖν αὐτοὺς ἐγγύας. εἰ δὲ μὴ ἔχουσιν
ἐγγυητάς. εἰ μὲν ἐγκλήματι κατέχονται χωρὶς φόνου, ἐντὸς λ' αὐτοὺς κρίνεσθαι. εἰ
δὲ κεφαλικόν ἐστι τὸ ἔγκλημα, ἐντὸς λ' ἡμερῶν. ἐὰν δὲ χρεία πλείονος ὑπερθέσεως
μηδαμοῦ παρέχοντος αἰτίαν τοῦ ἐγκεκλημένου, δοθῆναι αὐτῷ ἐπὶ ἐξωμοσίᾳ
ἵνα ἡ ψῆφος γένηται κατ' αὐτοῦ ἐὰν ἀπολειφθῇ. ἐὰν δὲ φόνου ἐστίν, εἰ μὲν ἀπὸ ἀνα-
φορᾶς δημοσιευόντων, ἐντὸς ἑξαμήνου κρίνεσθαι. εἰ δὲ τῶν δημοσιευόντων ὁ κα-
τ' αὐτοῦ ψεύδωνται, τῇ αὐτῇ ὑπόκεινται τιμωρίᾳ. εἰ δέ τις ἐπιφαινόμενος αἴτιος ἐγένετο
τῆς ἐνοχῆς, δίδοσθαι αὐτὸν ὑπὸ ἐγγύας. ἢ ἐὰν μὴ εὐπορῇ ἐγγυητοῦ, μένειν ἐν τῷ
δεσμωτηρίῳ. τέμνεσθαι δὲ τὴν δίκην ἐντὸς ἐνιαυτοῦ. [illegible]εως δὲ περὶ αὐ-
τοῦ γενομένης ὡς ὑπευθύνου, εἶναι αὐτὸν ἐν τῇ φρουρᾷ, ἕως ὅτε περαιωθῇ ἡ δί-
κη. εἰ δὲ ἡ ψῆφος γένοιτο περὶ τῶν ἐγκεκλημένων, ἐκβιβάζεσθαι αὐτήν, εἴτε χρη-
περὶ ἰδιωτικῶν φυλακῶν: ς' ματική ἐστιν εἴτε ἐγκληματική. ἀνάγνωθι καὶ τ. να' κεφ. ξ' τίτ. β'. καὶ τ. νε' κεφ. α' ἐν τῷ [illegible]. μὴ
ἐν οἱᾳδήποτε πόλει μήτε ἐν ἀγροῖς ἔστωσαν ἰδιωτικαὶ φυλακαὶ ἢ ἐν οἴκοις. ἀλ-
λὰ φροντιζέτωσαν τούτου καὶ οἱ τῶν ἐπαρχιῶν ἄρχοντες. ἐὰν δὲ ἐναντιωθῶσιν,
ὑποκείσθωσαν τῷ τῆς ἱεροσυλίας ἐγκλήματι. καὶ οἱ πρῶτοι δὲ τῆς τάξεως, τῷ αὐτῷ
ἐγκλήματι ἐνεχέσθωσαν. ἐκδικοῦντες ἅμα ἕνεκεν αὐτῶν τοῦ ἄρχοντι. ἐὰν τινὲς δὲ
οἱ ἁμαρτάνοντες ὑποκείσθωσαν τῷ περὶ καθοσιώσεως δικαστηρίῳ. ἢ ἐπιχειροῦντες μὴ
γίνεσθαι ἰδιωτικὰς φυλακάς. τοὺς δὲ τοῦτο πράττοντας, ὑποκεῖσθαι καὶ ἐπιτιμίῳ
καὶ διάγειν ἐν τῇ δημοσίᾳ φρουρᾷ τοσαύτας ἡμέρας, ὅσας δήποτε ἂν γένοιτο ὁ ἐγ-
κληθείς, ἐν τῇ γενομένῃ παρ' αὐτῶν φυλακῇ ὁποίας ἂν ὦσιν τύχης ἢ ἀξίας. ἐκπί-
πτειν δὲ καὶ τῆς δίκης τῆς ἁρμοζούσης αὐτοῖς κατὰ τῶν ἐγκαλουμένων, προνοίᾳ τοῦ
ἐπισκόπου καὶ τοῦ ἄρχοντος. εἰ δὲ ἐναντιωθῇ ὁ ἄρχων ὑφίστασθαι κίνδυνον
καὶ περὶ τὴν οὐσίαν καὶ περὶ τὴν σειαν. ἀνάγνωθι ε'
β' ιγ' τ. α' κεφ. χ' ϛ' β' νς' τ. ιζ'
κεφ. λς' ὅπερ ἐρ[illegible] ἐν [illegible]
περὶ φροντιστῶν.

ἀρχὴ σὺν θεῷ τοῦ χ στοιχείου:

α΄

Περὶ χηρῶν. ἀνάγνωθι β΄ νεαρὰν τὰ α΄ κεφ. ιϛ΄ τῆς β΄ ἐν τῷ φ στοιχείῳ:

Ἡ χήρα καὶ τὴν κατοίκησιν καὶ τὴν ἀξίαν ἐπέχει τοῦ τελευτήσαντος ἀνδρός, ἕως ἂν δευτερογαμήσει:

β΄

Περὶ χρέους ἀπαιτήσεως· καὶ περὶ τῶν χρεωστούντων καὶ χρεωστουμένων· καὶ περὶ ἐκστάσεως καὶ χωρισμοῦ καὶ πράσεως τῶν ὑπαρχόντων τῶν χρεωστῶν· καὶ τίνες προτιμῶνται εἰς τὴν ἐξώνησιν αὐτῶν· καὶ περὶ τῶν ἐκποιουμένων πρᾶγμα χρεώστου εἰς ὑπογραφὴν δανειστοῦ· καὶ περὶ διαφορᾶς χρέους καὶ δανείου· καὶ περὶ τῶν ἀρνουμένων τὰ ἰδιόχειρα ἔγγραφα· καὶ τοῦ μὴ ἐνέχεσθαι γαμετὴν ὑπὸ ἀνδρός, ἢ καὶ συναίνεσιν ἐν τοῖς δανειακοῖς γράμμασιν· μήτε μητέρα ὑπὲρ τῶν τοῦ παιδὸς χρεῶν, ἢ καὶ μερικὴν ἐποιήσατο καταβολήν· μήτε πατέρα ὑπὲρ παίδων· μήτε παῖδας ὑπὲρ πατρός· καὶ περὶ τοῦ μὴ κατέχεσθαι τὰ τῶν χρεωστῶν τέκνα παρὰ τῶν δανειστῶν εἰς ὑπουργίαν ἢ δουλικὴν ὑπηρεσίαν· μηδὲ κωλύεσθαι τὰ λείψανα τῶν χρεωστῶν· ἐπεὶ αὐτῇ

λόγου χρέους. ἀνάγ. β΄ ζ τῆς ϛ πρώτης κεφ. κβ ἐν τῷ φ στοιχείῳ:

Τὰς τῶν ἐναγόντων καὶ ἄρρενες καὶ γυναῖκες πρὸ τῆς ὡρισμένης προθεσμίας τῶν χρεῶν ἐνάγοντες καὶ κατὰ τοῦ ἐναγομένου βλάπτοντες· ἀλλὰ τοσοῦτον περιμενέτωσαν χρόνον μηδένα τόκον ἐν τῷ μέσῳ λαμβάνοντες· ὅσον αὐτοὶ προέφθασαν τὴν προθεσμίαν ἐπιχειρήσαντες· καὶ τοῦ χρόνου τούτου παρατρέχοντος, μὴ ἄλλως ἐναγέτωσαν· εἰ μὴ τὰ δαπανήματα τῆς προτέρας εἰσόδου τὰ ὑπὲρ τῆς μεθόδου συμβάντα τῷ δικαστηρίῳ καταβάλωσιν. ἐάν τις γὰρ λόγου χάριν ὁ χρεωστούμενος κατὰ δόλον καὶ μηχανὴν προσποιήσηται τὸν χρεώστην εἰς τὴν ὁμολογίαν αὐτοῦ ἐκδέχεσθαι, καὶ περὶ τὰ ἐξ αὐτοῦ ἀπαιτήσηται· εἰ μὲν πρὸ τῆς προκαταρξέως μεταμεληθῇ καὶ συνομολογήσῃ τὸν δόλον αὐτοῦ, μηδὲν ζημιούσθω· ἀλλὰ τὰ γὰρ τὰ ἀληθῶς αὐτῷ κεχρεωστημένα λαμβανέτω. ἐὰν δὲ προκατάρξαι καὶ ἀγωνίσῃ καὶ διελεγχθῇ τὸν δόλον πεποιηκώς, μὴ μόνον τῶν ὑπὲρ τῶν ἐκπεπτωκότων προστεθέντων· ἀλλὰ καὶ τῶν ἀληθῶς κεχρεωστημένων ἑτέρων γὰρ ἐκπιπτέτω. εἰ μὴ ἄρα ἡ δι᾽ ἄλλου γέγονεν ἡ τοιαύτη ὁμολογία ἐπὶ τοῖς ἐν τοῖς. οὔτε μετὰ διάλογον οὔτε μετὰ τὴν ὁμολογίαν ἔξεστί τινι διαβάλλειν τὴν ἤδη ὑπ᾽ αὐτοῦ γεγονυῖαν ὁμολογίαν. ἀνάγ. καὶ β΄ θ τίτλου γ κεφ. ιζ καὶ ιθ ἐν τοῖς φ. μεταξὺ τῶν ἐξ ὁμοίας αἰτίας ἐποφειλομένων, κάλλιον ἔσται ὁ προλαβών, καὶ οὐκ ἀφαιρεῖται ὁ τὸ ἐνέχυρον. γίνεται γὰρ καὶ αὐτὸ λόγος ἵνα μὴ δέδωται. καὶ κεφ. λα. ἀνάγ. καὶ τίτλου ε

Ἀνάγ. καὶ νεαρὰν α κεφ. β ἐν τῷ φ. ὅτι μὴ ἐχόντων χρυσίον τῶν χρεωστῶν ἀναλαμβανέτω ὁ δανειστὴς τὰ κάλλιστα τῶν πραγμάτων αὐτοῦ τοῦ ὑποδιατιμήσεως. καὶ κεφ. ξ περὶ τοῦ μὴ ὑβρίζεσθαι τὰ λείψανα τῶν τελευτώντων παρὰ τῶν δανειστῶν. καὶ νεαρὰν λ τοῦ μηδένα δανείζοντα γεωργῷ κρατεῖν τὴν ἐκείνου γῆν. καὶ νεαρὰν ριε τοῦ μὴ ἐξεῖναι τινὶ τοὺς κληρονόμους τοῦ τελευτήσαντος χρεώστου ἐντὸς ἐννάτου καθ᾽ οἱονδήποτε τρόπον ἐνοχλεῖν. ἐν νεαρᾷ λδ κεφ. θ τοῦ μὴ κατέχεσθαι τὰ τέκνα τῶν χρεωστῶν εἰς ἐνεχυρασμὸν ἢ δουλικὴν ὑπηρεσίαν παρὰ τῶν δανειστῶν· μήτε γυναῖκας δι᾽ ἰδίῳ ἀνδρὶ συναινούσας ἐν δανειακοῖς γράμμασι κατέχεσθαι. ἀνάγ. ε β ζ τοῦ κώδικος τίτλου λθ κεφ. ζ ἐν τῷ φ. ὅτι ὁ δανειστὴς κινεῖν ὀφείλει κατὰ τοῦ ἰδίου χρεώστου ἐντὸς τῶν τριάκοντα ἐτῶν τὴν ὑποθηκαρίαν. μετὰ δὲ ἐξωτέρω νεμόμενον bona fide τὸ ὑποκείμενον αὐτῷ· κινεῖν ἐντὸς ι καὶ κ ἐνιαυτοῦ. εἰ γὰρ μὴ ἀφελὲς νεμόμενος τουτέστι κακῇ πίστει ἕως λ ἐνιαυτῶν ἐνάγει αὐτόν. ἐὰν δὲ καὶ τοῦ δανειστοῦ μεταξὺ ἐπεγράφθη κινεῖν τὴν ἀρξαμένην ἀγωγήν, τότε τὰ μέχρι μόνου περικλείεται ἐντὸς εἴκοσιν ὁ χρεώστης. εἰ γὰρ ὁ τελευτήσας ἕως ἐντὸς τῶν λ ἐτῶν κινεῖν. ἔστω ὅτι δὲ οὐ περικλείεται ὁ δανειστὴς τὸ μέχρι. εἰ γὰρ ὅτι καὶ τοῦ χρεώστου κινεῖν κατέχοντος ὁ ὑποθετὸς αὐτοῦ ποτε ἐφρουρεῖ ἐκβάλλεται χρονίᾳ διὰ τὸ ποτε ὑπογραφῇ. ἐν δὲ τῷ ἡ χρεωστοῦ ὅτι περὶ τῶν ἐντὸς χρεώστου τῆς λ ἐτῶν χρόνος ἀφαιρεῖται. οὐκ ἀπὸ τῆς συστάσεως τοῦ συναλλάγματος· ἀλλ᾽ ἀφ᾽ οὗ ὁ τόκος ἄρξηται μὴ καταβάλλεσθαι:

ἐν τῷ δ΄ λαμβάνεται περὶ ἐκστάσεως ἐπιτρόπων. ὅθεν ἐν τῷ γ΄ κεφ. φη(σί)· ὁ ἐκ-
στὰς τῆς ἐπιτροπῆς, ὃ ὁ συνεπίτροπος ἀπαιτεῖται αὐτὸς δὲ ἀπὸ ἄλλου τινὸς ὀφείλεται.
ἐν δὲ τῷ ε΄ κεφ. ὁ μὴ τὸ ἐκστῆναι μετὰ ἀπολειπόμενος, οὐ παραχρῆμα ἀπέρχεται. τοῦτο δὲ
ἐκ τῆς ποσότητος διακρίνεται. εἰ δέ τις μηνιαίου ἢ ἐτησίου δαπανήματα διὰ οἴκου
αὐτῷ καταλείπει, οὐ περιποιηθεὶς ἐκ δευτέρου τὰ αὐτοῦ τὰ αὐτοῦ καὶ χρήσεις αὐτῷ
ἐδόθη ἢ κατελείφθη εἰς καθημερινὸν δαπάνημα. ἐν δὲ τῷ η΄ κεφ. οἱ ἐκστάντες τὸ
μὴ ἀρκέσαντες πληρῶσαι τοὺς δανειστὰς καὶ πάλιν ἐνάγονται παρὰ τῶν δανειστῶν. αὐτὸ
καὶ τὸ ς΄ ἐν τῷ λαμβάνεται περὶ τῶν ἐξ νομῆς πεμπομένων ἐπὶ τοῖς χρεωστοῦ-
πράγμασιν. καὶ τὸ ζ΄ ὅθεν ἐν τῷ ια΄ κεφ. φη(σί)· διαπράσεως γινομένης τοῦ ἐξέχω-
τικοῦ ὁ δανειστὴς ἢ ὁ συγγενὴς προτιμᾶται εἰς τὸ ἀγοράσαι. τοῦ δὲ συγγενοῦς, ὁ δανειστής.
ἐν δὲ τῶν δανειστῶν, ὁ τὸ πλέον χρεωστούμενος. ἐν δὲ τῷ λς΄ κεφ. οὐ συμπεριποιοῦνται
τοῖς τοῦ χρεώστου πράγμασι· παλλακὴ ἢ παῖδες φυσικοί· ὁ ἐπερωτηθεὶς τοῦ κληρο-
νόμου, κατὰ μετάθεσιν ὁ ἐξεδόθη ὁ διαθέμενος. καὶ λαβὼν τόκους παρ᾽ αὐτοῦ, οὐ
δύναμαι λοιπὸν αἰτεῖν χρεωστοῦ. ὥσπερ οὐδὲ ὁ ἐπιτυχὼν μὴ δέον. ὁ μισθώσας τὰ κλη-
ρονομιαῖα πράγματα τοῦ κληρονόμου, οὐκέτι αἰτεῖται χρεώστης. πλὴν εἰ μὴ φαί-
νονται τὰ χρήματα ἢ τὰ ἀνδράποδα ἢ τὰ θρέμματα. ἢ ἄλλο τι τῶν δυναμένων χω-
ρίζεσθαι. μετὰ προθεσμίαν τῆς προσκευάσεως, οὐκ ἀπαιτεῖται χρεώστης. τοῦτο παρὰ
τὸ σκοπὸν πραίτωρ ἄρχων, ὁ λαβὼν ἐνέχυρον ἀπὸ κληρονόμου, οὐκ ἀπαιτεῖται χρε-
ωστῶν. ἐν δὲ τῷ μβ΄ κεφ. οἱ τοῦ ἰδίου δανεισταὶ χρεωστοῦν ἀπαιτοῦντες. οὐ
δύνανται κατὰ τοῦ κληρονόμου ὑποστρέφειν. αὐτὸ καὶ τὸ η΄ ὅθεν ἐν τῷ κεφ. φη(σί)· εἰ
πρὸς περιγραφὴν δανειστῶν μου ἡ πρᾶξις τινὸς ἀγορῶν, ἀναιρεῖται τὸ πραχθέν,
κἂν μὴ ἀναδοθῇ μοι ἡ τιμή. ἐν δὲ τῷ θ΄ κεφ. ὁ ἐπὶ περιγραφῇ τῶν δανειστῶν ἐν εἰ-
δότι ἀγοράσας, δευτέρῳ πωλήσει, καὶ ὁ πρὶν ἀγοράζοντι, αὐτὸς μόνος εἰς τὸ πᾶν ἐνέ-
χεται· οὐχ ὁ ἀγοράζων παρ᾽ αὐτοῦ. ὥσπερ οὐδὲ ὁ ἐν ἀγνοίᾳ παρὰ τοῦ χρεώστου ἀγο-
ράσας. ἐν δὲ τῷ κεφ. λέγει ὁ πραίτωρ· ὅσα ἐπὶ βλάβῃ δανειστῶν ἄδικός τις
ἔπραξεν, ἐντὸς παρελθεῖν ἐνιαυτὸς ὁλόκληρος ἀποκαθίστασιν καθόλου δίκαιον μὴ ἐ-
γνώς, ὑπόκειται ἐκφανῶς αἰτίᾳ. ἡ δὲ ἀνάκλησις τοῦ πραττομένου γίνεται. εἰ
αὐτοὶ οἱ δανεισταὶ οὐκ ἠθέλησαν βλάπτεσθαι περιπεσοῦσι τὰ τοῦ χρεώστου πράγματα.
εἰ γὰρ ἐκείνους ἐπλήρωσεν, ἄλλους δὲ ἔχει. διὰ ἁπλούστερον τοῦτο ἔπραξεν, ἀργεῖ
ἡ ἀνάκλησις. εἰ δὲ τὰ χρήματα τῶν δευτέρων τοῖς πρώτοις δέδωκεν, ἀναιρεῖ-
ται. ἐὰν γένηται ἐπὶ περιγραφῇ δανειστῶν ὑπὸ χρεώστου τινὰ ἐμοὶ καὶ ἄλλοις,
φεύγοντα κρατῆσαι καὶ ἐξ ὧν ἐπέφερε χρημάτων λαβὼν τὸ χρέος. εἰ ὡς προ-

κάμ(ου). ÷ χρεωστοῦντι τῷ ἀνδρὶ ποιή-
σῃ ἀποχὴν ὡς τὸ προικῷον,
ὅλον τὸ χρέος ἀπαιτεῖται ὁ ἀ-
νήρ, καὶ σβέννυται ἡ προῖξ. οὐ γὰρ γίνεται προῖξ ἐπὶ περιγραφῇ δανειστῶν.

περὶ τῶν διαπράσεως τῶν χρεωστοῦ πραγμάτων. καὶ τίνες προτιμῶνται εἰς τὴν ἐξώνησιν αὐτῶν.

περὶ χρεωστοῦ.

ἐὰν εἰς περιγραφὴν δανειστοῦ πραχθῇ τι πρᾶξις τινος.

ζήτει πᾶς ἀκέραιος.

χ'

τὸ περιφθῆναι τοὺς δανειστὰς τῆς νομῆς, ἀρκεῖ ἡ ἐμφάνεια. ἐν δὲ μεταξὺ ταῦτα, χώ-
ραν ἔχει. ἐν τῷ δ' ια'. εἷς ἐνιαυτὸς ἀφ' οὗ παρέλθῃ τὰ τοῦ χρέους ψηφίζεται.
ἀπαιτεῖται δὲ τόκοι καὶ καρποί, ὅτι κληθῆναι δύναται ἐπὶ τὸ περιγράψαντος. ὑ-
πεξαιροῦνται δὲ τὰ ἐπ' αὐτοῖς ἀναγκαῖα δαπανήματα. μετ' ἐνιαυτὸν ἡ ἀγωγὴ αὐτὴ
τῷ περιγραφομένῳ δίδοται· ἵνα μὴ ἐξ ἀπάτης κερδαίνῃ. εἴτε τῷ τὸ περιγράψαντι εἴτε τῷ
ἄλλον περιῆλθεν. ἢ καὶ δόλῳ οὐ περιῆλθεν. δίδοται δὲ κληρονόμοις καὶ διαδόχοις.
καὶ κατὰ κληρονόμων καὶ τῶν ὁμοίων. μόνον μέχρι τοῦ περιελθόντος. ἐν τῷ δ' ιε'
κεφ. εἰ ἄπορος ὢν ἐπὶ περιγραφῇ πάντων τῶν δανειστῶν ἐλευθερώσω δούλους
ἐν διαθήκῃ. εἶτα πληρωθῶσι πάντες, δανεισταὶ δὲ πρὸ ἔτους ἔρρωνται αἱ ἐλευθε-
ρίαι. τῷ γὰρ τὸ ἀγαθῶσαι πάντας, καὶ γνώμην καὶ ἀποτέλεσμα δεῖ συνδραμεῖν.
ἐν τῷ δ' κζ' κεφ. ἡ διάταξις λέγει. ὅτι καὶ τὰ προῖκα τις ἔδωκεν τὰ ἀναλόγως περι-
ἐπὶ περιγραφῇ τῶν δανειστῶν. δύναται ἐκδικεῖσθαι οἱ λαβόντες. ἀνάγνωθι καὶ τὸ θ' ἐν φ.
λαμβάνεται περὶ χρέους δημοσίου καὶ προικιμαίου. καὶ ὅτι τῶν μὲν ἄλλων
δανειστῶν καὶ τῶν πρεσβυτέρων προτιμῶνται. ἐν ἐκκαλέσει δὲ νικᾷ ἡ προτίμησις.
καὶ ὅτι τὸ προνόμιον τῶν γυναικῶν τοῖς κληρονόμοις αὐτῶν οὐ διαβαίνει πλὴν εἰς
παῖδας. περὶ τούτου δὲ τοῦ τ' ὁρισμοῦ πλατύτερον κατωτέρω ἔνθα περὶ παντοίου
χρέους προτιμήσεως λεχθήσεται. ἀνάγνωθι καὶ τὸ ια' τ. α' κεφ. ι' ἐν φ. ὁ τοῦ ἐγχώρου
ἀναδόσεις. οὐκ ἔχει τοῦ χρέους συγχώρησιν. δεῖ μὴ τοῦ τοιδικῶς ἐπιδοξε. καὶ
κεφ. λη' ἐν φ. ὁ παραχωρηθεὶς μέρους χρέους, καὶ συμφωνήσας τὸ λοιπὸν
τῇ προθεσμίᾳ καταβαλεῖν ἢ ἐπιδιδόναι τὸ πᾶν. ὑπερήμερος γινόμενος, ἀπαιτεῖ-
ται τὸ ὅλον. καὶ κεφ. λθ' ἐν φ. ὁ τοῦ μέλλοντος χρόνου λαμβάνων τόκον. σιωπη-
ρῶς συμφωνεῖ μὴ ἀπαιτῆσαι τὸ κεφ. ἐν τῷ τέως, τὸ δὲ αὐτὸ σύμφωνον εἶναι δύναται.
ἀπὸ μὲν τοῦ ἑνὸς μέρους, προσωπικόν. ἀπὸ δὲ τοῦ ἑτέρου γενικόν. ἐὰν γὰρ ὑπῶ ἐγὼ
οὐκ ἀπαιτήσω, οἱ κληρονόμοι καὶ σὲ καὶ τοὺς κληρονόμους σου ἀπαιτοῦσιν. εἰ δὲ
ὑπῶ σὲ οὐκ ἀπαιτῶ, κἀγὼ καὶ οἱ κληρονόμοι τοὺς κληρονόμους σου ἀπαιτοῦσιν.
ἀνάγνωθι καὶ τὸ ιε' τ. δ' κεφ. ιη' καὶ κα' ἐν φ. ὁ χρεώστης καταλαβὼν ἀπροσδοκήτῳ
κινδύνῳ ἀποκατάστασιν ἔχει ἀγωγήν. ἀπαιτῶν καὶ τὸ χειρόγραφον αὐτῷ ἀναδοθῆ-
ναι καὶ τὰ ἄλλα δικαιώματα τὰ ἀνήκοντα τῷ συναλλάγματι. ἀνάγνωθι καὶ τὸ ιζ' τ. θ'
κεφ. ιβ'. καὶ τὸ κγ' τ. α' θέματος ἐν τῷ ε' κεφ. φ. ὁ χρεωστῶν μοι τι. ἐὰν ἐμποδί-
σῃ δοῦναι αὐτὸ καὶ ἀπόληται, αὐτὸς ζημιοῦται. ἐμποδίζει δὲ οὐ μόνος ὁ ἐγνωκὼς
ὀφείλειν καὶ μὴ δεδωκὼς ἢ δηλῶν μὴ ἐγνωκώς. ἀλλὰ καὶ ὁ δηλοποιῶν ὀφείλων εἰ-
δέναι ὡς ἔλεγεν αὐτὸ δοῦναι. ἐν τῷ δ' ια' κεφ. ἐὰν δανειστοὶ ... ἐπὶ τὰ-

ποδοθῆναι μοι τὸ ὀφειλόμενα τὰ ἐνέχυρα. εἰ δὲ ἐπὶ τῷ ἀποδοῦναι τὰ τίμια ἀ-
παιτεῖ. ἐν τῷ αὐτῷ νε κεφ. ἐάν τις δανείσηται χρήματα ἢ καὶ εἰς ἀλλότρια πράγματα ἐ-
δανείσατο, αὐτὸς ἐνέχεται μὴ περιεργαζομένων ἡμῶν τὴν αἰτίαν. ἐν τῷ αὐτῷ να κεφ. ὁ
δανείσας ἄρχοντι ἐπάρχου. ἐὰν ἐν τῇ ἐπαρχίᾳ τις ἄρχων προστάττηται ὀφείλων λαβεῖν
παρ' αὐτοῦ τὰ κεχρεωστημένα, ἐπειδὴ πρόξενος αὐτῷ γίνεται κλοπῆς ὡς ἀθεμι-
τῆς τῶν νόμων ἐξορκιζέσθω. εἰ δὲ μέλλοντι αὐτῷ ἄρχειν δανείσει τὴν δόσιν τῆς ἀρχῆς·
αὐτὸς καὶ ὁ ἄρχων ἐξορκιζέσθω. ἐν τῷ αὐτῷ νθ κεφ. ἐὰν προφέρει τινὸς συγγραφή-



ν ὁ δὲ αὐτὴν ἐξαρνοῖτο καὶ ταῦτα γράμματα ἔχουσαν αὐτοῦ. ὡς ἀναγκασθῆναι τὸν
δανείσαντα πράγματα ὑπομεῖναι περὶ τὴν ζήτησιν αὐτῆς. ἢ τὰς τῶν γραμμάτων δείξεις
φθάσαι δὲ μὴ καταβεβλῆσθαι τὸ χρέος αὐτῷ καὶ συναινεῖ τοῖς νομίμοις τρόποις
ὁ δανείσας. τὴν καταδίκην κατὰ τὸ διπλασίαν ἐφ' ἑκατέρου θέματος γίνεσθαι
θεσπίζομεν· οὐχ ὅτι τὰς προκελεύσεις τῶν νόμων ἠδούμεθα. ἀλλ' ὅτι τὰς δίκας διὰ
τούτων ἧττον ἀποτελοῦμεν. ὥστε τῷ δεδιότι τὰς ποινὰς ἧττον αὐτοὺς λέγειν. ἀπρόσμα-
χον πρόσωπον. ταῦτα δὲ φαμέν, ἤτοι περὶ τὰς ἀποδείξεις ὁ δανείσας ἀπέστω ὅρ-
κῳ τὸν φεύγοντα τὴν μέχρι νῦν ἄρνησιν χρῆναι βούλεσθαι. εἰ γὰρ βιοῦν τὴν πρᾶ-
ξιν. εἰ γὰρ δὲ εὐθὺς ἐξ ἀρχῆς ἐν τῇ ἀρνήσει ἐπαγάγει τὸν ὅρκον. κἀκεῖνος εὐθὺς
ὁμολογήσει τῆς ἀρνήσεως ἐνεχθῆναι. ἀκινδύνως τε εἰς τὸ διπλάσιον ἔσται. εἰ
δὲ μακροτέρας γενομένης τῆς δίκης τηνικαῦτα ὁ δανείσας ἐπαγάγει τὸν ὅρκον. ὁ
δὲ καὶ οὕτως τὸ ἐπαγόμενον ὁμολογήσει. τῆς τοῦ διπλασιασμοῦ αὐτὸν ἐξαιρου-
μένου ποινῆς. πᾶσαν δὲ τὴν δαπάνην τὴν μέχρι τότε γενομένην διὰ τὰς ἀποδείξεις
τῷ ἐνάγοντι τῷ ὅρκῳ τούτου κρινομένην. καταβάλλειν τὸν τὴν ἀρχὴν ἐξ ἀρνησα-
μένου ὕστερον δὲ ὁμολογήσαντα κελεύομεν. εἰ δέ τις τὴν ἀείδησιν ἐπ' αὐτῷ γενέ-
σθαι τῶν χρημάτων ἀρνησάμενος. εἶτα ὕστερον χρῆσιν καταβολαῖς παρ' αὐτοῦ γενομέ-
ναις. τῷ τοιούτῳ μηδὲν ὄφελος ἐν τοῖς φανείσαις καταβεβλημένων θεσπίζομεν· ἀλλ' ὁ-
λόκληρον αὐτὸ τὸ χρέος ἀπαιτεῖσθαι κελεύομεν. καὶ ταύτην μόνην ὑπέχειν τῆς ἀρνήσε-
ως τὴν ποινήν. οὐδενὸς τῶν δικαζόντων οὐδὲ πρὸς τοῦτο ὑποκλινομένου. ἀλλὰ τὴν ἀ-
κρίβειαν τῶν νόμων φυλάττοντος. εἰ δὲ καὶ ὁ φεύγων προκομίσει γράμματα τοῦ δανεί-
σαντος. εἶτα ἐκεῖνος ταῦτα ἀρνηθῇ. ὁ ἐξουσίᾳ τούτοις. μὴ μόνον ἐκεῖνο χρεωστεῖσθαι-
περιούσας ἀρνήσεως. ἀλλὰ καὶ τούτῳ ἑτέρου προσκαταβάλλειν. κἀνταῦθα δὲ
ὁ περὶ τῆς τῶν ὅρκων δόσεως. ὁμοίως καὶ ἐπὶ τοῦ ἐνάγοντος ἐξετάζεσθω λόγος. αὐτῆς καὶ τ-
ὁ αὐτὸ ἐν τῷ α κεφ. θεσπίζομεν ἐκείνου τελοῦντος τοῦ νομιζομένου ἐπι-



χρεωστῶ αὐτῷ. κατασχεῖν τὴν οἰκίαν τὴν αὐτοῦ καὶ ἐγκλείειν πρὸ ὀλίγου τοὺς ἀποθανόντος

οἰκείους τοὺς αὐτοῦ· γαμετήν φαμὲν καὶ παῖδας καὶ οἶκον ὅλον. ἢ καὶ σήμαντρα
καὶ οἰκίαν ἐξουσίαν ἐπιθεῖναι τὸ λοιπόν. μὴ πρότερον ψήφου καὶ τάξεως νο-
μίμης τὴν τοῦ λεγομένου χρέους τὴν τιμωρίαν φυλαχθείσης. τῆς γὰρ αἰτίας πάντως
ὅτε δικαίαν ἔχοι ταύτην ὅτε καὶ μή. ἐκπιπτέτω ὁπόσον δ' ὀφείλεσθαι λέγει. τοῦ
τον ἑτέρων προσαπαιτείσθω. καὶ διδότω τοῖς τοῦ πειθομένου κληρονόμοις·
διπλάσιον δὲ ὅσον τι εἶναι τῆς περιουσίας ὑφίστασθαι. καθὰ καὶ Μάρκος ὁ φιλόσο-
φος τῶν αὐτοκρατόρων ἐπὶ τοῦ ἑαυτοῦ γέγραφε νόμου, καὶ ἀτιμίᾳ πληττέ-
σθω. ὁ γὰρ τὴν αὐτοῦ φύσιν οὐκ αἰδούμενος, δίκαιος ἂν εἴη καὶ χρήμασιν καὶ δό-
ξῃ καὶ τοῖς ἄλλοις ἅπασι ζημιοῦσθαι. εἰ δὲ καὶ τελευτήσαντός τινος, περὶ τὴν ταφὴν
ἁμάρτοι τις τοῦ τελευτήσαντος καὶ τὴν ἐκφορὰν κωλύοι. γέγραπται μὲν ἤδη νόμος
καὶ τῷ ἡμετέρῳ περὶ τούτων. πλὴν ἀλλὰ καὶ ἐξ ἡμῶν μάλιστα ἐπιτετάσθω τοῖς
πλημμελήμασι ποινὴ καὶ τοῖς αὐτοῖς ὑποκείσθω. οἷς ὁ πρῶον ὑπαγορεύει νόμος -
τοὺς ἐν ζωῇ τοιοῦτόν τι ὁποῖον ἔφημεν πλημμελήσαντας. ἀλλὰ μηδὲ τοὺς κληρονό-
μους τοῦ τελευτήσαντος ἢ τοὺς γονεῖς ἢ τοὺς παῖδας ἢ γαμετήν, ἢ τοὺς ἄλλους συγγε-
νεῖς καὶ προσγενεῖς ἢ ἐγγυητάς. μηδένα παντάπασιν ἐξεῖναι θεσπίζομεν περὶ τὰς τῶν
θʹ ἡμερῶν προθεσμίας, ἐν αἷς πενθεῖν δοκοῦσιν. ἐνοχλεῖσθαι ἢ καθ' οἷον δήποτε τρό-
πον παρενοχλεῖν ἤ τινα ὑπόμνησιν αὐτοῖς ἐπιφέρειν. ἢ ἐν δικαστηρίῳ αὐτοὺς κα-
λεῖν. ὅτε ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγινομένου. ὅτε ἄλλης οἱα-
σοῦν αἰτίας χάριν. δεῖ δὲ τὰ μνημονευθέντα ἰδικῶς ὁρισθείσης προθεσμίας. εἰ δέ τινες
τῶν θʹ ἡμερῶν τούτων τινὰ τῶν εἰρημένων κρατοῖεν προσώπων. ἢ μεθοδεύ-
σοιεν ἤ τινα ὁμολογίαν ἢ ὑπόσχεσιν παρ' αὐτοῦ ἢ ἐγγύην κομίζεσθαι. ταῦτα πάν-
τα ἄκυρα εἶναι θεσπίζομεν. μετὰ δὲ τὴν τῶν θʹ ἡμερῶν προθεσμίαν, ὅτε κατὰ
τῶν τοιούτων προσώπων τινὰς ἔχειν νομίσειεν αἰτίας, ταύτας κατὰ τὸν νόμον ἐγκι-
νησάτω. μηδενὸς δηλαδὴ τοῖς ἐναγομένοις προκειμένοις ἐν ταύτῃ τῇ προθεσμίᾳ
περὶ χρονίαν παραγραφήν, ἢ ἐν ἄλλῃ οἱᾳδήποτε νομίμῳ δικαιολογίᾳ παντε-
λῶς γινομένου. εἰ δὲ τὸ ἐκτός. ἐπειδὴ δὲ καὶ τοιαύτην ἀσέβειαν ἐν διαφό-
ροις τόποις τῆς ἡμετέρας πολιτείας ἔγνωμεν ἁμαρτάνεσθαι. ὅτι οἱ δανεισταὶ τὰ τέ-
κνα τῶν χρεωστούντων τολμῶσι κατέχειν. ἢ εἰς ἐνέχυρον. ἢ εἰς δουλικὴν ὑπηρε-
σίαν. ἢ μισθοῦν. τοῦτο πᾶσι τόποις κωλύομεν. καὶ κελεύομεν ὅτε τι τοιοῦτόν τι πλημ-
μελήσει μὴ μόνον ἐκπίπτειν αὐτὸν τοῦ χρέους. ἀλλὰ καὶ τὸ τοσοῦτον ἄλλον ποσό-
τητα καταδικάζεσθαι δοθησομένην τῷ κρατηθέντι παρ' αὐτοῦ. ἢ τοῖς γονεῦσιν αὐ-
τοῦ. καὶ μετὰ τοῦτο, καὶ σωματικαῖς ποιναῖς αὐτὸν καθυποβάλλεσθαι, παρὰ τοῦ

ff.

περὶ γυναικὸς συναινεσάσης τῷ ἀνδρὶ αὐτῆς δανειζομένῳ :—

κεφ. τόπου ἀρχόντων. ἐπειδὴ πρὸ τόπου ἐλεύθερον ὑπὲρ χρέους ἐπώλησε κατὰ χρῆν ἢ ἐμισθώθη ἢ ἐνεχυράσθη. εὕρηται δὲ ἐν τῷ ε΄ κεφ. θέλει τὴν ἐν δανειακῷ γραμματίῳ γυναῖκα συναινοῦσαν τῷ οἰκείῳ ἀνδρὶ ἢ ὑπογράψαι, καὶ τὴν οἰκίαν περιουσίαν ἢ ἑαυτὴν ἔνοχον ποιοῦσα. κελεύομεν μηδένα τοιοῦτον ἰσχύειν ἢ κρατεῖν. εἴτε ἅπαξ εἴτε πολλάκις τοιοῦτόν τι ὑπὲρ τοῦ αὐτοῦ πράγματος γένηται. εἴτε ἰδιωτικὸν εἴτε δημόσιον εἴη τὸ ὄφλημα. ἀλλ' ὥσπερ εἰ μὴ γεγραμμένον ἦν. εἰ μὴ φανερῶς ἀποδειχθῇ, ὅτι τὰ χρήματα εἰς ἰδίας χρείας τῆς γυναικὸς ἐδαπανήθη. ἀνάγνωθι καὶ τὸ κδ΄ τὰ κεφ. ις΄ καὶ λα΄. ἀνάγνωθι καὶ τὸ γ΄ τίτλ. ἔνθα α΄ κεφ. φι. ὁ διαδεχόμενος στρατιώταις τῷ δημοσίῳ χρεωστῶν. ἐὰν εὔπορος εὑρεθῇ, ὀφείλουσιν οἱ τούτου χρεῶσται κἂν μὴ αἱρετῶς χρεωστοῦσιν, ἀπαιτεῖσθαι πρὸ τοῦ ὡρισμένου χρόνου καὶ ἀπαιτεῖσθαι τὰ κεχρεωστημένα. εὕρηται δὲ ἐν τῷ ζ΄ κεφ. ἀνὴρ ἔχων δανειστάς, ἐμίσθωσε τὸν ἴδιον ἀγρόν. ὁ δὲ μισθωτὴς τὸ συναρέσαν μίσθιον καταβάλλει τῷ μισθωτῇ. μετὰ ταῦτα ἐλθόντες οἱ δανεισταί, ἐβούλοντο τὸν μισθωτὴν ἀπαιτεῖσθαι. καὶ ἡ διάταξις ἀρνεῖται τὴν μεθοδείαν λέγουσα οὕτως. διὰ τὰς αἰτίας τοῦ ἰδιάζοντος χρεώστου μισθωτὰς μεθοδεύεσθαι τοὺς μισθωσαμένους τοῖς κανόσι καὶ τὸ συναρέσαν τε μίσθωμα τὸ ἱκανὸν ποιήσαντας. πάνυ ἄδικόν ἐστιν. εὕρηται δὲ ἐν τῷ ι΄ κεφ. ὁ δανειστὴς αὐτὴν καταβολὴν λαβὼν παρὰ τοῦ ἰδίου χρεώστου γραμματείου τινὸς ἄλλου αὐτοῦ τῷ χρεώστῃ ὑποφείλοντος, ἔχει καὶ τὰς ὑποθήκας ἀπαιτῆσαι. εἰ δὲ περιγένεσθαι ἑκατέρου δανεισταὶ ὑποθήκας ἔχοντες ἐπὶ ... τὰ πράγματα, παρὰ ἀδυνάτου χρεωστοῦ οὐκ ἀποσπῶνται. εὕρηται δὲ ἐν τῷ ια΄ κεφ. ἡ κατὰ τοῦ χρεώστου προθεσμιακὴ ἀγωγή, οὐκ ἀναιρεῖται κἂν ὁ δανειστὴς ἐπιλέξηται τὰ ἐνέχυρα. ἀλλὰ λογίζεται μὲν εἰς τὸ χρέος τὸ τίμημα τοῦ ἐνεχύρου. τὸ δὲ ὑπόλοιπον ἀπαιτεῖ διὰ τῆς προθεσμιακῆς ἀγωγῆς. εὕρηται δὲ ἐν τῷ ιε΄ κεφ. ὁ δανείσας μισθωτῆς. οὐ δύναται τὸν δεσπότην αὐτοῦ ἀπαιτεῖν. οὐ δὲ πρὸ τούτου αὐτοῦ ἐδάνεισεν. οὐκ ἀναγκάζονται οἱ ἄποροι χρεῶσται δουλεύειν τοῖς ἰδίοις δανεισταῖς. ἀνάγνωθι καὶ τὸ δ΄ ἐν τῷ φι. τὸ μὴ ἐνάγεσθαι ἄλλον ἀντ' ἄλλου. εὕρηται δὲ ἐν τῷ β΄ κεφ. φι. οὐ δὲ ἐὰν ὁ ἀνὴρ δημευθῇ, (γυναικὸς) τὰ δημεύονται τὰ πράγματα τῆς γυναικός. εὕρηται δὲ ἐν τῷ δ΄ κεφ. μήτηρ ὑπὲρ τοῦ παιδὸς χρεῶν μηδεμίαν ποιησαμένη καταβολήν, κατὰ ἀπαιτουμένη καὶ τὰ λοιπὰ πράγματα. ἐδεήθη βασιλέως, καὶ ἀντέγραψε πρὸς αὐτὴν ἡ ἀρχή. ὅτε δὲ καὶ μέρος τῶν χρεῶν τοῦ παιδὸς κατέβαλες, τὰ λοιπὰ πράγματα οὐκ ἀναγκάζει. ἀνάγνωθι ε΄ τ ε ἐν τῷ φι. περὶ τῶν μὴ τὴν χρεωστεῖ ἐνεχομένων ὑπὲρ ὧν ἐν δούλοις ἐχρεώστησαν. ἀνάγνωθι καὶ τὸ ς΄ ἐν τῷ διαλαμβάνεται περὶ μὴ χρεωστουμένων, καταβληθέν

λ'

λων δὲ καὶ ἀπαιτουμένων. περὶ ὧν περιέχεται ἐν τῷ περὶ ἀπαιτήσεως. ἐν δὲ τῷ ξε κεφ. τοῦ αὐτοῦ ξ τιτ. οὐκ ἀπαιτεῖ ὁ δημόσιος τοὺς χρεώστας τοῦ ἰδίου χρεώστου. εἰ μὴ ὅτε αὐτὸς ὁ πρωτότυπος ἄπορος εὑρεθῇ. ἀνάγνωθι καὶ τὸ ζ ἐν ᾧ διαλαμβάνεται περὶ κληρονομιαίων χρεῶν. οὐδενὸς ἐν τῷ δ κεφ. τιτ. κἂν ἄνηβος κληρονομήσῃ τινά, ὀφείλει τὰ κληρονομιαῖα χρέα καταβαλεῖν. ἐν δὲ τῷ ζ κεφ. περὶ χρεῶν οἱ κληρονόμοι κατέχονται. οὐχ οἱ λεγατάριοι. ἀνάγνωθι καὶ τὸ ι ἐν ᾧ διαλαμβάνεται περὶ ἀντεκλόγου χρέους. οὐδενὸς ἐν τῷ κγ κεφ. τιτ. ἀπαιτῶν τις ἐπιτρόπου ὀρφανικὸν χρέος, οὐ συμψηφίζεται χρέος ἰδικὸν τοῦ ἐπιτρόπου. ἐν δὲ τῷ κδ κεφ. καί ὁ δημόσιος ἀπαιτῶν καὶ χρεωστῶν, ὑφίσταται συμψηφισμόν. ἐν δὲ τῷ κε κεφ. ὁ δημόσιος ἐν διαφόροις ἐπαρχίαις ἔχει τοὺς περινοοῦντας τῶν αὐτοῦ πραγμάτων. καὶ λέγεται ἑκάστη φρουρὰ στατίων. κἂν δύο δὲ μάθῃ. διὸ ὁ δημόσιος ἐν στατίων ὑπομένει ἀντέκλογον. πλὴν τοῦ λεγομένου, ὅτε ἡ αὐτὴ στατίων ἐστὶν ἡ χρεωστοῦσα. καὶ χωρισμένος ἀρέσκει ὁ λόγος ἑκάστης στατίωνος. καὶ ἐὰν δὲ πωλεῖν γίνεσθαι τοὺς ἀντεκλόγους. συγχέονται αἱ φρουρίδες καὶ οἱ λόγοι τῶν καθολικῶν. ἐν δὲ τῷ κς κεφ. ὁ τὸ χρεωστούμενον καταβαλών, ὡς ἀπὸ καταδίκης. οὐ δύναται αὐτὸ ἀναλαμβάνειν. ἀλλ᾽ οὐδὲ ἐξ ἄλλης αἰτίας χρεωστῶν. δύναται δὲ ἀντέκλογον αὐτῷ ἀνατιθέναι λόγων, διὰ λογοθετῶν τὸ μὴ χρεωστούμενον ὃ καταβάλοιτο. τῇ μέντοι καταδίκῃ κινουμένῃ, δύναται ἀντέκλογος ἀντιτεθῆναι. ἐν δὲ τῷ κζ κεφ. μέχρι τῆς συντρεχούσης ποσότητος τῆς ἐξ ἑκατέρου πλευροῦ κεχρεωστημένης, ἡ τοῦ ἀντεκλόγου δύναμις, μίμησιν ἔχει καταβολῆς. καὶ ἐξ ἐκείνου ἀναιρεῖται ἑκατέρων ἡ ἀπαίτησις τῶν τόκων. ἐπὶ δὲ τῇ ὑπερβαλλούσῃ ποσότητι, ἔσω ἰσχυρὰ ἡ τῶν τόκων ἀπαίτησις εἰ τέλεως κεχρεώστηνται τόκοι ἐξ ἐπερωτήσεως. ἐν δὲ τῷ λα κεφ. ἐὰν ἀπὸ περάσεως τὸ λείμμα τῆς περαιτέρω κεχρεώσται, ὁ τοῦ ἀντεκλόγου ἀντίκειται λόγος. ἐν τῷ δημοσίου γὰρ μόνου οἱ ἀπὸ ἐρασμῶν τὴν ἀπαίτησιν τοῦ λείμματος ἀντέκλογον ἀντιτεθῆναι κωλύονται. ἀνάγνωθι καὶ β κς τιτ. α κεφ. οβ ἐν ᾧ τιτ. ἐὰν χρέος μετατεθῇ ἤτοι ἀνακαινισθῇ, ἐλευθεροῦνται καὶ οἱ ἐγγυηταὶ καὶ οἱ μανδάτωρες. εἰ μὴ ἄρα πάλιν ἐνόχους ἑαυτοὺς εἰς τὸ χρέος ἐποίησαν. ἀνάγνωθι καὶ τὸ τ οὐδενὸς ἐν τῷ ς κεφ. τιτ. ἐὰν πολλοὶ ἐξ ἀκολουθίας, εἷς δὲ ἀπαιτηθῇ, οὐδὲν ἧττον πάντες ἐλευθεροῦνται. μὴ δυνάμενοι ἀναρτῆσαι αἰτιᾶσθαι οἱ μὴ λαβόντες. ἀνάγνωθι καὶ τὸ δ οὐδενὸς ἐν τῷ α κεφ. τιτ. μετάθεσις ἐστὶ χρέους τοῦ προτέρου χρέους εἰς ἑτέραν ἐνοχὴν ἢ φυσικὴν μεταγωγήν. ἐφ᾽ ᾧ τὴν προτέραν ἀναιρεθῆναι. πᾶσα δὲ ἐνοχή. διὰ τῆς ἐπερωτήσεως δύναται καινοποιεῖσθαι καὶ μεταφέρεσθαι.

περὶ ἀνακαινισμοῦ ἤτοι μεταθέσεως χρέους :—

τί ἐστι μετάθεσις χρέους :—

ἢ τὸ πολιτικῶς ἔστιν ἢ τῆς ἐπερωτήσεως, ἢ τῆς ἐκ συναλλάγματος· ἵνα μένῃ ἡ
τῆς ἐνοχῆς ἔρρωται ἢ πολιτικῶς ἢ φυσικῶς· ὡς ὅτε ἄνηβος χωρὶς αὐθεντίας ἐπι-
τρόπου ἐπερωτᾶται. Ἐν τῷ βιβλ. τίτ. λγ´ κεφ. ἐὰν μετάθεσις γένηται τοῦ χρέους, ἀφανί-
ζεται ἡ ἔχθρα ἢ προτέρα ἐνοχή. Ἐν τῷ τίτ. λϛ´ κεφ. ὁ ἐπ᾽ ἄλλου ἐπερωτηθείς, ὀφείλει τὸ
ἱκανὸν ποιῆσαι κἂν αὐτὸς μὴ ἔλαβεν· οὐ γὰρ δανειστῇ τοῦ δανειστοῦ μου ἄκων ὑπο-
βάλλομαι. Ἐν τῷ τίτ. λη´ κεφ. ἐάν τις ἢ ἄλλο πρόσωπον προσλάβῃ ἢ ἐναλλάξῃ, ἢ ἐ-
νέχυρον λάβῃ ἢ χρέος αὐξήσῃ, ἢ μειώσῃ, αἵρεσιν ἢ χρόνον προσθῇ, μὴ εἶναι
τοῦτο χρέους ἀνακαινισμός· εἰ μὴ ἰδικῶς τοῦτο ῥηθῇ ὅτι ἀπὸ τοῦ παλαιοῦ ἀνα-
χωροῦμεν χρέους· ἡμεῖς γὰρ τοῖς ῥήμασι προσέχομεν τοῖς οὖσιν, οὐ μὴν ἑρμη-
νείᾳ. ἀνάγνωθι καὶ τὸ ε´ τοῦ τίτλου α´ κεφ. [illegible] ὁ ἐκ πολλῶν αἰτιῶν χρεωστῶν
τι, ἔξεστι λέγειν ἐν ᾧ καταβάλλων εἰς ποῖον δίδωσι χρέος· εἰ δὲ μὴ εἴπῃ, ἔξεστι
τῷ δανειστῇ παραχρῆμα λέγειν εἰς ποῖον λαμβάνει οὕτω μέντοι ἵνα μὴ εἰς ἀναμ-
φίβολον [illegible] ἐξ ἐκείνης αὐτῷ χρεωστούμενον, ἢ τὸ ὑπὸ ἡμέραν πρὸ τῆς
ἡμέρας· οὕτω γὰρ [illegible] προνοεῖν ἐν τῷ [illegible] τοῦ χρεώστου. ὡς ἂν εἰ αὐτὸς χρεωστῶν
κατέβαλεν. Ἐν τῷ καταβάλλων δύναται καὶ ὁ δανειστὴς λέγειν μὴ δέχεσθαι
ἄλλο χρέος· καὶ ὁ χρεώστης μὴ διδόναι εἰς ἄλλο, πρὸ ὃ θέλει. Ἐν τῷ μὴ δηλωθέν-
τος ὅ εἰπον, εἰς τὸ σκληρότερον δοκεῖ καταβάλλεσθαι· οἷον τὸ χωρὶς αἱρέσε-
ως καὶ εἰς ὅπερ ὀνόματι οἰκείῳ χρεωστεῖ ὁ καταβάλλων, οὐ μὴν εἰς ἐκεῖνο τῆς ἐ-
εἰς τὸ ὑπὸ ποινὴν χρεωστούμενον, ἢ ὑπὸ ἐκεῖνον· τὸ γὰρ ὑπὸ ἐκεῖνον χρεωστούμε-
νον, βαρύτερον ἐστὶ τοῦ χωρὶς ἐκείνης. Ἐν τῷ πάντα τὰ χωρὶς αἱρέσεως χρέα ἴσα
ἐστίν, εἰς τὸ προγενέστερον δοκεῖ καταβάλλεσθαι. Ἐν τῷ γ´ κεφ. ἐὰν εἴπῃ ὁ δανειστὴς
λογίζεσθαι εἰς κεφάλαιον καὶ τόκους τὸ καταβληθέν, πρῶτον εἰς τόκους λογίζεται καὶ τότε
τὸ περιττὸν εἰς κεφάλαιον· οὔτε γὰρ τῇ τάξει τῆς γραφῆς προσέχομεν. Ἐν τῷ δ´ κεφ. ἐάν τις
ἐξ αἰτίας [illegible] χρεωστῇ καὶ μὴ ταύτης, εἰς αὐτὴν δοκεῖ καταβάλλειν ἢ εἰς
τὸ ἀποκαταστάσεως χρεωστούμενον· καὶ εἰς τὸ ἐξ ἁρπαγῆς φάσκων, καὶ τὸ ὑπὸ-
ποινὴν ἐπιφερόμενον. Ἐν τῷ κϛ´ κεφ. ἐκπίπτει τῆς αἰτίας ὁ δανειστὴς μὴ δε-
χόμενος τὸ χρέος. Ἐν τῷ κη´ κεφ. ἐὰν τὸ δοθὲν ἐκνικηθῇ ἢ ὑπὸ θεοῦ φθει-
ρωθῇ, ἄνωθεν ὁ καταβαλὼν ἐνάγεται. Ἐν τῷ ιϛ´ κεφ. κἂν ἀλλότριον δῶ δοῦ-
λον καὶ διαχρησάμενος κυρίως [illegible]. Ἐν τῷ ρις´ κεφ. ὁ ἀνὴρ τὰ χρε-
ωστούμενα τῇ γυναικὶ ἀφήλικι οὔσῃ λαβὼν [illegible] προσκείμενα τούτοις χά-
ριν [illegible] ἀπεδέξατο τὸ πραχθέν. Ἐν τῷ κε´ κεφ. ἐὰν [illegible] ἐ-
πλοτῇ [illegible] ἀργυρίων δέδωκας τῷ δανειστῇ, ἐπὶ πλέονος αὐτοῦ οὗτος ἐ-

Περὶ ἀνακαινισμοῦ χρέους

Περὶ καταβολῆς χρέους καὶ ἐλευθερίας

πέπλευσεν. αὐτὸς κερδαίνει τοῦτο, ὅπερ καὶ ἐζημιοῦτο εἰ τὸ πλοῖον ἀπώλεσεν. ἀνάγνωθι καὶ βιβλίον λε΄ τίτλον π΄ κεφάλαιον λε΄ ἐν τῷ φ. ὁ ἄπορος χρεώστης, δύναται δοῦλον ἴδιον σὺν τῇ ἐλευθερίᾳ γενέσθαι κληρονόμον. εἰ καὶ τὰ μέγιστα ἐπὶ περιγραφῇ τῶν δανειστῶν ἡ ἐλευθερία καταλιμπάνεται. ἐὰν δὲ ὁ οἰκέτης εἰς ἐνέχυρον ἦν δεδομένος, καὶ διέμενεν ἐν τῷ ἐνεχύρῳ. οὐδὲ περὶ τοῦ ἀπόρου δεσπότου δύναται σὺν ἐλευθερίᾳ γραφῆναι κληρονόμος. ἀνάγνωθι καὶ βιβλίον να΄ τίτλον α΄ κεφάλαιον β΄ ἐν τῷ φ. ὁ τῷ μέλλοντι χρόνου περὶ τοῦ χρέους κινδυνεύων, ἐκβάλλεται δόλου περιγραφῇ. ἀνάγνωθι καὶ βιβλίον νβ΄ τίτλον α΄ κεφάλαιον ιδ΄ καὶ ιε΄ ἐν τῷ φ. πάντες οἱ χρεῶσται, οἱ ἀπὸ ἐπικερδοῦς αἰτίας ἐκ τῶν ἐκδότου χρεωστοῦντες, ἐλευθεροῦνται. τοῦ περὶ ἀπαιτήματος ἀπὸ ἐπικερδοῦς αἰτίας εἰς τὸν δανειστὴν ἐρχομένου. καὶ κεφάλαιον κβ΄ ἐν τῷ φ. ἐάν τις δανειζόμενος διαπόντιον ὁμολογήσῃ, ὡς εἰ μὴ ἐν προθεσμίᾳ καταβάλῃ, δίδωσι ποινήν. εἰ καὶ μὴ ὁ χρεώστης μέχρις μόνον τοῦ δανείου ἐν προθεσμίᾳ καταβάλῃ, δίδωσι μετὰ τὴν προθεσμίαν ὁ κληρονόμος τὴν ποινήν. οὔτε γὰρ ἄλλως τῆς ποινῆς ἐλευθεροῦται, εἰ μὴ αὐτὸς οὐκ ἐνεπόδισεν ἐν προθεσμίᾳ καταβαλεῖν. ἀνάγνωθι καὶ βιβλίον νγ΄ τίτλον ε΄. σύνκος ἐν τῷ α΄ κεφαλαίῳ φ. διαπόντια χρήματά ἐστι τὰ πέραν θαλάσσης ἀπιόντα. οὐ μὴν τὰ ἐπὶ τόπου δαπανώμενα, καὶ τὰ ἐξ αὐτῶν ἀγοραζόμενα, ἐὰν κινδύνῳ τοῦ δανειστοῦ πλέωσιν. ἐν δὲ τῷ ιε΄ κεφαλαίῳ. ὁ διαπόντια ἢ καρποὺς δανείζων, τὴν ἑκατοστὴν δύναται λαβεῖν. ἐν δὲ τῷ ιη΄ κεφαλαίῳ. ὁ μὴ κινδυνεύσας δανειστὴς ἐπὶ τοῦ πλοίου τῆς θαλάσσης, μείζονα τόκον οὐ λαμβάνει. ἀνάγνωθι καὶ βιβλίον ε΄ τίτλον β΄ κεφάλαιον ζ΄ ἐν τῷ φ. εἰ δὲ συμβαίη τινὰ τῶν παλαιῶν οἴκων, ὀνομαστὶ δημοσίων συνηθειῶν ἢ ἄλλως οἱασδήποτε συμβαινούσης ἀνάγκης τοὺς παλαιοὺς οἴκους χρημάτων δεηθῆναι. ἐξεῖναι τοῖς τούτων διοικηταῖς ἀκίνητον πρᾶγμα ὑποτίθεσθαι, καὶ δοῦναι εἰς ἰδικὸν ἐνέχυρον, ἵνα ὁ δανειστὴς νέμηται τὸ αὐτὸ πρᾶγμα καὶ τοὺς τούτου καρποὺς ἀναλέγηται. καὶ λογίζηται ἑαυτῷ τὰ μὲν εἰς τὰ δανεισθέντα χρήματα, τὰ δὲ εἰς τόκους. μὴ πλέον τοῦ τετάρτου μέρους τῆς ἑκατοστῆς. καὶ κεφάλαιον ι΄ καὶ ια΄:–

περὶ διαποντίων:–

## περὶ χρέους δημοσίου καὶ πριγκιπαίου καὶ στρατιωτικοῦ. καὶ περὶ προτιμήσεως αὐτῶν. ἀνάγνωθι βιβλίον θ΄ τίτλον ε΄. σύνκος ἐν τῷ φ. α΄ κεφαλαίῳ φλοσω:– τ΄

περὶ προτιμήσεως:–

Ὁ δανείσας εἰς ἐπανόρθωσιν οἴκου, προτιμᾶται. ἐν δὲ τῷ β΄ κεφαλαίῳ. ἐν τοῖς προσωπικαῖς οἱ δανείσαντες ἐφ' ᾧ τοῖς πρώτοις δοθῆναι δανεισταῖς, εἰς τὸν τόπον αὐτῶν ὑπέρχονται. ἀνάγνωθι καὶ τίτλον θ΄. σύνκος ἐν τῷ β΄ κεφαλαίῳ φ. ἐάν τις χρεωστήσῃ πρότερον τῷ δημοσίῳ, ὥστε ὑποκεῖσθαι αὐτῷ τὰ πράγματα αὐτοῦ. καὶ μετὰ ταῦτα λάβῃ γυναῖκα ὥστε καὶ ἡ προὶξ ὑπόκειται, προτιμότερός ἐστι τῆς προικὸς ὁ δημόσιος.

Ἐὰν δὲ τὸ ἐναντίον πρότερον ὡς ἀπὸ προικὸς ἐχρεώστησεν, ἡ προὶξ προτιμᾶται τοῦ δημοσίου. Ἐν τῷ αὐτῷ δ΄ κεφ. Ἐάν τις πωλήσῃ πρᾶγμα, μετὰ ταῦτα δὲ συναλλάξῃ πρὸς τὸ δημόσιον, ὁ ἀγοράσας τὸ πρᾶγμα πρὸ αὐτοῦ οὐκ ὀχλεῖται παρὰ τοῦ δημοσίου. Ἐν τῷ αὐτῷ ζ΄ κεφ. ὁ ὑποσχόμενος εἰς τὰ δίκαια τοῦ δημοσίου, προτιμότερός ἐστιν ἐκείνων τῶν δανειστῶν, ὧν καὶ ὁ δημόσιος προτιμᾶται. ἀνάγνωθι καὶ τὸ ια΄ τίτ. α΄ κεφ. μθ΄ ἐν φύλλῳ φη΄. Ἐὰν οἱ δανεισταὶ μέρος ἐκ τῶν πραγμάτων ἐνεχύρως ἔχωσι λαβεῖν, προτιμῶνται οἱ συγγενεῖς οὕτω ποιοῦντες. ἀνάγνωθι καὶ τὸ ιε΄ τίτ. β΄ κεφ. κη΄ ἐν φύλλῳ φη΄. καὶ τὰ τοῦ ἀνδρὸς σωματικῶς ὑπόκεινται ἐπὶ τῇ προικί· ὅμως προτιμᾶται τῆς προικὸς τὸ πρωτότυπον. ἀνάγνωθι καὶ τὸ ε΄ τίτλον ἐν φ. ε΄ κεφ. φη΄. ὁ γενικὴν καὶ ὑποθήκην ἔχων, προτιμᾶται τοῦ μετ' αὐτὸν ἰδικὴν λαβόντος ἐκ τῶν αὐτῶν πραγμάτων. καὶ ἐκ τῶν λοιπῶν δύναται πληρωθῆναι. εἰ μὴ ἄρα συνεφώνησε τὸ τὰ λοιπὰ ὑποκεῖσθαι. ὅτε διὰ τῶν γενικῶν οὐ δύναται πληρωθῆναι. ἵνα καὶ τὸ γὰρ δυναμένου αὐτοῦ πληρωθῆναι διὰ τῶν γενικῶν, μόνος ὁ δεύτερος δανειστὴς ὑποθήκην ἔχει τοῦ δοθέντος αὐτῷ. Ἐν τῷ αὐτῷ ι΄ κεφ. Ἐὰν βουληθῇ τοῦ πρώτου ὑποθέσθαι ἄλλῳ, προτιμᾶται ὁ δεύτερος. λοιπὸν δὲ τὸ φανὲν ζητεῖται ἀπὸ τῆς ὑποθήκης ἀνεχώρησεν, ἢ μόνης τῆς προτεινούσης· ὁ μετ' ἐμὲ λαβὼν ὑποθήκην, μεταγενέστερός μου ἐστί, κἂν πρὸ ἐμοῦ ἐδάνεισεν. ὁ δὲ ὑπὸ ἡμέραν λαβών, προτιμᾶται τοῦ μετ' αὐτὸν χωρὶς αἱρέσεως λαβόντων. Ἐν τῷ αὐτῷ ιβ΄ κεφ. προτιμᾶται ὁ πρῶτος. εἰ καὶ αὐτὸς μετὰ τοῦ συμφωνήσαντος περὶ τοῦ πωλῆσαι τὸ ἐνέχυρον. ὁ δὲ δεύτερος συμφωνήσας. ἐὰν τῷ πρώτῳ ψιλῶς ὑπετέθη, τῷ δὲ δευτέρῳ καὶ παρεδόθη, προτιμᾶται ὁ πρῶτος. Ἐν τῷ αὐτῷ ιϛ΄ κεφ. προτιμᾶται καὶ τοῦ δευτέρου δανειστοῦ καὶ ὁ ἐπὶ τοῖς δεσμώταις τισί, μὴ τοῦ δανειστοῦ αὐτοῦ. Ἐν τῷ αὐτῷ ιη΄ κεφ. χρεωστοῦντες ἀπὸ τῆς κατὰ τῶν ἐπιτρόπων ἀγωγῆς, ὑπέθεντο τὰ ὄντα καὶ τὰ ἐσόμενα. καὶ δανεισάμενος παρὰ τοῦ δημοσίου ἐπὶ ὑποθήκῃ, ἐκαινοποίησε τὸ πρότερον χρέος ἀναλαβὼν τὰς ὑποθήκας. προτιμᾶται τοῦ δημοσίου ἐφ' οἷς εἶχεν ὁ χρεώστης καὶ ἐφ' οἷς ἐπεκτήσατο. Ἐν τῷ αὐτῷ κ΄ κεφ. ἐδάνεισα μαρμαράριῳ ἐπὶ ὑποθήκῃ τῶν λίθων καὶ ἐκ τῶν ἐμοῦ αἱ τιμαὶ κατεβλήθησαν. ὁ δὲ αὐτὸς χρεώστης μισθωσάμενος ἔργα βασιλικά, ἐχρεώστησεν. ἐγὼ προτιμῶμαι. Ἐν τῷ αὐτῷ λδ΄ κεφ. ὁ προγενέστερος δανειστὴς γενικὴν ὑποθήκην ἔχων, κἂν ἀλλ' ... ἐστι τοῦ ἰδικὴν μετ' αὐτὸν ὑποθήκην λαβόντος· ὡς τοσοῦτο ὁ ἀγοράζων παρὰ τοῦ προτέρου, οὐκ ὀχληθήσεται τούτου χάριν παρὰ τοῦ μεταγενεστέρου. εἰ καὶ πολλοῖς δανεισταῖς τὰ αὐτὰ ἐνέχυρα ἐν διαφόροις χρόνοις ὑπετέθη. ὁ

÷ ἡ ἴσον τοῦ δημοσίου.

περὶ γενικῆς καὶ ἰδικῆς ὑποθήκης :—

λ'

μος ὁ ἐκ τῶν χρημάτων ἑνὸς αὐτῷ ἠγορασμένος ἀγρὸς καὶ ὑποτεθεὶς αὐτῷ ἰδικῶς. κατέχων οὐδεὶς πάντων ἐστὶν ἐπὶ τῷ ἀγρῷ. ἐν τῷ δ' λζ' κεφ. ὁ λαβὼν ἐνέχυρον, τὴν ἐπ' αὐτῷ ἀγωγὴν ἔχει. προτιμᾶται οὖν πάντων τῶν ἐχόντων προνόμια ἐπὶ προσωπικαῖς ἀγωγαῖς. ἐν τῷ δ' μ' κεφ. καὶ ἐν ταῖς ὑποθήκαις προτιμᾶται ἡ προῖξ τῶν προγενεστέρων δανειστῶν, κἂν ἀνηγόρευσε τὰ πράγματα τῆς γυναικὸς καὶ παῖδας μὴ ποιήσῃ ἐξῃρημένης προτέρας προικός. ἐνταῦθα γὰρ ἡ προτέρα προτιμᾶται. τοῦτο ἐπὶ προικὸς οὐ μὴν προγάμου δωρεᾶς φαμέν, ἐκείνη γὰρ ἐπὶ τοὺς οἰκείους χρόνους ἐξετάζεται. ἄλλως τε ζημιουμέναις. οὐ μὴν κινδυνευούσαις βοηθοῦμεν ταῖς γυναιξί. καὶ τ' ζ' κεφ. λη' ἐν τῷ φη'. ἐὰν δανειστὴς τὸ ὑποκείμενον ἄλλῳ πρᾶγμα πωλήσῃ. οὐ ποιεῖ αὐτῷ πρόκριμα. εἴτε γενικὴν εἴτε ἰδικὴν ἔχει ὑποθήκην. ἀνάγνωθι βιβ. κη' τίτ. π' κεφ. α'. βιβ. κθ' τίτ. β' κεφ. γ' θέμα ε' καὶ ς'. καὶ κεφ. δ'. ἀνάγνωθι καὶ βιβ. ν' τίτ. ε' κεφ. ιε' καὶ ιδ' ἐν τῷ φη'. τότε προτιμᾶται ὁ μεταγενέστερος δανειστής, ὅταν δανείσῃ εἰς τὸ ἐξαρκεσθῆναι τὸ ὑποτεθὲν αὐτῷ πλοῖον, ἢ ἀνανεωθῆ. ἢ εἰς τροφὴν τῶν ναυτῶν. ἢ σωθῆναι τὰ ὑποτεθέντα αὐτῷ φορτία. ἢ δοθῆναι τὸν ναῦλον. καὶ αὐτὸ γὰρ τὸ ναῦλον. ἐπικρατέστερόν ἐστιν. ἢ ὑπὲρ μισθοῦ τῶν ἐργατῶν. ἢ τοῦ μισθαύλου. ἢ ὑπὲρ ἐνοικιασμάτων. ἀνάγνωθι καὶ βιβ. νς' τίτ. β' κεφ. γ' θέμα η' καὶ θ' ἐν τῷ φη'. ὁ δημόσιος μεταγενέστερον δανεισάμενος δανειστήν, τὴν ἐκείνου κέχρηται δικαίοις. οὐ δύναται δὲ ὁ δημόσιος χωρεῖν κατὰ τῶν χρεωστῶν. εἰ μὴ ἀπορήσει. ἢ ἀπὸ τοῦ δημοσίου συναλλάγματος τὸ χρέος καταγεται. καὶ κεφ. θ' φη'. ὁ δημόσιος καὶ τόκους ἀπαιτεῖ τοὺς τοῦ δημοσίου, εἴπερ ὁ χρήστης τοῦ χρεώστου κἂν ἄλλος ἐπὶ τοῦ τὸ χρέος. καὶ κεφ. ιζ' ἐν τῷ φη'. τῶν τοῦ δημοσίου ποινῶν. οἱ δανεισταὶ προτιμῶνται. καὶ κεφ. ιθ' ἐν τῷ φη'. ὁ παρὰ τοῦ ἰδίου χρεώστου δημόσια χρήματα λαβών. καὶ ἀγνοεῖ κἂν ἐδαπάνησεν αὐτά, ὑπόκειται ἀποδοῦναι αὐτά. ἄλλου μὴ ὄντος. ἔχει δὲ ὁ δανειστὴς κατὰ τοῦ χρεώστου διπρακτίαν. κατὰ δὲ τοῦ ἐντυχόντος οὐ κλίσιαν, καὶ οὐκ ἐλευθεροῦνται τὰ ἐνέχυρα. ἀδιάφορον δὲ εἴτε τὰ δοθέντα χρήματα ἀπήτησεν ὁ δημόσιος. εἴτε αὐτὸ αὐτὸν ἔτεα. καὶ κεφ. κε' καὶ κς' καὶ κζ' θέμα δ' καὶ ι' ἐν τῷ φη'. οἱ ὑπεύθυνοι τῷ δημοσίῳ ὄντες. ἀνυπερθέτως μεθοδεύονται, καὶ μετὰ πληρῶσαι τὸ δημόσιον. τότε τοὺς ἰδίους χρεώστας ἀπαιτοῦσιν. ἀνάγνωθι καὶ τ' ς' ἐν τῷ παραλαμβάνεται καὶ περὶ ἀπαιτήσεως πραγμάτων τοῦ δημοσίου χρεωστῶν. ἐν τῷ δ' ια' κεφ. φη'. ὁ δανειζόμενος ἀπὸ ἀπαιτητῶν ἢ ταβουλαρίων ἢ ταξεωτῶν δημόσια χρήματα, τότε ἁπλοῦν ἀποδίδωσι. ἐν τῷ δ' ιβ' κεφ. μηδεὶς ἀπὸ τῶν δημοσιῶν θησαυρῶν δανειζέσθω.

Εἴ τις ἐκ τοῦ θείου ταμείου λαθραίως ἢ φανερῶς ἢ ἐγγράφως ἢ μετ' ἐντολῶν δανεί-
σεται χωρὶς βασιλικῆς κελεύσεως, δημευέσθω καὶ περιοριζέσθω. καὶ ὁ δανείσας δὲ
ἐκ τῶν θείων θησαυρῶν, κεφαλικῶς κολαζέσθω. ἐν τῷ δ' ιγ' κε. ὁ δημόσιος ἀπαιτῶν
τὰ ἴδια χρήματα, πάντων προτιμᾶται. ἀπαιτῶν δὲ τὰ ἀπὸ προτίμου, ἴσα ταῖς δανει-
σταῖς τοῖς προτιμηθεῖσι. ἀνάγνωθι καὶ τ. ιζ' κε. ξα' ἐν τῷ α' βι. ὁ χρεωστούμενος τῷ περιμί-
πλου πάντων τῶν ἰδιωτικῶν χρεῶν προτιμᾶται. ὅθεν δὲ καὶ προῖκα χρεωστεῖται γυ-
ναικὶ τοῦ τὸ περιμίπλουν ὀφείλοντος, πρότερον τὸ ἱκανὸν γίνεται τῷ δημοσίῳ. καὶ τὸ
λειπόμενον ἡ γυνὴ ἀπαιτεῖ. παράδοξον λεγόμενον ἐστί. διὰ οἱ παῖδες δὲ καὶ μὴ
κληρονομήσωσι τὸν πατέρα, κατέχονται εἰς τὸ περιμίπλουν ὅπερ ὁ πατὴρ ἐχρεώστησε, καὶ
καθὼς εἶπεν ἀπὸ μόνου τοῦ περιμίπλου κατέχονται. οὐδὲ μὴ γὰρ ἁπλῶς ἐνάγ-
γονται ἀπὸ τῶν πατρῴων δανειστῶν, οἱ τὸν πατέρα μὴ κληρονομήσαντες, ἀλλὰ μόνου ἀ-
πὸ τοῦ περιμίπλου :–

τῷ δημοσίου

χ'

Περὶ χρήσεως καρποῦ καὶ χρήσεως ψιλῆς. καὶ οἷς κέχρηνται προνομί-
οις οἱ ταύτην ἔχοντες. καὶ περὶ τῶν ἀπολείας τῆς χρήσεως. καὶ ποίοις δα-
πανήμασι καὶ βάρεσιν ὑπόκεινται. καὶ ὅτι δεσπόζονται κατὰ μίμησιν τοῦ
ἀδεσπότου ἐξουσίου τοῦ μαθητοῦ. ἀν. β' ις'. τοῦ λόγου ἐν τῷ α' κε. Φλωρ. :–

Χρῆσις καρποῦ ἐστι δίκαιον τοῦ κεχρῆσθαι πράγμασιν ἀλλοτρίοις. καὶ καρπίζε-
σθαι αὐτά, φυλαττομένης τῆς τῶν πραγμάτων ὑποστάσεως. ἐν τῷ δ' ζ' κε. πᾶς πρό-
σοδος τῷ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντι ἀνήκει. ὅθεν αὐτὸς καὶ νομὴν τῆς ἐπιμελλού-
σης ζημίας ἁπάσης περιπίπτει. καὶ δεσπότης τοῦ ἔθνους οἰκίας ἀμελλαβῆ τὴν ἀσφά-
λειαν. καὶ οὐκ ἀπόλλυσι τὴν δεσποτείαν φθειρομένης τῆς χρήσεως. ὁ τὴν χρῆσιν ἔχων
τῶν καρπῶν δίδωσι τὰ δημόσια καὶ τὰ δαπανήματα. καὶ τὰς ἐκ τῶν πραγμά-
των ἐλαττώσεις διαφθοράς, καὶ ἀνανεοῖ. ὥσπερ εἶπεν εἰς τὰ ὑπόδεα. ἐν τῷ αὐτῷ ιη'
κε. ἀναγκάζεται ὁ τὴν χρῆσιν ἔχων γεωργεῖν τὸν ἀγρόν, ἄλλα γὰρ διαφέρει τὰ ἐν αὐτῷ
γινόμενα, καὶ τὰ ἐξ αὐτοῦ δυνάμενα λαμβάνεσθαι. ἐν τῷ αὐτῷ ιγ' κε. κρείττονα
τὴν αἵρεσιν οὐ μὴν χείρονα τῆς δεσποτείας, δύναται ποιεῖν ὁ τὴν χρῆσιν ἔχων. οὔτε γὰρ
ἐκκόπτει καρπίμων δένδρον. οὔτε τὰ πρὸς τέρψιν ἐκ τῶν δεσποτικῶν τόπων, διὰ τὸ
ποιῆσαι πρόσοδον. ἐν τῷ αὐτῷ κζ' κε. ὁ τόκος τοῦ καυσίμου καὶ τοῦ ὑδραγωγίου, καὶ
τῆς ὁδοστρώσεως, καὶ τῆς στρατιωτικῆς προσόδου, καὶ τοῦ πολιτικοῦ. τυχὸν γὰρ ἔθος
ἐστὶν ὀλίγου τιμήματος καρποὺς πιπράσκειν τῇ πόλει τοὺς κτήτορας. καὶ τὰ δημό-
σια τέλη, ὁ τὴν χρῆσιν ἔχων δίδωσιν. ἐν τῷ αὐτῷ ξζ' κε. ὁ ἔχων χρῆσιν καρπῶν, δύ-
ναται πωλεῖν αὐτήν, καὶ ἄκοντος τοῦ δεσπότου ἢ τοῦ κληρονόμου αὐτοῦ. ἐν τῷ αὐτῷ ξη'

λ'

κε(φάλαιον). ὁ τίτλος τῶν δούλων. οὐκ ἀνήκει τῷ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντι. οὔτε γὰρ ἔχει
ἐπ' αὐτῷ χρῆσιν, εἰ μὴ ῥητῶς εἴπῃ ὁ διατιθέμενος. ἡ δὲ γονὴ τῶν θρεμμάτων, τῷ τὴν
χρῆσιν τῶν καρπῶν ἔχοντι ἀνήκει. ἔνθα δὲ ἀγέλης ἢ βουκολίου χρῆσις καρπῶν λε-
γατεύεται, ὀφείλει τὰ φθειρόμενα ἀναπληροῦν ἐκ τῶν ἐπιγινομένων, καὶ τὰ ἄχρη-
στα. καὶ γίνεται τὰ ἐξ ὑποβληθέντα, τοῦ τὴν δεσποτείαν ἔχοντος. τὰ δὲ λοιπὰ τὰ μὴ ὑ-
ποβληθέντα, τοῦ τὴν χρῆσιν τῶν καρπῶν ἔχοντος. ἀνάγνωθι καὶ τὸ β' ἐν τῷ θέματι. περὶ χρή-
σεως αὐξομένης, ζήτει ἐν τῷ α' κεφαλαίῳ θέματι. διτευχομένας λεγατευθῇ ἡ χρῆσις τῶν
καρπῶν, οὐ μὴν δὲ διῃρημένως. ἁρμόζει τὸ δίκαιον τῆς προσαυξήσεως. ἐὰν συν-
κοινῇ δυσὶ λεγατευθῇ χρῆσις καρπῶν, καὶ ὁ εἷς τῶν δεσποτῶν μὴ καταδέξηται
ἢ μὴ χρήσηται, τὸ μέρος αὐτοῦ τῷ ἑτέρῳ δεσπότῃ προσαυξεῖ, κἂν αὐτὸς ἐδεσπό-
ζον. εἰ δὲ κοινῇ δυσὶ λεγατευθῇ χρῆσις καρπῶν, καὶ διῃρημένως πρὸς ἕτερον λεγατευ-
θῇ, τὸ φθειρόμενον μέρος ἑνὸς τῶν δεσποτῶν, τῷ ἑτέρῳ προσαυξεῖ. ὡς περὶ ὅτε δύο
συνημμένως, καὶ ἑτέρῳ διῃρημένως πρὸς ἕτερον λεγατευθῇ, τὸ φθειρόμενον μέρος
ἑνός. ἀνάγνωθι καὶ τὸ γ' ἐν τῷ θέματι. ποίαις ἡμέραις ὁ λεγατευθεὶς τῆς χρήσεως καρπ(ῶν)
προχωρεῖ. ἀνάγνωθι καὶ τὸ ε' ἐν τῷ θέματι. ποίοις τρόποις ἡ χρῆσις τῶν πραγμάτων μει-
οῦται. ἀνάγνωθι καὶ τὸ ς' ἐν τῷ θέματι. περὶ χρήσεως ἐνοικήσεως. ἀνάγνωθι καὶ τὸ η' ἐν τῷ θέματι. περὶ
χρήσεως καὶ οἰκήσεως, καὶ τῇ διαφορᾷ χρήσεως καὶ οἰκήσεως τῆς τῶν καρπῶν χρή-
σεως. ζήτει ἐν τῷ β' κεφαλαίῳ θέματι. ὁ τὴν χρῆσιν μόνην ἔχων, κέχρηται. οὐ μὴν καρπί-
ζεται. ἐπὶ δὲ οἰκήσεως καὶ ἀνδρὶ γυναικί, καὶ γυνὴ τῷ ἀνδρὶ συνοικεῖ. καὶ τὴν ἰδί-
αν φαμιλίαν καὶ τοῖς ἀπελευθέροις. εὗρ(ηται) δὲ ἐν τῷ θ' κεφαλαίῳ θέματι. ὁ τὴν χρῆσιν μόνην ἔχων,
καὶ πρὸς τὴν καθημερινὴν χρείαν κέχρηται τοῖς ξύλοις καὶ τῷ κήπῳ, καὶ ταῖς
ὀπώραις, καὶ λαχάνοις, ξύλοις καὶ τῷ ὕδατι, οὐ πρὸς κέρδος. οὐδὲ κατα-
κέχρηται. εὗρ(ηται) δὲ ἐν τῷ ιβ' κεφαλαίῳ. ἐκ τῶν ἐν τῷ ἀγρῷ γινομένων κελλαρικῶν, ὁ τὴν χρῆσιν
μόνην ἔχων τὸ πρὸς ἐνιαυτὸν ἀρκοῦν αὐτῷ λαμβάνει. ὃ καὶ πάντα δαπανᾶται.
καὶ τῷ δούλῳ δὲ καὶ τῷ οἴκῳ κέχρηται ὁ τὴν χρῆσιν μόνην ἔχων. ὥστε μὴ ἀπο-
λυφθῆναι τοῦ καρποῦ ἄλλῳ. εὗρ(ηται) δὲ ἐν τῷ ε' κεφαλαίῳ. ὁ ἔχων χρῆσιν οἰκί(ας), τὰ καθαιρέ-
ματα ὀφείλει ποιεῖν τῆς οἰκί(ας), ἀναλώμασιν οἰκείοις. ὡς ἔγνως καὶ ἐν τῷ ζ' β' τῶν
δ' τ' α'. εἰ δὲ ἐκ παλαιότητος ἀναλώσει εἰς τὴν τῆς οἰκί(ας) διόρθωσιν, τοῦ βλάπτεται
πρὸ τοῦ ἔχοντος τὴν δεσποτείαν. εὗρ(ηται) δὲ ἐν τῷ λ' κεφαλαίῳ. ἡ χρῆσις τῆς οἰκήσεως, οὔτε χρῆ-
σις ἁπλῶς ἐστιν, οὔτε χρῆσις καρπῶν. ἀλλ' ἰδιάζον δίκαιον. ὁ δὲ ἔχων χρῆσιν οἰ-
κήσεως, δύναται αὐτὴν μισθοῦν ἑτέρῳ τινί, πολλῷ δὲ πλέον. ἐὰν οἰκήσεως χρῆ-
σις ληγατευθῇ διὰ τὴν ἰδικὴν τῆς χρήσεως μὴ μὴν δύναται μισθοῦν. οὐδὲ πο-

ἀνάγνωθι καὶ τὸ ζ' ἐν τῷ θέματι. ποίοις τρόποις ἡ χρῆσις τῶν καρπῶν ἀπόλλυται.

τε γὰρ οἰκήσεως ληγατευθείσης, δύναται λέγειν ὁ ληγατάριος ὅτι καὶ δεσποτεία τοῦ οἴκου ἐληγατεύθη μοι, ἐπεὶ ἄρα δείκνυται ῥητῶς. ὅτι ἐπὶ τὴν δεσποτείαν ὁ διατιθέμενος ἐληγάτευσεν. [illegible] λα'. ἰστέον ὅτι χρῆσις μόνη οἰκήσεως, διαφέρει χρήσεως καρπῶν. ὁ γὰρ χρῆσιν μόνην ἔχων οἰκήσεως, δύναται μόνος οἰκεῖν μετὰ τῆς γαμετῆς αὐτοῦ καὶ τῶν οἰκείων παίδων καὶ ἀπελευθέρων, καὶ ἄλλων ἀπελευθέρων· οἷς οὐχ ἧττον ἢ ὡς οἰκέταις κέχρηται. οὐ μὴν δύναται τὴν οἴκησιν μισθοῦν. ὁ δὲ χρῆσιν καρποῦ οἰκήσεως ἔχων, δύναται τὴν οἴκησιν μισθοῦν ἑτέρῳ [illegible]. ὡς ἐν στοιχείῳ δέλτα τ' ι'. ἀνάγνωθι καὶ τὸ [illegible]. ἐν ᾧ διαλαμβάνεται ποίοις τρόποις ἀφαιρεῖται ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων, ᾧ τὴν δεσποτείαν ἔχουσι· ὅσον ἐν τῷ ἀνωτέρῳ. ὅταν [illegible] ἡ χρῆσις τῶν καρπῶν κοινὴ τοῦ [illegible] τελευτήσει, ἀφαιρεῖται ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων. ὅτι αὐτὸς [illegible] κέχρηται. καὶ ὅτι φθειρομένης τῆς χρήσεως τῶν καρπῶν, τὸ [illegible] ἀποκαθίστησιν. καὶ ὅτι οὐ ποιεῖ [illegible] τὴν αἵρεσιν τῆς χρήσεως τῶν καρπῶν. καὶ ὅτι ὡς ἐν ἰδίῳ πράγματι διατίθεται. εἰς δὲ τὸ κεφ. ἐὰν κελεύσω τῇ γαμετῇ μου χρῆσιν μόνην οἴκου, δίδωσι τὴν ἀσφάλειαν. ζήτει καὶ εἶπε τοὺς παῖδάς μου κληρονόμους οὓς [illegible] αὐτῇ. ἀνάγνωθι καὶ βι. ιη' τι. ϛ' κεφ. α' [illegible]. ἀνάγνωθι καὶ βι. να' τι. δ' κεφ. [illegible]

[illegible] :-

α'. ἀρχὴ τῶν τοῦ Ψ στοιχείου :-

Περὶ ψευδομαρτύρων. ἀνάγνωθι βι. γ' τι. α' κεφ. λζ' ἐν τῷ [illegible] :-

Τοῖς εὐλαβεστάτοις πρεσβυτέροις καὶ διακόνοις, εἰ εὑρεθεῖεν ἐπὶ χρηματικῆς αἰτίας ψευδομαρτυρήσαντες, ἀρκεῖ ἀντὶ βασάνων ἐπὶ τρεῖς ἐνιαυτοὺς χωρίζεσθαι τῆς ἱερᾶς ὑπηρεσίας καὶ μοναστηρίοις παραδίδοσθαι. ἐπὶ δὲ ἐγκληματικῆς αἰτίας εἰ ψευδομαρτυρεῖν ἐποίησεν, τῆς ἐν τῷ κλήρῳ ἀξίας γυμνουμένους, ταῖς νομίμοις ὑποβάλλεσθαι ποιναῖς κελεύομεν. τοὺς δὲ λοιποὺς τοὺς ἐν ταῖς ἄλλαις ἐκκλησιαστικαῖς τάξεσιν ἀναφερομένους, ἢ πλαστὴν μαρτυρίαν ἐν οἱῳδήποτε πράγματι· εἴτε χρηματικῷ, εἴτε ἐγκληματικῷ ἐκφωνεῖ

ψ΄.

ναι διηλέγχθησαν· μὴ μόνον τοῦ κλήρου καὶ τῆς ἐκκλησιαστικῆς τάξεως ἐκβάλλεσθαι, ἀλλὰ καὶ βασάνοις ὑποβάλλεσθαι. βιβ. α΄ καὶ β΄ κα΄ τί. α΄ κεφ. λα΄ ἐν τῷ φ. ὁ τὰ ψευδῆ μαρτυρήσας, πρότερον ἐξ ἀπορίας· δεύτερον· καὶ ὡς πλαστογράφος ἐνάγεται· καὶ ἐν αὐτῷ δὲ τῷ καιρῷ τῆς μαρτυρίας ὑπονοηθεὶς ψεύδεσθαι, βασάνοις ὑπόκειται. εἰ δὲ βουληθείη ὁ ἐκ τῆς ψευδοῦς μαρτυρίας καταδικασθείς, πολιτικῶς κινεῖται κατὰ τοῦ μαρτυρήσαντος· λήψεται παρ' αὐτοῦ πᾶσαν ἣν ὑπέστη ζημίαν. πρὸς δὲ καὶ τὴν ἀπὸ τῶν νόμων θεσπισμένην τιμωρίαν ὑποστήσεσθαι. εἰ δὲ καὶ ἐν αὐτῇ τῇ πρώτῃ ὑποδίκῃ ψευδομάρτυς ἐλεγχθῇ· ἔργον ἔστω τοῦ δικάζοντος ἢ εἰς πᾶσαν τὴν ἐπιφερομένην ἐκείνῳ καθ' οὗ ἐμαρτύρησε δίκην καταδικάζειν αὐτόν· ἢ εἰς ταύτην· ἢ καὶ τιμωρίαις αὐτὸν ὑποβάλλειν φυλαττομένων πάντων τῶν ἤδη νενομοθετημένων περὶ τῶν ψευδομαρτυρούντων. καὶ κεφ. λε΄:

**Περὶ ψιλῆς ἐπαγγελίας, καὶ περὶ ψιλοῦ συμφώνου. βιβ. α΄ κβ΄ τί. α΄ κεφ. ξ΄· ὅπερ εὕρηται ἐν τῷ περὶ συμφώνων· βιβ. β΄ μγ΄ τί. ε΄ κεφ. ε΄· ὅπερ εὕρηται ἐν τῷ περὶ ἐπερωτήσεως· καὶ βιβ. ια΄ τί. α΄ κεφ. νθ΄· ὅπερ εὕρηται ἐν τῷ περὶ διεπιπτωκότος· βιβ. α΄ κβ΄ περὶ συμφώνων· καὶ κεφ. ξθ΄ ἐν τῷ φ στοιχείῳ:**

Παραδόσει καὶ διαλεχθέντα ἐνισταμένης κεκρατήκασιν, οὐ μόνον ψιλοῖς συμφώνοις αἱ δεσποτεῖαι μεταφέρονται. βιβ. καὶ κεφ. ος΄ ἐν τῷ φ. κενοτάφιος τῆς ἐκθολικοῦ. ἐπειδὴ λαβόντι χωρεῖς ἐπερωτήσεως καθ' ἕκαστον περιέχειν αὐτῷ χρόνου χάριν νῦν ν΄. καὶ δὴ φυλάττων ταύτην τὴν ψιλὴν ἐπαγγελίαν αὐτοῦ. δώσειν ἐνιαυτοὺς παρέξει τὰ ἥμισυ τοῦ νῦν. ἀλλὰ μετὰ ταῦτα μεταμεληθείς. οὐκέτι ἠνέχετο παρέχειν εἰς τὸν ἐφεξῆς χρόνον, ἐν μὴ περιηκολούθησεν ἐρώτησις. βιβ. καὶ β΄ κ΄ τί. α΄ κεφ. πζ΄ ἐν τῷ φ. ἐὰν ὁ τοῦ ἀγροῦ δεσπότης τὴν δόσιν παρέχειν τοῖς γεωργοῖς αὐτοῦ ἐπερωτηθῇ δοῦναι τῷ μισθωσαμένῳ τὸν ἀγρὸν κατέχεται. ἐὰν δὲ συμφωνήσῃ μόνον, ἀπὸ ψιλοῦ συμφώνου ἀγωγὴ οὐ τίκτεται. βιβ. καὶ β΄ κθ΄ τί. ε΄ κεφάλαιον λ΄ περὶ γ΄:

**Περὶ ψήφων δικαστικῶν ἤτοι ἀποφάσεων. καὶ ποῖαι εἰσὶν ἀπρᾶκτοι ἀποφάσεις. βιβ. β΄ ζ΄ τί. ε΄ κεφ. μθ΄ εο΄. βιβ. εβ΄ τί. α΄ κεφ. μζ΄ ἐν τῷ φ στοιχείῳ:**

Τὴν ἀπόφασιν τεθεῖσαν δίκην· μὴ δὲ βασιλεὺς ἀνακαλείτω αὐτεγραφῇ· μὴ μάτην ὅσων τὴν πλάνην αἰτεῖ τῶν συνηγόρων. προσθεῖναι καὶ μὴ πεπραχθῆναι αὐτῷ ἐπιστολὰ ἢ ἐκκαλεσαμένῃ τὴν ἀπόφασιν. βιβ. καὶ β΄ θ΄ τί. α΄ ἐν τῷ διαλαμβάνεται περὶ ἐκκλήτου. οὐτινος ἐν τῷ να΄ κεφ. φη. ἐὰν ἐξενεχθῇ ἀπόφασις κατ' ἀπόντος τινός. ὁ δὲ τοῦτο μὴ ἐκκαλέσηται, οὐκέτι δύναται προφάσεις τῆς ἰδίας ἀπουσίας, τὴν ἀ-

---

ε΄

Τί ψιλὸν σύμφωνον ἑξαχῶς. α΄, ὅταν συμφωνήσω δοῦναι τινὶ μηδεμιᾶς ὑποκειμένης αἰτίας. ἢ δόσεως. ἢ ποιήσεως. β΄, ὅταν μετὰ χρόνον τοῦ συναλλάγματος ἐκ μεταφορᾶς ἐπερωτήσεως ἑτέραν αἵρεσιν συμφωνηθῇ γενέσθαι. γ΄, ὅταν συμφωνήσω δοῦναι τινὶ, ἵνα μηδὲν ἄτοπον πράξῃς. δ΄, ὅταν μὴ ἐπερωτήσωσιν ἐν τῷ συμφώνῳ. ε΄, ὅταν συμφώνου γενομένου, παράδοσις τοῦ πράγματος μὴ γένηται. ς΄, ὅταν ἐκ μονοπλεύρου γένηται δόσις. καὶ μὴ μεταξὺ ἐξ ἑκατέρων συμφωνηθῇ τὸ συνεργεῖν: —

τὸ ψιλὸν σύμφωνον κατὰ τρόπους ζ΄ γίνεται. ἢ τὸ ἄνευ αἰτίας γεγονός, ἢ ὅταν τις ὑπισχνῆται ποιῆσαί τι, μὴ φθάσαν δὲ γενέσθαι, ἢ δόσις, ἢ ποίησις. ἢ ὅταν μετὰ χρόνον γένηται, σκληροτέραν ἔχει τὴν αἵρεσιν εἰς παρὰ τὰ ἐξ ἀρχῆς συμφωνηθέντα· οἷον ὅταν πωλήσω, ἢ ἄλλως πως συναλλάξω, μὴ συμφωνήσας δοῦναι ἐγγυητήν, καὶ ὕστερον συμφωνήσω δοῦναι ἐγγυητὴν ὁ περὶ πεπραμένου τινὸς ἐναγόμενος. ἀγωγὴν δὲ ἐναγόμενος οὐ παρέχει. καὶ ψιλόν, ὅταν αἱρεθεὶς ἐστὶ τῷ ὀφείλοντι λαβεῖν. ψιλὸν ταῦτης. ψιλόν, καὶ ὅτε πρᾶσις γίνεται, μὴ δοθῇ δὲ τὸ τίμημα, ἢ τὸ πρᾶγμα. ἔστι καὶ ψιλόν, τὸ μὴ ἔχον ἐπερώτησιν: —

ς΄

Εἰ καὶ τὰ μάλιστα τὰ γυμνὰ σύμφωνα περὶ ἐνοχὴν οὐ συμβάλλονται, ὅμως ἐκ τοῦ ἐναντίου ποιεῖν τὴν μέλλουσαν κινεῖσθαι ἀγωγήν. ἕως περιμορφὴν ἑτέραν αὐτῇ παρέχει. ὡς ἐπὶ τῶν καλῇ πίστει συναλλαγμάτων. ἐνταῦθα γὰρ λέγουσι τοῖς καλῇ πίστει ἀγωγαῖς ἢ τοῖς συναλλάγμασιν, ἐνεῖναι καὶ ὡς περιεμπεφυκέναι τὰ σύμφωνα. ἀλλὰ ἐν τούτοις οὕτω χρὴ νοεῖν. ἵνα ὅτε ἐκ τοῦ πράγματος ἐπακολουθῇ τῷ συναλλάγματι τὰ σύμφωνα, ἄλλο ἐναγόμενον ἐν τούτοις ἐφήψηται. μεταποιηθεῖσα αὐτῷ τῆς ἀγωγῆς. εἰ μέντοι μετὰ χρόνον τοῦ συναλλάγματι συμφωνηθῇ ὑπὲρ τοῦ ἐναγομένου, οὐ δύναται αὐτῷ ὠφελεῖν, ἐναγόμενον ἀπὸ τοῦ τοιούτου συμφώνου. ὅπερ δὲ εἴρηται περὶ τοῦ γυμνοῦ πάκτου τεκτομένη ἀγωγή. ἐκείνοις γὰρ ἁπλῶς τὰ σύμφωνα ἔνεστι τοῖς συναλλάγμασιν, ὅσα περ γεννῆσαι τὰς ἀγωγὰς συμφωνεῖται. ἔξ ὧν περὶ νόμον τινὰ καινοῦ ταῖς ἀγωγαῖς παρέχουσιν, ὡς ἐν ἀρχῇ τοῦ συναλλάγματος γινόμενον: —

πόφασιν ἀναζητεῖν. Ἐν τῷ δὲ ξ' κεφ. Ἐάν τις ἐξ ἀνάγκης ἀποληφθῇ, ἡ γενομένη
καὶ αὕτη ἀπόφασις οὐκ ἰσχύει. Ἐν τῷ δὲ ξα' κεφ. Ἐὰν ἀπόφασις λεχθῇ μόνον
μὴ μέντοι γεγραφθεῖσα πρότερον ἀναγνωσθῇ, ἄκυρός ἐστιν. Ἐν τῷ δὲ ξβ' κεφ. ἡ ἀπό-
φασις ἡ παρὰ τὸν τύπον τῶν δικαστηρίων ἐξενεχθεῖσα, ἀνυπόστατός ἐστιν. Ἐν τῷ δὲ
ο' κεφ. ἡ ἀπόφασις ἡ λαθραίως λεχθεῖσα, ἀνίσχυρός ἐστιν. Ἐν τῷ δὲ οε' κεφ. ἡ γρ.
κήσουσι μὴ κατὰ τὸν δικαστὴν ἀκολουθεῖν ἑτέρᾳ ψήφῳ τεθειμένῃ. ἀλλὰ σκοπεῖν,
τί κατὰ τοὺς νόμους ἀκόλουθον, καὶ οὕτως ἀποφαίνεσθαι. Ἐν τῷ δὲ οη' κεφ. Ἐὰν
ἀπόφασις γένηται κατὰ τοῦ μείζονος τῶν κε' ἐνιαυτῶν, καὶ μὴ ἐκκαλέσηται μήτε στα-
λύσηται, ἀνάγκην ἔχει πληρῶσαι τὰ ἀποφανθέντα. ἀνάγνωθι καὶ τὸ γ' τούτου ἐν τῷ δὲ χ'
κεφ. φη'. Εἰ ἐξ ἴσου δικαστῶν γένωνται ψῆφοι. ὅτι προσήκουσι τὰ ὑπὲρ αὐτῆς
κρατεῖ. ὅτι γὰρ τῶν ἄλλων καὶ ἐγκλημάτων ἐστί, τὰ ὑπὲρ τοὺς φεύγοντας. Ἐν τῷ δὲ δια-
φόρους ποσότητας καταδικάσειν, ἡ ἐλάττων κρατεῖ. Ἐν τῷ δὲ με' κεφ. τὴν οἰκείαν-
ψῆφον ἀλλάξας, οὐκ ἀναιρεῖ ὁ ἄρχων. τὰ γὰρ ἀκόλουθα τῇ ψήφῳ καλῶς ἀναπληροῖ
τῇ αὐτῇ μέντοι ἡμέρᾳ. Ἐν τῷ δὲ να' κεφ. ὁ ψηφισάμενος παύεται εἶναι δικαστής,
καὶ οὐκέτι διορθοῦται τὴν ψῆφον. Ἐν τῷ δὲ οε' κεφ. ὅτι προστάγματι κοινῷ συμβο-
λίων μεταβαλῶ τὰ εὑρεθέντα, τὰς ἀποφάσεις ἀνανεοῦσθαι ἢ ὑποδεῖσθαι. βαρύ
ἐστι πρὸς καταβολὴν ὑπερθέσεων αἰτεῖν, ἐφ' ἧς οὐ χάριν τῇ ἀποφάσει φανερῶς ἀ-
ποδείκνυται. ὡς παρ' ἐκείνου οἱονεὶ ποιεῖ ὅπερ ἡ ἀπόφασις ἐφησύχασεν. οὐ γὰρ δεῖ
ἀνακαινίζεσθαι τὰ ἀποφανθέντα ἢ τῶν ἀποφάσεων ἀνέχεσθαι αὐθεντία. Ἐν τῷ δὲ
τς' κεφ. δικαστὴς καταδικάσας τινὰ πληρῶσαι ρ' νο. μεταβαλὼν εἰς ἁπλῶς
αὐτὸν εἶπεν. ὅτι καὶ ἐὰν μὴ καταβάλῃ ἔσω τοῦδε τοῦ χρόνου τόκους τυχὸν ἢ καὶ
ἑκατοστιαίους δίδωσι. λέγει οὖν ἡ γραφή, ὅτι οὐκ ἀπόφασίς ἐστιν αὕτη, οὐκ ἐπερώ-
τησις. Ἐν τῷ δὲ τθ'. Ἐὰν λαχόντας ὁ ἄρχων δοθῆναι τυχὸν ρ' νο. ὅτι τάχιον ἐὰν δοθῶ-
σιν. ἔσω τοῦδε τοῦ χρόνου, δοθῆναι τὸ διπλάσιον ἢ τὸ τετραπλάσιον. τοῦτο ἀπει-
λή ἐστιν οὐχὶ ἀπόφασις. Ἐν τῷ δὲ ρτ' κεφ. Ἐὰν ὡς διαθήκης προσενεχθείσης, -
ἐκέλευσεν ὁ ἄρχων. μετὰ ταῦτα δὲ εὑρεθῇ πλαστὴ ἐκείνη ἡ διαθήκη, κινεῖται ἀπο-
θεν τὸ δικαστήριον. μὴ ἀναμενομένης τῆς ἀπὸ τῆς καταδίκης παραγραφῆς. ἡ γρα-
φή. ὅτι χωρὶς ἐγκλήτου, ἄκυρος ἡ ἀπὸ πλαστῶν δικαιωμάτων γενομένη.
ἡ γραφὴ κάλλιστον λέγει νόμιμον. ὅτι κἂν τὰ μέγιστα δυνάμενα ἀποδεῖξαι πλαστὸν δι-
καίωμα προσενεχθῇ ἐν τῷ δικαστηρίῳ. ὅμως οὐκ ἄλλως ἀναζητεῖ τὴν ἀπό-
φασιν, εἰ μὴ ἀποδείξει ὅτι ὁ δικαστὴς ἀκολουθήσας ἐκείνῳ τῷ δικαιώματι κα-
τεδίκασεν αὐτόν. λέγοντος τινὸς ἀπὸ πλαστῶν δικαιωμάτων καταδικασθῆναι,

στοιχείου ω:

ζήτει τὸ παραλειφθῆναι τὸν τῆς ἀποφάσεως ἐκβιβασμόν. ἀνάγνωθι καὶ βι(βλίον) ε' τί(τλον) λ' κεφ(άλαιον) ις' τί(τλον) λ' καὶ κεφ(άλαιον) ιζ' καὶ ιη' καὶ μβ' ἐν τοῖς φ. περὶ ἀποκαταστάσεως ψήφου, καὶ ἀποφάσεως. ἀνάγνωθι καὶ τί(τλον) λβ' κεφ(άλαιον) α' ἐν τῷ φ. ὅταν τις ἐκκαλέσηται κατὰ ἀπόφασιν, ἢ ἐκκαλέσηται ἐξ αἰτίας δὲ ἀποκαταστάσεως. πάντα ἐν τῇ οἰκείᾳ καταστάσει μένουσιν ζήτει. ἕως ὅτε τὸ πρᾶγμα πληρωθῇ. τοῦτο δὲ φρουρείσθω ποιεῖσθαι ἐκδίκους, οἷς οὐκ ἀνήκει τὸ περὶ τούτου πρᾶγμα. ἀνάγνωθι καὶ βι(βλίον) λθ' τί(τλον) α' κεφ(άλαιον) ι' ἐν τῷ φ. ἐὰν μέρος τῶν δικαστῶν ὑπὲρ τῆς διαθήκης, καὶ μέρος κατ' αὐτῆς ψηφίσηται, τὸ ὑπὲρ αὐτῆς κρατεῖ. διὸ δύναται προφάσει τῶν ὑπὲρ τοῦ γεγραμμένου κληρονόμου, ἀδίκως ψηφισαμένων:

## ἀρχὴ σὺν θεῷ τοῦ ω στοιχείου:

περὶ ὡρεαρίων τῶν καὶ ὑποδεκτῶν καλουμένων. καὶ περὶ ὡρείων καὶ τῶν ἐν αὐτοῖς ἀποκειμένων εἰδῶν. ἀνάγνωθι βι(βλίον) νς' τί(τλον) β' κεφ(άλαιον) α' καὶ β' καὶ γ'. ἀνάγνωθι βι(βλίον) ε' τί(τλον) ια' οὗτινος ἐν τῷ ζ' κεφ(αλαίῳ) φησίν: α

Ἡ διάταξις κελεύει μοδίους χαλκοῦς καὶ λιθίνους γενέσθαι. ἵνα ἕκαστος σὺν τοῖς ξέσταις, ἃς φόρους καταβάλλει. λαμβανέτωσαν δὲ οἱ ὑποδέκται. τοῦ μὲν σίτου, τὴν πεντηκοστήν. τῶν δὲ κριθῶν, τὴν τεσσαρακοστήν. οἴνου δὲ καὶ λαρδοῦ, εἰκοστήν. οἱ δὲ ἐν Ἀρμενίᾳ ὑποδέκται, καὶ κριθῆς καὶ σίτου τεσσαρακοστὴν λαμβανέτωσαν. οἴνου δὲ καὶ λαρδοῦ, πεντεκαιδεκάτην μοῖραν λαμβανέτωσαν. εἶτα δὲ τῷ ἡ' κεφ(αλαίῳ).
ὁ ὑποδέκτης ἢ ὁ ταβουλάριος ἅπαξ ἡττηθεὶς περὶ τὴν οἰκείαν ὑπηρεσίαν, μηκέτι μετεχέτω ταύτης ἐπὶ θ' ἐπιτιμήματι:

τέλος σὺν θεῷ τῶν βασιλικῶν ξ' βιβλίων κατὰ στοιχεῖον:

Αἱ νεαραὶ τοῦ κυροῦ Ῥωμανοῦ τοῦ βασιλέως. στίχοι ἰαμβικοί.

Νέους νόμους τίθησι Ῥωμανὸς ἄναξ.
Οὓς καὶ πέπομφεν λύσιν ἠδικημένοις :—

Αὐτοῖς ἐστι ζηλωτὸν καὶ περισπούδαστον· οἷς μέγα καὶ σεβάσμιον τὸ τῆς παντουργοῦ ἱερὸς νομίζεσθαί τε καὶ ὀνομάζεσθαι φιλοτέχνημα τὸ πρὸς τὴν τοῦ πεπλακότος μίμησιν τὴν ψυχικὴν παρασκευάζειν διάθεσιν· οἷς δὲ μὴ μέγα τοῦτο καὶ μακάριον ἥγηνται. τούτοις ἄρα μὲν τῆς πλάσεως, καὶ ὁ τῆς κτίσεως ἐξαρνεῖσθαι πέπηκται λόγος, καὶ ὑπολέλειπται· ὡς ἐν γῇ τὸ πᾶν ἀποδεξαμένοις τῆς βιώσεως καὶ μόνους ἐπὶ τῆς γῆς βιοτεύειν αἱρουμένοις. τῆς οἰκείας ἐπιδείκνυσθαι περιφερείας. ἐντεῦθεν ἡ πολλὴ τῶν πραγμάτων ἐπιφορά· ἐντεῦθεν ἡ μεγάλη καὶ μακρὰ τῶν πτωχῶν ταλαιπωρία, καὶ ὁ πολὺς στεναγμὸς τῶν πενήτων. διὸ καὶ ἀνίσταται κύριος. ἕνεκα γάρ φησι τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων· νῦν ἀναστήσομαι λέγει κύριος. εἰ ὁ θεὸς εἰς ἐκδίκησιν διανίσταται ὁ καὶ πλάσας ἡμᾶς καὶ στέψας βασιλεύειν· πῶς ἡμῖν ὑπεροφθήσεται καὶ εἰς τέλος ἐπιλησθήσεται· μόνους τοὺς τῆς βασιλείας ὀφθαλμοὺς εἰς παράκλησιν ὅπερ ἂν ἧς προσδεχόμενος. διὰ ταῦτα εἰς τὴν τούτων ἐκδίκησιν· οὐ τὰ πρὸς αὐτοὺς ἔναγχος τεθέντα τέως τὰ μόνιμα ἐξισᾶσθαι διασκοποῦντες. ἀλλὰ καὶ κοινῇ διαμένουσαν τὴν πρᾶξιν τὴν θεραπείαν ἐπιτιθέμενοι. τὸν παρόντα νόμον ἐκτιθέμεθα· οἱονεί τινα ἐκβολὴν καὶ καθαρμὸν τῆς ἀπλήστου γνώμης τοῦτον ἐπισκοποῦντες. ὡς μηκέτι τινὰ τῶν οἰκείων ἀλλοτριοῦσθαι νῦν· ὡς μὴ καταδυναστεύεσθαι πένητα· ὡς κοινὴν καὶ λυσιτελοῦσαν καὶ θεῷ δὲ ἀποδεκτὴν καὶ τῷ δημοσίῳ πρὸς φορὰν καὶ τῇ πολιτείᾳ χρήσιμον τὴν τάξιν ἔχειν διασκεψάμενοι. οὐ γὰρ πρώην ἐκ λαθούσης ἤδη μὲν τῆς περιουσίας τυχούσης ἐπιμελείας τῆς τοιαύτης ὑποθέσεως. διὸ καὶ ψῆφοι καὶ κρίσεις, τὸ κακοῦργον τῆς γνώμης ἀναστέλλουσαι· ἐν πάσαις ταῖς ὑφ' ἡμῶν τεταγμέναις ἀρχαῖς καταπεφοιτήκασιν. ἀλλ' ἐπεὶ πολύτροπον ἡ κακία καὶ πολυποίκιλον τὸ δὲ καὶ ἅπαξ ἐξ οὐχ ἥκιστα ἡ πλεονεξία· ἔτι τε καὶ μᾶλλον· ὡς καὶ νόμου καὶ δικαιώματος λαβὰς διαδιδράσκειν μηχανᾶσθαι. καὶ τὸ ἀγαθὸν πρὸς οὐδὲν ἔτι θεὰς δίκης τίθεσθαι ὀφθαλμόν. διὰ ταῦτα νῦν ἀφ' ἑτέρας καὶ ἐπιμελεστέρας ἀναγραφῆς ἠξίωται ταῦτα. τῆς τῶν κακουργούντων βουλήσεως τὰ βουλεύματα τέμνοντά τε καὶ ἀπορρίπτοντα. Θεσπίζομεν τοίνυν τοὺς ἐν

πάσῃ χώρᾳ καὶ πολιτείᾳ τῇ ὑπὸ τὴν ὑφ' ἡμῶν ἐπικράτειαν τελούσῃ· ἐλευθέραν
καὶ ἀνεμποδίστως τὴν λαχοῦσαν ἔχειν κατοίκησιν· ἀλλ' ἐᾶν τοῦτο μὲν φυλάττων ὁ
χρόνος· ἔστω γὰρ τῶν τέκνων ἢ συγγενῶν κληροδοσία τὸ ἐπίκτημα· ἢ τῆς τοῦ κατέχοντος
προαιρέσεως τὸ βούλημα συμπληρούμενον· εἴτε διὰ τῆς ἀνίνης βιώσεως καὶ τοῦ
τοῦ χρόνου παλιρροίας ἀνάγκης ἐπικειμένης· ἢ καὶ θελήσεως τυχὸν μόνης ὑπο
τεθειμένης, τὴν τῶν οἰκείων τόπων ἐπιβάσει· ἢ μερικῶς ἢ καθόλου ἐκποίη-
σιν· τοῖς τὴν αὐτῶν ἢ καὶ τῶν ὁμορούντων χωρίων ἢ ἀγρῶν οἰκήτορσιν· ἢ ἐξω-
νήσεις προσκαλεῖσθαι· οὐ μόνον καὶ φθόνῳ τῶν ἰσχυροτέρων τοῦτο θεσμοθετούμενον·
ἀλλ' εὐνοίᾳ καὶ προστασίᾳ τῶν πενήτων. καὶ κοινῇ σωτηρίᾳ τοῦτο διοριζόμενον· ἀνθ'
ὧν γὰρ ἔλεγον τοὺς ἄρχειν ἐκ τοῦ λαχόντας· τοὺς δόξῃ καὶ πλούτῳ τῶν λοιπῶν ὑπε
ρανεστηκότας· περὶ πολλοῦ τὴν τῶν ποιεῖσθαι προσωπεῖσθαι· οὗτοι καταβρώματα τούτους
ἔχοντες· οἷς μὴ τάχιον ταῦτα κατέχουσι, δυσχεραίνουσιν· εἰ δὲ καὶ μὴ πάντων τοῦτο
οὗτοι ἀνοσιούργημα· ἀλλ' ἔστω πᾶσι κοινὸν τὸ τοῦ νόμου σωτήριον· ὅθεν μὴ
λάθῃ ἐφ' οἷς τῷ σωτήρως φυόμενον τὸ ζιζάνιον· μηδεὶς οὖν μηκέτι μήτε τῶν περιφα α´·
νῶν μαγίστρων ἢ πατρικίων· μήτε τῶν ἀρχαῖς ἢ στρατηγίαις· ἢ πολιτικοῖς ἢ στρατιω
τικοῖς ἀξιώμασι τετιμημένων· μήτε μὴν ὅλως τῶν εἰς σύγκλητον βουλὴν ἀπηριθμη
μένων· μήτε τῶν θεματικῶν ἀρχόντων ἢ ἀπαρχόντων· μήτε τῶν θεοφιλεστάτων
μητροπολιτῶν ἢ ἀρχιεπισκόπων· ἢ ἐπισκόπων ἢ ἡγουμένων· ἢ ἐκκλησιαστικῶν
ἀρχόντων· ἢ τῶν τὴν προστασίαν καὶ ἐπικράτειαν τῶν εὐαγῶν ἢ βασιλικῶν οἴκων
ἐχόντων· ἢ εἰς οἰκεῖον ἢ εἰς πρόσωπον τῆς βασιλικῆς περιουσίας ἢ τῆς ἐκκλησίας·
ἢ δι' ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου τολμάτω μηκέτι· εἴτε εἰς χωρίον ἢ ἀγρόν·
ἢ καθόλου ἢ μερικῶς, ἐπεισελθεῖν· ἢ ἀγορᾶς ἢ δωρεᾶς ἢ κληρονομίας· ἢ ἄλλης
οἱασοῦν προφάσεως αἰτίᾳ· ὡς ἀνισχύρου δηλονότι τῆς τοιαύτης κτήσεως,
ἀναργύρως τῶν ἐπικτωμένων μετὰ τῆς προσγινομένης καλλιεργίας πρὸς τοὺς κα
τέχοντας· ἢ τούτων ἢ συγγενῶν αὐτῶν μὴ προσόντων. πρὸς τοὺς τῶν χωρίων ἢ ἀγρῶν
οἰκήτορας χωρεῖν δικαιωθήσεται· ἡ γὰρ τῶν τοιούτων ἐπικράτεια προσώπων.
καὶ τοῦ πενήτων τὴν πολλὴν ἐπηύξησε ταλαιπωρίαν· ὑφ' πλήθει τῶν οἰκετῶν τῶν
μισθαρνούντων· τῶν ἄλλως ἐπεξερχομένων καὶ συνόντων. τὰς ἐπαναστάσεις
τὰς διώξεις· τὰς ἀγγαρείας ἐπάγουσα· τὰς ἄλλως ἐπακολουθούσας θλίψεις
καὶ στενοχωρίας· καὶ τὴν τοῦ κοινοῦ διαφθοράν, τοῖς συνορᾶν δυναμένοις οὐ
μικράν. εἰ μὴ προφθάσας ἀνέστειλεν ὁ παρὼν νόμος προσεξέλυσεν· ἡ γὰρ τῶν πολ
χρόνων κατοίκησις· πολλὴν δείκνυσι τῆς χρείας τὴν ὠφέλειαν. τὴν τῶν δημοσίων σ

νοσφορεῖν. τὴν τῶν στρατιωτικῶν λειτουργημάτων ζήτησιν, ἀπαύτως ἀπολύει.
τοῦ πλήθους ἐκλησιπόδας, καὶ γενῶν τὰς τῆς πολιτικῆς ἀσφαλείας ἐχομένους. καὶ
τὸ ταρακτικὸν ἀποτίθεσθαι. καὶ τὸ βλαβερὸν ἀπωθεῖσθαι. καὶ τὴν τοῦ κοινοῦ συ-
νισταν ὠφέλειαν. καὶ ταῦτα μέν. ὁ μετὰ ταῦτα ἐπέλθω καιρός. τῆς κοινῆς ὠφελείας
καὶ καταστάσεως τῶν ἡμετέρων ὑπηκόων. δεῖ δὲ οὐκ ἐπὶ τοῖς μέλλουσι μό-
νον. ἀλλὰ καὶ ἐπὶ τοῖς φθάσασι τὴν ἐνδεχομένην ἐπιμέλειαν θεραπεύειν. πολ-
λοὶ γὰρ ἀφορμὴν ἐμποιεῖ τὴν τῶν πενήτων λαβόμενοι ἀπορίαν. ἣν ὁ πάντα φθεί-
ρων χρόνος ἤνεγκε. μᾶλλον δὲ ἡ τῶν ἡμετέρων πληθὺς ἁμαρτημάτων τὴν θείαν
ἐκβιαζομένη φιλανθρωπίαν, προεξένησεν. ἀντὶ φιλανθρωπίας. ἀντὶ οἴκτου. ἀντὶ χεῖρα ὀρέ-
της. λιμῷ πιεζομένους ὁρῶντες τοὺς πένητας. οἱ μὲν ἀργυρίῳ. οἱ δὲ χρυσίῳ. οἱ δὲ
σίτῳ. ἢ ἄλλαις τισὶν ἐπιδόσεσιν. ὠνοῦνται τὰς τῶν ἀτυχούντων πενήτων ἐξωνη-
ταύτας κτήσεις. βιαζομένης τῆς περικειμένης ἀνάγκης. καὶ αὐτοῖς δὲ μετὰ ταῦτα χρό-
νῳ τοῖς ἀθλίοις τῶν χωρίων οἰκήτορσι γινόμενοι. ἐκ πρώτης λοιμικῆς νοσημάτων
ἐπιφορᾶς, ἢ γαστριμαργίας δίκην τὸ τῶν χωρίων ἐπιφοιτῶσα σώματι, τὴν πανω-
ε' λεθρίαν ἐπισκευαζόμενοι. ὅτι τινὲς ἀπὸ τῆς πρώτης ἰνδικτιῶνος ἢ τοῦ λιμοῦ
καταλαβόντος ἢ καὶ πρώτης. ἀγρῶν ἢ χωρίων ἐγκρατεῖς γεγόνασιν. ἢ μετοικίας
ἢ καθόλου ἐν αὐτοῖς κτήσεις προσλαβόντες τῶν προειρημένων. οὓς ἀνωτέρω κελεύ-
εσθαι ἢ πρὸς τὴν συγγραφὴν γράφειν. τούτους ἀπολαμβάνοντας τὸ παρ' αὐτῶν κατα-
βληθὲν τίμημα, ἐκεῖθεν ἐξωθεῖσθαι. ἢ παρὰ τῶν πρωτοτύπων δεσποτῶν ἢ-
παρὰ τῶν κληρονόμων αὐτῶν. ἢ συγγενῶν. ἢ τούτων ἀπορούντων παρὰ τῶν ἀλλ-
συντελούντων. ἢ παρὰ τῆς ὁμάδος τοῦ τιμήματος ἐπιδόσεως προβαινούσης.
ἐπειδὴ δὲ τῶν ἐπ' αὐτοῖς καλλιεργημάτων, εὐπορούντων μὲν καὶ βουλομένων.
τῶν ἠρημένων προσώπων καταβαλλομένων τὸ ἀνῆκον. ἀπορούντων ἢ μὴ βουλο-
μένων. τὰς ὕλας ἐπαναλαμβανομένους ἀναχωρεῖν. ἐπὶ τῶν ἐξ οἰκείων ἐξό-
δων ταύτας προσέθεντο. καὶ μετὰ ταῦτα τῆς τῶν πενήτων περιουσίας καὶ ἐργασίας
γ' ἐπιδείκνυνται. ἀλλὰ ταῦτα μὲν περὶ τῆς ὡς εἰκὸς ἐπικούσης δικαίως κτήσεως. δω-
ρεᾶς δὲ ἢ κληρονομίας ἢ ἄλλους τινὰς τρόπους καὶ σεσοφισμένας ἐπινοίας
ἢ ἁρπαγάς, ἀνυποστάτους εἶναι καὶ πάλαι ἐννοοῦ διοριζόμεθα. μηδὲν ὑπὲρ αὐ-
τῶν τῶν κακῶς πραξάντων ἐπιζητεῖν δυναμένων. ἀλλὰ πρὸς τοῖς ἰδίοις ἀναδί-
χ' δοσθαι ταῦτα δεσπόταις. ἢ τυχὸν τούτοις ἐξ ἀνθρώπων ἀφανισθέντων, τέκνοις ἢ συγ-
γενέσιν ἢ καὶ τούτων ἀπολειπομένων. τοῖς συντελεσταῖς παρέχεσθαι. εἰ δὲ
καί τινας συνοικότερον τὰ τοιαῦτα πένησιν ἐπιδεῖν ἢ ἄλλοις τισὶν ἀκαταλήπτοις

λόγοις, πρὸς κρείττονα μετεσκεύασε τῆς προτέρας βιώσεως κατάστασιν. τῆς ταπεινοτέ-
ρας ἀφαρπάσασα τύχης, καὶ πρὸς ὑψηλοτέραν μετεωρίσασα. μένειν καὶ αὐτοὺς ἐφε-
ξῆς ἧττον κληροῦσι καὶ καταστάσεως διηνεκοῦς. καὶ μὴ τὸ μέτρον τοῖς οἰκείοις πα-
ρεκτεινομένους τύχης. ἀλυποτέρους τοὺς πλησιοχώρους λανθάνοντας ἀπεργάζεσθαι.
τοῦ γὰρ τῶν εὐτυχίᾳ καὶ δόξῃ βιωτικῆς λαμπρότητος γαυρουμένων. πρὸς τοὺς τα-
πεινοτέρους τῶν συναλλαγμάτων. ἁρμοδιώτερον ἐπίκλημα τῆς τῶν προσώπων δια-
φορᾶς. ὡς μὴ κοινὴν καὶ συμφέρουσαν καὶ σύμφωνον τὴν πραγματείαν. οὐ λογισμοῦ
μόνου προλήψει. ἀλλὰ γὰρ καὶ πραγμάτων ἀκολουθίᾳ, ἐν πολλοῖς δοκιμασθείσῃ ὑπο-
τυπουμένης τε καὶ συνομολογούσης. οἷς πλέον ἔχειν ἀνασκοπουμένοις τὰ τῆς τύχης
πρὸς αὐτοὺς εὐμενῆ. πρὸς τὸ ὁμόχωρον συνδιαιτᾶσθαι τὰς τῶν πλησίων περι-
ουσίας. ἐπεὶ μὴ βούλοιντο καὶ αὐτοὶ τῷ περικειμένῳ διηκοῦσθαι κείμενοι. τούτου ε´
δὲ πρὸ πολλῶν ὡρισμένων χρόνων ἐν καταλόγοις τισὶ τῶν κτημάτων γεγονότας. ἐπεὶ
ἐπὶ τῆς αὐτῆς ἐνορῶνται μένοντες καταστάσεως. μένειν καὶ αὐτοὺς συγχωρουμένους
τοῦ πλησίον κτήσεως ἐπίσης τοῖς ἄλλοις τὴν κώλυσιν ἐπιφερομένους. εἰ δὲ φορ-
τικώτερος καὶ ἐπαχθὴς πρὸς τοὺς πλησίον διατίθενται βαρύτερος ἢ συνεχῶς
προξενοῦντες βλάβας τοῖς πένησιν, ἐξωθεῖσθαι τούτους καὶ ἀπελαύνεσθαι. μάθω-
σι τῆς χαλεπῆς καὶ ἀπλήστου προαιρέσεως. τὴν τῶν οἰκείων ἔκπτωσιν ἀπολαμβά-
νοντες. εἰ δὲ περὶ τῶν κτημάτων ἀνάδοσις, ἀνωτέρω ὡρισμένη. ἐλαφροτέρας δέ ϛ´
ὁμοῦ καὶ λεπτοτέρας ζητήσεως. οὐ φαύλης καὶ ἀδοκίμου ἔτυχε διαγνώσεως. ἡμετέ-
ρας γὰρ καὶ ἀβιάστου συντεθείσης τῆς πράσεως. καὶ δικαίας ἐνορωμένης τῆς κατα-
βολῆς τοῦ τιμήματος. δικαίως καὶ ὁ τῆς ἀναστροφῆς φυλαχθήσεται λόγος. τὸ προσ-
θήκῃ τὴν τῶν τόπων ἀναστροφὴν καὶ ἀπόδοσιν γίνεσθαι πρὸς τοὺς πεπρακότας ἢ κλη-
ρονόμους αὐτῶν ἢ συγγενεῖς. τούτων δὲ μὴ ὄντων, πρὸς τοὺς συντελεστάς. καὶ τῶν ἀπόρων
ἐξ ὄντων αὐτῶν. ἀνταποδιδόναι τὸ ἐξ ἀρχῆς καταβληθὲν τίμημα. ἀπορούντων δέ
πρὸς τὸ τάχος τῆς ἀναδόσεως, μὴ προσβιάζεσθαι. ὡς μὴ φορτικωτέραν αὐτοὺς ὀφθῆ-
ναι καὶ δυσχερεστέραν τῆς πρὸς τὸ μέλλον ἐλπιζομένης ὠφελείας. τὴν νῦν ἐπιβαρυνο-
μένην εἰς πρᾶξιν. ἄλλως τε δὲ καὶ τὸ περίεργον καὶ ἀνελεύθερον τῆς τῶν πολλῶν γνώ-
μης διὰ τῆς ταχείας πράξεως. καὶ οὐκ ἐρυθριάσει μὴ οὐκ ἀπαραιτήτως μένειν
τὴν τῶν ὑποτεθέντων ἔκβασιν διαμηχανᾶσθαι. τοῖς γὰρ ἀπλήστοις πάθη καὶ ψυ-
χικὴ πενία πρὸς τοσοῦτον προεισιὼν προστετηκόσι. καὶ μηδὲν αἰσχρὸν τῶν εἰς χρη-
ματισμὸν συντεινόντων ὑπολογιζομένοις. καὶ ταύτης πολυπραγμοσύνης ἐφόδι-
ον τὴν ἐλευθερίαν ἐπιφορτιζομένοις. οὐδὲν ἀτόλμητον οὐδὲ ἀνεπιχείρητον περιλ-

φθήσεται δὲ τὴν τῆς οἰκείας συμβαλλόμενον πρὸς τάδε σωτηρίαν· ἀλλὰ δὲ κώλυσιν τῶν κοινῶν ἐφευρημάτων καὶ ἀναπλήρωσιν τῶν δεομένων· ὁ τῆς τελείας δὲ ἀναμένων προσκάθαι χρόνος, καὶ τῷ ἀπόρῳ τὴν εὐπορίαν φέρειν δυνάμενος· καὶ τὴν δὲ πρόσοδον ἁγίως προέχειν ταμιευόμενος· διὰ γὰρ τὴν τοῦ δικαίου καὶ τοῦ συμφέροντος· καὶ τὸ φιλάνθρωπον συνεξυφαίνεσθαι τοῖς δεσποτευομένοις, καὶ συνεκφέρεσθαι· καὶ ἄλλως δὲ τῆς τοῦ χρόνου ὑπερθέσεως διαλυθείσης· ἅπαξ γὰρ τῆς περὶ τούτων ἀποφάσεως ἐξενεχθείσης· τοὺς προσδοκητὴν τῶν πεπεισμένων ἐληλυθότας· οὐ ξένου οὐδὲ ἀλλοτρίου τῶν οἰκείων διαπολαύειν πόνων τὰ ἐπίχειρα· καὶ τῶν προσόντων ἀλλοτριοῦσθαι δικαιωμάτων· ἀλλὰ γὰρ ὡς φιλανθρώπῳ τὸ αὐστηρὸν τῆς ἀκριβείας κεραννύντες γνώμῃ· ἀντὶ τῆς προσηκούσης ἐκπληρώσεως, τὴν τῆς τελείας ἀναβολὴν διωρισάμεθα· μετρίως τε τοὺς ἐξημαρτηκότας κολάζοντες· ἀξίως δὲ καὶ τοὺς ἐλέους τυχεῖν ἀξίους πένητας· τῇ ἀναβολῇ ἀναθάλποντες καὶ παρηγορούμενοι· καὶ συμμέτρως ἐκ τελείας τὴν θεραπείαν προσφέροντες καὶ ἀφοσιούμενοι. ἐπεὶ δέ τινας καὶ πρὸς τοῦτον χρηματιζομένων ἠλλαχότας πρόθεσιν ἀκηκόαμεν· ὡς δῶνως ταῖς τῶν πενήτων· ἀλλὰ πῶς ἔτι συνωνεῖσθαι καὶ μηχανᾶσθαι κατεπείγοντος προΐεσθαι· τὸ τῆς γνώμης καὶ τῆς πράξεως διάφορον· διάφορον δὲ οὐχ ὁμοίαν τῶν προλαβόντων τὴν διάκρισιν ἐξειργάσατο. ἐπειδήπερ οὖν δείσειεν ἄν τις τὸ διπλάσιον ἡ δίκαια τῶν πεπραμένων ἀποτίμησις· ἀναργύρως τοὺς ἀγοράσαντας ἀπηλλάχθαι. εἰ δὲ καὶ μὴ πρὸς τοσοῦτον· ὅμως δὲ περιγραφὴν ἔβλαβον τῶν πωλησάντων· ἔφθασε δὲ τὸ ἐνθένδε πρόσοδον τὸ κέρδος ἐξισωθῆναι τῇ καταβολῇ τοῦ τιμήματος· μηδὲν αὐτοὺς ἕτερον ἀπαιτεῖν· ζητουμένους δὲ τὸ λεῖπον ἀπολαμβάνειν παρὰ τῶν δικαιουμένων, δὲ τὴν τῶν τόπων ἀπόληψιν. ἀλλὰ μηδὲ προφάσει μηδ' αὐτοῖς τινος ἢ μηδὲ βουλομένου καὶ τὴν ἰδίαν προσκυρώσαντος τῷ ἱερῷ φροντιστηρίῳ κτῆσιν. τὰ κηρὺς νοῦ δόξαντα, σύμφωνα δέχεσθαι· ἱκανὴν ἐκ τῆς προσόδου διακειμένως δημιουργοῦντας ὠφελεῖν· τῷ τὴν δικαίαν ὁρμὴν τοῦ κτήματος ἀπολαμβάνειν. εἰ ἀληθῶς ὁσίας ἕνεκα τοῦτο· καὶ σὺν δόλῳ καὶ περιφρονίᾳ καὶ σεβομένῃ διαπεπρᾶχθαι πρόνοια. τοῦτο δὲ οὐχ ἧττον δὲ λυσιτελήσειν τῶν ἱερῶν οἴκων· ἢ τῶν πενήτων λογιασθήσεται· ἀπαλλαττομένων τῆς ζημίας καὶ φιλονεικίας καὶ ἀνηκουστέρου κλήσεως· φευγόντων δὲ καὶ οὐκ ἀπεχόντων πλημμελημάτων αἰτίους δικαστὰς καὶ καταγνώσεις· αὐτοῖς τε οὖσι τελεσφορεῖ συνδουλευομένοις· καὶ οὐκ ἂν ἀγαθοῖς μόνον πεπιστευκόσι τοῖς αὐτοῖς ὁμιλήσασιν. ἀλλὰ ταύταις φιλανθρωπότερον δικαιώσει· καὶ τὸ τῆς φιλοτιμοσύνης ἀκό-

ρέσου μεθ' ἑτέρου ἐπιτελούμενα· καὶ τῷ κοινῷ λυσιτελοῦσι σπουδαζόμενα· ὡς μηδέ-
να μηκέτι μήτε τῶν περιβλέπτων μαγίστρων ἢ πατρικίων· μήτε τῶν ἀρχαῖς ἢ ἐξουσί-
αις ἢ ὅλως βασιλικοῖς ἀξιώμασι τετιμημένων· ἢ πολιτικῶν ἢ στρατιωτικῶν· ἢ θε-
ματικῶν ἀρχόντων ἢ ἀπαρχόντων· μήτε μὴν μητροπολιτῶν ἢ ἀρχιεπισκόπων ἢ ἡγου-
μένων· ἢ τῶν δυνατῶν οἴκων προεστώτων· ἢ τῶν ἄλλως κοσμικῆς δόξης τυχόντων·
ἀγορᾶς ἢ δωρεᾶς· ἢ ἄλλῳ τινὶ τρόπῳ· ὑποσύρεσθαι τὰς χωρίων ἢ ἀγρῶν κλήσεις·
ὅσοι γὰρ μετὰ τὴν παροῦσαν διάταξιν τοιοῦτό τι καταθαρρῆσαι βουληθέντας· καὶ ἀναρ-
γύρους ἔνθεν ἐξαγωνίσασθαι κλήσεις(?)· καὶ τῶν οἰκείων ἐμπονημάτων καὶ κατερ-
γασμάτων ἀποστερεῖσθαι· καὶ τῷ δημοσίῳ προσφανεῖς γινομένας(?)· τὴν τοῦ ἐπιτιμήματος τι-
μὴν καταβαλλομένων· οὐκ ὠφελείας ἢ ζημίας ἕνεκεν τοῦ δημοσίου· οἱ γὰρ
τὸ τῶν ἄλλων ἀκόρεστον τῆς φιλοκτημοσύνης ἀναστέλλειν σπουδάζοντες· πῶς
ἂν εἰς οἰκεῖον κέρδος τοῦτο ἀνυφειάστως(?) διασειόμεθα· οὐ κοινὴν ὠφέλειαν,
ἀλλ' ἰδίαν ποιεῖσθαι ἐπειγόμενοι· ἀλλὰ τῆς τῶν πενήτων ἕνεκα προμηθείας· τῶν εὐτε-
λεστέρων καὶ ἀναργύρων ἐκδιωκομένων· καὶ διὰ τῆς προσηκούσης ἐπιμελείας
ἀντιφροντιζομένων· ταῦτα κρατεῖν ὑπὲρ τῆς τῶν ὑπηκόων ἀσφαλείας(?) βουλόμεθα· ὑπὲρ
ὧν πολλὴ καὶ διηνεκὴς ἡμῖν πρόκειται πρόνοια· εἰ γὰρ τοσαύτην ἐθέλομεν τὴν ὑ-
ποχείρια(?) πρόνοιαν ὡς μηδενὸς φείδεσθαι τῶν συντεινόντων εἰς ἐλευθερίαν· διὰ
καὶ χῶραι· καὶ κῶμαι· καὶ πόλεις τῶν συνεργούντων ἡμῖν προστεθέντων(?) τῶν ὑπε-
ναντίων· αἱ μὲν, ἔργον πολέμου γενόμεναι· αἱ δὲ, διὰ τῶν τούτων ὑποδειγμάτων(?) καὶ τῆς
ἀνδρείας· καὶ πρὸ τῆς πολεμικῆς ὁρμῆς(?) φόβῳ ἐκπεπληκτος(?) προσρυῆναι· καὶ τὸ
τούτων ὑπηκόοις προσαχθῆναι τῆς πολεμικῆς ἐφόδου τὴν ἐλευθερίαν τῶν συνερ-
γούντων διαλογιζόμεθα, ἀρχῆς καὶ σπουδῆς ἔργον ποιούμενοι· οἱ πρὸς τὴν τῶν
ἔξωθεν ἐχθρῶν ἐπιφορὰν τοσαῦτα κατεργασάμενοι· τοὺς οἰκείους ἔνδοθεν ὄντας
ἐχθρούς· τῆς φύσεως τῆς πλάσεως(?) τῆς δυνάμεως, πῶς οὐκ ἀποτειχιζόμεθα· διὸ
καὶ τῆς ἐλευθερίας βουλόμενοι, διὰ τῆς παρούσης νομοθεσίας ξίφει διαχει-
ρίζοντες(?) καὶ βαρυνόμενοι τὸ ἀκόρεστον· τὴν πλεονεκτικὴν ἀποτέμνοντες προαί-
ρεσιν· καὶ τὸν ζυγὸν τῆς τυραννικῆς καὶ βαρείας καὶ χειρὸς καὶ γνώμης ἀπαυχενί-
ζοντες τὸ ὑπήκοον· ταῦτα ἐπὶ τῆς αὐτῆς διηνεκῶς μένειν ἰσχύος ἕκαστον τῶν δικα-
ζόντων προστασσόμεθα(?) εἰς τὴν θεραπείαν· καὶ τῆς ἐξ αὐτοῦ βα-
σιλείας ἡμῶν· εἰς κοινὴν λυσιτέλειαν καὶ ὠ-
φέλειαν :

# Αἱ νεαραὶ τοῦ κυροῦ Κωνσταντίνου τοῦ βασιλέως :–

Παρὰ πολλῶν ἀνέμαθεν ἡ ἐκ θεοῦ βασιλεία ἡμῶν· ὡς οἱ ἐν τῷ θέματι τῶν θρακησίων δυναστεύοντες καὶ ὑπερέχοντες· καταφρονήσαντες καὶ τῆς βασιλικῆς νομοθεσίας· καὶ αὐτοῦ τοῦ φύσει δικαίου καὶ τῆς ἡμετέρας προστάξεως· οὐ παύονται ἐπεισερχόμενοι ἐν τοῖς χωρίοις ἕνεκεν ἀγορῶν καὶ δωρεῶν καὶ κληρονομιῶν· καὶ τῇ τοιαύτῃ προφάσει τοὺς γείτονας τυραννοῦντες πτωχούς· καὶ τῶν ἰδίων ποιοῦντες μετανάστας· διὰ τοῦτο ἐκ κοινῆς διασκέψεως ὅλων, καὶ διὰ τὸ κοινὸν ἐνεθέμεθα καὶ ἐκτυπούμεθα ἐν ὅλοις ἡμῶν τοῖς θέμασιν· ὥστε· τῶν μὲν ἀπὸ τῆς βασιλικῆς νομοθεσίας ※ ἀπὸ τῆς παρελθούσης α' ἰνδικτιῶνος προκεκωλυμένων· βαρυτέρως δὲ τῶν μετὰ τὴν νομοθεσίαν· οὐ δὲ οὕτως οἱ πλέονες τῶν δυνατωτέρων ἀπέσχοντο τῶν πρὸς τοὺς πένητας ὀλεθρίων τούτων συναλλαγμάτων· ὡς καὶ τοὺς δικαστὰς ἀνάγκη μᾶλλον· ἀλλὰ μὴ προαιρέσει ἐκβιασθέντας· ἄλλοτε ἄλλας περὶ τούτων καθ' ἑκάστην ὑπόθεσιν ἐκφέρειν τὰς ἀποφάσεις· ὅθεν κοινὴ περὶ τῶν τοιούτων ἀπόφασις μετὰ τῆς βασιλικῆς ἡμῶν κελεύσεως γέγονεν· ὥστε ἀναμφιβόλως καὶ ἀνυπερθέτως πάντας ἀπελαθῆναι τοὺς ἀπὸ τῆς εἰρημένης νομοθεσίας ἀγοράζειν κεκωλυμένους· μηδένα λόγον μὴ δὲ περὶ δαπανημάτων ἀπαιτήσεως ἔχοντας· ὅτι δηλαδὴ ἐκ τῆς ἡμέρας τῆς αὐτοκρατορικῆς ἡμῶν ἀναρρήσεως κατετόλμησαν ὑπεισελθεῖν ἐν χωρίοις ἢ ἀγροῖς ἐξ κλήσιν(?) πενήτων ἀνηκόντων· περὶ δὲ τῶν ἀπὸ τῆς α' ἰνδικτιῶνος τῆς ἐκ τοῦ καιροῦ τοῦ λιμοῦ μέχρις ἡμέρας τῆς ἡμετέρας ἀναρρήσεως, ἀδιαφόρως μίαν καὶ τὴν αὐτὴν ἀπόφασιν ἐνταῦθα διορισαμένην ἐνεργεῖν· ὥστε πᾶσαν δωρεὰν καὶ κληρονομίαν, καὶ τὰς ἐπινεμήσεις πρὸς περιγραφὴν τούτου τοῦ νόμου ἐπικυρωθείσας καὶ διαλύσεις μετὰ ξύλου(?) ἤδη ἠκολουθημένων ἀργεῖν· καὶ αὐτὰ μὴ γενομένων νομίζεσθαι· μὴ δὲ τῶν ἐπὶ τῇ αὐτῇ καταβληθέντων οἱανδήποτε εἰς πρᾶξιν τῶν πεπρακότων ἀπολαβουμένων· εἰ δὲ καὶ τὰς αὐτὰς καλλιεργείας(?) ἀναζητεῖσθαι· ἀναλαμβάνοντες ἑκάστου τὸ ἀπαρχῆς ἴδιον· εἰ μὴ γε ἄρα τοῦτο οὐ βούλεται ὁ πτωχός, ἅτε πρὸς ἀνακεκινωμένος ὤν· καὶ οὐ μόνον ἴδια τὴν ἑαυτοῦ κατάσχεσιν ἀφορίσας διὰ τὸ ἀνενόχλητον· ἀλλὰ καὶ τὸ κρεῖττον ἀντιλαβών· περὶ δὲ τῶν διαπεπραμένων, ἀναζητεῖσθαι μὲν καὶ ταύτας· πρὸ δὲ πάντων τῶν διαπραχθέντων πρὸς τοὺς πεπρακότας ἀναδιδομένων· εἰ δὲ καὶ πρὸς τοὺς κληρονόμους καὶ συνθήκας, κατὰ τὴν πρώτην νομοθεσίαν· περὶ δὲ τῶν τιμημάτων, σκοπεῖσθαι τὰ προβαινόμενα(?) πράγματα· καὶ εἰ δυνατὸς ἦν ὁ πρόσω



※ εἰργομένων ἀγοράζειν προσώπων· καὶ οἰκονομίαν βασιλικὴν ἐσταλθαι ἀπὸ τῆς δηλωθείσης ὁμάδος ἢ τοῦ καθ' ἕκαστον· ἑάλλεις(?) πρὸ τῆς νομοθεσίας ἤ

β

κεχωρισμένος δηλαδὴ ὁ ἰδιωτικός· εἴτε πολιτικὰ εἴτε ἐκκλησιαστικὰ τυχὸν ἐπισκοπῇ·
ὁ δὲ πωλήσας τῶν ἀπόρων ἐστὶν ὡς μηδὲ τὴν οὐσίαν ἔχειν εὐπορείαν· σχολάζει τὴν ἀπόδο-
σιν τοῦ τιμήματος. εἰ δὲ ὕστερον τῆς οὐσίας εὐπορεῖ, καὶ οὕτως ἀνεξικάκως μὴ προ-
θυμεῖ διὰ ταχείας ἀποδοῦναι τὸ τίμημα· τῶν αὐτῶν ἀπολαύων μετὰ τῆς ὁμά-
δος προνομιῶν· κἂν σχολάριος ἐστὶν ἢ σεκρέτοις ὑπηρετούμενος· εἰ δ' ὅμως τοῦ
ἡ πωλήσασα, ἀπορεῖ δὲ πρὸς τὴν ἀνάδοσιν· ἐχέτω πρὸς τοῦτο τούτων χρόνων προ-
θεσμίαν· δι' ὅσων ἂν ὁ σχολάζων ἀπὸ τῶν μελλόντων καρπῶν συλλογίσηται δύνα-
σθαι ἐκπληρωθῆναι τὸ τίμημα. εἰ δὲ ὁ πωλῶν δύναται ὁ πωλήσας, ἢ οἱ πωλήσαντες
ἐν τῇ πρὸς βίαν ἢ δόλου ὑποστάντες. ἢ πρὸ τῆς πράσεως τοῦ ἀδελφοῦ. ἢ τῆς φα-
μιλίας αὐτοῦ ἀδικούμενοι καὶ καταδυναστευόμενοι, μηδὲν ἀναδιδότωσαν. κἂν ὁ
ἀδελφὸς οὐκ ἦν τῶν δυνατωτέρων. τὰ δὲ ἐλεύθερα τῶν μοναστηρίων καὶ ὅσια ἀπὸ
ἀπαθεῖ τῶν ἐν τῇ θεοφυλάκτῳ πόλει διαβιούντων καὶ δυνατωτέρων ἀρχόντων
ἔτυχον ἀδελφῶν αὐτῶν, χωρὶς οἵας δήποτε βίας καὶ ἀδικίας· μὴ δὲ προστασίαις τῶν
δυνατωτέρων ἐφοδευόμενοι· μὴ μόνον τὰς τιμὰς ἀναλαμβανέτωσαν. ἀλλὰ καὶ
τὰς ἐπικερδεῖς δαπάνας· οἷον τῆς ἀμπελώνων καταφυτεύσεις, καὶ οἰκοδομῶν
κατασκευήν. δύνανται δὲ καὶ τὰς ὕλας τῶν ἰδίων οἰκημάτων περιαιρεῖν μετὰ τοῦ
βλάψαι τὴν προτέραν κατάστασιν. εἰ μὴ τὴν ὕστερον τούτων δαπάνην λαμβάνουσιν.
ἀπορίας δὲ οὔσης πρὸς τὴν ἀναστροφὴν τῶν χρεωστουμένων, μεσιτεύεσθαι τὰ προ-
εκποιηθέντα ἐπὶ τοσούτων διάστημα χρόνων. μέχρις οὗ ἀπὸ τῆς μελλούσης -
καθαρᾶς ἐπικαρπίας, τὸ ὀφειλόμενον τίμημα ἢ τὸ εἰρημένον ἀνάλωμα δύ-
νηται ἐπισυνάγεσθαι· ἢ μᾶλλον κατέχεσθαι μετὰ τὸ κτῆμα παρὰ τοῦ ἐκποιησαμένου.
εἰς δὲ τὴν συγκομιδὴν τῶν καρπῶν γίνεσθαι πρόνοιαν καὶ παραφυλακήν, πρὸς
τὸ πιστευθῆναι αὐτοὺς εἰς ἀποπλήρωσιν τοῦ συναλλάξαντος. ἐξουσίαν ἔχοντος
καὶ αὐτοῦ τούτων προνοεῖσθαι, ὡς τὸ μὴ ἀποβάλλεσθαι τοὺς καρπούς. καὶ εἰ μὲν εὐ-
πορεῖ ἑτέρωθεν ὁ ἐκποιησάμενος διοικεῖσθαι πάντας ἀναδίδοσθαι πρὸς τὸν συ-
ναλλάξαντα. εἰ δὲ μή, τὸ ἀνῆκον τῷ ἐξ αὐτῶν πρὸς ἀναγκαίαν χρείαν καὶ γεωργί-
αν τοῦ ἀγροῦ παρακρατεῖσθαι παρὰ τοῦ ἐκποιησαμένου. τὸ δὲ λοιπὸν ἅπαν, τῷ
τοῦ μετ' αὐτοῦ συναλλάξαντι ἀποκαθίστασθαι. Εἰ δὲ ἐκ τῶν περιφανεστέρων 2
τῆς ὁμάδος πρὸς ἴσους ἢ ὀλίγον ὑποβεβηκότας τοῖς ἀξιώμασι, τυχὸν σχολαρίων -
πρὸς στρατιώτας. ἢ ἐκ τῶν ἐλευθέρων πρὸς τοὺς μικρὸν ὑπερέχοντας. οἷον ἀπὸ τῶν
ἀστρατεύτων πολιτῶν. πρὸς σχολαρίους ἢ σεκρετικοὺς ἐκποίησις γένοιτο ἢ γενή-
σεται, μενέτω ἀπαρασάλευτος. ὁμοίως δὲ κἂν διὰ ἀνάγκην ἐπικειμένην ἐκ τοῦ

δημοσίου ἢ τυχὸν διὰ τὸ ἐν ἄλλῳ τόπῳ βούλεσθαι περιεῖναι θυγατέρα ἰδίαν· ἢ τρόπῳ οὐκ ἔχει τὰς ἀποδοῦναι τὸ περὶ τοῦ δημοσίου ὄφλημα· ἢ τὸ ἐπικείμενον βάρος ἢ τὴν ὑποχρέωσιν περιεῖχε ἐν κινδύνοις· καὶ διὰ ταύτην τὴν αἰτίαν δύναται ἐκποίησιν γενέσθαι ἐκ τῶν ἀκινήτων· μόνον μέντοι πρὸς τοὺς συγχωρίτας ἢ ἐξαναγκάσαι πρὸς τὰ ὑπὸ τὴν αὐτὴν μετὰ τοκοσμίαν χωρία, ἢ τοὺς ὑπὸ τὴν αὐτὴν κομμεντοῦραν· διὰ τοῦτο τοῦ οἰκείου τόπου καὶ δυνατοῦ προσώπου πιπράσκοντος ἢ ἄλλως ἐκποιουμένου. συνεωράθη προτιμᾶσθαι τοὺς χωρίτας ἐν οἷς ἔστιν ἀνακεκοινωμένοι· ἢ χωρεῖς τῆς ἐκείνου νομῆς ἢ τῶν ὑδάτων ἢ τῶν ὀρέων οὐ δύνανται διοικεῖσθαι· εἰ δὲ ἐκ τοῦ ἐκποιουμένου κτήματος ἔστι καὶ ἰσοζυγοῦν ἢ τοῦ ὅλου ἀναγκάζονται ἀγοράσαι, ἢ τοῦ ὅλου ἐξίστασθαι· ἐξέλαβον δὲ μόνων τοὺς ἐπισυνάξειν τοῦ κτήματος ὁπόσον ἔτος δίδωσιν· ἢ μᾶλλον ὁπόσον δαπανᾶται· ἐπεὶ τοῦτο οἱ ἐξωνούμενοι πένητες ἐπιλέξονται). τοιγαροῦν οὕτως περὶ τῆς βασιλείας ἡμῶν δοκιμασθέντων καὶ νομοθετηθέντων· κελεύομεν τοῦ ἐπαναγνῶναι πᾶσι τοῖς ἐνδημοῦσι ὅσα τὴν τοιαύτην ἡμῶν ἐκφώνησιν καὶ νομοθεσίαν· ἀπὸ δὲ δυνατῶν προσώπων καὶ ἕως ἐσχάτου καὶ τελευταίου, καὶ κατὰ τὴν τούτων περιοχὴν καὶ δύναμιν· καὶ ἐξετάζειν καὶ διοικεῖν περὶ τῶν πτωχῶν καὶ δυνατῶν:

※ καὶ προθέσει

## Περὶ σκαλωτῶν:

Ὥσπερ ἐν σώματι κεφαλή, οὕτως ἐν πολιτείᾳ σκάλωμα, τῶν οὕτως ἢ ἑτέρως ἐχόντων· ἀνάγκη καὶ τὸ πᾶν συμμεταβάλλεσθαι· καὶ ὃς μὲν τοῦτο ὑπὸ πολλὴν τέθειται πρόνοιαν. περὶ τὴν οἰκείαν σφάλλεται σπουδήν· ὁ δὲ περὶ οἰκείαν οἴεσθαι χρὴ τὸ κοινόν. Καὶ ἐπειδὴ τῷ χρόνῳ τὰ τῶν σκαλωτῶν ἀρρωστήσαντα ὅθεν αὐτῶν καὶ ἡ τοῦ εἶναι καὶ ζῆν πρόσοδος ἀφορμή· πρὸς τὸ χεῖρον ἐκ προτέρου ἀπέκλινεν· ἢ μᾶλλον πρὸς τὸ δυσκολώτερον καὶ ἀμενηνότερον τοῦτο μετέβαλε· κοινὸν δὲ πᾶσι χαριζόμενος τὴν λυσιτέλειαν. θεσπίζομεν τοίνυν αὐτοὶ τοῦτο δὴ ὅπερ ἡ συνήθεια ἀγράφως πρὶν ἐκύρωσε· μὴ ἐξεῖναι τοῖς σκαλώταις τὰ ἐξ ὧν αἱ σκάλαι ὑπηρετοῦνται κλήματα διαπωλεῖν· συντηρεῖσθαι δὲ εἰς ἑκάστην σκάλαν· ἅπερ ὡς ἀκίνητον κλῆσιν. ἀλλ' ἐν οὐ ὑπάρξειν ἀεὶ κατέχεσθαι κλήρους· καὶ τοὺς ἐπὶ τοῦ στόλου τεταγμένους πλοΐμους. τοῦ τε αἰγιαλοῦ πηδαλίους, καὶ τῆς ἄκρου· καὶ τῶν κιβυρραιωτῶν· αὐτοὶ στόλοι θέρους ὄντες καὶ αὐτεπάγγελτοι βαρεῖς μετὰ πάσης τὰς ὑπηρεσίας. τοῖς δὲ τὰ βασιλικὰ πλοῖμα ἐπὶ ἔργοις ὑπηρετουμένοις, καὶ τοῖς λοιποῖς πλοΐμοις· ἡ δὴ νῦν ἐκράτησεν ἐν συνηθείᾳ. τοὺς δὲ εἰς ἑκάστην σκάλαν ἀκίνητον διαφυλάττεσθαι κλῆσιν· ὃ καὶ ἡ μὲν ἀρχαιότης ἔχειν δοκεῖ. εἰ γὰρ οὐ ἐν τοσαύτῃ ἀκινήτῳ κλήσει εἶεν οἱ ἐν ἑκατέραις σκάλαις καταλεγόμενοι, σώζοιεν ταύτην συντηροῦντες ἀνεκποίητον· καὶ παραπέμ-

ποιεῖν εἰς τοὺς φυσικοὺς κληρονόμους· καθ' ὃν ἂν βούλοιντο νομίμων τρόπον. μὴ
τοῦ οἴκου μεταβιβάζειν βάρους. εἴτε γὰρ κατιόντες εἶεν· πρὸς οὓς ἡ διαπέμψις. ἢ κατα-
νιόντες. εἴτε ἐκ πλαγίου· εἴτε ἐξ ἀδιαθέτου ἡ ἐκκλησία κοινὸν ἁρμόσον. εἴτε ἀπὸ δι-
αθήκης ἐξ αὐτῶν μερῶν. ὅπως κληθεῖεν· γνήσιοι ἢ φυσικοὶ ἢ ἐξωτικοὶ πα-
νοὶ κληρονόμοι. τοὺς ἀξιωματικοὺς γὰρ παντὶ τρόπῳ ἀποκλείομεν πρὸς τὰς τοιαύ-
τας διαδοχάς. καὶ κατὰ ἀναλογίαν τοῦ κέρδους τῆς κληρονομίας, ἕπεσθαι ὀφειλόμε-
να καὶ τὸ βάρος τῆς ζωότητος. κινητὴν δὲ οὐ περιεργαζόμεθα ὕπαρξιν. ἀλλ' ἐν ἐξου-
σίᾳ αὐτὴ κεῖσθαι τοῦ κεκτημένου. ἐπείπου κατὰ πολὺ ἡ ἀκίνητος ἐλαττοῦται. δέον
γὰρ τότε αὐτὸν ἐξ ἀγαθοῦ δοκιμασίᾳ τὸ ἐλλιπὲς τῆς ἀκινήτου ἐκ τῶν κινητῶν ἀ-
ναπληροῦσθαι. εἰ δὲ ἐν περιουσίᾳ πολλῶν ἀκινήτων ὁ στρατιώτης καθεστήκοι.
ὥστε κατὰ πολὺ τὴν δικαίαν ὑπερβαίνειν ποσότητα. εἰ καὶ ἅπαντα ἐν τοῖς στρατι-
ωτικοῖς κώδιξιν ἀπογράφοιτο. μὴ δύνασθαι μήτε ταῦτα μήτε ἐκ τούτων τοὺς στρα-
τιώτας διαπωλεῖν. κἂν μείζονος εἶεν ἀξιωματικοῖς. μᾶλλον δὲ μὴ δύνασθαι
τινὰ ἐκ τούτων ἀγοράζειν. καὶ μάλιστα περιβλέπτων ἢ ἀξιωματικῶν. ἢ μητροπολίτην
ἢ ἐπίσκοπον. ἢ ἕτερον τῶν οἱωνδήποτε σεπτῶν οἴκων. εἰδότες ὡς οὐκ ἔξεσται αὐτοῖς
περὶ τῶν τιμημάτων ἀγωγή. ἀλλ' οὐδὲ ὁ περὶ τῶν δαπανημάτων λόγος κἂν λέ-
γοιεν πολλὰ καταναλωκότες εἰς φιλοπονίαν τῶν ἠγορασμένων. λήψονται μέν-
τοιγε τὰς ὕλας αὐτῶν μὴ τὸ δυνατὸν βλάψαι τὴν προτέραν κατάστασιν. εἰ δ' οὐ πάν-
τα γεγραμμένα ἐστίν, ἀλλ' ἔχει ὅπως ὁ στρατιώτης κτῆμα καὶ τῇ στρατείᾳ ἀκα-
ταδούλωτον. ἐξουσίαν ἐχέτω ᾧ δὴ βούλοιτο τρόπῳ τοῦτο ἐκποιεῖν. ἐν ᾧ μέν-
τοιγε ἡ ἀπογεγραμμένη κτῆσις αὐτῷ ἱκανή ἐστιν ὑπηρετεῖσθαι τῇ στρατείᾳ. εἰ
γὰρ ἀπολέλειπται, ἀνάγκην ἔχει ὁ ἐκ τοῦ στρατιώτου λαβὼν ἐκείνης αἰτίας τὸ
ἐλλιπὲς διὰ ἀκινήτων ἀναπληρῶσαι. εἰ δὲ οὐδόλως ἀπογεγραμμένα ἐστὶ τὰ
τοῦ στρατιώτου ἀκίνητα, τὰ δ' ἀρεστότερα σιωπηρῶς ὑποκεῖσθαι τῷ, ἕως δ' λι-
τρῶν· καὶ τούτῳ τῷ προνομίῳ ἐξ ἀμελείας προνοίᾳ συνεστάθη. τὰ δὲ περι-
ττὰ ἐφίεσθαι τούτοις ἐκποιεῖσθαι. κἂν ὅτι συμβῇ οὖν μὴ τὰ δ' ἀρεστότερα ἀγο-
ράσαι πρότερον· οὐ δὲ τὰ ἀρεστότερα ὕστερον, ἐκνικᾶσθαι δὲ ἐκ τοῦ προειρημέ-
νου προνομίου τὰ δ' ἄριστα τὰ τῆς προγενεστέρας δίκαια κατὰ τοῦ μεταγενεστέρου
ὁ προγενέστερος. εἰ δὲ πολλὰς ἔχουσιν ἀκινήτους κτήσεις καὶ πολυτελεῖς, τὴν
ἀπογεγραμμένην ἐκποιήσωσιν ἐκνικᾶσθαι δὲ ταύτην βουληθεὶς ὕστερον ἀπογε-
γραμμένην· δίδοσθαι μὲν αὐτοῖς τὴν βοήθειαν τῆς ἐκνικήσεως· ἐκ τῆς ἄλλης δὲ
τῷ ἀγοράσαντι τὸ ἱκανὸν περιποιεῖσθαι· ὅτε δηλαδὴ εὐποροῖεν, ὑπὲρ τὰς δ' λίτρας

ἐξ οἱ ἱππεῖς· τοσοῦτοι δὲ οἱ πλωτῆρες· ἔτι δὲ μέρος στρατιᾶς ὑπηρετοῦντες, ἢ
ἀνδραγαθίαν τοῖς μέρεσιν αὐτοῦ καὶ τὴν ἐμπορείαν ὑποδύεσθαι· μηδ᾽ ἄλλως δὲ κυριεύ-
εσθαι τὰ στρατιωτικὰ τοῖς ταῦτα οἰκοῦσιν ἐν τόπῳ κληρουμένοις, ἐπεὶ ὁ τῆς τεσσαρα-
κονταετίας ἀνεπιφθόνως διαρρεύσας χρόνος. σχεδὸν γὰρ τοῖς κακῇ πίστει νομισ-
θεῖσιν ἢ εἰθισμένοις τούτοις καὶ πάλαι ἢ ζῶντα, πλὴν ὅσον οἱ μὲν ἐν συναλλάγμασι τοῖς
νεμηθέντες, τὴν τῶν καρπῶν ζημίαν διέφευγον· οἱ δὲ πίστει κακῇ νεμόμενοι. καὶ
καρποὺς καὶ προσόδους καὶ πᾶσαν βλάβην καταλείπουσιν(?), ὃ καὶ ἡμῖν ἀρεστόν.
στρατιώτην δὲ νομίζεσθαι διαλαμβάνομεν, οὐ τὸν καθωσιωμένον μόνον τοῖς ἱερ-
ωτάτοις τῶν στρατιωτῶν, ἀλλὰ γὰρ καὶ τούτους· οἱ διὰ παντὸς(?) ἐπὶ ἔργοις ἐπι-
δεῖς ὀφείλοντες, ἀδρότερον ἐνίοτε τετυχήκασι· καὶ τῶν αὐτῶν τούτοις ἀπολαύειν
δικαιοῦμεν προνομίων, οὐ συγχωροῦντες οὐδὲ πρὸς ἐκείνων πιπράσκεσθαι τὰ
ἐξ ὧν αἱ στρατεῖαι ὑπηρετοῦνται· καὶ πολλῷ πλέον παρὰ τοῦ δημοσίου. εἰ
γὰρ τοῖς κυρίοις διαπράττειν(?) ἐπιτιμῶμεν τοῦ κοινοῦ συμφέροντος ἕνεκεν, πῶς
ἂν τῷ δημοσίῳ πιπράσκειν ἐπιτρέψομεν, καὶ τὴν πάλαι ἄγραφον ἀδικίαν ἐ-
κείνην νόμου τάξιν ἔχειν μεθήσομεν. ἣν ἔχειν γὰρ τὰς ἁπάσας ἐξηγεῖσθαι(?) ἐκ
θαλάσσης, ὡς οὐδὲν θεοστυγέστατον(?) καὶ ἀπανθρωπότατον(?)· οἱ μὲν γὰρ ὥσπερ οἱ ταύτην θε-
τασάντες, τὴν αὐτὴν τοῖς ἀρχαίοις φύσιν τῇ πολιτείᾳ προσεῖναι λέγων· λόγος γὰρ ἔχει μέ-
νας θηρίων τὰς ἄρκτους λιμῷ πιεζομένας, τοὺς δακτύλους περιλιχμᾶσθαι. οὐ
που καὶ οὗτοι ὅλως χρεὰς ὅλης τῆς πολιτείας· ἀλλ᾽ οὐχὶ δακτύλους τοὺς στρατιώ-
δʹ τας δοκεῖν. ταῦτα τοίνυν τοῖς ἔμπροσθεν χρόνοις, ἐνθέως ἅμα καὶ λυσιτελῶς
κατὰ τὴν ἡμῶν δοκοῦν διαλυπουμ(?)· ἐπεὶ δὲ τοῖς περιλαβοῦσι πάλαι ἐς ἐπικρατεῖ
ἀδιαίτητος καὶ παχυμερὴς συνήθεια, ἀναργύρως τοὺς ἀγοράσαντας τῶν στρατιωτῶν
ἐξωθεῖσθαι· ἡ δὲ λεπτομερὴς τὴν κατάστασιν(?) διοίκησιν. ἄλλοτε ἄλλως ἐνίοις ἂν
αὐτὴν μετῆλθον, οἱ τῆς ψήφου κύριοι μεταφερομένην. πολλὴν ἐντεῦθεν τὴν τα-
ραχὴν τοῖς πράγμασι, καὶ πᾶσαν ἀσάφειαν. ἡμεῖς οὖν ἅμα πρὸς ταῦτα καὶ ὀπίσω
τοὺς ἑκατέρωθεν συμφερόντων τρέφοντες ἀναλογισμούς, τὰς κεχυμένας ἐκείνας ἐ-
ποικιλοτρόπους ἀποδιοπομπούμενοι πράξεις, ἐνὶ ῥητῷ καὶ λόγῳ τοῖς
ἐν ἅπασι διοικεῖσθαι προστέλλοντες, θεσπίζομεν. εἰ μὲν ἔτι κληρονόμοι αὐτοῖς
τοῖς γεγραμμένοις στρατιώταις, κατέχοντες τυχὸν ἢ ἀνιόντες ἢ ἐκ πλαγίου μέχρι
ἕκτου βαθμοῦ. αὐτοὶ πάντως προσδεχθήσονται κατὰ τὴν τῶν βαθμῶν συγγέ-
νειαν προτιμώμενοι εἰς τὸ ἀνακτῆσαι τὰ πρῶτα τῶν στρατιωτῶν ἐκποιηθέντα κακῶς.
ἢ παρὰ δυνατοῦ βιαίως ἀφαιρεθέντα. τῶν δ᾽ ἐκτοτέρου βαθμοῦ συγγενῶν μὴ βουλομέ-

νων ἢ μὴ δυναμένων. καὶ οἱ πορρωτέρω δ' ἐλαθέντα στρατευθῆς. στρατεύονται δ'
οὐχ ὑπόντων, ἢ τῶν ἀπὸ νόμου κηρουμένων ἀρίστων. οἱ ζευγῖται καὶ ζευγη-
λάται τούτων ἀνοικαθεῖσιν προσερχόμενοι. τούτων δ' οὐκ ὄντων προσερχόμε-
νοι. τούτων δ' οὐκ ὄντων, οἱ ζευγηλάται ἀπορώτεροι στρατιῶται ἢ ἐξ ἐκείνων τὸ
ἐνδέον τῆς δαπανείας ἀναβάζοντες. δηλονότι μαθεῖν πρὸς ἡμῶν ἱκανῶς τοῖς. εἰ
δὲ καὶ οὕτω οὐκ εἶεν, ἀνάγκη καὶ τοὺς πολιτικοὺς ζευγηλάτας ἐκβαίνεσθαι, πρὸς
τὸ μὴ διαπίπτειν τὸ ἔνδον κινδυνεύειν. εἰ δέ τις στρατιώτης στρατιώτου ἑτέρου
κλῆσιν ἰδίαν ... εἰ δ' ὁ σὺ πορώτερος ἐξ ἀπόρου, τὴν αὐτὴν ὑφέξει ποινὴν τοῖς
δυνατοῖς. ἀναργύρως ἐκπίπτειν τῶν ἠγορασμένων. εἰ δ' ἄπορος ἐξ εὐπόρου,
τὰ ἀγορασθέντα ἐξ ... πάντας ἢ τὸ ἥμισυ λήψεται. εἰ δ' ἀνάγκη φανείη δαπάνη τις
εἰσκεῖται, ἃ τῷ ζημιουμένῳ μέρει πρὸς βοηθεῖσθαι ἡγούμεθα. τὴν ἀγαθὴν πίστιν
ἐνταῦθα τηροῦντες. τίς οὐκ ἐᾷ τινὰ κερδαίνειν ἐκ τῆς τοῦ ἄλλου ζημίας. τῶν
γὰρ ἐπὶ στρατιωτῶν κλήρων, ἀπεστερηκότες ἃ δ' ἐξευρηκότες. τὴν ὠφέλειαν
μεταβῆναι καὶ ἐπ' αὐτὴν τὴν στρατιωτικὴν πρόσοδον. καὶ τὰ ζημιώματα τού-
τοις, μικρὸν ἄνωθεν ἀναγορεῦσαι. νῦν δὲ ἡ ὁλοσχερὴς τῶν πραγμάτων ἀνατρο-
πὴ καὶ φθορὰ ὀλέθρου διοικηθέντος. καὶ πᾶσαν τῶν ἐνδόξων κρατιαιῶν. πᾶσαν
συνδρομὴν χώρας ἀπειράτους ἀπολεμηκόμενος. ἐν αὐτῷ ἀποδοῦναι χόρτω, τοὺς
ἀθλίους ἐνέταλτε κλήρους, σχέτλια ποιεῖν οὐχ ἱστάμενος. πάσχειν δὲ μᾶλλον.
εἰ ἕτερος ὑπὲρ τοῦτον ἐν πλεονεξίᾳ ὀφθῇ. καὶ ἡ ὁλοσχερὴς ἄμιλλα κα-
κῶν. οὐ γὰρ οὐδὲ μέχρι τῶν δυνατῶν ἦν. ἀλλ' ἐκεῖθεν ἀρξαμένη, καὶ εἰς τοὺς
ὀλιγοσθενεῖς ἐτελεύτησεν. αἱ γὰρ τῶν ὑπερεχόντων ἕξεις, διαδόσιμοι ὡς ἐπὶ
πᾶν τῷ πλήθει γίνονται. ἐντεῦθεν οἱ ἀρχὴν τοῦ στρατοῦ λαχόντες, ὡς πρὸ τοῦ
νόμου τὰ τούτων εἶναι τῶν στρατιωτῶν, ἅπαντα ὅσα ἔχουσι λαμβάνουσι. αὐτοὶ δὲ
αὖθις ἀστράτευτοι ἄνοι ὄντες. ἀμελῶς ἀπόλλυνται. μυριάκις ἀσεβοῦσι. καὶ
χρυσὸν ἁρπακτικώτεροι. διὰ τοὺς ἐχθροὺς δασμολογεῖν οὐκ ἔχουσι. ἤργυ-
ρολόγουν τοὺς ὑπηκόους. ὅθεν οὐκ ἐδέησε χρόνου πρὸς τὸ πᾶν ἀνα-
τρέψαι. ἀλλ' ἐκ τῆς σφῶν καταφορᾶς, εἰς ἔσχατον κινδύνων. τὴν τῶν ῥωμαίων
ἤλασαν ἀρχήν. ὅσπερ ἐξ ὧν τὴν σπουδὴν περὶ τὴν τούτων ἀναστολὴν κατεβαλλό-
μεθα. πολλοὶ τῶν χρηστῶν ἐπιτηδείων ἀναφωνοῦσιν. ἢ μᾶλλον ἡ πληθὺς τῶν
εἰς τὸ πάτριον ἔδαφος ἐπανοσούντων βοηθεῖται. ἄρτι τῆς δουλείας ἀπηλλαγμέ-
νοι. ἀναστήσονται δ' οἶμαι καὶ αἱ τῶν ἄλλων πραγμάτων πρὸς τὸ κρεῖττον μετα-
βολαί. αἷς πρόσταγμα ποιούμεθα τοῖς φροντίσιν ὑπομαχοῦντες. ἵνα μὴ κα-

φίλος ἢ καὶ ἀπαντοφορημένη, ἢ ἐπιγνωσθέντα τῶν πλημμελῶς φερομένων διορ
θώσεις· ἣν ἐν τῷ παρόντι ἐδίκτῳ ὡς οἷόν τε ἐστιν, ἀκριβῶς ἀνεστοιχειώσαμεν. καὶ
τῷ ἔμπροσθεν χρόνῳ εἰς διαμονὴν ἀΐδιον παραδιδόντες. Θεσπίζομεν· εἴ τις
στρατιώτην ἐν παντοίου λόγῳ διεφθαρμένα κατέχων· εἴτε αὐτὸς ἐκεῖνος καὶ τὰ ἐξ ὧν
ἡ στρατεία ὑπηρετεῖται ἁρπάσας κτήματα ἔχει, χρυσοῦ οὖν ποινῆς ἕνεκεν ἀπολέσει.
ἐξ ὧν ὁ στρατιώτης ἐκ τὰ ἥμισυ λάβηται πρὸς ὃ διαγίνεται τῆς ἀποκαταστάσε
ως αὐτοῦ. τὰ ἥμισυ δὲ ὁ δημόσιος. οἷς χάριν ἐστὶν ἡ δουλεία. εἰ δὲ οὐχ ἁρπά
σας ἀλλ' ἀγοράσας διεφθαρμένα τὰ στρατιωτικά. πρὸς μὲν τὸν δημόσιον, χρυσοῦ οὖν κα
ταθήσει. πρὸς δὲ τὸν στρατιώτην, ἀγωγὴν ἐπὶ τοῦ τιμήματος οὐχ ἕξει. εἰ δὲ ἕτερον
ἐξ ἡγαγόντων αὐτοὺς ἐκ τῶν οἰκείων, ἢ αὐτῶν ἢ ἐκείνων ἐκ στρατείας χρηματισμένων.
ἄλλοι τούτους καθικτικῶς ἑαυτοῖς ἐδέξαντο. εἴτε παντοίως διεφθαρμένοι, ἀνατιθέμενοι
ἔσονται. ὅτι οἱ δὲ στρατιώτας ἱκανοὺς εἰς ἰδίας ὑπηρεσίας κατεστρωμένα ἔχειν. ὧν
φονευόντων τούτους ἀποστραφέντες. εἰς ἕκαστον ἐν ἑκάστῳ χρόνῳ. ἐξ ὧν ἐξηκοσ
τεύσας εἰς πραχθήσεται, καὶ τὰ λοιπὰ ὁ δημόσιος οἰκειώσεται. δέκα ἀπὸ στρατη
γῶν ἢ τῶν ἄλλων ἀρχόντων καθισταμένων. εἰ γὰρ ἐκ τῶν ἔξωθεν καὶ τῆς κοινότη
τος ὄντες, οὐ καθοσιωθήσεται ὁ τούτους ἔχων. εἰ καὶ δημόσιοι ἐστὶ ὅμως ἔχει πα
ρὰ στρατηγοῦ ἢ ἄρχοντος. ἐπὶ τὰ ἐπίνεια κεκλῆσθαι αὐτῷ:

Ἐκ τοῦ ἐκφωνηθέντος βασιλικοῦ ἐδίκτου πρὸς τοὺς ἐν τῷ θέμα
τι τῶν Θρακησίων. μηνὶ μαρτίῳ ἰνδ. ε΄. ἔτους ςυο΄:

Ἐπειδήπερ μετ' εἰδήσεως τινὰς ἀπὸ στρατιωτικῶν κατέχουσι τόπων. εἴτε κατὰ πρᾶσιν. του
τέστιν ἀγορᾶς ἢ δωρεᾶς, ἢ ἀνταλλαγῆς, ἢ ἀνεκλήσεως τόπου τούτους ἐκποιοῦντες.
οὐδεμίαν βοήθειαν ἀπὸ τοῦ χρόνου ἔχωσιν. ἐκ τῶν τοιούτων τοὺς μὲν τόπους μό
νους ἀφαιρεῖσθαι, καὶ τοῖς ἔχουσι στρατιώταις ἀναδίδοσθαι ζημίαν δὲ μηδε
μίαν τῷ καταφρονεῖν προσφέρειν. οὐ γὰρ βούλεται ἡ βασιλεία ἡμῶν τὸν μὴ ἐξ
ἁρπαγῆς καὶ βίας. ἀλλὰ καὶ κατὰ πρᾶσιν στρατιωτικοὺς τόπους κτησάμενον, ζη
μίαν ὑπομένειν. πλὴν μόνην τὴν ἀνάρρυσιν τῶν τόπων ἀπόδοσιν. εἰ δὲ καὶ
ἐξ ἁρπαγῆς στρατιωτικοῦ τινες διακατέχουσι τόπου, τότε καὶ τὴν ἀναλογίαν τοῦ
κατεχομένου τόπου, καὶ τὴν ζημίαν τῷ καθαρπάσαντι ἐπιφέρεσθαι. ἐὰν δὲ
κατέχεις στρατιώτης παρ' ἑτέρου στρατιώτου στρατιωτικὸν ἐξωνήσατο τόπον. ζη
μίαν μὲν οὐδεμίαν τῷ ἰσοστατικῷ ὑφίστασθαι. ἐπεὶ καὶ αὐτὸς κατὰ πρᾶσιν κτη
σάμενος φαίνεται. πλὴν δὲ μὲν ὁ πωλήσας τὸ ἱκανὸν ἔχει τῆς στρατ. ὁ δὲ ἐξω
νησάμενος ἀπορεῖ. ἀποστρέφεται. πρὸς μὲν τὸν πωλήσαντα τοὺς τόπους. πρὸ

δὲ τὸν ἠγορακότα τὸ κτῆμα. Ἐὰν δὲ ὁ πωλήσας μᾶλλον ἀπορῇ, ὁ δὲ ἠγορακὼς εὔπο-
ρος ᾖ, τότε ἀναργύρως τὸν πωλήσαντα ἀναλαμβάνειν τοὺς τόπους. Εἰ δὲ καὶ ἀμφότε-
ροι στρατιῶται ὄντες, ἀμφότεροι ἀποροῦσιν, ἀντιστρέφεται μὲν πρὸς τὸν ἠγορακότα τὸ
κτῆμα, πλὴν μετά τινος προθεσμίας, τουτέστι τριετοῦς χρόνου. Εἰ δὲ καί ε̅
τινες παρὰ ἀνθυπάτου ἢ βασιλικοῦ στρατιωτικοὺς διὰ λιβέλλων ἐξωνήσαντο τόπους,
καὶ τούτους διωρισάμεθα μὴ βοηθεῖσθαι οἱ κατέχοντες ἀπὸ τοῦ χρόνου, ἐπεὶ
στρατιωτικοὶ ὑπάρχουσιν. ἀναργύρως μὲν ἀντιστρέφειν, ζημίαν δὲ μὴ προσαπαιτεῖ-
σθαι. ἐπεὶ γὰρ τῆς κοινῆς πίστεως διημάρτανον, καὶ αὐτοὶ ἀποστεροῦνται. Ἀλλὰ καὶ ἐὰν
τις ἀγορασίας ἢ δωρεᾶς ἢ ἀνταλλαγῆς ἢ ἀντιλήψεως τρόπῳ ἐκτήσατο τόπους, οὗτοι ς̅
δὲ ἐτύγχανον ἢ μερικῶς ἢ καθόλου στρατιωτικοὶ ὄντες, καὶ ὁ χρόνος οὐ βοηθεῖ τοὺς κα-
τέχοντας. αὐτοὺς μὲν νῦν τοὺς κατέχοντας ἐπεὶ κοινῆς πίστεως φαίνεται διασῴζειν, μηδὲν
ζημιοῦσθαι χωρὶς τῆς τῶν τόπων ἀναργύρου ἀφαιρέσεως. ἀλλὰ πρὸς τὸν πωλήσαν-
τα ἢ δωρησάμενον ἢ ὑπαλλάξαντα ἢ καὶ τῆς ἀντιλήψεως ἐπιτυχόντα, μεταπέμ-
πεσθαι τὴν ζημίαν. εἰ δὲ καὶ οὗτος κοινῆς πίστεως εὑρίσκεται καταφρονῶν, μηδὲ αὐτὸν
ζημιοῦσθαι. Εἰ δέ τινες τῶν στρατιωτῶν διαιρεθέντες, καὶ τὸν μὲν στρατιωτικὸν ἅ- ζ̅
παντα κλῆρον παρὰ τοῖς προσοῦσιν ἢ ἀδελφοῖς καὶ συνόντες αὐτῶν ἐκδουλοῦσθαι
καταλιπόντες, αὐτοὶ δὲ ἰδίου τῆς στρατιωτικῆς μοίρας ἀπαλλαγέντες, ἄλλοις προσώ-
ποις προσῆλθον, μηδὲν τοὺς ὑποδεξαμένους αὐτοὺς ζημιοῦσθαι. Ἐπεὶ γὰρ στέργεται
ἡ στρατεία αὐτῶν παρὰ τῶν ἄλλων ἐκδουλεύεται, καὶ μηδεμίαν ἐκεῖνοι μερίδα
ἐκ τοῦ στρατιωτικοῦ εὑρίσκονται κατέχοντες κλήρου. πρὸς τούτοις καὶ ἐάν τινας
τῶν στρατιωτῶν εἰς ἐσχάτην καταντήσαντας ἀπορίαν καὶ μηδόλως δυναμένους τὸ
στρατιωτικὸν ὑπέρχεσθαι βάρος. ἀλλὰ καὶ ἀδορουμένους ἐὰν ὑπεδέξαντό
τινες, μήτε τὸ παρὰ τούτων μήτε τὸ παρ' ἐκείνων τουτέστι τῶν ἠπορημένων στρατιωτῶν
τὴν στρατιωτικὴν ὀφείλεσθαι ζημίαν. ἀλλὰ μᾶλλον τοὺς ἐκδιώξαντας τοὺς στρα-
τιώτας, καὶ τῆς ἀπορίας αὐτοῖς καὶ τῆς φυγῆς αἰτίους καταστάντας. ἐκείνους καὶ τὴν
ζημίαν ὑπομένειν. τὸν δὲ εὔπορον καὶ βιαζόμενον ὑποδεξάμενον στρατιώτην καὶ
ἐν τόπῳ αὐτοῦ κατέχοντα. ὡς εἴτε παρὰ τοῦ τουρμάρχου προφωνηθέντα. εἴτε παρὰ
δρουγγαρίου ἢ κόμητος ἢ προελάτου. εἴτε καὶ παρὰ συνόντος αὐτοῦ καὶ μισθωσάμε-
νον εἰς ἄγνοιαν καταφεύγειν. ἐκεῖνον καὶ διωρισάμεθα τὴν ζημίαν ὀφείλεσθαι.
Ἐὰν γὰρ οἱ βιαζόμενοι στρατιῶται τῆς τῶν ταξιδίων διακονῶνται δουλείας, πρόδη-
λόν ἐστιν ὡς οὐ μικρὰ ἐντεῦθεν βλάβη τοῖς στρατεύμασιν ἡμῶν ἐπενεχθήσεται:

ταύτην νεαρὰ ἀνῃρέθη ὑπὸ τῆς τοῦ κυροῦ Βασιλείου βασιλέως νεαρᾶς :

# Ὁ τοῦ κυροῦ Νικηφόρου τοῦ βασιλέως, ἡ νέα νομοθεσία :

τοῦ Θεοῦ πρὸς λόγος πολλάκις τὸν λόγον τῆς ἀληθείας ποιούμενος σειας· καὶ δεικνὺς
ὅπως ἡμῖν ἔσται· καὶ τίνων μὲν ἀπεχομένους· ποίων δὲ ἐχομένους τῶν τῆς ἐπὶ
χθον. τὸν πλοῦτον καὶ τὴν τῶν πολλῶν κτῆσιν ἐπικῶς πρὸς ταύτην ἔδειξεν ἐμπο
δίζον· δύσκολον εἶναι τοῖς πλουσίοις τὴν τῆς βασιλείας εἴσοδον· καὶ τοσοῦτον
ἀπείργους εἶναι βουλομένους· ὡς μᾶλλον ἔσεσθαι ἡμῖν καὶ πλέον καὶ χιλί
να τὸ δεύτερον· ἀλλὰ καὶ αὐτὴν φησὶ τὴν εἰς αὔριον ἀπαγορεῦσαι τῆς τροφῆς
μέριμναν. ἄρτι δὲ βλέπων τὴν περὶ τὰ μοναστήρια καὶ τὰ ἱερὰ ταῦτα σεμνα-
περ φανὲν νόσον· νόσον γὰρ ἔγωγε τὴν ἀπληστίαν ταύτην καλῶ. οὐκ οἶδα τίνα δὲ
τοῦ κακοῦ θεραπείαν ἐπινοήσω· ἢ πῶς κολάσω τὴν ἀμετρίαν. τίς γὰρ πώποτε μο
νοι τῶν πατέρων ἢ πόθεν λαβόντες τὰς ἀφορμὰς· πρὸς τοσαύτην περιττότητα καὶ
μανίαν ψευδῶς κατὰ τὸ θεῖον φάναι [illegible]· γῆς πλέθρα μυρία· ὑπερ
λογίμους οἰκοδομάς· ἵππων ἀγέλας· βοῶν· καμήλων· ἄλλων κτηνῶν ἀει
μοῦ κρειττόνων ὅσα ὥσπερ κτᾶσθαι σπουδάζουσι· καὶ τὴν ὅλην μέριμναν τῆς
ψυχῆς περὶ αὐτὰ καταλύουσιν· ὥστε καὶ οὐδὲν κοσμικοῦ βίου καὶ πολλαῖς
φλεγμαίνουσι ταῖς φροντίσι τὰ μοναχικὰ διαφέρειν. καὶ τί τῶν θεί
ων λογίων ἀπεναντίας τοῖς ἡμῖν φθεγγομένων· καὶ φροντίδων τοιούτων ἀ
παλλάττεσθαι τὸ ζῶον ὅλον διακελευομένων· μὴ μεριμνᾶτε γάρ φησι τί φάγητε
ἢ τί πίητε καὶ τὸ τῶν πετεινῶν ἀπεικάζων εἰς ὑπόδειγμα ἡμῖν προτιθέντων. τί δὲ
καὶ ὁ θεῖος ἀπόστολος· αἱ χεῖρες αὗταί μοι φησὶν ἐμοὶ καὶ τοῖς σὺν ἐμοὶ διηκόνησαν.
καὶ ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα. τὸν βίον
ἀξιάγαμοι τῶν θείων πατέρων τῶν ἐν Αἰγύπτῳ φημί· τῶν ἐν Παλαιστίνῃ· τῶν ἐν Ἀλεξαν
δρείᾳ· τῶν ἀλλαχοῦ πολλαχοῦ γῆς λαμψάντων· καὶ τούτων οὕτως λιτὸν ἑωρακότες
οὕτως ἀπέριττον· ὡς σχεδὸν μόνην ψυχὴν ζῶντας αὐτοὺς ὑποφαίνειν· καὶ τὰς τῶν
ἀγγέλων ὥσπερ περιφανῶς ζηλούντων ἀϋλίας· ἄλλως δὲ τοῦ Χριστοῦ βιαστὴν ὑπάρχειν τὴν
βασιλείαν τῶν οὐρανῶν λέγοντος καὶ βιαστὰς ἁρπάζειν αὐτήν, διὰ πολλῶν θλί
ψεων δεῖν ἡμᾶς εἰς αὐτὴν εἰσελθεῖν· ὅταν ὁρῶ τοὺς πρὸς τοιοῦτον βίον χωρεῖν ἐ
παγγελλομένους. τὴν πολιτείαν σφόδρα τοῦ ἐπαγγέλματος καταψευδομένους
καὶ αὐτὸ φθεγγομένους τῷ σχήματι· οὐκ οἶδα πῶς οὐδὲ σκηνὴν καλέσω τὸ
πρᾶγμα. καὶ εἰς βλασφημίαν χωροῦν ἄντικρυς τοῦ ὀνόματος ἐποίει τοῦ

χριστοῦ. ἐπεὶ οὖν οὔτε ἀποστολική τις οὔτε πατρικὴ νομοθεσία ἡ τῶν πολυπλέθρων
τούτων ἀγρῶν καὶ τῶν χωρίων κτῆσις τῶν οὕτως ὑπερφυῶν. καὶ φροντίδων -
πλῆθος ὑπὲρ τοὺς καρποὺς γενναίων πεφυκότων. πῶς γὰρ οὔ. εἴ γε τοῖς τοιούτοις ἡ
σπουδὴ τὸ ζῶον ὡς δεῖ πράξαι τε καὶ διδάξαι ταῖς τοῦ χριστοῦ ἐντολαῖς. ἐντολὴ δὲ χριστοῦ
οὐχ ἡ τῶν ὑλικῶν κτῆσις. ἀλλ' ἐκ διαμέτρου μᾶλλον ἡ τῶν τοιούτων ἀπόκτησις.
ἐπείπερ ἐκείνου τὸ πωλεῖν τὰ ὑπάρχοντα καὶ διδόναι πτωχοῖς. πρόδηλόν ἐστιν ὡς
οὐ φιλαρέτου ταῦτα πολιτείας οὐδ' ἀκριβοῦς. ἀλλὰ χριστιανικῆς μᾶλλον περὶ
τὸ βιωτικώτερον οἶμαι τῶν περικαλλεστέρων ἐπικλινάντων. ἡ χρεία δὲ τῶν χρόνων
προῆλθεν εἰς ἀμέλειαν. ἐπείπερ φιλοῦσιν οἱ τὰ χείρω διὰ μικρὰς ἀφορμὰς καὶ
τὰς τυχούσας. εἰς μέγα χωρεῖν. τὸ τοίνυν παθόντες οἱ αὐτοὶ πράξαι τε τῶν πρὸς
τὴν θεραπείαν καὶ λύσιν ἁμαρτημάτων κεκινημένοι. προθυμῶσι γὰρ εὐκολού-
ντως καὶ φροντίδων ἐλευθέραν τὴν χριστοῦ ἐντολήν, τὸ πωλοῦντας τὰ ὄντα διδό-
ναι πένησιν. ἐπείπερ δὲ δύσκολον ταύτην ἐπιθέντες καὶ πραγματωδεστέραν ποι-
εῖν βουλόμενοι. καὶ φροντίδων ἐνοχλοῦντες πλῆθος ἐπισωρεύειν, πρὸς τὰ μο-
ναστήρια ζωίσαι. ξενῶνάς τε καὶ γηροκομεῖα, ἑαυτοὺς καταλείπουσιν. τῶν ἐν γε
τοῖς προτέροις χρόνοις ἡ ζύσασις, ἕως ἔτι σπάνις ἦν τῶν τοιούτων. πολὺ τὸ δίκαι-
ον εἶχε καὶ χρησιμώτατον. καὶ πῶς γὰρ οὔ. κοινωνικώτερον εἶναι τὸ καλοῦ τῶν ζωι-
σάντων ταῦτα προθυμουμένων. τῶν γε εἰς ἀνίσων σωμάτων τε φύλλε καὶ θεραπεί-
αν δὲ εἰς ψυχῶν ἐπιμέλειαν. καὶ ὑψηλοτέρου βίου διαγωγήν. ἀφ' οὗ δὲ πρὸς πλῆ-
θος ἐπιδέδωκε ταῦτα, καὶ ὑπὲρ τὴν χρείαν ἐστήκασι καὶ τὸ μέτρον. τό γε προσ-
έχειν καὶ ἀφίστασθαι τοῦ καὶ πολλὴν ἐπίτασιν ἀγαθοῦ γινομένου, καὶ πρὸς τὴν
τῶν ἠρημένων ζύσασιν ἀφορμᾶσθαι. πρέποντες αὐτοὶ ἀμελεῖς εἶναι κακοῦ τὸ ἀγαθοῦ
τοῦ τηλικούτου. καὶ μὴ τῷ σίτῳ φασὶ προσαναμίγνυσθαι καὶ τὰ ζιζάνια. μᾶλλον δὲ
πῶς οὐκ ἐνδοξίας ἔποι προκαλύμματα γίνεσθαι τὴν φιλοθεΐαν, ἵνα φανεροί
πᾶσιν ὦσι τὸ καλὸν ποιοῦντες. ἐπείπερ οὐκ ἀγαπῶντες ἀρχαίους ἔχουσι μάρτυ-
ρας τοὺς προόντας, τῆς μνείας ἀρετῆς. ἀλλὰ μηδὲ τοῖς ἐπιγινομένοις ἀγνοεῖσ-
θαι ταύτην βουλόμενοι. καὶ ταῦτα τινὲς χριστιανοί. φεῦ. οἱ πάντα τὰ ἔπη λαν-
θάνειν ἐντολὴ τῶν ἀγαθῶν πράξεων κελευόμενοι. τοῦτο δὲ πῶς οὐκ ἄντικρυς ἐκδήλου
εἶναι δόξει καὶ πολλῷ τῶν πειθομένων πεπιστευμένον. ὅταν μνείων ὄντων ἑτέ-
ρων τῶν ὑπὸ τοῦ χρόνου πεπονηκότων, καὶ πολλῆς δεομένων χρείας τε καὶ βο-
ηθείας. ἀμελοῦντες ἡμεῖς τοῦ εἰς ἐκεῖνα δαπανᾶν προθύμως καὶ διορθοῦσθαι
ταῦτα καὶ ζωίσαι, ἐπὶ τὸ καινουργεῖν ἴδια κατὰ πολλὴν φερόμεθα τὴν ὁρμήν.

ἵνα μὴ μόνου ὀνόματος ἀπολαύοιεν κτήτορος. καὶ καθαρῶς φαίνοιτο καὶ ἀπο-
τεταγμένου ἢ τὸ ἡμέτερον, ὡς καὶ τέθεισθαι τὰ ὀνόματα ἡμῶν ἐπὶ τῶν ταιῶν.
καὶ τὸν προφήτην φάναι τοῦ θεοῦ. διὰ τοῦτο καὶ πρὸς τὴν ἐργασίαν τῶν τοῦ Χριστοῦ ἐν-
τολῶν ὑμᾶς διεγείρων, καὶ τῆς θεομισοῦς ταύτης φιλοδοξίας τὸ κακὸν ἐκκό-
πτειν βουλόμενος· καὶ σπουδάζων ὅπως ἂν ἀγαθοποιῆτε διὰ τὸ μόνον ποι-
εῖν· καὶ μὴ συναπτεῖν τοῦτο καὶ τὴν ἀνθρώπων ἀρέσκειαν· ἵνα μὴ τῆς ἀντιμισθίας
πάντως τῆς παρ' αὐτοῦ διαπίπτοιτε· ἀπεχθὴς γὰρ ἤδη τοῖς τοιούτοις ὁ θεὸς λόγος
περὶ τοῦ μισθοῦ κτήτορας τοὺς διοικεῖν βουλομένους. ἀκολούθως τῇ τοῦ Χριστοῦ-
πορεύεσθαι ἐντολῇ. καὶ πωλοῦντας τὰ ὑπάρχοντα διδόναι πένησιν. οὕτω
γὰρ τελείους ἡμᾶς εἶναι καὶ φιλοδαπάνους περὶ τὸν θεὸν βούλεται. ὡς μὴ μό-
νον ὧν ἔχομεν χρημάτων τοῖς χρῄζουσι κοινωνεῖν· ἀλλὰ καὶ αὐτὰ δαπανᾶν ταῦτας,
ἐπὶ τὴν πρᾶσιν εὐθύμως χωρεῖν τῶν κτημάτων. ἐθέλοντες οὕτως ἐστὲ φιλόκτιστοι καὶ
μοναστηριουργοί, κτήτορες γὰρ οὕτως αὐτοὶ τοῦ φιλοθέου. ὡς καὶ μοναστήρια συνοι-
κίσαι βούλεσθαι. ξενῶνάς τε καὶ γηροκομεῖα, ὁ κωλύων οὐδείς. ἀλλ' ἐπεὶ πολλὰ
τῶν ἐκ πολλοῦ τοῦ χρόνου γεγενημένων ἐκ μικροῦ ἤδη καταπέπτωκαι, καὶ
πρὸς τὸ μηδὲν εἶναι σχεδὸν περιέστησαν. ἐκείνων οὐδεὶς ἐπιμελεῖται καὶ διό-
τι ἦσαν χρεωκοπούμενοις. καὶ περὶ αὐτὰ διακινδυνεύουσι τὸ φιλόθεον. ἕως δὲ τῶν-
περιλαβόντων οὕτως ἐχόντων αὐτοὶ περιορῶντες καὶ ὡς περὶ ἐπ' αὐτὰ μένοντες, καὶ
εὐαγγελικῶς ἤδη παρερχόμενοι πρὸς καινῶν ἑτέρων οἰκοδομὰς καταβάλλονται.
οὐ γὰρ ἐπαινετὸν τὸ πρᾶγμα οὐδὲ μὴν τὸ παράπαν ἐᾶσθαι γίνεσθαι. οὐδὲν ἕτερον ἢ κε-
νῆς ἐργασίας δόξης καὶ μανίαν περὶ αὐτὴν ὁμολογουμένην. καὶ ἐθέλοντες τοῦτο καὶ ὀνομά-
ζων. ἐπιμελεῖσθαι δὲ τῶν πραγμάτων τούτων βοηθείας δεομένων κτήτορος. οὐκ ἀ-
γρούς παρέχοντας. οὐδὲ ἵππους δεῖν ας καὶ οἰκοδομάς. ἱκανὰ γὰρ τὰ φθάσαντα
τὰ καὶ ἀπαρέχουσι τυγχάνουσιν ἐξ ἀρχῆς. ἀλλ' ἠμελημένα ταῦτα καὶ ἀκαρπῆ καὶ
ἀνέργαστα διὰ ἀπορίαν κεκμηκότα χρημάτων. ἐκεῖνοι τοὺς ἀγροὺς οὓς ἔχουσι καὶ
τοὺς ἵππους ἀπεμπολοῦντες πρὸς οὓς τῶν κοσμικῶν βούλονται. προνοίᾳ αὐτὰ
τῆς προσηκούσης καταξιούντων. οἰκέτας παρέχοντες. βόας. ποίμνια. τἆλλα
ὅσα ἕτερα τῶν κτηνῶν. εἰ γὰρ αὐτοὺς ἐκείνους οὓς ἔχομεν ἀγροὺς καὶ ἵππους παρα-
δοίημεν. ἐπεὶ τὰ τῶν παλαιῶν οἴκων καὶ τῶν ἐκκλησιῶν ὁ νόμος ἔρρει πε-
πρᾶσθαι, εἰ τοῦτο ἔχοιεν τῷ προτέρῳ καὶ τὰ κακῶς ἔχοντα καὶ πεπονηκό-
τα καταλήψοιεν ἀθεράπευτα χρημάτων οὐκ ὄντων. οὐδὲ τῆς χειρὸς ἐχούσης
τῶν προσηκόντων καὶ δυναμένης. ὥστε ἀπὸ τοῦ νῦν μηδενὶ ἐξέστω. μὴ ἀ-

γεῖς μὲν τόπους μοναστηρίοις ἢ γηροκομείοις ἢ ξενῶσιν ὅπου δῶσι προσαπονέμειν. ἀλλ' οὐδὲ μὴν τοῖς πόλεσιν ἢ ἐπισκοπείοις· οὐδὲ γὰρ οὐδὲν ἐκείνοις λυσιτελές. εἰ δέ τινα τῶν φθασάντων ἐν αὐτῷ οἴκων ἢ μοναστηρίων, διὰ τῆς φαύλης ἔτυχε χρείας καὶ προνοίας ὡς ἔρημα τόπων καταστῆναι· τούτοις γνώμη μὲν βασιλικῇ καὶ δοκιμασίᾳ ἢ τῶν ἀρχόντων κλήσεις, οὐ κωλυθήσεται. κελλία δὲ καὶ τὰς καλουμένας λαύρας ἐν ἐρήμοις οἰκοδομεῖν, μὴ περιουσίας καὶ ἀγροὺς ἑτέρους ἐπιζητούσας· ἀλλὰ τῇ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένας· τοσοῦτον τοὺς βουλομένους οὐκ εἴργομεν· ὅτι καὶ ἐπαίνου μᾶλλον τὸ πρᾶγμα τίθεμεν. ταῦτα παραινοῦμεν ἔγωγε καὶ νομοθετοῦμεν· δῆλον ὅτι τοῖς πολλοῖς μὲν καὶ φορτικὰ λέγειν δόξω· καὶ πρὸς τὴν γνώμην αὐτῶν ἀπᾴδοντα, ὧν οὐδὲν ἐμοὶ μέλλον. εἴπερ ἀρέσκειν κατὰ τὸν Παῦλον οὐκ ἐκείνοις, ἀλλὰ θεῷ βουλόμεθα. τοῖς δὲ νοῦν ἔχουσι καὶ φρένας καὶ τὴν ἐξ ἐπιπολῆς θέαν ἠσκημένοις, ὡς τὸ πρὸς τὸ ἁπλῶς ταραχὴν αὐτῶν ἐπάγειν τὴν διάνοιαν· ἀλλὰ πρὸς τὸ τέλος χωροῦσιν καὶ σύνοψιν βάθος πραγμάτων συνιεμένοις· καὶ λυσιτελῆ δόξομεν, καὶ ὠφέλημα τοῖς τε κατὰ θεὸν ζῶσι· καὶ τῷ κοινῷ παντὶ φθέγξασθαι :

## ✠ Νεαρὰ τοῦ κυροῦ Ῥωμανοῦ τοῦ γέροντος :

Περὶ ἐκποιήσεως κτημάτων· καὶ προτιμήσεως συγγενῶν καὶ κοινωνῶν καὶ ἀναμεμιγμένων καὶ συμπεριακειμένων ὁλοτελῶς καὶ συναπλῶς ἡνωμένων· καὶ τῶν νοσουμένων δημοσιακῶν χωρίων καὶ ἀτελειδίων· καὶ κωλύσεως δυνατῶν προσώπων· καὶ ἐκποιήσεως στρατιωτικῶν κτημάτων :

Παλαιὸς νόμος ἐστὶν ἵνα μηδεὶς πρὸ συγγενῶν ἢ κοινωνῶν ἐκποιήσηται πωλῶν οἷς ἂν ἐθελήσειεν. ἕτερος δὲ νόμος ἀνέκαθεν ἀπαγορεύει μὴ ἐξεῖναι τινὶ πρὸς περιοικὸν ἑτέρῳ· ἢ μόνον τοῖς τῆς ἰδίας μητροκωμίας οἰκήτορσιν· ἤγουν δὲ τῶν ἢ μετρῶν ὑποτελῶν ἅμα καὶ τῶν δημοσίων φόρων. τῆς τε ἄλλης στρατιωτικῆς καὶ πολιτικῆς λειτουργίας καὶ σωτηρίας πολλὴν τιθέμενοι πρόνοιαν. τὸ ἐναντίον φανὲς αὐτῶν καὶ ἀσύμφορον· διὰ ταύτης ἡμῶν τῆς διατάξεως, σαφῶς καὶ σὺν τέλει χρόνῳ ἐπανορθοῦμεν· θεσπίζομεν ἀπὸ τοῦ νῦν ἐν πάσῃ πόλει καὶ χώρᾳ καὶ ἐπαρχίᾳ· ἵνα ἔνεστι τυχὸν ὡς ἀπὸ συγγενῶν διῃρημένως ἢ ἀδιαιρέτως· ἢ ἐκ κοινῆς ἀγορασίας ἢ ἄλλης τινος τοιούτου προτέρου κτήσεως· ἢ οἱ μὲν ἐκ συγγενῶν οἱ δὲ ἐκ

ἐπικλήρως· ἐπὶ κοινοῦ οἰκίαν ἢ ἀγρὸν ἢ ἀνάπηγμα ἢ ἕτερον τοιοῦτον ἀκί-
νητον ἔχουσιν· ἢ ἄλλως καὶ οὐχ ὡς ἐξ ἐπικοίνου τοῖς ἐπίζουσι κτήμασι κατὰ τὸ
μέρος ἀναμεμιγμένοι· ἢ συμπεπλεγμένοι ὁμοτελῶς ἢ ἁπλῶς πλησιάζουσιν,
βουληθεῖεν ἐκποιῆσαι τὰ ἴδια καὶ πράσωσιν ἢ ἐμφυτεύσωσιν ἢ μισθώσωσιν, μὴ πρό-
τερον ἑτέρῳ τινὶ ταῦτα ἐκποιείτωσαν· εἰ μὴ πρὸς ἐκείνους διαμαρτύρωνται οὓς κα-
λοῦσι κατὰ τάξιν πρὸς τὴν προτίμησιν· ἵνα πρῶτοι κληθῶσιν οἱ ἀναμὶξ συγκεκλη-
μένοι συγγενεῖς· εἶτα οἱ οὕτως συμπεπλεγμένοι κοινωνοί· μεθ' οὕς, οἱ μόνον
ἀναμεμιγμένοι, εἰ καὶ ξένοι παντελῶς ἐκ χωροῦ τε τυγχάνοιεν· ἔπειτα καὶ οἱ
συμπεπλεγμένοι ὁμοτελῶς· μετέπειτα, οἱ ἁπλῶς ἐγγὺς μέρει συναπτόμενοι ἀνα-
μένοι· ὁμοτελῶς δέ φαμεν, πάντας τοὺς ὑπὸ τὸ αὐτὸ ὑποτελούμενον ἀναγρα-
φομένους· καὶ ἐν διαφόροις τόποις τὰ ἴδια τελέσματα καταβάλλωνται· πολ-
λῶν δὲ πρὸς τὸ ἐκχωρουμένου κτήματος ὁμοροούντων, κατὰ τὴν αὐτὴν τάξιν ἑκά-
στῳ ἡ προτίμησις διὰ μαρτυρίας τηρείσθω· ἵνα τῶν προτιμωμένων ἴσως παραι-
τουμένων, οἱ ἐφεξῆς καλούμενοι εἴτε βούλοιντο συναλλάξαιεν· εἰ μέντοι πάντες
ἐκ τῶν ἴσων ἔρχονται προνομίων, ὥστε κατὰ μηδὲν ἀλλήλων προέχεσθαι
ἐπὶ τῇ τοιαύτῃ προκλήσει, ἢ αὐτοῖς πᾶσιν ὁμοίως γινέσθω προφωνήσεις· ἵνα σὺν
τοῖς λοιποῖς τὸ ἀξιούμενον τίμημα, ἢ ὑπὲρ ἀρραδιουργήτως ἀληθὲς δίδωσιν ἀγο-
ραστής, αὐτοὶ ἀνυπερθέτως καταβαλόντες ἀνυπόπτως ἀφ' ἑαυτῶν ἢ ἐκεῖνος ἀρ-
χῆς, τοῦ ἐπιδέχεσθαι· ὅθεν εἰ δὲ μὴ ἐμπροθέσμως τὴν ἐπιβάλλουσαν αὐτοῖς
παράσχοιεν ἀποτίμησιν, οὐκέτι δίκαιον ἕξουσι προτιμήσεως· πλὴν εἰ μή τις αὐ-
τῶν ἀχρεώστως ἐστὶν ἢ προσωρισμένος· ἢ ἐξόριστος· ἢ ἐν δημοσίαις ἢ καὶ ἰδί-
αις χρείαις ἀδήλως ἀπολιμπάνεται· ἢ οὕτω τοῦ προχρόνου τῆς ἰδίας ἤνυσεν
ἡλικίας· τούτων γὰρ οἱ τὴν διοίκησιν τῶν πραγμάτων αὐτοῖς ἀναδεδεγμένοι· ἐν
τῷ διωρισμένῳ μετὰ τῶν συμπεπλεγμένων νέων ἀγοραστῶν, πρὸς τὸ ἀνάλογον συνε-
σέρχονται· ἀναπληροῦσιν αὐτοῖς τὸ ἀνῆκον τίμημα μετὰ τοῦ νομίμου τόκου, καὶ
τῶν ἀναγκαίων ἀναλωμάτων· τοὺς δὲ νέους ἀγοραστὰς ἀποδοθῶνται τηροῦντες, τὸ
τίμημα μετὰ τῶν αὐτῶν τόκων τε καὶ δαπανημάτων, ἀναδιδόντες αὐτοῖς· εἰ δὲ
οἱ τῶν ἐρημαίων προσώπων διοικηταὶ ὑφορῶνται· μήπως τὸ πρᾶγμα αὐτῶν προχρεῶν
ἐκεῖνοι δεικνύουσι οὐχ ἱκανῶνται, μετ' ἐγγράφου νομικῆς διαγνώσεως ἢ ἀποβαλλέ-
σθωσαν, ἢ καταδεχέσθωσαν τὸ συνάλλαγμα· εἰ δὲ καὶ πρὸς τοῦτο ἀθυμήσωσιν,
οἴκοθεν αὐτοῖς προσχέωνται πᾶν κέρδος καὶ πᾶσαν ὠφέλειαν, ἣν ἔμελλον ἐξ
ἐκείνου, ἐπὶ ἔσονται οὗτοι πρὸς τὸ συνάλλαγμα· καὶ ταῦτα μὲν ἐπὶ συμ-

νῶν καὶ κοινωνῶν καὶ ὁμιλητῶν καὶ τῶν ἄλλως προσεγκεκλημένων· ἀλλὰ καὶ ἐπὶ
τῆς ὁμάδος τῶν ἡγουμένων χρειῶν ἢ ἀξιολόγων πολλῷ μᾶλλον κρατείτω· ἵνα
καὶ οἱ κτήτορες αὐτῶν πρὸς ἀλλήλους ἔχωσι τὴν προτίμησιν· εἰ δὲ πάντες προσηκόντως
οἷς δίδοται ἡ προτίμησις· ἢ δικάζωνται αὖθις χρηματικῆς ζημίας· ἢ σωματικῆς ἐπι-
βουλῆς τε καὶ αἰκίας πράξεως· τῶν ἐμποιούντων καὶ τῇ αὐτοῦ φαμιλίᾳ· οὐ κατὰ τύχην, ἀλλ'
ἐκ προνοίας δι' ἑαυτῶν ἢ δι' ἄλλων προσηκόντων αὐτοῖς γενομένης. τοὺς τοιούτους ἄκον-
τας τοῦ πεπονθότος καὶ οὐδένα τόπον εἰς τὴν ἐκείνου κλῆσιν ἀσυνεχθῆναι βου-
λόμεθα. κατὰ πρόφασιν μέντοι προικὸς ἢ προγαμιαίας δωρεᾶς· ἢ ἁπλῶς· ἢ θα-
νάτου αἰτίᾳ δωρεᾶς· ἢ ἐκ διαθήκης· ἢ ἀνταλλαγῆς ἢ διαζεύξεως. καὶ οἰκεῖοι καὶ
ἐξωτικοὶ ἅπαντες, ἐμποιεῖν δύνανται· μόνον μέντοι κατάσκεψιν λάθρα ποιοῦν-
τας ἢ μαθόντας τοῖς μὴ προτιμωμένοις ἐν τῷ φανερῷ δωρεῖσθαι ἢ μεταδοῦναι· ἢ τῶν
εἰρημένων προσποιεῖσθαι. διὰ ταῦτα γὰρ καὶ ὅρκον τοῖς τε διδοῦσι καὶ τοῖς λαμ-
βάνουσι, οἱ τὸ προνόμιον τῆς προτιμήσεως ἔχοντες δύνανται ἀπαιτεῖν. εἰ δέ γε οἱ
ἐμποιούμενοι πρὸς περιγραφὴν τῆς ἡμετέρας νομοθεσίας ἄλλο τι πρᾶξαι τολμήσου-
σι· καὶ ἄλλο τι ἐκ τοῦ φανεροῦ προσποιήσονται· εἰ μὲν τὸν ὅρκον ἠθετήκασιν, αὐ-
τοί τε καὶ οἱ συνδολερῶς αὐτοῖς συναλλάξαντες. τάς τε τῆς ἐπιορκίας ποινὰς ὑφέ-
ξουσι· καὶ οἱ μὲν τοῦ τιμήματος, ὁ δὲ τὸ λάθρα καταβληθὲν τοῖς τιμήμασιν ἐμπεσεῖ-
ται, καὶ ἀμφότερα τῷ δημοσίῳ εἰσκομισθήσονται· ἵνα ἐκ τοῦ δημοσίου εἰς τοὺς πλη-
σιάζοντας διαπραθῇ. εἰ δὲ πρὸ τοῦ ὅρκου φωραθεῖεν τοιοῦτόν τι διαπραξάμενοι,
καὶ τὸ πραθὲν ἄκυρον ἔσται· καὶ τὸ κτῆμα ὃ ἅπαξ πραθὲν κακῶς ἐμποιήσεται·
καὶ ἄκων ἀποπεμπόμενος ἀναγκασθήσεται εἰς ἐκείνους, οἷς δεδώκαμεν τὴν προ-
τίμησιν. τοῖς δὲ δυνατοῖς ἀπαγορεύομεν τὸ λοιπόν· ἢ διὰ προτροπῆς ἢ δωρεᾶς ἁ-
πλῆς ἢ θανάτου αἰτίᾳ· ἢ ἐκ διαθήκης· ἢ κατὰ μόνην λῆψιν· ἢ ὡς ἐπὶ τιμῇ προστα-
σίᾳ καὶ συνδρομῇ λαμβάνειν τι παρὰ τῶν συντελεστῶν· εἰ μὴ ἄρα συγγενεῖς αὐτῶν
εἶεν. ἀλλὰ μηδὲ νέας ἀγορασίας ποιεῖσθαι ἢ μισθώσεις ἢ ἀνταλλαγάς, ἐν τοῖς χω-
ρίοις ἢ ἀγριδίοις ἐκείνων τῶν κτητόρων αὐτῶν. εἰ δὲ μὴ τούτων αἰσθανομένων ἀλλ' ἑτέρων
προσώπων ὑπὸ τὰ διαπιπρασκόμενα πράγματα. εἴτε ἐκ τοῦ δημοσίου οἱ λεγό-
μενοι κλασματικοὶ τόποι· ἢ καὶ ἄλλη κτῆσις ἀνήκουσα αὐτῷ ἐμποιεῖται, καὶ ὡ-
σαύτως οἱ αὐτοὶ κτήτορες προτιμάσθωσαν. τούτων δὲ ἑκουσίως ἀποταξαμένων,
τότε καὶ τοῖς δυνατοῖς ἔξεστι συναλλάττειν. ἐκεῖνοι δὲ νοείσθωσαν δυνατοί, οἵτινες
κἂν μὴ δι' ἑαυτῶν, ἀλλ' οὖν διὰ τῆς ἑτέρων δυναστείας πρὸς οὓς πεπαρρησιασμέ-
νως ὁμιλοῦνται, ἱκανοί εἰσιν ἐκφοβῆσαι τοὺς ἐμποιοῦντας· ἢ πρὸς ὑπηρεσίας

ὑπόσχεσιν, τὴν πληρεστέραν αὐτοῖς παράσχου. εἰ δέ τις ἐκ τῶν δυνατῶν περὶ τόπον
τινὰ βουληθείη ἐγχειρῆσαι διαπράξασθαι, καὶ τοῦ κτήματος ἐπιθήσεται, καὶ διὰ τὴν ἀποτί-
μησιν αὐτοῦ ἐκ τοῦ δημοσίου εἰς πέρας ἀχθήσεται· συμμέτοχοι δικαίαν ἀνεπιφά-
ντου, εἰ τὰ τοῦ ὅπως τῶν συναλλαξάντων ἢ δωρεὰς δεξαμένων ἢ ἐκ διαθήκης τε-
κληρωμένων· οὐδεμία παρ' οὐδενὸς τῶν ἐντεῦθεν περιλειπομένων, ἢ καὶ ὡς ἐκ
τοῦ δημοσίου ζήτησις ἔσται· πρὸς τούτοις δὲ κηρύσσομεν ὡς τε πάντα τὰ στρατιωτι-
κὰ κτήματα ὅσα ἐν τοῖς στρατιωτείας καθ' οἷον δήποτε τρόπον ἐξεποιήθησαν.
ἢ μετὰ ταῦτα μέλλουσιν ἐκποιεῖσθαι, ἀναργύρως εἰς τὴν τῆς ἰδίας στρατείας ὑπο-
χὴν καὶ ὑπηρεσίαν πάλιν ἐπανακάμψαι. εἰ μὴ ἄρα καὶ μετὰ τὴν ἐκποίησιν τὸ
τοσοῦτον στρατιώτῃ περιλαμβάνεται, ὅσον τὸ στρατευόμενον πρὸς τὴν τῆς νέας
στρατείας σύστασιν ἐξαρκεῖ· καθότι γὰρ ἐλλείπει, κατὰ τοσοῦτον ἡ ἐκποίησις ἀ-
ναιρεῖται: ~ **περὶ τῶν κινούντων τι εἰς τὸ δημόσιον** : ~

**Ε**ἰ μὲν οὖν εὑρίσκονται οἱ ἐγκαλέσαντες μετὰ τὴν πρᾶσιν τὴν γενομένην παρ' αὐτῶν, ἐπεὶ καὶ
μαρτυρηθῇ δεῖ ἐγένετο ἐνδοθὲν τε ἀρχαίου χρόνου, κινήσαντες καὶ ἐπιμεμψάμενοι
βοηθοῦνται· βοηθοῦνται δὲ οὐκ εἰς τὸ ἀναδέχεσθαι τὰ πεπρασμένα. ἀλλ' εἰ μὲν βούλεται ὁ ἀ-
γοραστὴς προσλαβεῖν καὶ τὸ λοιπὸν τίμημα πρὸς ἀναπλήρωσιν τοῦ δικαίου τιμήμα-
τος, ἵνα δέωνται τοῦτο ποιεῖν. καὶ ποιεῖν τὴν ἀναπλήρωσιν τοῦ δικαίου τιμήματος
καὶ τὴν καταβολὴν τῆς δικαίας ποσότητος, ἵνα ἔχῃ μὲν τὰ πεπρασμένα. ἀπολαμβάνου-
σι δὲ οἱ ἐγκαλοῦντες δίκαιον τίμημα, καθότι ἀξιοῦνται τὸ κτῆμα. εἰ δὲ βούλεται
ὁ ἀγοραστὴς τὴν ἀναπλήρωσιν τοῦ τιμήματος ποιήσασθαι, ἵνα ἀπολάβῃ μὲν παρὰ
τῶν ἐγκαλούντων ὅπερ κατέβαλεν ὁ πρωτάρχος αὐτοῦ τίμημα καὶ τὰς ἐξόδους
αὐτοῦ, καὶ ἀναχωρεῖ ἐκ τοῦ κτήματος. τὸ δὲ κτῆμα ἀποδίδοται τοῖς πωλήσασιν.

τοῦ μαγίστρου Κοσμᾶ ψῆφος περὶ πραιτωρικῶν: ~

Καὶ ἐπεὶ ἐμφυτευτικῶς ἐξεδόθη ὁ τόπος ἢ μισθωτικῶς ὑπὸ τῆς ἐπισκοπῆς, κατὰ τὴν νο-
μικὴν ἀκρίβειαν, καὶ δείκνυται ἡ μίσθωσις ἢ ἡ ἐμφύτευσις ἔχουσα τὴν ἰσχὺν τοῦ χρό-
νου· καὶ κατὰ τὴν δύναμιν αὐτῆς τοῦ ἐμφυτευσαμένου ἢ μισθωσαμένου, ἐν κα-
ταχρήσει καὶ ἀπολαύσει γενέσθαι τοῦ μισθωτοῦ ἢ ἐμφυτευτοῦ αὐτοῦ. εἰ
δὲ οὐκ ἔστι μίσθωσις ἢ ἐμφύτευσις, ἀλλὰ τυχὸν πραιτωρικῷ δικαίῳ κατεσχήκα-
σιν εἰς τὸν τόπον τῆς ἐπισκοπῆς οἱ ἐπικαλεσάμενοι ἐν αὐτοῖς. τὸ πραιτωρικὸν δίκαιον,
μέχρι τῆς τοῦ ἑκάστου κυρίου καὶ δεσπότου γνώμης καὶ θελήσεως, καὶ τὴν σύ-
στασιν καὶ τὴν πρᾶξιν καὶ βεβαίωσιν ἔχει· καὶ ὁ κατέχων ὡς πραιτωρικῶς, οὐ δύναται
ἐκποιεῖν ἢ μετεκδιδόναι τὸν παραχωρηθέντα αὐτῷ τόπον· καὶ διὰ τοῦτο ἐὰν οἱ
πραιτωρικοὶ ἐσχήκασι καὶ ἐκαθέσθησαν εἰς τὸν τόπον τῆς ἐπισκοπῆς, ἵνα μηδὲ

ναι τοὺς τοιούτους τόπους, κἂν τάχα καὶ ἐν αὐτοῖς ἐπέκτειναν· τῆς ἑτέρου περι-
πέμπτου· ἀλλ' ἵνα ἀναχωρούντων αὐτῶν, ἀναλαμβάνεται ἡ ἐπισκοπὴ κυριο-
πραγμονοῦντα καὶ διὰ τοῦ εἰς τὸν οἰκεῖον τόπον, περιέχουσα μόνας τὰς ὕλας τοῦ
οἰκονομήματος τῆς περιοικήσεως. Εἰ δ' ἔφθασαν τινὰ προσεκποιηθῆναι ὑπὸ τῶν
περιοίκων τῆς ἑτέρου· ἐπεὶ ἡ ἐκποίησις ἀσύστατος ὡς μὴ ἐκ τῆς νομικῆς ἀκρι-
βείας τὴν βεβαίωσιν δεχομένη· ἀλλ' ὥστε καὶ περὶ ὅλου τοῦ τοιούτου ὑπὸ τοῦ μὲν δὲ
ποσότητος ἐκποιουμένου· διατοῦτο τὰ τοιαῦτα εἰ μὴ ἀπὸ χρόνου ἔλαβον τὴν
πρᾶξιν. τυχοῦ μετὰ τὴν ἐκποίησιν ἐπ' ἐνιαυτῶν δεχθέντων ἀνεπιφωνητί, ἀνα-
λαμβάνεσθαι τὴν ἐπισκοπὴν τὰ οἰκεῖα τόπια· ἄλλως γὰρ πρὸς κίνησιν αὐτῶν
κινοῦντα καὶ βοηθουμένη τῆς νομικῆς ἀκριβείας οὐκέτι ἐμποδίζεται ἀποκλεῖσθαι.
εἰ μὴ διὰ τῆς τοσούτου χρόνου ἀνεπιφωνήτου περιδρομῆς: Ζήτησις καὶ περὶ	τοῦ αὐτοῦ ψῆφος:
τούτου καὶ ὑπέρ ἐστι τοῦ τόπου μία ὑποταγὴ καὶ εἰς τῆς ἐσχάτης καὶ αἱ μερίδες
ἀνακοινοῦνται· οὔπω γὰρ διῆλθε τριακονταετία ἀφ' οὗ περιέγονε με-
ρισμός, ἵνα καὶ πάλιν κοινοῦνται πάντα ἡ ὑποταγὴ καὶ ζη-
τοῦνται τὰ ὅρια, καὶ γίνεται μερισμὸς πρὸς ἑκάστους
αὐτῶν, ἀποκλήρων ἰσότητα τῆς τοῦ ἀέρος.
οὐ μόνον κατὰ ποσότητα μεριζομέ-
νης, ἀλλὰ καὶ κατὰ σύγκρι-
σιν ποιότητος διανε-
μήσεως:

Τῶν περιεχομένων ἐν βιβλίοις τῶν ἀρχῶν οὕτως· πρῶτα τῶν πρώτων βιβλία δ΄. περὶ δικαιοδοσίας de iu-
ditijs βιβλία ζ΄. τῶν de rebus βιβλία η΄. τῶν ἐπιπαπιανοῦ βιβλία γ΄. ὁμοῦ τὰς κατ' ὀρδιναρίονα βιβλία κβ΄.
καὶ τῶν μονοβίβλων βιβλία δ΄. οὐ κατ' ὀρδιναρίονα. τίτλος κγ΄ de sponsalibus de nuptijs. περὶ
συνόδου γάμου. τίτλος κς΄. de nuptijs de tutelis. περὶ ἐπιτρόπων τίτλος κη΄. de testamentis.
περὶ διαθήκης. τίτλος λ΄ de legatis. περὶ ληγάτων. ὁμοῦ κς΄. λοιπὰ κδ΄ τὰ καλούμενα ex
traordinaria ἤτοι μὴ κατὰ τάξιν κείμενα· μετὰ δ΄. τὰ περιγραφέντα μονόβιβλα. ὁμοῦ βιβλία ν΄:

Χρὴ γινώσκειν, ὅτι ὁ κάλαμος μεθ' οὗ μετροῦσι τὴν σκαφθεῖσαν τὴν δυναμένην ἀμπελώνων, ὀκτάπους ἐστίν. ἑκάστου ποδὸς ἀνὰ ιβ δακτύλους βασιλικοὺς ἔχοντος. ὡς εἶναι τὸν κάλαμον κοινῶν δακτύλων ριζ. ὁ δὲ ἕτερος κάλαμος ὁ τῶν χωρισμάτων, ἐστὶν ἑπτάπους. μετρεῖται δὲ ἡ τοιαύτη ὑπαμπελικὴ γῆ, οὕτως. ἐὰν ἔχῃ κατὰ τὰς β πλευρὰς ἀνὰ καλάμους ι, καὶ κατὰ τὰς ἑτέρας β πλευράς. ἤγουν τὸ μῆκος ἤγουν τὸ πλάτος ἀνὰ καλάμους κε. γίνεται τὸ μῆκος καλάμων ν. καὶ τὸ πλάτος καλάμων κ. καὶ ψηφίζεται οὕτως. εἰκοσάκις ν ͵α :

Ἡ δὲ ἀποσείμη μετρεῖται μετὰ δεκαοργυίου σχοινίου, ἐχούσης τῆς ὀργυίας σπιθαμὰς θ. καὶ εἴπερ στρεφθῇ ἔχουσα κατὰ δ πλευρὰ, ἑκάστου ἀνὰ ι σχοινίων. γίνεται μῆκος κ. καὶ πλάτος κ. καὶ ψηφίζεται. οὐχ ὡς ἐπὶ τῶν ἀμπελώνων, εἰκοσάκις κ. ἀλλὰ μεθ' ὧν ἀμφότερα λέγομεν. δεκάκις δέκα ρ. καὶ αὖθις τὸ ἥμισυ τῶν ρ, ν. καὶ ἔστιν ἡ τοιαύτη γῆ μοδίων ν. εἰ δὲ ἐστὶ τὸ χωράφιον τρίγωνον, ἐπὶ τὸ εἰς ὀξὺ λῆγον οὐ μετρεῖται. κεφαλὴ τὸ ἥμισυ τῆς μιᾶς πλευρᾶς. εἰ γὰρ ἔχει ι κεφαλὴ ε. καὶ εἴπερ αἱ ἄλλαι β πλευραὶ ἔχουσιν ἀνὰ ι. ὧν ὀφείλει τὸ ἥμισυ ψηφίζεσθαι. λέγομεν πεντάκις τὰ ι ν. καὶ τὸ ἥμισυ τῶν ν, κε. δηλονότι μοδίων. ὁ δὲ λίβας, μετρεῖται μετὰ τοῦ δωδεκαοργυίου σχοινίου, καθὼς ἡ ἀποσείμη :

## Νεαρὰ Ῥωμανοῦ. περὶ τοῦ μὴ τοὺς δυνατούς, ἐξωνήσεις εἰς χωρίου ὁμάδα ποιεῖν :—

Θεσπίζομεν ἐν πάσῃ πόλει καὶ χώρᾳ. ἀπὸ τῆς προηγησαμένης α' ἰνδικτιῶνος τοῦ ,ςυλς' ἔτους· ἐν τῷ και-
ρῷ τοῦ λιμοῦ· ἀνενόχλητον καὶ ἐλευθέραν τὴν λαχοῦσαν ἔχειν τῷ πένητι κατοίκησιν. καὶ ἐ-
σω τέκνων καὶ συγγενῶν. εἰ δὲ βουληθείη γενέσθαι ἐκποίησις, τῶν ὁμοροούντων ἀγρῶν ἢ
χωρίων οἰκήτορσιν ἡ ἐξώνησις προκείσθω. μηδεὶς οὖν μηκέτι μήτε τῶν περιφανῶν ϛ'
μαγίστρων ἢ πατρικίων· μήτε τῶν ταῖς ἀρχαῖς ἢ στρατηγίαις ἢ πολιτικοῖς ἢ στρατιωτικοῖς ἀ-
ξιώμασι τετιμημένων· μήτε ὅλως τῶν εἰς σύγκλητον βουλὴν ἀπηριθμημένων· ἢ τῶν θε-
ματικῶν ἀρχόντων ἢ ἀπαρχόντων· ἢ τῶν τὴν προστασίαν καὶ ἐπικράτειαν τῶν στρατιωτῶν ἢ
βασιλικῶν οἴκων ἐχόντων· ἢ εἰς οἴκου προσώπου· ἢ τῆς βασιλικῆς περιουσίας· ἢ τῆς ἐκ-
κλησιαστικῆς· ἢ δι' ἑαυτῶν ἢ διὰ παρενθέτου προσώπου τολμήσειεν. μηκέτι ἢ εἰς ἀ-
γροῦ ἢ εἰς χωρίου ἢ καθόλου ἢ μερικῶς ὑπεισελθεῖν ἢ ἀγοράσαι· ἢ δωρεᾶς ἢ κληρο-
δοσίας· ἢ ἄλλης οἱασοῦν προφάσεως αἰτίας. ὡς ἀνισχύρου μένειν δοκιμασθείσης τῆς τοιαύτης
προσκτήσεως. ἀναργύρως τῶν ἐπικτωμένων· μετὰ τῆς προσγινομένης καλλιεργίας, πρὸς
τοὺς κατέχοντας· ἢ τούτων ἢ συγγενῶν μὴ προσόντων, πρὸς τοὺς τῶν χωρίων ἢ ἀγρῶν οἰ-
κήτορας χωρεῖν δικαιωθείσης. ὅσοι τοίνυν τῶν δυνατῶν ἀπὸ τῆς προηγησαμένης α' ἰνδ. ἢ ζ'
ἀγρῶν ἢ χωρίων ἐγκρατεῖς γεγόνασιν· ἢ μερικῶς ἢ καθόλου. τούτους ἀπολαμβάνοντας
τὸ παρ' αὐτῶν καταβληθὲν τίμημα, ἐκεῖθεν ἐξιέναι. ἢ παρὰ τῶν πρωτοτύπων δεσπο-
τῶν ἢ κληρικῶν· ἢ κληρονόμων αὐτῶν ἢ συγγενῶν. τούτων δὲ ἀπορούντων παρὰ τῶν
ἄλλων συντελούντων ἢ παρὰ τῆς ὁμάδος, τῆς τοῦ τιμήματος ἐπιδόσεως προβαινούσης.
ὑπὲρ δὲ τῶν ἄλλων καλλιεργημάτων, εὐπορούντων μὲν καὶ βουλομένων τῶν εἰρημένων
προσώπων, καταβαλλομένων τὸ ἀνῆκον· ἀπορούντων δὲ ἢ μὴ βουλομένων, τὰς ὕλας
ἐπαναλαμβανομένους, ἐπαναχωρεῖν. εἴπερ ἐξ οἰκείων ἐξόδων ταύτας προσέθεντο.
εἰ μὴ καὶ ταῦτα, τῆς τῶν πενήτων περιουσίας καὶ ἐργασίας ἐπιδείκνυται. ταῦτα μὲν περὶ τῆς
ἐξ ὠνῆς δοκούσης δικαίας ἐξαγοράσεως ἢ κτήσεως. δωρεὰς ἢ κληρονομίας ἢ ἄλλας η'
τοιουτοτρόπους καὶ σεσοφισμένας ἐπιτηδεύσεις· ἢ ἁρπαγὰς ἀνισχύρους εἶναι, καὶ
πάλαι καὶ νῦν διοριζόμεθα. μηδὲ ὑπ' αὐτῶν τοὺς πένητας καταβάλλεσθαι. ἀλλὰ
παραυτίκα τούτοις ταῦτα ἀποδίδοσθαι. τούτων δὲ τυχὸν ἐξ αὐτῶν γενομένων τοῖς τέκνοις καὶ
συγγενέσιν· ἢ συντελεσταῖς προερχομένοις. εἰ καί τινας τῶν συγχωριτῶν ἡ τοῦ Θεοῦ πρό- θ'
νοια τῆς ταπεινοτέρας ἀφαρπάσασα τύχης. πρὸς ἐνδοξοτέραν κατάστασιν μετήνεγκε· μὴ

νὸν καὶ αὐτοὺς ἐφ' ἧς ἐξ ἀρχῆς εἶχον κληροδοσίας καὶ καταφράξεως· καὶ μὴ τὸ μέτρον
τῆς οἰκείας περικλειομένους τύχης, ἀτυχεστέρας τοὺς πλησιοχώρους λελαχηκότας ἀπεργά-
ζονται. τοὺς δὲ πρὸ τῶν ὡρισμένων χρόνων ἐν καταλόγῳ τοιούτων κτημάτων γεγονότας
ἐπὶ ὅτι τῆς αὐτῆς ἀνορθοῦνται φέρουσι καταστάσεως· μένειν καὶ αὐτοὺς συγχωροῦμεν.
ε τῆς τε πλείονος κτήσεως ἁπάσης τοῖς ἄλλοις τὴν κώλυσιν ἐπιφερομένους. Ἐπὶ
τῶν ἄρτι δοξασθέντων χωρίων, ἢ φορτικοὶ καὶ ἐπαχθεῖς ἐξ αὐτῶν πρὸς τοὺς πλουσί-
ους διαδείκνυνται· βαρύτινας καὶ συνεχῶς προξενοῦντες τὰς βλάβας τοῖς πένησιν, ἐ-
ξωθεῖσθαι τούτους καὶ ἀπελαύνεσθαι. μάθωμεν τῆς χαλεπῆς καὶ ἀπλήστου προαιρέ-
σεως, τὴν τῶν οἰκείων ἔκπτωσιν ἀπολαμβάνοντας. ἡ δὲ περὶ τῶν τιμημάτων ἀνάδοσις
ἡ ἀνωτέρω εἰρημένη· ἐμμελεστέρας δεομένη καὶ λεπτοτέρας ζητήσεως· οὐ φαύλης καὶ
ζ ἀξιολόγου τέτευχε διακρίσεως. Ἐλευθέρας καὶ ἀσυστάτου συντελεσθείσης τῆς πράσεως,
καὶ δικαίᾳ ἀνορθωμένης τῆς καταβολῆς τοῦ τιμήματος. δικαίως καὶ ὁ τῆς ἀναστροφῆς
φυλαχθήσεται λόγος. μικρὰ τινὶ προφάσει θεσπίσματος. τὸ τῆς πενίας ἄπορον ἀνα-
λογιζόμενος. τὸ προρρηθὲν ἐς τὴν τῶν τόπων ἀναστροφὴν καὶ ἀπόδοσιν γίνεσθαι. πρὸς τοὺς
πεπρακότας ἢ κληρονόμους αὐτῶν ἢ συγγενεῖς. τούτων δὲ μόνων πρὸς τοὺς συντελε-
στάς· καὶ ἀπόρων ὄντων αὐτῶν ἀνταποδοῦναι τὸ ἐξ ἀρχῆς καταβληθὲν τίμημα.
ἀπορῶν δέ, πρὸς τὸ ταχὺ τῆς ἀναδόσεως, μὴ προσεκβιάζεσθαι. ὡς μὴ φορτικοτέ-
ραν αὐτοῖς ὀφθῆναι τῆς πρὸς τὸ μέλλον ἐλπιζομένης ὠφελείας, τὴν νῦν ἐπιβαρυνο-
η μένην εἰς πρᾶξιν. τοῖς καταβολὴν τοῦ τιμήματος ποιοῦσι πένησιν, ὁ τῆς τελείας εἰς
ἀναμονὴν προσκείσθω χρόνος, καὶ ὡς ἀπόρῳ τὴν εὐπορίαν φέρειν δυνάμενος· καὶ
θ τὴν ἀνάδοσιν ἀλύπως περιέχειν ταμιευόμενος. Ἐπεὶ δὲ τινὰς τῶν πενήτων ἀκηκό-
αμεν ἐξωνεῖσθαι λίαν. ἐπὶ ὅσῳ δ' εἰσάγεται εἰς τὸ διπλάσιον, ἡ δικαία τῶν πεπρα-
μένων ἀποτίμησις, ἀναργύρους τοὺς ἀγοραστὰς ἀπελαύνεσθαι. εἰ δὲ μὴ πρὸς τοσοῦ-
τον, ὅμως εἰς περιγραφὴν καὶ βλάβην τῶν πεπρακότων· ἔφθασε δὲ τῆς ἐντεῦθεν προσό-
δου τὸ κέρδος, ἐξισωθῆναι τῇ καταβολῇ τοῦ τιμήματος· μηδὲν αὐτοὺς ἕτερον ἐπιζη-
τεῖν. ἡττουμένους δὲ τὸ λεῖπον ἀπολαβεῖν πρὸς τὸ δικαιούμενον. ἔστιν τῶν τόπων ἃ
ι πόλιχνιν. Προσφάτως μονάζοντος τινὸς ἢ μονάσαι βουλομένου, καὶ τὴν ἰδίαν πρὸς
κυροῦντος τῷ ἱερῷ φροντιστηρίῳ κτῆσιν. τὰ καλῶς οὖν δόξαντα, συγχωροῦσι τινὰ μὴ δι-
χάσθαι ἐκ τῆς προούσης διακρίσεως. τὸ τὴν δικαίαν τοῦ τιμήματος ἀπολαμβάνειν.
εἰ δὲ διὰ τῆς συνηθείας τοῦτο καὶ μὴ δόλῳ καὶ πανουργίᾳ καὶ σεσοφισμένῃ ἤδη
διαπέπρακται προνοίᾳ. τοῦτο δ' οὐχ ἧττον εἰς λυσιτελὲς τῶν ἱερῶν οἴκων, ἢ τῶν
πενήτων νομισθήσεται. ἀπαλλαττομένων δὲ ἔριδος καὶ φιλονεικίας καὶ ἀνήκου-

θέρου κλήσεως. φειδομένων δὲ καὶ οὐκ ἐπιτρεχόντων αὐτοὺς ἐπηρείας καὶ καταχρήσεις.
μηκέτι τῶν περιβλέπτων μαγίστρων ἢ πατρικίων. μήτε τῶν ἀρχαῖς ἢ ἐξουσίαις ἢ ὅλως ια'
βασιλικοῖς ἀξιώμασι τετιμημένων. ἢ πολιτικοῦ ἢ στρατιωτικοῦ. ἢ θεματικοῦ ἀρχόν-
των ἢ ἀπαρχόντων. μήτε μητροπολιτῶν ἢ ἀρχιεπισκόπων ἢ ἐπισκόπων. ἢ ἡγουμένων.
ἢ τῶν ἄλλων προσώπων τῶν ἀνωτέρω κωλυθέντων ἢ δωρεᾶς ἢ ἄλλῳ τινὶ τρόπῳ ὑπει-
σέρχεσθαι ἐς χωρίων ἢ ἀγρῶν κτήσεις. τοὺς γὰρ μετὰ τὴν παροῦσαν διάταξιν τοιοῦτόν τι κα-
τατολμῆσαι βουληθέντας, καὶ ἀναργύρως ἐκεῖθεν ἐξελαύνεσθαι κελεύομεν. καὶ τῶν οἰκοδομημάτων
ἐμπονημάτων καὶ καλλιεργημάτων ἀποστερεῖσθαι. καὶ τῷ δημοσίῳ περιφανῶς τὰς οὔσας,
τὴν τοῦ ἐπιτιμήματος τιμὴν καταβάλλεσθαι. τῶν δὲ συνθεσμῶν ἀναργύρους
ἀπελαύνεσθαι. καὶ διὰ τῆς προσηκούσης τιμωρίας τὸ
φροντίζεσθαι. ταῦτα ἐπικρατεῖν, ὑπὲρ
τῆς τῶν ὑπηκόων σωτηρίας :–

## Νεαρὰ α' Κωνσταντίνου. περὶ προτιμήσεως :–

Παλαιὸς νόμος ἐστὶ μηδένα κωλύεσθαι μήτε παρὰ συγγενοῦς μήτε παρὰ κοινωνοῦ τὸ ἴδι-
ον ὅπου βούλεται πωλεῖν. καὶ διῃρημένως καὶ ἐξ ἀδιαιρέτου. ὁ καὶ ἕτερος νόμος τοὐ-
ναντίον ἀπαγορεύει, μὴ ἐξεῖναι πιπράσκειν ἑτέρῳ ἢ μόνοις τοῖς τὰς ἰδίας μεταποιουμέ-
νοις οἰκήτορσι. ἡμεῖς δὲ πολλὴν τιθέμενοι πρόνοιαν τῶν ἡμετέρων ὑπηκόων, σαφῆ καὶ ζω-
τικὸν λόγον θεσπίζομεν. Ἐν πάσῃ πόλει καὶ χώρᾳ καὶ ἐπαρχίᾳ ἵν' εἶεν λοιπὸν β'
ὡς ἀπὸ γονέων διῃρημένης ἢ ἀδιαιρέτου. ἢ ὡς ἐκ κοινῆς ἀγορασίας ἢ ἄλλης τοιουτο-
τρόπου διαδοχῆς ἢ κλήσεως. ἢ οἱ ἐξ ἐκ γονέων. οἱ δὲ ἐξ ἐπικλήσεως ἐπίκοινον οἰκί-
αν ἢ ἀγρὸν ἢ ἀμπελῶνα. ἢ ἕτερον τὸ οἱονοῦν ἀκίνητον ἔχοντες. ἢ ἄλλως καὶ οὕτως ἐ-
πίκοινον τοῖς ἐπιζυγοῦσι κτήμασι κατά τι μέρος ἀναμεμιγμένοι ἢ οἱ συμπαρακείμε-
νοι ὁμοτελεῖς βουληθεῖεν ἐκποιεῖσθαι τὰ ἴδια κατὰ πρᾶσιν ἢ ἐμφύτευσιν ἢ μίσθωσιν.
μὴ πρότερον ἑτέρῳ τινὶ ἐκποιείτωσαν. εἰ μὴ πρὸς ἐκείνους διαμαρτύρωνται. οὓς καὶ οὕ-
τως κατὰ τάξιν πρὸς τὴν προτίμησιν, ἵνα πρῶτοι καλῶνται οἱ ἀναμὶξ συγκείμενοι συγ-
γενεῖς. ἔπειτα οἱ συμπεπλεγμένοι κοινωνοί. μεθ' οὓς οἱ μόνον ἀναμεμιγμένοι
ἢ ξένοι πάντη τῶν ἐκχωρούντων τυγχάνοιεν. εἶτα οἱ συμπαρακείμενοι ὁμοτελεῖς. με-
τέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συγκοινωνούμενοι. ὁμοτελεῖς δέ φαμεν, πάντας τοὺς ὑπὸ τὸν
αὐτὸν ὑποτελάσιμον ἀναγραφομένους, εἰ καὶ ἐν διαφόροις τόποις τὰ ἴδια ἔχοιεν

γ' περὶ τῶν λ' ἡμερῶν. τα καταβάλλονται. πολλῶν δὲ περὶ ξ τῶν πιπρασκομένων, ἢ τοῦ ἐκχωρουμένου κτήμα
τος ὁμορούντων. πᾶσι κατὰ τὴν αὐτὴν τάξιν, ἡ περὶ τῆς προτιμήσεως διαμαρτυρία ἐντελ
λέσθω. ἵνα ἐν τοῖς λ' ἡμερῶν τὸ ἄξιον τίμημα τουτέστιν ὅσος χωρεῖς δόλου προσηκρίβωται,
ἀνυπερθέτως καταβάλωνται. ἀναλόγως ἀφ' ἑαυτῶν, ἢ ἐκεῖνος τοῦτο ἐπιμερίζονται.
ὅτι δὲ μὴ ἐμπροθέσμως τὴν ἐπιβολὴν τὴν παρέχοιεν ἀποδίδωσιν. οὐκέτι δίκαιον
ἔχουσι προτιμήσεως, πλὴν ἐὰν μήτε αὐτῶν ἀγνοοῦντες ἐστιν ἡ πρᾶσις. ἢ ἐξόρι
στος. ἢ ἐν δημοσίαις. ἢ καὶ ἰδίαις χρείαις ἀδήλως ἀπολιμπάνονται. ἢ οὔπω τοῦ πε
περὶ τετραμηνιαίου χρόνου: ϛ' χρόνου τῆς ἰδίας ἡλικίας. τούτων γὰρ οἱ τὴν διοίκησιν τῶν προσώπων ἀναδεδεγμένοι.
ἐντὸς τετραμήνου τῶν συμπεπληρωμένων νέων ἀγορασμῶν, πρὸς τὸ ἀναλογοῦν συμφέρ
ον. ἀναπληροῦνται αὐτοῖς τὸ ἀνῆκον τίμημα μετὰ τοῦ νομίμου τόκου, καὶ τῶν ἀ
ναγκαίων ἀναλωμάτων. τοὺς δὲ ξένους ἀγοραστὰς ἀποδοῦναι τούτους. τὸ τίμημα σὺν
τόκῳ, καὶ τὰς εὔλογος δαπάνας ἀναλίσκοντες αὐτοῖς. Εἰ δὲ οἱ τῶν εἰρημένων προ
δ' σώπων διοικηταὶ ὑφορῶνται μήπως ἐκ τῆς αὐτῶν περιουσίας ἐκεῖνοι δηλοῦ οὐκ ἔστι τοῦ
το. μετ' ἐγγράφου νομικῆς διαγνώσεως, ἢ ἀποβαλέσθωσαν τὸ συνάλλαγμα. Εἰ δὲ καὶ
πρὸς τοῦτο ῥᾳθυμήσουσιν, οἴκοθεν αὐτοῖς παρεχέτωσαν πᾶν κέρδος, καὶ πᾶσαν ὠφέ
ε' λειαν ἣν ἔμελλον ἐκεῖνοι σχήσειν. Ἐπὶ τὸ ἔσονται οὕτω πρὸς τὸ συνάλλαγμα. τοῦ
ταμεῖν ἐπὶ συγγενῶν καὶ κοινωνῶν καὶ συμπεπλεγμένων ὁμοτίμων. ἀλλὰ καὶ ἐπὶ τῆς
ὁμάδος τῶν κηπουμένων χωρίων καὶ ἀγειδίων. πολλῷ μᾶλλον κρατείτω. ἵνα καὶ οἱ
ϛ' οἰκήτορες αὐτῶν πρὸς ἀλλήλους ἔχωσι τὴν προτίμησιν. Εἰ δὲ πάντων προσώπων τούτων
τὸ. οἷς δέδοται ἡ προτίμησις ἡ δύνηται, ὅτε αἴτιοι χρηματικῆς ζημίας ἢ σωματικῆς
ἐπιβουλῆς τε καὶ ἀλλ'' ἐκποιοῦσι καὶ τὴν αὐτοῦ φαμιλίαν. ἐκπεσοῦνται
δι' ἑαυτῶν, ἢ διὰ τῶν προσηκόντων αὐτοῖς αἴτιοι γεγονότες, τοὺς τοιούτους ἀκούοντας
ζ' τοῦ πεπονθότος καὶ οὐδένα τόπον εἰς τὴν ἐκείνου κτῆσιν εἰσελθεῖν βουλόμεθα·
Κατὰ πρόφασιν μέντοι προικὸς ἢ προγαμιαίας δωρεᾶς ἢ ἐκ διαθήκης ἢ ἀνταλλαγῆς
ἢ διαλύσεως καὶ οἰκείοις καὶ ἐξωτικοῖς, ἅπαντες ἐκποιείτωσαν. μόνον ἵνα μήτε
κατὰ σκῆψιν λάθρα πωλήσας ἢ μισθώσας τοῖς μὴ προτιμωμένοις ἐν τῷ φανερῷ
δωρεῖσθαι, ἢ λεγατεύειν, ἢ τι τῶν εἰρημένων προσποιήσονται. διὰ ταῦτα γὰρ ὅρκου τοῦτο
διδοῦντος καὶ τοῦ λαμβάνοντος οἱ τὸ δίκαιον τῆς προτιμήσεως ἔχοντες δύνανται ἀπαι
η' τεῖν. Εἰ δὲ οἱ ἐκποιοῦντες πρὸς παραγραφὴν τῆς ἡμετέρας νομοθεσίας ἄλλο μὲν πρά
ξαι τεχνάσωσι καὶ ἄλλο δὲ ἐκ τοῦ φανεροῦ προσποιήσονται. ἐξ ὧν τῶν ὅρκων ἐ
λεγχθῶσιν, αὐτοί τε καὶ οἱ οὕτως δολερῶς αὐτοῖς συναλλάξαντες. τῆς τε τῆς ἐπιπορ
κίας ποινὰς ὑφέξωσι. καὶ ὁ μὲν τοῦ κτήματος, ὁ δὲ τοῦ λάθρα καταβληθέντος τιμήμα

τος ἐκπεσεῖται· καὶ ἀμφότερα τῷ δημοσίῳ προσκυρωθήσεται· ἵνα ἐκ τοῦ δημοσίου τοῖς τοὺς πλησιάζοντας διαπραθῶσιν. εἰ δὲ πρὸ τοῦ ὅρκου φωραθεῖεν τοιοῦτόν τι διαπραξάμενοι, καὶ τὸ πρᾶγμα ἄκυρον ἔσται, καὶ τὸ κτῆμα ὃ ἅπαξ πιπραθὲν καλῶς ἐκποιεῖται· καὶ ἄκων ἀπεμπολεῖται ἀναγκασθήσεται, τοῖς ἐκείνοις οἷς δεδώκαμεν τὴν προτίμησιν. τοῖς δυνατοῖς ἀπαγορεύομεν τοῦ λοιποῦ υἱοθεσίας τρόπῳ ἢ ἀπὸ δωρεᾶς ἁπλῶς· ε΄

ἢ θανάτου αἰτίας· ἢ ἐκ διαθήκης· ἢ κατὰ μόνην χρῆσιν· ἢ ὡς ἐπὶ τινὶ προστασίᾳ καὶ συνδρομῇ λαμβάνειν τι παρὰ τῶν ὑποτελεστέρων· εἰ μὴ ἄρα συγγενεῖς αὐτῶν εἶεν. ἀλλὰ μηδὲ νέας ἀγορασίας ποιεῖσθαι ἢ μισθώσεις, ἢ ἀνταλλαγὰς ἐν τοῖς χωρίοις ἢ ἀγροιδίοις ἐν οἷς οὐκ ἔχουσιν ἴδια κτήματα. ἐκεῖνοι δὲ νοείσθωσαν δυνατοὶ οἵτινες, κἂν μὴ δι' ἑαυτῶν, ἀλλ' οὖν διὰ τῆς ἑτέρων δυναστείας πρὸς οὓς πεπαρρησιασμένως ὠκείωνται, ἱκανοὶ εἰσὶν ἐκφοβῆσαι τοὺς ἐκποιοῦντας ἢ προσευεργετεῖν ὑπόσχεσιν τὴν πληροφορίαν τούτοις παρασχεῖν. εἰ δὲ τῶν εἰρημένων δυνατῶν προσώπων τις τοιοῦτόν τι ἐπιχειρήσοι διαπράξασθαι, καὶ τοῦ κτήματος στερηθήσεται, καὶ τὴν ἀποτίμησιν αὐτοῦ τῷ δημοσίῳ τῆς παρασχήσεται:

## νεαρὰ τοῦ Κωνσταντίνου. περὶ τῶν δυνατῶν τῶν ἐσχηκότων εἰς κτῆσιν πενήτων:

Θεσπίζομεν ὅτι ἀπὸ τῆς ἡμετέρας ἀναρρήσεως ἀπὸ τῆς παρελθούσης ιε΄ ἰνδικτιῶνος τῶν κεκω- α΄
λυμένων δυνατῶν προσώπων, ἔτυχεν ὑπεισελθόντων ἐν χωρίοις ἢ ἀγροιδίοις, τὰς κτήσεις πενήτων ἀκινδύνως πάντας ἀπελαθῆναι· μηδὲν ἀναλόγου μηδὲ περὶ δαπανημά-
των ἀπαιτήσεως ἐχόντων. περὶ δὲ τῶν ἀπὸ τῆς α΄ ἰνδικτιῶνος ἤτοι ἐκ τοῦ καιροῦ τοῦ λιμοῦ μέ- β΄
χρις ἡμέρας τῆς ἡμετέρας ἀναγορεύσεως, ἀδιαφόρως μίαν καὶ τὴν αὐτὴν ἐνταῦθα διορισμένην ἀπόφασιν ἐνεργεῖν. ὥστε πᾶσαν δωρεὰν ἢ κληρονομίαν. καὶ τὰς ἐπινενοημένας πρὸς περιγραφὴν τοῦ τοιούτου νόμου ἐπικυρωθὲν καὶ ὥστε καὶ διαγνώσεις μεταξὺ τῶν ἤδη κεκωλυμένων ἀργεῖν. καὶ αὐτὰς μηδὲ γινομένων νομίζεσθαι· μηδὲ περὶ τῶν ἐνταῦθα καταβληθέντων οἱανδήποτε τῆς πράξιν τῶν πεπρακότων διαλαβουμένων. ἔτι δὲ καὶ τὰς ἀνταλλαγὰς ἀναιρεῖσθαι, ἀντιλαμβάνοντας ἑκάστου τὸ ἀπ' ἀρχῆς ἴδιον. εἰ μὴ ἄρα βούλεσθαι τὸ πτωχὸς ἀλλ' ἐπεὶ ἀνακοινούμενος ᾖ· καὶ οὐ μόνον ἴδια τὴν ἑαυτοῦ καταλάβοι ἀφορίας διὰ τὰ ἀνενοχλήτως,
ἀλλὰ καὶ τὸ κρεῖττον ἀντιλαβεῖν. περὶ τῶν διαπράσεων ἀναιρεῖσθαι καὶ ταύτας γ΄
παραχρῆμα τῶν διαπραθέντων πρὸς τοὺς πεπρακότας ἀνασωζομένων. ἔτι δὲ καὶ πρὸς συγκληρονόμους. ἢ καὶ πρὸς συντελεστὰς κατὰ τὴν πρώτην νομοθεσίαν. περὶ δὲ τῶν κτημάτων σκοπεῖσθαι τὰ πρόσωπα καὶ τὰ πράγματα, καὶ εἰ δυνατὸς ἦν ὁ πρα-

ἐκκαιόμενος δύναται ὁ ἀγοραστής· εἴτε πολιτικὸς ἢ ἐκκλησιαστικὸς τύχοι ἐπισκό-
πῳ. ὁ δὲ πωλήτης ἀδιαπόρων ἐστίν, ὡς μὴ δὲ τὸ νῦν ἔχων εὐπορίαν, χολάζειν τὴν
ἀπόδοσιν τοῦ τιμήματος. εἰ δὲ διὰ τὸ νῦν εὐπορεῖ καὶ οὕτως ἀνεξικάκως μετὰ
προθεσμίαν διὰ τελείας ἀποδώσει τὸ τίμημα, τῶν αὐτῶν ἀπολαύων ἐν τῆς ὁμάδος
προνομίων. κἂν χολάκειός ἐστιν ἢ σεκρέτοις ὑπηρετούμενος. εἰ δὲ ὅμως ἢ ὁ πωλή-
σας, ἀπορεῖ δὲ πρὸς τὴν ἀπόδοσιν, ἔχεται πρὸς τὴν τοσαύτην προθεσμίαν. διὸ τὸ ναὶ
ὁ δικάζων ἀπὸ τῶν μελλόντων καρπῶν συλλογίσασθαι δύναται ξυλωθῆναι τὸ τίμημα. διχυλωθῆναι
εἰ δὲ ὁ πωλῶν δείκνυται ὁ πωλήτης ἢ οἱ πωλοῦντες ἐν τῇ πράσει, βίᾳ ἢ δόλου ὑπο-
στάντες ἢ πρὸ τῆς πράσεως ὑπὸ τοῦ ἀγοραστοῦ ἢ τῆς φαμιλίας αὐτοῦ ἀδικούμενοι. καὶ
καταδυναστευόμενοι, μηδὲν ἀναδιδῶσιν. καὶ ὁ ἀγοραστὴς οὐκ ἦν τῶν ἀδικωνα-
δʹ λωτέρων. Τὰ ἐλλείποντα τῶν μοναστηρίων καὶ ὅσα ἀπὸ ἀσφαλείας τῶν ἐν τῇ θεο-
φυλάκτῳ πόλει διατριβόντων καὶ κατωτέρω ἀρχόντων ἔτυχον ἀγοράσαντες χωρεὶς
βίας καὶ ἀδικίας. μὴ δὲ προστασίαις δυναστῶν διαφευγόμενοι. μὴ μόνον τὰς
τιμὰς ἀναλαμβανέτωσαν· ἀλλὰ καὶ τὰς ἐπικερδεῖς δαπάνας. οἷον τὰς ἀμπελώνων
καταφυτεύσεις, καὶ ὑδρομύλων κατασκευήν. δύνασθαι δὲ καὶ τὰς ὕλας τῶν ἰ-
εʹ δίων οἰκημάτων περιαιρεῖν ἐπὶ τὸ μὴ βλάψαι τὴν προτέραν κατάστασιν. εἰ μὴ
τὴν ὑπὲρ τούτων δαπάνην λαμβάνωσιν. ἀπορεῖ οὕτως πρὸς τὴν ἀνασκευὴν τῶν
χρεωστουμένων μετελεύσασθαι τὰ προσεκποιηθέντα ἐπὶ τοῖς τούτων διατιμηθεῖσιν.
μείζεις ἂν ἀπὸ τῆς μελλούσης καθαρᾶς ἐπικαρπίας τὸ ὀφειλόμενον τίμημα. ἢ τὸ
ἐρημωμένον ἀνάλωμα δύναται ἐπισυνάγεσθαι. ἢ μᾶλλον καὶ ἔχεσθαι εἰς τὸ-
κισμα παρὰ τοῦ ἐκποιησαμένου. εἰς δὲ τὴν συγκομιδὴν τῶν καρπῶν γίνεσθαι-
πρόνοιαν καὶ παραφυλακὴν πρὸς τὸ πεισθῆναι αὐτοὺς εἰς ἀποπλήρωσιν τοὺς συ-
ναλλάξαντας. ἐξουσίαν ἔχοντας καὶ αὐτοὺς περὶ τούτων προνοεῖσθαι εἰς τὸ μὴ ἀπολ-
λυσθαι τοὺς καρπούς. καὶ εἰ μὲν εὐπορεῖ ἑτέρωθεν ὁ ἐκποιησάμενος διοικεῖ-
σθαι, πάντως ἀναδίδοσθαι πρὸς τὸν συναλλάξαντα. εἰ δὲ μὴ τὸ ἀνῆκον ἐξ αὐ-
τῶν πρὸς τὴν ἀναγκαίαν χρείαν καὶ γεωργίαν τοῦ ἀγροῦ παρακρατεῖσθαι παρὰ
τοῦ ἐκποιησαμένου. τὸ λοιπὸν ἅπαν εἰς τὸν μετ᾽ αὐτοῦ συναλλάξαντα ἀπο-
ςʹ καθίστασθαι. εἰ ἐκ τῶν περιφανεστέρων τῆς ὁμάδος πρός τινας ἢ ὀλίγου ὑπο-
βεβηκότας ἐν ἀξιώμασι τυχὸν χολακείων πρὸς στρατιώτας ἢ ἐκ τῶν ἐλλειπεστέρων
πρὸς τοὺς μικροὺς ἢ ὑπερέχοντας οἷον ἀπὸ τῶν ἀσφαλεστέρων πολιτικῶν. πρὸς
χολακείους ἢ σεκρετικοὺς ἐκποιήσεις γένονται ἢ γένηται. μενέτω ἀπαραβάτως.
ζʹ ὁμοίως κἂν διὰ ἀνάγκην ἐπικειμένην ἢ τυχὸν διὰ τὸ ἐν ἄλλῳ τόπῳ βούλεσθαι-

προικίσαι θυγατέραν ἰδίαν, ἢ ἑτέρωθεν οὐκ ἔχει τις ἀποδοῦναι τὸ πρὸς τὸν δη
μόσιον ὄφλημα· ἢ τὸ ἐπιτεθὲν βάρος· ἢ τὴν ὑποχεθεῖσαν πεῖναν ἐν κινδύνοις.
καὶ διὰ ταύτην τὴν αἰτίαν ἐκποίησις γίνεσθαι ἐκ τῶν ἀκινήτων· μόνου μέντοι
πρὸς τοὺς συγχωρίτας· ἢ ἐξ ἀνάγκης πρὸς τὰ ὑπὸ τὴν αὐτὴν μητροκωμίαν χω
ρία ἤτοι ὑπὸ τὴν αὐτὴν κομητοῦραν. Δηλαδὴ περὶ τόπου, προσόντος ἢ ἄλλως η
ἐκποιουμένου συνεωρᾶσθαι πραγματεύεσθαι τὰς χρείας. ἐν οἷς δέ εἰσιν ἀνακεκοι
νωμένοι· ἢ χωρεῖς τῆς ἐκείνου νομῆς ἢ τῶν ὑδάτων ἢ τῶν ὀρέων οὐ δύναται διοι
κεῖσθαι· διὰ τοῦ ἀγοράσοντος, ἵνα ἐὰν θέλῃ τοῦτο μόνου παρακρατεῖν· τῶν δὲ ἀνα
κεκοινωμένων ἐκποιῆσαι, ἔχει ἐξουσίαν. Εἰ δὲ ἐκ τοῦ ἐκποιουμένου κτήματος
ἔστιν τε καὶ ἰσοσύστατον· ἢ τὸ ὅλον ἀναγκάζονται ἀγοράζειν· ἢ τοῦ ὅλου ἐξίστασθαι.
Ἐξέστω δὲ τὴν προθεσμίαν μηνῶν ἓξ εἰς ἀποσυνάξιν τοῦ τιμήματος ὁπόσου
ἐπιδίδωσι· ἢ μᾶλλον ὁπόσου διατιμᾶται, εἰ δὲ παρὰ τοῦτο οἱ ἐξωνούμενοι πάν
τη ἀπολέξονται. Τούτων οὕτως παρὰ τῆς βασιλείας ἡμῶν δογματισθέντων, καὶ νομο
θετηθέντων. Κελεύομεν ἐπαναλυθῆναι πᾶσι τοῖς ἐντὸς θέματος τὴν τοιαύτην ἡμῶν
ἐκφώνησιν καὶ νομοθεσίαν. ἀπὸ δὲ δυνατῶν προσώπων καὶ ἕως ἐσχάτου τε τε
λευταίου· καὶ κατὰ τὴν ταύτης περιοχὴν καὶ δύναμιν· καὶ ἐξετάζειν καὶ διοικεῖν·
περί τε τῶν πτωχῶν καὶ τῶν δυνατῶν. ὡς ἐπιδοθείσης εἰς μῆνα μάρτιον· ἰνδικτιῶνος ε΄:

## νεαρὰ γ΄ Κωνσταντίνου. περὶ στρατιωτῶν:

Θεσπίζομεν τοίνυν ὅπερ ἡ συνήθεια ἀγράφως πρώην ἐκύρωσε· μὴ ἐξεῖναι τοῖς στρα ς΄
τιώταις τὰ ἐξ ὧν αἱ στρατεῖαι ὑπηρετοῦνται διαπωλεῖσθαι· συντηρεῖσθαι δὲ εἰς ἑκάστην
στρατείαν, ἱππέων μὲν δ΄ λιτρῶν ἀκίνητον κτῆσιν· οἷς ἀναγράφεσθαι κελεύομεν· καὶ
τοὺς ἐπὶ τὸν στόλον ἀποτεταγμένους πλωΐμους, τούς τε Αἰγαίου καὶ τῆς Σάμου καὶ
τῶν Κιβυρραιωτῶν. αὐτοὶ γὰρ οὗτοι καὶ αὐτέρεται βαρυτέρας μετίασι τὰς ὑπηρε
σίας. τοῖς εἰς τὰ βασιλικὰ πλώϊμα ἐπὶ μισθοῖς ὑπηρετουμένοις. καὶ τοῖς β΄
λοιποῖς πλωΐμοις, ἡ δὲ νῦν ἐκράτησεν· ἐν συνηθείᾳ δύο λιτρῶν δὲ εἰς ἑκάστην στρα
τείαν ἀκίνητον διασώζεσθαι κτῆσιν· ὃ καὶ ἡμῖν ἁρμοδίως ἔχειν δοκεῖ. Εἰ μὲν οὖν
ἐν τῇ τοιαύτῃ ὑποστάσει ἐν ἀκινήτοις εἶεν οἱ ἐν ἑκατέραις στρατείαις καταλεγόμενοι·
σώζοιεν ταύτην συντηροῦντες ἀνεκποίητον καὶ παραπέμποιεν πρὸς τοὺς φυσικοὺς
κληρονόμους· καθ' οὓς ἂν βούλοιντο νομίμους τρόπους. μετὰ τὸ οἰκείου [illegible]
ους. εἴτε καλοῦντες εἶεν πρὸς οὓς παραπέμπουσιν· εἴτε ἀκούοντες· εἴτε ἐκ παλαιοῦ·
εἴτε ἐξ ἀδιαθέτου ἰδικῆς κληρονομίας ἁρμοδίας· εἴτε ἀπὸ διαθήκης ἐξ ἀνιόντων με
ρῶν. εἴπερ ὡς κληθεῖεν γνήσιοι ἢ φυσικοὶ ἢ ἐξωτικοὶ παγανικοὶ κληρονόμοι.

τοὺς ἀξιωματικοὺς γὰρ παντὶ τρόπῳ ἀποκλείομεν πρὸς τὰς τοιαύτας διαδοχάς.
κατ' ἀναλογίαν τοῦ μέρους τῆς κληρονομίας ἐπιδίδοσθαι ὁριζόμεθα. καὶ τὸ βάρος τῆς ζω-
τικῆς κινητῆς περιεργαζόμεθα ὑπάρξεως. ἀλλ' ἐν ἐξουσίᾳ αὐτῇ κεῖσθαι τοῦ κληρονό-
μου. εἰ μή που κατὰ πολὺ ἡ ἀκίνητος ἡττοῦται. διὰ γὰρ τὸ τε αὐθεὶς ἀδικου-
γ̄ μένῳ τὸ λεῖπον τῆς ἀκινήτου, ἐκ τῶν κινητῶν ἀναπληροῦσθαι. Εἰ δὲ ἐν ὑπε-
ρουσίᾳ πολλῶν ἀκινήτων ὁ στρατιώτης καθεστήκοι ὥστε κατὰ πολὺ τὴν τῶν δ̄ λι-
τρῶν ὑπερβαίνειν ποσότητα. εἰ μὲν ἅπαντα ἐν τοῖς στρατιωτικοῖς κώδιξιν ἀπο-
γράφεται, μὴ δύνασθαι μήτε ταῦτα. μήτε ἐκ τῶν στρατιωτικῶν διαπωλεῖν. κἂν
μείζονος εἰσὶν ἠξιωμένα τιμῆς. μᾶλλον δὲ μὴ δύνασθαι τινὰ ἐκ τούτων ἀγο-
ράζειν. καὶ μάλιστα περιβλέπτων ἢ ἀξιωματικῶν ἢ δυνατῶν μέχρι χωρασίων.
ἢ μετὰ πόλιν. ἢ ἐπισκοπείου. ἢ μοναστηρίου. ἢ ἑτέρου τοῦ οἱουδήποτε εὐαγοῦς οἴκου
εἰ δὲ δέοι. ὡς οὐκ ἔστιν αὐτοῖς περὶ τῶν τιμιωτάτων ἀγαθῶν. ἀλλ' οὐδὲ ὁ περὶ τῶν δα-
πανημάτων λόγος. κἂν εἰ τύχοιεν πολλὰ καταναλώσαντες εἰς φιλοπονίαν τῶν το-
κατασκευῶν. ἀλλ' ἔχουσι μετατιθέναι τὰς ὕλας αὐτῶν, ἐν τῷ βλάπτεσθαι τὴν περαιτέρω κα-
δ̄ τάστασιν. Εἰ δ' οὐ πάντα ἀπογεγραμμένα ἐστίν. ἀλλ' ἔχει ὁ στρατιώτης κτῆμα ἰδιο-
περιόριστον. καὶ τῇ στρατείᾳ ἀκαταδούλωτον. ἐξουσίαν ἐχέτω ὡς ἂν βούλοιτο
τρόπον, τοῦτο ἐκποιεῖν. Εἰ δὲ μετὰ τὴν ἀπογεγραμμένην ἀκίνητος κτῆσις
αὐτῷ ἱκανή ἐστιν ὑπηρετεῖσθαι τῇ στρατείᾳ. εἰ γὰρ ἀπολείπεται, ἀνάγκην ἕξει ἐκ
ε̄ τοῦ στρατιώτου λαβεῖν τὸ κτῆμα τὸ ἐλλεῖπες διὰ ἀκινήτου ἀναπληροῦν. Εἰ δὲ οὐδό-
λως ἀπογεγραμμένα εἰσὶ τὰ τοῦ στρατιώτου ἀκίνητα. τὰ δὲ χρησιμώτερα ὥσπερ
ὑποκείσθωσαν ἕως τῶν δ̄ λιτρῶν. καὶ τοῦτο περινόμιον ἐξ ἡμετέρας προνοίας συγκρο-
ς̄ τάσθω. τὰ δὲ περιττὰ ἔφθασαν τοῖς ἐκποιεῖσθαι. Καὶ εἰ ἐπὶ συμβῇ ὧν μὴ τὰ δὲ
χρησιμώτερα ἀγορασθῆναι παρ' ἑτέρων ὧν δὲ τὰ ἀχρηστότερα καὶ ὕστερον δικηνικηθεὶς ἐκ
τοῦ προτεταγμένου περινομίου τὰ χρήσιμα ἐχέτω τὰ τῆς προτέρας δίκαια, κα-
ζ̄ τὰ τοῦ μεταγενεστέρου ὁ προγενέστερος. Εἰ δὲ πολλὰς ἔχων τὰς ἀκινήτους κτή-
σεις πολυτίμους τὴν ἀπογεγραμμένην δίδοσθαι μὲν αὐτοῖς τὴν βοήθειαν τῆς ἐκνι-
κήσεως. ἐκ τῆς ἄλλης δὲ ὡς ἀγοράσει τὸ ἱκανὸν περιποιεῖσθαι. ὅτε δηλαδὴ δι' ἀπο-
ροῦσιν ὑπὲρ τὰς δ̄ λίτρας οἱ ἱππεῖς. ὑπὲρ τὰς δύο δὲ οἱ πλωτῆρες. Εἰ δὲ μέρος
στρατείας ὑπηρετεῖ τις κατὰ ἀναλογίαν τοῦ μέρους αὐτοῦ καὶ τὴν διαπορίαν τι
ποιεῖσθαι. μὴ ἄλλως δὲ κυριεύεσθαι τὰ στρατιωτικά. τοῖς τοῦτο τινὶ τρόπῳ κε-
η̄ κτημένοις εἰ μὴ ὅλης τεσσαρακονταετίας ἀνεπιφωνήτως διαρρεύσει χρόνος. χω-
ρὶς γὰρ τοῖς κακῇ πίστει νομεῦσι ἢ εἰ ἔτυχεν τοῖς ἐπιπλεῖστα ζωωθῆναι, πλὴν ὅτου. οἱ

τῆς ἐκ ζώων ἀλλάγματος νεμηθέντος τὴν τῶν καρπῶν ζημίαν διέφυγον. οἱ δὲ στρα-
τιωτικοὶ νεμόμενοι, καὶ καρποὺς καὶ προσόδους καὶ πᾶσαν βλάβην καταθήσουσι,
ὃ καὶ ἡμῖν ἀρέσκει. στρατιωτικὰ δὲ νομίζεσθαι διατυποῦμεν· οὐ τῶν καθοσιω- θ΄
μένων μόνον τοῖς ἱεροῖς λεγέσθω στρατιωτῶν· ἀλλὰ γὰρ καὶ τούτων οἱ διάκοναι τύ-
χης ἐπήρτηνται ἐπιλεκτοὶ ὀφθέντες, ἀδωρεὶ τὸ δικαίως εἰλήχασι. καὶ τὰ αὐτῶν τού-
τοις δικαιοῦμεν, ἀπολαύειν τῶν προνομιῶν συγχωροῦντες. οὔτε γὰρ ἐκείνων πι-
πράσκεσθαι τὰ ἐξ ὧν αἱ στρατεῖαι ὑπηρετοῦνται. καὶ πολλῷ πλέον παρὰ τοῦ
δημοσίου. ἃ γὰρ τοῖς κυρίαις διατάξεσιν ἐπιλεκτεύσας τοῦ κοινοῦ συμφέροντος ἕ-
νεκεν, πῶς ἂν τῷ δημοσίῳ πιπράσκειν ἐπιτρέψομεν; θεσπίζομεν. εἰ μὲν ι΄
θέσει κληρονόμοι αὐτοῖς τοῖς στρατιώταις καλοῦντες τυχὸν ἢ ἀνιόντες, ἐκ πλα-
γίου μέχρι ἕκτου βαθμοῦ. οὗτοι προσελεύσονται κατὰ τὴν τῶν βαθμῶν συγγένειαν
προτιμώμενοι, εἰς τὸ ἐκδικεῖν τὰ πρότερον στρατιωτῶν ἐκποιηθέντα κακῶς ἢ
παρὰ δυνάστου βίᾳ καταφερθέντα. τῶν ἑτέρου δὲ βαθμοῦ συγγενῶν μὴ βουλο-
μένων ἢ μὴ δυναμένων, καὶ οἱ πορρωτέρω εἰσελεύσονται συγγενεῖς. συγγενῶν δὲ οὐχ
ὑπόντων, ἢ τῶν ἀπὸ νόμου καλουμένων συγγενῶν, οἱ συνόντες καὶ οἱ συνάρχοντες
τούτων ἀκολουθήσουσι προσερχόμενοι. τούτων δὲ οὐκ ὄντων οἱ συντελεσταὶ ἀπόρω
τέρου στρατιώτου, ἵν' ἐξ ἐκείνων τὸ ἐνδέον τῆς στρατείας ἀναδεχόμενοι, ἐποικοδομη-
θῆναι πρὸς ἰσχὺν ἱκανότητος. εἰ δὲ καὶ οὗτοι οὐκ εἶεν. ἀνάγκη καὶ τοὺς πολιτικοὺς
συντελεστὰς ὑπακούεσθαι, πρὸς τὸ μὴ διαπίπτειν τὸ ἐκεῖ καὶ τὸν φόρον. εἰ ια΄
δέ τις στρατιώτης στρατιώτου ἑτέρου κτῆσιν ἠγόρασεν. εἰ μὲν ὁ διαπορωθεὶς ἐξ ἀ-
πόρου, τὴν αὐτὴν ὑφέξει τοῖς δυνατοῖς ποινήν· ἀναργύρως ἐκπίπτων τῶν
ἠγορασμένων. εἰ δὲ ἄπορος ἐξ ἀπόρου, τὰ ἀγορασθέντα ἔχει, πάντως ἢ τὴν τιμὴν
μεταλήψεται. εἰ δὲ ἀμφοῖν ἀπορία ἀδιευκρίνηται, τῷ ζημιουμένῳ μέρει πρὸς το
κεῖσθαι κτήσεως. τὴν ἀγαθὴν πρᾶσιν ἐν τούτοις πληροῦντες. ὡς οὐκ ἐὰν ἵνα κερ-
δαίνειν ἐκ τῆς ἄλλου ζημίας. εἴ τις στρατιώτης ἐν πολεμικῷ λόγῳ διερεθεὶς κατέ- ιβ΄
χων. εἰ μὲν αὐτὸς ἐκεῖνος καὶ τὰ ἐξ ὧν ἡ στρατεία ὑπηρετεῖ κτήματα ἁρπάσας
ἔχει ἐκ χρυσοῦ ὑπὸ ποινῆς ἕνεκεν ἀπολεῖ. ἐξ ὧν τὰ ἥμισυ μὲν ὁ στρατιώτης λή-
ψεται πρὸς ἐπανόρθωσιν τῆς ἀποκαταστάσεως αὐτοῦ. τὸ ἥμισυ δὲ ὁ δημόσιος.
τῆς χάριν ἐστρατεύθη δουλείας. εἰ δὲ οὐχ ἁρπάσας ἀλλ' ἀγοράσας διερευνᾷ τὰ στρατιω-
τικά, πρὸς μὲν τὸ δημόσιον γ΄ χρυσοῦ ὑπὸ καταθήσει. πρὸς δὲ τὸν στρατιώτην ἀ-
γωγὴν ἐπὶ τὸ τὴν τιμὴν ἀπαιτεῖν οὐχ ἕξει. εἰ δὲ ἑτέρων ἐξηγόρασαν αὐτοὺς ἐκ τῶν
οἰκείων, ἢ αὐτῶν ἐκείνων ἐκστάσει ἐκβαλλομένων ἄλλα τούτους καθιστᾶν

ιε ἐδέξαντο. εἴτε πτωχικοὶ εἴτε εὐπορώτεροι, ἀνυσθῶσιν ἔσωθεν. Ὁ δὲ στρατιώτας ἱκανοὺς εἰς
ἰδίας ὑπηρεσίας καταβάλλεσθαι ἔχων τῶν φονευσάντων τούτους ἀποστερεῖται. εἰς ἕκαστον
ἑκάστῳ χρόνῳ ἐξ ὧν ὁ ἐξκουσσατεύσας εἰς πεντήκοντα. καὶ ταῦτα ὁ δημόσιος οἱ
κερδαίνεται. Εἰ δέ που ἀπὸ στρατιωτοῦ ἢ τῶν ἄλλων ἀρχόντων τούτους ἔτυχον δεδεγμένοι.
καὶ οὗτοι ἐκ τῶν ἀπολελαυμένων εἰς ὑπηρεσίαν τοῦ στρατιωτοῦ ἢ τῶν ἀρχόντων καθί-
στανται. εἰ γὰρ ἐκεῖθεν ἐξῆλθον καὶ τῆς κινδύνους ὄντι, οὐ καθυστερήσεται ὁ τούτους ἔ-
χων ἢ καὶ δεδωκὼς ἐπιτίμιος ἔχει παρὰ τοῦ στρατιωτοῦ ἢ ἄρχοντος ἀπαιτεῖται καὶ χρῆ-
σθαι αὐτοῖς :

νεαρὰ τοῦ Κωνσταντίνου, περὶ ἀναδόσεως κτημάτων στρατιωτῶν :

α Ἐπειδὴ καὶ ὡρίσαμεν διὰ τῆς προτέρας νομοθεσίας τοὺς ἀπορωτέρους τῶν στρατιωτῶν
τὴν αὐθεντίαν τῆς ἀναργυρεὶ ἔχειν τοὺς μέχρι τῶν ὧν ἀπορίαν ἐχόντας. κελεύομεν ἀ-
ποδιδόναι καὶ τούτους τὰς τιμάς, δηλονότι καὶ ἐπὶ τῆς καταβληθεῖσι τιμήματα. καὶ
β ἀνδρείας. καὶ διαβοῦ μὲν καὶ τοῦ τόπου περὶ ἀπαιτεῖσθαι καὶ αὐτό. κελεύομεν
τοὺς πωλήσαντας στρατιώτας καὶ πολιτικοὺς ἐπαναλαμβάνειν τὰ ἴδια εἴτε εἰς ὀ-
νόματα χωρείου τυγχάνουσιν. τὸ γὰρ τίμημα οὐκέτι διὰ τριετίας. ἀλλὰ διὰ πενταετίας ἀ-
γ ποδῶσι. πρὸς ἐξ αὐτοὺς ἐπιλαβὼν διὰ τῆς ὡρισμένης πενταετίας. Ὅσοι δὲ βιβλίῳ ἀ-
πῄτησαν τὰ ἴδια ἀναργύρως περὶ τούτου τοῦ ὡρισμένου. ἐὰν κρεῖσσον ἔχωσι δίκα-
σου, οὗτοι οὐκ ὀφείλουσιν ὀχλεῖσθαι. ἀλλ' ἵνα ταῦτα ἀναφαιρέτως ἔχωσιν. διὰ γὰρ
δ τὸ τότε κρατῆσαν ἡ ἀπόφασις ἐξηνέχθη. Εἰ δὲ ἀπῄτησαν ταῦτα ὅσοι ἀπαιτεῖτες ἀπο-
δοῦναι τὰ κτήματα διὰ προθεσμίας, καὶ ἐπλήρωσεν ἡ προθεσμία. Εἰ δὲ καί τις
μικρὸν ἀποδεδώκασιν ἀπὸ τῶν κτημάτων ἢ ζωὴν ... καὶ ἐπαγγέλλονται
λαμβάνουσι προθεσμίαν ταῦτα ἀποδοῦναι· ἵνα ταῦτα ἐγγράφους ἀσφαλείας ἀπαιτή-
σῃς τούτους. ἃς ὀφείλουσιν ἐκτίθεσθαι πρὸς τοὺς ἀγοραστάς. ὡς ἵνα δι' ἑτέρας προθε-
ε σμίας ἂν δοκιμασθῇ ἀποδώσωσι τὰ λοιπά, ἢ καὶ πάντα. Εἰ δὲ οὐκ ἤθελον
ἀποδοῦναί τι ἀπὸ τῶν κτημάτων, ἵνα ἢ τόπου ἀπὸ τῆς ὁμάδος τοῦ χωρείου ἀπο-
τέμνῃ. Ἐὰν τοῦτο λυσιτελέστερον τῶν πενήτων καταγνωσθῇ. ἢ τέως εἰς αὐτὰ τὰ ἐπικεί-
μενα δημόσια ἀπαιτῆται ὁ ἀγοραστὴς ἢ τὰ πρὸς τὴν τοῦ καταβληθέντος παρ' αὐτοῦ ποσοῦ
ἀρχαιότητα, καὶ τῶν ἐκ τῆς ἀπολαύσεως τῶν τόπων ἐσομένων αὐτῷ εἰς φορὰν χρό-
ς νου ὅσοις. ὥστε ἵνα τὸ τόπου νεμηθῇ ἐπὶ τοῖς ἢ ἑξαχρόνοις. καὶ περὶ ἑκατέρων
τῶν τε καὶ ἰσόχρεα ἀμοιβαῖα ἀσφαλιζομένους ἑκατέρους, ὥσπερ εἰς πλείονα προ-
θεσμίαν χρόνου. ὅταν διὰ τοῦ ὡρισμένου χρόνου τελείως πρὸς τὸ χωρεῖον παγιωθῇ
μὴ τοῦ τόπου δεσπότης, καὶ μὴ ἔχωσιν ἀδεῶς οἱ τούτους ἀναλαβόμενοι κατέχειν.

Εἰ δύνανται καὶ προῄρηνται οἱ πένητες· μέρος ἐξ ἐκ τοῦ τιμήματος παρασχεῖν, καθὼς ἰσχὺος ἔχουσι· μέρος δὲ παραχωρεῖσθαι τοῖς ἀγορασταῖς ἐπὶ χρόνους ὡρισμένους, καταπολαῦσαι τοὺς ἠγορακότας· καθὸ ἂν δυνάμεως ἔχωσι μέρος ἐκ τοῦ τιμήματος παρασχεῖν. διατέμνουσι τὸν ὁριζόμενον χρόνον, καὶ τὸν λειπόμενον κατὰ ἀναλογίαν· εἴτε κατὰ τὸ γ'· εἴτε κατὰ τὸ ἥμισυ· εἴτε κατὰ τὸ δίμοιρον τοῦ ὁριζομένου χρόνου συγχωρουμένων καταπολαύειν οἱ ἀγορασταὶ τῆς ἐκ τούτων χρήσεως. τυχὸν γὰρ ρ' νομίσματα εἴληφεν ὁ διαπράσας πένης· δέκα δὲ χρόνοι ὁρίζονται τῆς χρήσεως τῷ ἀγοραστῇ· ν' δὲ νομίσματα ἰσχὺος ἔχει καταβαλεῖν ὁ πένης παραυτίκα ἢ ἐξ ὑστέρου, ἐπὶ ε' μόνοις χρόνοις συγχωρεῖται ὁ ἀγοραστὴς καρποῦσθαι τὰ ἠγορασμένα. τουτέστι καθ' ἕνα ἕκαστον χρόνον νομίσματα δέκα εἶναι τὴν ἀπόδοσιν. ταῦτα ἀπὸ τοῦ χρόνου τῆς α' βασιλικῆς νομοθεσίας μέχρι τῆς ἀναρρήσεως τοῦ τρισμακαρίστου βασιλέως. ἐν οἷς εἰσὶν ἔτη ιη'. ἀπὸ δὲ τοῦ χρόνου τῆς βασιλείας ἡμῶν ἀδιαστάκτως πάντας στρατιώτας καὶ πολιτικούς, ἀναργύρως ἀποκαθίστασθαι εἰς τοὺς ἰδίους τόπους : ζ'

Νεαρὰ ε' Κωνσταντίνου. ἡ ἀποκειμένη ἐν τῇ σακέλλῃ. περὶ φυγάδων ψυχαρίων καὶ ἀπολωλότων κτηνῶν:

Ὑπὲρ ἀπολωλότος ψυχαρίου καὶ ἐν ἑτέρῳ αὐτῷ θέματι εὑρεθέντος, παρέχειν ὁ δεσπότης νόμισμα α' καὶ μιλ. δ'. εἰ δὲ ὑπερθεματίτης εὑρεθῇ· νομίσματα β' μιλ. δ'. εἰ δὲ β' ἢ γ' θέματα διελθὼν καταληφθῇ· νομίσματα γ' μιλ. δ'. καὶ πρὸ μὲν τοῦ παρελθεῖν τὸν δωδεκαμηνιαῖον χρόνον, μὴ ἐξεῖναι διαπιπράσκειν αὐτὸν ἀλλαχοῦ, συντηρεῖν δὲ καὶ φυλάττειν ἐν ἀσφαλείᾳ. εἰ δὲ καὶ τῶν ιβ' μηνῶν παρελθόντων οὐκ ἀναζητηθῇ τὸ ἀπολωλὸς ψυχάριον παρὰ τοῦ κυρίου αὐτοῦ. τότε ἐξεῖναι τῷ εὑρηκότι διαπιπράσκειν αὐτό, εἰς ἐμφανὲς πρόσωπον. ἐπὶ καταβολῇ νομισμάτων ς' καὶ μιλ. δ'. διὰ τοῦτο δὲ οὕτως δοῦναι διαπιπράσκειν, διὰ τὸ μὴ εἶναι τὴν δεσποτείαν διηνεκῆ· ἀλλὰ πάλιν ἐπιζητοῦσι ἔχειν τὸν κύριον αὐτοῦ ὅταν δύναται παρέχειν τὰ τοιαῦτα ς' νομίσματα καὶ τὰ δ' μιλ. καὶ τὸν ἴδιον ἀπολαμβάνειν οἰκέτην. ὑπὲρ δὲ κτηνῶν ἀπολωλότων ἐπὶ μὲν τοῖς μείζοσι καὶ ἀτελέσεις, οἷον δὴ βουσὶ καὶ ἵπποις καὶ ἡμιόνοις, παρέχειν τὸν ἴδιον αὐθέντην μιλ. δ'. καὶ λαμβάνειν αὐτό. ἐπὶ δὲ τοῖς μικροτέροις τουτέστι προβάτοις καὶ χοίροις μόνην κατάθεσιν τῶν κυρίων αὐτῶν ὃ βούλονται παρέχειν. χάριν δὲ τῶν ἐπὶ κεφαλῇ ἐγκλημάτων. ἤτοι ἐξαχωρημάτων, ἢ πορνείας ἢ μοιχείας ἢ κλοπῆς, μηδὲ τέλεσμα ἀπαιτεῖν. τὰ δὲ κλοπιμαῖα εὑρισκόμενα, ἀνασώζεσθαι τοῖς ἰδίοις δεσπόταις. δεσποτῶν δὲ μὴ ὄντων, τῷ δημοσίῳ εἰσκομίζεσθαι. ὡσαύτως δὲ καὶ τῶν ζητούντων κτηνῶν ἀδιαφθόρως καὶ μηδὲ σημεῖα ἐχόντων καὶ ἐκ τοῦ βασιλικοῦ, τὰ διαφέροντα αὐτοῖς τῷ δημοσίῳ

σίῳ εἰσκομίζεσθαι· διαδεχομένου δὲ κἂν συγγενεὺς μὴ διαδόχου καὶ ἴδιοι. μέ-
χρι τοῦ εἰρημένου βαθμοῦ φυλάττεσθαι τὰ τῆς διαθήκης. ὄντων δὲ ἀδιαθέ-
του τελευτήσαντος, καὶ συγγενῶν διαδεχομένων, πρὸς ἐκείνους τὰ τῆς κλήσεως μετα-
πέμπεσθαι. εἰ δὲ μήτε διαδόχους, μήτε συγγενεὺς ἔχοι ὁ τελευτήσας, τότε τὸ μὲν
τρίτον μέρος τῆς αὐτοῦ κλήσεως δίδοσθαι ὑπὲρ λύτρου τῶν ἁμαρτιῶν αὐτοῦ τοῖς
ἐν χρείᾳ ἀδελφοῖς. τὸ δὲ περιττὸν τῷ δημοσίῳ εἰσκομίζεσθαι:

## νεαρὰ ζ΄ κωνσταντίνου. περὶ τοῦ προσεδρεύειν ἐν τῷ δικαστηρίῳ τοὺς κινοῦντας ἀγωγήν, καὶ περὶ τῶν ἀπολιμπανομένων ἐπὶ τέσσαρσι μησίν, ἢ χρόνοις:

Μὴ ἄλλως τὸν ἐναγόμενον εἰς δικαστήριον ἥκεσθαι· εἰ μὴ ὁμολογήσει ὁ ἐνάγων προ-
σεδρεύειν ἐπὶ τῇ κινουμένῃ δίκῃ δι' ἑαυτοῦ ἢ διὰ νομίμου ἐντολέως. ἐν μετὰ
ταῦτα δὲ χρῆ ὁ ἀδίκως τὴν δίκην κινήσας ὀνόματι ἀναλωμάτων, δέκατον μέρος
τῆς ἐν τῇ δίκῃ ποσότητος παρέχειν τῷ δικαιουμένῳ. εἰ δὲ ἄπορος ὢν ὁ ἐνάγων δι-
κάζεσθαι, καὶ ἐκ συκοφαντίας ἀδίκου ἀγωνιζόμενος. μηδὲν ἐξ αὐτοῦ ζημιοῦ-
σθαι χάριν συνηθῶν ἢ ἀναλωμάτων. μᾶλλον δὲ τιμωρίᾳ αὐτὸν εἰς σῶμα καθυπο-
βάλλεσθαι. καὶ γὰρ αἱ πληγαὶ μείζους εἰσὶ τῆς χρηματικῆς καταδίκης. ἅπαξ δὲ
κινήσας ὁ ἐνάγων ἔσχεν ὑπερθέσθαι ὑπεξελθὼν τοῦ πράγματος, καὶ μὴ δὲ ἐντὸς
τεσσάρων μηνῶν παραγένηται. διδότω αὐτῷ ἑτέρου ἐνιαυτοῦ προθεσμίαν. ἐὰν δὲ μηδὲ
οὕτως ἑαυτὸν ἐμφανίσῃ, μηδὲ ἕτερον ἀντ' αὐτοῦ πέμψῃ τὸν ὀφείλοντα τῷ πράγμα-
τι ὑπεξελθεῖν. ἀθῷος ἔστω ὁ δικαστὴς καὶ ἀπὸ τῆς αὐτοῦ τάξεως τοῦ ἐναγομένου μέρους
δικαιολογίας κατὰ τοὺς νόμους ἐξεταζέτω καὶ νόμιμον ἐπαγέτω τὴν ψῆφον. τὰ αὐτὰ
δὲ κρατείτω καὶ ἐπὶ τοῦ ἐναγομένου, εἴπερ μετὰ προκατάρξιν ἀπολειφθῇ. καὶ αἱ δεδο-
μέναι προθεσμίαι παρέλθωσι καὶ οὐδὲ οὕτως ἀπαντήσῃ, ἢ δι' ἑαυτοῦ ἢ δι' ἐπιτρο-
βούλοιτο. ἕως μὲν γὰρ τῷ προσεδρεύοντι μέρει ἐπὶ τέσσαρσι μησί, διδότω ὁ ἐπινομεὺς τὸ
πρᾶγμα. μετὰ δὲ τὸν ἐνιαυτὸν καὶ τὰς ἀποδείξεις προβαίνειν νομίμως, περὶ τοῦ ἐ-
πὶ τῇ δίκῃ προσκαρτεροῦντος καὶ νόμιμον δικαίαν ψῆφον τὴν δίκην διαλύεσθαι:

## νεαρὰ ζ΄ κωνσταντίνου, περὶ τοῦ μηδένα τοὺς πολιτικοὺς δικαστὰς λαμβάνειν:

α΄ Θεσπίζομεν μηδένα τῶν πολιτικῶν δικαστῶν, μηδ' ὑπὲρ οἱασδηποτοῦν ἀφορμῆς τι
λαμβάνειν. δηλονότι ἐπὶ τῶν εὐπορούντων ὑπὲρ τέλους. ἀλλὰ καθαρὰς ἔχοντας
χεῖρας, καὶ παντὸς χρυσίου ὑπερφρονεῖν: περὶ στρατιωτικῶν:

β΄ Κελεύομεν τοὺς θεματικοὺς κριτὰς ἐφ' ἑκάστῃ τοῦ χρυσοῦ λίτρᾳ μὴ περαιτέρω τῶν ὀκτὼ λαμ-
βάνειν. δηλονότι ἐπὶ τῶν εὐπορούντων ὑπὲρ τε νοβείων καὶ τῶν ὑπηρετουμένων

αὐτοῖς καὶ μηδὲν ἕτερον. μὴ ὑπερβαινέτω ἡ ἀπαίτησις τοῦ ἐκβατιατικοῦ τὰ γ΄
ρ΄ νομίσματα ὅταν ἀπαιτηθῇ τὰ περιουσίᾳ τυγχάνῃ. εἰ γὰρ ρ΄ λιτρῶν ἐστι καὶ περαιτέρω, ἐμοὶ
κατὰ τὸν ὑπὲρ γραφῆς καὶ ὁ διοίκησει ἐπιξενούμενος ὁ ἐκβιβαστὴς ἐδαπάνησε. Ὁ δ΄
ἀγροικικὸν πλῆθος καὶ οἱ λοιποὶ πένητες, ἐὰν κατ' ἀλλήλων ἐνάγουσιν ὑπὲρ τῶν κοινῶν
διαφερόντων αὐτοῖς ἢ καὶ ἰδίᾳ ἕκαστος καθ' ἑτέρου ἢ καὶ τῶν δυνατωτέρων καὶ εὐπό-
ρων αὐτῶν, καὶ καθ' ἑκάστην λίτραν, ἀντὶ τεσσάρων ἓν μόνον παρεχέτωσαν νόμισμα. εἰ δὲ
μηδεμίαν ἐκ γεωργικὴν ἀμφιβολίαν ἡ δίκη, μηδὲ πρᾶγμα δίκης ἄξιον ἦν. ἀλ-
λὰ τυχὸν ἀναιρέσεως, ἀναρχία ἢ πληγαὶ ἢ ἁρπαγὴ ἢ τι τῶν τοιούτων ἐπεράχθη.
αὐτοὶ οἱ τὰ τοιαῦτα πραξάμενοι, ἐπίσης τοῖς τῶν ἐμφανεστέρων. ὑπὲρ τῶν δικασθέντων
παρεχέτωσαν τὰ ἐφ' ἑκάστῃ λίτρᾳ ὁρισμένα νομίσματα γ΄. εὐτελέστεροι δὲ ὄντες, ἀνὰ νόμισμα.
πρὸς τὸ καὶ τὴν ἀπὸ τῶν νόμων χρηματικὴν ποινὴν ἐκτιννύναι. ἔτι δὲ καὶ τοὺς τό-
κους ἢ τοὺς καρποὺς ἐν οἷς ἐξέστιν ἀπαιτεῖσθαι. Ἐπινομῆς γενομένης τῆς ἀπο- ε΄
δόσεως, εἰ μὲν πρὸς πένητας οὐδέν, εἰ δὲ πρὸς ἐμφανεστέρους ἐπὶ τῇ λίτρᾳ τὸ ἥμισυ-
τοῦ νομίσματος. ὁ δὲ ἀντιδίκου περιπεσὼν ἀπολυθεὶς τὸ ἐπινομῇ περιλειφθῆναι τὸ ἕτερον ϛ΄
μέρος, οὐδὲ ὅλως χρὴ περαιτέρω τῆς δίκης ἀποκατάστασιν γίνεσθαι. μηδὲ ὧν δ' ἑκά-
κλοτε τὰ πράγματα φέρεσθαι ἀπὸ τῆς τῶν πραγμάτων ἐναλλαγῆς διαφθείρεσθαι.
ἀλλὰ αἱ αὐταὶ ζημιοῦσθαι ἔστωσαν. Τῶν δὲ ὑπουργούντων ἐν ταῖς γραφαῖς τοῖς ἔ- ζ΄
ξω δικαστηρίοις ἢ τοῖς ἐνταῦθα δικαστηρίοις αὐτοὺς ἀπολυομένης κρίσεως ἐ-
πὶ τῶν ἐλαττόνων ὑποθέσεων, ἄχρι λίτρας α΄ ἢ ἐπέκεινα μέχρι ἑνὸς νομίσματος δίδοσθαι.
ἥττονος δὲ οὔσης ὑφαιρεῖν πρὸς ἀναλογίαν τοῦ νομίσματος. ὥσπερ αὐξάνειν πάλιν ἐπὶ τῶν
ὑπερβαινόντων τὰς γ΄ λίτρας δικῶν ἄχρι δύο ἢ καὶ γ΄ νομισμάτων. μηδέποτε ἀπὸ πενή- η΄
των πολιτικῶν ἢ ἀγροικικῶν, μηδὲ μεγίστης οὔσης τῆς ὑποθέσεως γραφῆς χάριν
πλέον παρέχεσθαι τοῦ νομίσματος. Ἐπὶ ταῖς ἀπολυομέναις ψήφοις εἰ καταλαμβάνουσιν θ΄
πρὸς τοὺς ἔξω δικάζοντας τὸ δωδέκατον. πολλάκις δὲ καὶ ἕκτον διδόναι τοὺς
εὐπορωτέρους. τοὺς δὲ εὐπόρους πρὸς τὸ ἀναλογοῦν τῆς ἀναγραφῆς καὶ τοῦ πράγ-
ματος περὶ οὗ ἡ ψῆφος προβαίνει. ἐνίοτε καὶ πλέον τοῦ νομίσματος μετὰ διαγνώσεως
τοῦ δικάζοντος. Εἰ παρόντων ἀμφοτέρων τῶν μερῶν ἀποκρίσεως ἔγγραφος ι΄
ἀπόφασις ἀπολυθῇ τῷ μέλλοντι δικάζειν ἐπὶ τοῦ τόπου, εἰ πόρου δηλαδὴ πε-
ριουσίας ὑποδεικνυμένης. δυνατοὶ κατὰ διάγνωσιν, καὶ ἕως δύο νομισμάτων ἀναβιβά-
ζεσθαι τὸ μίσθωμα :

νεαρὰ τοῦ Κωνσταντίνου, περὶ ζημιωθέντων :

Κ ρίνοντες μὴ προσείεσθαι τὸ κέρδος τῆς μετοχῆς τῶν νοταρίων ἢ τῶν ἄνω αὐτῶν τοὺς α΄

στρατιωτικοὺς κριτάς. μὴ δὲ συμμείξαντας τῶν στρατιωτικῶν εἶναι. μόνοις δὲ τοῖς
ὑπηρετουμένοις ταῖς τῶν κριτῶν προεστηκόσι κατὰ τὴν ὑποκειμένην
ϛʹ οἰκονομίαν συμμίξας ἐπιτρέπομεν τὴν τούτου λῆψιν. ἱκανοῦσθαι δὲ δεῖ
τοῖς κριταῖς διακηρυττόμεθα ἐν ἐκείνοις οἷς ἐκ τῆς βασιλικῆς δωρεοῦς χρεὼς ἐκ
τῆς τοῦ προστάτου αὐτοῦ προσχῆς. τοῖς δὲ τῇ ὑπηρεσίᾳ αὐτοῦ ὑποτεταγμένοις νο-
ταρίοις τε καὶ ὑπουργοῖς, ἐξ ὧν ὑπὲρ τῶν ἐγγράφων κρίσεων λαμβάνουσιν. ἐξ
ἐκείνων οἱ τὴν νικῶσαν ἐπιφερόμενοι ψῆφον κρίσεσιν ἐγγράφοις κατοχυ-
ρώσασθαι προτρέπονται. οὕτω γὰρ καὶ ὁ ἀκροατὴς ἐπιπονώτερον πρὸς τὴν ἀπό-
φασιν τῶν ζητουμένων διαναστῇ καὶ οἱ προσήκοντες αὐτῷ ὑπηρέται πρὸς τὸ
τὸ δοκιμάσαι ἐποξύνουσιν αὐτόν, εἰδότες ὡς οὐκ ἔσται ἄλλος αὐτοῖς πορισμὸς
εἰ μὴ ὁ ἀπὸ τελευτῆς τῆς δίκης. εἰ δ' ἂν μίαν ἀπόφασιν ἐφ' ἑκάστῃ ἡμέρᾳ καὶ
κρίσιν ποιήσηται ὑπὲρ τῶν τ' ὑπ., πάντως διόλου τοῦ ἐνιαυτοῦ κομιοῦνται κέρ-
ζʹ δος. ἐπεὶ ἐν τούτοις διακεχυμένην αὐτῷ καὶ ἀδιάστατον παρέχουσι τὴν ἄδειαν.
ἀλλὰ πρὸς τὴν τῆς δίκης ποσότητα. καὶ τὸ μισθὸν διατυποῦσθαι τῆς ἐγγράφου
κρίσεως ἐπὶ ὑποθέσει ὥσπερ λϛʹ ὑπ. ἐξ μὲν τοῦ δικαιουμένου καὶ κρίσιν ἔγγρα-
φον λαμβάνοντα καταβάλλεσθαι κηρυττόμεθα. ἐπὶ δὲ μιᾶς λίτρας ἢ βʹ ἢ γʹ ὑπ. αʹ.
ἐπὶ δὲ δʹ ἢ εʹ ἢ ϛʹ ὑπ. βʹ. ἐπὶ δὲ ζʹ ἢ ηʹ ἢ θʹ ὑπ. γʹ. ἐπὶ δὲ ιʹ ἢ ιαʹ ἢ ιβʹ ὑπ. δʹ. ἐπὶ δὲ
πλέονος πλέονος ποσότητος. ὅσα δ' ἂν ᾖ μέχρι κεντηναρίων. ὑπ. εʹ. καὶ μὴ πε-
ραιτέρω ταῦτα ἐν κρίσεσιν ὅπου μέγισται πολλάκις ἡ ἀπόδοσις ἐπακολου-
θοῦσιν. ἐν οἷς δὲ μικροὶ μέτριοι ἢ ἐνέχυρα ἢ σκευώσεις καταθέσεων τε-
νῶν ἔχονται. ἢ διατυποῦσθαι ἄλλων μέτοχοι, ἐν τοῖς τοιούτοις μὴ πλέον τοῦ ὑπ. πα-
ρέχεσθαι. κἂν ιβʹ λιτρῶν ἡ ποσότης καὶ ὑπὲρ κεντηναρίου ἐστί. εἰ δὲ τοῦ ὑπ-
μαλλον κατὰ ἀναλογίαν τῆς ὑποκειμένης ποσότητος. ὡς εἶναι μὲν ἐφ' ἑκάστῃ
λίτρᾳ, καὶ τοῦ ἐν τούτων ἐπιζημιουμένου, ἱκανὸν ἔστω τοῖς νοταρίοις καὶ τοῖς
ηʹ τοῦ κριτοῦ ὑπουργοῖς. Οἱ προεστηκότες καθυπουργοῦντες ἐν τοῖς κριταῖς ἐκ
τῶν ἄλλων ὧν ἀπολαύουσι φορολογιῶν τε ἐξηκουσῶν καὶ πολέμων ἀπηλλαγμέ-
νοις, ἐχέτωσαν καὶ τὰ τῶν στρατιωτικῶν. ἵνα ἐκ τούτων τὰ διαρκῆ ποριζόμενοι
μὴ βαρύνωσιν ἐν τοῖς ἀπαιτήσεσι τοὺς σταθεροὺς οἴκους καὶ τὰ μοναστήρια, καὶ
τὰς μητροπόλεις. μὴ δὲ προστίθενται καὶ αὐτοὶ εἰς μείζονα καινοτομίαν τῶν τὴν ὑπο-
δοχὴν ποιουμένων. ἀλλὰ αὐτοὶ ἐξ ἑαυτῶν κερδαίνουσιν ὠνούμενοι τὴν χρείαν.
οἱ δὲ κριταὶ ἄφθονον ἔχοιεν τὴν τῶν ἀναγκαίων παροχήν, συμπεριφέρεσθαι δὲ
τούτοις τὴν τῶν στρατιωτικῶν λῆψιν. οὔπερ τὴν ποσότητα τῶν ἀποδιδομένων

κτημάτων ἢ πραγμάτων. ἀλλὰ πρὸς τὸν κόπον καὶ τὴν τάξιν τοῦ ἐρχομένου καὶ τῆς
ὁδοιπορίας. εἰ γὰρ λόγου χάριν ἅπαξ πεμφθεὶς ι λιτρῶν ἀπόδοσιν ἐποιήσατο κτη-
μάτων ἢ πραγμάτων, ἓν νόμισμα λαμβάνεσθαι τοῦτο ἱκανὸν ἔστω. εἰ δὲ δεκάκις παρεγένετο
πολλὰ συντείνει τῆς ὁδοιπορίας μακρᾶς οὔσης, οὐκ ἔστι φορτικὸν τὸ ἓν νομίσματα κατὰ ἓν
νόμισμα λαμβάνειν. ἐπὶ δὲ κέρδος τῶν κρειττόνων αὐτὰ ἔρχεσθαι ἀπαγορεύομεν σπουδάζεσθαι
πρὸς ἀναλογίαν τοῦ κόπου τῶν πραγματευομένων, τὰς τῶν σταλατικῶν ἐπιτιμή-
σεις. εἰ γὰρ μοχθηρὰ ἡ ὑπόθεσις καὶ πολύκοπος ἀποφανθῇ. θεσπίζομεν μὴ πλέ- ε̄.
ον τῶν κ νομισμάτων ἐπὶ τὴν λίτραν σταλατικὸν ἀπαιτεῖσθαι. μὴ ὑπερβαινούσης μέντοι
τῶν κατὰ νόμισμα ἢ τοῦ σταλατικοῦ παροχῆς. κἂν τὰ μάλιστα ἡ τῆς πράξεως πολύμοχθος
ᾖ. καὶ τὰ ἀποδιδόμενα ὑπὲρ ἑκάστου λιτρῶν τυγχάνωσιν, ἐν ἄλλοις δὲ ποσότητι
τοῖς τὰς κρίσεις λαχοῦσιν ἐφίεμεν σταθμᾶσθαι τῷ κόπῳ τὴν λῆψιν. ὥστε ἢ ἓν ἢ β̄
ἢ γ̄ νομίσματα πρὸς τὴν τῆς ὑποθέσεως διαφορὰν προσεπιτιθέναι τοῖς προσηγορουμένοις. ἐ-
πὶ ταῦτα ἐν τοῖς ἀποδόσεσιν ἤγουν ἐξ ἀποφάσεως ἐξακολουθεῖ. ἐπὶ ταῖς ἐπιγνω- ϛ̄
μὴ παραδόσεσιν, μηδὲν καθόλου ὑπὲρ σταλατικοῦ παρέχεσθαι. εἰ δὲ ἅπαξ ἢ δὶς
ἀφίκετο. μὴ πλέον τοῦ ἑνὸς ἢ δύο νομισμάτων διδόσθαι αὐτῷ. κἂν ἑκατοντάκις ποσότης εἴη
τοῦ ἀποδιδομένου :

νεαρὰ τοῦ Κωνσταντίνου, περὶ ἀνοίξεως διαθηκῶν :

Ἐπειδὴ αἱ διαθῆκαι παρὰ τῷ κοιαίστωρι ἀνοίγονται. τοῖς ὑπουργοῦσιν ἐν τῇ ἀνοίξει- ᾱ
καὶ τοῖς κελλαρίοις, ἔτι τε τῇ συναγωγῇ τῶν μαρτύρων καὶ τῶν ἐξ ἀδιαθέτου κληρονό-
μων, ἢ καὶ λεγαταρίων καὶ τῶν διὰ τέλεας χρέας ὀφειλόντων παρέσεσθαι παρέχεσθαι
νόμισμα ἓν ὑπὲρ τοῦ καλλιγραφείῳ ἑτέρου νόμισμα ἓν. καὶ τοῖς δυσὶ νοταρίοις. ἀνὰ ἥμισυ τοῦ
νομίσματος. Ἐλάττονος δὲ τῶν ε̄ λιτρῶν ἀριθμουμένης τῆς ὑποστάσεως. ὑπεξαιρουμέ- β̄
νης μέντοι τῆς τιμῆς τῶν ἰδίως ἐλευθερουμένων. πᾶσι τούτοις παρέχεσθαι νόμισμα ἕν. ἐὰν
δὲ τὰ ρ̄ νομίσματα μόνα ἐπισυνάγεται, μηδὲν δίδοσθαι. εἰ ὑπὲρ τὰς ῑ λίτρας ἔχει τὰς γ̄
τῆς περιουσίας. ὥστε δὲ καὶ τὰ κληρονομήματα περὶ τὰ ἄλλους ἢ λίμν, ἢ καὶ χρέα
ὑπὲρ ἢ μάλιστα συγκληρονομοῦντα ὅτι τούτων κατὰ ρ̄ νομίσματα ἐκ τοῦ κλήρου ὑπερ-
χεται. μηδὲν συντελεῖν δὲ τὴν λειπομένην συνήθειαν. ἀλλ᾽ ἐκ τῆς ἀλλαχοῦ ὅπου δή-
ποτε ἀφορισθείσης περιουσίας, ὑπὲρ τὰ ρ̄ νομίσματα συναγομένης τὸ προσδιορισθὲν ποσὸν
ἀναλόγως κατὰ τὴν προγεγραμμένην ὑποτύπωσιν καταβάλλεσθαι. ὁ δὲ περισσό-
τερον τῶν διορισμένων λόγων ἀπαιτῶν, τὸ τετραπλοῦν ἀποδώσει :

νεαρὰ τοῦ Κωνσταντίνου, περὶ τῶν συνηθειῶν τοῦ σκρίβα :

Ἐπειδὴ δὲ ὁ σκρίβας οὐκ ἔστι τῆς τάξεως δικαστής, ἀλλὰ καὶ τῶν θεματικῶν κριτῶν ἐ-

αὐτῶν τῶν ἀντιγραφέων ὑποβέβληκε. καὶ χρεὼν ἡ πᾶσα φροντὶς τῶν ἀρχικῶν. καὶ ὁ-
πεὶ περὶ πάντων αὐτῶν κίνδυνος ἐν μεγάλοις ἀρχῆς, εἰς αὐτὸν ἀφορᾷ. διὸ καὶ αὐτῶν
τούτων ὑπηρετουμένων αὐτῷ ἐν ταῖς αὐτοῦ θέσεσι καὶ ἀπηρτισμέναις ὑποθέσεσιν. ἤ-
τοι μεθ' ὁρισμοῖς καὶ ἀπαιτήσεσι καθ' ἑκάστην λίτραν ὁμοίως ἀνὰ β νν. καθ' ὃν περὶ
καιρὸν τόπον ἔχειν τὰ τῆς περιουσίας. ἐκδοῦναι γὰρ παντὶ ἡμᾶς οὐ δεῖ αὐτὸν οὐδὲ ἐπι-
ευτινὰ λαμβάνειν δεῖ ζημίας, ὥσπερ οὐδὲ ἐν ταῖς ἀπογραφαῖς. ἀμαθεῖς γὰρ αὐτοὶ
ὀφείλουσιν εἶναι, εἰ μὴ ἄρα συμπτωσία ἐστὶ τηνικαῦτα πρὸς ἀνομοιότητα τοῦ γραφέως
καὶ τῶν ὑπηρετούντων ταξεωτῶν. μεῖζον τινὰ προσδέξασθαι τὸν μισθόν :

## νεαρὰ τοῦ Κωνσταντίνου. περὶ τῶν φονευόντων μετὰ ξίφους ἢ ξύλων μεγάλων ἢ λίθων ἐκ προνοίας :

α Η τοῦ Μωσέως νομοθεσία ἀποφαίνεται. τὸν αὐτόχειρα φόνου ἐκ τοῦ θυσιαστηρίου λήψῃ.
ἀλλὰ καὶ Ἰουστινιανοῦ. οὐκ ἔστιν ἀσυλίας τόπος, μοιχοῖς καὶ παρθένων ἅρπαξι καὶ
φωρσὶ καὶ αὐτοχειρὶ φόνοις. πῶς οὖν τοῦτο τυγχάνει. ὁ τοὺς ναοὺς τὴν μεγάλην ἀσυλίας τόπον
ποιησάμενος. ἢ οὕτως. τὸν φονεύοντα τῆς αὐτοῦ διαθήκης καὶ βιαίως. καθὼς ἂν
ἡ κανονικὴ τούτων ἀκρίβεια καθυποβάλλει ζημιοῦσθαι. ἀσφάλεια δὲ παρὰ τῆς δὲ
τῆς νομοθεσίας καταδικαζομένου. καὶ ἐκείνου τῆς αὐτοῦ περιουσίας τοῖς τοῦ πεφονευ-
μένου προσεχομένου. καὶ τοῖς ἐν ᾧ λέγομεν τὸ πταῖσμα ἢ πλημμέλημα τὸ ἁμάρτημα αὐτός, τού-
τοις κολάζουσιν τὸ ἁμάρτημα ταῦτα. τοῦτο δὲ μὴ πλέονα ἀνία καὶ τὸ ἐπιτίμημα αὔξη-
σιν τοῖς τῶν πεφονευμένων διαφέρουσι κατεργαζομένην, καὶ πρὸς ἕτερον φόνον προ-
ϛ θυμία παρορμᾷ ταῦτα. ἔσω μὲν ἀσφάλειαν παντελῆ ὁ φονεὺς καὶ μηδέποτε προνοουμένων
ζ ἐκδοθῇ καὶ αὐτιζόμενος εἰς τὴν γῆν ἐν ᾗ ὁ φόνος ἐγένετο. Ὁ ἑκουσίως φονεύσας μετὰ
τὴν ἐκκλησιαστικὴν ἐπιτίμησιν καὶ τῆς οἰκείας ἔκπτωσιν περιουσίας ὑπομενέτω. οὐ
τῷ δημοσίῳ προσκυρουμένης ἀλλ' εἰ μὲν ὕπεστι γαμετή. τῆς τε προικὸς καὶ τὰ οἰκεῖα ἅ-
παντα λαμβανέτω. τῆς τε προγάμου δωρεᾶς καὶ τὸ θεώρετρον. παίδων μὴ ὄντων. εἰ δὲ ὑπεί-
σι παῖδες, τὴν χρῆσιν ἐχέτω τῶν γαμικῶν κερδῶν. τῶν παίδων ἐκ τῆς ἄλλης περιουσίας
τὸ ἐκείνου κληρονομουμένου. εἰ δὲ ὁ φονεὺς εἴτε οἰκείᾳ προαιρέσει εἴτε ἐκ τῶν κανονι-
κῶν τῶν μονάσαι βουληθῇ. λαμβανέτω τὸ μοναστήριον τὸ ἐκείνου μέρος τῆς αὐτοῦ πε-
ριουσίας. τοῦ λοιποῦ ἐκείνου μέρους, τῇ γυναικὶ καὶ τοῖς τέκνοις φυλαττομένου τοῦ
ἐπιτιμήματος. εἰ δὲ ὑπεισι παῖδες τῇ γυναικὶ καὶ τοῖς ἀνιοῦσιν ἐξ ἴσου διαιρουμένοις
τὸ ἐκείνου. γυναικὸς δὲ τὸν βίον προεξηκούσης καὶ παίδων ὄντων τούτοις προσ-
μάτασθαι τῶν ἀνιόντων. εἴτε μήτε γυναῖκα μήτε παῖδας μήτε ἀνιόντας εἶναι τῷ φονευσα-
μένῳ, τοὺς ἄλλους ἐκ νόμων καλουμένους συγγενεῖς, τὸ ἐκείνου λαμβανέτωσαν. εἰ

δὲ μὴ προσέλθῃ τὸν μονήρη βίον ὁ φονεύς. οὐ τὸ τρίτον ἀλλὰ τὸ λειπόμενον τῆς ἐλευ-
θέρας αὐτοῦ περιουσίας κατὰ τὴν ἐρημωθεῖσαν τρίτην· τοῦ πεφονευμένου κληρονο-
μεῖσθαι μέρος. πρὸς τούτοις δὲ, μηδένα μηδέποτε τὸν τοιοῦτον ἐγκληματικὴν στρα- δ'
τεία. ἢ πολιτικὴν ἢ ἄλλην τὴν οἱανοῦν ἀρχὴν ἢ πρᾶξιν μεταχειρίσασθαι. μήτε δὲ τὰς
αὐτογραφῆς ἀξιοῦσθαι. ἀλλ' ἔστω παντὸς ἄτιμος. ὃς καὶ τὸ μεῖζον μόνον φιλαν-
θρώπως συγκεχώρηται. τοὺς δὲ ἀπὸ μελέτης καὶ κακίας φονεύοντας κατὰ τὸ τοῦ θ'
δ' ἐξεπιτηδεύτας, πάντως ἀποκείρεσθαι ἐν μοναστηρίῳ. καὶ οὐ μόνον τὸν διωρισμένον
καὶ αὐτοῦ χρόνον τῆς μετανοίας. ἀλλὰ καὶ τὸν ἅπαντα χρόνον τῆς ζωῆς αὐτοῦ.
ἐν μοναστηρίῳ διοικονομεῖσθαι. τὸν ἄλλως ἑκουσίως μὲν ἀνῃρηκότα, περιπεσόντ- ς'
α δὲ καὶ συναρπαγέντα ἀδοκήτου θυμοῦ. οὐ μελέτῃ καὶ προπαρασκευῇ, καὶ προ-
βουλίοις τοῖς τὸ μιαιφονεῖν ἐπιδεξαμένοις. τὴν μὲν ἀσφάλειαν πρὸς ἅπασι τοῖς
ἄλλοις ὑποστῆναι. μὴ μέντοι τὸν μονήρη βίον ἡγεῖσθαι καταναγκά-
ζεσθαι. τὴν δὲ διαφορὰν τῶν ἄλλων προβαινόντων
φόνων, ἐν τῷ ξ' βιβλίῳ ἐφευρήσεις:~

## Νεαρὰ α' Νικηφόρου, περὶ ἀρμενιακῶν τόπων:~

1 επειζοκες ὅτι τῶν ἀρμενιακῶν στρατιωτῶν ἀναχωρησάντων τελείαν ἀλλαχοῦ πεποι-
ήκασιν. ἐὰν ἐκδοθῶσιν οἱ τούτων τόποι ἢ πρὸς φυγήν. εἴτε ἀεὶ ἑτέροις στρατιώταις. α'
ἢ καὶ ἄρχουσι θεματικοῖς καὶ ταγματικοῖς. εἴτε στρατιώταις ἀνδραγαθήσασιν. ἢ
καὶ ἑτέροις διὰ κοινοφελῆ δουλείαν μὴ ἔχοιεν ἐπὶ ἀδείαν μετὰ τελείαν χρόνου ἐπανα-
στρέφοντας τοὺς ἀρμενίους, ἐπιζητεῖν αὐτούς. ὅτι ἐκ τῶν πεφευγότων ἀρμενίων β'
τόποι διαχάσειν ἢ προσπάθειαν ἐπεδόθησαν. εἴτε βασιλικοῖς οἴκοις. ἢ εὐαγέσι ἢ
μοναστηρίοις. ἢ ἄρχουσι. μὴ μόνον ὑποστρέφοντες οἱ τελείαν διῆλθεν. ἀλλὰ καὶ οἱ
τούτων κληρονόμοι ἔνδοθεν τριακονταετίας ἐπανήκοντες, ἀναλαμβανέτωσαν
τοὺς αὐτῶν τόπους. κἂν λιβέλλους ἐπόπτων καὶ χρυσόβουλλα ἐπιφέρωνται. οἱ
τούτους ἔχοντες, αὐτοῦ δὲ ἑνὸς κηδεμόνος λογίζεσθαι. ὅσαι γεγόνασιν ἀνταλλαγαὶ γ'
στρατιωτικῶν τόπων. οἱ μὲν στρατιῶται ἐχέτωσαν τὰ ἴδια. οἱ δὲ ἀντηλλάξαντες δε-
κτήσωσαν βασιλέως ἐπιζητοῦντες τὰ αὐτῶν. εἰ δὲ βελτιώσεις πεποιήκασιν ἐν
αὐτοῖς. εἴτε χρειώδεις εἰσίν. οἷον μυλοστάσια. ἀχυρῶνες. οἰκήματα μὴ πολυ-
τελῆ. ἀλλ' ἁρμόζοντα στρατιώταις. ὑπὲρ τῶν τοιούτων χρὴ παρέχειν τοὺς ἀπολαμβά-

νοῦντας τοὺς τόπους, τὰς ἀναλογούσας τιμάς. εἰ δὲ πρὸς κάλλος μόνον ἀφορῶντες
τῶν τοιούτων, διὰ τὴν ὕλην μόνην τοὺς κτίσαντας ἀναλαμβάνοιεν, τοῦ πρωτοτύπου τῷ
λ' ζημιουμένου. ὅτι τῶν ἀρχαίων ἐν τοῖς ... τὴν προσουσίαν. οὔτε μὴν πρὸς τῆς εἰκο-
μόνον· ἀλλὰ καὶ πρὸς χρόνου ἑνὸς ὑποστρέφον, μὴ τοὺς ἰδίους ἀπολαμβάνειν τοὺς
ε' περὶ φονευτῶν:— τόπους· ἀλλὰ γενέσθω ἡ πρόνοια τούτων διὰ προσοχῆς ἑτέρων τόπων. Ὁ ἐργασά-
μενος μιαιφονίαν στρατιώτης, τιμωρεῖσθαι κατὰ τὸν νόμον. τὴν δὲ στρατείαν αὐτοῦ τὴν, μὴ
ἀποδίδοσθαι εἰς παραμυθίαν τοῖς τοῦ φονευθέντος ἰδίοις καὶ συγγενέσιν. ἀλλ' ἐκείνου
τῶν διαδόχων. κινητῶν παραμυθεῖσθαι. τὴν δὲ ἀκίνητον ὑπάρχειν εἰς σώαν τῆς στρα-
τείας σωτηρίαν. εἰ δὲ μὴ κινητὰ πράγματα εἶεν, καὶ οὕτως ἐξ ὑποκεῖσθαι τοῖς τοῦ
πεφονευμένου συγγενέσι. πρὸς ἀναπλήρωσιν τῶν ἀνηκόντων εἰς παραμυθίαν ἐκ
τῶν τοῦ ἀναιρημένου συγγενῶν. οἱ δὲ τῆς στρατείας αὐτοῦ τόποι μὴ ἐκποιείσθωσαν. εἰ
δὲ καὶ πάντες ἐκ τοῦ αὐτοῦ οἴκου τῷ τοῦ φόνου ἐνέχονται μιασμῷ. οὗτοι τὰς προση-
κούσας ἕκαστος παρὰ τοῦ νόμου ποινὰς ὑποδεχέσθωσαν. οἱ δὲ τῆς στρατείας τό-
ποι ἀλλαχοῦ μὴ παραπεμπέσθωσαν· ἀλλὰ καὶ μόνος ὑπολειφθῇ κληρονόμος
ὁ τὴν στρατείαν ἐπιστηθεὶς μέλλων, ἕτερος τοὺς τόπους ἀναλαμβάνων, ὑπηρετεί-
τω τῇ στρατείᾳ :—

## Νεαρὰ β' Νικηφόρου, περὶ μοναστηρί-ων ξενώνων καὶ γηροκομείων :—

α' Θεσπίζομεν ὅτι μοναστήρια ξενῶνάς τε καὶ γηροκομεῖα κτίζειν ἐὰν βουληθῶσιν. ἐκείνων
οὕτω ἐπιμελείσθωσαν τῶν ἐκ τοῦ πολλοῦ χρόνου γεγενημένων. μὴ ἀγροὺς προσκτώμενοι
ἢ τόπους, ἢ οἰκοδομὰς ποιοῦντες· ἱκανὰ γὰρ τὰ ὑπάρχοντα γενέσθαι. ἀλλ' ἐκείνων
ἐπιμελείσθωσαν τῶν ἐξ ἀρχῆς προσόντων. δηλονότι τοὺς ἰδίους τόπους ἀπεμπο-
λοῦντες πρὸς κοσμικούς. καὶ ἐκ τῆς αὐτῶν τιμῆς, τὴν διανόρθωσιν ποιούμενοι. τοῦ
λέγειν οἰκοδομὰς βοῶν καὶ ποιμνίων καὶ οἰκείων ἐξωνεῖσθαι καὶ τὰ ἑτέρων.
ἀργεῖσθαι δὲ κελεύομεν, τὸ μὴ νέας ἐργάζεσθαι μονὰς ἢ ξενῶνας ἢ γηροκομεῖα.
β' μηδενὶ ἐξέστω μὴ ἀγροὺς μὴ τόπους μὴ οἰκίας μοναστηρίοις ἢ γηροκομείοις.
γ' ἢ ξενῶσιν ὅπως οὖν παραπέμπειν. ἀλλ' οὐδὲ μητροπόλεσιν ἢ ἐπισκοπείοις.
Ἐπεὶ ἵνα τῶν φθανόντων σαθρῶν οἴκων ἢ μοναστηρίων ἢ μητροπόλεων ἢ ἐπισκο-
πείων. τινὰ τῆς φαύλης ἔτυχον χρείας καὶ πενίας. ὡς ἐρημία τόπων καταλήγει-
σθαι τούτοις γνώμῃ βασιλικῇ καὶ δοκιμασίᾳ ἢ τῶν ἀρχόντων κτήσεις οὐ κωλυ-
δ' θήσεται. κελλία δὲ καὶ λαύρας ἐν ἐρήμοις οἰκοδομούμενα. μὴ πρὸς κτήσεις
καὶ ἀγροὺς ἑτέρους ποιείσθωσαν. ἀλλὰ τῇ περιοχῇ μόνῃ τῇ ἰδίᾳ ὁριζομένους. τοῦ-
το τείνω τοὺς βουλομένους οὐκ ἔργοις, ὅσῳ καὶ δι' ἐπαίνου μᾶλλον τὸ πρᾶγμα

τίθεμεν : —

## Νεαρὰ γ΄ Νικηφόρου, περὶ τοῦ ἐξωνεῖσθαι δυνατοὺς ἀπὸ δυνατῶν : —

Θεσπίζομεν τὴν παρὰ τῶν προβεβασιλευκότων ἐκτεθεῖσαν νομοθεσίαν διενεργεῖν, καὶ α΄
ταύτην ἐπικυροῦμεν ἐν ἅπασι· πλὴν ἐν τούτῳ μόνον ἀργεῖν αὐτὴν προσκηδόμεθα·
ἵνα μὴ προτιμῶνται οἱ πένητες εἰς τὰ ἀπεμπολούμενα κτήματα τῶν δυνατῶν· μή-
τε ἐξ ὁμοτίμου· μήτε ἐξ ἀνακοινώσεως· κἄν τε στρατιῶται· κἄν τε πολιτικοὶ εὑρί-
σκονται· ἀλλὰ τὴν τοιαύτην πρᾶξιν διαδέχεσθαι ἀρχοντικοῦ προσώπου, τὸ πρὸς ἀνά-
παυσιν δηλονότι καὶ ὠφέλειαν τῶν συμπαρακειμένων ἐν τούτῳ πενήτων ἀνα-
φαινόμενον· ὅτιπερ καὶ ἐν τῷ δεσπόζειν τὸ κτήματος προσβλάπτον τοὺς γειτνιῶν- β΄
τας καταναλούμενον, ὡς βίαιον καὶ κακὸν μὴ μόνον ἐπικειμένως· ἀλλὰ καὶ ἀ-
πὸ τῶν γονικῶν ἐκδιώκεσθαι· καὶ τοὺς μὲν δυνατοὺς ἐκ δυνατῶν μόνον ποιεῖ-
σθαι τὰς ἐξωνήσεις βουλόμεθα· τοὺς δὲ στρατιώτας καὶ πένητας, ἐκ τῶν τὴν ὁμοί-
αν τάξιν λαχόντων αὐτοῖς· καὶ ὥσπερ τούτους ἐκωλύσαμεν τοῦ μὴ ἐξωνεῖσθαι τὰ
τὰ δυνατῶν· οὕτως πάλιν ἐκείνους ἀπείργομεν τοῦ μὴ ἐκ πενήτων τε καὶ στρα-
τιωτῶν ἀπόρων ποιεῖσθαι τὰς ἐξωνήσεις· μήτε δὲ τὴν ὁμοτιμίαν ἢ ἀνακοίνωσιν
προβάλλεσθαι εἰς δικαίωσιν πρὸς ἅπαντας τὴν νομοθεσίαν ποιούμενοι : —

## Νεαρὰ δ΄ Νικηφόρου, περὶ οἰκημάτων : —

Ἐπειδήπερ τινὲς τῶν κεκωλυμένων ἀπὸ τῶν νεαρῶν νομοθεσιῶν ἐξωνεῖσθαι
καὶ πλατύνεσθαι προσώπων ἔτυχον ἐκ γονικῆς κληροδοσίας ἀκίνητον κτῆ-
σιν ἐν χωρίοις ἢ ἀγροῖς εἰληφότες· ἐξωνήσαντο δὲ μετὰ ταῦτα ἀπὸ τῶν χω-
ριτῶν αὐτῶν σμικρά τινα καὶ ὀλίγοστα τόπια ἐν οἷς οἰκήματα πολυτελῆ καὶ
ἀπειρομεγέθη ἐδείμαντο πλεῖστα εἰς ἀνοικοδομὴν αὐτῶν καταβαλλόμενοι,
δίκαιον ᾠήθημεν μὴ διὰ τὰ σμικρὰ ταῦτα καὶ ὀλίγοστα τόπια καταστρέφεσθαι τὰς ια΄
ἐπ' αὐτοῖς οἰκοδομηθείσας ἀπειρομεγέθεις καὶ πολυτελεῖς οἰκίας· ἀλλ' ἀντὶ τῶν οἰκοδομηθείσας
πεπραμένων τοπίων λαμβάνειν δὲ τοὺς πεπρακότας εἴπερ ἐν τοῖς ζῶσιν εἰ-
σίν, εἰ μὴ ὄντων αὐτῶν τοὺς τούτων κληρονόμους ἢ συγκληρονόμους· διπλοῦν τὸ
ποσὸν τοῦ καταβληθέντος τιμήματος· ἢ τὴν διπλασίονα τῆς ἀξίας τῶν πε-
πραμένων ποιότητος καὶ ποσότητος οὖσαν καὶ μὴ ἀποστερεῖσθαι τοὺς ἠγορακό-
τας τῶν ἰδίων ἐμπονημάτων : —

## Νεαρὰ ε΄ Νικηφόρου, ἐπὶ τοὺς ἐξωνησαμένους πρὸ τοῦ καιροῦ τῆς ἐνδείας : —

Κηρύσσομεν ὅτι οἱ τῶν ἐκ χρόνων παραδεδομένων ἀνεγκλήτως μὲν καὶ ἀνεπιφωνήτως παρὰ α΄

ρέουσα τὸ δίκαιον ἐπεβράβευε τοῖς τὰ κτήματα στρατιωτῶν προσκληθέντα κατέχου-
σι. περικοπτομένη δὲ διὰ τῶν ἐπιφωνήσεων καὶ ἀναποδίζουσα. καὶ τοὺς πρὸ τῆς
συνόδου τὰς ἐπικλήσεις ποιησαμένους ἐβάρησε, καὶ ἀποστερεῖσθαι τούτων ἐποίει πολ-
λάκις ἀδιαφόρως συνεργουμένη. διοριζόμεθα τοὺς κατὰ πίστιν πρὸ τοῦ καιροῦ τῆς
συνόδου διεισπραττομένους ποιῆσαι τὴν ἐπίκλησιν ἀπὸ στρατιωτικοῦ καὶ ποιητικοῦ, ἀμε-
ριμνίᾳ διάγειν, καὶ μὴ συνεργεῖν τὴν τεσσαρακονταετίαν. καὶ ἐν τούτῳ ἀναποδίζου-
σαν ἐκ τῶν ἐπιφωνήσεων. μηδὲ τὸ καθόλου παρασαλεύεσθαι, καὶ μεταποιεῖσθαι τὴν
διακατοχὴν αὐτῶν. εἰ μὴ εἰς μόνους τοὺς ἐξ ἁρπαγῆς τὰς ἐπικλήσεις ποι-
ησαμένους, καὶ ἐκ βιαίας νομῆς καὶ κακῆς πίστεως ὡς
ἐπιπηδῶντας τοῖς ἀλλοτρίοις, καὶ τοῦ πλη-
σίον ἐφιεμένους:

## Νομοθεσία νεαρὰ τοῦ κυροῦ Βασιλείου πορφυρογεννήτου δεσπότου, ἐκφωνηθεῖσα κατὰ τὸν Ἰαννουάριον μῆνα τῆς θ' ἰνδ. τοῦ ςφδ' ἔτους:

Ἐπειδήπερ ἡ βασιλεία ἡμῶν ἀφ' οὗ ηὐτοκρατόρησε, καὶ τὰς κινουμένας ὑποθέσεις
παρά τε τῶν πλουσίων καὶ τῶν πτωχῶν ἐπεχείρησε ζητεῖν. εὗρε δὲ οἱ θέλοντες πλε-
ονεκτεῖν δυνατοί, οὐ λόγον ἀφορμὴν ἔχουσι τὴν τεσσαρακονταετίαν. καὶ σπουδάζου-
σιν· εἴτε διὰ ξενίων· εἴτε διὰ ἰδίας δυναστείας, τὴν τοιαύτην τεσσαρακονταετίαν διαβῆ-
ναι. καὶ ἐκ τότε κατακτήσασαν δεσποτείαν ἔχειν ἅπερ κακῶς ἐπλεονέκτησαν τοὺς πέ-
νητας, ἔκρινε τὴν παροῦσαν νομοθεσίαν. τοῦτο μὲν καὶ τὰ παρελθόντα διορθουμένη.
τοῦτο δὲ καὶ τοὺς νῦν δυνατοὺς ἀναστέλλουσα, καὶ τοὺς μετέπειτα κωλύουσα, ἵνα
γινώσκωσιν· ὡς οὐδεμίαν ὠφέλειαν ἀπὸ τούτου δρέψουσιν. ἀλλ' ἀφαιρεθήσονται τὰ
ἀλλότρια· οὐκ αὐτοὶ μόνον ἀλλὰ καὶ οἱ κληρονόμοι αὐτῶν. ὅθεν τοίνυν ἡ βασιλεία
ἡμῶν. οὐκ ἀσκόπως οὐδὲ ἀδοκιμάστως τὴν τεσσαρακονταετίαν ἀναιρεῖ. ἀλλὰ
τοὺς πένητας ἐλεοῦσα· καὶ τοῦ κοινοῦ καὶ τῆς σωτηρίας αὐτοῦ φροντίζουσα· καὶ τὸ δί-
καιον ἀγαπῶσα· καὶ τὴν πλεονεξίαν ἐκκόπτουσα. φανερὸν ἔσται ἐκ τῶν ἑξῆς
εἰπεῖν. καὶ γὰρ πολλὰ παρηνωχλήθημεν παρὰ τῶν πτωχῶν χάριν τούτου. καὶ τὰς
γινομένας εἰς αὐτοὺς καθ' ἑκάστην πλεονεξίας, καὶ ἀδικίας. τοῖς ἰδίοις ἡμῶν
ὀφθαλμοῖς εἴδομεν, διερχόμενοι τὰ θέματα τῆς βασιλείας ἡμῶν. καὶ πρὸς τὰ τα-
ξίδια ἀπερχόμενοι· πῶς γὰρ καὶ ἁπλῶς καὶ ὡς ἔτυχεν συνεργεῖσθαι χρόνος· ὅθεν

νατὸς ὢν ὁ τὸν πένητα πλεονεκτήσας. πολλοὶ χρόνοι ποιοῦσι δυναστεύειν καὶ εὐη-
μερεῖν. καὶ τὴν δυναστείαν αὐτοῦ καὶ εὐημερίαν εἰς τοὺς διαδόχους αὐτοῦ παραπέμ-
πει. καὶ τυχὸν οὗτος μὲν πατρίκιος ἐστίν· οἱ δὲ ἐξ αὐτοῦ οἷον ἔγγονοι καὶ δισέγγο-
νοι ὁμοίως δυνατοί, καὶ οἰκειότητα ἔχουσι πρὸς τοὺς βασιλεῖς. καὶ μέχρι τῶν ο̄
ἢ ρ̄ χρόνων, τὴν εὐημερίαν αὐτῶν παρεκτεινομένην ἔχουσι. ἄρα οὖν τούτους οὐ
κωλύσομεν; καὶ τοῖς πένησι δώσομεν ἃ κακῶς ἐπλεονέκτησαν. τὸ γὰρ εἰς κοινό-
τητας χωρίων ἐπικληθέντος ἢ πλεονεκτήσαντος δυνατοῦ τυγχάνοντος. καὶ τῶν
αὐτοῦ διαδόχων πάλιν ἐν τῇ ὑποστάσει, καὶ τὴν δυναστείαν διαδεχομένων·
καὶ μὴ διδόντων χώραν τῷ πένητι πρὸς τὸ καὶ αὐτὸν κινῆσαι περὶ ὧν κακῶς ἐ-
πλεονέκτησαν αὐτόν. πάντως προδηλόν ἐστιν ὅτι ὅσος ἂν χρόνος ἐπὶ τούτων διαβῆ
ἀκώλυτος ὁ πένης ἔσται πρὸς τὸ ζητεῖν καὶ ἐπαίρειν τὸ ἴδιον. εἰ μὴ γὰρ τοῦτο ποιή-
σομεν, πρόσοδον δώσομεν τῷ πλεονέκτῃ τῷ λέγειν· ὅτι ἐπεὶ ἐγὼ σήμερον εὐημερῶ, ἐ-
οὐ δύναται κατ᾽ ἐμοῦ ὁ πένης κινῆσαι. ἐὰν εὐημερήσῃ καὶ ὁ υἱός μου, καὶ διὰ τὸ
εὐημερεῖν πάλιν διαβῆ τεσσαρακονταετία. ἢ ἐγὼ χρονίως εὐημερῶν ἔχω σε ἀνα-
φέρεται τὰ ἐπικληθέντα, καὶ συμφέρουσι τῷ πλεονεκτοῦντι. τοῦτο δὲ φανερόν ἐστι. καὶ
ἀπὸ τῆς γενεᾶς τῶν Μαλεΐνων. καὶ πάλιν τῶν Φωκάδων. ὁ μὲν γὰρ πατρίκιος Κων-
σταντῖνος ὁ Μαλεΐνος. καὶ ὁ μάγιστρος Εὐστάθιος ὁ τούτου υἱός. μέχρι τῶν ρ̄ χρόνων
ἢ καὶ τῶν ρκ̄. τὴν εὐημερίαν ἔσχον συμπαρεκτεινομένην αὐτοῖς. οἱ δὲ Φωκάδες
πολὺ τούτων ἐπέκεινα. ὅτε γὰρ ὁ πρόπαππος αὐτῶν. εἶτα καὶ ὁ πατήρ. μετὰ δὲ ταῦ-
τα καὶ οἱ τούτου υἱοί. ἀδιαδόχως σχεδὸν ἐπὶ ... ἕως ἡμῶν εἶχον τὴν δυναστείαν. ἐ-
πὼς οἱ τοιοῦτοι βοηθοῦντα τὸν χρόνον ἔχουσι. πάλιν δὲ πῶς οὐ λογιζόμεθα δυνατοὺς
καὶ ἀδυνάτους. τοὺς ἐξ ἀρχῆς μὲν πένητας, ὕστερον δὲ τιμώμενον καὶ πρὸς ὕψος δόξης
ἀναγόμενον. ἀδύνατον μὲν ἕως ὑπῆρχε τῶν κάτω, καὶ τὸν χρόνον βοηθὸν αὐτῷ συγχω-
ρήσομεν. δυνατοῦ δὲ ἀφ᾽ οὗ καιροῦ ἐτιμήθη, καὶ τὸν χρόνον μηδὲν αὐτῷ ὠφελοῦντα δι-
ξομεν. διὰ τὸ πολλάκις καθ᾽ ἑκάστην ἐστὶν ἰδεῖν συμβαίνοντα καὶ ἄρτι παρ᾽ ἡμῶν εὑρέ-
θη. καὶ γὰρ ὁ ἐν ἐκείνοις Φιλοκάλης γενόμενος μὲν κατ᾽ ἀρχὰς τῶν ἰδιωτῶν καὶ χωριτῶν
ἕνα. ὕστερον δὲ τῶν περιδόξων καὶ πλουσίων. ὃς ἕως μὲν ὑπῆρχε τῶν κάτω, συνετέ-
λει τοῖς ἑαυτοῦ συγχωρίταις καὶ οὐδὲν αὐτοὺς ἐκαινοτόμει. ἀφ᾽ οὗ δὲ τούτῳ εἰς τιμὴν
ὁδὸς ἀνῆξεν ἑβδομαρείου. εἶτα κοιτωνίτου. καὶ μετὰ ταῦτα πρωτοβεστιαρίου. τὸ
ὅλον αὐτοῦ καθόλου ἐκράτησε χωρίον, καὶ προάστειον ἴδιον ἐποίησεν. ἐναλλά-
ξας καὶ τὴν ἐπωνυμίαν τοῦ τοιούτου χωρίου. ἐπεὶ οὖν οὕτως ἀνῆλθε καὶ οὕτως
ἐλύμαινε τὰ κατ᾽ αὐτόν. συνεχόμενός ἐστιν ἵνα δώσομεν τοῦτο εἰς βοήθειαν. καὶ κατά γε

χωρὶς ἔχειν ἃ κακῶς ἐπλεονέκτησεν; οὐκ ἔστι δίκαιον. ὅθεν καὶ ἡ βασιλεία ἡμῶν καὶ
τὸ τοιοῦτο διαβαίνουσα, καὶ τὸ πρᾶγμα ἔλεγχον τῶν πενήτων διανοοῦσα. τὰ τούτου
οἰκήματα πολυτελῆ ὄντα, κατέστρεψεν ἕως ἐδάφους. καὶ τοῖς πένησι τὰ ἑαυτῶν ἀ-
ποδέδωκεν. ἐν ᾧ δὲ καθῆκεν ὅπερ ἐξ ἀρχῆς εἶχεν δημόσιον, καὶ τῶν χωρίων
ἕνα πάλιν αὐτὸν ἐποίησεν. δυνατοὶ δὲ λογίζεσθαι μὴ μόνον οἱ τοιοῦτοι. ἀλλὰ καὶ
πάντες οἱ ἀναγραφόμενοι κατὰ μέρος. ἐν τῇ διατάξει τοῦ προπάππου ἡμῶν τοῦ
βασιλέως Ῥωμανοῦ τοῦ γέροντος. οὗτος γὰρ καὶ αὐτοὺς τοὺς χωραΐους δυνα-
τοὺς ὀνόμασεν. ἡμεῖς δὲ λέγομεν καὶ τούτους δυνατούς. προστίθεμεν δὲ καὶ πρωτο-
κελλάρχους. καὶ γὰρ τούτους ἤδη πραγματικῶς διέγνωμεν. διὰ ταῦτα τοιγαροῦν
θεσπίζομεν διὰ τῆς παρούσης ἡμῶν νομοθεσίας τοῦ προπάππου ἡμῶν καὶ βασι-
λέως Ῥωμανοῦ τοῦ γέροντος. ἐπικλητεύοντα τοῖς δυνατοῖς τῶν χωρίων κοινότητας.
ἀλλὰ δι᾽ ἐγγράφων δικαιωμάτων, καὶ συνταλικῶν μαρτυριῶν τὸ βέβαιον ἔχον-
τα, διασώζεσθαι παρ᾽ αὐτῶν. καθὰ καὶ οἱ παλαιοὶ νόμοι λέγουσι. διὰ τοῦτο δὲ τὰ
ἔγγραφα δικαιώματα, καὶ τὰς συνταλικὰς μαρτυρίας προσκομίζεσθαι βουλό-
μεθα. ὅπως οἱ δυνατοὶ μὴ προφασίζωνται κατ᾽ ἐπίνοιαν τὰ νεωστὶ αὐτοῖς ἐπι-
κλητευθέντα. κρατεῖσθαι παρ᾽ αὐτῶν ἀπὸ παλαιοῦ. ἀπὸ τότε δὲ καὶ μέχρι τοῦ νῦν ἥτις
ἐστὶν α´ τοῦ ἰαννουαρίου μηνὸς τῆς θ´ ἰνδ. τοῦ ϛφδ´ ἔτους. ἀλλὰ καὶ εἰς τὸ ἑξῆς. ἐ-
πεὶ καὶ πρᾶγμα ἔγγραφος ἐγένετο, διὰ τῆς δηλωθείσης νομοθεσίας τοῦ προπάπ-
που ἡμῶν βασιλέως Ῥωμανοῦ τοῦ γέροντος. μηδὲν τῷ σύμπαντι ἰσχύειν ἢ ἀκούε-
σθαι τὴν τεσσαρακονταετίαν. μήτε τὸ καθόλου, κατὰ τῶν πενήτων ἐνεργεῖν τινὰ
ταύτην ἔχειν. ὅπου μετὰ δυνατῶν ἔχουσιν. ἀλλ᾽ ἀντιστρέφεσθαι τοῖς πένησι τὰ ἴδια.
κελεύομεν τοὺς δυνατοὺς δικαιοῦσθαι εἰς τὸ ἀναλαβεῖν τὰ κτήματα τῶν τοιούτων
τόπων ἢ τὰς βελτιώσεις. ἀλλ᾽ ἀπολλύειν καὶ τὰ κτήματα τῶν τοιούτων τόπων ἢ τὰς
βελτιώσεις. διότι καὶ τὴν εἰρημένην νομοθεσίαν παραβαίνοντες ἐπεισῆλθον. ἐκ μᾶλλον
ἄξιοι εἰσὶ ζημιοῦσθαι. ἔγραψε γὰρ ὁ ῥηθεὶς προπάππος ἡμῶν καὶ βασιλεὺς
Ῥωμανὸς ὁ γέρων καὶ εἶπεν ὅτι ἀπὸ τοῦ νῦν κωλύει τοὺς δυνατοὺς τοῦ μὴ ποι-
εῖν ἐπικλήσεις εἰς κοινότητας χωρίων. ἔθηκεν δὲ διόρισμον καὶ εἰς ἄπειρον τὸ ἐκώ-
λυσεν αὐτούς, καὶ τὴν τεσσαρακονταετίαν οὐδέδωκεν αὐτοῖς εἰς βοήθειαν. οὐ μό-
νον δὲ εἰς τοὺς προλαβόντας χρόνους ταῦτα νομοθετοῦμεν. ἀλλὰ καὶ εἰς τοὺς μετὰ
ταῦτα χρόνους. ἐδείξαμεν τὴν νομοθεσίαν ταύτην. δηλονότι ἀφ᾽ οὗ ἡ νομοθεσί-
α τοῦ προπάππου ἡμῶν καὶ βασιλέως τοῦ κυροῦ Ῥωμανοῦ τοῦ γέροντος ἐξε-
τέθη. εἰ γὰρ μὴ διορθωσόμεθα ἄρτι ὅσα κινοῦνται ἀπὸ τῶν προλαβόντων, πῶς

ἔχουσι φυλαχθῆναι τὰ μέλλοντα· καὶ πῶς ἔχουσι παῦσαι τοῦ ποιεῖν τὰ τοιαῦτα·
ὃ δὲ πάντων ἐστὶ χαλεπώτερον· ὅτι τὰ ἀπὸ ἁρπαγῆς καὶ πλεονεξίας συνιστάμενα
κτήματα, καταλιμπάνουσιν οἱ δυνατοὶ τοῖς ἑαυτῶν παισὶν ἐπὶ δὲ τῆς μελέας, ἀ-
ναφαίρετον ἔχειν τὴν δεσποτείαν τῶν τοιούτων οἰόμενοι· τῆς δὲ τοιαύτης βοηθοῦ δῆλον ὅ-
τι τῆς ἀπὸ τῆς μελέας ἀναιρουμένης, ἀφαιρούμενοι οἱ τῶν δυνατῶν παῖδες. τὸν
τοιοῦτον πλεονεκτικὸν κλῆρον οὐ ἐκ προγόνων ἔλαβον, εἰς ἀπορίαν καταντῶσι καὶ ἐσχάτην
ἔνδειαν· οἷα καὶ πρὸ τῆς βασιλείας ἡμῶν ἔπαθον οἱ τοῦ μαΐστρου ῥωμανοῦ τοῦ
μουσηλὲ ἔγγονοι. καὶ γὰρ οὗτοι κατὰ τὸ εἰκονομάχιον τοιαύτην περιουσίαν ἐκ πάπ-
πων τε καὶ προπάππων καταλειφθεῖσαν αὐτοῖς ἔχοντες, κατήντησαν καὶ αὐτοὶ εἰς πενίαν.
τὴν οὖν τοιαύτην ἀδικίαν καὶ ἀνισότητα ἡ βασιλεία ἡμῶν ἐκτέμνουσα, καὶ πᾶ-
σι πλουσίοις τε καὶ πτωχοῖς τὰ συμφέροντα, καὶ δίκαια ἐπιβραβεύουσα, τὸν τῆς
μελέας ἀναιρεῖ. ὥστε καὶ οἱ δυνατοὶ τοῦτο γινώσκοντες, τοιοῦτον κλῆρον τοῖς ἑαυ-
τῶν παισὶ μὴ καταλιμπάνωσιν. ἀλλὰ καὶ οἱ πένητες τῶν ἰδίων στερούμενοι μὴ
ἀπογινώσκωσιν· ἀλλ' ἔχωσι βεβαίαν τὴν ἀπὸ τῆς παρούσης νομοθεσίας βοήθειαν,
πρὸς τὴν τῶν ἰδίων ἀνάληψιν. ἐπεὶ δὲ καὶ εἰς τοὺς περιορισμοὺς τῶν χρυσοβούλ-
λων, εὑρίσκονται τόποι πολλοὶ πενήτων συμπεριλαμβανόμενοι, οὐ μὴν ἀλλὰ καὶ
βασιλικὰ λιβάδια, καὶ ὡς ἐκ τούτου οἱ τὰ χρυσόβουλλα λαμβάνοντες τοιούτους
τόπους προφάσει τοῦ περιορισμοῦ κατέχουσιν· οἷα πολλὰ εὗρεν ἡ βασιλεία ἡ-
μῶν. εἴς τε τὴν ἀνατολικὴν ὅλην σχεδόν, καὶ εἰς πᾶσαν τὴν δύσιν, ἐν ταῖς ἐκστρατείαις
διατρίβουσα. προαγορεύεται τὸ μηδὲν ὅλως ἰσχύειν τοὺς τοιούτους περιορισμούς.
μηδὲ ἕνα δικαίωσιν ἐκ τούτων ἔχειν. ἀμφιβολίας παρεμπιπτούσης, τοὺς προ-
κομίζοντας αὐτούς. οὐδὲ γὰρ τοιοῦτοι περιορισμοὶ παρὰ τῆς βασιλείας μου γίνονται.
ἵνα τελείαν ἔχωσι τὴν τούτων κατάληψιν, βεβαίους αὐτοὺς καὶ ἀμεταβλήτους ἡ-
γεῖται. ἀλλὰ τὴν ἐκ τοῦ χρυσοβούλλου δωρεὰν ἡ βασιλεία μου ἐκτίθησιν. οἱ δὲ
περιορισμοὶ παρ' ἑτέρων γινόμενοι, τὸ ἀξιόπιστον καὶ ἀσφαλὲς καὶ βέβαιον ὡς
ἀπὸ τῆς τοῦ χρυσοβούλλου δυνάμεως ἔχειν ἴσως οὐ δύνανται. ἐπειδὴ δὲ ἐκ πα- περὶ τῶν μονα-στηρίων
ντὸς πάντων σχεδὸν ἐπὶ τῶν θεμάτων, ἐκινήθη ἐνώπιον τῆς βασιλείας ἡμῶν ὅτι
πολλὰ τῶν χωρίων εὑρίσκονται βλαπτόμενά τε καὶ ἀδικούμενα, τινὰ δὲ ἀφα-
νιζόμενα παρ' ὀλίγον ἀπὸ τῆς τῶν μοναστηρίων ἀφορμῆς· εὑρίσκεται γὰρ εἰς πολ-
λὰ τῶν χωρίων· ὅτι ὁποῖος τις χωρίτης ἐκκλησίαν εἰς τὸν ἴδιον τόπον, καὶ ἀ-
φιέρωσε ταύτῃ τὴν ἰδίαν μοῖραν βουλομένων καὶ τῶν συγχωριτῶν αὐτοῦ. ἐγένετο
δὲ αὐτὸς καλόγηρος καὶ ἐκάθητο ἐν αὐτῇ ἕως ἔζη. ὁποῖος δὲ αὖ τὰ ἄλλος χωρίτης

καὶ ἕτερος ὁμοίως. καὶ ἐγένοντο δύο καὶ τρεῖς καλόγηροι. εἶτα τῇ συνηθείᾳ τούτων αὐτῶν, ἐκράτησε τὴν ἐκκλησίαν. ὁ ἐπὶ τοῦ τόπου μητροπολίτης τυχὸν ἢ ἐπίσκοπος. καὶ ἰδιοποιήσατο ταύτην, καὶ ὠνόμασε μοναστήριον. καὶ ὅτε τὰ τοιαῦτα τῶν τοιούτων μοναστηρίων αὐτοὶ ἐκεῖνοι κρατοῦσιν οἱ μητροπολῖται ἢ ἐπίσκοποι. τὰ δὲ καὶ δωρεὰν ποιοῦσι διδόντες πλεονεκτοῦσι τὰ χωρία καὶ ἀδικοῦσι καὶ ἐξαλείφουσιν. ἐπειδὴ πολλὰ τοιαῦτα πρὸ τοῦ ὀνόματος ἡμῶν ἐκινδύνευσαν. κελεύομεν ὅτι τὰ τοιαῦτα καὶ οὕτω γινόμενα ἐκκλησία δὲ εἴσω· οὐ δὲ γὰρ μοναστήρια λέγονται, ἵν' αὐτὰ πάλιν ἐπιστρέφωνται τοῖς πένησι. διὰ δὲ τῆς μητροπόλεως ἢ τῆς ἐπισκοπῆς μέρος ἐκ τοῦ ἔτους ἐκβάλληται. εἰ δὲ καὶ πρὸ τῶν τόπων τούτων ἐδωρήσαντο ταῦτα οἱ μητροπολῖται ἢ ἐπίσκοποι. ἵνα καὶ τὰ τοιαῦτα πράγματα ἔνθεν ἀποσπῶνται. εἰ τάχα ἐκ πολλοῦ ἔχουσι χρόνου τὴν δεσποτείαν αὐτῶν, οὐδὲν γὰρ ἰσχύει εἰς ταῦτα τοῦ χρόνου ὁ ἔλεγχος. ἀλλ' ὡς ἔρημα παρακληρούμενα. ἵνα τὰ τοιαῦτα ἐκκλησία τοῖς χωρίταις ἀποκαθιστῶνται, καὶ ὦσι καὶ εἰς τὸ ἑξῆς ἐκκλησία. ἀλλ' ὑπὸ τὰ χωρία καὶ καλόγηροι ἐν αὐτοῖς ὑπάρχωσιν. ὅτι καὶ πρότερον ὑπῆρχον. οἱ δὲ μητροπολῖται ἢ ἐπίσκοποι, μόνην τὴν ἀναφορὰν ἐν αὐτοῖς καὶ τὴν σφραγῖδα καὶ τὴν διόρθωσιν τῶν ἰδίως γινομένων σφαλμάτων παρὰ τῶν καλογήρων ἔχωσι. καὶ μήτε ζημίαν μηδὲν ὅπως οὖν ἄλλο ἐκ τούτων λαμβάνωσιν ὡς δῆθεν ἀπὸ μοναστηρίου. ἵνα δὲ ἀναγκάζωνται τὰ τοιαῦτα χωρία ἔχειν ἐν τοῖς δηλωθεῖσιν ἐκκλησίοις καλογήρους. ὅτι ἐκ πρότερον ἐν αὐτοῖς ἦσαν. εἰ δὲ εἴς τινα τῶν αὐτῶν ἐκκλησιῶν σολέμνια παρὰ βασιλέως ἢ φιλανθρωπίαι γεγόνασιν. ἔχουσι δὲ τὰ τοιαῦτα ἐκκλησία καὶ καθίσματα. εἰ τάχα καὶ δίκαιον οὐκ ἔστιν. ἀλλ' οὖν ἐπεὶ προνοίας βασιλικῆς ἔφθασαν ἀξιωθῆναι, ἵνα διαμένωσι καὶ εἰς τὸ ἑξῆς εἴτε ὑπὸ μητρόπολιν εἴτε ὑπὸ ἐπισκοπὴν ὑφ' ἣν καὶ νῦν εἰσιν, ἔχοντα καὶ πάλιν τὰ αὐτὰ καθίσματα. πλὴν ἵνα μὴ παραπέμπωνται εἰς ἕτερα πρόσωπα. διὰ τοῦτο γὰρ ἡ βασιλεία ἡμῶν οὐ δὲ μοναστήρια ὀνομάζει αὐτά. ἀλλ' ἐκκλησία τοῦ χωρίου, ἔχοντα ὡς ἔρημα καὶ καλογήρους. ὅσα δὲ πάλιν ἀπὸ χωρίων καὶ τοιούτου τόπου συνέστησαν μοναστήρια. ἔφθασαν δὲ πολλοὶ τῶν πλησιαζόντων ἐν αὐτοῖς ἀποκαρῆναι. ἀφιέρωσάν τε καὶ τὰς ἰδίας ὑποστάσεις ἐκεῖ, καὶ γεγόνασι μετὰ ταῦτα μεγάλα. καὶ εἰσὶν ἐν αὐτοῖς ἀνὰ ν̄ ἢ ῑ. ἢ ἐπέκεινα καλόγηροι. εἰ τάχα καὶ δίκαιον οὐκ ἔστιν, ἀλλ' οὖν συνδοκοῦσιν ἵνα ὦσι ταῦτα ὑπὸ τοὺς μητροπολίτας καὶ τοὺς ἐπισκόπους. καὶ ἵνα μηδὲν οἱ τοιοῦτοι διακωλύωνται. τοῦ δωρεῖσθαι καὶ παραπέμπειν αὐτὰ ὅπου βούλονται. πλὴν εἴτε πρότερον ἀλλὰ καὶ νῦν ἔχουσι τὰ τοιαῦτα ἐπέκεινα τῶν ν̄ ἢ ῑ καλογήρων.

καὶ ἱδρύουσι διὰ τῆς διαθέσεως ἧς ἔχουσι τούτοις διοικεῖν. οὐ γὰρ δύναται νέας ἐπι-
κλήσεις ποιεῖσθαι, καθὼς κελεύεται πρότερον παρὰ τοῦ προπάππου ἡμῶν καὶ βασιλέως
κυροῦ Νικηφόρου τοῦ Γέροντος. νῦν δὲ παρὰ τῆς βασιλείας ἡμῶν. ἀπὸ γὰρ τῆς παρούσης νομοθε-
σίας. καὶ πλείονας ἐὰν ἀφιερώσωσιν εἰς αὐτὰ καλογήρους, εἴτε μητροπολίτης εἴτε ἐπίσκο-
πος διὰ τὴν βασιλείαν ἡμῶν ἄρτι διορίζεσθαι ἵνα αὐτὰ μοναστήρια τὰ ἐπέκεινα-
δύο ἢ τριῶν καλογήρων ἔχοντα. εἴ τάχα καὶ τὴν ἐξαρκοῦσαν τοῖς τοιούτοις μοναχοῖς γῆν ἔ-
χουσιν. οὐδὲ χρώμεθα ταῦτα. ἀλλ᾽ ὡς εἰς ἀνακοινώσεις χωρίων γενόμενα δηλητήρια λογιζό-
μεθα οἷα καὶ προσῆκε, καὶ ὑπὸ τὰ χωρία πάλιν αὐτὰ ποιοῦμεν. τὰ δὲ ἰδιόσατα καὶ ὅσα
μεγάλα μοναστήρια ἐκ παλαιοῦ ἦσαν. εἴ τάχα καὶ καλογήρους ἄρτι πολλοὺς οὐκ ἔχουσιν.
ἀλλὰ τὴν ἀμείψας τοῦ μητροπολίτου ἰσχυροῦ ἢ τοῦ ἐπισκόπου, χωρὶς καλογήρων εἰσί. διοριζόμε-
θα ἵνα καὶ πάλιν ταῦτα ὑπὸ τὰς μητροπόλεις καὶ τὰς ἐπισκοπὰς ὑπάρχωσι, καὶ χαρίζω-
σι ταῦτα καὶ παραπέμπουσιν οἱ μητροπολῖται καὶ οἱ ἐπίσκοποι ὅπου καὶ θέλουσι.
Πρὸς τούτοις θεσπίζομεν ἵνα μὴ ὁ ἐλεγχόμενος κατὰ τοῦ δημοσίου, δυνάμενος ἀποκλείειν Περὶ τοῦ ἵνα μὴ ὁ ἐλεγχόμενος κατὰ τοῦ δημοσίου:-
τὸ δίκαιον τούτου. ἀλλ᾽ ἵνα ὁ ῥηθεὶς δημόσιος ἀνακαλεῖται τὸ ἴδιον δίκαιον ἀπὸ αὐ-
γούστου καὶ βάρος καὶ δικαιοῦται περὶ τὴν τούτου ἀνάληψιν. πολλὰ γὰρ εἰσὶ τὰ συνιστῶντα
τούτου ἐκζητεῖν δι᾽ ὅλου τὰ ἴδια. προσθεῖναι δὲ τὸ μὴ δύνασθαι ἢ ἐξαρκεῖν τοῦ κρατοῦν-
τα τούτου βασιλέα πάντα ἐκεῖνον ἐπισκέπτεσθαι καὶ ἐπιτηρεῖν. διὰ τὸ πολυάσχολον
καὶ πολυφρόντιστον τοῦ κοινοῦ. καὶ τὸ μυρίαις πανταχόθεν περιστοιχίζεσθαι φροντίσιν.
ἔπειτα δὲ τὸ ἀνατίθεναι τὰ τούτου τοῖς ἐξερχομένοις εἰς τὰ θέματα. ὅθεν δῆλον ἐστίν.
ὡς ὅσα μὲν οἱ τοιοῦτοι καλῶς ἐκ δικαιοσύνης καὶ μὴ πρὸς περιγραφὴν τοῦ δημοσίου
ποιοῦσι. βέβαια καὶ κεκυρωμένα ἔσονται. ὅσα δὲ παρανόμως καὶ πρὸς περιγραφὴν αὐ-
τοῦ, ἀνίσχυρα μένουσι. μᾶλλον δὲ εἴ τι καὶ ὑπὲρ τοῦ δημοσίου ποιήσουσι. ἐπειδὴ
ὅταν ὁ βασιλεύων λαχεῖν βουληθῇ. ἵνα ἔχῃ ἐπὶ ἀδείας τὰ τοιαῦτα ζητεῖν. καὶ ὡς ἀρεσὸν
αὐτῷ ταῦτα διοικεῖν. ἄλλως τε δὲ οὐδὲ ἀφαιρεθήσεται ὡς ἀπεικότως μέλλει δῆλα δέ,
καὶ οὐκ ἐξῆλθεν ἐπόπτης ὁ βασιλικός, ζητῶν τοῦ τοῦ δημοσίου δίκαιον. εἰ δὲ
ὁ τοιοῦτος πρὸς οὐσίαν καὶ τὸ ἀνακαλεῖσθαι τὰ τοῦ δημοσίου ἀποστελλόμενος δίκαι-
α. αἰσχροκερδὴς καὶ δολερὸς εὑρισκόμενος. παρὰ δὲ τὸ ταῦτα ἐπιζητεῖν καὶ ἀ-
ναρρύεσθαι. πλεονεκτικῇ καὶ πονηρᾷ γνώμῃ προσθείσης μᾶλλον τῶν ἐκείνου δικαί-
ων ἀναφανῇ, οὐδὲν παρὰ τοῦτο καταπεισθήσεται ὁ δημόσιος. ὁ μηδέποτε παυσά-
μενος τὸ ἑαυτοῦ δίκαιον ἐκζητεῖν. καὶ τοῦτο ἐπ᾽ αὐτῶν τῶν ὑπερτέρων πραγμάτων ὁρίζει
ἡ βασιλεία. ὡς καὶ οἱ ἐπόπται καὶ οἱ ἄλλως προνοούμενοι τοῦ δημοσίου καὶ εἰς δι-
καστὰς ἀποστελλόμενοι. μυρίους κατ᾽ αὐτοῦ τεχνάζονται δόλους. καὶ ὀλίγοι δὲ εἰσὶ

περὶ φόνου

οἱ τὰς προστάξεις ἡμῶν ἐκπληροῦντες. Ἐπεὶ πᾶσι δὲ τοῖς ἡρμηνευμένοις, καὶ τοῦτο προστί-
θεμεν ἡ βασιλεία καὶ νόμος παγκοινός ἐστι τοὺς ἀσπαθαρείους, καὶ τοὺς ἀνωτέρω τύπων τῷ φονι-
κῷ περιπίπτοντας μόνον μὴ ἀποθνήσκειν ἀλλ' αἰκίζεσθαι· παιδεύεσθαί τε καὶ ἄλλα ὅ-
σα ὁ νόμος ἐκείνῳ διαγορεύεται· ἀλλ' οὐ τοὺς φανερῶς ἐπερχομένους φόνους δόλους, ἢ
συνωμοσίας, ἢ συσκευὰς, ἢ ἐπιθέσεις πρὸς τὸ μόνους ἄξιον τοῦτο ἔργον ποιοῦντας ἢ
τοὺς ὑπηρετουμένους αὐτοῖς προκατάρχοντας, καὶ τὸ πονηρὸν ἐκτελοῦντας τοῦτο· μη-
δὲ ἀπὸ τοῦ ἀξιώματος ὠφελεῖσθαι· ἀλλ' ὡς ἀναξίους καὶ ἀτίμους κολάζεσθαι καὶ ἀ-
ποθνήσκειν. πλὴν τοῦτο λέγομεν γίνεσθαι· ὅταν ἡ συσκευὴ ἐκ μελέτης καὶ δόλου καὶ
ἡ συνωμοσία καὶ ἡ ἐπίθεσις, ἀπὸ φανεροῦ καὶ ἀπὸ πονηρᾶς γνώμης ὑπάρχωσι. ἐν
πᾶσι καταφανὴς ᾖ, ὡς προσέτι καὶ συναινετὸς καὶ δῆλος αὐτῶν. ἢ τέλεως συνέστη,
καὶ τὸν προβάντα φόνον ἐνήργησεν· εἴτε οἱ ὑπηρετούμενοι αὐτῶν· διὰ τὴν ὑπάρξασαν
μετὰ τοῦ πρὸς αὐτοῦ τε καὶ τοῦ φονευθέντος διαμάχην καὶ φιλονεικίαν τοῦτον ἐτέλεσεν.
ἢ αὐτοὶ ἐκεῖνοι οἰκειοχείρως τὸ τοιοῦτον ἀθέμιτον ἔργον εἰργάσαντο, ἢ ἄλλους γνωστοὺς
αὐτοῖς καὶ φίλους, προτρέποντες γενέσθαι.

περὶ τῶν χρυσοβούλλων

Ἐπεὶ πᾶσι δὲ τοῖς ἀνωτέρω ἡρμηνευμένοις ὁ-
ρίζομεν καὶ τοῦτο· ἐπεὶ χρυσόβουλλα πολλὰ γεγόνασιν, ἀφ' οὗ ἡ βασιλεία ἡμῶν τῆς
αὐτοκρατορικῆς ἐπέβη ἀρχῆς· μέχρις οὗ ὁ πρόεδρος Βασίλειος καὶ παρακοιμώ-
μενος κατέβη. εἰς δὲ τοὺς τοιούτους χρόνους, οὐ τὰ δοκοῦντα ἡμῖν ἐγίνετο· ἀλλ' ἡ ἐκεί-
νου ἐν πᾶσι θέλησις ἐνήργει καὶ πρόσταξις. παρακελευόμεθα τὰ ἐν ἐκείνοις τοῖς χρό-
νοις γενόμενα χρυσόβουλλα, πάντα ἄκυρα μένειν καὶ ἀνενέργητα. ὅσα δηλονότι μὴ
προεκομίσθησαν ἐν τῷ τέλει τῆς βασιλείας μου, καὶ τὸ ἐπηρθη ἐν αὐτοῖς ἐγράφη. ἡ γὰρ
βασιλεία ἡμῶν, ἡνίκα τὸν δηλωθέντα πρόεδρον καὶ παρακοιμώμενον κατεβίβασε,
πρόσταξιν ἐξέθετο· ἵνα πάντες τὰ τοιαῦτα προσκομίσωσιν ἔχοντα τὸ ἐπήρθη οἰκει-
οχείρῳ ἡμετέρᾳ γραφῇ προστεθειμένον ἐν τοῖς τοιούτοις. ὅσα δὲ οὐ προσεκομίσθησαν. οὐδὲ
ἐδέξαντο τὴν βεβαίωσιν, ἄκυρα καὶ ἀβέβαια ἔστωσαν. ὡς
νόθα καὶ ψευδῆ. εἰ γὰρ ἀληθῆ ἦσαν, προσε-
κομίσθησαν ἂν παρὰ τῶν ἐχόντων
αὐτά:

Σισίννιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως
νέας Ῥώμης. εἰς τὴν ἐπ' ὀλέθρῳ τοῦ γάμου ἐπιφρυάξασαν ἤδη
τῷ τοῦ Χριστοῦ ποιμνίῳ ἀθεμιτογαμίαν· εἴτουν αἱμομιξίαν· καὶ πυ-
ρὸς δίκην πυρπολοῦσαν τὰ σύμπαντα· ἥτις, Θεοῦ χάριτι νῦν κα-
νονικῶς καὶ νομίμως συνοδικῇ ἀποφάσει ἐκωλύθη· κατὰ
τὴν εἰκάδα α' τοῦ Φεβρουαρίου μηνὸς τῆς ἐνεστώσης ι' ἰνδ. ἐν ἔτει ϛφε':—

Καὶ ἰατρὸς ἡ δίων ἐκεῖνος καὶ πολλοῦ ἄξιος πόλεσιν· ὅστις λοιμοῦ προσβάλλειν ἐπι-
γομένου· πρὶν εἰς πλάτος τὸ κακὸν διωθεῖν, πέρας τῆς νόσου λαβεῖν οὐκ ἐᾷ· δίαιταν
δὲ ὑποτιθέμενος ἄνοσον, ταύτῃ τοῖς σώμασι ῥῶσιν ἀκίνδυνον πραγματεύεται· ἐπεὶ
ἅπαξ εἰσπηδήσασαν ἔνδον καὶ τὰ σώματα δίκην πυρὸς νεμομένην, μόλις ἂν δυνη-
θείη ἀναστεῖλαι καὶ ἀπηλάσαι τῆς ἐπιστάσεως αὐτῷ ἀναγκαίως πάντοθεν περιχωρούσης
δὲ σφοδρᾶς τοῦ παθήματος. καὶ ψυχῶν ἰατρός, ἐκεῖνος ἀντὶ τούτων εὐχερῶς ἀδίπνοι
ἡ τοῦ, ὅστις παντοίως αὐτὴ πρὶν εἰς κορυφὴν τὴν νόσον, προφυλακτικὰ θεῖα λόγου
φάρμακα κερασάμενος· καὶ μὴ ἐάσας πανδήμου ταύτην κατακρατῆσαι κατὰ τῆς φύσεως.
ἤδη δὲ τοῦ δεινοῦ εἰς φθαρέντος· καὶ χρόνου συχνοῦ τὰς τῶν πολλῶν πολλάκις ἐπινε-
μηθέντος ψυχάς, ἐργάζεται ἀλλ' οὐκ εὐχερὴς ἡ βοήθεια· καὶ τὰ ἐπὶ τούτῳ δυσμεταχεί-
ριστα φάρμακα· ἀλλὰ τοῖς μὲν αὖθις φυλαξομένοις τὸ πάθος, προσήγορος ἡ θεία. ἐν
τῷ διαφυγεῖν τὸν ὄλεθρον, ἐάσαντες· οἱ δὲ φθάσαντες περιπεσεῖν τῷ δεινῷ, ἀπηλθον οὕτω
τὴν ἐκ τῆς νόσου βλάβην διαπαλλάττοντες ἑαυτοὺς καὶ ὅλην ἀπομορξάμενοι. ὥσπερ οὖν
τῶν κακῶν τινὶ περιπεπτωκότι τὸ τοῦτο διαφυγεῖν, τοῦ σὺν καλῷ ὀρυχθῆναι αὐτῷ κρεῖττον.
καὶ τὸ ἀναστεῖλαι βαδίζουσαν νόσον καὶ πάνδημον κατὰ σωμάτων κυμαινομένην, καὶ πᾶσαν
ἡλικίαν βοσκομένην καὶ γένος· τοῦ ἐᾶσαι χωρεῖν ἀνεπικωλύτως ἐστὶν αἱρετώτερον, οὕ-
τω καὶ πάθους ἐπὶ λύμῃ καὶ σηπεδόνι ψυχῶν ἐμπεσόντος ἀνακόψαι σπεῦσαι τὸν
ἐκ τούτου ἐπιφυόμενον ὄλεθρον, ἐπαινετὸν ὁμοῦ καὶ Θεῷ ἀρέσκον καὶ τοῖς λογικοῖς
ποιμέσιν ἡμῖν, προσφορώτατε ποιεῖν καὶ ἁρμόδιον. ἐπεὶ τοίνυν τὸ τοῦ Χριστοῦ λαοῦ οὖν
δὲ οἰκείῳ οὕτως ἐξηγόρασεν αἵματι. τὸ ἅγιον ἔθνος· παρὰ μὲν τὸ διδασκαλίου τῶν
θείων καὶ ἱερῶν ἀποστόλων, καὶ τῶν μετ' αὐτοὺς αὖθις ἁγίων πατέρων· οἵους τινὰς θείοις
νόμοις πάντοθεν περιεχαράκωσεν ἀλεπτοὺς· ἱερῶς ἤδη καταφυλαχθῆναι τὸ πᾶν
τε εἰς τὸ εἶναι περιγαγοῦντι Θεῷ. περικόπτουσι πάντη καὶ ἀποκαθαίρουσι τὰ ἐπὶ λύμῃ
τῆς φύσεως ἀρρωστήματα, καὶ πᾶσαν ὁρμὴν ἀπὸ ἐθνικοῦ βίου ταῖς φυσικαῖς ἐπι-
θυμίαις δουλοῦσαν· καθάπερ τινὰ ποτάμιον ῥοῦν ἐφύβρει τῆς ἀρχετύπου ἐκεί-
νος φερόμενον, ἀνεχαίτισε καὶ ἀνέστειλε· πρὸς δὲ ταῖς θείοις κανόσι καὶ νόμοις πο

μοι πολιτικοί, τοῖς κατὰ τὴν εὐσέβειαν στοιχοῦσι· μακρὰν δὲ τῶν δεόντων ἐκτραχηλιζο-
μένοις, ὅσοι μέραι τὴν μάχαιραν ἐπισείουσι. τοῦτο ἐξ ἡμῶν τὸ ἅγιον ἔθνος, ἐν καθαρῷ
δὲ ζῶντος τῷ βίου σεμνῷ. καὶ μηδὲν τῶν ἀπηρημένων ἐπιτελεῖσθαι τούτῳ. καὶ τοῦ ἡμετέ-
ρου βίου καταθολοῦν. εἰσὶ μὲν γὰρ κανόνες καὶ νόμοι πολιτικοί, βίου πνευματικοῦ ἔθη
ζεστά. τὸ ἐκ χρόνου τῆς ἀγνείας καθοπλίζοντες φύσεως, ταῖς διανοίαις ἡμῶν ἀρχῆ-
θεν ἀπολιορκήτους καθιδρύουσιν. ὥσπερ ἔχοιεν δὲ ἀπερισκόπητον τοῦ βίου, ἀξίαν τι-
κτῆσθαι ἐν παντὶ καιρῷ τὴν πολιτείαν ἐνδείκνυσθαι. καὶ ἐπεὶ εἶξαν καὶ ὑποβάθραν
τοῦ γένους καὶ τῆς ἡμετέρας φύσεως ἐργαστήριον τὸν σεμνὸν γάμον ἠλέγχθη ὄντα. ἵνα τὸ
καθαρὸν ἐξ αὐτῆς ἤδη τῆς εἰσόδου, καὶ τὸ ἀμόλυντον ἔχοι. καὶ μὴ τοῖς μυσαροῖς περιρραν-
τίσμασι καταρραίνοιτο. δεινὸν γὰρ εἰ τῷ σίτῳ συγκατασπείρεσθαι καὶ τὸ ζιζάνιον, παντοίαις λο-
γισμῶν φοραῖς τε καὶ ἐπιτάσεσι καταχωρεῖσθαι. μακρὰν τοῦ νομίμου γάμου τὸ ἀθέμιτον
διαστέλλοντες. καὶ τοῦτο μὲν ἐκκλείοντες. καὶ τοῖς κατ' αὐτὴν ἤδη τὴν τῆς φύσεως ἀνάγκην τοῦ
ἐπιζύγου βίου ἀσπαζομένοις. προσμηνύοντες ὅσον ἐπὶ τούτῳ καὶ ἐκπληττόμενοι. τὸ δὲ
ἀπωθεῖσθαι πείθοντες τοὺς τῆς ἑαυτῶν συζυγίας παντοίας καὶ ἀποξενοῦσθαι. πά-
λαι μὲν γὰρ δὲ τὴν σφραγῖδα λαχοῦσι τὴν περιτομὴν καὶ οἰκείαν ἑκάστῳ φυλῇ τὰ τοῦ
γάμου ἐπρυτάνευε. ἀποκλείοντος τοῦ νομοθέτου τὴν τῶν ἐθνῶν πρὸς τούτους ἐπιμιξίαν
καὶ οἷον ἀνάκρασιν. γένους δὲ τὴν τοῦ γένους οἰκείωσιν ἀξιουμένου. ἡ πρὸς τούτους τοῦ
γάμου ὁδὸς ἀναφερομένη καὶ ἀναπλεκομένη, ἀκώλυτος ἦν. ὡς δὲ ὁ λαὸς ὁ τοῦ περιου-
σιος. ἐθνικὰ τὰ ἡμᾶς προσλαβόντος καὶ οἰκειωσαμένου ἑαυτῷ, πάντα τὰ ἔθνη γεγόναμεν·
καὶ χήρας ἡ τοῦ προφήτου χαρμονικῶς ἐκρότησε. καὶ νέοι πάντες γεγόναμεν τὴν λ.
καὶ πάντας ὁ δημιουργήσας τὰ πάντα, ὃς ἐν συναγαγὼν τοὺς συνάπτων ἡμᾶς τῇ τῆς
ἀγάπης πρὸς ἑαυτὸν καὶ ἀλλήλους βουλόμενος ἕνωσιν. τὰς ἐνδόθεν πύλας τοῦ γά-
μου, καὶ τὴν πρὸς συγγένειαν ἀποκλείσας ὁδόν, τὰς ἔξωθεν πᾶσιν ἀνέῳξε διαβάσεις,
τοῖς κατῳκημένοις ἐπὶ πρόσωπον πάσης τῆς γῆς. καὶ δὴ ἐπὶ τούτῳ τὸν γάμον χαρι-
βουλομένοις, ἡ οἰκουμένη πᾶσα ἀνέῳκται. ὥσπερ ἡ πρὸς συγγένειαν ἅπασα παρα-
θέσεις ἐπεζύγωται νόμοις καὶ ἀποκέκλεισται ὁδός. τοὺς τοίνυν ἀθεμίτους τῶν γάμων
τοὺς νόμους οἱ γεγραφότες. τοὺς μὲν, ὀνόμασι ῥητοῖς διέστειλαν. τοὺς δὲ, τῷ τῆς ἀκαθαρ-
σίας διαλαβόντες ὀνόματι γενικῷ, ἀφῆκαν καὶ παρεσιώπησαν. τὸ σεμνοῦ πάντως
φροντίζοντες· καὶ μὴ ἐπὶ μακρῷ καὶ καθ' ἕκαστον τὴν γλῶτταν καταρρυπαίνειν ἐθέ-
λοντες. οἷς καὶ ὁ μέγας ἀπόστολος Παῦλος συνᾴδει, πορνεία δὲ καὶ ἀκαθαρσί-
α πᾶσα, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν καθὼς πρέπει ἁγίοις. δὲ τῆς ἀκαθαρσίας ὀνόμα- Paulus ad Ephes. cap. 5.
τι πᾶσαν ἀθεμιτογαμίαν καὶ ἀρρητοποιΐαν περιλαμβάνων. καὶ οὐ πάντως ἴστω

πὶ τοῖς μέλλουσιν ἐν τούτοις ἔσεσθαι ἄδεια· ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐπιτελεσαμένοις τὸν γάμον, ὁ νόμος οὐκ ἀφῆκε ῥᾳδίως ἐπιπηδᾶν· ἀλλὰ κατὰ γὰρ ἐν τοῖς γάμοις, οὐ τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς δεῖ σκοπεῖν. οὕτως περὶ τὸ ἀρρύπαντον τῆς φύσεως καὶ παντὸς ἔχειν ἀνέγκλητον, καὶ θεῖοι πατέρες κανόσι, καὶ νομοθέται νόμοις διησφαλίσαντο. ὁ δὲ περὶ τὸν ἡμέτερον πόλεμον δεξιὸς μαχητής, καὶ πρὸς ἀκριβεστάτους πολιορκίας ψυχῶν διασκεδασμάτων καὶ βιαιότατος ἀνταγωνιστής. μετὰ τῶν ἄλλων οἷς πολλάκις ἐπαναστὰς καὶ κοινῇ καὶ ἰδίᾳ τὸ σεμνὸν ἀνορύττων τοῦ γάμου φιλονεικότερον ἐκίνησε. καὶ τοῦτο λαθὼν ἐπεισήγαγεν. ὥστε πολλοὺς ἐν οὐδενὶ τίθεσθαι ἀδελφοὺς ὄντας, εἰς γάμον ἑαυτοῖς δύο ἐξαδέλφας λαμβάνειν. τοῦτο δὲ καταφανῶς καὶ ἀνεπικωλύτως, μετὰ καὶ ἱερολογίας ποιεῖν. ἢ δυσὶν αὐταδέλφαις ἐξαδέλφους αὐτῆς, ὡς ἐπὶ νομίμῳ γάμῳ συνέρχεσθαι· ἢ θεῖον καὶ ἀνεψιόν, ἀδελφαῖς συνάπτεσθαι δυσίν· ἢ ἀδελφοὺς δύο, τῇ ἐπαφῇ θείᾳ τε καὶ ἀνεψιᾷ. τὸ δὲ τοιοῦτον ἄτοπον ἐπὶ τοῦ γάμου σεμνοῦ καταχωρηθέν, ὑβρίζον τὴν φύσιν ἐλάνθανε. διὰ τοῦτο ἡ μετριότης ἡμῶν τοῖς ἀθεμίτοις τούτοις πράγμασι συνοικεσίοις, μετὰ τῆς ἱερᾶς τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων συνδιασκεψαμένη συνόδου· καὶ τὸ βάρος τῆς ἀπειλῆς φοβηθεῖσα κείμενον· ὅτι τοῖς μὴ ἀναστέλλουσι τὸν λαὸν τὴν ἐρχομένην ἐκ ῥομφαίαν ἠπείληται, ἔγνω καὶ ἐδοκίμασεν ἀναγκαίαν ... θεραπείαν ἐπινοῆσαι κατὰ τοῦ κακοῦ· ἵν᾿ οἱ μὲν ἐγχωροῦντες, ὡς τάχει ἢ διαμαρτυρίαν τὴν ἀπόφασιν ἔχοιεν. τοῖς ἄλλοις δὲ, προφυλακτήριον εἴη τοῦ μέλλοντος. ἐντεῦθεν διοριζόμεθα· μηκέτι ἀπό γε τοῦ νῦν τοιοῦτόν τι περὶ τοὺς γάμους τολμᾶσθαι πονηρὸν πρᾶγμα καὶ περὶ τοὺς ἐξ αἵματος ἀδικεῖσθαι· ὅθεν δὲ πονηρόν, καὶ αὐτῇ πολεμοῦν καθόλου τῇ φύσει· καὶ συγχέον ταύτην πρὸς ἑαυτήν· ἐντεῦθεν τὲ καταμάθοι καὶ διασκοπήσοι τρανότερον. ὁ ἱερὸς καὶ μέγας Βασίλειος, ὁ καὶ τὰ βάθη τοῦ πνεύματος κατὰ τὴν θεολόγον φωνὴν ἐρευνῶν· οὗτος περὶ τινος ἀθεμίτου γάμου διαλεγόμενος, ὅτι τὸ μὲν γνώρισμα δίδωσιν· ἐν δὲ ταύτῃ τῶν ἀθεμίτων γάμων, ἐκ δίας τῶν νομίμων ἀποκλεισθήσεται· ἐν οἷς λέγων τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. πῶς οὖν ὁ ἐπὶ τοῦ παρόντος γάμου τὰς προσηγορίας ἁρμόσει τις. οἱ μὲν γὰρ ἀδελφοὶ κατὰ τὸ αὐτό, καὶ ἀδελφοὶ καὶ συγγαμβροὶ προσαγορευθήσονται. ὥσπερ οὖν αἱ συναφθεῖσαι τούτοις εἰς γάμον, ἐξαδέλφαι ἅμα καὶ σύννυμφοι. τὰ δὲ ἀπὸ τούτων τεχθησόμενα τέκνα, ὁποίας συγγενείας οἱ τεκόντες προσαγορεύουσιν· ἀπὸ μὲν γὰρ τῶν ἀδελφῶν, ἡ τοῦ δευτέρου βαθμοῦ τούτοις ἁρμόσει προσηγορία, ἐξαδέλφους προσαγορεύεσθαι· ἀπὸ δὲ τῶν μητρῶν, ἡ τοῦ μᾶλλον ἔσται κατάλληλος· διὸ ἐξαδέλφους γὰρ

Ν.

Basilius.

ἂν προσώπων δικαιότερον. καὶ ἡ τῶν ὀνομάτων ἀκατάλληλος σύγχυσις, τὴν τοῦ ἀθεμίτου γάμου παρανομίαν κατὰ τὸν ἐν ἁγίοις πατέρα Βασίλειον καταφανεστέραν ἀποδείκνυσιν. ἀλλ' ἴσως φήσει τις συνηγορῶν τοῖς, ἀνάσσας ἐργ. πυθόμενος δῆθεν. διατί μὴ τοῦτο τῶν γεγραμμένων τοῖς ὀνομαστὶ κεκώλυκε νόμος. ἀδελφὰς λέγων τὰς ἐξ ἀδελφῶν γεννωμένας εἰς κοινωνίαν γάμων μὴ προσλαμβάνεσθαι. καὶ διατί φησὶ καὶ ἔθος πεπαλαιωμένῳ χρόνου τοσούτου εἰς συνήθειαν λαβόντι, ἀντινομοθετεῖς. λόγων στροφαῖς καὶ δεινότησι κλέπτων τὴν ἀκοήν, καὶ τὸ πρᾶγμα καταβιαζόμενος. καὶ ὑπεύθυνον ἄγων, τὸ ἀπὸ τῶν νόμων ἀνεύθυνον. ἀλλ' οὐκ ἔστι. ὁ γὰρ τοῦ πρὸς

*Basilius.*

τοῦτο τὴν ἁμαρτίαν ἔλεγχον πάλαι προενομοθέτησε Βασίλειος. οὐ νόμος ἡ γλῶττα ἡ ἐκκλησιαστική. καὶ ὁ τῶν ῥημάτων φθόγγος, θεόγραφοι πλάκες δακτύλῳ ἐγκεχαραγμέναι θεοῦ. ὁ γὰρ ἄλλο ἕτερον νομοθετεῖν ἐν τούτοις, οὐκ οἶδα εἰ σωφρονέστερον οὗτος τὸ ἐκεῖ σωφρονεῖν. εἰ δὲ καὶ δεῖ μὲν, μυρίαν γεγράφθαι μυρίων πρὸ οὐδενὸς τῶν πρώην περὶ τοῦ πράγματος, οὐδ' οὕτως ἂν ἀλόγως ἔδει ἀποκινεῖσθαι τὸ ἁμάρτημα τοῦτο τῆς ἐκκλησίας, τοῖς μὴ περὶ τὴν κρίσιν δικάζουσι δόξομεν. οὐ γὰρ περὶ σωφροσύνης νομοθετοῦσι, γυναικός τε μοιχείαν, καὶ βίαν ἐκπορνευσάμενοι κόρης, οὐ προσετέθησαν δὲ θυγατέρα πατρὸς αὐτοῦ διαφθειρόμενος, ὁ τοιοῦτος παθών. ὡς οὔτε ἐκδήλως τὰ τοιαῦτα τολμώμενα. κἂν ἄρα πραχθῇ, πρόδηλον οἶον ὡς δίκην ὑφέξει τῶν ἐλαττόνων τιμωρουμένων. ἄρα δὲ μὴ τοῦτο νόμοις κεκώλυται ἐκδήλως τοῖς καταπράξουσι; ἢ τολμῶντας, οὐχ ἕξει τὸ ἐπιτίμιον ἐργαζόμενον; οὐκ ἂν φαίη τις σωφρονῶν. ὥσπερ γὰρ τοῦ νόμου ἐκείνου σιωπωμένου, οὐ δίδωσι χώραν ἡ σιωπὴ τολμηρῶς ἐφεῖναι κατὰ τῆς φύσεως, οὕτως οὐδὲ τοῦτο ἴσως παραγραφθέντος ὅπου καὶ παρεγράφη, ἄδειαν ἕξει τις ἀνεπικωλύτως ποιεῖν. καὶ ταῦτα χριστιανοὺς ὄντας ἡμᾶς, καὶ ἀκροατὰς ὄντας ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου κατὰ τὸν ἀπόστολον παράγον.

*1a ad Corinthios Cap. 7.*

ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσι, καὶ διότι οὐ δὲ παρεγγέγραπται. ἀλλ' οἷς ἐρρήθη κεκώλυται. οὐ γὰρ τὸ ἐπιτετραμμένον φησὶν ἐν τοῖς γάμοις δεῖ σκοπεῖν, ἀλλὰ καὶ τὸ εὐπρεπές. καὶ ὁ ἱερὸς αὖθις καὶ μέγας Βασίλειος καθὼς εἴρηται. ἐν οἷς φησὶ τὰ τοῦ γένους συγχέονται ὀνόματα, ἐν τούτοις ὁ γάμος ἀθέμιτος. ὥσπερ γὰρ ἡ τῶν διὰ γάμου συναπτομένων ἕνωσις οὐκ οἶδεν ὅλως διαστολήν. ἀλλὰ σὰρξ ἀμφότεροι μία γνωρίζονται. ἔσονται γάρ φησιν οἱ δύο εἰς σάρκα μίαν, οὕτω καὶ οἱ κατὰ γένος ἑκατέρῳ προσήκοντες, ἀκολούθως δικαίῳ συγγενείας ἐπισυνάπτονται. καὶ εἰς μίαν ἁρμόζονται ἀγχιστείας αἰτίαν καὶ οἰκείωσιν. ὡς ἀναγκαῖον εἶναι τούτοις διαλαβέσθαι καὶ διεστάναι, ὡς ἀφηγεῖται τὴν εἰς ἀλλήλους γαμικὴν ἐπιμιξίαν καὶ συμπλοκήν.

οὐ γὰρ ἐνὸν ἀποστῆναι πρὸς πάντα οἰκεῖον σαρκός, διὰ τὰς συντοχύσεις καὶ συγχύσεις
τοῦ γένους· προσθεῖναι τὸ ἐπαινεῖσθαι ὡς ἀτεχνῶς κανόσι καὶ νόμοις ἀσφαλισθέν, ἀλλὰ
παραλήψεται ὡς καὶ διὰ τὸ δόξαι ἀνεύθυνον. ἐπεὶ γὰρ τοὺς συντομοῦντας τοῦ πάθους
χρόνου, τούτῳ ἐπάγεσθαι ῥᾴδιον. ὅτι τοῖς ἀσελγαίνειν ἐθέλουσι καὶ τοῖς διαμεμετρημένον ἔ-
χουσι βίον· οὐδεμία τις ἀπὸ χρόνου πάντως ἔσται βοήθεια. οὐ γὰρ μοιχοῖς, ἢ λωπο-
δύταις, ἢ τοιχωρύχοις, ἢ ἑτέροις πως ἀδικοῦσιν, ἂν ἐπ' αὐτὸ φορᾷ ἀγάγοισιν, ἀρκέσει
πρὸς ἀσφάλειαν τὸ ἀπὸ χρόνου μακροῦ ταῦτα καταπραττομένους αὐτοὺς ἔχειν ἀποδεικνύ-
ειν· ἔμπαλιν μὲν οὖν καὶ μείζονα ἐπάξει τὴν καταδίκην, πρὸς τὸ δοῦναι δίκας τῶν πλημμεληθέν-
των· οὕτω τε ἄρα καὶ τὸ παράπαν πεπλημμεληκότες ἀπὸ τοῦ χρόνου διαλανθάνουσι· δη-
λοῦται τὸ σεμνόν, τὸ ἀσέμνου περιττότερόν ἐστι. καὶ τὸ ἐκείνου δεύτερον, ἡ ἀπολογία.
καὶ ἡ ἕξις ἀπ' αὐτῆς ἐργασίας περιττοτέρα· καὶ τὸ σωφρονεῖν ἐπὶ γάμῳ, τὸ τὴν ἀθεμί-
του καταβλάπτειν, τῷ χρόνῳ ἐπικρατέστερον. ἵνα οὖν βοηθὸς ἕξει ἐστὶν τὸ κακόν, χρό-
νῳ ἐπικυλινδεῖσθαι μακρῷ τινι καὶ ἀπειρόκαλον ἐπὶ λύμῃ ψυχῶν. ἵνα δ' ἑτέρους εἴ-
ποι τις ἀθεμίτους τῶν γάμων, τοὺς παρόντας διαγραφόμενος· ἐπεὶ γὰρ τῶν ἀνιόντων
καὶ κατιόντων, εἰς ἄπειρον αὐτὸν ὁ νόμος τὰ τῶν γάμων ἐκώλυσεν· ἐπὶ γὰρ τῶν ἐκ
πλαγίου ἀδελφοῦ, ἐξαδέλφου· καὶ τῶν ἀποκαθισταμένων ἐν τούτῳ, ἕως τέλους τε-
τάρτης γενεᾶς. οὐκοῦν, οὐδὲ τὸ ἀθεμίτως ἀνακραθὲν αἵματος εἰς ἑαυτὸν προσπλεκό-
μενος· ὅλως εἰς κοινωνίαν γάμου δυσὶν ἀδελφοῖς ἢ ἀδελφαῖς ἀνακεραθήσεται πρὸ
τοῦ διαιρεθῆναι αὐτὴν τὴν ἐξ αἵματος ἄνωθεν ἀναπλεκομένην σειράν. πρὸς δὲ τού-
τοις ἐκεῖνο ἐπάγεσθαι· ἐπὶ παντὸς ἔργου καὶ πράγματος τὸ μὴ ἀποδοχῆς ἄξιον εἰς ἔργον
ἐκβαῖνον ὑπεύθυνον· καὶ τὸ ἐν ἐπαίνου μέρει τοὺς μὴ πράττοντας ἔχον, ὑπεύθυ-
νον ἀλλὰ τοὺς αἱρουμένους ποιεῖ· οὐ τοίνυν χώραν ἔχει τὸ λέγειν τὸν τοιοῦτον γάμον
ἀνεύθυνον· οὐ γὰρ οὐ μόνον ἀνεύθυνος, ἀλλ' εἴπου τις ἐξετάσει διασκοπῶν, μεῖ-
ζον τὸ ἔγκλημα ἐν τούτῳ τῆς ἁμαρτίας, καὶ τὸ κακὸν τῶν ἄλλων ὀλεθριώτερον. καί τοι
μὴ θορυβείτω τὰ μείζονά πως ἐφόλκια γίνεται. καὶ τὸ ἐκ φόνου, κακὸν ἧττον ὁ θυ-
μός. ὁ δὲ ἐγχειρήσας ἐπὶ τούτῳ καὶ ῥᾳδίως ὑπὸ πάθους κρατούμενος, τάχα που καὶ τὸ
πλῆθος. εἶτα περιιόντος τοῦ χρόνου, καὶ πρὸς μανίαν ἐσχάτως χωρεῖ. καὶ τὸ
ἐν ἅπασιν ἐπιβάλλειν τὸν ὀφθαλμόν. πρὸς ἄλλην φύσιν ἀκολουθεῖ. εἶθ' ἑκάστης δὲ οὐ μὴ
ἐπιτηδείου, τάχα δὲ τὸ μὴ προσηκόντων πράξειν ἰδὼν θαυμάσει. εἶτα θαυμά-
σας, ἐπιθυμήσει· καὶ περιιόντος τοῦ χρόνου τοὺς ἡνιοχοῦντας ἐκκυλισθεὶς λογισμούς,
τῷ πάθει δουλώσεται. ὁρᾷς ὅπως τὰ ἥττονα τῶν ἀδικημάτων αἴτια γίνεται τῶν μειζό-
νων ἀεί, καὶ θύρα τῶν ὀλεθριωτέρων κακῶν ἐπὶ τούτοις ἀρχή· Διὰ ταῦτα καὶ ὑπὸ τῶν

κην τῶν ἄλλων τὰ τοιαῦτα μᾶλλον ὑπάγεται· ἃ καὶ φυλάττεσθαι πολλοῦ τῶν μειζόνων
ἐγκλημάτων, ἡ κυριακὴ φωνὴ ἐπήγγελται· ἐρρήθη γάρ φησι μὴ πορνεύσεις· ἐγὼ δὲ λέγω ὑ-
μῖν, μὴ ἐπιθυμῆσαι ὅλως· καὶ γέγραπται, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ· καὶ ὀδόντα ἀντὶ
ὀδόντος· ἐγὼ δὲ λέγω ὑμῖν, μὴ δὲ τὴν ἀρχὴν ὀργισθῆναι· οἱ τοίνυν δύο ἐξαδέλφας ἀγό-
μενοι ἀδελφοί, ἅπαξ τῶν ἀγκίστρων περιπεσόντες· καὶ ὁδοῦ ἀπαγούσης πρὸς ὄλεθρον
ἐπιβάντες. τάχα που καὶ πρὸς τὰ μείζονα ἡ γνώμη τούτων ἁπανταχοῦ τῶν ὁρωμένων.
καὶ καταδίκης πικρᾶς καὶ στεφάνων ἄξια. ταύτην τοίνυν ἐξετάζων τις καὶ γωνιάζουσαν
ἐρευνῶν, οὐκ ἀπαθῶς εὑρήσει τοῖς τοιούτοις γάμοις ἐπιπηδῶσαν· μετὰ δέ τινος -
πέδης πάθους δελεαζομένου δεσμῷ ἤδη κυλινδουμένην αὐτοῖς· ἡ γὰρ δόξα τε-
νους, καὶ οἴκους ἀξιώματος· ἢ πλοῦτος αὐτοῖς· ἢ κάλλους φαιδρότης. τῶν ἁπαντα-
χοῦ τῆς ἐπιτεταμένων, καὶ μηδένα μέτρον προσεπιδιδόντων ἐκκρουόντων τὰ γά-
μων, πρὸς τὸ ἀθέμιτον ἐξοκεῖλαι· διὰ ταῦτα ἔρχεται γὰρ ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς
υἱοὺς τῆς ἀπειθείας· διὰ ταῦτα πολλοὶ ἀσθενεῖς καὶ κοιμῶνται ἱκανοί· διὰ ταῦτα δείγμα-
1ª ad Corinth. cap. 11. τα φοβερά· σεισμοὶ κλονοῦντες θεμέλια γῆς· καὶ πόλεως ἀνατρέποντες οἰκοδομάς.
αὐχμοὶ ἐπικρατοῦντες· νόσων καὶ νοσημάτων ἐπιδρομαί· πολεμίων ἐπαναστάσεις.
καὶ τὸ τελευταῖον, λιμοὶ καὶ λοιμοὶ ἡλικίαν πᾶσαν ἀπάγοντες, καὶ μηδαμόθεν
παραμυθίαν λαμβάνοντες. τούτων τὴν ἐν αὐτοῖς ἐπὶ ὀλέθρῳ φοράν, ἡ μετριότης ἡ-
μῶν ἅμα τῇ συνεδριαζούσῃ τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ ἀρχιεπισκόπων
συνόδῳ σπουδὴν περὶ πολλοῦ ποιουμένη· καὶ τοῦ καταρρύπου καὶ ἀπρεποῦς καὶ ἀ-
σέμνου γάμου τὸν περιούσιον Χριστοῦ λαὸν ῥυομένη, διωρίσατο· μηκέτι τοὺς τοιούτους
γάμους χώραν ἐν τοῖς χριστιανοῖς τοῦ λοιποῦ ἔχειν. μὴ δὲ πρός τινος μηδέποτε κα-
ταπραχθῆναι· ἐντέλλεται δὲ πᾶσι κοινῶς, καὶ τῇ ἀπὸ τοῦ παναγίου πνεύματος ἐξουσίᾳ
ἱερατικῶς καὶ διακονικῶς διορίζεται· ὥστε μηδένα τῶν πάντων ἀπὸ τοῦ νῦν· κἂν
τῶν ἐν δυναστείαις τελῇ καὶ ἐξουσίαις· κἂν πλούτῳ κομᾷ· κἂν τῶν πολλῶν καὶ τοῦ
δήμου, πρὸς τοιοῦτον γάμον ἐλθεῖν. εἰ δέ τις ἀπὸ τοῦ παρόντος τὰ διωρισμένα ταῦ-
τα θέμενος παρ' οὐδὲν πρὸς τοιοῦτον ἑαυτὸν ἐπιρρίψει γάμον· ἢ ἐπὶ τὰ τέκνα,
τῆς ἐκκλησίας οὗτος ἐκκήρυκτος ἔσται πάσας τὰς ἡμέρας τοῦ βίου αὐτοῦ. καὶ οὐ
πρότερον δεχθήσεται εἰς μετάνοιαν, πρὶν ἂν διασπάσει τὸν γάμον· κἂν φθάσει
παῖδας ἀποτεκεῖν. ὁ δὲ τῷ τοιούτῳ γάμῳ εὐλογίαν ἐπιδιδοὺς ἱερεύς, καθαιρέ-
σει τῇ ἐσχάτῃ ὑποπεσεῖται. διὸ καὶ τὰ διωρισμένα ἐνταῦθα ἐξετέθη. καὶ σφρα-
γισθέντα τῷ δικαίῳ χαρτοφυλακίῳ τῆς τοῦ θεοῦ λόγου Σοφίας, εἰς ὑπόμνημα τοῖς
ἐσομένοις ἐπιφυλαχθῇ. κατὰ τὴν ἰνδικτιῶνα α΄ τοῦ φεβρουαρίου μηνὸς τοῦ ͵ϛωια.

ἐν ἔτει ϛφε΄. οἱ δὲ μεθ' ἡμῶν συνδιασκεψάμενοι, καὶ συνδιορθωσάμενοι μητροπολῖται οὗτοι. Ἰωάννης Ἡρακλείας. Ἰωάννης Ἀγκύρας. Λέων Σάρδεων. Στέφανος Νικομηδείας. Δανιὴλ Χαλκηδόνος. Θεοδόσιος Μιτυλήνης. Ἰωάννης Τυάνων. Πέτρος Γαγγρῶν. Ἰωάννης Κασίας. Βασίλειος Ἰκονίου. Θεοφύλακτος Αὐλοχῶν. Ἰωάννης Συλαίου. Θεοδῆμος Ἀθηνῶν. Ἰουλιανὸς Λαρίσσης. Γεώργιος Τραϊανουπόλεως. Λέων Καλαύνης. Εὐθύμιος Φιλίππων. Ἀρσάβηρ Ἱεραπόλεως. Βασίλειος τῆς Ἁγίας Σευηρείνης. Νικόλαος Νεωπατρῶν. Στέφανος Κοτυαείου. Λεόντιος Σερρῶν. Βασίλειος Πομπηιουπόλεως, καὶ ἀρχιεπίσκοπος. Φίλιππος Περίου. Ἰωάννης Ἀβυκίδος. Θεόδωρος Ἐρίνων. Ἰωάννης Ἡρακλέας :

## Δεαστανίτου. Περὶ ἰδικῶν ἀγωγῶν :

Εἰ μὲν διαπέμπεσθαι βιβλίον ἀνάγκη, δείξασθαι τὴν ἀγωγὴν χρή· δεῖ δὲ τὸν ταύτην ὑποδεχόμενον διασκοπεῖν, εἰ τῷ φόρῳ ἐκείνῳ ὑπόκειται. δείξεται δὲ ὅτι τοῖς κληρονόμοις ἡ νερεδιτάτις πετιτίου· ἀγωγὴ ἀπαιτοῦσα κληρονομίαν. πράγματα δὲ ἰδικὸν λέγουσι διάφορα, διὸ καὶ διαφέρει καὶ ἀκολούθως πραγμάτων καλεῖσθαι τὴν ἰνρέμ, τουτέστιν ἀγωγὴ ἀπαιτοῦσα ἀκίνητον πρᾶγμα. ἐκκινητόν ἐστιν καὶ τὴν ἀδεξιβενδουμ ἤτοι ἀγωγὴν ἀπαιτοῦσα κινητὰ ἀποκρυβέντα πράγματα. εἰ δὲ ὑποθήκην βουληθεὶς ἐκδικῆσαι τὴν σερβιανὴν ἰνρέμ, τουτέστιν ἀγωγὴ κατὰ τῶν πραγμάτων τοῦ μισθωτοῦ ὡς ὅτι τῷ μισθώματι τοῦ ἀγροῦ ὑπέθετο τὰ εἰσενεχθέντα. λοιπὸν δὲ εἴ τι προκατάρξει ἀπαιτοῦσα τὴν ἰουδικάτουμ σόλβι, τουτέστι τὴν ἀπὸ καταδίκης ἱκανοδοσίαν. ὁ ἐναγόμενος δὲ ἀπολυτοῦ ἀπαιτεῖ τὰς τῶν δαπανημάτων ἐπιτύας. καὶ ὁ ἑκάτερον μέρος εἰς τὸ ἕτερον ταύτας ἐκδίδοται. ὅτι δὲ τῶν περσονίαν ἀγερος ἀπαιτούμεθα, τὸ δάνειον δεόμεθα κονδικτίκιον. ὅτι δὲ τοῖς τόκοις τὴν ἐξ τι πουλάτου. ἤτοι ἀγωγὴ μὴ συγχωροῦσα ζημιωθῆναί με τόκους, ἀλλ' ἀπαιτοῦσα αὐτούς. εἰ δὲ ὁ πράτης ἐνάγει τῷ ἀγοραστῇ τὴν ἐξ ἔμπτο, τουτέστιν ἀγωγὴ ἐκδικοῦσα τὰ ἀφαιρεθέντα πράγματα. εἰ δὲ ὁ ἀγοραστὴς τὸν πράτην ἐξ βενδίτο, τουτέστιν ἀγωγὴν τὴν ἀπαιτοῦσαν τὰ διαπραθέντα πράγματα ἢ τὸ τίμημα. εἰ δὲ ὁ μισθωτὴς ἐνάγει τῷ μισθωσαμένῳ τὴν λοκάτι, τουτέστιν ἀγωγὴν ἐκδόσεως μισθώσεως. εἰ δὲ ὁ μισθωσάμενος τῷ μισθωτῇ τὴν κονδούκτι, ἤτοι τὴν ἐκδικητικὴν μισθώσεως. εἰ δὲ ὁ κοινωνὸς τῷ κοινωνῷ τὴν προσσοκίω ἤγουν

Petitio hæreditatis
actio in rem
Ad exhibendum

τὴν περὶ κοινωνίας ἀγωγήν. εἰ δὲ ὁ ἐντεταλμένος ὑπερβαίνει τὸ μανδάτον, ἤγουν τὴν περὶ
ἐντολῆς ἀγωγήν. εἰ δὲ ὁ ἐντολεύς, τὴν κοντραρίαν μανδάτου, ἤγουν τὴν ἐναντίαν ἐντολῆς. εἰ
δὲ τις ἄνευ μανδάτου τὰ ἄλλου διώκει πράγματα, ἁρμόσει σοι δηλαδὴ διρέκτα νε
γοτιόρουμ γεστόρουμ. τουτέστιν ἀγωγὴ ἐξ ὀρθοῦ κινουμένη κατὰ τῶν διοικησάντων ἀλλό
τρια πράγματα πρὸ ἀναγνώσεως τοῦ δεσπότου. σοὶ δὲ διοικήσαντι κοντραρία νεγοτιόρουμ γε
στόρουμ τουτέστι τὴν ἐναντίαν τῆς προκειμένης ἀγωγῆς ἐπὶ τῆς ἀνερωτήσεως περικοσμίου
χρεία. ἤτοι ἀγωγὴ ἀπαιτοῦσα πρᾶγμα παρὰ τοῦ δεσπότου αὐτὴν μόνου. εἰ δὲ νομίζεις
δὲ παραπέμπεσθαι πρὸς αὐτὸν τοὺς κληρονόμους ἔνθα ἐπερωτηθῆναι. ἐξ ἰντερδίκτου
λέγειν ἀγωγὴ ἀπαιτοῦσα πρᾶγμα ἐπερωτηθέντος καὶ ὡς δανείου ἀπαιτεῖσθαι καὶ ὅσα
παρὰ ὑποθήκας ἔχοι. εἰ δέ τις βουληθείη μερίσασθαι τὴν κομμουνὶ διβιδοῦνδουμ
δο. ἀγωγὴ διαιροῦσα τὰ ἐπίκοινα πράγματα. εἰ δὲ κληρονομίαν διαιρεῖσθαι τῇ φαμι
λία ἐρκισκοῦνδαι ἀγωγὴ περὶ διαιρέσεως φαμιλίας τουτέστι κληρονομίας. εἰ δὲ περὶ
ὅρων γῆς ἐντὸς ἐπιδούσης τῆς ἐλλάσεως. τὸ φινιουμρεγουνδόρουμ. τουτέστι περὶ
ὁροθεσίας συνορίας. εἰ δὲ περὶ πλάνους τῆς τὴν εὕρεσιν ἤτοι ἀγωγὴ ἀπαιτοῦσα πρᾶγμα
ἀκίνητον ἐπὶ τῆς ἔχειν καὶ ἐξέπεσεν ἐξ αὐτοῦ. εἰ δέ τις τὸ μὴ χρεωστούμενον κατέ
βαλεν, τὸ ἰνδέβιτι κονδικτίκιον. ἀγωγὴ ἀπαιτοῦσα καὶ τοῦ μὴ χρεωστουμένου κα
ταβληθέντος δέ. εἰ δὲ καρποὺς χρεωστούμενοι ἢ εἶδος ἄλλο ὃ οὔπω ὑπὸ τὴν δεσποτείαν
ἐγένετο τὴν ἐμήν. ἄνευ οὖν τοῦ τιτικιάριον ὀνομαζόμενα κονδικτίκιον. εἰ δὲ ἕνεκεν ἐπὶ
σοὶ τὸ ποιῆσαι καὶ οὐκ ἐγένετο. τὸ ὀρκουσάδα λεκουσάνου σεβοῦτα κονδικτίκιον.
εἰ δὲ ζημία τις προσγένηταί μοι, ἐμοῦ χερσὶν οἰκείαις τὴν ζημίαν ἐργάσατο ἢ ἄνθρωπον
ἢ ζῶον ἢ φονεύσας ἢ εἴξας τὸ διρέκτον ἀκουίλιον. ἤγουν ἀγωγὴ ἀπαιτοῦσα ἐξ ὀρθοῦ ἤτοι
ἀναμφιβόλως τὸ διπλάσιον. εἰ δὲ ἄλλως πως ἢ δόλος ἢ προαίρεσις ἢ κακοπραγμο
σύνη ἢ βία ἢ ἀγνωμοσύνη τὸ οὐτίλιον ἀκουίλιον ἤγουν τὴν ἰν φάκτουμ. αὕτη ἀγωγὴ
ποτὲ μὲν ἀπαιτεῖ διπλάσιον, ποτὲ δὲ οὔ. καὶ ἔνθα δὲ δηλώσας βουλόμεθα τινὰ ἔνα
γαγεῖν μὴ ὑπάρχειν δὲ ἀπὸ προφανοῦς καὶ πᾶσιν ἐγνωσμένου τοῖς νόμοις συναλλά
γματος ἀγωγὴν τὴν ἰν φάκτουμ. εἰ δὲ διατάξεις ὠνείαν τε καὶ ἀγωγὴν οὐδὲ διδόασιν εἰς
ἀπαίτησιν, ἐκ τοῦ ἐξ λέγε κονδικτίκιον ὀνομαζόμεθα. ἀγωγὴ τετραπλάσιον ἀπαι
τοῦσα τὸ διδόμενον ὑπὲρ ἐκβιβάσει ἐπὶ παραθήκης τὴν δεποσίτην ἀγωγὴν τὴν περὶ πα
ραθήκης, ἥτις ἀπὸ δόλου διπλασιάζεται. ἕνεκεν τοῦ χρηματίζοντος τὴν κομοδάτι. ἀγωγὴ
ἀπαιτοῦσα τὸ χρησθέν. εἰ ὁ χρεώστης βούλεται ἀναλαβεῖν τὸ ἐνέχυρον διδοὺς τὸ χρέος.
τὴν πιγνωρατικήν. ἢ περὶ ἀποθήκης ὁ ὑπεξούσιος. καὶ κατὰ τοῦ πατρὸς ἢ τοῦ κυρίου
τὴν δεπεκουλίο. ἢ κύριος αὐτοῦ συνήλλαξεν τὴν κουοδιούσσου. ἀγωγὴ κινουμένη κατ'

δεσπότου. ὅταν κλέψῃ αὐτὸν συναλλάξῃ ὁ δοῦλος αὐτοῦ. ὁ δεδωκὼς ἢ ἐποίκια
ἐπὶ τῷ τελευτῆσαι ἢ δοθῆναι τὴν πραεσκρίπτις βέρβις. περὶ κλοπῆς τὴν φούρτι.
ἀγωγὴ κατὰ τῶν συγκλεπτόντων. ὅτε ἀπὸ τοῦ δυνάμενον καθῆσθαι ἐπινοήσαντα πρὸ αὐτοῦ
κοφικὴ λεγομένη ἐπινοηθῆναι. ὁ περὶ τῶν ζημιωτικὴν ἐπινοήσειν καὶ τὴν φούρτι
τὸν κονδικτίκιον. ἀγωγὴ ἀπαιτοῦσα τὸ κλαπὲν πρᾶγμα. ὁ ὑποδεξάμενος τὴν φούρ
τι ἰνοβλάτε. ἢ βία ἀγωγὴ κατὰ ὑποδεχομένων. εἰ περὶ τύχης οἰκετικῆς ἢ ἐναπογράφου
πραξ. ἰουδικάτου δείκνυται. ὁ νέος δὲ ὁ ἐπίτροπος ἐναντίον βουλόμενος τὴν τύχην
δείκνυται. κατὰ τοῦ κουράτωρος ὁ λῃστὸς τὴν νεολαίαν ἐσύλησεν. ἀγωγὴ κατὰ ἀφηλίκων
καὶ τῶν ἀλλοτρίων πραγμάτων κουράτωρων. περὶ ἁρπαγῆς κινητῶν. τὴν εἰς ἐνοχλοῦντας
ἐς ἀπλοῦν. περὶ πραγμάτων βιαίως ἁρπαζομένων ὅτε ἔχει τὴν ἀπαίτησιν, ἐντὸς
ἐνιαυτοῦ εἰς τὸ τετραπλοῦν. μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ διπλοῦν. περὶ νομῆς βίᾳ ληφθεί
σης. τὸ οὐνδὲ βὶ ἰντερδίκτον. τὸ βίᾳ ἐκβληθεὶς νομῆς πρὸς ζήτημα. περὶ καινοτο
μίας. τὸ κουὸδ βὶ αὐτ κλὰμ ἰντερδίκτον. τὸ βίᾳ ἐκ προσζήτημα. τὸ ὅθεν βίᾳ τις ἐξεβλήθη
ἐκβολῆς προσζήτημα. περὶ ἐκδικηταὶ δουλῶν ἢ βίᾳ κομισθέντα. ἀγωγὴ ἀπαιτοῦσα
πράγματα κατὰ νόμον ἁρμόζει. ἀγωγὴ ἡ περὶ δουλοῦ κινουμένη περὶ σωματικοῦ φό
νου, ἡνίκα λέγω ὃ φαίνεται τοῦτο τὸν ἀγρὸν εἶναι τῆς ἐμῆς δεσποτείας. περὶ κλοπῆς ἀ
παιτήσιου ἐκ δικασμάτων προσκυνήσοντα. κατὰ τοῦ ἔχοντος τὸν ἐμὸν οἰκέτην ἢ ἐνα
πόγραφον τὴν ἰν ρὲμ ἀδικτὰ κὰ σερβιάνον. κατὰ δὲ τοῦ ἔχοντος τὸν ἐμὸν υἱὸν τὸν
δηλονότι προεξουσιότητα. κατὰ τὴν τοῦ ἀντιφωνήσαντος. τὴν πεκουνιαε κονστιτούτας.
κατὰ τοῦ ἐμφυτευτοῦ τὴν ἐξ ἰνπουλάβου. ἢ τὸν ἐξ λέγε κονδικτίκιον ζητοῦμεν. κατὰ
τοῦ ἀφιέντος ῥεύματα τοῖς ἐμοῖς τόποις. τὸ ἀκουαε πλουβίαε. κατὰ τοῦ κλέψαν
τος ἄρχοντος τὸν ἰούλιον δε ρεπετουνδις καὶ τὴν φούρτι ζητοῦμεν. ὁ ἐκστησάμε
νος τινὰ ἐξ καὶ αὐτοῦ τὴν κονδικτίκιον, καὶ νικήσας ἀκώλυτον τὸν προσελθόντα. ἰσχύει
γὰρ ὡς καὶ αὐτὴ ἡ ἀγωγὴ ἀκίνητος κατέστησεν: — Θ Ἡ Τ Α. Θέμα περὶ τῶν
δικαζομένων ἢ συνηγόρων προσκυνοῦνται, ταῦτα περὶ τῶν δικαζόντων ἀναπλη
ρώσασθαι. β' ἐπὶ τὸ καὶ κγ'. πᾶσα ἀγωγὴ προσήκουσα ἐν τῷ οἴκῳ εἴτε προσωπικὴ
εἴτε ὑποθηκαρία ἐστίν, οὐχ ὑπερβαίνει τὰ τεσσαράκοντα ἔτη. ἃ ἁρμόζουσιν ἑκάστῳ
οἴκῳ θεοσεβεῖ διὰ τοῦ προσκαίρου παραγραφῶν φυλάττουσι μέχρι τῶν οἰκείων
χρόνων. β' κβ' τ' ε'. ἐφ' οἱαδήποτε ἀγωγῇ ὀμνύντες, ἠλευθέρωνται. εἴτε περὶ ὁ
λοκλήρου πράγματος εἴτε περὶ μέρους ὀμόσαντες. οὐκ ἐνάγεται περὶ οὗ ὤμοσεν. οὔτε
οἱ διάδοχοι αὐτοῦ. ὁ ἐπὶ χρήμασι κατὰ τοῦ βασιλέως ὀμόσας καὶ ἐπιορκήσας,
ἐπιτιμάζεται. ὁ ὀμόσας ἴδιον εἶναι τὸ πρᾶγμα, ἀπαιτεῖται καρποὺς καὶ σκεύη.

καὶ τοῦ κῦρος γραμμάτων ἐν τοῖς ἀμφιβόλοις ἔχωσι. βι. νη. τι. καὶ τοῦτο μὴ προσκειμένοις
ἐν διατάξει τόπῳ. περὶ τῆς ἐκκλήτου ἐξέστω ἑκάστῳ τῶν πολιτῶν. συμφέρει γὰρ ταῖς πόλε-
σιν ὑπὸ πολλῶν δικαιοῦσθαι. βι. μ. τι. ζ. τῶν ἐκφορᾶς. οὔτε τὸ ἰσόκληρον. οὔτε
τὸ ὑπ' αὐτοῦ ἰσόκληρον δίδοται. οὔτε τὸ ἀδελφοῦ περὶ τοῦ πρὸς ὑπεραξίας τοῦ παιδός. εἰ
δὲ καὶ ἔτι τοῦτο ζητεῖται. οὐ μόνος ὁ λεγόμενος ἀξιωματικὸς δίδωσιν αὐτό. ἀλλὰ
πάντες οἱ κληρονόμοι. νγ. ὁ ἐκδικαστικῆς ψήφου ἐξαιτήσας τὸ αὐτοδίκαιον
ὅρκον ἐπέχων. ἐπὶ ἐκκλήτου τῶν ἀγαθῶν ἐφαπτόμενος δικαστηρίου. ἐπιορκῶν δὲ
μετὰ ταῦτα ἐλεγχθείς, γλωσσοκοπείσθω. τὸ αὐτὸ καὶ ἐπὶ τῶν μαρτύρων. βι. ς. τι. ς.
εἴτε προσήκει βασιλεῖ μὴ προσάγειν τὰς ἀντὶ προσφορᾶς ἀρχὰς δικαστικοῦ καὶ ἀ-
ποπεμπτικοὺς διὰ τὸ τυγχάνοι τῶν δικαίων. οὐδεμιᾶς λήψεται κρίσεως. δεῖ προστάτ-
τειν, ἵνα τῶν δικαίων μὴ τυχὼν ἐς ἡμᾶς καταδράμοι τὸ κτήματος οὐκ ἐνόχλῳ τῷ
λοιπῷ. ἀλλ' αὐτὸ τῶν τὴν ἀρχὴν ἔχοντι δικασταῖς ἐντελλόμεθα. βι. ζ. τι. α. κε. ς. μηδεὶς
δικαστὴς δεχέσθω τὴν οἱανδήποτε κρίσιν ὑπόθεσιν τὴν πρὸ αὐτοῦ ἐξεταζομένην-
δίκην. ἀλλὰ νομίμως κρινέτω, μὴ ὑφορώμενος ποινήν. ἐὰν γὰρ δικαστὴς πε-
ρὶ [illegible] ἐκβάλληται ἡ ψῆφος αὐτοῦ ὡς παρὰ [illegible]. ἀν. βι. α. τι. κα.
β. καὶ βι. ζ. τι. ι. κε. γ. καὶ μέμνηται τῆς π β καὶ αν τὴν ριθ νε. βι. ζ. τι. ιβ. κε. ζ.
ἐὰν ὁ προειςάμενος παρακλητεύηται ἐν τοῖς τῶν ὁρισθεισῶν ἡμερῶν καὶ ἕως ι ἡμερῶν-
μὴ παρασχῇ ὁ ἐνάγων, ἀφέσθω ὁ ἐναγόμενος. καὶ ὅσα ὁμοῦ τὸ ἐδαπάνησεν
λαμβανέτω. περί τε τὴν ὁδοιπορίαν καὶ τὴν ἐς τὰ ξένα διατριβήν. ζωναὸ ὁ νέος
περὶ τῶν δικαστῶν. ἐρωτάσθω δὲ πρὸ πάντων αἱ κ ἡμέραι τῆς διασκέψεως. καὶ τὸ ἀλη-
θὲς λεγέτω. κε. ιε. ἐκ τοῦ κώδ. βι. β. τι. να. ἐπὶ πάσης ἀποδείξεως μὴ πρότερον
τὰς ἀποδεικνύτω, ἢ μὴ ὅρκους δώσοι ὁ μέλλων τὰς ἀποδείξεις λαμβάνειν. ὅτι οὐ
προφάσεως ἕνεκεν αὐτὰς ἀπαιτεῖ. βι. ιη. τι. ια. τινὰ τῶν δικαιωμάτων χωρὶς τοῦ ὑ-
πογραφῆς ἐκδίδωσι τινές. οἱ δὲ δέχονται καὶ μάλιστα ἀμαθεῖς τέμνοντες ὡς λῆσαι κο-
λάζονται. ὁ τέμνων εἰς τὸ διαφέρον καταδικάζεται, καὶ ἐξαιρεῖται τὸ τέμνημα τῶν-
κοπέντων δένδρων, καὶ τὸ λοιπὸν δίδωσι. πρώξιμος ἐστιν ὁ λεγόμενος ὡς μὴ ἔχων
τὴν προλαμβάνοντα, καὶ ἔλαβες ὡς μὴ ἔχων τὸ ἑπόμενον. τὸ τοῦ πλαστοῦ ἐγκλήματος
περὶ πλαστοῦ: ς
πλαστοῦ ἡ κατηγορία, περιοιστικός ἐστι καὶ ἤγετο δημοσίοις. κατὰ δούλων ἐστί. πλα-
στόν ἐστι τὸ μιμεῖσθαι χειρόγραφον ἑτέρου. ἢ διαρρῆξαι. ἢ μεταγράψαι, οὐ μὴν τὸ
ἁπλῶς ἐν συμψηφίσει ἢ ἐν λογοθεσίᾳ ψεύσασθαι. ἢ τὸ ψευδῶς ἐξουσίαν ἔχειν ἐ-
κδίκου. ἢ γραμματικοὺς ἢ ἐγκληματικὰς δηλῶσαι τὸ πλαστόν. ὁ προσφέρων ἐνδί-
κη δικαιώματα. καὶ μὴ πιστούμενος αὐτά, πρὸς τὸ ἁμάρτημα τιμωρεῖται. εἰ δ'

μείζονος ἐστὶν ἄξιος ἐμφορεῖ· ὁ βασιλεὺς αὐτὸν ἐρωτώμενος δείξει. συντίθενται γὰρ ὁ πε-
κομίζων ἐν ἀγνοίᾳ. βι. ξ. τι. κα. πᾶν τὸ δυνάμενον ἀφαιρεθῆναι ἀπό τινος καὶ δοθῆ-
ναι πρὸς ἕτερον ὀφείλει ἔχειν. δόσιν ἐπὶ δόσει· ἢ ποίησιν ἐπὶ ποιήσει· ἢ δόσιν ἐπὶ ποι-
ήσει· ἢ ποίησιν ἐπὶ δόσει. βι. ιθ. τι. α. κεφ. ιθ. Περὶ ἀναστροφῆς πράσεως. Ἐντὸς ἑξαμήνου
συνεχείων ἀριθμουμένων ἀπὸ τοῦ καιροῦ τῆς πράσεως, ἡ ἀναστρέφουσα τὸ πραθὲν ἀ-
γωγὴ κινεῖται· ἡ δὲ μειοῦσα τὸ τίμημα ἀγωγὴ ἔσω συνεχοῦς ἐνιαυτοῦ. ὅταν μὴ ὁ πράτης
ἀσφαλίσηται, ἐνάγεται γὰρ τῇ ἀναστρεφούσῃ τὸ πραθὲν ἀγωγῇ ἔσω ἑξαμήνου· καὶ τῇ μει-
ούσῃ τὸ τίμημα ἔσω ἑξαμήνου. καὶ ὡς ὁ ἀγοραστὴς συμφωνεῖ ἔσω προθεσμίας ἢ ἐκ-
δικηκῶς ἀποδοῦναι τὸ ἀγορασθὲν ἀπαρέσκον αὐτῷ. εἰ δὲ μὴ λεχθῇ χρόνος, ἔχει
ἀγωγὴν εἰς τὸ ἀποδοῦναι αὐτὸ ξ ἡμερῶν ὡρισμένων. μετὰ τὰς ξ ἡμέρας ἐξ ὅλο-
του αἰτίας. εἰ καὶ γὰρ ὁ πράτης ὑπέθετο ἐπὶ ποιήσει· ἢ οὐ πρὶν ὁ ἀναλαβεῖν ὀφείλων,
ἢ ἕτερόν τι ἄλογον προσυνέπεσεν. ὁ πιπράσκων ὑποζύγια, λεγέτω τὰ πάθη καὶ τὰ αἴ-
τια αὐτῶν, καὶ διδότω τὸν ἐπικείμενον αὐτοῖς διὰ τὸ πραθῆναι κόσμον. εἰ δὲ μὴ τοῦ-
το ποιεῖ, ἐκ τοῦ μὴ δοῦναι τὸν κόσμον ἔσω ξ ἡμερῶν ἐνάγεται ἢ ἀναλαβεῖν τὰ ὑποζύγια
διὰ τὸ μὴ δοῦναι τὸν κόσμον· διὰ δὲ τὰ πάθη καὶ τὰ αἴτια τῇ μὲν ἀναστροφῇ ἑξαμήνου·
τῇ δὲ μειώσει τοῦ τιμήματος ἔσω ἐνιαυτοῦ. καὶ ἐπὶ τῶν ὅλων δὲ πραθέντων διὰ τὸ πά-
θος τοῦ ἑνὸς ἀποδίδονται πάντα. σχεδὸν τὰ αὐτὰ πάθη καὶ αἴτια δὲ τῶν ἀνδραπό-
δων καὶ τῶν ὑποζυγίων. διὸ τὰ λεχθέντα περὶ δούλων, καὶ εἰς ὑποζύγια ἁρμόζει. καὶ ὡς
πρὸ ὁ δοῦλος, καὶ μετὰ τὸ ἀποθανεῖν ἀναστρέφεται· οὕτω καὶ τὸ ὑποζύγιον. κατὰ ὑπόδειγμα
τῶν δούλων οὐ μόνον ἀπὸ παθῶν καὶ αἰτιῶν ἀναστρέφεται τὰ ὑποζύγια, ἀλλὰ καὶ εἴ τε
τὸ ἐπαγγελθὲν ὁ πράτης ἐψεύσατο διὰ τὴν πρᾶσιν. ἐὰν δὲ τε καὶ τῆς μειούσης τὸ τίμη-
μα ὁ πράτης ἐνάγεται, ἀγωγῆς κινουμένης ὁ δοῦλος ἀποδίδοται, ἔνθα συμφέρει τῷ
ἀγοραστῇ ἔχειν αὐτὸν ἴσως μειούμενον ἢ ζημιαζόμενον. ὁ τῇ γραφῇ τῶν ἑξαμήνων
τῆς περὶ ἀποστροφῆς ἀγωγῆς ἐκβληθεὶς, δύναται τὴν μειοῦσαν τὸ τίμημα κινεῖν ἔσω ἐ-
νιαυτοῦ. ζωντέσεσι μὴ ἁρμόζειν τὴν περὶ ἀναστροφῆς ἀγωγὴν ἐπὶ τῶν ἁπλῶν πρά-
σεων, τουτέστι τῶν μήτε ψόγου μήτε ἐπαίνου περιεχόντων. ἐὰν πρὸ ἐμοῦ κλέψῃ ὁ δοῦλος
μου, οὐκ ἔστιν ἀναγκαῖον ἐν τῇ πράσει τοῦτο λέγειν. οὔτε ἐκ τούτου ἁρμόζει ἡ ἀποστρο-
φή. εἰ δὲ εἶπον αὐτὸν μὴ εἶναι κλέπτην ἐνέχομαι. ἀπαιτεῖται οὕτως· τὸ τε χρυσίον
μετὰ τοῦ τόκου, καὶ τὴν πραγματείαν σὺν τοῦ κέρδους· καὶ τὰ πράγματα μετὰ τῆς μειώσεως.
εἰ δὲ δοῦλοι, καὶ ὑποζύγια ἀφῃρέθη μετὰ τῶν ἐξ αὐτῶν καρπῶν. τὸν νόμον ἐχόμε-
νον καὶ δικαζόμενος καὶ ἡ ὑπόθεσις ἀναπληροῖ τοῦτο ὁ δικαστής. βι. τῶν βασιλικῶν τι.
γ. Περὶ καταγελάσεως καὶ ὁμωνῶν. Ἐάν τις μὴ δύναται δεῖξαι τὰ ἁρπαγέντα αὐτοῦ. νγ. κζ :-

δείξῃ δὲ ἁρπαγὴν ἢ ἔφοδον αὐτῷ γεγενημένην. διατίμησιν ποιείτω ὁ δικαστὴς τὴν αὐτῷ δοκοῦσαν κατὰ τὴν ποιότητα τῶν προσώπων καὶ τῶν πραγμάτων. καὶ εἰς αὐτὴν τὴν ἰσοτα-λείπου ὀμνύτω ὁ ἀπολέσας, ὥστε καταδίκην γενέσθαι. οὐκ ἔξεστι δὲ τοῖς ἐνάγουσι πλέον τῆς ὁρισθείσης παρὰ τοῦ δικαστοῦ ποσότητος ὀμνύειν τοῖς ἐνάγουσιν ὅτι ὁ ἀπολ-λὼν ἔχει τὴν ποσότητα. ὀμνύτω καὶ κατὰ τὴν γνώμην τοῦ δικαστοῦ ζημιούσθω. β. μγ΄ τ. ε΄ κεφ. θ΄. Ἐάν τις διὰ θάνατον ἢ ἔγκλημα τος αἰκισμοῦ δημοσιακοῦ ἀπολογήσεται, ὁ ἐναγόμε-νος ἔχει παραγραφήν. εἰ δὲ ἰδιωτικοῦ, οὐ μὴν ἀλλ' ἑτέραν αἰτίαν ἀπολογήσει κρατεῖται. εἰ δὲ διὰ τὸ μὴ κατηγορηθῆναι ἐγκληματικῶς, οὐκ ἔρρωται. β. δ΄ τ. ιθ΄. κατὰ τῶν ἀπὸ τῶν διὰ δημόσιον πρᾶγμα, ἢ κατὰ τύχην. οὐκ ἀντίκειται μακροῦ χρόνου παραγραφή. τῷ διὰ δημόσιον πρᾶγμα ἀποκρυφθέντι, ἐν τούτῳ τῷ χρόνῳ οὐκ ἀντίκειται μακροῦ χρό-νου παραγραφή. τοῖς καὶ πρὸς νομὰς κατὰ τῶν προσώπων, δεκαετία. κατὰ δὲ τῶν ἀ-πόντων εἰκοσαετία. β. να΄ τῶν βασ. τ. γ΄ κεφ. α΄. Περὶ διαφόρων προσκαίρων παρα-γραφῶν καὶ προθεσμιῶν καθολικῶν καὶ ἐπιφωνημάτων. Ἐπειδὴ συνεχῶς περὶ ὡ-ρισμένου χρόνου ζητεῖται, ἔθνος ἐστὶ τῷ δικασταῖς κινεῖν. καὶ οὐκ ἀρκεῖ τὸ παρεῖναι τὸν ἐναγόμενον ἢ ἐκδικοῦν αὐτόν, ἀλλὰ καὶ τὸ μὴ δηλοῦντος ἐμποδίζεσθαι τὸν ἐνάγον-τα ἔτε

τ. ιθ΄ τοῦ β. ε΄. Ἐὰν ἀνὴρ ἐπὶ τόπου αὐθεντοῦ ὁ ἄνηβος κατά τινος δικάσηται, οὐκ ἔρρωται ἡ ἀπόφασις. Περὶ συνηγόρων. β. ε΄ τοῦ κώδικος τ. ς΄ κεφ. ζ΄ ἐν παραγρα-φαῖς. οὐκ ἔξεστι περὶ μελλούσης συνηγορίας συμφωνεῖν ἢ συναλλάττειν πρὸς τὸν συνηγορούμενον. μετὰ δὲ πεπληρωμένης δύναται. ὅτι ὁ θαρρηθεὶς πρᾶγμα πα-ρά τινος περὶ αὐτοῦ κατ' αὐτοῦ συνηγορῆσαι οὐ δύναται. ἐκ τῆς αἰτίας τῆς τοῦ παρά, μη-δεμία παντελῶς ἐγκληματικὴ δίκη γυμνάζεσθω πρὸ μηδενὶ ἄρχοντι. β. ιζ΄. Εἰ τὰ πράγματα τῶν ἀνήβων κατὰ τὸ ἀναγκαῖον τὸ διοικεῖσθαι. δίδοσθαι ἀτῶτα τοσοῦτον ἂν γέ-νωνται πλουσιώτεροι διὰ τὸ συμφέρειν. δύο γὰρ χρεῖαι δείκνυνται παρὰ τοῦ διοικοῦν-τος, ὅτι ἀνάγκη πάντως γενέσθαι καὶ ὅτι χρησίμως γίνονται. οὐκ ἔχει ἀνάγκην ἡ μήτηρ τοὺς ὑπὸ πατρὸς ἐπιτρόπους ἀποκινεῖν. οὐδὲ γὰρ ὑποτιμίᾳ ὑποπίπτει. ὥσπερ ἡ μὴ αἰτοῦσα μήτηρ ἐπίτροπον τοῖς ἀνήβοις παισί. αὕτη γὰρ διότι οὐκ ᾔτησεν ἐπιτροπεύ-ειν. ἡ δὲ μὴ ἀποκινήσασα, ἀνάγκην οὐκ ἔχει ἀποκινεῖν. Εἰ δὲ τὸν ἐπίτροπον περὶ τῆς μη-

μῆνες παρέχονται τοῖς καταπεισθεῖσιν εἰς ὑπόθεσιν, καὶ μετὰ ταῦτα τοὺς ἐκβάλλεσθαι
ἀπαιτοῦνται. καὶ οἱ ἐντυχόντες δὲ αὐτῶν ἔχουσι τὴν τετράμηνον, οἱ δὲ κληρονόμοι ἐξάλ-
λους τέσσαρας μῆνας ἔχουσι τὴν τετράμηνον. ἐκ τοῦ κβ' β' τῶν βασιλ. τίτ. α' κεφ. ιζ' ἐπιβ.
πάσαις δὲ παραγραφή, ἀνακειμένη τῇ γυναικί, ἕως ἀπὸ τοῦ ἄρξασθαι δικάσασθαι ἔτεσιν
ἀπὸ τοῦ ι' ἢ κ' ἢ λ' ἢ μ' ἐνιαυτοῦ. ἐξ ἐκείνου τοῦ καιροῦ ψηφίζεσθαι αὐτῇ, ἐξ οὗ
ἐδύνατο κινεῖν. καὶ συνισταμένου ἔτι τοῦ γάμου. κινεῖται καὶ τοῦ ἀνδρὸς περὶ τῆς
προικός. ἐκ τοῦ ι' β' τ. ι' κεφ. λ'. περὶ τῆς διαζεύξεως γενομένης δικασθέντα. πάντα
τὰ πράγματα, εἴτε κινητὰ ἢ αὐτοκίνητα ἦσαν διὰ τελείας ἐκ τοῦ ἄρξασθαι δικά-
ζεσθαι. εἰ δὲ ἀκίνητα, διὰ ι' ἢ κ' ἐνιαυτῶν. ι' μέν, ὅτε παρόντες οἱ δικασθέντες. κ' δέ, ὅτε
ἀπόντες. σχό. ἡνίκα πίστει καὶ ταῦτα νέμονται. εἴτε κατὰ πρᾶσιν. εἴτε κατὰ δωρεὰν εἴ-
τε κατὰ ἀνταλλαγήν. εἴτε ἄλλως πως καὶ ἐκεῖνος παρ' οὗ ταῦτα ἔλαβε καλῇ πίστει, τοῦτέ-
στιν χωρὶς δόλου καὶ νομίμου αἰτίας ταῦτα ἐκτήσατο. ὅτε γὰρ ἐκεῖνος ὡς κακῇ πί-
στει νομεύς, διὰ λ' ἐτῶν δικάσεται. ἐκ τοῦ ιε' τ. τοῦ αὐτοῦ β' ιβ' κεφ. αἱ ἀγωγαὶ ἁρ-
μόζουσαι τοῖς ὑπεξουσίοις περὶ φάσεως τῶν πραγμάτων τῶν μὴ προσποριζομένων
τοῖς πατράσι μὴ ἀνακτήσωσιν, ἀλλὰ ἐξ οὗ γενόμενοι αὐτεξούσιοι. ἐδύναντο κινῆ-
σαι τὰς ἀγωγάς. ἐπὶ δὲ τῶν αἱρετικῶν καὶ ὑπὸ ἡμέραν ἐνόχων. κρατεῖ τοῦ χρόνου
ψηφίζεσθαι μετὰ τὸ ἐκβῆναι τὴν αἵρεσιν, ἢ καταλαβεῖν τὴν ἡμέραν. ὁμοίως δὲ κρατεῖ
ἐπὶ τῆς προικὸς καὶ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς μετὰ τὴν λύσιν τοῦ γάμου ψηφίζεσθαι
τῇ γυναικὶ τοῦ χρόνου τῶν αὐτῶν παραγραφῶν. β' τ. ζ'. πάντες οἱοσδήποτε δίκα-
σαι ἐκ προοιμίων τῆς δίκης μέχρι τῆς ἀποφάσεως. καὶ κατ' αὐτὴν δὲ τῆς ἀποφά-
σεως τὴν ἀνάγνωσιν προκειμένων τῶν ἁγίων εὐαγγελίων δικαζέτωσαν. τῶν ἑκατέ-
ρου μέρους συνηγόρων ἐν αὐτῇ τῇ προκαταρκτικῇ ὀμνυόντων κατὰ τῶν ἁγίων εὐαγγελίων.
ὡς οὐδὲ παρ' ἡμῖν ἔχει σπουδὴν παρὰ τὸ οἰκεῖον πρόσωπον. καὶ ὅτι καλὸν ἡγεῖται τὸ
πρᾶγμα, καὶ οὐ σύνοιδεν αὐτῷ δικαιολογίαν ψευδῆ. εἰ δὲ μεταξὺ τῆς διαγνώσεως
κατὰ γνῶσιν τοῦ πράγματος, ἀφιστάσθω μὴ ἔχοντος ἄδειαν τοῦ δικαζομένου ἑτέρου
προτρέπεσθαι. πολλῶν δὲ ὄντων ἑνὸς μέρους συνηγόρων, ἐξέστω τοῖς δικάζουσιν ἀ-
φίστασθαι. ἐκ τοῦ κα' β' τ. α'. καθαρώτερον τεφανησόμενοι τὰς δίκας πεπ-
ληρῶσθαι προσδοκῶντες, διὰ καὶ τὰς ἀκροάσεις γίνεσθαι παρὰ τοῖς δικασταῖς ἅπα-
σι τῶν προκειμένων λογίων εὐαγγελίων. καὶ ὅρκον ὑπέχειν καὶ τοὺς ἐνάγοντας
καὶ τοὺς ἐναγομένους καὶ τοὺς συνηγόρους προστάττομεν. πανταχοῦ τὸ ἐπὶ
σάντες ταῖς τῶν δικαζομένων τε καὶ δικαζόντων καὶ τῶν μαρτυρούντων ψυχαῖς κα-
τὰ τάξιν. ἐκ τοῦ ξ' β' τ. λ'. κρατείτω ὁσάκις παρ' οἱοισδήποτε ἄρχουσι δίκαι

κεφ. ια'

ἢ ἐκβάλλειν ἐξελάσου). περὶ πάντων τῶν πραττομένων τῶν δικαζομένων προσώπων ἢ ἐκδί-
νους τοὺς ὡς ἐθνικοὺς ἐν μέσῳ ἢ ὑπόθεσις μελετηθῇ. περὶ ἐξουσίας τῶν δικαστῶν, ἀπολυομέ-
νους τῶν αἰτίων εὐαγγελίων ὀμνύναι ὅτι οὐδὲν παντελῶς τοῖς δικασταῖς προσπαρασ-
χεῖν ἢ ἄλλῳ οἱῳδήποτε προσώπῳ ὑπὲρ ταύτης τῆς αἰτίας καὶ οἱουδήποτε τρόπου
δεδώκασιν ἢ ὑπέχουσι ἢ μεταδῶσι διδόασιν· ἢ δι' ἑαυτῶν ἢ δι' ἄλλου οἱουδήποτε
προσώπου. βι ξ. ἐάν τις ὡς ἐπὶ τυραννίδι ἐγκληθεὶς δήμευσιν ὑπομένῃ, οἱ μὲν
ἔχοντες αὐτοῦ πράγματα καὶ διάγοντες ἐν τῇ βασιλίδι πόλει, ἔσω δύο μηνῶν αὐτὰ
προσαναφερέτωσαν. οἱ δὲ μὴ διάγοντες ἐν τῇ βασιλίδι πόλει ἔσω ἓξ μηνῶν, εἰ δὲ τοῦ-
το μὴ ποιήσωσι, τῶν αὐτῶν πραγμάτων τὸ τετραπλάσιον παρέχει. βι ν τ ι κεφ θ. κα-
νονιζομένοις ἐν δημοσίῳ τόπῳ παραγγέλλειν ἔξεστιν ἑκάστῳ τῶν πολιτῶν, συμ-
φέρει γὰρ ταῖς πόλεσιν ὑπὸ πολλῶν διοικεῖσθαι. βι ν τ ιθ κεφ ξ. ὁ κτίσας ἐν δημο-
σίῳ τόπῳ καὶ βλάπτων τὴν πόλιν καταβάλλεται αὐτὸ μὴ ἔχων χρόνου παραγρα-
φήν, μὴ δὲ βασιλέως ἐπιτρέψαντος αὐτὸ κτίσαι :—

## μέτρον γεωμετρικόν :—

Ἐχέτω ἡ ὀργυιά, σπιθαμὰς θ· καὶ τὸ σπιθαμιαῖον, ὀργυιὰς ιβ· ἐχέτω δὲ τὸ μόδιον ἤγουν τὸ αὐτὸ σπιθαμιαῖον, ἐν πλάτος, καὶ τὸ μῆκος· καὶ ψηφίζεται οὕτως· δὶς μία β· καὶ τὸ ἥμισυ τοῦ β μία· καὶ ἔστι μόδιος ὁ τόπος. ἐὰν δὲ τετράγωνος ὁ τόπος πλέον ἔχοντος τῆς κεφαλῆς ἔλαττον, τὸ πλάτος σπιθαμιαῖα κ· καὶ ἡ πόδας σπιθαμιαῖα ιϛ. τὸ δὲ μῆκος. τὸ ἓν μέρος σπιθαμιαῖα λη· καὶ τὸ ἕτερον σπιθαμιαῖα κζ. ψηφίζεται οὕτως. ἑξκαιδεκάκις λ, φπ· καὶ ἑξκαιδεκάκις β, λβ· καὶ τὸ ἥμισυ τῶν λβ, ιϛ· καὶ τὸ ἥμισυ τῶν ιϛ, η· ὁμοῦ σπιθαμιαῖα φϞϛ. ὑφαιρεῖται δὲ οὕτως τὸ ἥμισυ τῶν φϞϛ, σϞη. καὶ γίνεται γῆ μοδίων σϞη :—




α β κ λ ε φ γ η ι κ λ μ ν ο π κ γ φ ϛ τ θ ξ υ ζ.
a b c d e f g h i k l m n o p q r s t u x y z.

α υ μ δ ε φ υ h ι χ λ μ ν
a b c d e f g h i k l m n t.

βι ξ. ὁ ὑπεύθυνος προσαγγέλλων, οὐ μόνον ἀνεύθυνος διατηρεῖται, ἀλλὰ καὶ βραβεί-
ου ἀξιοῦται. βι ιθ τ β κεφ ξ. ἔξεστι δὲ παρ' αὐτῇ γινομένης τῆς αἱρέσεως αὐτοῦ κρατοῦ-
ντος, προσκυροῦσθαι τῷ λυτρῷ, ἢ μὴ πλέον ὑπὸ τοῦ ὑπερημερίας· καὶ τοῦ ἐπὶ



τεῖν ἀγοραστοῦ. καὶ περαιτέρω. β ι' τ δ'. ἐὰν κληθεὶς καὶ μὴ παρέσῃ ὁ ἀφῆλιξ
καὶ καταδικασθῇ, ἀποκαθίσταται. β νζ' τ η' κε κδ'. ὁ ἀγοράσας παρὰ ἀνήβου πρᾶ-
γμα κοινὸν ἄνευ αὐθεντείας ἐπιτρόπου, οὔτε διὰ χρονίας δεσπόζει, οὔτε διὰ τῆς τοῦ
μακροῦ χρόνου παραγραφῆς βοηθεῖται. β νς' τ ς'. ὁ ἀγοράσας τοῦ δημοσίου πρᾶγ-
μα καὶ τὸ τίμημα καταβαλών, οὐκ ἐνάγεται. β ν' τ ι'. ὁ τοῦ δημοσίου πρᾶγμα,
οὐ δύναται διὰ τοῦ χρόνου δεσποσθῆναι· οὐδὲ δεσπόζει τοῦ ἀλλοτρίου, κἂν ἐν ἐκείνῳ αὐ-
τὸ ἀπογράφωμαι. β κθ' τ α' κε ρη'. δοκεῖ γίνεσθαι τὸ χερσαῖον μετὰ τοῦ ἀχρεί-
ου μεμιγμένον, καὶ αὐτὸ χερσαῖον γίνεται. β κθ' κε ρθ'. ἡ ἀπαίτησις μὴ διὰ
τέλους ἐν ἑαυτῷ γενέσθω, ὡς ἐπὶ τῆς ἀνάγκης τῆς πενίας. μήτε παραχρῆμα, ἀλ-
λὰ δι' ἑαυτοῦ καταβαλλέσθω τὰ ζητούμενα ἢ ἀπαιτούμενα. τὰ μέντοι γε λοιπὰ
πράγματα, παραχρῆμα καταβαλλέσθωσαν. ἐὰν γυνὴ μὴ γενομένης τῆς αὐτῆς ἀειθ-
μνάστως ἐγγραφῆσα, ὡς αὐτῇ δῆθεν ἀσθενῆ. αὐτὴ παντελῶς οὐκ ἀνέχεται οὐ-
δεμιᾷ αἰτίᾳ. αἱ γυναῖκες βοηθοῦνται ἀπὸ τοῦ δόγματος, ἐὰν ἀεὶ ὁ δανειστὴς ἀ-
πατηθεὶς ἐγνώρισε τὴν ἀπὸ τοῦ ἀνδρὸς περὶ τὴν γυναῖκα παράκλησιν. τέλος γὰρ ἔχει τοῦ ὅ-
λου ἀνάγνωσιν. β ξ'. ὁ εὐνουχίσας ῥωμαῖον. ἐὰν ἄρρεν ἐστί, τὴν ταυ-
τοπάθειαν πανθάνει, καὶ δημεύεται. καὶ εἰς γύψου δημευ-
κὸς ἐξορίζεται. ὁ εὐνουχίσας παῖδα ἐποίκ-
τως ἰατρεύσεων, ὑπόκειται τῇ περὶ ὕβρεως ἀ-
γωγῇ. καὶ τὰ περὶ ἐγκλημάτων ἀγορα-
νόμων εἰς τὸ ἑξαπλοῦν :~

Χριστῷ ἄνακτι θεῷ, χάρις τε καὶ δόξα πρέπει.
ὡς δόντι τέρμα τῆς γραφῆς φθάσαι θείνος :

ΙΚ

χεὶρ νικολάου τουρριανοῦ τοῦ κρητὸς
ἐν σεγοβίᾳ. ἔτει τῷ ͵αφξε :

.22.

## Τοῦ σοφωτάτου καὶ λογιωτάτου πατριάρχου Κωνσταντινουπόλεως κυροῦ Γρηγορίου τοῦ Κυπρίου, ἐγκώμιον εἰς τὴν θάλασσαν ἤτοι εἰς τὴν τοῦ καθόλου τοῦ ὕδατος φύσιν :

Θαυμάζειν τῶν πραγμάτων ὅπου τι ὑπερφυὲς καὶ μέγα οὐ πολλοῦ τινος ἔργου
φαίνεται· οὐδεὶς τοῦ τετελεσμένου ποιεῖν βούλεται ἱστάμενος ἄφθονος· ἀπόχρη γὰρ
αἰσθανθέντα, εἰς θαῦμα ἐκπεσεῖν τὴν αἴσθησιν· ἀλλ᾿ εἰ καὶ λόγῳ τις σκοπεῖται τῶν τι
οὕτως ἄξιον ἐπιδεῖν καὶ διηγήσασθαι, τοῦτ᾿ ἤδη τοῦ παντὸς ἐργωδέστερον· ἀφαιρεῖται
γὰρ λόγων ἰσχὺν τῶν θαυμάτων ἡ φύσις· καὶ ὅσῳ ταῦτα τοῖς ἐντυγχάνουσιν ἔκπλη-
ξις, τοσούτῳ μᾶλλον ἀπορία τοῖς λόγοις· καὶ τὸ μηδαμῶς ἑαυτοῖς δύνασθαι-
ἐξισῶσθαι· διὸ καὶ πολλάκις γένοιτ᾿ ἂν συγγνώμη δικαίως τοῖς περὶ τούτων λέγειν
ἐγχειροῦσιν, ἂν παρὰ πολὺ τῆς ἀξίας ἐλλείπωσι· καὶ μάλιστα περὶ τῶν τοιαῦτα πε-
παιδευμένων αὐτῶν, ὅσῳ καὶ τῶν ἄλλων μᾶλλον ἐνδεεῖς εἰσιν· ὡς μὲν χαλεπὸν τοῖς
τοιούτοις ἐπιχειρεῖν, ὡς δ᾿ ἀνάγκη τοὺς λόγους ἥττους εἶναι τῶν πραγμάτων συμ-
βαίνειν· ἐπεὶ δὲ τοῦτο οὕτω τῆς θαλάσσης πέρι τὸν λέγοντα, οὐδὲν εἰς ἱκανὸν ἐρυθνοῖ-
μαι· τὸ γὰρ θαύματος ἐν τοῖς οὖσιν εἴπερ τι ἄλλο μετέχουσά ἐστι θάλαττα ὅτε καὶ στοι-
χεῖον ἐστὶ τῶν πρώτων· κἂν εἴ τις συγγινώσκοι τοῖς εἰς τοὺς περὶ ταύτης λόγους ἑαυτοὺς
καθιεῖσι, μᾶλλον τῆς προθυμίας ἀγαπῶν ἢ καταγινώσκων τῆς θρασύτητος, οὐχ ὅσον τὴν
τοῦ μὴ τὰ δίκαια προτιμῆσαι δόξαν ἀποίσεται· ἀλλ᾿ ὅπως ποιοῦμεν καὶ ὅθεν τὸ ἐξίσα,
θαλάττης, καὶ ὡς αὕτη τὸ κράτιστον τοῦ παντός, ὅστις σκοπούμενος σαφῶς εἴ-
σεται· πλὴν ἐκεῖσε ἐνταῦθα προσήκει μικροῖς τὰ μεγάλα καὶ τὴν ἀλήθειαν τοῖς ἐκ
τῶν λόγων θηρᾶσθαι σκιαῖς· ἤδη μὲν οὖν τὸ πᾶν τόδε μὴ ὂν πρότερον οὐδαμῶς
ἀρχὴν ἐλάμβανεν εἶναι· καὶ τότε αὐτίκα ὑπῆρχε ἡ θάλαττα, σὺν τοῖς πρώτοις τῶν
ὄντων φανεῖσα· καὶ δύναμιν ἀξίως ἔχουσα τὴν πρώτην· ὡς γὰρ ἐπὶ παντὸς πράγματος γι-
γνομένου ὕλην εἶναι δεῖ, ἐξ ἧς αὐτοῖς τὴν γένεσιν ἐνεργεῖσθαι, οὕτω δήπου
καὶ θάλασσαν ὁμοῦ τοῖς πρώτοις ὑποστᾶσαν ὁρῶμεν· ὡς εἶναι στοιχεῖον τῶν μετὰ ταῦ-
τ᾿ ἐσομένων, καὶ ἀρχὴν τοῦ συγκείμενος τὰ ἐπόμενα· ὥστε εἴ τις θεώμενος θαυμά-
ζοι τὸ τοῦ παντὸς σχῆμα, ἐκ τοῦ ὕδατος φύσεως δέον τὰ πρῶτα τοῦ θαύματος
ἄρχεσθαι· καὶ δή, πρεσβυτάτην αὐτὴν δείξας ὁ δημιουργός, οὐκ ἀπεικότως καὶ
τὰ πρῶτα μεγέθους ἀπένειμε· μεγίστη γὰρ τοσοῦτον ἐστὶ θάλασσα, ὡς μὴ δὲ

ἢν ἴσως ἢ πλέον ἀποξενῶσαι εἰς χώραν αὐτῇ. ἀλλ' εἶναι μὲν πολλὴν τὴν ἐντὸς σα-
δέρων, ὡς καὶ τοὺς αὐτοὺς ἐπιτείνοντας, ἀπαγορεύειν πρὸς πάντα. καὶ μικροὺς τοὺς
τοῦ ἀπείρου λόγους ἁρμόζειν αὐτῇ. καὶ ταῦθ' ὁριζομένην σαφῶς, καὶ μηδ' εἶναι
παρεξετάζειν αὐτὴν πρὸς τὴν καθ' ἡμᾶς καὶ οὐδένα λόγον. οὔτε χάριν οὔτε πλοῦς
ἐν αὐτῇ γίγνεται ἀπειρία γὰρ ὕδατός ἐστι. καὶ τὸ μὴ εἰδέναι ὁποῖ' ἔτι ἂν ἔχοι-
καταίρειν. τὰ περὶ ταύτης ἢ καὶ ὅλως ἐστίν, οὐκ εἶναι εἰπεῖν οὐδενός. καὶ τοῦ-
το λήψει τὸ μέγεθος οὐκ ἔξω λόγου, οὐδὲ τοῦ ἐξ ἀποίμου χωρίς. ἀλλ' ὅτι γὰρ ἔ-
μελλεν ἡ τοῦ ὕδατος φύσις οὐ μόνον δὴ μὴ τοῖς ἄλλοις ἀλλὰ καὶ τὸ θαυμ-
φανῆναι εἰς τὴν ἐξ ἀρχῆς γένεσιν ὅτε πλεῖον τοῦ ποιοῦσα εἰς τὸ διαμένειν ἐξό-
των ἑκάστῳ ἡ φύσις ἐξήκει. οὕτω δ' ἐκ τοῦ μεγέθους θαυμαζομένη οὐχ ἥκι-
στα καὶ διὰ τὴν θέαν θαυμάζοιτ' ἄν. ἣν ὡς πλείστην εἰς καὶ τερπνοτάτην παρέχει
τοῖς ὁρῶσι. μάλιστα γὰρ αὐτίκα θαλάσσης τὸ κάλλιστον, ὁποῖον δή ποθεν ἐκ τοῦ-
του ἴσως γινόμενον κατακοσμεῖσθαι. γῆν τε γὰρ ἅπασαν, ὠκεανὸς περιθέει-
με κύκλῳ. καὶ αὖθις ὡς ἐν κύκλῳ τῇ γῇ τοῦ ὕδατος πλεομένου περιστοι-
χεῖται. καὶ πάλιν δέ, αὐτὴ ὡς ἐκ διηρημένων ἐκάθηται τὸ μεσαίτατον τοῦ παντός.
εἴτε γὰρ καὶ τῆς γῆς τὸ μέσον ἀποτέμνεται τῇ θαλάττῃ καὶ κινδυνεύσει ἄλλο τι μι-
κρότερον τὴν γῆν, τὴν δὲ θάλασσαν εἶναι. τήν τε μὴν θέαν ἔχειν ἣν ἐν αὐτῇ τῇ
θέσει παρέχεται καὶ ὡς κύκλος τε ἐστὶν ἡ αὐτή ὥστε τὴν ὅλην κατανοοῦντι ἐπαύ-
τὰ σχήματα δείκνυσιν ἐν τῇ πρὸς τὴν γῆν συνθήκῃ καὶ μίξει. κόλπους τε πολυει-
δεῖς ἀπεργάζουσα. νήσους δ' αὖ ἐκ μέσης μικρὰς καὶ μείζους ἀναδιδοῦσα. ἢ
πορθμοὺς ἐν στενῷ ἐς μήκιστον διήκοντας ἀπεργαζομένη τις ἂν λόγος μετρίως
εἰπεῖν, ἀποχρήσει. ἀλλὰ ταῦτα μὲν ὡς ἐκ περιγραφῆς καὶ τῆς θέας, καὶ ὅσον
τῇ αἰσθήσει καταλαβεῖν. λογισμῷ δέ τις τοσοῦτον διαιρεῖ τὴν τοῦ ὕδατος
φύσιν εἶναι κοινὴν ὁπόθεν καὶ ἀρχὴ τοῖς ἄλλοις ἃ τοῦ κοινοῦ μετέχει γνωρίζεται.
οὐ γὰρ ἂν ἦν εἰκός. τὰ τὴν ὕπαρξιν δεύτερα τοιούτου μετέχειν τινὸς μὴ τῶν πρώ-
των μετεσχηκότων, ἀφ' ὧν δὴ καὶ ταῦτα μετέσχε. ποταμοὶ δ' ἅπαντες ἔπειτα,
λίμναι τε αὖ καὶ νυμφῶν νάματα. καὶ ὅσα τὴν γῆν ὑπορρέει, ἐκ θαλάσσης
τὰ πάντα καὶ αὖθις εἰς θάλασσαν καταρρεῖ. τοῦτο μέν, ὡς ἐκ μέρους. τοῦτο δ' αὖ
ὡς εἰς κοινήν τινα τοῦ παντὸς ὕδατος χώραν. ἔτι δὲ καὶ τοῦτο, τὸ μίαν εἶναι
ταύτην ἀρχὴν τοῦ παντὸς ὕδατος σημεῖον οὐκ ἀμυδρόν. ἔνθα γὰρ ἅπαν ἀνα-
κάμπτον ὀρθῶς καὶ ἀποκαθιστάμενον, ἐκεῖθεν καὶ τὴν πρώτην αἰτίαν τοῦ
εἶναι εἰληφέναι πεισόμεθα. οὕτω γὰρ καὶ τὰ ἐκ γῆς ἅπαντα εἰς γῆν ἀνακ…

ξ

ξ

τα τὴν γῆν περάτων σχεδὸν μικρὰ εἶναι δηλοῖ· ἡ δ' ἁπάντων ὑδάτων εἰς αὐτὴν εἰσρεόν-
των καὶ πάντα ὑποδεχομένη διὰ μεγέθους περιουσίαν οὔτε πλέων τῆς οὔσης ὁ-
ρᾶται οὔτ' ἧττον τις φαίνεται οὖσα· οὐ γάρ πω πλέον οὐδέδωκε γῆθεν λαμβά-
νει· καὶ αὖθις δίδωσί τε τοσοῦτον ὁπόσον καὶ προσεδέξατο· καὶ ἄμα οὐκ ἐπιδί-
δωσι τῶν ἐκ τῆς συμβαλλομένων· ἐπεὶ μηδ' ἀτμῆς ἐλάττω, οὐδὲ προσθή-
κης δεομένη τινὸς ἐξ ἀρχῆς· ἀφ' ὅτου δ' ἦν τέλεα καὶ πλήρης, καὶ παντὸς μᾶλλον ἄ-
νευ δέης· ὄμβροι δὲ πρὸς τοῖς εἰρημένοις καὶ δρόσοι καὶ νιφετοὶ νεφέλαι τε αὐ-
ταὶ τούτους γεννᾶσθαι, καὶ ὅσα πρῶτον εἰς τὸν ἄνω συνιστάμενα τόπον, ἔπειτ' ἐκεῖθεν
εἰς γῆν κάτεισιν· ἔτι γε μὴν ἀνέμων φύσεις καὶ παντοῖαι πνοαὶ τὴν ἀρχὴν ἐκ τοῦ
ὕδατος ἔχουσιν· αἱ δὲ βλάσται φυτῶν ἐκφύσεις τε καὶ αὐξήσεις ἀναθηλήσεις τε καὶ
καρποφορίαι ἐξ ὕδατος ὡς ἐξ ὕλης· οὐ γὰρ ἄλλως οἷόν τε προκύπτειν τῆς γῆς.
μικρὸν δὲ τοῦ παντὸς ὕδατος προσκείσθω δὲ καὶ παντὸς ὑγροῦ θάλασσα, οὐδ' ἄλλου
ὡς καὶ τούτων· οὐκ ἄλλη τις αἰτία τὸ μέρος τοῦτο ὅτι μὴ θάλασσα· οὐδὲ μόνα-
ταῦτα τὴν ὑγρὰν ὡς μικρὰ κατὰ τὸν εἰρημένον κέκληται τόπον· ἀλλὰ καὶ τὰ παντοῖ-
α γένη τῶν ζώων· ἐπεὶ οὐκ ἔστιν οὐδὲν τῶν ἁπάντων ὃ μὴ τοῦ ὑγροῦ μετέχει τῆς ἐ-
πωνυμίας ταύτης μετάσχοι· τούτου δ' ἐναργὲς τεκμήριον, ἐπειδήπερ συναποβάλ-
λει καὶ τὰ ζῶα εἶναι καὶ ὅλως ἔμψυχα, τὴν ὑγρότητ' ἀποβαλόντα· ἀλλὰ μὴν τήν γε
παρὰ τἄλλα θαλάττῃ οἰκειοτάτην φορὰν τὴν τῶν ἰχθύων λέγω καὶ νηκτῶν πάντα
γένη, περὶ αὐτῆς κἂν ἀξίως θαυμάσοι περινοῶν· τὰ μὲν γὰρ τῶν ἄλλων ζώων, πρὸς
τῷ τοῦ ὑγροῦ μετέχειν, ἔστιν οὗ καὶ τῶν ἄλλων πρώτων σωμάτων μετέχει· ἰχθύες δὲ
καθαρῶς ἐκ θαλάσσης ἐν αὐτῇ τὴν ἀρχὴν καὶ γεννώμενοι καὶ αὐξόμενοι καὶ διατε-
λοῦσ' ἐκτρεφόμενοι πολλοί γε τὸ πλῆθος· ὡς εἰ καὶ τὰ χερσαῖα μὴ ὑπερβάλλει τὸ καὶ
αὐτοὺς ἡττοῦσθαι πλὴν οὐδεὶς ἐρεῖ· οὐκοῦν ὅ γε ἐπιεικῶς ἐπιστάμενος· πλεῖ-
σα δὲ καὶ ἀφ' ὧν αὐτῶν χρήσιμα γένη· οἷς τε τροφὴ γίνεται καὶ μέγα κατάλληλος·
τοῖς σώμασιν ἐντεῦθεν αὐτοῖς, καὶ οἷς αὐτὴν ἄλλην χρείαν ἐστὶν ἐκ τούτων ἀπο-
πληροῦν· ἣν χρόνος μὲν εἶπεν, οὐκ ἂν οἷόν τ' ἦν· πεῖρα δὲ μόνη διδάσκαλος· οὐ δὴ
μόνον τῶν εἰρημένων χάριν τὸ τοῦ ὕδατος χρῆμα ἢ τὸ τῆς θαλάσσης· ἔξεστι γὰρ
ἀκούειν ἑκάτερον οὐ διαφέρομαι· οὐχὶ τούτων ἕνεκα μόνον θαύματος ἄξιον· ξ
ἀλλὰ καὶ ὧν ἡμεῖς κεχρήμεθ' αὐτῷ συμφερόντως τῷ βίῳ· καὶ ἀφεῖσα λέγειν
ὡς ἀνακτᾶται τὸ ὕδωρ τοῖς ζώοις τὰ σώματα· τοῦτο μὲν πίνουσι, τοῦτο δὲ καὶ λου-
ομένοις· καὶ ὡς ἄρτος φύρεται ὕδατι καὶ ὡς οὐκ ἔστιν οὐδὲν σχεδὸν εἰς βρῶσιν,
ὅ τι μὴ μεθ' ὕδατος χρηματίζεται· καὶ ὅτι τοὺς δρᾶς οὐκ ἄλλοθεν ἔχομεν ἢ ἐκ

ξ

τοῦτο ξυνισαμένους· μετ' αὐτῶν οἷον ἐμψυχοῦνται τροφῇ· καὶ ἡδονὰς ὡς πλεῖστον μετέ-
χει καὶ αὐτοῖς καθάπαξ ἐστὶν αἱρετή· καὶ πρός γε τοῖς εἰρημένοις ὅτι καὶ ῥύπους καθαί-
ρει τὸ ὕδωρ καὶ κηλῖδας ἐκπλύνει, καὶ μολυσμῶν ἀπαλλάττει καὶ δυσωδίας.
τεκμήρια γὰρ ταῦτα περιφανῆ. τὰ δέ γε μὴν ἕτερα εἰς ὅσα ἡμῖν ἀναγκαίως ἔχον
ἐστὶ τόδε, πῶς ἄν τις ἐν ὀλίγῳ χρόνῳ διέλθοι· οὐ γὰρ ἂν βίος ὅλος ἀνθρώπινος ἀποχρή-
σει βουλομένῳ καθ' ἕκαστον διελθεῖν, ὅσα τοῖς ἀνθρώποις ἐκ θαλάσσης περιγίνεται.
πλὴν ἀλλ' ἀναγκαστέον μετρίως· καὶ ὥσπερ ἀμυδράν τινα σκιαγραφίαν τὸν περὶ τούτων
οἴεσθαι λόγον. πολλῶν γὰρ ὄντων ὅσα εἰς τὸν ἀνθρώπινον βίον τείνει, οὐχ ἅπαντα δὲ
μέρους γῆς τὰ πάντα φέροντος, οὐδ' ἀθρόου τῶν χρησίμων ἁπάντων ἐνταυθοῖ ἀ-
ναδιδομένων· ἀλλὰ τὰ μὲν ἀσίας ἐχούσης, τὰ δ' εὐρώπης, ἕτερα δὲ λιβύης, καὶ
ἄλλα ἑτέρου κλίματος γῆς ἂν μὴ συναπτούσης ταῖς διεστώσαις ἠπείρους καὶ αὐτοὶ
διὰ ταύτης ἐπιμίσγονται οἱ ἁπανταχόθεν τοῖς ὁπουδήποτε γῆς καὶ ὀλίγων ἔτι τῶν ἐ-
πιτηδείων εὐπορεῖ τι γένος, ἀπηρτημένον δὲ τῶν πλείστων· νυνὶ δὲ διὰ θαλάττης ἀλλήλοις
τὰ παρ' ἀλλήλων διδόασι· καὶ θαυμαστή τις κοινωνία τοῖς ἀνθρώποις ἐντεῦθεν καὶ
ἀφθονία βίου ἐστὶ· καὶ τὰ ξενικὰ τῆς ἡμετέρας ζωῆς ἁπανταχοῦ διὰ τοῦ δε-
τοῦ στοιχείου κομίζεται· καί γε μὴν διαιροῦν, μὴ διαποστῆσαι ἀλλήλων τὰς ἠπεί-
ρους νομίζειν προσήκει τὴν θάλασσαν· οὐ γὰρ ξυνδέει μᾶλλον οἷς τὰ πάλαι ταῦτ' οὐ-
τως ἐδόκει· τοὐναντίον γὰρ οὖν συνάπτειν καὶ εἰς ἄκραν ἕνωσιν εἶναι ταύτας
ποιεῖν. οὐ μόνον ὅτι τὴν μέσην ἐμφύτως χώραν διὰ τῶν ἀκρῶν ἐστιν· ἀλλ' ὅτι
καὶ ἐπικοινωνεῖν ἀλλήλοις τὰ γεννήματα τῇ διαδόσει καὶ ἐπαλλάττειν ποιεῖ· ἰνδοὺς
γὰρ ἂν εἰς τὴν ἰνδικὴν ἐπιφοιτῶντα κελτοὺς καὶ γαλάτην, καὶ εἰς τὴν ἐκείνων αὖθις
ἰνδοὺς τὴν θάλατταν διαπεραιουμένους· οὐ γὰρ ἄλλως οἷόν τε· καὶ λίβυες αὖ δια-
τρίβουσιν ἐν εὐρώπῃ χρησάμενοι τῇ θαλάσσῃ· καὶ ἀσία τοὺς ἐξ ἑκατέρας τῆς
δέχεται· τῆς αὐτῆς ταύτης προσπεπραγμένης· διὸ καὶ οὐκ ἔστι μὴ καὶ τῶν ἄλλων
νομίζειν εἶναι φορὰν, τὴν τῆς ἑτέρας τῶν ἠπείρων φοράν· οὐ δὲ καὶ ἡ σκυθῶν γῆς ἀρ-
ραβία κομπαστὴ οὐδ' ἡ τῶν αἰθιόπων κατὰ τῆς ἑλλάδος· οὐδ' αὖ ἕτεραί τις καθ'
ἑτέρας· ἐπεὶ τά γε δοκοῦντα ἑκάστης ἴδια, κοινὰ τοῖς ἅπασι διὰ τὴν θάλασ-
σαν γέγονε· καὶ τότε τὰ αὐτὰ ἐνείσκειν ἄφθονα πανταχοῦ, τῆς ξυνιούσης ἰδί-
ως τὸ ἀξίωμα καταβάλλει· χωρὶς δὲ τῶν εἰρημένων κέρδη τοῖς ἀνθρώποις ἐκ θαλάτ-
της μυρία χρημάτων δ' ἀπειρία, καὶ ἄλλων ἀγαθῶν ἀφθονία, δι' ὧν αὐτὸς
τῆς ἑαυτοῦ ὁρᾶται περιφανέστερος· ἀλλὰ ταῦτα μὲν ἴσως οὐ πολλοῦ τινος λόγου
τοῖς γε φιλοσοφοῦσι καὶ τὴν διάνοιαν ὑπὲρ τοὺς πολλούς· τό γε μὴν κράτιστον

κερδῶν ἀπάντων καὶ πᾶσιν ἐπίσης θαυμαζόμενον, ἡ τῶν μακρὰν ὄντων κατά-
ληψις ἐντεῦθεν περιγινομένη, καὶ πραγμάτων ἀκρίβεια καὶ ἐπιστήμη καὶ ἐμπειρία.
πάντα συλλέγουσι καταμικρὸν, πολλοῖς μὲν ἔθνεσι πολλοῖς δὲ ἤθεσιν ὁμιλοῦντες· καὶ
καινότερα ἀεὶ μανθάνοντες ἐκ τοῦ καινοτέροις ἐντυγχάνειν ἀεὶ καὶ ἀνδράσι καὶ πό-
λεσι καὶ νομίμοις καὶ πᾶσι πράγμασιν. ἐξ ὧν ὡς ἐμπειρικώτατοι τῶν ἄλλων
καὶ φρονιμώτατοι εἰσὶ καὶ ἐμπειρικώτατοι, οἱ τὴν θάλασσαν κεχειρισμένοι γίνωσκον-
ται. οὐ μὴν ἀλλὰ καὶ καρτερικοὺς ἴδοις ἂν καὶ ἀνδρείους ὡς πλεῖστον ἢ κατὰ τοὺς
αὐτοὺς τούτους. οἵ γε μηδ' ἐᾶν ὅτε πρὸς τὴν θάλασσαν ἱκανῶς τοῖς κινδύνοις,
προσμένειν δεδάξει καὶ ἀναπτέον ὡς εὐψύχως φέρειν τὰ ἐπιόντα. ἐμοὶ μὲν
γάρ, εἰς ἔκπληξιν θάλασσα καὶ πόρρωθεν ἱσταμένῳ τὴν ἀπὸ τῆς θέας ἔχει καὶ
τῶν ἄλλων τὸ φρικῶδες καὶ φοβερόν. τοὺς τε καὶ τολμᾶν ἐπιβαίνειν καὶ παρασκε-
υάσθαι πρὸς κλύδωνα καὶ ζάλην καὶ τρικυμίαν καὶ πάσας μεταβολὰς καὶ ἀέρος
καὶ ὕδατος, τοῦτ' ἤδη μεῖζον ἅπαν ἀνδρείας ὑπερβάλλει καὶ καρτερίας. καὶ ταῦτα
μὲν ὡς ἐκ μικροῦ τὸ ὑπερβάλλον τοῦ στοιχείου γνωρίζεται. πρόσεστι δὲ τὰ μείζω καὶ
τελεώτερα περὶ τούτου λέγειν ἢ μὴν ἀπορίαν ἑαυτοῖς συνειδόσιν, ὥστε περὶ τοῦ κρα-
τίστου τῶν ὄντων ὑψηλοτέρων ἅπτεσθαι λόγων. καὶ γὰρ ἀρχή τις τὸ ὕδωρ τῆς ὑγρᾶς
οὐσίας νομίζεται. καὶ συγκλίνουσι τῶν λεγομένων πρὸς τοῦτο στοιχείων. ἐπειδὴ καὶ
πᾶσιν ἐκείνοις εἰς τὸ εἶναι συμβάλλει. ὥστε γὰρ ἀεὶ μεταδίδωσι τῆς ὑγρότητος
καὶ οὐκ ἄλλοθεν τρέφεται ἀήρ, ἢ τῇ μετουσίᾳ τοῦ ὕδατος. πυρὶ δὲ τροφὴ γίνεται
τὸ ὑγρόν. καὶ μένοντος τούτου, μένει κἀκεῖνο. καὶ δαπανωμένου συνδαπα-
νᾶται. καὶ τελέως ἐκλιπόντος ἀπομαραίνεται. ἔστι δὲ καὶ οἳ καὶ τοῖς ἄστρα-
σι τροφὴν ἐκ τοῦ ὕδατος προσεκδέχονται. οὔτε χάριν, καὶ πυρὸς καὶ ἄστρων ἡ
σύστασις, ἐκ τοῦ ὕδατος τρόπον τινά. ὅποθεν γὰρ ἕκαστον τρέφεται, ἐκεῖθεν καὶ
τὴν εἰς τὸ εἶναι διαμονὴν ἔχειν πιστεύεται. γῆς δὲ καὶ αὐτῆς ἀέρα τῶν ποικίλων
περιφανῶς ἐκ τοῦ ὕδατος. οὐ γὰρ ἐστερῶς τε ἢ τῇ μετουσίᾳ τοῦ δ' αὐτὴ ψυχρά.
καὶ αὖθις ἀφῇς τῆς γῆς τὴν παντελῶς ὑγρότητα, ἀσθενῆ τε ἴδοις καὶ ἀνυπόστα-
τος τά τε ἄλλα μὴ στέλλουσαν, καὶ παντοίοις βάρεσιν ὑποχωροῦσαν ἀεί. πρόσεστι
δὲ τοῦτο καὶ τὴν ψάμμον ὁρῶντα κατανοεῖν. ἥτις γῆ μέν ἐστι πλὴν ἀφῃρημένη
τῆς εἰς ταὐτὸ συναγούσης καὶ συνεχούσης ὑγρότητος. καί τε τοὺς μίαν ἀρχὴν καὶ
μόνην τῶν ὄντων θεμένους εἶναι τὸ ὕδωρ, οὐκ οἶμαι δι' ἄλλο ἢ ταῦτα παρα-
σχόντας ἐπεὶ οὐκ ἐξ ὡς λόγου ταύτην τὴν δόξαν περὶ τοῦ ὕδατος ἐσχηκότας. διὸ
οὐδ' ἔστιν ὅπως τις τὸ στοιχεῖον τοῦτο προσαγορεύσει μὴ βούλεται τοῖς πάτροσιν αὐτέ

ἐλάσσω τὰ μείζω καὶ τὰ πρῶτα τοῖς μετὰ ταῦτα. στοιχείων γὰρ τῶν ἄλλων ἅττε αὐτὰ πρῶτα τῶν ὄντων φασὶν εἶναι, τοσοῦτον ὑπερφέρει τὸ ὕδωρ ὡς τῶν ἑαυτοῦ μεταδιδόναι κἀκείνοις. αὐτὸ δὲ τῶν ἐκείνων δεῖσθαι μηδέποτε. γῆ μὲν γὰρ ἵνα ἑαυτῆς κρείττω γένηται τοῖς αὐτοῖς, μεταδίδωσι τῆς ψυχρότητος. οὐδὲν δ' ὅθεν λαμβάνει. ἀέρι δὲ τῆς ὑγρότητος. καὶ τοῦ πέρα τοῦ ἀέρος ἐστὶν ἀνενδεές. τὸ πνεῖν δὲ ἐς τὸ φθίνειν γίνεταί πως. πλὴν δεῖται ζωῆς ὡς ἐς μάχην ὕδωρ καὶ πῦρ ἀναγκάσηται ἢ φεύγειν ὑποχωρῆσαι τοῦ κράτους καὶ ὑπεῖξαι ἢ πειραθὲν τῆς ἐκείνου δυνάμεως τελέως ἀποσβῆναι καὶ εἶναι μηδαμοῦ ἐν τοῖς οὖσι. καὶ θαυμαστὰ μὲν οὖν ταῦτα ἁπανταχοῦ ἐν πᾶσι κρατοῦσα μὲν πολλοῦ τοῦ γελοίου. ἡμῖν δὲ

περὶ αὐτῆς οὐχ ὅπως ἔρδειν πρὸς ἀξίαν ἀλλ' οὐδὲ προ-

σηκόντως θαυμάσαι ἰσχὺς δέον τί γὰρ οὐ-

τοῦ μεγέθους τοῦ πράγματος αἰ-

δουμένους, αὐτὶ τῶν λόγων

ἀσπάζεσθαι σιγὴν ἵνα

μὴ τὸ πολὺ τοῦ θαύ-

ματος τὸ ἀσθενὲς

τῶν λόγων ἐ-

φθάσαι :-

### τοῦ αὐτοῦ λέξια :-

Σωκράτους ἐγὼ ἐπαινεῖν οἶμαι πάντα πρόθυμον εὐλαβεῖσθαι ὅστις οἶδε λέγων τὸ τοῦ δὲ ὁπόσον ἐπὶ θεῖα προσήκει, γνώσεσθαι δὲ ὅμως κατ' ἀξίαν, οὐδένα. ἐπεί, τί τις ἂν ὑπὲρ ἀνδρὸς ἔχοι λέγειν ὃν ἡ Πυθία προλαβοῦσα, οὐ μόνον ὑπὲρ τοὺς ἄλλους εἴρηκεν εἶναι σοφόν. ἀλλὰ καὶ μόνον τὸν σοφόν. καὶ εἰκότως. τῶν γὰρ ἄλλων πάντων περὶ τὸ φαινόμενον καὶ τὸ δοκοῦν σπουδαζόντων, ἀμφισβητούντων δὲ κατὰ πάντα λόγον τοῦ εἶναι, ὁ δὲ τῆς ἀληθοῦς ἐφρόντιζεν. οὐ μέχρι τῶν ὁρωμένων τὴν φιλοπραγμοσύνην στήσας, ἀλλ' ὑπερβὰς καὶ ἐς ψυχὴν καὶ νοῦς αὐτὰ προσαναβάς. ἅτε μὴ τὴν αἴσθησιν κατὰ τοὺς ἄλλους ὁδηγὸν πρὸς τὴν σκέψιν, ἀλλὰ τὸν νοῦν κεχρημένος. ὥστε μόνῳ ἡ τῶν ὄντων ἀκριβὴς κατάληψις γίνεται. καὶ τοίνυν Σωκράτους μὲν τὸ δὲ πράξεσί τε καὶ λόγους τοὺς ἄλλους δι' αὐτοῦ κάλλιστον ἀρχέτυπον τοῦ εἰ

λοσόφων ἐστέφετο βίου καὶ τελέους τοὺς ἐκείνῳ προσεσχηκότας ἑκατέρωθεν ἔδειξεν
ἐξ ὧν τε ὡς ἄριστα ἐπολιτεύσατο, καὶ ὧν περὶ τε θεῶν περὶ τ' ἄλλων πραγμάτων ὡς
οὐδεὶς ἐφιλοσόφησε, διεξιέναι μακρότερον αὐτῇ, ἢ κατὰ τὸν παρόντα τοῦ λόγου σκο-
πόν· νυνὶ δὲ ἀφεῖσα ἐκεῖνα οὐ γὰρ ἄλλως οἷόν τε, ἐν ἐξ ἀπάντων ἱστορεῖν πε-
ρᾶσθαι καθ' ὅ τι καὶ τοῦτο, οὐκ ἀμυδρὸν τῆς Σωκράτους σοφίας τεκμήριον· τὸ δ' ἐ-
στιν, ὅτι περὶ τοῦ λόγου οἷόν τε ὅσον οὗτος δύναται εἰς ψυχὴν ὁπηνίκα τὴν ταύτης
κυβέρνησιν ἔχοι, ἐφιλοσόφησε· καὶ τὰ μὲν ἄλλοις εἴη, ἀλλὰ κοσμεῖται· ψυχῆς δὲ
κοσμήτωρ οἰκεῖος, μόνος ὁ λόγος δι' οὗ δὴ καὶ καλλίστη αὕτη ἑαυτῆς καταφαίνεται.
ὡς εἰ μὴ οὕτως τε κοσμίως πραγματευομένου, κινδυνεύσει τὸ παντὸς ἀξίῳ εἶναι ψυχήν.
ἐὰν μὲν περὶ τοῦ λόγου Σωκράτης, ταῦτα· ὡς δὲ τοῦ ἀνδρὸς ἄξια καὶ τῆς ἐκείνου σοφίας
ἀκριβῶσαι τ' αὐτῆς καλῶς προσέχων τοῖς μετὰ ταῦτα· λόγος, τῆς ψυχῆς ἐξορίζει θυ-
μόν· καὶ κακῶν ἐπιθυμία φυγαδεύεται λόγῳ· μάλιστα δὲ μετὰ λόγου καὶ ταῦτα, εἰς
τὰς τῶν ἀρετῶν μεταβαίνουσι· γίνεσθαι γὰρ ἴσμεν ἀνδρείαν, μὲν τοῦ λόγου τὸν θυμὸν
ἡγνομένου καὶ κατὰ λόγου ἐπιθυμίας τις, οὐκ ἂν ὡς κακὸς διαβάλλοιτο· δίκαι-
οι νομίζονται αὐτοί, ἀλλ' ὅταν ἐφ' ὧν πράττουσι τὸν λόγον προβάλλωνται· καὶ φρονί-
μους οὐκ ὀνομάσει τις, ἄλλους ἢ οἳ δὲ μάλιστα κεχρημένους τῷ λόγῳ· ἐπιστήμη διὰ
λόγου προσγίνεται τῇ ψυχῇ καὶ γνῶσιν τὴν ὑπὲρ αἴσθησιν, μόνῳ τῷ λόγῳ θηρεύομεν
αὐτοί· θαυμάζεται μόνος ἄνθρωπος ἐπὶ γῆς· ἀλλ' ἕνεκά γε τοῦ λόγου· καὶ θεῖόν τι κα-
τὸ γίνεται τοῦτο τὸ ζῷον τῷ λόγῳ χαρακτηριζόμενον· ἐπίνοιαι τέχναι τε πᾶσαι καὶ μη-
χαναί, τοῦ λόγου γεννήματα· σοφία πρὸ ὁ λόγος· καὶ ἀρετὴ πᾶσα γεννήτορα τὸν λόγον
πεπλούτηκεν· οὐκ ἔχει χώραν κακία, ὅπου τὸ κράτος ἔχων ἐστὶν οὗτος· καὶ ἀρε-
τὴ δὲ πᾶσα, ἡ τοῦ λόγου παρρησία δεῖται· ταῦτα μὲν δὴ καὶ τὰ τούτων ἔμπαλιν, διὰ
λόγου γίνεται τῇ ψυχῇ, ὅταν ἔχῃ ἐλλειπῶς τὴν ταύτης κυβέρνησιν· ἀνθ' ἕτερον
ἀντὶ τούτου κρατῇ τῆς ψυχῆς οἷα καὶ ὅσα τὰ χαλεπά· ζάλη περὶ αὐτὴν αὐτίκα ἐκ κα-
κῶν ἐπαναστάσεις· τῶν τε ἄλλων ἔτι δὴ καὶ θυμοῦ καὶ ἐπιθυμίας· ὑφ' ὧν κατεχο-
μένη οὐδ' ἂν ἔτι σαφῶς μένει ψυχή, τὸ οἰκεῖον ἀπολέσασα εἶδος· κίνησις παρὰ
λόγον καὶ ἄτακτος καὶ οὐδὲν μὲν κόσμιον ἐκ τοῦ προσήκοντος· ἐπειδή περ ἐπαινετό-
τατα τοῦ λόγου παρόντος ἀπ' αὐτῶν δή, ταῦτα παρεῖναι ἀνάγκη, τοῦ λόγου μὴ παρα-
μένοντος· ὥσπερ δῆτα καὶ νύξ ἐστιν ἀπουσία τοῦ τὴν ἡμέραν ποιοῦντος φωτός· ἐν ὅ-
τῳ ἐπέχει τῆς ὑγείας ἀποδημούσης, τοῦ σώματος· ἃ δὴ πάντα συνορῶν ὁ Σω-
φρονίσκου Σωκράτης, πλεῖστον ἀγαθὸν τῶν ψυχῶν τὸν λόγον ἐδίδαξε· καὶ γὰρ οὐ
τρόπον ἐν οἰκίᾳ τῷ δεσπότῃ μὴ παρασαλευομένῃ, ἀνάγκη πάντα τε ὡς εὐπρεπῶς

περὶ τοῦ λόγου.

ἐκ Η.

διαλέγεσθαι καὶ ἐκ γειτόνων γίνεσθαι τὴν διοίκησιν, μὴ ἐκείνου δέ, τῶν δὲ δούλων κρατούντων ἅπαντ' ἄνω καὶ κάτω μεταπίπτειν τῇ ἐπικρατείᾳ τοῦ χείρονος. εἰ δὲ βούλει ὥσπερ ἐν σώματι τῆς συμμετρίας κρατούσης καὶ τοῦ ἄνωθεν λόγου κατάστασις τε πάντα περὶ ἐκεῖνο καὶ δὴ καὶ ὑγιεία ὡς ἀκραιφνής. ἐκείνων δὲ διαφθειρόντων τὴν τ' ἀσυμμετρίαν καὶ ἀταξίαν τῆς κράσεως ἀνωμαλίαι τε ἄλλαι συμβαίνουσι καὶ νόσοι καὶ φθίσεις καὶ ὅσα τῆς ἀταξίας γεννήματα. οὕτω δήτα καὶ λόγος κρατῶν πρὸς τὸ θεῖον οἶδε μεταπλάττειν ψυχήν, ἀπιὼν δέ, πρὸς τοὐναντίον εἶναι παραχωρεῖν. καθά δήπου συνέβη ἂν καὶ πλεούσῃ νηΐ, μὴ τοῦ κυβερνῶντος καὶ ἐπισταμένου κρατοῦντος. διὸ δὴ καὶ πάντες ὅσοι ἐτύγχανον καλῶς ἀναπλάττειν τοῦ βίου ἔργοις αὐτοῖς τε λόγοις τῷ λόγῳ μαρτυροῦσι Σωκράτους. διαπρύσιον βοῶντες περιφανῶς, ὡς γε ἂν μὴ αὐτοῖς τῶν δεόντων οὐδὲν ἀνύσαι, εἰ μὴ ὁ λόγος ἐγκρατὴς εἴη οἷον ἐπιτροπεύει. οὗ ἕνεκα δὴ σοφοί καὶ παντὸς τοῦ βίου περιουσίαν τοῦ. ἀλλ' ἵνα τὰ τῶν ἄλλων παρῶ, ἃ εἶπον ὅσα τε ἔδρασαν εἰς ταύτην τὴν γνώμην Σωκράτει ἑπόμενοι, τίς οὐκ οἶδε τὸν Εὐριπίδην ἐστὶν ἐν οἷς τῶν ποιημάτων διεξερχόμενον μὴ

. Euripides .

ἐθέλειν ποτὲ ζῆν μηδὲ γενέσθαι οἱ τοιούτῳ συνόλως, ἂν μὴ ἑτοῖμος πρὸς τὴν ζωήν· δηλονότι τὸν διὰ τούτων ὧν τε διαλλῶν Σωκράτης ἐξήνεγκε γνώμην. οὐκ ἔστιν δηλονότι ζωὴ μὴ τοῦ λόγου τὴν ψυχὴν κατὰ τὴν ἑαυτοῦ φύσιν πρὸς τὸ θεῖον μεταπλάττοντος. ὥστε καλὴν ἔχειν αὐτὴν ἐπι-

μομον

ἐξ αἰσχρότητος ἐπιφέρουσαν. καὶ οὕτω μὲν Σωκράτης ἀξίως ἑαυτοῦ περὶ τοῦ κρατοῦντος ἐφιλοσόφησεν. ἀξίως δὲ καὶ τοὺς ἐπαίνους λαβεῖν ἔχει παρ' οὐδενός :